AUTHOR:

HOMERUS

TITLE:

HOMERI ILIAS AD FIDEM LIBRORUM...

PLACE:

LIPSIAE

DATE:

1873-76

Master Negative #

91-80344-18

COLUMBIA UNIVERSITY LIBRARIES
PRESERVATION DEPARTMENT

BIBLIOGRAPHIC MICROFORM TARGET

Original Material as Filmed - Existing Bibliographic Record

Ilias. 1873

88HS
IE73 Homerus.
Homeri Ilias ad fidem librorum optumorum edidit I. La Roche ... Lipsiae, in aedibus B. G. Teubneri, 1873-76.
2 v. in 1 facsims. 23 cm.

Restrictions on Use:

TECHNICAL MICROFORM DATA

FILM SIZE: 35mm REDUCTION RATIO: 11x2A
IMAGE PLACEMENT: IA (IIA) IB IIB
DATE FILMED: 11/27 INITIALS BG
FILMED BY: RESEARCH PUBLICATIONS, INC WOODBRIDGE, CT




AIIM

Association for Information and Image Management

1100 Wayne Avenue, Suite 1100
Silver Spring, Maryland 20910
301/587-8202



Centimeter

Inches







MANUFACTURED TO AIIM STANDARDS
BY APPLIED IMAGE, INC.



HOMERI ILIAS

AD

FIDEM LIBRORUM OPTIMORUM

EDIDIT

J. LA ROCHE.



PARS PRIOR.

LIPSIAE,
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXXIII.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

UXORI OPTIMAE

BETTINAE,

NUPER DEFUNCTAE,

HANC ILIADIS EDITIONEM

MONUMENTUM

CARITATIS PERPETUAE ATQUE IMMUTABILIS

ESSE VULT

EDITOR.

PRAEFATIO.

Easdem rationes secutus, quas in editione Odysseae ante hos quinque annos vulgatae mihi tenendas putavi, Iliadis editionem comparavi, de qua lectores benevolos paucis praemonitos esse velim.

In tanta copia librorum manuscriptorum, quibus haec carmina continentur, eos mihi potissimum eligendos duxi, qui et vetustate et praestantia eminent, quorum principes sunt Venetus A, omnium qui adhuc innotuerunt longe praestantissimus, et Laurentianus D, liber optimae notae et adhuc fere incognitus. His libris summa cum diligentia collatis adiunxi tres Vindobonenses et Laurentianum alterum, qui post D proximum locum obtinet, deinde fragmenta antiquissima in papyro scripta nec non fragmenta Ambrosiana et quae ex palimpsesto Syriaco Curetonus edidit. Nec testimonia veterum scriptorum et grammaticorum Graecorum mihi praetereunda esse censui, quo factum est, ut haec Iliadis editio variis lectionibus undique congestis sit ornata.

Imprimis autem id egi, ut textum ederem, qui proxime accederet ad Aristarcheam recensionem, quae omnium iudicio praestantissima et accuratissima habetur, a qua non nisi gravissimis de causis recessi. Hanc etiam omnibus libris dissentientibus secutus sum cum multis singulis locis tum in scripturis *ᾔδη*, *ἑστήκει*, *ἕλκον*, *ἧχι*, *ἐβήσετο*, *ἔδεισεν*, aliis. Ubi de Aristarchi scriptura nihil certi est traditum, eas lectiones praetuli, quae optimorum librorum fide et auctoritate nituntur, secutus praecipue Venetum A et Laurentianum D, in quibus haec carmina incorruptissime et integerrime sunt

servata. Digammi rationem habui fere nullam, neque *ἐγὼ εἴπω B* 139, *I* 26, 704, *M* 75, *δὴ ὄπα Γ* 221 propter digammum scripsi, sed motus auctoritate librorum optimorum, conf. *E* 475, *Z* 90, ubi *ἐγὼν ἰδέειν* et *ὅς οἱ* libris invitis non mutavi.

In orthographia iisdem rationibus ductus sum, quibus in editione Odysseae, idem versus eos tantum inclusi, qui a libris vel omnibus vel melioribus absunt. Hac in re iis assentiri non possum, qui versibus quam plurimis damnatis omnes discrepantias in his carminibus amoveri posse sibi persuasum habeant. Constitui enim haec carmina integra edere, sicuti nobis per tot secula sunt tradita, non qualia fuisse ante Solonis aut Lycurgi tempora quidam sibi fingunt.

Prolegomena alteri volumini adiicientur; nunc enim mortem lugeo coniugis optimae, qui III. die mensis Decembris huius anni praematura morte obiit, qua calamitate ita sum perculsus, ut ab omni omnino negotio abhorream.

Χαῖρε φίλη κεφαλή, γλυκερὸν φάος, ἥ τέ μοι αἰεὶ
θαλπωρὴ καὶ χάρμα πελέσκεο, νῦν δὲ θανοῦσα
ἄῤῥητόν μοι πένθος ἐνὶ μεγάροισιν ἔθηκας.
χαῖρε φίλη, σέο δ' οὐκ ἐπιλήσομαι, ὄφρ' ἂν ἐγώ γε
ζωοῖσιν μετέω καί μοι φίλα γούνατ' ὀρώρῃ.

Dabam Lentiae die XV. mensis Decembris
anni MDCCCLXXII.



ΙΛΙΑΔΟϹ Α.

Μῆνιν ἄειδε θεὰ Πηληιάδεω Ἀχιλῆος,
οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε,
πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν
ἡρώων, αὐτοὺς δὲ ἑλώρια τεῦχε κύνεσσιν
οἰωνοῖσί τε πᾶσι, Διὸς δ' ἐτελείετο βουλή,
ἐξ οὗ δὴ τὰ πρῶτα διαστήτην ἐρίσαντε
Ἀτρείδης τε, ἄναξ ἀνδρῶν, καὶ δῖος Ἀχιλλεύς.
τίς τάρ σφωε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι;
Λητοῦς καὶ Διὸς υἱός. ὃ γὰρ βασιλῆι χολωθεὶς
νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν, ὀλέκοντο δὲ λαοί,

Varia lectio. 1 Πηληιάδεω: πηλειάδεω H, ει ex corr. — 2 ἔθηκε CDEGHL, Apoll. de Synt. 136, 27; 223, 11. Eustath. 256, 16; 1257, 36. Etym. Mg. 416, 3. Bachm. Anecd. II, 55, 13. ΕΘΗΚΕ Ambros.: vulgo ἔθηκεν cum AF et Apoll. Lex. 63, 14. — 3 πολλὰς: πολλῶν Matranga Anecd. 500. — 4 αὐτὸς (υ) H. δὲ ἑλώρια: δ' ἑλλώρια CHLS Townl. Laud. Barocc. Mor. (?) Bekk. Anecd. 696, 26. δ' ἑλλώρια Schol. Aristoph. Acharn. 327. δ' ἑλώρια D. δ' ἑλώρια Lips. Eustath. 936, 40. Et. Mg. 173, 3. Rhet. Graec. II, 409, 20. — 5 οἰωνοῖσι τὲ CH. — 6 ταπρῶτα GH. ταπρῶτα L. ἐρίσαντες Bekk. An. 735, 3. — 7 τὲ CDH. ἀχιλεύς C. — 8 τάρ A Apoll. de Pron. 113 B. Bekk. Anecd. 915, 27; 1145; 1153: vulgo τ' ἄρ. Ambros. Τ' ΑΡ. σφωε: σφῶε CG Plutarchus de Commun. notitiis 14. σφῶϊ Apoll. de Synt. 167, 8. συνέηκε Schol. Τ 58, Υ 134. — 9 ὃ CDE 23, 4 GHL Schol. Μ 127. Apoll. Lex. 118, 2. Pseudoplut. 121, 18. Eustath. 1325, 46.

Adnotatio critica. 3 ψυχὰς Aristarchus: κεφαλὰς Apollon. Rhodius cf. Scholl. Η 330, Λ 55. — 4, 5 ὅτι Ζηνόδοτος ἀθετεῖ Aristonicus. — 5 πᾶσι: Zenodotus δαῖτα, cf. Athen. I, 21 pg. 12; Suid. Lex. I, 1, 1190, 7; Eustath. 19, 45. βουλή: βουλῇ Nicanor cum aliis teste Eustath. 20, 12. — 6 διαστήτην: τινὲς γράφουσιν ἐνταῦθα „διὰ στήτην ἐρίσαντο" Eust. 21, 43. — 8 σφωε Aristarchus et Apollonius Dyscolus: ὅτι Ζηνόδοτος σφῶϊν ἔγραφεν Aristonicus, vide H. T. 356. cum Zenodoto faciunt Dionysius Sidonius et Seleucus, scribentes σφῶϊ (non σφῶϊν), conf. Schol. L et Apollon. de Synt. 167, 9 τὴν γὰρ τοιαύτην γραφὴν (σφῶϊ) καὶ Σέλευκος προκρίνει καὶ ἄλλοι πλεῖστοι, παρατιθέμενοι καὶ ἐκδόσεις Ὁμηρικάς.

οὕνεκα τὸν Χρύϲην ἠτίμαϲεν ἀρητῆρα
Ἀτρείδηϲ. ὃ γὰρ ἦλθε θοὰϲ ἐπὶ νῆαϲ Ἀχαιῶν
λυϲόμενόϲ τε θύγατρα φέρων τ᾽ ἀπερείϲι᾽ ἄποινα,
ϲτέμματ᾽ ἔχων ἐν χερϲὶν ἑκηβόλου Ἀπόλλωνοϲ
χρυϲέῳ ἀνὰ ϲκήπτρῳ, καὶ λίϲϲετο πάνταϲ Ἀχαιούϲ,
Ἀτρείδα δὲ μάλιϲτα δύω, κοϲμήτορε λαῶν·
Ἀτρεῖδαί τε καὶ ἄλλοι ἐυκνήμιδεϲ Ἀχαιοί,
ὑμῖν μὲν θεοὶ δοῖεν Ὀλύμπια δώματ᾽ ἔχοντεϲ
ἐκπέρϲαι Πριάμοιο πόλιν, εὖ δ᾽ οἴκαδ᾽ ἱκέϲθαι·
παῖδα δ᾽ ἐμοὶ λύϲαιτε φίλην τά τ᾽ ἄποινα δέχεϲθαι
ἁζόμενοι Διὸϲ υἱὸν ἑκηβόλον Ἀπόλλωνα.
ἔνθ᾽ ἄλλοι μὲν πάντεϲ ἐπευφήμηϲαν Ἀχαιοὶ
αἰδεῖϲθαί θ᾽ ἱερῆα καὶ ἀγλαὰ δέχθαι ἄποινα·
ἀλλ᾽ οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ,
ἀλλὰ κακῶϲ ἀφίει, κρατερὸν δ᾽ ἐπὶ μῦθον ἔτελλε·
μή ϲε γέρον κοίλῃϲιν ἐγὼ παρὰ νηυϲὶ κιχείω
ἢ νῦν δηθύνοντ᾽ ἢ ὕϲτερον αὖτιϲ ἰόντα,
μή νύ τοι οὐ χραίϲμῃ ϲκῆπτρον καὶ ϲτέμμα θεοῖο.

V. ι. 11 ἠτίμαϲεν A Lips. a man. sec. Vrat. a. Apollon. de Synt. 66, 26; de Coni. 505, 13. Schol. Ω 315. Cram. An. Par. III, 117, 24. Hesychius II, 294. ΗΤΙΜΑϹΕΝ Ambros. 1. man. ἠτίμαϲε Pseudoplut. 174, 36. ἠτίμωϲεν Bekk. Anecd. 934, 18. ἠτίμαϲ᾽ L Schol. Α 340, Μ 127. ἠτίμηϲεν DE 24, 11 Ambros. 2. man.: v. ἠτίμηϲ᾽. — 12 ὃ ACDE 70, 12 HL Et. Mg. 614, 8. — 13 φέροντ᾽ A. — 15 λίϲϲετο A: ceteri ἐλίϲϲετο. — 16 μάλιϲτα, δύω L. — 17 ἀτρεῖδαι τὲ L. εὐκνήμϊδεϲ CGHL. — 20 δ᾽ ἐμοὶ ACDL Lips. Mosc. 1. Apollon. de Synt. 14, 25; 121, 17. δ᾽ ἔμοι H: δέ μοι E 24, 29; 28, 2; 4. GS Hesych. III, 253. Bachm. Anecd. II, 67, 32. λύϲαιτε AGHS Cant. Lips. 1. man. Apollon. de Synt. 14, 25: λῦϲαί τε Eust. 28, 4. Vrat. A. Mor. Cant. Bachm. Anecd. II, 67, 32. λύϲατε CDE 24, 29; 28, 2 L Vrat. c. Townl. Apoll. de Synt. 121, 17. δέχεϲθαι AD Vrat. c. Townl. Apollon. de Synt. 78, 21; de Pron. 101 C. δέχεϲθαι (ε supra) H: δέχεϲθε CE 28, 2 GLS Lips. man. sec. — 22 ἐπευφήμιϲαν L. — 25 ἐπὶ: ἐπι CDL. ἔτελλε ACGHL: v. ἔτελλεν. — 27 δηθύνοντα CDS Mor. Vrat. a. αὖτιϲ: αὖθιϲ CH Barocc. Bachm. Anecd. II, 193, 12. — 28 μὴ νύ τοι AGHL.

A. c. 12—15 ἀϲτερίϲκοι· οὐ καλῶϲ γὰρ ἐν τοῖϲ ἑξῆϲ (371 sqq.) μετετέθηϲαν Aristonicus. — 14 ϲτέμματ᾽ Aristarchus: alii fortasse ϲτέμμά τ᾽. — 15 λίϲϲετο Aristarchus, conf. 374. ὅτι τὸ ἐλίϲϲετο ἐβιάϲαντό τινεϲ δαϲῦναι Eustath. 26, 1. — 16 Ἀτρείδα: >⁚— ὅτι τινὲϲ ἀτρείδαϲ Aristonicus, unde Zenodotum ἀτρείδαϲ scripsisse conieci H. T. 60. — 20 ἐμοὶ ὀρθοτονεῖται Schol. BL. τὸ δὲ δέχεϲθαι ἀντὶ προϲτακτικοῦ ἀπαρέμφατον Schol. BL, ita Apio et Herodorus teste Eust. 28, 2. — 22—25 asteriscis notandi erant, cf. 376—79, quibus in cod. A obeli et asterisci adpicti sunt. — 24 Zenodotus Ἀτρείδεω Ἀγαμέμνονοϲ.

τὴν δ᾽ ἐγὼ οὐ λύϲω· πρίν μιν καὶ γῆραϲ ἔπειϲιν
ἡμετέρῳ ἐνὶ οἴκῳ ἐν Ἄργεϊ, τηλόθι πάτρηϲ,
ἱϲτὸν ἐποιχομένην καὶ ἐμὸν λέχοϲ ἀντιόωϲαν.
ἀλλ᾽ ἴθι, μή μ᾽ ἐρέθιζε, ϲαώτεροϲ ὥϲ κε νέηαι.
ὣϲ ἔφατ᾽, ἔδειϲεν δ᾽ ὁ γέρων καὶ ἐπείθετο μύθῳ.
βῆ δ᾽ ἀκέων παρὰ θῖνα πολυφλοίϲβοιο θαλάϲϲηϲ,
πολλὰ δ᾽ ἔπειτ᾽ ἀπάνευθε κιὼν ἠρᾶθ᾽ ὁ γεραιὸϲ
Ἀπόλλωνι ἄνακτι, τὸν ἠύκομοϲ τέκε Λητώ·
κλῦθί μευ ἀργυρότοξ᾽, ὃϲ Χρύϲην ἀμφιβέβηκαϲ
Κίλλαν τε ζαθέην Τενέδοιό τε ἶφι ἀνάϲϲειϲ,
Ϲμινθεῦ, εἴ ποτέ τοι χαρίεντ᾽ ἐπὶ νηὸν ἔρεψα,
ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί᾽ ἔκηα
ταύρων ἠδ᾽ αἰγῶν, τὸ δέ μοι κρήηνον ἐέλδωρ·
τίϲειαν Δαναοὶ ἐμὰ δάκρυα ϲοῖϲι βέλεϲϲιν.
ὣϲ ἔφατ᾽ εὐχόμενοϲ, τοῦ δ᾽ ἔκλυε Φοῖβοϲ Ἀπόλλων.
βῆ δὲ κατ᾽ Οὐλύμποιο καρήνων χωόμενοϲ κῆρ,
τόξ᾽ ὤμοιϲιν ἔχων ἀμφηρεφέα τε φαρέτρην.
ἔκλαγξαν δ᾽ ἄρ᾽ ὀιϲτοὶ ἐπ᾽ ὤμων χωομένοιο,
αὐτοῦ κινηθέντοϲ· ὃ δ᾽ ἤιε νυκτὶ ἐοικώϲ.
ἕζετ᾽ ἔπειτ᾽ ἀπάνευθε νεῶν, μετὰ δ᾽ ἰὸν ἕηκε·
δεινὴ δὲ κλαγγὴ γένετ᾽ ἀργυρέοιο βιοῖο.
οὐρῆαϲ μὲν πρῶτον ἐπῴχετο καὶ κύναϲ ἀργούϲ,
αὐτὰρ ἔπειτ᾽ αὐτοῖϲι βέλοϲ ἐχεπευκὲϲ ἐφιεὶϲ
βάλλ᾽· αἰεὶ δὲ πυραὶ νεκύων καίοντο θαμειαί.

V. ι. 29 τήνδ᾽ GL. — 33 ὥϲ φάτο L. ἔδειϲεν: libri ἔδδειϲεν. ἔδδειϲε E 31, 30 FH Bekk. Anecd. 835, 1. — 38 Κίλλαν: πολλὰ δὲ τῶν ἀντιγράφων τὸ Κίλλαϲ Κίλλοϲ γράφουϲιν Eust. 33, 43. — 39 εἴ ποτέ: ὥϲ ποτέ Schol. Θ 203. ἔρεψα H et in marg. ξα. — 40 omitt. D in textu. καταπίονα ACGL. ἔκηα Max. Tyrius Diss. XXVIII, 6. — 41 omitt. H in textu. τὸ δέ: τόδε DE 36, 33 G. τόδέ C. κρῄηνον L. — 45 ἀμφηρεφέα: ἀμφιρεφέα DL Vrat. a. Mosc. 3. — 46 ἔκλαξαν Lips. 1. man. ἄρ᾽: ἂρ ADGHL Heraclides Alleg. C. 12. — 47 ὃ δ᾽ AGL. ὅδ᾽ CH: v. ὁ δ᾽. ἤιε G. — 48 μετα CG ἕηκε CL. έηκε A. ἔηκε DH: v. ἕηκεν. — 51 βέλοϲ γ᾽ S. ἐφιεὶϲ: ἀφιεὶϲ S Mosc. 3. — 52 βάλ᾽ D.

A. c. 29—31 ἀθετοῦνται Aristonicus. — 33 ἔδειϲεν Aristarchus. — 34 ἀκέων: ὅτι Ζηνόδοτοϲ διὰ τοῦ χ (ἀχέων) Aristonicus. — 41 τὸ δέ: ἀρίϲταρχοϲ δύο μέρη λόγου τὸ τὸ δέ μοι, ἡρωδιανὸϲ ἕν Schol. A. Ptolemaeus Ascalon. τόδε, conf. H. T. 362. — 42 τίϲειαν: τίϲαιεν Zenodotus, cf. Düntzer. de Zenod. p. 64. — 46, 47 Ζηνόδοτοϲ ἠθέτηκεν οὐ καλῶϲ Schol. A. — 47 Zenodotus νυκτὶ ἐλυϲθεὶϲ Aristonicus ad Μ 463. — 49 βιοῖο: Ἀριϲτάρχου ὁ τόνοϲ παρὰ τὴν βίαν, conf. H. T. 217. — 52 θαμειαί Aristarchus: Pamphilus θαμεῖαι, v. H. T. 279.

ἐννῆμαρ μὲν ἀνὰ στρατὸν ᾤχετο κῆλα θεοῖο,
τῇ δεκάτῃ δ᾽ ἀγορὴν δὲ καλέσσατο λαὸν Ἀχιλλεύς·
τῷ γὰρ ἐπὶ φρεσὶ θῆκε θεὰ λευκώλενος Ἥρη·
κήδετο γὰρ Δαναῶν, ὅτι ῥα θνήσκοντας ὁρᾶτο.
οἳ δ᾽ ἐπεὶ οὖν ἤγερθεν ὁμηγερέες τε γένοντο,
τοῖσι δ᾽ ἀνιστάμενος μετέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἀτρείδη, νῦν ἄμμε πάλιν πλαγχθέντας ὀίω
ἂψ ἀπονοστήσειν, εἴ κεν θάνατόν γε φύγοιμεν,
εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς.
ἀλλ᾽ ἄγε δή τινα μάντιν ἐρείομεν ἢ ἱερῆα
ἢ καὶ ὀνειροπόλον, καὶ γάρ τ᾽ ὄναρ ἐκ Διός ἐστιν,
ὅς κ᾽ εἴποι ὅτι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων,
εἴ τ᾽ ἄρ᾽ ὅ γ᾽ εὐχωλῆς ἐπιμέμφεται εἴ θ᾽ ἑκατόμβης,
αἴ κέν πως ἀρνῶν κνίσης αἰγῶν τε τελείων
βούλεται ἀντιάσας ἡμῖν ἀπὸ λοιγὸν ἀμῦναι.
ἤ τοι ὅ γ᾽ ὣς εἰπὼν κατ᾽ ἄρ᾽ ἕζετο, τοῖσι δ᾽ ἀνέστη
Κάλχας Θεστορίδης, οἰωνοπόλων ὄχ᾽ ἄριστος,
ὃς ᾔδη τά τ᾽ ἐόντα τά τ᾽ ἐσσόμενα πρό τ᾽ ἐόντα,
καὶ νήεσσ᾽ ἡγήσατ᾽ Ἀχαιῶν Ἴλιον εἴσω
ἣν διὰ μαντοσύνην, τήν οἱ πόρε Φοῖβος Ἀπόλλων·

V. L. 54 ἀγορὴν δὲ A: v. ἀγορήνδε. ἀγορήνδ᾽ ἐκαλέσσατο S Vrat. b. δ᾽ ἐκαλέσατο Cram. An. Par. III, 374, 35. ἀχιλεύς C 1. man. — 55 ἐπὶ: ἐν (i. e. ἐνὶ) Eust. 45, 20 et 30. — 56 ὅτι ῥὰ CDE 45, 43 GHL Eustath. 1854, 57. θνήισκοντας A: ceteri θνήσκοντας. — 57 οἵδ᾽ CGHL, ceteri οἱ δ᾽. ὁμηγυρέες S Laud. Vrat. a. Mosc. 1. τε γένοντο H Vrat. a. b. Schol Θ 2: vulgo τ᾽ ἐγένοντο. — 58 ἀχιλεύς C. — 59 * πάλιν πλαγχθέντας: v. παλιμπλαγχθέντας. παλιμπλαχθέντας CGHL Apollon. Lex. 24, 26. παλϊπλαχθέντας D. παλιμπλαχθέντα S. — 60 αἴ κεν C. — 61 ἐπειδὴ πόλεμός τε δαμᾷ Eust. 46, 34. — 63 γὰρ τὸ ὄναρ L. — 64 ὅς εἴποι E. ὅς κ᾽ εἴπη L. εἴπη[οι] H. — 65 εἴ ταρ A Schol. A 93. Bekk. Anecd. 1147: ceteri εἴτ᾽ ἄρ᾽. εἴτ᾽ ἆρ DGH. εἴ θ᾽: ἠδ᾽ A. ἠδ᾽ CDGHLS. — 66 κνίσης AD: κνίσσης CGHL. — 67 ἀπο CDL. ἄπο Apoll. Lex. 34, 15. — 68 ἤ τοι: libri ἤτοι. ἄρ᾽: ἆρ AGL. καταρέζετο DH 1. man. L. — 70 ΗΙΔΗ Ambros. ἤδη G. ᾔδει L Mor. Vrat. b. Mosc. 1. man. sec. τάτε ὄντα L Etym. Gud. 236, 36.

A. c. 54 Zenodotum ἀγορὴν ἐκαλέσσατο scripsisse coniecit Düntzer. de Zenod. p. 72. — 56 θνήσκοντας, vid. H. T. 282. ὁρᾶτο: ὅτι Ζηνόδοτος ὁρῆτο γρ. Aristonicus, v. H. T. 302. — 59 παλιμπλαγχθέντας Aristarchus, v. H. T. 313. — 60 εἴ κεν: Zenodotus οἵ κεν. — 63 Ζηνόδοτος ἠθέτηκεν Aristonicus. — 65 εἴ ταρ Herodianus, cf. H. T. 359. — 66 κνίσης Aristarchus: alii κνίσης. — 68 Zenodotus ἐκαθέζετο, cf. Scholl. A 611, γ 402, ζ 1. — 69 Κάλχας: μάντις Zenodotus.

ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέειπεν·
ὦ Ἀχιλεῦ, κέλεαί με, διίφιλε, μυθήσασθαι
μῆνιν Ἀπόλλωνος, ἑκατηβελέταο ἄνακτος.
τοιγὰρ ἐγὼν ἐρέω· σὺ δὲ σύνθεο καί μοι ὄμοσσον
ἦ μέν μοι πρόφρων ἔπεσιν καὶ χερσὶν ἀρήξειν.
ἦ γὰρ ὀίομαι ἄνδρα χολωσέμεν, ὃς μέγα πάντων
Ἀργείων κρατέει καί οἱ πείθονται Ἀχαιοί.
κρείσσων γὰρ βασιλεύς, ὅτε χώσεται ἀνδρὶ χέρηι·
εἴ περ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ,
ἀλλά τε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ,
ἐν στήθεσσιν ἑοῖσι. σὺ δὲ φράσαι, εἴ με σαώσεις.
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
θαρσήσας μάλα εἰπὲ θεοπρόπιον ὅτι οἶσθα.
οὐ μὰ γὰρ Ἀπόλλωνα διίφιλον, ᾧ τε σὺ Κάλχαν
εὐχόμενος Δαναοῖσι θεοπροπίας ἀναφαίνεις,
οὔ τις ἐμεῦ ζῶντος καὶ ἐπὶ χθονὶ δερκομένοιο
σοὶ κοίλῃς παρὰ νηυσὶ βαρείας χεῖρας ἐποίσει
συμπάντων Δαναῶν, οὐδ᾽ ἢν Ἀγαμέμνονα εἴπῃς,
ὃς νῦν πολλὸν ἄριστος Ἀχαιῶν εὔχεται εἶναι.
καὶ τότε δὴ θάρσησε καὶ ηὔδα μάντις ἀμύμων·
οὔτ᾽ ἄρ᾽ ὅ γ᾽ εὐχωλῆς ἐπιμέμφεται οὔθ᾽ ἑκατόμβης,

V. L. 73 ὁ σφιν AD 1. man. G Vat. Harl. Lips. Eton. Mosc. 1. 3. a man. rec. ὅ, σφιν C: ὅς σφιν D 2. man. HL. ΟϹϹΦΙΝ Ambros. *ἐὺ φρονέων: εὖ φρονέων DHLS, ceteri ἐΰφρονέων. — 74 διὶ φίλε CDGHLS Et. Gud. 270, 40. Cram. Epim. 215, 17. — 76 τοὶ γὰρ ACL. — 77 ἤ: ἢ C Schol. N 153, ο 31. εἰ G. ἔπεσι GH. ἔπεσσϊ C. — 80 χέρηι C E 55, 1 et 24; 200, 42. — 81 καταπέψη[οι] C. καταπέμψη[οι] S. καταπέψοι Vat. Laud. — 82. ἀλλά τε: ἀλλά γε CE 52, 39 GHL Aristot. Rhet. II, 2. Et. Mg. 406, 28. Diog. Laert. VII, 1, 63. ἀλλ᾽ ἄγε S. — 83 σαώσῃς D 1. man. — 84 ἀχιλεύς C. — 85 θαρσήσας, μάλα L. ὅ, τι L. — 86 διὶ φίλον ACD E bis GHLS. Κάλχαν: κάλχα D. — 88 ζώοντος D. — 89 κοίλῃς: κοίλαις E bis G. ἐποίσει: ἐφήσει Vrat. a. Bachm. Anecd. II, 59, 12. — 90 σὺν πάντων D. — 91 Ἀχαιῶν: ἐνὶ στρατῷ ACDEGHL. — 93 ἄρ᾽: ἆρ ADGHL Apoll. Lex. 79, 31. οὔθ᾽: οὐδ᾽ ACDHLS.

A. c. 73 ὅ σφιν Aristarchus, cf. H. T. 326. ὅς μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα Zenodotus. — 80 κρείσσων: κρείσσω Zenodotus. Ζηνόδοτος ἀθετεῖ τὸν στίχον, κακῶς Schol. BL. — 83 φράσαι: φράσον Zenodotus, vid. Apollon. Lex. 165, 8. — 85 Aristarchus οἶσθα: οἶσθας Zenodotus? cf. Eust. 1773, 27, H. T. 320. — 86 Κάλχαν: Zenodotus Κάλχα, cf. Schol. N 68, 222. — 91 Ἀχαιῶν editiones Aristarchi, Zenodoti, Aristophanis, Sosigenis. — 93 οὔ ταρ Herodianus: οὔ τ᾽ ἄρ᾽ Ptol. Ascalonita, cf. Cram. Epim. 415, 21, H. T. 360.

ἀλλ᾽ ἕνεκ᾽ ἀρητῆρος, ὃν ἠτίμης᾽ Ἀγαμέμνων,
οὐδ᾽ ἀπέλυςε θύγατρα καὶ οὐκ ἀπεδέξατ᾽ ἄποινα·
τοὔνεκ᾽ ἄρ᾽ ἄλγε᾽ ἔδωκεν ἑκηβόλος ἠδ᾽ ἔτι δώςει.
οὐδ᾽ ὅ γε πρὶν Δαναοῖςιν ἀεικέα λοιγὸν ἀπώςει,
πρίν γ᾽ ἀπὸ πατρὶ φίλῳ δόμεναι ἑλικώπιδα κούρην
ἀπριάτην ἀνάποινον, ἄγειν θ᾽ ἱερὴν ἑκατόμβην
ἐς Χρύςην· τότε κέν μιν ἱλαςςάμενοι πεπίθοιμεν.
ἦ τοι ὅ γ᾽ ὣς εἰπὼν κατ᾽ ἄρ᾽ ἕζετο, τοῖςι δ᾽ ἀνέςτη
ἥρως Ἀτρείδης εὐρὺ κρείων Ἀγαμέμνων
ἀχνύμενος· μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι
πίμπλαντ᾽, ὄςςε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην.
Κάλχαντα πρώτιςτα κάκ᾽ ὀςςόμενος προςέειπε·
μάντι κακῶν, οὐ πώ ποτέ μοι τὸ κρήγυον εἶπας.
αἰεί τοι τὰ κάκ᾽ ἐςτὶ φίλα φρεςὶ μαντεύεςθαι,
ἐςθλὸν δ᾽ οὔτέ τί πω εἶπας ἔπος οὔτε τέλεςςας,
καὶ νῦν ἐν Δαναοῖςι θεοπροπέων ἀγορεύεις,
ὡς δὴ τοῦδ᾽ ἕνεκά ςφιν ἑκηβόλος ἄλγεα τεύχει,
οὕνεκ᾽ ἐγὼ κούρης Χρυςηίδος ἀγλά᾽ ἄποινα
οὐκ ἔθελον δέξαςθαι, ἐπεὶ πολὺ βούλομαι αὐτὴν
οἴκοι ἔχειν. καὶ γάρ ῥα Κλυταιμνήςτρης προβέβουλα,

V. ι. 94 ἠτίμας᾽ LS. — 96 τούνεκα ἄλγε᾽ G. ἄρ᾽: ἂρ DH. ἑκατηβόλος S. — 97 Δαναοῖςιν ἀεικέα λοιγὸν ἀπώςει: λοιμοῖο βαρείας χεῖρας ἀφέξει ACDEGHLS. — 98 ἄπο CDL. ἐλικώπιδα D. — 101 ἦ τοι: libri ἤτοι. ἂρ GL. κατὰρ A. καταρέζετο CDH 1. man. — 102 εὐρὺ κρείων A: ceteri εὐρυκρείων, utrumque Eust. 57, 25. — 105 κακοςςόμενος EG. τὸ κακοςςόμενος καὶ ἐν δυςὶ λέξεςιν εὑρίςκεται „κάκ᾽ ὀςςόμενος“ ἐν ἀντιγράφοις δηλοῦται παλαιοῖς Eust. 59, 36. προςέειπε ACGHL: v. προςέειπεν. — 106 οὐ πώ ποτέ: οὐ πώποτε A. οὐ πώ ποτέ EGL. οὐ πῶ ποτέ H. εἶπας E 60, 27. Zonar. Lex. 1256: εἶπες A Cant. Vrat. c. A. Lips. Bekk. An. 763, 19. ἔειπας DE 60, 31 GHLS. ἔειπες C. — 107 ἔςτι G. — 108 οὔτέ τί: οὔτέ τι GH. οὔτε τι CE 60, 11; 147, 19 LS Laud. Vrat. a. Mosc. 1. Townl. οὐδέ τι AD. οὔτ᾽ ἔτι Barocc. εἶπας: εἶπες DH 1. man. Townl. *οὔτε τέλεςςας: v. οὔτ᾽ ἐτέλεςςας. ACDGHLS οὐδ᾽ ἐτέλεςςας. — 113 γὰρ ῥὰ DGHL.

A. c. 95 ἀθετεῖται Aristonicus. — 97 Δαναοῖςιν ἀεικέα λοιγὸν ἀπώςει editiones Aristarchi, Rhiani, Massiliensis: λοιμοῖο βαρείας χεῖρας ἀφέξει Zenodoto tribuit Didymus. — 100 τότε: αἴ Zenodotus. — 102 εὐρὺ κρείων: εὐρυκρείων, cf. H. T. 314. — 103, 104 ἀςτερίςκος παράκειται, ὅτι ἀμφότεροι εἰς τὴν Ὀδύςςειαν (δ 661, 662) μετάκειντει οὐκ ὀρθῶς Aristonicus, cf. Schol. δ 661. — 106 οὐ πώποτέ Aristarchus, H. T. 348. εἶπας Aristarchus. — 108 οὐδέ . . . οὐδ᾽ Aristarchus et Aristophanes: ceteri οὔτέ . . . οὔτ᾽. — 110 ἀθετεῖται Aristonicus.

κουριδίης ἀλόχου, ἐπεὶ οὔ ἑθέν ἐςτι χερείων,
οὐ δέμας οὐδὲ φυήν, οὔτ᾽ ἄρ φρένας οὔτέ τι ἔργα.
ἀλλὰ καὶ ὣς ἐθέλω δόμεναι πάλιν, εἰ τό γ᾽ ἄμεινον·
βούλομ᾽ ἐγὼ λαὸν ςῶν ἔμμεναι ἢ ἀπολέςθαι·
αὐτὰρ ἐμοὶ γέρας αὐτίχ᾽ ἑτοιμάςατ᾽, ὄφρα μὴ οἶος
Ἀργείων ἀγέραςτος ἔω, ἐπεὶ οὐδὲ ἔοικε.
λεύςςετε γὰρ τό γε πάντες, ὅ μοι γέρας ἔρχεται ἄλλῃ.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα ποδάρκης δῖος Ἀχιλλεύς·
Ἀτρείδη κύδιςτε, φιλοκτεανώτατε πάντων,
πῶς γάρ τοι δώςουςι γέρας μεγάθυμοι Ἀχαιοί;
οὐδέ τί που ἴδμεν ξυνήια κείμενα πολλά·
ἀλλὰ τὰ μὲν πολίων ἐξεπράθομεν, τὰ δέδαςται,
λαοὺς δ᾽ οὐκ ἐπέοικε παλίλλογα ταῦτ᾽ ἐπαγείρειν.
ἀλλὰ ςὺ μὲν νῦν τῆνδε θεῷ πρόες· αὐτὰρ Ἀχαιοὶ
τριπλῇ τετραπλῇ τ᾽ ἀποτίςομεν, αἴ κέ ποθι Ζεὺς
δῷςι πόλιν Τροίην εὐτείχεον ἐξαλαπάξαι.
τὸν δ᾽ ἀπαμειβόμενος προςέφη κρείων Ἀγαμέμνων·
μὴ δὴ οὕτως, ἀγαθός περ ἐών, θεοείκελ᾽ Ἀχιλλεῦ,

V. ι. 114 οὔ ἑθέν ἐςτι A Apollon. de Pron. 198 A. Bekk. Anecd. 1146. Et. Mg. 498, 21. Schol. Γ 128: οὗ ἕθεν ἐςτὶ GHL Et. Mg. 638, 6. οὐ ἕθεν ἐςτὶ CE 61, 29. οὐ ἕθεν ἐςτὶ D. τὸ οὐ ἕθεν ἐςτὶ χερείων τὰ τῶν ἀντιγράφων ἀκριβέςτερα οὔ ἑθεν προπαροξυτόνως ἔχουςιν Eust. 61, 30. — 115 οὔτ᾽ ἄρ: οὔτε E 61, 32. οὔτέ CL. οὐτέ A. — 116 ὥς A Apoll. Lex. 170, 17. Cram. Epim. 449, 17. Io. Alexandr. 31, 33: vulgo ὥς. εἰ τόγ᾽ ἄριςτον L. — 117 ςῶν: ςόον ACEGHLS Schol. A 528. Io. Alex. 41, 12. Thomas Mag. s. v. βούλομαι. Bekk. An. 696, 21; 963, 32. Cram. Epim. 189, 24; 193, 24; 393, 19. An. Par. III, 126, 14. Eustath. 1110, 17. Et. Mg. 415, 33; 56. Et. Gud. 673, 20. ςάον Apoll. de Coni. 489, 16. ςῶον D Cram. An. Par. 302, 26; 315, 32. — 119 ἔοικε ACEG: v. ἔοικεν. — 120 λεύςςετε: λεύςετε CD Apoll. Lex. 118, 5. λεύςατε G. τό γε: τότε Vrat. a. ἄλλη ACE Apoll. Lex. 118, 5: ἄλλῃ DGHL. — 123 πῶς τάρ τοι A. πῶς ἄν ςοι E 63, 37. — 124 οὐδέ τι πω CDGHLS. οὐδέ τι π$\overset{\text{ου}}{\text{ω}}$ A. — 127 τῆνδε A: ceteri τήνδε. — 129 δῷςι: δῶςι EGH Schol. Π 57. Apoll. Lex. 155, 12. Plutarchus de Aud. poët. 10. δώςει D. Τροίην: τροΐην ACDEG. τρωΐην Apoll. Lex. 155, 12. ἐυτείχεον L. — 131 *μὴ δή: libri μὴ δ᾽. ἀχιλεῦ C.

A. c. 114 Herodianus cum Aristarcho οὔ ἑθέν. — 116 ὥς Tyrannio cum Aristarcho, cf. H. T. 380. — 117 Ζηνόδοτος ἠθέτηκεν Aristonicus. Aristarchus ςῶν, non ςόον. — 120 λεύςςετε: λεύςετε, cf. H. T. 305. — 122 φιλοκτεανέςτατε Aristophanes teste Seleuco apud Eustath. 1441, 18. — 124 που Aristarchus, Aristophanes, Sosigenes. — 126 ταῦτ᾽: Tyrannio ταὔτ᾽, ἵν᾽ ᾖ τὰ αὐτά. — 129 Τροίην Zenodotus: Aristarchus Τροΐην. — 131 μὴ δὴ conf. H. U. 281.

κλέπτε νόῳ, ἐπεὶ οὐ παρελεύσεαι οὐδέ με πείσεις.
ἦ ἐθέλεις, ὄφρ᾽ αὐτὸς ἔχῃς γέρας, αὐτὰρ ἔμ᾽ αὔτως
ἧσθαι δευόμενον, κέλεαι δέ με τῆνδ᾽ ἀποδοῦναι;
ἀλλ᾽ εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοὶ
ἄρσαντες κατὰ θυμόν, ὅπως ἀντάξιον ἔσται·
εἰ δέ κε μὴ δώωσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι
ἢ τεὸν ἢ Αἴαντος ἰὼν γέρας, ἢ Ὀδυσῆος
ἄξω ἑλών· ὃ δέ κεν κεχολώσεται, ὅν κεν ἵκωμαι.
ἀλλ᾽ ἤ τοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖτις,
νῦν δ᾽ ἄγε νῆα μέλαιναν ἐρύσσομεν εἰς ἅλα δῖαν,
ἐς δ᾽ ἐρέτας ἐπιτηδὲς ἀγείρομεν, ἐς δ᾽ ἑκατόμβην
θείομεν, ἂν δ᾽ αὐτὴν Χρυσηίδα καλλιπάρηον
βήσομεν· εἷς δέ τις ἀρχὸς ἀνὴρ βουληφόρος ἔστω,
ἢ Αἴας ἢ Ἰδομενεὺς ἢ δῖος Ὀδυσσεὺς
ἠὲ σὺ Πηλείδη, πάντων ἐκπαγλότατ᾽ ἀνδρῶν,
ὄφρ᾽ ἥμιν ἑκάεργον ἱλάσσεαι ἱερὰ ῥέξας.
τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
ὤ μοι ἀναιδείην ἐπιειμένε, κερδαλεόφρον,
πῶς τίς τοι πρόφρων ἔπεσιν πείθηται Ἀχαιῶν
ἢ ὁδὸν ἐλθέμεναι ἢ ἀνδράσιν ἶφι μάχεσθαι;
οὐ γὰρ ἐγὼ Τρώων ἕνεκ᾽ ἤλυθον αἰχμητάων
δεῦρο μαχησόμενος, ἐπεὶ οὔ τί μοι αἴτιοί εἰσιν.
οὐ γάρ πώ ποτ᾽ ἐμὰς βοῦς ἤλασαν, οὐδὲ μὲν ἵππους,

V. ι. 133 ἔχεις C. ἔχῃ Philemo gramm. 228, 10. αὔτως ACDL: αὔ-τως G Philemo 228, 10. Zonar. Lex. 478. — 134 τῆνδ᾽ A: ceteri τήνδ᾽. — 136 ἄρσαντες A Bekk. Anecd. 1230: vulgo ἄρσαντες. — 137 δώωσιν: δώσουσιν E 66, 26 G. — 138 ὀδυσσῆος DGH 1. man. — 139 ὃ L. ὅδέ CD. — 140 μεταφρασόμεθα D. αὖθις CD. — 141 ἐρύσομεν D. — 142 ἐς δ᾽ libri: ἐν δ᾽ Rhet. Gr. II, 437, 6. εἰς δ᾽ Vrat. b. ἐπίτηδες S. — 143 ἂν CD. αὐτὴν: αὐτῇ L. — 146 ἢ σὺ L. — 147 ἥμιν A Et. Mg. 432, 35. Cram. Epim. 188, 5. cf. Et. Gud. 243, 33: vulgo ἡμῖν. — 148 ἂρ DGL. ἀχιλεύς C. — 149 ᾤμοι ACG. — 150 ἔπεσι H Rhet. Gr. III, 124, 5. πείθοιτο S. — 151 ἐλθέμεναί τ᾽ S. — 152 τρῴων CGL. — 153 οὔ τί μοι ADE 70, 16 et 18: v. οὔτι μοι. — 154 γάρ πώ ποτ᾽: libri γὰρ πώποτ᾽. H γὰρ πῶ ποτ᾽. οὐδέμεν CL.

A. c. 133 αὔτως conf. H. T. 210 et Γ 220, Ψ 268, ξ 151. — 133, 134 ἀθετοῦνται Aristonicus. — 136 ἄρσαντες Aristarchus: Herodianus ἄρσαντες, cf. H. T. 204. — 139 ἀθετεῖται Aristonicus, cf. Bekk. Anecd. 736. Villois. Anecd. II, 173. Eustath. 67, 28. — 142 διὰ τοῦ ν ἀρίσταρχος ἐν δ᾽ ἐρέτας Didymus. — 143 Ζηνόδοτος ἠθέτηκεν Aristonicus. — 147 ἥμιν: οὕτως ὀξυτόνως τὴν ἄρχουσαν τοῦ ἥμιν Herodianus. — 154 οὕτως ὑφ᾽ ἓν πώποτε Ἀρίσταρχος Herodianus.

οὐδέ ποτ᾽ ἐν Φθίῃ ἐριβώλακι βωτιανείρῃ
καρπὸν ἐδηλήσαντ᾽, ἐπεὶ ἦ μάλα πολλὰ μεταξὺ
οὔρεά τε σκιόεντα θάλασσά τε ἠχήεσσα·
ἀλλὰ σοί, ὦ μέγ᾽ ἀναιδές, ἅμ᾽ ἑσπόμεθ᾽, ὄφρα σὺ χαίρῃς,
τιμὴν ἀρνύμενοι Μενελάῳ σοί τε κυνῶπα
πρὸς Τρώων· τῶν οὔ τι μετατρέπῃ οὐδ᾽ ἀλεγίζεις·
καὶ δή μοι γέρας αὐτὸς ἀφαιρήσεσθαι ἀπειλεῖς,
ᾧ ἔπι πολλὰ μόγησα, δόσαν δέ μοι υἷες Ἀχαιῶν.
οὐ μὲν σοί ποτε ἶσον ἔχω γέρας, ὁππότ᾽ Ἀχαιοὶ
Τρώων ἐκπέρσωσ᾽ εὖ ναιόμενον πτολίεθρον·
ἀλλὰ τὸ μὲν πλεῖον πολυάικος πολέμοιο
χεῖρες ἐμαὶ διέπουσ᾽· ἀτὰρ ἤν ποτε δασμὸς ἵκηται,
σοὶ τὸ γέρας πολὺ μεῖζον, ἐγὼ δ᾽ ὀλίγον τε φίλον τε
ἔρχομ᾽ ἔχων ἐπὶ νῆας, ἐπεί κε κάμω πολεμίζων.
νῦν δ᾽ εἶμι Φθίην δ᾽, ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστιν
οἴκαδ᾽ ἴμεν σὺν νηυσὶ κορωνίσιν, οὐδέ σ᾽ ὀίω
ἐνθάδ᾽ ἄτιμος ἐὼν ἄφενος καὶ πλοῦτον ἀφύξειν.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
φεῦγε μάλ᾽, εἴ τοι θυμὸς ἐπέσσυται, οὐδέ σ᾽ ἐγώ γε
λίσσομαι εἵνεκ᾽ ἐμεῖο μένειν· πάρ᾽ ἐμοί γε καὶ ἄλλοι,

V. ι. 156 ἐπεὶ ἢ CGS Io. Alexandr. 42, 19. ἐπειὴ AH 2. man.: vulgo ἐπειή. — 158 ἀλλὰ σὺ A. ἑσπόμεθ᾽ D. — 160 τρῴων CGL. ἀλεγίζῃς Vrat. a. — 162 ἐπι D: ceteri ἔπι. πολλὰ μόγησα: libri πόλλ᾽ ἐμόγησα. — 163 οὐ γὰρ σοὶ Plut. de Aud. poët. 10. μέν σοι GHL. — 164 τρῴων CGL. εὖ ναιόμενον ACDGHLS Vrat. a. Mosc. 1. Plut. de Aud. poët. 10: alii εὐναιόμενον. — 165 πολέμου D. — 168 ἐπεί κε κάμω: ἐπεὶ κεκάμω Et. Gud. 311, 49. ἐπεικεκάμω Bekk. Anecd. 1158. ἐπὴν κεκάμω ACDE 73, 10 GHLS Et. Mg. 499, 7. — 169 Φθίηνδε ἐπεὶ Draco de Metr. 96, 24. ἐπεὶ ἢ CGS Schol. A 219. Apoll. Lex. 81, 28. Et. Mg. 414, 54; 415, 7. ἐπειὴ AE 73, 16; 118, 33 H 2. man.: ἐπειὴ DH 1. man. L Plato Hipp. min. 370 C. φέρτερον: λώιον Plato Hipp. min. 370 C. — 171 ἄφενον Barocc. Mor. Mosc. 1. ex corr. — 173 εἴ τοι: ἤτοι D. *ἐγώ γε: libri ἔγωγε. — 174 πάρ᾽ CDH Et. Mg. 123, 53; 315, 8; 651, 27. Cram. Epim. 154, 12: παρ᾽ AEGL Cram. Epim. 363, 1. An. Par. III, 314, 11. *ἐμοί γε: libri ἔμοιγε.

A. c. 156 ἐπεὶ ἢ Herodianus. — 157 σκιόεντα: σκιόωντα διὰ τοῦ ω ἀρίσταρχος Didymus. — 159 ἀρνύμενος Zenodotus. — 160 Ζηνόδοτος ἠθέτηκεν Aristonicus. — 162 ἰακῶς τὸ ἐμόγησα αἱ ἀριστάρχου Didymus. — 163 ὁππότ᾽: οὐδ᾽ ὅτ᾽ Zenodotus. — 168 ἐπεί κε κάμω Herodianus cum Aristarcho, cf. ad Η 5 et H. T. 294. — 169 Φθίην δ᾽: οὕτως σὺν τῷ δ αἱ ἀριστάρχου φθίην δὲ καὶ ἡ Ζηνοδότου ὁμοίως Didymus. aliter Schol. ap. Cram. An. Par. III, 275, 8 Ζηνόδοτος δὲ χωρὶς τοῦ δε, conf. Düntzer. de Zenod. 72. — 173 ἔγωγε et 174 ἔμοιγε Herodianus, cf. H. T. 231. — 174 πάρ᾽ Herodianus, cf. χ 106.

οἵ κέ με τιμήϲουϲι, μάλιϲτα δὲ μητίετα Ζεύϲ.
ἔχθιϲτοϲ δέ μοί ἐϲϲι διοτρεφέων βαϲιλήων.
αἰεὶ γάρ τοι ἔριϲ τε φίλη πόλεμοί τε μάχαι τε.
εἰ μάλα καρτερόϲ ἐϲϲι, θεόϲ που ϲοὶ τό γ᾽ ἔδωκεν.
οἴκαδ᾽ ἰὼν ϲὺν νηυϲί τε ϲῇϲ καὶ ϲοῖϲ ἑτάροιϲι
Μυρμιδόνεϲϲιν ἄναϲϲε, ϲέθεν δ᾽ ἐγὼ οὐκ ἀλεγίζω,
οὐδ᾽ ὄθομαι κοτέοντοϲ· ἀπειλήϲω δέ τοι ὧδε·
ὡϲ ἔμ᾽ ἀφαιρεῖται Χρυϲηΐδα Φοῖβοϲ Ἀπόλλων,
τὴν μὲν ἐγὼ ϲὺν νηΐ τ᾽ ἐμῇ καὶ ἐμοῖϲ ἑτάροιϲι
πέμψω, ἐγὼ δέ κ᾽ ἄγω Βριϲηΐδα καλλιπάρῃον
αὐτὸϲ ἰὼν κλιϲίηνδε, τὸ ϲὸν γέραϲ, ὄφρ᾽ ἐὺ εἰδῇϲ,
ὅϲϲον φέρτερόϲ εἰμι ϲέθεν, ϲτυγέῃ δὲ καὶ ἄλλοϲ
ἶϲον ἐμοὶ φάϲθαι καὶ ὁμοιωθήμεναι ἄντην.
ὣϲ φάτο· Πηλείωνι δ᾽ ἄχοϲ γένετ᾽, ἐν δέ οἱ ἦτορ
ϲτήθεϲϲιν λαϲίοιϲι διάνδιχα μερμήριξεν,
ἢ ὅ γε φάϲγανον ὀξὺ ἐρυϲϲάμενοϲ παρὰ μηροῦ
τοὺϲ μὲν ἀναϲτήϲειεν, ὁ δ᾽ Ἀτρεΐδην ἐναρίζοι,
ἦε χόλον παύϲειεν ἐρητύϲειέ τε θυμόν.
εἶοϲ ὃ ταῦθ᾽ ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
ἕλκετο δ᾽ ἐκ κολεοῖο μέγα ξίφοϲ, ἦλθε δ᾽ Ἀθήνη
οὐρανόθεν· πρὸ γὰρ ἧκε θεὰ λευκώλενοϲ Ἥρη,
ἄμφω ὁμῶϲ θυμῷ φιλέουϲά τε κηδομένη τε.

V. ι. 175 μητιέτα L. — 176 δέ μοι ἐϲϲὶ ACDGHL. — 177 γάρ ϲοι H. — 178 καρτερὸϲ ἐϲϲὶ DH. κρατερόϲ C. θεὸϲ ποῦ ϲοι CDGH. τόδε δῶκεν S. — 179 ἑτάροιϲι A Ambros. CDGH. — 183 ἑτάροιϲι A Ambr. CDGH. — 184 καλλιπάρῃον GL Schol. Ο 97: καλλιπάρηον ACDH. καλλιπάρειον Bekk. An. 1290. — 185 κλιϲίην δὲ AH. * ἐὺ: libri εὖ. ΕΙΔΗϹ Ambros. — 186 ϹΤΥΓΕΗ Ambros. ϲτυγέει L. — 187 φᾶϲθαι ACDGH. — 188 φᾶτο D. — 189 μερμήριζεν GHL. Cant. Barocc. Mor. — 190 ἤ: ἢ C. ἐρυϲάμενοϲ C. — 191 ὃ δ᾽ Apoll. Lex. 36, 11. ὅδ᾽ CDL. ὁ δὲ G. ἐναρίζοι ACD Apoll. Lex. 36, 11: ἐναρίξοι H ex corr. LS. ἐναρίξει G. ἐξεναρίζοι Eust. 22, 13; 98, 4. — 192 ἦε A Io. Alex. 41, 27. Schol. δ 372: ceteri ἠέ. — 193 * εἶοϲ: libri ἕωϲ cum Et. Mg. 824, 9. Eust. 555, 5. Dracone de Metr. 8, 15. Bekk. An. 832, 24. Pseudoplut. 135, 45. Schol. Ω 154. ὃ ACDL Draco de Metr. 8, 15. Et. Mg. 824, 9. Pseudoplut. 135, 45. Eust. 555, 5. ὅρμαινε D. — 195 προ DHL.

A. c. 175 μητίετα Aristarchus, non μητιέτα. — 177 obelus cum asterisco: ὀρθῶϲ Ε 891, conf. Bekk. Anecd. 737, 14. Bekk. Praef. in Schol. Hom. Iliad. p. III. Schol Ε 891. Friedlaender. Ariston. pg. 47. — 187 φάϲθαι: φᾶϲθαι cf. H.-T. 373. — 192 ἀθετεῖται Aristonicus. ἦε Herodianus. — 195, 196 ὄβελοϲ ϲὺν ἀϲτερίϲκῳ. ὀρθῶϲ 208, 209.

ϲτῆ δ᾽ ὄπιθε, ξανθῆϲ δὲ κόμηϲ ἕλε Πηλείωνα,
οἴῳ φαινομένη· τῶν δ᾽ ἄλλων οὔ τιϲ ὁρᾶτο.
θάμβηϲεν δ᾽ Ἀχιλεύϲ, μετὰ δ᾽ ἐτράπετ᾽, αὐτίκα δ᾽ ἔγνω
Παλλάδ᾽ Ἀθηναίην· δεινὼ δέ οἱ ὄϲϲε φάανθεν·
καί μιν φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα·
τίπτ᾽ αὖτ᾽ αἰγιόχοιο Διὸϲ τέκοϲ εἰλήλουθαϲ;
ἦ ἵνα ὕβριν ἴδῃ Ἀγαμέμνονοϲ Ἀτρεΐδαο;
ἀλλ᾽ ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τελέεϲθαι ὀίω·
ᾗϲ ὑπεροπλίῃϲι τάχ᾽ ἄν ποτε θυμὸν ὀλέϲϲαι.
τὸν δ᾽ αὖτε προϲέειπε θεὰ γλαυκῶπιϲ Ἀθήνη·
ἦλθον ἐγὼ παύϲουϲα τὸ ϲὸν μένοϲ, αἴ κε πίθηαι,
οὐρανόθεν· πρὸ δέ μ᾽ ἧκε θεὰ λευκώλενοϲ Ἥρη,
ἄμφω ὁμῶϲ θυμῷ φιλέουϲά τε κηδομένη τε.
ἀλλ᾽ ἄγε λῆγ᾽ ἔριδοϲ, μὴ δὲ ξίφοϲ ἕλκεο χειρί·
ἀλλ᾽ ἦ τοι ἔπεϲιν μὲν ὀνείδιϲον, ὡϲ ἔϲεταί περ.
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεϲμένον ἔϲται·
καί ποτέ τοι τρὶϲ τόϲϲα παρέϲϲεται ἀγλαὰ δῶρα
ὕβριοϲ εἵνεκα τῆϲδε· ϲὺ δ᾽ ἴϲχεο, πείθεο δ᾽ ἡμῖν.
τὴν δ᾽ ἀπαμειβόμενοϲ προϲέφη πόδαϲ ὠκὺϲ Ἀχιλλεύϲ·
χρὴ μὲν ϲφωίτερόν γε θεὰ ἔποϲ εἰρύϲϲαϲθαι,
καὶ μάλα περ θυμῷ κεχολωμένον· ὣϲ γὰρ ἄμεινον.
ὅϲ κε θεοῖϲ ἐπιπείθηται, μάλα τ᾽ ἔκλυον αὐτοῦ.

V. ι. 197 * ὄπιθε: ὄπιϲθεν GL, ceteri ὄπιθεν, conf. H. U. 44 sq. — 198 ὁρᾶτο: ὁρῆτο C. — 199 ἀχιλλεὺϲ DH 1. m. μετα CDL. δὲ τράπετ᾽ Cant. Harl. Mosc. 2. — 202 αὖτ᾽: αὖ S Mosc. 2. — 203 ἦ: ἢ EGL Apoll. Lex. 91, 12. ἴδῃ: ἴδῃϲ G Barocc. ἰδῇ Cram. Epim. 206, 16. — 204 τὸ δὲ: τόδε L. τελέεϲθαι: τετελέϲθαι ACDEGHLS. — 205 vulgo ὀλέϲϲῃ: ὀλέϲϲαι CD Townl. ὀλέϲαι S. — 207 τὸ ϲὸν: τεὸν E 88, 5. — 208 προ ACDL. — 209 θυμῷ omitt. D hic et 196. — 210 μὴ δὲ CDGHL Et. Mg. 331, 7. Zonar. Lex. 694. — 211 * ἦ τοι: libri ἤτοι. ἔπεϲϲι D. — 212 τὸ δὲ: τόδε HL. — 213 ποτέ ϲοι E 94, 27 H. — 216 χρή με G. εἰρύϲαϲθαι ACDGHL. — 217 ἐπιπείθεται DH 1. man.

A. c. 198 Zenodotus ὁρῆτο, cf. 56. — 203 Aristarchus ἴδῃ: ἴδῃϲ Zenodotus, cf. Cram. Epim. 206, 16; 209, 15. — 204 τελέεϲθαι ὀίω Aristarchus: alii τετελέϲθαι. Zenodotus τετελεϲμένον ἔϲται. — 208, 209 Ζηνόδοτοϲ ἠθέτηκεν, κακῶϲ conf. Ariston. ad Α 216. asterisci cf. 195, 196. — 210 μὴ δέ, non μηδὲ scribendum, conf. C. A. J. Hoffmann. Das 21. und 22. Buch der Ilias I, pg. 113. — 212 τὸ δὲ Herodianus. τετελέϲθαι ὀίω Zenodotus. — 214 ἥμιν Aristarchus: ἡμῖν Herodianus, cf. Schol. BCL. — 218 αὐτοῦ: αὖ τοῦ Doederl. Emend. Homer. (1858) pg. 11.

ἤ, καὶ ἐπ᾽ ἀργυρέῃ κώπῃ ϲχέθε χεῖρα βαρεῖαν,
ἂψ δ᾽ ἐϲ κουλεὸν ὦϲε μέγα ξίφοϲ, οὐδ᾽ ἀπίθηϲε
μύθῳ Ἀθηναίηϲ· ἡ δ᾽ Οὔλυμπον δὲ βεβήκει
δώματ᾽ ἐϲ αἰγιόχοιο Διὸϲ μετὰ δαίμοναϲ ἄλλουϲ.
Πηλείδηϲ δ᾽ ἐξαῦτιϲ ἀταρτηροῖϲ ἐπέεϲϲιν
Ἀτρείδην προϲέειπε, καὶ οὔ πω λῆγε χόλοιο·
οἰνοβαρέϲ, κυνὸϲ ὄμματ᾽ ἔχων, κραδίην δ᾽ ἐλάφοιο
οὔτέ ποτ᾽ ἐϲ πόλεμον ἅμα λαῷ θωρηχθῆναι
οὔτε λόχον δ᾽ ἰέναι ϲὺν ἀριϲτήεϲϲιν Ἀχαιῶν
τέτληκαϲ θυμῷ· τὸ δέ τοι κὴρ εἴδεται εἶναι.
ἦ πολὺ λώιόν ἐϲτι κατὰ ϲτρατὸν εὐρὺν Ἀχαιῶν
δῶρ᾽ ἀποαιρεῖϲθαι, ὅϲ τίϲ ϲεθεν ἀντίον εἴπῃ.
δημοβόροϲ βαϲιλεύϲ, ἐπεὶ οὐτιδανοῖϲιν ἀνάϲϲειϲ·
ἦ γὰρ ἂν Ἀτρείδη νῦν ὕϲτατα λωβήϲαιο.
ἀλλ᾽ ἔκ τοι ἐρέω καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι·
ναὶ μὰ τόδε ϲκῆπτρον, τὸ μὲν οὔ ποτε φύλλα καὶ ὄζουϲ
φύϲει, ἐπεὶ δὴ πρῶτα τομὴν ἐν ὄρεϲϲι λέλοιπεν,
οὐδ᾽ ἀναθηλήϲει· περὶ γάρ ῥά ἑ χαλκὸϲ ἔλεψε
φύλλά τε καὶ φλοιόν· νῦν αὖτέ μιν υἷεϲ Ἀχαιῶν
ἐν παλάμῃϲ φορέουϲι δικαϲπόλοι, οἵ τε θέμιϲταϲ
πρὸϲ Διὸϲ εἰρύαται· ὃ δέ τοι μέγαϲ ἔϲϲεται ὅρκοϲ·
ἦ ποτ᾽ Ἀχιλλῆοϲ ποθὴ ἵξεται υἷαϲ Ἀχαιῶν
ϲύμπανταϲ· τότε δ᾽ οὔ τι δυνήϲεαι ἀχνύμενόϲ περ

V. ι. 220 ἄψ ἐϲ Plut. de Aud. poët. 8. ἀπίθηϲε CGH Plutarchus. ἀπείθηϲεν D. ceteri ἀπίθηϲεν. — 221 ἡ δ᾽ A. ἥδ᾽ CDGHL. οὔλυμπον δὲ A. οὔλυμπόνδ᾽ ἐβεβήκει H 1. man. Cant. — 223 ἐξαῦθιϲ C. — 226 οὔτέ AH. οὐτέ CDGL. — 227 ἀριϲτεῦϲιν L. — 228 τόδέ CD. τόδε G. — 230 δῶρα ἀφαιρεῖϲθαι G. εἴπῃ[οι] S. — 232 ἤ: ἢ DE 91, 14. — 233 ἔπι AC. — 234 τόδε τὸ ϲκῆπτρον H. — 235 φύϲϲει L. *ἐπεὶ δὴ: libri ἐπειδή. — 236 ἀναθαλήϲει[η] S. πέρι H. ἔλεψε ACEGH Et. Mg. 328, 28. Eust. 118, 30; 377, 37; 703, 12; 1003, 54; 1072, 63; 1081, 2; 1410, 5. ἔρεψε S. ἔρεψεν L. — 237 φύλλά τε D Bekk. An. 1143. φύλλα τὲ C. — 238 παλάμῃϲ Et. Mg. 166, 42; Et. Gud. 249, 45: παλάμαιϲ ACDE bis GHL Lips. Vat. Barocc. Laud. Townl. Mosc. 1. — 239 ὃ δέ ACDE 92, 35 et 36 GH. ἔϲϲεται ὅρκοϲ: ὅρκοϲ ἐϲεῖται G. Barocc. — 240 εἴ ποτ᾽ S. ἀχιλῆοϲ C. — 241 τότε: τοῖϲ CDGHLS. δυνήϲεαι: δυνήϲῃ Vrat. a. 1. man. Mosc. 1. 2.

A. c. 219, 220 Ζηνόδοτοϲ μεταγράφει „ὣϲ εἰπὼν πάλιν ὦϲε μέγα ξίφοϲ, οὐδ᾽ ἀπίθηϲε“ Schol. A. — 222 δύναται ἀθετεῖϲθαι Schol. BL. — 225—233 Ζηνόδοτοϲ ἠθέτηκεν Aristonicus. — 228 τὸ δὲ Herodianus. — 239 ὃ δέ Herodianus. — 241 οὕτωϲ ἀρίϲταρχοϲ τότε δ᾽ οὔτι Didymus.

χραιϲμεῖν, εὖτ᾽ ἂν πολλοὶ ὑφ᾽ Ἕκτοροϲ ἀνδροφόνοιο
θνήϲκοντεϲ πίπτωϲι· ϲὺ δ᾽ ἔνδοθι θυμὸν ἀμύξειϲ
χωόμενοϲ, ὅ τ᾽ ἄριϲτον Ἀχαιῶν οὐδὲν ἔτιϲαϲ.
ὣϲ φάτο Πηλείδηϲ, ποτὶ δὲ ϲκῆπτρον βάλε γαίῃ
χρυϲείοιϲ ἥλοιϲι πεπαρμένον, ἕζετο δ᾽ αὐτόϲ·
Ἀτρείδηϲ δ᾽ ἑτέρωθεν ἐμήνιε. τοῖϲι δὲ Νέϲτωρ
ἡδυεπὴϲ ἀνόρουϲε, λιγὺϲ Πυλίων ἀγορητήϲ,
τοῦ καὶ ἀπὸ γλώϲϲηϲ μέλιτοϲ γλυκίων ῥέεν αὐδή.
τῷ δ᾽ ἤδη δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων
ἐφθίαθ᾽, οἵ οἱ πρόϲθεν ἅμα τράφεν ἠδὲ γένοντο
ἐν Πύλῳ ἠγαθέῃ, μετὰ δὲ τριτάτοιϲιν ἄναϲϲεν.
ὅ ϲφιν ἐὺ φρονέων ἀγορήϲατο καὶ μετέειπεν·
ὢ πόποι, ἦ μέγα πένθοϲ Ἀχαιίδα γαῖαν ἱκάνει.
ἦ κεν γηθήϲαι Πρίαμοϲ Πριάμοιό τε παῖδεϲ,
ἄλλοι τε Τρῶεϲ μέγα κεν κεχαροίατο θυμῷ,
εἰ ϲφῶιν τάδε πάντα πυθοίατο μαρναμένοιιν,
οἳ περὶ μὲν βουλὴν Δαναῶν, περὶ δ᾽ ἐϲτὲ μάχεϲθαι.
ἀλλὰ πίθεϲθ᾽· ἄμφω δὲ νεωτέρω ἐϲτὸν ἐμεῖο.
ἤδη γάρ ποτ᾽ ἐγὼ καὶ ἀρείοϲιν ἠέ περ ἡμῖν
ἀνδράϲιν ὡμίληϲα, καὶ οὔ ποτέ μ᾽ οἵ γ᾽ ἀθέριζον.
οὐ γάρ πω τοίουϲ ἴδον ἀνέραϲ οὐδὲ ἴδωμαι,
οἷον Πειρίθοόν τε Δρύαντά τε, ποιμένα λαῶν,

V. ι. 245 φᾶτο D. Πηλείδηϲ: χωόμενοϲ Athenaeus XI, 488, conf. β 80. — 249 τοῦ: οὗ E 95, 33; 1628, 32. γλώττηϲ C. — 250 δύω D. — 251 ἠδὲ γένοντο Vrat. a., ceteri ἠδ᾽ ἐγένοντο. — 253 ὅ, ϲφιν C. ὅϲ ϲφιν H. 2. man. ἐὺ φρονέων Et. Gud. 437, 42: εὖ φρονέων CDGHLS Cram. Epim. 306, 32; 312, 23. vulgo cum A ἐϋφρονέων. — 254 ὢ πόποι ACE 99, 4. ἀχαῖδα L. ἀχαιϊάδα C. γηθήϲαι[η] C. γηθήϲαι[ει] H. — 256 τρῷεϲ GL. μέγά C. — 258 πέρι L Eust. 1226, 8. βουλὴν A: βουλῇ DEGHLS Apoll. Lex. 129, 12. Schol. C 252. Eust. 44, 31; 951, 29; 1226, 8. Et. Mg. 124, 1; 664, 19. βουλὴν[ῆ] C. μάχεϲθαι: μαχηταί Et. Mg. 124, 1. — 259 πειθεϲθ᾽ D. ἐμοῖο S Vrat. b. — 260 ἐγὼν L. ἡμῖν ADE 100, 9; 102, 39 H: ὑμῖν CE 99, 43; 100, 9 GL Apoll. Lex. 82, 17. Et. Gud. 649, 18. — 261 ποτ᾽ ἔμ᾽ S. ποτ᾽ ἐμ᾽ Mosc. 1. οὔποτ᾽ ἔμοιγ᾽ D. μοι ἀθέριζον Et. Mg. 24, 36. — 262 εἶδον D.

A. c. 249 γλυκίων: γλυκίω Zenodotus. — 251 οἵ οἱ: αἵ οἱ Zenodotus. — 253 ὅ ϲφιν Aristarchus. — 258 διὰ τοῦ ν̄ βουλὴν οὐ διὰ τοῦ ῑ. οὕτωϲ ἀρίϲταρχοϲ, καὶ ἐν τῇ πολυϲτίχῳ Didymus. βουλῇ Heraclides, conf. Osann. Quaest. Hom. IV, 18. — 260 ἡμῖν Aristarchus: Zenodotus ὑμῖν.

Καινέα τ' Ἐξάδιόν τε καὶ ἀντίθεον Πολύφημον
[Θηςέα τ' Αἰγείδην, ἐπιείκελον ἀθανάτοιςιν].
κάρτιςτοι δὴ κεῖνοι ἐπιχθονίων τράφεν ἀνδρῶν·
κάρτιςτοι μὲν ἔςαν καὶ καρτίςτοις ἐμάχοντο,
φηρςὶν ὀρεςκῴοιςι, καὶ ἐκπάγλως ἀπόλεςςαν.
καὶ μὲν τοῖςιν ἐγὼ μεθομίλεον ἐκ Πύλου ἐλθών,
τηλόθεν ἐξ ἀπίης γαίης· καλέςαντο γὰρ αὐτοί·
καὶ μαχόμην κατ' ἔμ' αὐτὸν ἐγώ· κείνοιςι δ' ἂν οὔ τις
τῶν οἳ νῦν βροτοί εἰςιν ἐπιχθόνιοι μαχέοιτο.
καὶ μέν μευ βουλέων ξύνιεν πείθοντό τε μύθῳ.
ἀλλὰ πίθεςθε καὶ ὔμμες, ἐπεὶ πείθεςθαι ἄμεινον.
μήτε cὺ τόνδ', ἀγαθός περ ἐών, ἀποαίρεο κούρην,
ἀλλ' ἔα, ὥς οἱ πρῶτα δόςαν γέρας υἷες Ἀχαιῶν·
μήτε cὺ Πηλείδη θέλ' ἐριζέμεναι βαςιλῆι
ἀντιβίην, ἐπεὶ οὔ ποθ' ὁμοίης ἔμμορε τιμῆς
ςκηπτοῦχος βαςιλεύς, ᾧ τε Ζεὺς κῦδος ἔδωκεν.
εἰ δὲ cὺ κάρτερός ἐςςι, θεὰ δέ ςε γείνατο μήτηρ,
ἀλλ' ὅδε φέρτερός ἐςτιν, ἐπεὶ πλεόνεςςιν ἀνάςςει.
Ἀτρείδη, cὺ δὲ παῦε τεὸν μένος· αὐτὰρ ἐγώ γε
λίςςομ' Ἀχιλλῆι μεθέμεν χόλον, ὃς μέγα πᾶςιν
ἕρκος Ἀχαιοῖςιν πέλεται πολέμοιο κακοῖο.

V. L. 265 omitt. ACDGHLS Lips. Eton. Townl. 1. man. Vrat. a. 1. man. Mosc. 2. 1. man.: habent H in marg. man. rec. Townl. Vrat. a. Mosc. 2. man. rec. Pausanias X, 29, 10. — 268 φηρςὶν: θηρςὶν L Lips. Vrat. b. est glossa, cf. Schol. L. ὀρεςκώεςςι G. — 269 ἐγὼν L. μὲθ' ὁμίλεον A. μεθ' ὁμίλεον Vrat. a. — 271 ἔμ' αὐτὸν: ἐμαυτὸν C 1. man. DGH 1. man. L Schol. B 366. — 272 μαχέοιτο: μαχέοιντο DH ex corr. — 273 ξύνιεν: ξύνιον CDE 100, 1 GLS Et. Mg. 612, 4. Bachm. Anecd. II, 68, 1. Eust. 22, 3; 1217, 37. — 274 πείθεςθε D. ὔμμες: ὕμμες ADGH. — 277 πηλείδη, θέλ' L. πηλείδη θέλ' CDE 104, 44 GH 1. man. S Vat. μὴ δὲ cὲ Πηλείδη θέλ' Zonar. Lex. 623. πηλείδ' ἤθελ' A Lips. Eton. Πηλείδ' ἤθελε Cram. An. Par. III, 276, 17. Πηλείδη 'θελ' Cram. Epim. 203, 6. Πηλείδήθελ' Schol. Λ 217. Et. Mg. 318, 24. Πηλείδήθελε Schol. Θ 229. Πηλείδ' ἔθελε Cram. An. Ox. III, 263, 22. πελείδήθελ' (sic) H ex corr. — 280 δέ c' ἐγείνατο CLS Mosc. 1. — 281 ὅδε ACDE 104, 7 H Townl. Eton. Vrat. b. Schol. Π 54: vulgo ὅγε cum GL. — 283 ΑΧΙΛΗΙ Ambros. ἀχῖλῆϊ C. — 284 ἀχαιοῖcι DH Rhet. Gr. III, 232, 29.

A. c. 269 μεθομίλεον: Aristarchus μέθ' ὁμίλεον. — 271 ἔμ' αὐτόν Aristarchus, Apollonius de Synt. 140, Herodianus: Zenodotus ἐμωυτόν, conf. H. T. 252. — 273 οὕτως ἡ ἀριςτάρχειος διὰ τοῦ ε ξύνιεν ὡς κόcμηθεν, cf. H. U. 288. — 277 Πηλείδήθελ' Aristarchus, conf. Schol. Λ 217, H. T. 235. — 281 ὅδε Nicanor.

τὸν δ' ἀπαμειβόμενος προςέφη κρείων Ἀγαμέμνων·
ναὶ δὴ ταῦτά γε πάντα γέρον κατὰ μοῖραν ἔειπες.
ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι ἄλλων,
πάντων μὲν κρατέειν ἐθέλει, πάντεςςι δ' ἀνάςςειν,
πᾶςι δὲ ςημαίνειν, ἅ τιν' οὐ πείςεςθαι ὀίω.
εἰ δέ μιν αἰχμητὴν ἔθεςαν θεοὶ αἰὲν ἐόντες,
τοὔνεκά οἱ προθέουςιν ὀνείδεα μυθήςαςθαι;
τὸν δ' ἄρ' ὑποβλήδην ἠμείβετο δῖος Ἀχιλλεύς·
ἦ γάρ κεν δειλός τε καὶ οὐτιδανὸς καλεοίμην,
εἰ δὴ ςοὶ πᾶν ἔργον ὑπείξομαι, ὅττί κεν εἴπης·
ἄλλοιςιν δὴ ταῦτ' ἐπιτέλλεο, μὴ γὰρ ἐμοί γε
ςήμαιν'· οὐ γὰρ ἐγώ γ' ἔτι ςοὶ πείςεςθαι ὀίω.
ἄλλο δέ τοι ἐρέω, cὺ δ' ἐνὶ φρεςὶ βάλλεο ςῇςι·
χερςὶ μὲν οὔ τοι ἐγώ γε μαχήςομαι εἵνεκα κούρης
οὔτε ςοὶ οὔτέ τῳ ἄλλῳ, ἐπεί μ' ἀφέλεςθέ γε δόντες·
τῶν δ' ἄλλων, ἅ μοί ἐςτι θοῇ παρὰ νηὶ μελαίνῃ,
τῶν οὐκ ἄν τι φέροις ἀνελὼν ἀέκοντος ἐμεῖο.
εἰ δ' ἄγε μὴν πείρηςαι, ἵνα γνώωςι καὶ οἵδε·
αἶψά τοι αἷμα κελαινὸν ἐρωήςει περὶ δουρί.
ὣς τώ γ' ἀντιβίοιςι μαχηςαμένω ἐπέεςςιν
ἀνςτήτην, λῦςαν δ' ἀγορὴν παρὰ νηυςὶν Ἀχαιῶν.
Πηλείδης μὲν ἐπὶ κλιςίας καὶ νῆας ἐίςας

V. L. 286 γέρων Apoll. Lex. 113, 13. ἔειπας LS Laud. Mosc. 1. 2. — 287 πέρι L. περὶ πάντων ἔμμεναι: πάντων περιέμμεναι E 105, 19. — 289 ἅ, τιν' G. ΟΙΩΙ Ambros. cf. Φ 399. — 291 τοῦνεκά A. — 292 ἂρ AGH Apoll. Lex. 157, 6. ἀχιλεύς C. — 294 δή ςοι DEGL. — 295 ἄλλοιςι CH. — 296 ἔγωγε τί ςοι L. ἔγωγέ τι E Vrat. a. Mosc. 2. ςοι E. πείθεςθαι H. — 297 ἐνι A. ςῆςι ACDGH. — 298 οὔ τι E 107, 2; 698, 9 GHLS Schol. A 300: οὔτοι ACD Lips. Townl. * ἐγώ γε: libri ἔγωγε cum Schol. A 300 et Eust. 698, 9. ἐγὼ D omisso γε. μαχήςομαι ACDE Vat. Mor. Vrat. a. Mosc. 1. 2. Cram. Epim. 441, 6: μαχέςςομαι GHLS Schol. A 300. Eust. 698, 9. — 299 ςοι Cram. Ep. 403, 11. οὔτέ τῳ ACDGHL Et. Mg. 773, 31. Bekk. An. 1144. οὔτε τῷ Cram. Epim. 403, 11. — 300 ἅ μοι ἐςτὶ ACDGHL Eust. 1315, 31. — 301 φέροις: ἕλοις Eust. 1315, 31. φέρῃς L 1. man. ἂν ἑλὼν A Vat. Barocc. ἐμοῖο S. — 302 οἶδε A: ceteri οἵδε. — 303 αἶψά τι Eust. 110, 20. — 304 μαχηςαμένω: μαχεςςαμένω ACDE 107, 45 GH 2. man. LS Et. Mg. 773, 39. Apoll. Lex. 156, 10. μαχεςαμένω E 76, 9. H 1. man. — 305 παρα A.

A. c. 294 ςοὶ Herodianus. — 296 ἀθετεῖται. — 298 μαχήςομαι Aristarchus, Aristophanes, Antimachus, Massiliensis, Argolica, Sinopensis: μαχέςςομαι Heracleo. — 299 ἐπεί μ' ἀφέλεςθέ γε δόντες: ἐπεί ῥ' ἐθέλεις ἀφελέςθαι Zenodotus. — 304 μαχηςαμένω Aristarchus.

ἤιε ϲύν τε Μενοιτιάδῃ καὶ οἷϲ ἑτάροιϲιν·
Ἀτρείδηϲ δ' ἄρα νῆα θοὴν ἅλα δὲ προέρυϲϲεν,
ἐϲ δ' ἐρέταϲ ἔκρινεν ἐείκοϲιν, ἐϲ δ' ἑκατόμβην
βῆϲε θεῷ, ἀνὰ δὲ Χρυϲηΐδα καλλιπάρηον
εἷϲεν ἄγων· ἐν δ' ἀρχὸϲ ἔβη πολύμητιϲ Ὀδυϲϲεύϲ.
οἳ μὲν ἔπειτ' ἀναβάντεϲ ἐπέπλεον ὑγρὰ κέλευθα,
λαοὺϲ δ' Ἀτρείδηϲ ἀπολυμαίνεϲθαι ἄνωγεν.
οἳ δ' ἀπελυμαίνοντο καὶ εἰϲ ἅλα λύματ' ἔβαλλον,
ἔρδον δ' Ἀπόλλωνι τεληέϲϲαϲ ἑκατόμβαϲ
ταύρων ἠδ' αἰγῶν παρὰ θῖν' ἁλὸϲ ἀτρυγέτοιο·
κνίϲη δ' οὐρανὸν ἷκεν ἑλιϲϲομένη περὶ καπνῷ.
ὣϲ οἳ μὲν τὰ πένοντο κατὰ ϲτρατόν· οὐδ' Ἀγαμέμνων
λῆγ' ἔριδοϲ, τὴν πρῶτον ἐπηπείληϲ' Ἀχιλῆι,
ἀλλ' ὅ γε Ταλθύβιόν τε καὶ Εὐρυβάτην προϲέειπε,
τώ οἱ ἔϲαν κήρυκε καὶ ὀτρηρὼ θεράποντε·
ἔρχεϲθον κλιϲίην Πηληιάδεω Ἀχιλῆοϲ·
χειρὸϲ ἑλόντ' ἀγέμεν Βριϲηΐδα καλλιπάρηον·
εἰ δέ κε μὴ δώηϲιν, ἐγὼ δέ κεν αὐτὸϲ ἕλωμαι
ἐλθὼν ϲὺν πλεόνεϲϲι· τό οἱ καὶ ῥίγιον ἔϲται.
ὣϲ εἰπὼν προΐει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε.
τὼ δ' ἀέκοντε βάτην παρὰ θῖν' ἁλὸϲ ἀτρυγέτοιο,
Μυρμιδόνων δ' ἐπί τε κλιϲίαϲ καὶ νῆαϲ ἱκέϲθην.
τὸν δ' εὗρον παρά τε κλιϲίῃ καὶ νηὶ μελαίνῃ

V. ι. 308 ἅλα δὲ A: ceteri ἅλαδε. — 310 καλλιπάρῃον GL: ceteri καλλιπάρηον. — 311 ἐν δ': ἂν δ' G Harl. Laud. Barocc. Vrat. A. ἀνὰ δ' S. — 312 ἀπέπλεον Vrat. a. 1. man. — 314 οἳ δ': οἵδ' CDGHL. ἀπολυμαίνοντο GH Apoll. Lex. 38, 11. — 315 ἔρδον: ἕρδον GHL. — 316 ἠδ' A. ἤδ' D. — 317 κνίϲη A Schol. Φ 363. Schol. Pind. Isth. III, 117. Apoll. Lex. 101, 28: κνίϲϲη CDE 109, 24; 111, 22; 245, 10 GHL Schol. B 423. Rhet. Gr. II, 408, 6. Et. Gud. 275, 8. Cram. Epim. 212, 30; 213, 14. ἷκεν: ἧκεν DH Apoll. Lex. 101, 28. περι A. — 318 κατα A. — 319 ἀχϊλλῆϊ DH. — 320 προϲέειπε A Ambr. CDGH. — 321 τώ, οἱ G. ΟΤΡΗΡΩΙ Ambros. — 322 κλιϲίην δέ γε πηλείδου G. — 323 ἑλόντε E 110, 32. καλλιπάρῃον DGL: ceteri καλλιπάρηον. — 324 ΔΩΗϹΙΝ Ambros. δῴηϲιν AE 111, 4. δῴηϲιν C. δώῃϲιν D Et. Mg. 173, 4. Bachm. Anecd. II, 40, 1. δώοιϲιν L. δώ^{η}ωϲιν H. δώωϲιν G Barocc. Mor. Eust. 957, 40. — 325 ϲὺν: ΞΥΝ Ambros. — 326 κρατερὸϲ L. ἐπῒ CD. ἔτελλε A Ambros. CDGHL. — 327 ΤΩΙ Ambros. ἀέκοντ' ἐβάτην H.

A. c. 309 ἐϲ: ἐν Aristarchus, cf. 142. — 314 λύματα βάλλον, Ἰακῶϲ Schol. BL. — 323 ἑλόντε Aristarchus. fallitur Schol. A ὅτι χειρὸϲ ἑλόντε ἄγειν Ἀριϲτόνικοϲ, conf. Friedl. Ariston. ad h. l. et Lehrs. Quaest. Ep. 49.

ἥμενον· οὐδ' ἄρα τώ γε ἰδὼν γήθηϲεν Ἀχιλλεύϲ.
τὼ μὲν ταρβήϲαντε καὶ αἰδομένω βαϲιλῆα
ϲτήτην, οὐδέ τί μιν προϲεφώνεον οὐδ' ἐρέοντο·
αὐτὰρ ὃ ἔγνω ᾗϲιν ἐνὶ φρεϲί, φώνηϲέν τε·
χαίρετε κήρυκεϲ, Διὸϲ ἄγγελοι ἠδὲ καὶ ἀνδρῶν,
ἆϲϲον ἴτ'· οὔ τί μοι ὔμμεϲ ἐπαίτιοι, ἀλλ' Ἀγαμέμνων,
ὃ ϲφῶι προΐει Βριϲηΐδοϲ εἵνεκα κούρηϲ.
ἀλλ' ἄγε διογενὲϲ Πατρόκλειϲ ἔξαγε κούρην,
καί ϲφωιν δὸϲ ἄγειν. τὼ δ' αὐτὼ μάρτυροι ἔϲτων
πρόϲ τε θεῶν μακάρων πρόϲ τε θνητῶν ἀνθρώπων
καὶ πρὸϲ τοῦ βαϲιλῆοϲ ἀπηνέοϲ, εἴ ποτε δὴ αὖτε
χρειὼ ἐμεῖο γένηται ἀεικέα λοιγὸν ἀμῦναι
τοῖϲ ἄλλοιϲ. ἦ γὰρ ὅ γ' ὀλοιῇϲι φρεϲὶ θύει,
οὐδέ τι οἶδε νοῆϲαι ἅμα πρόϲϲω καὶ ὀπίϲϲω,
ὅππωϲ οἱ παρὰ νηυϲὶ ϲόοι μαχέοιντο Ἀχαιοί.
ὣϲ φάτο, Πάτροκλοϲ δὲ φίλῳ ἐπεπείθεθ' ἑταίρῳ,
ἐκ δ' ἄγαγε κλιϲίηϲ Βριϲηΐδα καλλιπάρηον,
δῶκε δ' ἄγειν. τὼ δ' αὖτιϲ ἴτην παρὰ νῆαϲ Ἀχαιῶν·
ἣ δ' ἀέκουϲ' ἅμα τοῖϲι γυνὴ κίεν. αὐτὰρ Ἀχιλλεὺϲ
δακρύϲαϲ ἑτάρων ἄφαρ ἕζετο νόϲφι λιαϲθεὶϲ
θῖν' ἔφ' ἁλὸϲ πολιῆϲ, ὁρόων ἐπ' ἀπείρονα πόντον·

V. ι. 330 et 331 ΤΩΙ Ambros. — 332 οὐδέ τϊ μϊν CDHL. τι μὶν G. προϲεφώνουν S. — 333 ὃ CDGHL. ἐνι A. — 335 ἄϲϲον: ἆϲϲον A. οὔ τί μοι D. ὕμμεϲ ADH 2. man. ὑπαίτιοι H 2. man. S Laud. — 336 ὅ, ϲφῶϊ C. ὃϲ ϲφῶι DGHL Apoll. de Pron. 44 B. ὃϲ ϲφῶϊν Apoll. de Synt. 166, 8. — 337 ἀλλά γε C. Πατρόκλεεϲ Mor. — 338 καὶ ϲφῶιν CDGHL. αὐτῷ Et. Mg. 381, 54. μάρτυροι: μάρτυρεϲ G Boissonad. Anecd. II, 379. μάρτυρε C. — 340 * δὴ αὖτε: libri δ' αὖτε. — 341 ἐμοῖο S Vrat. b. ἀμύνειν C et man. rec. γρ. ἀμῦναι. — 342 ὀλοιῇϲι A: ὀλοῇϲι CDE 114, 38 H Schol. Ζ 359. ὀλο^{ω}ῇϲι L. ὀλοῇϲιν G. — 343 οὐδ' ἔτι D. — 344 ὅππώϲ C ὅπωϲ H. — 345 φᾶτο D. ἐπιπειθετ' L. — 346 καλλιπάρῃον GL: ceteri in his A et Ambros. καλλιπάρηον. — 347 ΤΩΙ Ambros. αὖθιϲ C. — 348 ἤδ' CGHL: ceteri ἡ δ'. ἀχιλεὺϲ C. — 350 ἔφ' DH: ceteri ἐφ'. ἐπ' ἀπείρονα: ἐπὶ οἴνοπα A (ἐπι) Ambros. CDGHLS Et. Mg. 113, 57. Et. Gud. 361, 49. Bekk. An. 836, 5. Cram. Ep. 262, 18. Cram. An. Par. III, 331, 8. Schol. A 104, N 703.

A. c. 332 διὰ τοῦ ῑ οὐδέ τι οὐ διὰ τοῦ ε̄ καὶ ἡ κύπριοϲ Didymus. — 336 ὃ ϲφῶι Aristarchus, cf. H. T. 326: Zenodotus ϲφῶιν. — 340 ἀπηνέοϲ: Ϲέλευκοϲ ἐν τῇ πολυϲτίχῳ γράφει ἀναιδέοϲ Didymus. δὴ αὖτε, cf. H. U. 281. — 350 ἔφ' conf. Ν 682, Ξ 31. ἐπ' ἀπείρονα Aristarchus.

πολλὰ δὲ μητρὶ φίλῃ ἠρήcατο χεῖρας ὀρεγνύς·
μῆτερ, ἐπεί μ' ἔτεκές γε μινυνθάδιόν περ ἐόντα,
τιμήν πέρ μοι ὄφελλεν Ὀλύμπιος ἐγγυαλίξαι,
Ζεὺς ὑψιβρεμέτης· νῦν δ' οὐδέ με τυτθὸν ἔτισεν.
ἦ γάρ μ' Ἀτρείδης εὐρὺ κρείων Ἀγαμέμνων
ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας, αὐτὸς ἀπούρας.
ὣς φάτο δάκρυ χέων, τοῦ δ' ἔκλυε πότνια μήτηρ
ἡμένη ἐν βένθεσσιν ἁλὸς παρὰ πατρὶ γέροντι.
καρπαλίμως δ' ἀνέδυ πολιῆς ἁλὸς ἠΰτ' ὀμίχλη,
καί ῥα πάροιθ' αὐτοῖο καθέζετο δάκρυ χέοντος,
χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
τέκνον, τί κλαίεις; τί δέ σε φρένας ἵκετο πένθος;
ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα εἴδομεν ἄμφω.
τὴν δὲ βαρὺ στενάχων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
οἶσθα· τί ἤ τοι ταῦτα ἰδυίῃ πάντ' ἀγορεύω;
ᾠχόμεθ' ἐς Θήβην, ἱερὴν πόλιν Ἠετίωνος,
τὴν δὲ διεπράθομέν τε καὶ ἤγομεν ἐνθάδε πάντα.
καὶ τὰ μὲν εὖ δάσσαντο μετὰ σφίσιν υἷες Ἀχαιῶν,
ἐκ δ' ἕλον Ἀτρείδῃ Χρυσηίδα καλλιπάρῃον.
Χρύσης δ' αὖθ', ἱερεὺς ἑκατηβόλου Ἀπόλλωνος,
ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν χαλκοχιτώνων
λυσόμενός τε θύγατρα φέρων τ' ἀπερείσι' ἄποινα,
στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος

V. L. 351 ἠρήσατο: ἠράσσατο G. — 352 ἔτεκές τε S. — 353 τιμὴν μὲν Vrat. a. — 355 γὰρ H, omisso μ'. εὐρὺ κρείων A: ceteri εὐρυκρείων. 357 φάτο D. δάκρυ χέων A: ceteri cum Ambros. δακρυχέων. — 359 ἠΰθ' ὀμίχλη Vrat. a. 2. man. b. — 360 δάκρυ χέοντος AD: ceteri δακρυχέοντος. — 361 κατέρρεξεν D. ὀνόμαζε A Ambros. CGHL. — 363 ΝΟΩ Ambros: ἵν' G. εἴδωμεν DH 1. man. — 364 τήνδε G. βαρὺ στενάχων A: ceteri omnes βαρυστενάχων. — 365 τί ἤ D Mosc. 3. Cram. An. Par. III, 302, 11: τίή AC. τιή G. vulgo τίη. ταῦτα ἰδυίῃ: ταῦτ' εἰδυίῃ A Ambr. CDGH. ταῦτα εἰδυίῃ E 118, 34. ἀγορεύω: ἀγορεύσω E Eton. Vat. Lips. — 366 Θήβας Schol. C 444. — 367 τήνδε G. — 368 δάσαντο E 120, 27 G Bekk. Anecd. 1147. μετα A. ἔν τισι τῶν ἀντιγράφων μετά σφισιν ἐγκλιτικῶς γράφεται Eust. 119, 28. — 369 καλλιπάρηον GL: ceteri cum Ambros. καλλιπάρῃον. — 370 αὖθ': αὖ Vat. — 372 φέροντ' A.

A. c. 351 ὀρεγνύς: ἀναπτάς Zenodotus. τινὲς ἀνασχών γράφουσιν Schol. BL. — 355 εὐρὺ κρείων, cf. H. T. 314. — 357 δάκρυ χέων, cf. Proleg. ad Odyss. XXXI. — 364 βάρυ στενάχων, cf. H. S. 60. στενάχων Aristarchus: Dion. Sidonius στεναχῶν. — 365 τί ἤ veteres, cf. H. T. 267. — 366—369 ἀλλότριοι οἱ ἐπιφερόμενοι στίχοι εἴκοσιν ἑπτά Aristonicus. — 368 μετὰ σφίσιν Herodianus, cf. Cram. An. Par. III, 137, 28.

χρυσέῳ ἀνὰ σκήπτρῳ, καὶ λίσσετο πάντας Ἀχαιούς,
Ἀτρείδα δὲ μάλιστα δύω, κοσμήτορε λαῶν.
ἔνθ' ἄλλοι μὲν πάντες ἐπευφήμησαν Ἀχαιοὶ
αἰδεῖσθαί θ' ἱερῆα καὶ ἀγλαὰ δέχθαι ἄποινα·
ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ,
ἀλλὰ κακῶς ἀφίει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε.
χωόμενος δ' ὁ γέρων πάλιν ᾤχετο· τοῖο δ' Ἀπόλλων
εὐξαμένου ἤκουσεν, ἐπεὶ μάλα οἱ φίλος ἦεν,
ἧκε δ' ἐπ' Ἀργείοισι κακὸν βέλος· οἱ δέ νυ λαοὶ
θνῆσκον ἐπασσύτεροι, τὰ δ' ἐπῴχετο κῆλα θεοῖο
πάντῃ ἀνὰ στρατὸν εὐρὺν Ἀχαιῶν. ἄμμι δὲ μάντις
εὖ εἰδὼς ἀγόρευε θεοπροπίας ἑκάτοιο.
αὐτίκ' ἐγὼ πρῶτος κελόμην θεὸν ἱλάσκεσθαι·
Ἀτρείωνα δ' ἔπειτα χόλος λάβεν, αἶψα δ' ἀναστὰς
ἠπείλησεν μῦθον, ὃ δὴ τετελεσμένος ἐστί.
τὴν μὲν γὰρ σὺν νηὶ θοῇ ἑλίκωπες Ἀχαιοὶ
ἐς Χρύσην πέμπουσιν, ἄγουσι δὲ δῶρα ἄνακτι·
τὴν δὲ νέον κλισίηθεν ἔβαν κήρυκες ἄγοντες
κούρην Βρισῆος, τήν μοι δόσαν υἷες Ἀχαιῶν.
ἀλλὰ σύ, εἰ δύνασαί γε, περίσχεο παιδὸς ἑῆος·
ἐλθοῦσ' Οὔλυμπον δὲ Δία λίσαι, εἴ ποτε δή τι
ἢ ἔπει ὤνησας κραδίην Διὸς ἠὲ καὶ ἔργῳ.
πολλάκι γάρ σεο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα
εὐχομένης, ὅτ' ἔφησθα κελαινεφεῖ Κρονίωνι
οἴη ἐν ἀθανάτοισιν ἀεικέα λοιγὸν ἀμῦναι,
ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι,

V. L. 374 καὶ λίσσετο A Lips. — 375 ἀτρείδᾱ AC. ἀτρείδη H. δύο C. — 377 αἰδεῖσθαι G, om. θ'. — 378 ἥνδανε DG 1. man. — 379 ἐπι DL. ἔτελλε ACGH. — 381 μάλά οἱ C. — 383 τὰ δ': τάχ' Apoll. Lex. 99, 2. — 388 ἠπείλησε DE 120, 38 H Et. Mg. 121, 5. Zonar. Lex. 246. ὃ δὴ καὶ D. τετελεσμένον H. ἐστὶ C p. ras. H: ceteri ἐστίν. — 393 σὺ: σύ γ' L. ἑῆος ADE 121, 6 G Et. Mg. 318, 1. ἐῆος CS Apoll. Lex. 63, 4. Suidas I, 2, 684, 4: ἑοῖο HL Cant. Vrat. b. — 394 οὔλυμπον δὲ A. λίσσαι GH. — 396 γὰρ σέο Schol. A 396. ἐνι A.

A. c. 374 καὶ λίσσετο: οὕτως ἰακῶς τὸ λίσσετο Didymus. — 381 ἐπεὶ μάλα: ἐπεί ῥά νύ Cypria et Cretensis teste Seleuco; idem Theagenes. — 393 ἑῆος: Zenodotus ἑοῖο, cf. Schol. Ω 528, 550. H. T. 233. — 396 γάρ σεο Aristarchus et Ptolemaeus Ascalonita: alii γὰρ σέο, quod probat Herodianus. — 396—406 Ζηνόδοτος ἀθετεῖ Aristonicus.

Ἥρη τ᾿ ἠδὲ Ποcειδάων καὶ Παλλὰc Ἀθήνη.
ἀλλὰ cὺ τόν γ᾿ ἐλθοῦcα θεὰ ὑπελύcαο δεcμῶν,
ὦχ᾿ ἑκατόγχειρον καλέcαc᾿ ἐc μακρὸν Ὄλυμπον,
ὃν Βριάρεων καλέουcι θεοί, ἄνδρεc δέ τε πάντεc
Αἰγαίων᾿· ὃ γὰρ αὖτε βίῃ οὗ πατρὸc ἀμείνων·
ὅc ῥα παρὰ Κρονίωνι καθέζετο κύδεϊ γαίων·
τὸν καὶ ὑπέδειcαν μάκαρεc θεοὶ οὐδέ τ᾿ ἔδηcαν.
τῶν νῦν μιν μνήcαcα παρέζεο καὶ λαβὲ γούνων,
αἴ κέν πωc ἐθέλῃcιν ἐπὶ Τρώεccιν ἀρῆξαι,
τοὺc δὲ κατὰ πρυμνάc τε καὶ ἀμφ᾿ ἅλα ἔλcαι Ἀχαιοὺc
κτεινομένουc, ἵνα πάντεc ἐπαύρωνται βαcιλῆοc,
γνῷ δὲ καὶ Ἀτρείδηc εὐρὺ κρείων Ἀγαμέμνων
ἣν ἄτην, ὅ τ᾿ ἄριcτον Ἀχαιῶν οὐδὲν ἔτιcεν.
τὸν δ᾿ ἠμείβετ᾿ ἔπειτα Θέτιc κατὰ δάκρυ χέουcα·
ὤ μοι τέκνον ἐμόν, τί νύ c᾿ ἔτρεφον αἰνὰ τεκοῦcα;
αἴθ᾿ ὄφελεc παρὰ νηυcὶν ἀδάκρυτοc καὶ ἀπήμων
ἧcθαι, ἐπεί νύ τοι αἶcα μίνυνθά περ, οὔ τι μάλα δήν·
νῦν δ᾿ ἅμα τ᾿ ὠκύμοροc καὶ ὀιζυρὸc περὶ πάντων
ἔπλεο· τῶ cε κακῇ αἴcῃ τέκον ἐν μεγάροιcι.
τοῦτο δέ τοι ἐρέουcα ἔποc Διὶ τερπικεραύνῳ
εἶμ᾿ αὐτὴ πρὸc Ὄλυμπον ἀγάννιφον, αἴ κε πίθηται.
ἀλλὰ cὺ μὲν νῦν νηυcὶ παρήμενοc ὠκυπόροιcι
μήνι᾿ Ἀχαιοῖcιν, πολέμου δ᾿ ἀποπαύεο πάμπαν·

V. l. 400 Παλλὰc Ἀθήνη: Φοῖβοc Ἀπόλλων Schol. Pind. Ol. VIII, 41. — 401 τὸν ἐλθοῦcα D. — 402 ὦκ᾿ (χ superscr.) A. ἑκατόνχειρον DL. καλέcαc L. — 403 βριάρεον Mosc. 3. Heraclid. Alleg. C. 21. καλοῦcι H. θεοί γ᾿ ἀνέρεc S. — 404 ὃ ACDGHL. — 405 ὃc ῥὰ CGH. καθίζετο Vrat. b. — 406 * ὑπέδειcαν: libri ὑπέδδειcαν. — 407 νῦν μιμνήcαcα G. — 408 ἐπι DL. — 409 ἕλcαι C. ἕλξαι G. — 411 γνῶ CGL Eust 720, 32. εὐρὺ κρείων A: ceteri εὐρυκρείων. — 412 ἔτιcε CE. — 413 κατα CDGHL. δακρυχέουcα DG. — 414 ὤμοι ACG. τί νυ c᾿ G. τεκοῦcα: παθοῦcα Schol. Δ 31. — 418 τῶ ACDGHL: vulgo τῷ cum E. μεγάροιcι CH. — 420 πείθηται D. — 421 ὠκυπόροιcι ACDGH. — 422 ἀχαιοῖcι ACDH. δ᾿ ἄπο, παύεο S.

A. c. 400 Παλλὰc Ἀθήνη: Φοῖβοc Ἀπόλλων Zenodotus. conf. Schol. Φ 444, Eust. 122, 30; 123, 23; 124, 38. — 404 βίῃ: ου (οὕτωc?) διὰ τοῦ ῑ βίην ἀρίcταρχοc Didymus. Zenodotus βίῃ πολὺ φέρτατοc ἁπάντων (Lehrs. em. ἄλλων) ὁππόcοι (G. Hermann. em. ἦεν πάντων, οἳ) ναίουc᾿ ὑπὸ Τάρταρον εὐρώεντα, conf. Eust. 124, 39. — 412 ὅ τ᾿, non ὅτ᾿ scribendum, vid. H. S. 265. — 405 ἐντεῦθεν ἐπὶ τοῦ Ἄρεωc (E 906) λέγεται οὐκ ὀρθῶc Aristonicus. — 421 νῦν Herodianus: νύν Tyrannio, conf. Matranga Anecd. 432.

Ζεὺc γὰρ ἐc Ὠκεανὸν μετ᾿ ἀμύμοναc Αἰθιοπῆαc
χθιζὸc ἔβη κατὰ δαῖτα, θεοὶ δ᾿ ἅμα πάντεc ἕποντο.
δωδεκάτῃ δέ τοι αὖτιc ἐλεύcεται Οὔλυμπον δέ,
καὶ τότ᾿ ἔπειτά τοι εἶμι Διὸc ποτὶ χαλκοβατὲc δῶ,
καί μιν γουνάcομαι, καί μιν πείcεcθαι ὀίω.
ὣc ἄρα φωνήcαc᾿ ἀπεβήcετο, τὸν δὲ λίπ᾿ αὐτοῦ
χωόμενον κατὰ θυμὸν ἐυζώνοιο γυναικόc,
τήν ῥα βίῃ ἀέκοντοc ἀπηύρων. αὐτὰρ Ὀδυccεὺc
ἐc Χρύcην ἵκανεν ἄγων ἱερὴν ἑκατόμβην.
οἳ δ᾿ ὅτε δὴ λιμένοc πολυβενθέοc ἐντὸc ἵκοντο,
ἱcτία μὲν cτείλαντο, θέcαν δ᾿ ἐν νηὶ μελαίνῃ,
ἱcτὸν δ᾿ ἱcτοδόκῃ πέλαcαν προτόνοιcιν ὑφέντεc
καρπαλίμωc, τὴν δ᾿ εἰc ὅρμον προέρεccαν ἐρετμοῖc.
ἐκ δ᾿ εὐνὰc ἔβαλον, κατὰ δὲ πρυμνήcι᾿ ἔδηcαν·
ἐκ δὲ καὶ αὐτοὶ βαῖνον ἐπὶ ῥηγμῖνι θαλάccηc,
ἐκ δ᾿ ἑκατόμβην βῆcαν ἑκηβόλῳ Ἀπόλλωνι·
ἐκ δὲ Χρυcηὶc νηὸc βῆ ποντοπόροιο.
τὴν μὲν ἔπειτ᾿ ἐπὶ βωμὸν ἄγων πολύμητιc Ὀδυccεὺc
πατρὶ φίλῳ ἐν χερcὶ τίθει, καί μιν προcέειπεν·
ὦ Χρύcη, πρό μ᾿ ἔπεμψεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
παῖδά τε coὶ ἀγέμεν, Φοίβῳ θ᾿ ἱερὴν ἑκατόμβην

V. l. 423 ἐc: ἐπ᾿ C. μετ᾿: ἐπὶ Eust. 128, 1. — 424 κατὰ Strabo I, 3. Schol. A 484. Apoll. Lex. 96, 16: μετὰ ACDE 128, 45 GHLS Macrobius Sat. I, 23, 1. Diodorus III, 2. Lesbonax περὶ cχημάτων pg. 180. Athenaeus VIII, 363. Et. Gud. 388, 26. Pseudoplut. 118, 8. Schol. A 493. — 425 αὖθιc C. οὔλυμπον δέ A. — 428 ἀπεβήcετο: ἀπεβήcατο DGL. ἀπεβήcατο (ε superscr.) H. * δὲ λίπ᾿: libri δ᾿ ἔλιπ᾿ cf. B 35. — 429 χωόμενοc L. εὐζώνοιο C 1. man. DL. — 432 οἵδ᾿ CHL: ceteri οἱ δ᾿. — 435 προέρεccαν: προέρυccαν ADHLS. προέρυcαν CE 130, 24 G Zonar. Lex. 1462. — 436 ἔβαλλον D. κατα CDL. — 440 ἐπι A. βωμὸν: βωμῷ Apoll. Lex. 43, 20. — 443 τέ coι CDE 131, 45 L.

A. c. μετ᾿ ἀμύμοναc: Ἀρίcταρχοc ἐπ᾿ ἀμύμοναc Schol. L. est explicatio, non scriptura Aristarchi. alii μετὰ Μέμνοναc Αἰθιοπῆαc teste Eustath. 128, 41. — 424 ἀρίcταρχοc κατὰ δαῖτα Didymus. ita etiam Antimachus, Aristophanes, Callistratus, Dion. Sidonius, Ixio, Massiliensis, Sinopensis, Cypria. fallitur scholiasta apud Cram. An. Par. III, 139, 17 et Schol. L et grammaticus apud Matranga Anecd. 432, qui Aristarchum ἐπὶ δαῖτα scripsisse affirmant. nec maior fides habenda est Schol. Aristoph. Av. 1177, qui μετὰ Aristophani grammatico tribuit. ἕποντο: ἕπονται Aristarchus. — 432 ἐντὸc: Aristarchus ἐγγὺc. — 434 ὑφέντεc Zenodotus: Aristarchus ἀφέντεc teste Didymo, non ἐφέντεc. — 435 προέρεccαν Aristarchus cum Argolica, Sinopensi, Sosigene, conf. Eust. 1615, 57. H. T. 346.

ῥέξαι ὑπὲρ Δαναῶν, ὄφρ' ἱλαcόμεcθα ἄνακτα,
ὃς νῦν Ἀργείοιcι πολύcτονα κήδε' ἐφῆκεν.
ὣς εἰπὼν ἐν χερcὶ τίθει, ὃ δὲ δέξατο χαίρων
παῖδα φίλην· τοὶ δ' ὦκα θεῷ ἱερὴν ἑκατόμβην
ἑξείης ἔcτηcαν ἐΰδμητον περὶ βωμόν,
χερνίψαντο δ' ἔπειτα καὶ οὐλοχύταc ἀνέλοντο.
τοῖcιν δὲ Χρύcης μεγάλ' εὔχετο χεῖρας ἀναcχών·
κλῦθί μευ ἀργυρότοξ', ὃς Χρύcην ἀμφιβέβηκας
Κίλλάν τε ζαθέην Τενέδοιό τε ἶφι ἀνάccειc·
ἠμὲν δή ποτ' ἐμεῦ πάρος ἔκλυες εὐξαμένοιο,
τίμηcας μὲν ἐμέ, μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν·
ἠδ' ἔτι καὶ νῦν μοι τόδ' ἐπικρήηνον ἐέλδωρ·
ἤδη νῦν Δαναοῖcιν ἀεικέα λοιγὸν ἄμυνον.'
ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων.
αὐτὰρ ἐπεί ῥ' εὔξαντο καὶ οὐλοχύταc προβάλοντο,
αὐέρυcαν μὲν πρῶτα καὶ ἔcφαξαν καὶ ἔδειραν,
μηρούς τ' ἐξέταμον κατά τε κνίcῃ ἐκάλυψαν
δίπτυχα ποιήcαντεc, ἐπ' αὐτῶν δ' ὠμοθέτηcαν.
καῖε δ' ἐπὶ cχίζηc ὁ γέρων, ἐπὶ δ' αἴθοπα οἶνον
λεῖβε· νέοι δὲ παρ' αὐτὸν ἔχον πεμπώβολα χερcίν.
αὐτὰρ ἐπεὶ κατὰ μῆρα κάη καὶ cπλάγχνα πάcαντο,

V. ι. 444 ὑπερ A. ἱλαcόμεcθα ACH Cant. Harl. Eton. Mosc. 1. ἱλα-cόμεcθ' Lips.: ἱλαcόμεθα D. ἱλαcώμεθα E 132, 1. ἱλαccώμεθα G. ἱλαc-cώμεθ' L Vrat. b. A. Et. Gud. 36, 39. ἱλαcώμεθ' Vrat. a. ἱλλαccώμεθ' S. — 446 ὃ δὲ, δέξατο C. ὁ δὲ δέξατο A Townl. Eton. ὅδ' ἐδέξατο DL. ceteri ὁδ' ἐδέξατο, in his Ambrosianus. — 447 τοὶ: ΟΙ Ambros. — 448 εὔδμητον DG. — 449 ἀνέλοντο: προβάλοντο Eust. 132, 22. — 450 τοῖcι CDHL. — 452 κιλλάν τε DH. κίλλαν τὲ C. — 453 ἠμὲν δή: ἤδη μέν ACGHLS. ἢ μὲν δή Schol. C 75. — 454 τιμήcαc S. — 455 ἠδέ τι L. ἤδ' ἔτι D. ἐπικρήηνον C. ἐπικρήηνον L. ἐέλδωρ G. — 456 ἢ δὴ νῦν Harl. — 458 προ-βάλλοντο D. — 459 αὐέρυcαν AG Schol. Η 413, Μ 261. Bachm. Anecd. I, 112, 20. Bekk. An. 417, 10. Gellius XV, 3, 8. ἀνέρυcαν Eust. 131, 9: αὖ ἔρυcαν CDE 134, 9 HL Schol. Pind. Ol. XIII, 111. Cram. Epim. 29, 17. Et. Mg. 50, 22; 99, 2; 533, 50. Ammon. de Diff. s. v. cφάξαι. Dion. Halic. de Comp. verb. V. πρῶτον GH. — 460 κνίccῃ CEGHL. — 462 ἐπι AH bis. cχίζαιc G. — 464 κατα CL. * μῆρα κάη: libri μῆρ' ἐκάη. * cπλάγχνα πάcαντο: libri cπλάγχν' ἐπάcαντο. D ἐπάccαντο. add. L versum cπλάγχνα δ' ἄρ' ἀμπείραντες ὑπείρεχον ἡφαίcτοιο, qui legitur Β 426.

A. c. 444 ἀθετεῖται Aristonicus, conf. Schol. Φ 479. — 446, 447 Zenodotus ὣc εἰπὼν (Bekk. εἶπεν) τοὶ δ' ὦκα θεῷ ἱερὴν ἑκατόμβην. — 447 Aristarchus ἱερὴν, non κλειτὴν. — 454 asteriscus: οὐκ ὀρθῶc Π 237. — 464 μῆρε κάη Ptolem. Ascalonita cum Aristarcho, quem potius μῆρα κάη scripsisse crediderim. vulgo μῆρ' ἐκάη, conf. Et. Mg. 585, 26; Et. Gud. 304, 55. cπλάγχνα πάcαντο Aristarchus.

μίcτυλλόν τ' ἄρα τἆλλα καὶ ἀμφ' ὀβελοῖcιν ἔπειραν,
ὤπτηcάν τε περιφραδέωc, ἐρύcαντό τε πάντα.
αὐτὰρ ἐπεὶ παύcαντο πόνου τετύκοντό τε δαῖτα,
δαίνυντ', οὐδέ τι θυμὸc ἐδεύετο δαιτὸc ἐΐcηc.
αὐτὰρ ἐπεὶ πόcιοc καὶ ἐδητύοc ἐξ ἔρον ἕντο,
κοῦροι μὲν κρητῆραc ἐπεcτέψαντο ποτοῖο,
νώμηcαν δ' ἄρα πᾶcιν ἐπαρξάμενοι δεπάεccιν·
οἳ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάcκοντο,
καλὸν ἀείδοντεc παιήονα, κοῦροι Ἀχαιῶν,
μέλποντεc ἑκάεργον· ὃ δὲ φρένα τέρπετ' ἀκούων.
ἦμοc δ' ἠέλιοc κατέδυ καὶ ἐπὶ κνέφαc ἦλθε,
δὴ τότε κοιμήcαντο παρὰ πρυμνήcια νηόc.
ἦμοc δ' ἠριγένεια φάνη ῥοδοδάκτυλοc ἠώc,
καὶ τότ' ἔπειτ' ἀνάγοντο μετὰ cτρατὸν εὐρὺν Ἀχαιῶν·
τοῖcιν δ' ἴκμενον οὖρον ἵει ἑκάεργοc Ἀπόλλων.
οἳ δ' ἱcτὸν cτήcαντ' ἀνά θ' ἱcτία λευκὰ πέταccαν·
ἐν δ' ἄνεμοc πρῆcεν μέcον ἱcτίον, ἀμφὶ δὲ κῦμα
cτείρῃ πορφύρεον μεγάλ' ἴαχε νηὸc ἰούcηc·
ἣ δ' ἔθεεν κατὰ κῦμα διαπρήccουcα κέλευθον.
αὐτὰρ ἐπεί ῥ' ἵκοντο κατὰ cτρατὸν εὐρὺν Ἀχαιῶν,
νῆα μὲν οἵ γε μέλαιναν ἐπ' ἠπείροιο ἔρυccαν
ὑψοῦ ἐπὶ ψαμάθοιc, ὑπὸ δ' ἕρματα μακρὰ τάνυccαν·
αὐτοὶ δ' ἐcκίδναντο κατὰ κλιcίαc τε νέαc τε.
αὐτὰρ ὃ μήνιε νηυcὶ παρήμενοc ὠκυπόροιcι

V. ι. 465 μίcτυλόν D. τἆλλα EG: τ' ἄλλα ACDL Cram. An. Par. IV, 12, 15. τἄλλα H Cram. An. Par. III, 6, 18. ἔπειρον S. — 468 οὐκέτι θυμὸc E 136, 27. οὐδ' ἔτι Vat. Mor. Barocc. 468, 469 habet C in marg. — 469 ἕντο DL. — 471 ἐπαρξάμενοι: ἐπαρχόμενοι Cram. Epim. 107, 27. — 472 οἱ δὲ CH. — 474 ὃ δὲ C. — 475 ἦλθε ACDH. — 479 τοῖcι H. Heraclid. Alleg. C. 16. — 480 οἱ δ' D. οἵδ' GHL. — 483 ἥδ' CGHL, ceteri ἡ δ'. διαπρήcουcα DH. κέλευθον: κελεύθοοc Et. Mg. 687, 53. — 484 κατὰ CHL: μετὰ ADG Cant. Vat. Barocc. Eton. Vrat. A. Townl. Lips. Mosc. 1. — 485 ἔρυcαν DE 140, 4 et 20. — 486 ψαμάθοιc: ψαμάθου G Vrat. c. Mosc. 3. ψαμάθοιο L Mor. Cant. Lips. Vrat. a. b. ὑπο CDL ἕρματα D. ἔργματα H 2. man. τάνυcαν E 140, 21. — 487 δὲ cκίδναντο Vrat. a. b. κατα A. — 488 ὁ ACDGHL. παρ' ἥμενοc A. ὠκυπόροιcι ACDGH.

A. c. 465 τἆλλα: τ' ἄλλα Herodianus, cf. Schol. BL et Matranga Anecd. 436. — 474 ἀθετεῖται Aristonicus, conf. Bekk. An. 737, 4. — 484 ἀρίcταρχοc κατὰ οὐ μετὰ Didymus. — 488—492 Ζηνόδοτοc ἠθέτηκεν, τὸν δὲ „οὔτε ποτ' ἐc πόλεμον" (491) οὐδὲ ἔγραφεν Aristonicus.

διογενὴς Πηλέος υἱός, πόδας ὠκὺς Ἀχιλλεύς·
οὔτέ ποτ᾽ εἰς ἀγορὴν πωλέσκετο κυδιάνειραν
οὔτέ ποτ᾽ ἐς πόλεμον, ἀλλὰ φθινύθεσκε φίλον κῆρ
αὖθι μένων, ποθέεσκε δ᾽ ἀυτήν τε πτόλεμόν τε.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐκ τοῖο δυωδεκάτη γένετ᾽ ἠώς,
καὶ τότε δὴ πρὸς Ὄλυμπον ἴςαν θεοὶ αἰὲν ἐόντες
πάντες ἅμα, Ζεὺς δ᾽ ἦρχε. Θέτις δ᾽ οὐ λήθετ᾽ ἐφετμέων
παιδὸς ἑοῦ, ἀλλ᾽ ἥ γ᾽ ἀνεδύςετο κῦμα θαλάςςης,
ἠερίη δ᾽ ἀνέβη μέγαν οὐρανὸν Οὔλυμπόν τε.
εὗρεν δ᾽ εὐρύοπα Κρονίδην ἄτερ ἥμενον ἄλλων
ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο.
καί ῥα πάροιθ᾽ αὐτοῖο καθέζετο καὶ λάβε γούνων
cκαιῇ, δεξιτερῇ δ᾽ ἄρ᾽ ὑπ᾽ ἀνθερεῶνος ἑλοῦςα
λιςςομένη προςέειπε Δία Κρονίωνα ἄνακτα·
Ζεῦ πάτερ, εἴ ποτε δή cε μετ᾽ ἀθανάτοιςιν ὄνηςα
ἢ ἔπει ἢ ἔργῳ, τὸ δέ μοι κρήηνον ἐέλδωρ·
τίμηςόν μοι υἱόν, ὃς ὠκυμορώτατος ἄλλων
ἔπλετ᾽· ἀτάρ μιν νῦν γε ἄναξ ἀνδρῶν Ἀγαμέμνων
ἠτίμηςεν· ἑλὼν γὰρ ἔχει γέρας, αὐτὸς ἀπούρας.
ἀλλὰ cύ πέρ μιν τῖςον Ὀλύμπιε μητίετα Ζεῦ·
τόφρα δ᾽ ἐπὶ Τρώεςςι τίθει κράτος, ὄφρ᾽ ἂν Ἀχαιοὶ
υἱὸν ἐμὸν τίςωςιν, ὀφέλλωςίν τέ ἑ τιμῇ.
ὣς φάτο· τὴν δ᾽ οὔ τι προςέφη νεφεληγερέτα Ζεύς,
ἀλλ᾽ ἀκέων δὴν ἧςτο. Θέτις δ᾽ ὡς ἥψατο γούνων,

V. L. 489 πηλέως CDGS Vat. Mor. Laud. Barocc. Eton. πηλέος [ω] H. πηλῆος Harl. Mosc. 1. — 490 οὔτέ ποτ᾽ ACDGH. οὐδέ ποτ᾽ L. — 491 οὔτέ ποτ᾽ ACDGHL Draco de Metr. 97, 5. εἰς H. πόλεμόν γ᾽ Draco de Metr. 97, 5. — 492 καὶ πόλεμόν δε L. πόλεμόν DGH. — 495 ἐφετμάων H. — 496 ἀνεδύςετο Mosc. 1: ἀνεδύςατο CDE 140, 45 GLS. ἀνεδυςατο [ε] A. ἀνεδύςατο [ε] H. — 497 οὔλυμπόνδε L. — 498 εὗρε H 1. man. L. — 500 καὶ ῥὰ G. — 501 δ᾽ ἆρ AD. δ᾽ αὖ L. δὲ E 141, 43. — 504 τὸ δέ H. τόδέ CDL: ceteri τόδε. κρήηνον L. κρήηνον Vrat. A. κρίηνον [η] D. ἐέλδωρ G. — 505 μου υἱὸν HL. — 509 ἔπι AD. τρώεςςι L. — 510 ὀφέλλωςι CH. τιμῇ: τιμήν D Vrat. b. A. — 511 φᾶτο D. — 512 ἀκέων: ἀχέων Vrat. a.

A. c. 493 ὅτε δὴ Pamphilus: ὁτεδὴ Aristarchus. — 496 ἀνεδύςετο Aristarchus, conf. H. T. 229.

ὣς ἔχετ᾽ ἐμπεφυυῖα, καὶ εἴρετο δεύτερον αὖτις·
νημερτὲς μὲν δή μοι ὑπόςχεο καὶ κατάνευςον,
ἢ ἀπόειπ᾽, ἐπεὶ οὔ τοι ἔπι δέος, ὄφρ᾽ εὖ εἰδῶ,
ὅςςον ἐγὼ μετὰ πᾶςιν ἀτιμοτάτη θεός εἰμι.
τὴν δὲ μέγ᾽ ὀχθήςας προςέφη νεφεληγερέτα Ζεύς·
ἦ δὴ λοίγια ἔργ᾽, ὅ τέ μ᾽ ἐχθοδοπῆςαι ἐφήςεις
Ἥρῃ, ὅτ᾽ ἄν μ᾽ ἐρέθῃςιν ὀνειδείοις ἐπέεςςιν.
ἣ δὲ καὶ αὔτως μ᾽ αἰεὶ ἐν ἀθανάτοιςι θεοῖςι
νεικεῖ, καί τέ μέ φηςι μάχῃ Τρώεςςιν ἀρήγειν.
ἀλλὰ cὺ μὲν νῦν αὖτις ἀπόςτιχε, μή τι νοήςῃ
Ἥρη· ἐμοὶ δέ κε ταῦτα μελήςεται, ὄφρα τελέςςω.
εἰ δ᾽ ἄγε τοι κεφαλῇ κατανεύςομαι, ὄφρα πεποίθῃς·
τοῦτο γὰρ ἐξ ἐμέθεν γε μετ᾽ ἀθανάτοιςι μέγιςτον
τέκμωρ· οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ᾽ ἀπατηλὸν
οὐδ᾽ ἀτελεύτητον, ὅτι κεν κεφαλῇ κατανεύςω.
ἦ, καὶ κυανέῃςιν ἐπ᾽ ὀφρύςι νεῦςε Κρονίων·
ἀμβρόςιαι δ᾽ ἄρα χαῖται ἐπεῤῥώςαντο ἄνακτος
κρατὸς ἀπ᾽ ἀθανάτοιο· μέγαν δ᾽ ἐλέλιξεν Ὄλυμπον.
τώ γ᾽ ὣς βουλεύςαντε διέτμαγεν· ἣ μὲν ἔπειτα
εἰς ἅλα ἆλτο βαθεῖαν ἀπ᾽ αἰγλήεντος Ὀλύμπου,

V. L. 513 ὣς: ὡς A Cram. Epim. 364, 12. Et. Mg. 336, 11. Schol. λ 542. ἤρετο H. αὖθις G. ΑΥΘΙC Ambros. — 515 οὔτοι: οὔτι C 1. man. DG. ἔπι: ἔπει AD 1. man. ἐςτὶ L. εἰδῶ: εἰδῇς Suidas I, 2, 752, 5. — 516 μετα A. — 517 τήνδε GL. την δὲ A. — 518 ἦ δὴ: τινὲς ἤδη ἔγραψαν Eust. 143, 25, conf. ad 573. ἔργα L Ambros. ὅτέ μ᾽ L. ΟΤ᾽ ΕΜ᾽ Ambros. vulgo ὅτε μ᾽. — 519 ἥρη CDH. ὅτ᾽ ἄν: ὅταν GL. ὅτάν CD. ὀνειδίοις DE 143, 27 H 1. man. Eton. Vrat. c. — 520 ἣ δὲ C. αὔτως AG. αἰεὶ ACDGHL: vulgo αἰὲν ἐν, quod male sonat. θεοῖςι ACDGH. — 521 τέ με φηςὶ ADG (τε) HL. τ᾽ ἐμὲ Vat. — 522 αὖθις CG. μή cε libri omnes. — 523 δὲ καὶ D. — 524 τοι: τῇ E. κατανεύςομαι: ἐπινεύςομαι Athenaeus II, 66. πεπείθῃς [οι] L. — 526 τέκμαρ [ω] H. — 527 ὅ τί κεν Schol. Θ 5. E 144, 7. ὅ, τι κεν G. ὅπερ ἂν Stobaeus Flor. XI, 6. — 528 κυανέοιςιν C. κυανέοιςιν [η] H. — 529 ἐπεῤῥώςαντο: ἐπερρώοντο Eust. 1885, 60. — 531 διέτμαγεν ACDEH: διέτμαγον GL Lips. Vrat. a. 1. man. A. Mosc. 1. man. rec. 3. man. prim.

A. c. 513 ὣς Schol. BL. εἴρετο: εἶρε τὸ Demetrius Ixion. — 519 Ἥρῃ: Ἥρη Aristarchus. — 520 αἰὲν defendit G. Hermann. ad Hymn. in Ven. 202. — 522 μή cε: μή τι αἱ Ἀριςτάρχου καὶ αἱ ἄλλαι cχεδὸν πᾶςαι διορθώςεις Didymus. — 524 κατανεύςομαι, οὐχὶ ἐπινεύςομαι, Ἀρίςταρχος ἐν τοῖς πρὸς Φιλητᾶν προφέρεται Didymus. — 530 κρατὸς: κρητὸς Zenodotus. — 531 διέτμαγεν Aristarchus, cf. H. U. 288. — 532 ἆλτο Herodianus, non ἅλτο.

Ζεὺc δὲ ἑὸν πρὸc δῶμα. θεοὶ δ' ἅμα πάντεc ἀνέcταν
ἐξ ἑδέων, cφοῦ πατρὸc ἐναντίον· οὐδέ τιc ἔτλη
μεῖναι ἐπερχόμενον, ἀλλ' ἀντίοι ἔcταν ἅπαντεc.
ὣc ὃ μὲν ἔνθα καθέζετ' ἐπὶ θρόνου· οὐδέ μιν Ἥρη
ἠγνοίηcεν ἰδοῦc', ὅτι οἱ cυμφράccατο βουλὰc
ἀργυρόπεζα Θέτιc, θυγάτηρ ἁλίοιο γέροντοc.
αὐτίκα κερτομίοιcι Δία Κρονίωνα προcηύδα·
τίc δὴ αὖ τοι δολομῆτα θεῶν cυμφράccατο βουλάc;
αἰεί τοι φίλον ἐcτίν, ἐμεῦ ἀπὸ νόcφιν ἐόντα,
κρυπτάδια φρονέοντα δικαζέμεν, οὐδέ τί πώ μοι
πρόφρων τέτληκαc εἰπεῖν ἔποc, ὅττι νοήcηc.
τὴν δ' ἠμείβετ' ἔπειτα πατὴρ ἀνδρῶν τε θεῶν τε·
Ἥρη, μὴ δὴ πάνταc ἐμοὺc ἐπιέλπεο μύθουc
εἰδήcειν· χαλεποί τοι ἔcοντ' ἀλόχῳ περ ἐούcῃ.
ἀλλ' ὃν μέν κ' ἐπιεικὲc ἀκουέμεν, οὔ τιc ἔπειτα
οὔτε θεῶν πρότεροc τόν γ' εἴcεται οὔτ' ἀνθρώπων·
ὃν δέ κ' ἐγὼν ἀπάνευθε θεῶν ἐθέλωμι νοῆcαι,
μή τι cὺ ταῦτα ἕκαcτα διείρεο μηδὲ μετάλλα.
τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπιc πότνια Ἥρη·
αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπεc.
καὶ λίην cε πάροc γ' οὔτ' εἴρομαι οὔτε μεταλλῶ,
ἀλλὰ μάλ' εὔκηλοc τὰ φράζεαι, ἅcc' ἐθέληcθα.
νῦν δ' αἰνῶc δείδοικα κατὰ φρένα, μή cε παρείπῃ
ἀργυρόπεζα Θέτιc, θυγάτηρ ἁλίοιο γέροντοc·

V. ʟ. 533 δ' ἑὸν DL. δ' ἐὸν H. ἀνέcταν: ἕποντο E 146, 3. — 534 ἑδέων: ἑδρέων GHL Mor. Barocc. — 535 ἀντίοι: ἀντίον Townl. Eton. — 536 ὁ μὲν C. ἔνθ' ἐκαθέζετ' H. — 537 ἠγνοίηc' εἰδοῦc' L. cυμφράcατο G. — 539 προcηῦδα A. — 540 * δὴ αὖ: libri δ' αὖ. cυμφράcατο G. cυμφράccετο H. — 541 αἰεί coι E 147, 4 Schol. Arist. Plut. 797. ἐμοῦ G. ἀπὸ νόcφιν EGL 1. man. (?) Hesych. I, 73. ἄπο νόcφιν Bekk. Anecd. 361, 10. — 542 οὐδέ τι πώ μοι C (πῶ) GL. — 543 νοήcηc: νοήcειc CEGHLS. — 549 δέ κ': δ' ἂν E. * ἐθέλωμι: ἐθέλοιμι ACDEGHLS. — 550 μήτε cὺ L Vrat. b. ταῦθ' C. ταῦτ' B. διήρεο D. μηδὲ: μὴ δὲ CDGHL. — 552 ἔειπεc ACDGH Eton. Laud. Lips. Vrat. omnes Mosc. 1. 3. Townl.: ἔειπαc E ter LS. — 553 λίαν H. πάροc γ': πάροc τ' Harl. Mor. Barocc. εἴρομαι: ἤρομαι D. — 555 κατα A.

'A. c. 541 ἀπὸ νόcφιν, conf. H. U. 88. — 549 ἐθέλωμι, cf. H. U. 250. ἐθέλοιμι admitti posse censet G. Hermann. Opusc. II. 38. — 553 οὔτε Aristarchus, Aristophanes, Rhianus: alii οὐδέ, quibus adversatur Didymus. — 554 ἅcc' ἐθέληcθα Aristarchus: Dion. Sidonius ὅττι θέληcθα, cf. H. T. 235.

ἠερίη γὰρ coί γε παρέζετο καὶ λάβε γούνων·
τῇ c' ὀίω κατανεῦcαι ἐτήτυμον, ὡc Ἀχιλῆα
τιμήcηc, ὀλέcηc δὲ πολέαc ἐπὶ νηυcὶν Ἀχαιῶν.
τὴν δ' ἀπαμειβόμενοc προcέφη νεφεληγερέτα Ζεύc·
δαιμονίη, αἰεὶ μὲν ὀίεαι, οὐδέ cε λήθω.
πρῆξαι δ' ἔμπηc οὔ τι δυνήcεαι, ἀλλ' ἀπὸ θυμοῦ
μᾶλλον ἐμοὶ ἔcεαι· τὸ δέ τοι καὶ ῥίγιον ἔcται.
εἰ δ' οὕτω τοῦτ' ἐcτίν, ἐμοὶ μέλλει φίλον εἶναι.
ἀλλ' ἀκέουcα κάθηcο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ.
μή νύ τοι οὐ χραίcμωcιν ὅcοι θεοί εἰc' ἐν Ὀλύμπῳ
ἆccον ἰόνθ', ὅτε κέν τοι ἀάπτουc χεῖραc ἐφείω.
ὣc ἔφατ', ἔδειcεν δὲ βοῶπιc πότνια Ἥρη,
καί ῥ' ἀκέουcα καθῆcτο, ἐπιγνάμψαcα φίλον κῆρ·
ὤχθηcαν δ' ἀνὰ δῶμα Διὸc θεοὶ Οὐρανίωνεc.
τοῖcιν δ' Ἥφαιcτοc κλυτοτέχνηc ἦρχ' ἀγορεύειν
μητρὶ φίλῃ ἐπὶ ἦρα φέρων, λευκωλένῳ Ἥρῃ·
ἦ δὴ λοίγια ἔργα τάδ' ἔccεται οὐδ' ἔτ' ἀνεκτά,
εἰ δὴ cφὼ ἕνεκα θνητῶν ἐριδαίνετον ὧδε,
ἐν δὲ θεοῖcι κολῳὸν ἐλαύνετον· οὐδέ τι δαιτὸc

V. ʟ. 559 τιμήcειc D 1. man. L. ὀλέcειc D 1. man. — 560 τὴν δ' ἀπαμειβόμενοc: γρ. τὴν δὲ μέγ' ὀχθήcαc A. — 562 ἄπο GH. — 563 ἔcεαι: ἔccεαι D Lips. Townl. Vrat. A. τόδε AGL. τόδέ D. — 565 δὲ πείθεο G. — 566 εἶc' L. εἰcὶν ὀλύμπῳ G. — 567 ἆccον CEGHL: ἄccον AD. ἰόντε E 150, 25 Schol. I, 182. ἰόνθ' (ε) A. — 568 * ἔδειcεν: ἔδδειcε DH 1. man., ceteri ἔδδειcεν. — 569 ἀκέουcα: ἀκούουcα H. ἀέκουcα Vrat. b. ἐπιγνάψαcα DLS Laud. — 570 ὤχθηcαν: ὄχθηcαν E Eton. Lips. Schol. B 212. ὤχθϊcαν C. — 571 τοῖcι CH. — 572 ἐπὶ ἦρα Hesych. s. v. ΗΡΑ: ἐπίηρα CDEGHLS Schol. Υ 36, c 56. Apoll. Lex. 73, 11. ἐπίηιρα A. — 573 ἦ δὴ: ἤδη Et. Mg. 419, 9. Apoll. Lex. 82, 19. Cram. An. Par. III, 130, 29; 344, 15; Epim. 184, 29. Eust. 100, 6, ubi add. εἰ δέ τινεc τοῦτο ἄλλωc γράφουcιν ἦ δή, conf. 518. οὐδ' ἔτ' AD: οὐδέ τ' CEGHLS Lips. Vrat. b. Mosc. 1. 3. οὐκέτ' Schol. Θ 355. — 575 κολῳὸν ACDE: κολωὸν GHL.

A. c. 559 πολέαc: Zenodotus πολεῖc. — 567 ἰόντε Zenodotus: ἰόντι Aristarchus, cf. Schol. Ι 182. vera scriptura est ἰόντα, conf. Η 143, Λ 120, Υ 296. ἀάπτουc Aristarchus (et ἀέπτουc?), Zenodotus et Herodianus ἀἄπτουc, Apio ἀἄπτουc: Aristophanes ἀέπτουc, cf. H. T. 175. — 572 ἐπίηρα Aristarchus ὑφ' ἕν: alii ἐπὶ ἦρα, quod probat Herodianus, vid. H. T. 257. ἀντὶ τοῦ λευκωλένῳ Ἥρῃ ὤφειλεν εἶναι τετιημένη ἦτορ Schol. BL. — 573 ἦ δή, conf. Schol. Α 219, 529, Θ 355. τινὲc δὲ τὸ ἦ δή, ὡc Ἀπίων καὶ Ἡρόδωρόc φαcιν, ἐν ἑνὶ μέρει λόγου ἤδη φαcίν Eust. 153, 16. — 574 cφὼ Herodianus, cf. Schol. L. — 575 κολῳὸν: Philoxenus κολωὸν, conf. H. T. 300.

ἐcθλῆc ἔccεται ἦδοc, ἐπεὶ τὰ χερείονα νικᾷ.
μητρὶ δ' ἐγὼ παράφημι, καὶ αὐτῇ περ νοεούcῃ,
πατρὶ φίλῳ ἐπὶ ἦρα φέρειν Διί, ὄφρα μὴ αὖτε
νεικείῃcι πατήρ, cὺν δ' ἥμιν δαῖτα ταράξῃ.
εἴ περ γάρ κ' ἐθέλῃcιν Ὀλύμπιοc ἀcτεροπητὴc
ἐξ ἑδέων cτυφελίξαι· ὁ γὰρ πολὺ φέρτατόc ἐcτιν.
ἀλλὰ cὺ τόν γ' ἐπέεccι καθάπτεcθαι μαλακοῖcιν·
αὐτίκ' ἔπειθ' ἵλαοc Ὀλύμπιοc ἔccεται ἥμιν.
ὣc ἄρ' ἔφη, καὶ ἀναΐξαc δέπαc ἀμφικύπελλον
μητρὶ φίλῃ ἐν χειρὶ τίθει, καί μιν προcέειπε·
τέτλαθι μῆτερ ἐμὴ καὶ ἀνάcχεο κηδομένη περ,
μή cε φίλην περ ἐοῦcαν ἐν ὀφθαλμοῖcιν ἴδωμαι
θεινομένην, τότε δ' οὔ τι δυνήcομαι ἀχνύμενόc περ
χραιcμεῖν· ἀργαλέοc γὰρ Ὀλύμπιοc ἀντιφέρεcθαι.
ἤδη γάρ με καὶ ἄλλοτ' ἀλεξέμεναι μεμαῶτα
ῥῖψε ποδὸc τεταγὼν ἀπὸ βηλοῦ θεcπεcίοιο.
πᾶν δ' ἦμαρ φερόμην, ἅμα δ' ἠελίῳ καταδύντι
κάππεcον ἐν Λήμνῳ· ὀλίγοc δ' ἔτι θυμὸc ἐνῆεν·
ἔνθά με Cίντιεc ἄνδρεc ἄφαρ κομίcαντο πεcόντα.
ὣc φάτο, μείδηcεν δὲ θεὰ λευκώλενοc Ἥρη,
μειδήcαcα δὲ παιδὸc ἐδέξατο χειρὶ κύπελλον.
αὐτὰρ ὁ τοῖc ἄλλοιcι θεοῖc ἐνδέξια πᾶcιν
οἰνοχόει γλυκὺ νέκταρ ἀπὸ κρητῆροc ἀφύccων.
ἄcβεcτοc δ' ἄρ' ἐνῶρτο γέλωc μακάρεccι θεοῖcιν,

V. ι. 578 ἐπίηρα libri omnes. Hesych. II, 285 ἐπὶ ἦρα. — 579 ἥμιν A Cram. Ep. 188, 19. ἡμιν Schol. A 147. ὕμιν Et. Mg. 432, 35. vulgo ἡμῖν. — 581 ἑδέων ACDEHL: ἑδρέων G Cant. Mor. conf. 534. ὁ ACD GHL Cram. An. Par. III, 109, 19. πολυφέρτατόc D. φέρτεροc Cram. An. Par. III, 109, 19. — 583 ἥμιν A: ceteri ἡμῖν. — 584 ἂρ GL. — 585 χειρὶ: χερcὶ ACDGHL. προcέειπε CGH. — 591 ῥῖψε Schol. Ξ 257. Bekk. An. 1286: ῥίψε ACDGHL. — 592 καταδῦντι D. — 593 δ' ἔτι ACDGS: δέ τι HL Eton. Mosc. 3. δέ μοι Eust. 157, 20; 1160, 15. — 594 ἔνθά με ACD. cίντιοι G. — 595 φᾶτο D. μείδηcε H. — 597 ὁ ACDGHL. — 598 οἰνοχόει: ᾠνοχόει vel ὠνοχόει ACDGHLS Schol. Δ 3. κρατῆροc G. — 599 ἂρ ADHL. δ' ἐνῶρτο G. δ' ἀνῶρτο Rhet. Gr. III, 192, 19. δὲ ἀνῶρτο Et. Mg. 152, 9. θεοῖcι A.

A. c. 576 ἦδοc Herodianus: ἧδοc Trypho apud Cram. An. Par. III, 367, 16. — 579 ἥμιν Herodianus. — 585 χειρὶ Aristarchus, Aristophanes, Sosigenes, Massiliensis. — 591 βηλοῦ Aristarchus: βήλου Crates. — 593 ἐν Λήμνῳ Aristarchus: alii ἐc Λῆμνον. — 598 οἰνοχόει Aristarchus, Aristophanes, Zenodotus, Antimachus, Argolica, Massiliensis.

ὡc ἴδον Ἥφαιcτον διὰ δώματα ποιπνύοντα.
ὣc τότε μὲν πρόπαν ἦμαρ ἐc ἠέλιον καταδύντα
δαίνυντ', οὐδέ τι θυμὸc ἐδεύετο δαιτὸc ἐίcηc,
οὐ μὲν φόρμιγγοc περικαλλέοc, ἣν ἔχ' Ἀπόλλων,
μουcάων θ', αἳ ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ.
αὐτὰρ ἐπεὶ κατέδυ λαμπρὸν φάοc ἠελίοιο,
οἳ μὲν κακκείοντεc ἔβαν οἶκον δὲ ἕκαcτοc,
ἧχι ἑκάcτῳ δῶμα περικλυτὸc ἀμφιγυήειc
Ἥφαιcτοc ποίηcεν ἰδυίῃcι πραπίδεccι.
Ζεὺc δὲ πρὸc ὃν λέχοc ἤι' Ὀλύμπιοc ἀcτεροπητήc,
ἔνθα πάροc κοιμᾶθ', ὅτε μιν γλυκὺc ὕπνοc ἱκάνοι·
ἔνθα καθεῦδ' ἀναβάc, παρὰ δὲ χρυcόθρονοc Ἥρη.

ΙΛΙΑΔΟC Β.

Ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρεc ἱπποκορυcταὶ
εὗδον παννύχιοι, Δία δ' οὐκ ἔχε νήδυμοc ὕπνοc,
ἀλλ' ὅ γε μερμήριζε κατὰ φρένα, ὡc Ἀχιλῆα
τιμήcῃ, ὀλέcῃ δὲ πολέαc ἐπὶ νηυcὶν Ἀχαιῶν.

V. ι. 601 ἦμαρ D. ἐc: ἕωc G. — 602 οὐδέ τι: οὐδ' ἔτι D. οὐδέ τε G. — 603 μὲν: μὴν A 2. man. Mosc. 3. — 604 καλλῇ G. μὲν: δὲ Schol. Ξ 37. οἶκον δὲ A: οἶκονδε CDG. οἴκονδε L. vulgo οἰκόνδε. — 607 ἧχι: ᾗχι A Cram. Epim. 192, 28; An. Par. III, 301, 31; An. Par. IV, 9, 5. — 608 ποίηcεν ἰδυίῃcι A Ambros. L Apoll. Lex. 90, 5. Hesych. II, 295. ποίηcεν εἰδυίῃcι E 162, 20. ποίηcεν ἰδίῃcι Et. Mg. 805, 38: ποίηc' εἰδυίῃcι CDGHS Et. Mg. 440, 19. Cram. An. Par. III, 106, 23. εἰδυίαιcι Suidas II, 2, 400, 3. γρ. ποίηc' εἰδυίῃcι πρα A. πραπίδεccι AH. — 609 ἤϊ': HI Ambros. ἤϊε G. ᾖει Apoll. de Pron. 135 C. — 610 ὅτέ μιν C. ἱκάνει Vrat. a. — 611 καθεῦδ': κάθευδ' C 1. man. DGL. παρα A.

A. c. 606 δὴ κείοντεc: οὕτω πᾶcαι· καὶ ἔcτιν ὅμοιον τῷ „κείων ἐc θάλαμον" (τ 48) Schol. L. — 607 ἧχι Aristarchus et Dionysius. — 609 ὃν λέχοc: ὃ λέχοc Zenodotus, conf. Apollon. de Pron. 140. — 611 ἔνθα καθεῦδ': ἔνθ' ἐκάθευδ' Zenodotus, conf. Schol. A 68, γ 402, ζ 1. Düntzer, de Zenod. pg. 60.

V. ι. 1 μὲν ῥὰ L. — 2 ἔχε, νήδυμοc A. — 3 ὅ γε: ὅδε C. μερμήριξεν Et. Mg. 580, 26. ἀχιλλῆα DH 1. man. — 4 τιμήcῃ CDEGHLS Schol. Θ 5, X 468. τιμηc^{ει}ῆι A. ὀλέcῃ ACDEGHLS Schol. Θ 5, X 468.

A. c. 1 ἄλλοι: Zenodotus ὦλλοι, conf H. T. 186. — 2 ἔχε νήδυμοc Aristarchus: alii ἔχεν ἥδυμοc, conf. H. T. 315. — 4 τιμήcῃ, ὀλέcῃ, conf. H. U. 242. τιμήcει εὐκτικόν, τὸ δὲ ὀλέcῃ ὑποτακτικόν Schol. ABL.

ἦδε δέ οἱ κατὰ θυμὸν ἀρίϲτη φαίνετο βουλή,
πέμψαι ἐπ' Ἀτρείδῃ Ἀγαμέμνονι οὖλον ὄνειρον·
καί μιν φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα·
βάϲκ' ἴθι οὖλε ὄνειρε θοὰϲ ἐπὶ νῆαϲ Ἀχαιῶν.
ἐλθὼν ἐϲ κλιϲίην Ἀγαμέμνονοϲ Ἀτρεΐδαο
πάντα μάλ' ἀτρεκέωϲ ἀγορευέμεν, ὡϲ ἐπιτέλλω.
θωρῆξαί ἑ κέλευε κάρη κομόωνταϲ Ἀχαιοὺϲ
πανϲυδίῃ· νῦν γάρ κεν ἕλοι πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ' ἀμφὶϲ Ὀλύμπια δώματ' ἔχοντεϲ
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπανταϲ
Ἥρη λιϲϲομένη, Τρώεϲϲι δὲ κήδε' ἐφῆπται.
ὣϲ φάτο, βῆ δ' ἄρ' ὄνειροϲ, ἐπεὶ τὸν μῦθον ἄκουϲε.
καρπαλίμωϲ δ' ἵκανε θοὰϲ ἐπὶ νῆαϲ Ἀχαιῶν,
βῆ δ' ἄρ' ἐπ' Ἀτρείδην Ἀγαμέμνονα· τὸν δὲ κίχανεν
εὕδοντ' ἐν κλιϲίῃ, περὶ δ' ἀμβρόϲιοϲ κέχυθ' ὕπνοϲ.
ϲτῆ δ' ἄρ' ὑπὲρ κεφαλῆϲ Νηληΐῳ υἷι ἐοικώϲ,
Νέϲτορι, τόν ῥα μάλιϲτα γερόντων τῖ' Ἀγαμέμνων·
τῷ μιν ἐειϲάμενοϲ προϲεφώνεε θεῖοϲ ὄνειροϲ·
εὕδειϲ Ἀτρέοϲ υἱὲ δαΐφρονοϲ ἱπποδάμοιο·
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ᾧ λαοί τ' ἐπιτετράφαται καὶ τόϲϲα μέμηλε.
νῦν δ' ἐμέθεν ξύνεϲ ὦκα· Διὸϲ δέ τοι ἄγγελόϲ εἰμι,
ὃϲ ϲευ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ' ἐλεαίρει.

V. ι. 5 ἧδε A Et. Gud. 236, 7. — 6 ἀτρείδην ἀγαμέμνονα GS Barocc. Laud. — 9 ἐϲ: δ' ἐϲ CGS. — 10 ἐπιτέλλω: ἀγορεύω L. — 11 κάρη κομόωνταϲ A: ceteri καρηκομόωνταϲ. — 12 πανϲυδίῃ: παϲϲυδίῃ GLS Apoll. Lex. 128, 31. παϲυδίη vel παϲϲυδίη Mor. Barocc. Harl. Eton. man. sec. Mosc. 2. ἕλῃ G. εὐρυάγειαν G. — 13 τρῴων GL. — 14 ἐπέγναψε C 1. man. DL Et. Mg. 236, 12. Zonar. Lex. 445. ἐπέγναψεν Lips. ἐπέγναμψε Eust. 150, 13; 1229, 63. — 15 Τρώεϲϲι δὲ κήδε' ἐφῆπται: δίδομεν δέ οἱ εὖχοϲ ἀρέϲθαι Aristoteles Poët. 25; Soph. El. 4. — 16 φᾶτο D. ἂρ ADH. δ' ὄνειροϲ L. ἄκουϲε ACDHL. — 18 ἂρ DGHL. ἐπατρείδην A. * δὲ κίχανεν: libri δ' ἐκίχανεν. — 19 περι AD. — 20 ἂρ ADGHL. ὑπερ A. νηληείω H. υἷῖ D. — 21 τὸν ῥὰ L. τί' D. — 22 θεῖοϲ: γράφεται καὶ οὖλοϲ A, ita Mosc. 2. — 23 ἀτρέωϲ CDG Mosc. 1. — 25 τ' omitt. L. μέμηλε ACEGH. — 26 δεμέθεν D. — 27 ὅϲ ϲευ L; ceteri ὃϲ ϲεῦ cum Schol. Υ 334, sed Ω 174 plerique ὅϲ ϲευ.

τιμήϲῃ Nicanor. ὀλέϲαι, quod vulgo scribunt, est coniectura. πολέαϲ: πολῦϲ Zenodotus, quem potius πολεῖϲ scripsisse puto, conf. Schol. A 559.

A. c. 8 βάϲκ' ἴθι: Tyrannio βάϲκιθι. — 12 πανϲυδίῃ Aristarchus. ἕλοι Zenodotus: ἕλοιϲ Aristarchus. 27 ἀϲτερίϲκοϲ ϲὺν ὀβελίϲκῳ, ὀρθῶϲ Ω 174. ὀρθοτονητέον τὴν ϲεῦ Herodianus.

θωρῆξαί ϲ' ἐκέλευϲε κάρη κομόωνταϲ Ἀχαιοὺϲ
πανϲυδίῃ· νῦν γάρ κεν ἕλοιϲ πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ' ἀμφὶϲ Ὀλύμπια δώματ' ἔχοντεϲ
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπανταϲ
Ἥρη λιϲϲομένη, Τρώεϲϲι δὲ κήδε' ἐφῆπται
ἐκ Διόϲ. ἀλλὰ ϲὺ ϲῇϲιν ἔχε φρεϲί, μὴ δέ ϲε λήθη
αἱρείτω, εὖτ' ἄν ϲε μελίφρων ὕπνοϲ ἀνήῃ.
ὣϲ ἄρα φωνήϲαϲ ἀπεβήϲετο, τὸν δὲ λίπ' αὐτοῦ
τὰ φρονέοντ' ἀνὰ θυμόν, ἅ ῥ' οὐ τελέεϲθαι ἔμελλον.
φῆ γὰρ ὅ γ' αἱρήϲειν Πριάμου πόλιν ἤματι κείνῳ,
νήπιοϲ, οὐδὲ τὰ ᾔδη, ἅ ῥα Ζεὺϲ μήδετο ἔργα·
θήϲειν γὰρ ἔτ' ἔμελλεν ἐπ' ἄλγεά τε ϲτοναχάϲ τε
Τρωϲί τε καὶ Δαναοῖϲι διὰ κρατερὰϲ ὑϲμίναϲ.
ἔγρετο δ' ἐξ ὕπνου, θείη δέ μιν ἀμφέχυτ' ὀμφή.
ἕζετο δ' ὀρθωθείϲ, μαλακὸν δ' ἔνδυνε χιτῶνα,
καλὸν νηγάτεον, περὶ δὲ μέγα βάλλετο φᾶροϲ·
ποϲϲὶ δ' ὑπὸ λιπαροῖϲιν ἐδήϲατο καλὰ πέδιλα,
ἀμφὶ δ' ἄρ' ὤμοιϲιν βάλετο ξίφοϲ ἀργυρόηλον.
εἵλετο δὲ ϲκῆπτρον πατρώιον, ἄφθιτον αἰεί·
ϲὺν τῷ ἔβη κατὰ νῆαϲ Ἀχαιῶν χαλκοχιτώνων.
ἠὼϲ μέν ῥα θεὰ προϲεβήϲετο μακρὸν Ὄλυμπον

V. ι. 28 ϲ' ἐκέλευϲε ACS Mor. Barocc. ϲ' ἐκέλευε H Lips. Townl. Eton. ϲε κέλευϲε G (ϲὲ) L. ϲε κέλευε D, conf. 65. κάρη κομόωνταϲ A: ceteri καρηκομόωνταϲ. — 29 πανϲυδίῃ: παϲϲυδίῃ GLS. — 30 τρῴων GL. — 31 ἐπέγναμψε CH 1. man. ἐπέγναψε DL. — 32 τρῴεϲϲι L. — 33 μὴ δέ ϲε CDGHL Et. Mg. 38, 6. Et. Gud. 21, 38. Zonar. Lex. 1179: μηδέ ϲε AE. — 34 ἀνήῃ AEGH Cram. Epim. 2, 5. ἀνήῃ CD. ἀνήῃ Et. Mg. 106, 52. ἀνίῃ L. — 35 ἀπεβήϲετο AC 1. man. Townl. Eton. Mosc. 1. 2.: ἀπεβήϲατο C 2. man. DHL. ἀπεβήϲϲατο G. δὲ λίπ' A: ceteri δ' ἔλιπ'. — 36 ἃ οὐ G. ἔμελλον Eust. 168, 39 G: ἔμελλε ACH Suidas I, 2, 203, 10. ἔμελλεν DL Apoll. Lex. 1, 11. — 37 πριάμοιο L. — 38 τὰ: τὸ Bekk. An. 938, 25. ᾔδη AD 2. man.: ᾔδῃ GH. ᾔδει L Mor. ἤδει D 1. man. S. ἃ ῥὰ CL. ἅ ῥ' ὁ Ζεὺϲ Mor. Barocc. — 40 τρωϲί L. — 42 δ' omitt. E. ἔδυνε L. — 43 περι AD. δὲ: δ' αὖ L Draco de Metr. 92, 18. φάροϲ D. φᾶροϲ et φάροϲ C. — 44 ὑπο ADH. ὑπὸ Lips. Vrat. a. man. prim. A. ὑπαὶ GL Draco de Metr. 76, 26. τὸ ὑπὸ λιπαροῖϲι τινὲϲ ὑπαὶ λιπαροῖϲι γράφουϲιν Eust. 170, 27. πέδιλα: πέδηλα D 1. man. G. — 45 ἂρ ADEGL. ἄρα H. ὤμοιϲι DH Schol. A 37. — 48 μὲν ῥὰ L. προϲεβήϲετο: προϲεβήϲατο CDEHL. προϲεβήϲϲατο G.

A. c. 34 ἀνήῃ Aristarchus, cf. H. T. 405 sq. — 35 ἀπεβήϲετο Zenodotus: ceteri ἀπεβήϲατο teste Schol. BC. δὲ λίπ': οὕτωϲ ἰωνικῶϲ τὸ λίπε Didymus. — 36 ἔμελλον Aristarchus: Zenodotus ἔμελλεν, conf. H. T. 383. — 44 ὑπὸ, non ὑπαὶ scribendum, cf. H. U. 50.

Ζηνὶ φόως ἐρέουϲα καὶ ἄλλοιϲ ἀθανάτοιϲιν·
αὐτὰρ ὃ κηρύκεϲϲι λιγυφθόγγοιϲι κέλευϲε
κηρύϲϲειν ἀγορὴν δὲ κάρη κομόωνταϲ Ἀχαιούϲ·
οἳ μὲν ἐκήρυϲϲον, τοὶ δ᾽ ἠγείροντο μάλ᾽ ὦκα.
βουλὴν δὲ πρῶτον μεγαθύμων ἷζε γερόντων
Νεϲτορέῃ παρὰ νηὶ Πυλοιγενέοϲ βαϲιλῆοϲ·
τοὺϲ ὅ γε ϲυγκαλέϲαϲ πυκινὴν ἠρτύνετο βουλήν·
κλῦτε φίλοι· θεῖόϲ μοι ἐνύπνιον ἦλθεν ὄνειροϲ
ἀμβροϲίην διὰ νύκτα· μάλιϲτα δὲ Νέϲτορι δίῳ
εἶδόϲ τε μέγεθόϲ τε φυήν τ᾽ ἄγχιϲτα ἐῴκει.
ϲτῆ δ᾽ ἄρ᾽ ὑπὲρ κεφαλῆϲ καί με πρὸϲ μῦθον ἔειπεν·
εὕδειϲ Ἀτρέοϲ υἱὲ δαΐφρονοϲ ἱπποδάμοιο·
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ᾧ λαοί τ᾽ ἐπιτετράφαται καὶ τόϲϲα μέμηλε.
νῦν δ᾽ ἐμέθεν ξύνεϲ ὦκα· Διὸϲ δέ τοι ἄγγελόϲ εἰμι,
ὃϲ ϲευ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ᾽ ἐλεαίρει.
θωρῆξαί ϲ᾽ ἐκέλευϲε κάρη κομόωνταϲ Ἀχαιοὺϲ
πανϲυδίῃ· νῦν γάρ κεν ἕλοιϲ πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ᾽ ἀμφὶϲ Ὀλύμπια δώματ᾽ ἔχοντεϲ

V. ι. 49 φόωϲ: φάοϲ G. ἀθανάτοιϲι C. — 50 ὃ CDGHL. κέλευϲε AH Vrat. a. b. c. Lips. Mosc. 1. 2. κέλευε CDEG. κέλευεν S. — 52 ἀγορὴν δὲ A. κάρη κομόωνταϲ A: ceteri καρηκομόωνταϲ. — 53 βουλὴν ACEGS Et. Mg. 208, 37. Stob. Floril. 48, 9. βουλήνδε DHL. ἷζε EL: ἶζε AGH Et. Mg. 208, 37. Stob. Flor. 48, 9. ἵζε C. — 54 νεϲτορίῃ GS. νεϲτορίη H, ε 2. man. Πυλοιγενέοϲ: πυληγενέοϲ CDGLS, utrumque E. πυληγενέοϲ H, οι 2. man. — 56 ἐνύπνιον: ἐνύπνιοϲ D. — 58 τε μέγεθόϲ: τ᾽ αὖ μέγεθοϲ L. — 59 ἂρ ADGHL. ὕπερ A. — 60 ἀτρέωϲ CD. — 62 τ᾽ omitt. L. μέμηλε ACGH. — 63 ἄγγελοϲ εἰμὶ GL. — 64 ὅϲ ϲευ L, ceteri ὃϲ ϲεῦ. — 65 ϲ᾽ ἐκέλευϲε CLS Harl. Vrat. a. ϲ᾽ ἐκέλευε H. Lips. Townl. Eton. ϲε κέλευε D. ϲε κέλευϲε AG. κάρη κομόωνταϲ A: ceteri καρηκομόωνταϲ. — 66 παϲϲυδίῃ GLS. — 67 τρῴων GL.

A. c. 53 βουλὴν Zenodotus et αἱ κοιναί: βουλὴ Aristarchus cum Aristophane. Ἀρίϲταρχοϲ τὸ ἷζεν ἐκτείνει, ἡ δὲ κοινὴ ϲυϲτέλλει. — 54 Πυλοιγενέοϲ δὲ ὡϲ ὁδοιπόροϲ, χοροιτύποϲ (Ω 261. add. ὀλοοίτροχοϲ χροιῇ Ξ 164) Schol. BL. — 55 Zenodotus αὐτὰρ ἐπεί ῥ᾽ ἤγερθεν ὁμηγερέεϲ τ᾽ ἐγένοντο, τοῖϲι δ᾽ ἀνιϲτάμενοϲ μετέφη κρείων Ἀγαμέμνων. — 56 θεῖοϲ: Zenodotus θεῖον. huic asteriscus adpictus est, quod hinc transpositus est in Odyss. ξ 495. — 60—70 Ζηνόδοτοϲ ϲυντέτμηκεν „ἠνώγει (Cod. ἀνώγει) ϲε πατὴρ ὑψίζυγοϲ, αἰθέρι ναίων, Τρωϲὶ μαχήϲαϲθαι προτὶ Ἴλιον. ὡϲ ὁ μὲν εἰπών“ Aristonicus. — 64 habet asteriscum et obelum, conf. 27.

ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπανταϲ
Ἥρη λιϲϲομένη, Τρώεϲϲι δὲ κήδε᾽ ἐφῆπται
ἐκ Διόϲ. ἀλλὰ ϲὺ ϲῇϲιν ἔχε φρεϲίν. ὣϲ ὁ μὲν εἰπὼν
ᾤχετ᾽ ἀποπτάμενοϲ, ἐμὲ δὲ γλυκὺϲ ὕπνοϲ ἀνῆκεν.
ἀλλ᾽ ἄγετ᾽, αἴ κέν πωϲ θωρήξομεν υἷαϲ Ἀχαιῶν.
πρῶτα δ᾽ ἐγὼν ἔπεϲιν πειρήϲομαι, ἣ θέμιϲ ἐϲτί,
καὶ φεύγειν ϲὺν νηυϲὶ πολυκλήιϲι κελεύϲω·
ὑμεῖϲ δ᾽ ἄλλοθεν ἄλλοϲ ἐρητύειν ἐπέεϲϲιν.
ἦ τοι ὅ γ᾽ ὣϲ εἰπὼν κατ᾽ ἄρ᾽ ἕζετο, τοῖϲι δ᾽ ἀνέϲτη
Νέϲτωρ, ὅϲ ῥα Πύλοιο ἄναξ ἦν ἠμαθόεντοϲ·
ὅ ϲφιν ἐὺ φρονέων ἀγορήϲατο καὶ μετέειπεν·
ὦ φίλοι, Ἀργείων ἡγήτορεϲ ἠδὲ μέδοντεϲ,
εἰ μέν τιϲ τὸν ὄνειρον Ἀχαιῶν ἄλλοϲ ἔνιϲπε,
ψεῦδόϲ κεν φαῖμεν καὶ νοϲφιζοίμεθα μᾶλλον·
νῦν δ᾽ ἴδεν ὃϲ μέγ᾽ ἄριϲτοϲ Ἀχαιῶν εὔχεται εἶναι.
ἀλλ᾽ ἄγετ᾽, αἴ κέν πωϲ θωρήξομεν υἷαϲ Ἀχαιῶν.
ὣϲ ἄρα φωνήϲαϲ βουλῆϲ ἐξ ἦρχε νέεϲθαι.
οἳ δ᾽ ἐπανέϲτηϲαν πείθοντό τε ποιμένι λαῶν,
ϲκηπτοῦχοι βαϲιλῆεϲ· ἐπεϲϲεύοντο δὲ λαοί.
ἠύτε ἔθνεα εἶϲι μελιϲϲάων ἁδινάων,
πέτρηϲ ἐκ γλαφυρῆϲ αἰεὶ νέον ἐρχομενάων·
βοτρυδὸν δὲ πέτονται ἐπ᾽ ἄνθεϲιν εἰαρινοῖϲιν·
αἳ μέν τ᾽ ἔνθα ἅλιϲ πεποτήαται, αἳ δέ τε ἔνθα·
ὣϲ τῶν ἔθνεα πολλὰ νεῶν ἄπο καὶ κλιϲιάων

V. ι. 68 ἐπέγναμψε C. ἐπέγναψε DL. — 69 τριῴεϲϲι L. — 70 ὡϲ A. ὃ μὲν C. — 73 ἐγὼν: ἔγωγ᾽ S. ἔπεϲι E Et. Mg. 693, 16. πειράϲομαι H 1. man. ἣ AG: ἡ CDHLS. ῃ E. ἐϲτί CL. — 74 κελεύϲω: κελεύω Et. Mg. 518, 44. — 76 ἦ τοι: libri ἤτοι. καταρέζετο CDH 1. man. ἂρ GL. — 77 ὃϲ ῥὰ CHL. — 78 ὅ, ϲφιν C: ὅϲ ϲφιν L. ὃϲ ϲφίν G. ceteri ὅ ϲφιν. * ἐὺ φρονέων: εὖ φρονέων CDHLS, ceteri ἐΰφρονέων. — 79 οἰκήτορεϲ (ηγ supra) H. ἔνιϲπε ACDL. — 82 Ἀχαιῶν: ἐνὶ ϲτρατῷ E 175, 22 L, conf. A 91. — 84 ἐξ ἦρχε: ἐξῆρχε ACDE 176, 13; 219, 31 GHL tres Vratt. Mosc. 1. — 85 οἵδ᾽ CGHL, ceteri οἱ δ᾽. ἐπανέϲταν L. — 87 ἠΰτ᾽ Pseudoplut. 122, 38. ἁδινάων A, ceteri ἀδινάων. — 89 βοτρυδόνδε DL. — 90 αἳ μέν τ᾽ G. τ᾽ ἔνθ᾽ H. πεποτίαται D. δέ τ᾽ ἔνθα L. — 91 ὡϲ A. ἀπο D.

A. c. 74 πολυκλήιϲι: τινὲϲ προπεριϲπῶϲιν Et. Mg. 518, 44. — 76—83 ἀθετοῦνται Aristonicus. de versu 81. conf. Schol. Ω 222. — 87 ἁδινάων Herodianus. — 85 δ᾽ ἐπανέϲτηϲαν: τινὲϲ πανέϲτηϲαν γράφουϲιν, ἤτοι πάντεϲ ὀρθοὶ ἔϲτηϲαν Eust. 176, 17. δὲ πανέϲτηϲαν: ἀντὶ τοῦ πάντεϲ ἀνέϲτηϲαν. τινὲϲ δὲ ἐπανέϲτηϲαν Schol. L.

ἠιόνοϲ προπάροιθε βαθείηϲ ἐϲτιχόωντο
ἰλαδὸν εἰϲ ἀγορήν· μετὰ δέ ϲφιϲιν Ὄϲϲα δεδήει
ὀτρύνουϲ᾽ ἰέναι, Διὸϲ ἄγγελοϲ· οἳ δ᾽ ἀγέροντο·
τετρήχει δ᾽ ἀγορή, ὑπὸ δὲ ϲτεναχίζετο γαῖα
λαῶν ἱζόντων, ὅμαδοϲ δ᾽ ἦν· ἐννέα δέ ϲφεαϲ
κήρυκεϲ βοόωντεϲ ἐρήτυον, εἴ ποτ᾽ ἀυτῆϲ
ϲχοίατ᾽, ἀκούϲειαν δὲ διοτρεφέων βαϲιλήων.
ϲπουδῇ δ᾽ ἕζετο λαόϲ, ἐρήτυθεν δὲ καθ᾽ ἕδραϲ
παυϲάμενοι κλαγγῆϲ· ἀνὰ δὲ κρείων Ἀγαμέμνων
ἔϲτη ϲκῆπτρον ἔχων, τὸ μὲν Ἥφαιϲτοϲ κάμε τεύχων.
Ἥφαιϲτοϲ μὲν δῶκε Διὶ Κρονίωνι ἄνακτι,
αὐτὰρ ἄρα Ζεὺϲ δῶκε διακτόρῳ ἀργεϊφόντῃ.
Ἑρμείαϲ δὲ ἄναξ δῶκεν Πέλοπι πληξίππῳ,
αὐτὰρ ὃ αὖτε Πέλοψ δῶκ᾽ Ἀτρέι, ποιμένι λαῶν·
Ἀτρεὺϲ δὲ θνήϲκων ἔλιπεν πολύαρνι Θυέϲτῃ,
αὐτὰρ ὃ αὖτε Θυέϲτ᾽ Ἀγαμέμνονι λεῖπε φορῆναι,
πολλῇϲιν νήϲοιϲι καὶ Ἄργεϊ παντὶ ἀνάϲϲειν.
τῷ ὅ γ᾽ ἐρειϲάμενοϲ ἔπε᾽ Ἀργείοιϲι μετηύδα·
ὦ φίλοι ἥρωεϲ Δαναοί, θεράποντεϲ Ἄρηοϲ,
Ζεύϲ με μέγα Κρονίδηϲ ἄτῃ ἐνέδηϲε βαρείῃ,
ϲχέτλιοϲ, ὃϲ πρὶν μέν μοι ὑπέϲχετο καὶ κατένευϲεν
Ἴλιον ἐκπέρϲαντ᾽ εὐτείχεον ἀπονέεϲθαι,

V. L. 93 εἰλαδὸν A. δέ ϲφιϲιν ACDEGL Schol. A 105: δὲ ϲφίϲιν H. δεδήει CG Schol. A 105. Zonar. Lex. 487. — 94 οἵδ᾽ CDGL, ceteri οἱ δ᾽. — 95 ὑπο CDL. ὑποδεϲτοναχίζετο S. δὲ ϲτοναχίζετο CDGHL Lips. Mosc. 1. Eton. δ᾽ ἐϲτοναχίζετο Eust. 180, 4. ὑπεϲτονάχιζε δὲ γαῖα Schol. Nicand. Ther. 175. — 96 δὲ ϲφέαϲ L. δὲ ϲφὰϲ C. δέ ϲφαϲ G. — 98 διοτροφέων G. — 99 καθέδραϲ CDGHL. — 100 ἀνα DL post ras. — 102 μὲν: δὲ Rhet. Gr. III, 134, 5. δῶκε: ἔδωκε Eust. 181, 39. — 104 δῶκεν: δῶκε CDE Rhet. Gr. III, 31, 17; 72, 17. — 105 ὃ ACDGHL. — 106 θνήϲκων A: ceteri θνήϲκων. ἔλιπε E Rhet. Gr. III, 99, 32. — 107 ὃ AC DGL. — 108 πολλῇϲι DEG Thucydides I, 9, 3. Apoll. Lex. 31, 15. Et. Mg. 136, 5. — 111 μέγα ACDEGHLS Apoll. Lex. 46, 11; 110, 12. Cram. Epim. 181, 4; 311, 4. Et. Mg. 409, 20; 638, 4. Et. Gud. 441, 4: μέγαϲ Et. Mg. 163, 48. Et. Gud. 230, 10. γρ. καὶ μέγαϲ Vrat. b. in marg.

A. c. 106 θνήϲκων, conf. H. U. 206. — 111 μέγα Zenodotus: μέγαϲ Aristarchus et Callistratus teste Didymo. fallitur Aristonicus Zenodoto scripturam μέγαϲ tribuens. — 112—118 Zenodotus omisit Ζηνόδοτοϲ ϲυντέμνει „ὦ φίλοι ἥρωεϲ Δαναοί, θεράποντεϲ Ἄρηοϲ. λώβη γὰρ τάδε γ᾽ ἐϲτὶ καὶ ἐϲϲομένοιϲι πυθέϲθαι“ Aristonicus, iterum falsus; nam si Zenodotus versum 111. omiserat, causa non erat, cur Didymus sententiam eorum impugnaret, qui Zenodotum μέγαϲ scripsisse contenderent.

νῦν δὲ κακὴν ἀπάτην βουλεύϲατο, καί με κελεύει
δυϲκλέα Ἄργοϲ ἱκέϲθαι, ἐπεὶ πολὺν ὤλεϲα λαόν.
οὕτω που Διὶ μέλλει ὑπερμενέι φίλον εἶναι,
ὃϲ δὴ πολλάων πολίων κατέλυϲε κάρηνα
ἠδ᾽ ἔτι καὶ λύϲει· τοῦ γὰρ κράτοϲ ἐϲτὶ μέγιϲτον.
αἰϲχρὸν γὰρ τόδε γ᾽ ἐϲτὶ καὶ ἐϲϲομένοιϲι πυθέϲθαι,
μὰψ οὕτω τοιόνδε τοϲόνδέ τε λαὸν Ἀχαιῶν
ἄπρηκτον πόλεμον πολεμίζειν ἠδὲ μάχεϲθαι
ἀνδράϲι παυροτέροιϲι, τέλοϲ δ᾽ οὔ πώ τι πέφανται.
εἴ περ γάρ κ᾽ ἐθέλοιμεν Ἀχαιοί τε Τρῶέϲ τε,
ὅρκια πιϲτὰ ταμόντεϲ, ἀριθμηθήμεναι ἄμφω,
Τρῶαϲ μὲν λέξαϲθαι ἐφέϲτιοι ὅϲϲοι ἔαϲιν,
ἡμεῖϲ δ᾽ ἐϲ δεκάδαϲ διακοϲμηθεῖμεν Ἀχαιοί,
Τρώων δ᾽ ἄνδρα ἕκαϲτοι ἑλοίμεθα οἰνοχοεύειν,
πολλαί κεν δεκάδεϲ δευοίατο οἰνοχόοιο.
τόϲϲον ἐγώ φημι πλέαϲ ἔμμεναι υἷαϲ Ἀχαιῶν
Τρώων, οἳ ναίουϲι κατὰ πτόλιν· ἀλλ᾽ ἐπίκουροι
πολλέων ἐκ πολίων ἐγχέϲπαλοι ἄνδρεϲ ἔαϲιν,
οἵ με μέγα πλάζουϲι καὶ οὐκ εἰῶϲ᾽ ἐθέλοντα
Ἰλίου ἐκπέρϲαι εὖ ναιόμενον πτολίεθρον.
ἐννέα δὴ βεβάαϲι Διὸϲ μεγάλου ἐνιαυτοί,
καὶ δὴ δοῦρα ϲέϲηπε νεῶν καὶ ϲπάρτα λέλυνται·
αἱ δέ που ἡμέτεραί τ᾽ ἄλοχοι καὶ νήπια τέκνα
εἵατ᾽ ἐνὶ μεγάροιϲ ποτιδέγμεναι· ἄμμι δὲ ἔργον

V. L. 114 ἀπάτην: ἄτην S. ἐβουλεύϲατο L. — 115 δυϲκλεᾶ C. — 119 γ᾽ omitt. G. — 120 τοϲόνδέ τε C. τοϲόνδε γε G. τοϲϲόνδε τε D. τε omitt. L. — 122 οὔπω τί D. οὔτϊ πω L. οὔ πώ τι E. — 125 τρῷαϲ CL. — 126 διακοϲμηθείημεν D. διακοϲμηθῆμεν CL Vrat. b. — 127 τρῴων CL. ἕκαϲτοι: ἕκαϲτον libri omnes. Τρώων αὖτε ἕκαϲτον Schol. A 225. — 130 τρῴων GL. οἳ: οἱ D. καταπόλιν H. — 131 ἐγχεϲπάλοι A. — 133 Ἰλίου libri omnes. εὖ ναιόμενον ACDGHLS. — 136 ἡμέτεραι ἄλοχοι S. — 137 εἵατ᾽ ἐνὶ CH Lips. Vrat. b. c. A. Mosc. 1. Et. Mg. 295, 7. Cram. An. Par. IV, 145, 13. Rhet. Gr. III, 86, 15: εἵατο ἐν G. εἵαται ἐν L. εἵατ᾽ ἐν D. εἵατο ἐνὶ Zonar. Lex. 638. εἵατ᾽ ἐν et γρ. εἵατ᾽ ἐνὶ μεγάροιϲ ποτιδέγμεναι A. ἄμμι δὲ ἔργον: υἷαϲ Ἀχαιῶν Rhet. Gr. III, 86, 15.

A. c. 116—118 ἀϲτερίϲκοι ὅτι εἰϲ τὰϲ Λιτὰϲ (I 23—25) μετάκεινται Aristonicus. — 124 ἀθετεῖται Aristonicus. — 125 Τρῶεϲ Aristarchus. — 127 ὁ Ἰξίων διὰ τοῦ $\overline{\nu}$ ἕκαϲτον Didymus (Schol. A). ὁ Ἰξίων διὰ τοῦ ῑ, τινὲϲ δὲ διὰ τοῦ $\overline{\nu}$ Schol. L, cui omnis fides est abroganda. — 130—133 ἀθετοῦνται Aristonicus, vid. Schol. Θ 56. — 131 ἔαϲιν: ἔνειϲιν Callistratus et altera Aristarchi. — 133 Ἰλίου: Ἴλιον Aristarchus. — 137 εἵατ᾽ ἐνὶ: εἵαται ἐν Heraclides, conf. Osann. Quaest. Hom. IV, 18.

αὔτωc ἀκράαντον, οὗ εἵνεκα δεῦρ' ἱκόμεcθα.
ἀλλ' ἄγεθ', ὡc ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντεc·
φεύγωμεν cὺν νηυcὶ φίλην ἐc πατρίδα γαῖαν·
οὐ γὰρ ἔτι Τροίην αἱρήcομεν εὐρυάγυιαν.
ὣc φάτο, τοῖcι δὲ θυμὸν ἐνὶ cτήθεccιν ὄρινε
πᾶcι μετὰ πληθύν, ὅcοι οὐ βουλῆc ἐπάκουcαν.
κινήθη δ' ἀγορὴ ὡc κύματα μακρὰ θαλάccηc
πόντου Ἰκαρίοιο, τὰ μέν τ' εὖρόc τε νότοc τε
ὤρορ' ἐπαΐξαc πατρὸc Διὸc ἐκ νεφελάων.
ὡc δ' ὅτε κινήcῃ Ζέφυροc βαθὺ λήιον ἐλθών,
λάβροc ἐπαιγίζων, ἐπί τ' ἠμύει ἀcταχύεccιν,
ὣc τῶν πᾶc' ἀγορὴ κινήθη. τοὶ δ' ἀλαλητῷ
νῆαc ἔπ' ἐccεύοντο, ποδῶν δ' ὑπένερθε κονίη
ἵcτατ' ἀειρομένη· τοὶ δ' ἀλλήλοιcι κέλευον
ἅπτεcθαι νηῶν ἠδ' ἑλκέμεν εἰc ἅλα δῖαν,
οὐρούc τ' ἐξεκάθαιρον· ἀϋτὴ δ' οὐρανὸν ἷκεν
οἴκαδε ἱεμένων· ὑπὸ δ' ᾕρεον ἕρματα νηῶν.
ἔνθά κεν Ἀργείοιcιν ὑπέρμορα νόcτοc ἐτύχθη,
εἰ μὴ Ἀθηναίην Ἥρη πρὸc μῦθον ἔειπεν·
ὢ πόποι, αἰγιόχοιο Διὸc τέκοc, ἀτρυτώνη,
οὕτω δὴ οἶκον δέ, φίλην ἐc πατρίδα γαῖαν,
Ἀργεῖοι φεύξονται ἐπ' εὐρέα νῶτα θαλάccηc,

V. l. 138 αὔτωc: αὔτωc ACEHL Et. Mg. 84, 20. Apoll. Lex. 21, 7. ἀκρᾴαντον L. ἱκόμεθα G. — 139 ἐγὼ ACDE 186, 33; 188, 8 GHLS Schol. Ζ 71. Eust. 1583, 54: vulgo ἐγὼν. — 142 ὡc A. φᾶτο D. ὄρινε ACEHL. ὤρινε D. — 143 μετα A. — 144 ὡc ACDEGHL Schol. Θ 2. Strabo I, 29: alii φή. — 147 ὣc δ' G. κινήcῃ: κινήcει CEGHLS Schol. Theocr. VIII, 49. — 149 ὡc A. ἀγογὰ D. — 150 ἐπ': ἔπ' A. ἐπεccεύοντο CDEGHLS Io. Alexandr. 28, 11. Heraclid. Alleg. C. 10. — 153 ἐξεκάθαραν Zon. Lex. 1479. ἷκεν ACEGLS ex corr. ἵκεν D. ἧκεν H. ἧκε Et. Mg. 171, 34. — 154 οἴκαδ' L. ἱεμένων DGH. ὑπο CD. ἤρεον H. — 155 ἔνθά κεν ACHL. ἐνθά κεν D. — 156 προc A. — 157 ὢ: ὦ A. τέκοc: τέκνον H, quod apud Homerum primam non corripit. — 158 οἶκον δὲ AD. οἶκονδε CGHL.

A. c. 141 ἔν τιcιν οὐ φέρεται Schol. L. ἔν τιcι τῶν ἀντιγράφων οὐδὲ ἐφέρετο Eust. 188, 7. — 143 ἀθετεῖται Aristonicus. — 144 ὡc: φὴ Zenodotus. — 148 ἐπαιγίζων: ἐπαΐccων Aristophanes, vid. Schol. ο 293. — 150 ἐπ' ἐccεύοντο Herodianus. — 155 ὑπέρμορα Aristarchus, Aristophanes, Ptolem. Ascalonita, cf. Apoll. Lex. 160, 18. Eust. 1386, 64. Schol. AB ad Υ 30. — 156—169 Ζηνόδοτοc cυντέτμηκεν „εἰ μὴ Ἀθηναίη λαοccόοc ἦλθ' ἀπ' Ὀλύμπου. εὗρεν ἔπειτ' Ὀδυcῆα“ Aristonicus.

καδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωcὶ λίποιεν
Ἀργείην Ἑλένην, ἧc εἵνεκα πολλοὶ Ἀχαιῶν
ἐν Τροίῃ ἀπόλοντο φίληc ἀπὸ πατρίδοc αἴηc.
ἀλλ' ἴθι νῦν κατὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων·
cοῖc ἀγανοῖc ἐπέεccιν ἐρήτυε φῶτα ἕκαcτον,
μηδὲ ἔα νῆαc ἅλα δ' ἑλκέμεν ἀμφιελίccαc.
ὣc ἔφατ', οὐδ' ἀπίθηcε θεὰ γλαυκῶπιc Ἀθήνη.
βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξαcα.
[καρπαλίμωc δ' ἵκανε θοὰc ἐπὶ νῆαc Ἀχαιῶν]
εὗρεν ἔπειτ' Ὀδυcῆα, Διὶ μῆτιν ἀτάλαντον,
ἑcταότ'· οὐδ' ὅ γε νηὸc ἐυccέλμοιο μελαίνηc
ἅπτετ', ἐπεί μιν ἄχοc κραδίην καὶ θυμὸν ἵκανεν.
ἀγχοῦ δ' ἱcταμένη προcέφη γλαυκῶπιc Ἀθήνη·
διογενὲc Λαερτιάδη, πολυμήχαν' Ὀδυccεῦ,
οὕτω δὴ οἶκον δέ, φίλην ἐc πατρίδα γαῖαν,
φεύξεcθ' ἐν νήεccι πολυκλήιcι πεcόντεc,
καδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωcὶ λίποιτε
Ἀργείην Ἑλένην, ἧc εἵνεκα πολλοὶ Ἀχαιῶν
ἐν Τροίῃ ἀπόλοντο φίληc ἀπὸ πατρίδοc αἴηc.
ἀλλ' ἴθι νῦν κατὰ λαὸν Ἀχαιῶν, μηδέ τ' ἐρώει,
cοῖc δ' ἀγανοῖc ἐπέεccιν ἐρήτυε φῶτα ἕκαcτον,

V. l. 160 καδδέ ACDGHL Aristot. Rhet. I, 6. τρῳcὶ L. — 162 ἀπόλλοντο D. ἀπο D. ἄπο CGHL. — 163 κατὰ: μετὰ D. — 164 cοῖc Schol. Aristoph. Vesp. 1458: cοῖc δ' ACDEGHLS Et. Mg. 5, 55. — 165 μηδὲ: μὴ δὲ CDGH Et. Mg. 586, 10. μὴ δ' L Et. Gud. 390, 2. ἅλα δ' A: ceteri ἅλαδ', G ἅλαδε. — 166 ὡc A. — 168 omitt. ACD in textu Eton. Vrat. a. b. Townl. Mosc. 2: habent D in marg. man. rec. GHLS. — 169 εὗρε δ' ἔπειτ' Vrat. b. ὀδυccῆα DGH 1. man. — 170 ἑcταότ': ἑcτῶτ' L, non male, si ἑcτεῶτ' scripseris. ἐϋcέλμοιο GHL 1. man. εὐcέλμοιο. CD. — 171 ἅπτετ': ἥπτετο E. ἅπτετ' H, η 2. man. — 174 οἶκον δὲ AD: οἶκονδε CH. οἴκονδε GL. — 176 καδδέ ACDGHL. — 178 ἀπο D. ἄπο CGHL. — 179 κατὰ: κατα A. μετὰ CDEHS Rhet. Gr. III, 123, 6. μηδέ τ' AEH. μὴ δέ τ' DGL Et. Mg. 381, 1. μὴ δ' ἔτ' C Lips. Barocc. Townl. Rhet. Gr. III, 123, 6. — 180 φῶτα: ἄνδρα Eust. 197, 45.

A. c. 160—162 ἀθετοῦνται, καὶ ἀcτερίcκοι παράκεινται (ὀρθῶc 176—178) Aristonicus. — 161 Ἀργείην Ἑλένην: Zenodotus Ἀργείην θ' Ἑλένην. — 162 ἀπὸ Herodianus: ἄπο Tyrannio et Ptolemaeus (Ascalonita). — 163 οὕτωc κατὰ λαὸν cυμφώνωc εἶχον ἅπαcαι Didymus. — 164 αἱ χαριέcταται „cοῖc ἀγανοῖc“, καὶ ἡ Ἀριcτοφάνουc οὕτωc εἶχεν Didymus. ἀθετεῖται καὶ ἀcτερίcκοc παράκειται ὅτι οἰκείωc λέγεται 180. — 176—178 ἀcτερίcκοι, cf. 160. — 180 ἀcτερίcκοc, cf. 164.

μηδὲ ἔα νῆας ἅλα δ᾽ ἑλκέμεν ἀμφιελίccαc.
ὣc φάθ᾽, ὃ δὲ ξυνέηκε θεᾶc ὄπα φωνηcάcηc,
βῆ δὲ θέειν, ἀπὸ δὲ χλαῖναν βάλε· τὴν δὲ κόμιccε
κῆρυξ Εὐρυβάτηc Ἰθακήcιοc, ὅc οἱ ὀπήδει.
αὐτὸc δ᾽ Ἀτρείδεω Ἀγαμέμνονοc ἀντίοc ἐλθὼν
δέξατό οἱ cκῆπτρον πατρώιον, ἄφθιτον αἰεί·
cὺν τῷ ἔβη κατὰ νῆαc Ἀχαιῶν χαλκοχιτώνων.
ὅν τινα μὲν βαcιλῆα καὶ ἔξοχον ἄνδρα κιχείη,
τὸν δ᾽ ἀγανοῖc ἐπέεccιν ἐρητύcαcκε παραcτάc·
δαιμόνι᾽, οὔ cε ἔοικε κακὸν ὣc δειδίccεcθαι,
ἀλλ᾽ αὐτόc τε κάθηcο καὶ ἄλλουc ἵδρυε λαούc.
οὐ γάρ πω cάφα οἶcθ᾽, οἷοc νόοc Ἀτρείωνοc·
νῦν μὲν πειρᾶται, τάχα δ᾽ ἴψεται υἷαc Ἀχαιῶν.
ἐν βουλῇ δ᾽ οὐ πάντεc ἀκούcαμεν, οἷον ἔειπε.
μή τι χολωcάμενοc ῥέξῃ κακὸν υἷαc Ἀχαιῶν.
θυμὸc δὲ μέγαc ἐcτὶ διοτρεφέων βαcιλήων·
τιμὴ δ᾽ ἐκ Διόc ἐcτι, φιλεῖ δέ ἑ μητίετα Ζεύc.
ὃν δ᾽ αὖ δήμου ἄνδρα ἴδοι βοόωντά τ᾽ ἐφεύροι,

V. L. 181 μηδὲ: μὴ δὲ CDGHL. ἔᾳ L. ἄλα δ᾽ A. — 182 ὥc A. φᾶθ᾽ D. — 183 ἄπο D. *δὲ κόμιccε: δ᾽ ἐκόμιccε ACH. δ᾽ ἐκόμιcε DEG. — 184 κῆρυξ ACHL: κήρυξ DEG. — 185 ἀντίοc: ἀντίον HS. — 188 κιχείῃ G.
η
κιχείει H, η 2. man. ἐφεύροι Max. Tyr. Diss. XXXII, 5. — 189 τὸν δ᾽: τόνδ᾽ E Max. Tyr. Diss. XXI, 9. τὸν ῥ᾽ Max. Tyr. Diss. XXXII, 5. ἐρητύεcκε Barocc. ἐρητύαcκε Vrat. a. 1. man. — 190 οὔ cε: οὔ c᾽ L. οὐ cὲ Cram. An. Par. III, 278, 28. ὧc: ὡc H. — 192 Ἀτρείωνοc L: ἀτρείδαο ACDEGHS. — 194 δ᾽ omitt. E bis. ἔειπε ACDEGH. — 196 θυμὸc γὰρ GL. θυμὸc δὴ Cant. διοτρεφέοc βαcιλῆοc ACES: διοτρεφέων (vel διοτροφέων) βαcιλήων DGHL Aristot. Rhet. II, 2. Schol. A 173. Cram. An. Par. III, 113, 21. Et. Mg. 458, 9 et 16. Zonar. Lex. 1059. Stobaeus Floril. 46, 2. Pseudoplut. 153, 31. — 197 μητιέτα G. — 198 αὖ: ἂν Eust. 847, 39; 901, 7; 1119, 1. δήμου ἄνδρα AS Barocc. Laud. Eton. Townl. Schol. B 244. Eust. 901, 7; 1119, 1. Cram. An. Par. III, 331, 6: δήμου τ᾽ ἄνδρα CDEGHL Schol. ι 44. Cram. An. Par. III, 315, 19. Eust. 847, 39.

A. c. 187 ἔβη: ὅτι Ζηνόδοτοc γράφει cὺν τῷ βὰc κατὰ νῆαc Aristonicus. — 188 πρὸc τὴν τάξιν τῶν ἑξῆc τὸ ἀντίcιγμα Aristonicus, cf. 192 et 203. — 190 οὔ cε: ἡ μὲν ἀκρίβεια ὀρθοτονεῖ, ἐγκλίνει δὲ ἡ cυνήθεια Herodianus. — 192 τὸ ἀντίcιγμα, ὅτι ὑπὸ τοῦτον ἔδει τετάχθαι τοὺc ἑξῆc παρεcτιγμένουc τρεῖc cτίχουc (203—205). εἰcὶ γὰρ πρὸc βαcιλεῖc ἁρμόζοντεc, οὐ πρὸc δημόταc Aristonicus. Ἀτρείωνοc Aristophanes, Dionysius Sidonius, Ixion, αἱ πλείουc τῶν χαριεcτέρων, αἱ διορθώcειc καὶ τὰ ὑπομνήματα (i. e. Aristarchi). — 193—197 ἀθετοῦνται Aristonicus. — 196 διοτρεφέοc βαcιλῆοc: οὕτωc ἑνικῶc αἱ Ἀριcτάρχου. εἶχον δὲ καὶ αἱ χαριέcταται οὕτωc ἄνευ τῆc Ζηνοδότου, ὃc γράφει διοτρεφέων βαcιλήων Didymus. — 198 δήμου ἄνδρα, non τ᾽ ἄνδρα scri-

τὸν cκήπτρῳ ἐλάcαcκεν ὁμοκλήcαcκέ τε μύθῳ·
δαιμόνι᾽, ἀτρέμαc ἧcο καὶ ἄλλων μῦθον ἄκουε,
οἳ cέο φέρτεροί εἰcι, cὺ δ᾽ ἀπτόλεμοc καὶ ἄναλκιc,
οὔτέ ποτ᾽ ἐν πολέμῳ ἐναρίθμιοc οὔτ᾽ ἐνὶ βουλῇ.
οὐ μέν πωc πάντεc βαcιλεύcομεν ἐνθάδ᾽ Ἀχαιοί.
οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷc κοίρανοc ἔcτω,
εἷc βαcιλεύc, ᾧ ἔδωκε Κρόνου πάιc ἀγκυλομήτεω.
[cκῆπτρόν τ᾽ ἠδὲ θέμιcταc, ἵνα cφίcι βαcιλεύῃ.]
ὣc ὅ γε κοιρανέων δίεπε cτρατόν· οἳ δ᾽ ἀγορὴν δὲ
αὖτιc ἐπεccεύοντο νεῶν ἄπο καὶ κλιcιάων
ἠχῇ, ὡc ὅτε κῦμα πολυφλοίcβοιο θαλάccηc
αἰγιαλῷ μεγάλῳ βρέμεται, cμαραγεῖ δέ τε πόντοc.
ἄλλοι μέν ῥ᾽ ἕζοντο, ἐρήτυθεν δὲ καθ᾽ ἕδραc·
Θερcίτηc δ᾽ ἔτι μοῦνοc ἀμετροεπὴc ἐκολῴα,
ὅc ῥ᾽ ἔπεα φρεcὶν ᾗcιν ἄκοcμά τε πολλά τε ᾔδη,
μάψ, ἀτὰρ οὐ κατὰ κόcμον, ἐριζέμεναι βαcιλεῦcιν,
ἀλλ᾽ ὅτι οἱ εἴcαιτο γελοίιον Ἀργείοιcιν
ἔμμεναι. αἴcχιcτοc δὲ ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε·
φολκὸc ἔην, χωλὸc δ᾽ ἕτερον πόδα· τὼ δέ οἱ ὤμω
κυρτώ, ἐπὶ cτῆθοc cυνοχωκότε· αὐτὰρ ὕπερθε
φοξὸc ἔην κεφαλήν, ψεδνὴ δ᾽ ἐπενήνοθε λάχνη.
ἔχθιcτοc δ᾽ Ἀχιλῆι μάλιcτ᾽ ἦν ἠδ᾽ Ὀδυcῆι·
τὼ γὰρ νεικείεcκε· τότ᾽ αὖτ᾽ Ἀγαμέμνονι δίῳ

V. L. 199 ἐλάcαcκε D. — 201 ἀπόλεμοc Et. Mg. 97, 25. ἄναλκηc G. — 202 οὔτέ ποτ᾽ ACG. οὐτέ ποτ᾽ D. οὐδέ ποτ᾽ L. ἐνι A. — 205 ἔδωκε libri omnes. *πάιc: παῖc libri. — 206 omitt. ACDEHS Lips. Townl. Mosc. 1. Eton. habent GL. cφίcιν L. — 207 οἵδ᾽ CGL. οἵδε H. ἀγορὴν δὲ A. — 209 ὥc G. — 211 καθέδραc CDGHL Et. Mg. 373, 11. — 212 δ᾽ ἔτι: δέ τοι G. δέ τι Cram. An. Par. III, 367, 3. ἐκολώα DL: ceteri ἐκολῴα cum Cram. Epim. 220, 28. An. Par. III, 367, 3. — 213 ὅc: ὃ D. ᾔδει CG Schol. B 212. ἤδει DS. ᾔδῃ L. — 215 ὅ, τι L. εἴcετο D. εἴcατο Apoll. Lex. 62, 26. — 216 δὲ ἀνὴρ: δ᾽ ἀνὴρ CG Barocc. Laud. Mor. Eton. ἤλθε ACEL. — 217 φολκὸc: φορκὸc S. — 218 cυνοχηκότε Mor. Vrat. c. ὕπερθε ACDGH. — 220 ἦδ᾽ A. ἧδ᾽ D. ὀδυccῆϊ G. — 221 τὼ: τῶ D. τότ᾽: τῷ δ᾽ G. αὖτ᾽: αὖ GLS.

bendum est, quum τ᾽ non nisi hiatus evitandi causa videatur additum esse, conf. A 151 ἢ ἄνδραcιν, B 216 δὲ ἀνήρ, 819 ἤ τοι ἄνδρεc, N 635 δὴ ἄνδρεccι, λ 414 ἀφνειοῦ ἀνδρόc, B 368 ἠ ἀνδρῶν.

A. c. 203—205 παράκειται ἡ cτιγμή, conf. ad 192. — 205 ἔδωκε: δῶκε Aristarchus. πάιc, conf. H. U. 96. — 212 ἐκολῴα: ἐκολώα Philoxenus. — 220—223 Ζηνόδοτοc ἠθέτηκεν Aristonicus. — 221 τὼ Aristarchus, non τῶ vel τῷ.

ὀξέα κεκληγὼς λέγ᾽ ὀνείδεα. τῷ δ᾽ ἄρ᾽ Ἀχαιοὶ
ἐκπάγλως κοτέοντο νεμέσσηθέν τ᾽ ἐνὶ θυμῷ.
αὐτὰρ ὃ μακρὰ βοῶν Ἀγαμέμνονα νείκεε μύθῳ·
Ἀτρείδη, τέο δὴ αὖτ᾽ ἐπιμέμφεαι ἠδὲ χατίζεις;
πλεῖαί τοι χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες
εἰσὶν ἐνὶ κλισίῃς ἐξαίρετοι, ἅς τοι Ἀχαιοὶ
πρωτίστῳ δίδομεν, εὖτ᾽ ἂν πτολίεθρον ἕλωμεν.
ἦ ἔτι καὶ χρυσοῦ ἐπιδεύεαι, ὅν κέ τις οἴσει
Τρώων ἱπποδάμων ἐξ Ἰλίου υἷος ἄποινα,
ὅν κεν ἐγὼ δήσας ἀγάγω ἢ ἄλλος Ἀχαιῶν,
ἠὲ γυναῖκα νέην, ἵνα μίσγεαι ἐν φιλότητι,
ἥν τ᾽ αὐτὸς ἀπὸ νόσφι κατίσχεαι; οὐ μὲν ἔοικεν
ἀρχὸν ἐόντα κακῶν ἐπιβασκέμεν υἷας Ἀχαιῶν.
ὦ πέπονες, κάκ᾽ ἐλέγχε᾽, Ἀχαιίδες, οὐκέτ᾽ Ἀχαιοί,
οἴκαδέ περ σὺν νηυσὶ νεώμεθα, τόνδε δ᾽ ἐῶμεν
αὐτοῦ ἐνὶ Τροίῃ γέρα πεσσέμεν, ὄφρα ἴδηται,
ἤ ῥά τί οἱ χἠμεῖς προσαμύνομεν, ἦε καὶ οὐκί·
ὃς καὶ νῦν Ἀχιλῆα, ἕο μέγ᾽ ἀμείνονα φῶτα,
ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας, αὐτὸς ἀπούρας.
ἀλλὰ μάλ᾽ οὐκ Ἀχιλῆι χόλος φρεσίν, ἀλλὰ μεθήμων·
ἦ γὰρ ἂν Ἀτρείδη νῦν ὕστατα λωβήσαιο.
ὣς φάτο νεικείων Ἀγαμέμνονα, ποιμένα λαῶν,
Θερσίτης· τῷ δ᾽ ὦκα παρίστατο δῖος Ὀδυσσεύς,
καί μιν ὑπόδρα ἰδὼν χαλεπῷ ἠνίπαπε μύθῳ·
Θερσῖτ᾽ ἀκριτόμυθε, λιγύς περ ἐὼν ἀγορητής,

V. L. 222 ἄρ AGL. — 223 ἐνι A. — 224 ὃ CDGHL Apoll. Lex. 52, 2. Et. Mg. 203, 57. βοῶν: βιβὰς Vrat. a. — 225 * δὴ αὖτ᾽: libri δ᾽ αὖτ᾽. — 227 ἐνι A. κλισίαις Barocc. Mor. κλισίῃ Cant. Plut. de Aud. poët. 9. κλισίοισιν L. — 229 ἤ: ἠδ᾽ Et. Mg. 258, 40. Et. Gud. 140, 5. οἴσει: οἴσῃ G. — 230 τρῴων GL. — 231 ἐγὼν L. ἀγάγοιμι Eust. 1072, 56. ἢ A. — 233 ἥν τ᾽: ἥν κ᾽ S. ἀπὸ νόσφι GH (L 1. man.?). ἄπο νόσφι L: vulgo ἀπονόσφι. — 235 ἀχαΐδες S. — 237 ἐνὶ: ἐν S. — 238 ἤ: ἦ AHL. τι οἱ ACGL. τι οἷ DH. χἠμεῖς: libri χ᾽ ἡμεῖς, excepto G, qui χ᾽ omittit. ἦε: libri ἠὲ. — 239 ὅς κε D. ἀχιλλῆα D. — 241 ἀχιλλῆϊ G. — 242 ἤ A. λωβήσεο G. — 243 ὡς A. φᾶτο D.

A. c. 225 τέο δ᾽ αὖτ᾽ Aristarchus: Ζηνόδοτος δὲ διὰ τοῦ ηv (corr. η, δὴ αὖτ᾽) Schol. V. — 226 Zenodotus πλεῖαι δὲ γυναικῶν. — 227, 228 Ζηνόδοτος ἐθέτηκεν Aristonicus. — 231—34 Ζηνόδοτος ἠθέτηκεν Aristonicus. — 238 χἠμεῖς, non χ᾽ ἡμεῖς scribendum esse docuimus H. U. 284. οὐκί, non οὐχί, Aristarchus, conf. Schol. A ad B 300. — 239 ἕο Aristarchus: ἑοῦ Zenodotus.

ἴσχεο, μηδ᾽ ἔθελ᾽ οἶος ἐριζέμεναι βασιλεῦσιν.
οὐ γὰρ ἐγὼ σέο φημὶ χερειότερον βροτὸν ἄλλον
ἔμμεναι, ὅσσοι ἅμ᾽ Ἀτρείδῃς ὑπὸ Ἴλιον ἦλθον·
τῶ οὐκ ἂν βασιλῆας ἀνὰ στόμ᾽ ἔχων ἀγορεύοις,
καί σφιν ὀνείδεά τε προφέροις, νόστόν τε φυλάσσοις.
οὐδέ τί πω σάφα ἴδμεν, ὅπως ἔσται τάδε ἔργα,
ἢ εὖ ἦε κακῶς νοστήσομεν υἷες Ἀχαιῶν.
τῷ νῦν Ἀτρείδῃ Ἀγαμέμνονι, ποιμένι λαῶν,
ἧσαι ὀνειδίζων, ὅτι οἱ μάλα πολλὰ διδοῦσιν
ἥρωες Δαναοί· σὺ δὲ κερτομέων ἀγορεύεις.
ἀλλ᾽ ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
εἴ κ᾽ ἔτι σ᾽ ἀφραίνοντα κιχήσομαι ὥς νύ περ ὧδε,
μηκέτ᾽ ἔπειτ᾽ Ὀδυσῆι κάρη ὤμοισιν ἐπείη,
μηδ᾽ ἔτι Τηλεμάχοιο πατὴρ κεκλημένος εἴην,
εἰ μὴ ἐγώ σε λαβὼν ἀπὸ μὲν φίλα εἵματα δύσω,
χλαῖνάν τ᾽ ἠδὲ χιτῶνα, τά τ᾽ αἰδῶ ἀμφικαλύπτει,
αὐτὸν δὲ κλαίοντα θοὰς ἐπὶ νῆας ἀφήσω
πεπληγὼς ἀγορῆθεν ἀεικέσσι πληγῇσιν.
ὣς ἄρ᾽ ἔφη, σκήπτρῳ δὲ μετάφρενον ἠδὲ καὶ ὤμω
πλῆξεν· ὃ δ᾽ ἰδνώθη, θαλερὸν δέ οἱ ἔκπεσε δάκρυ.
σμῶδιξ δ᾽ αἱματόεσσα μεταφρένου ἐξυπανέστη
σκήπτρου ὕπο χρυσέου· ὃ δ᾽ ἄρ᾽ ἕζετο τάρβησέν τε,

V. L. 247 μὴ δ᾽ CDGHL. βασιλεῦσι D. — 249 ἀτρείδῃς᾽ E 213, 20 GL 1. man. — 250 τῶ ACDGHL Et. Mg. 773, 28 et 45: τῷ E. τὼ Io. Alexandr. 31, 20. ἀνα A. ἀγορεύεις D. — 251 νόστόν τε A. νόστον τὲ C. φυλάττοις C. φυλάσσεις Apoll. Lex. 165, 20. — 252 οὐδέ τι πω CDGL. — 254 τῶ ACGL: τῷ DH. — 256 ἥρωες ἀχαιοὶ G. — 257 τόδε DHL. — 258 κ᾽ ἔτι: κέ τι Harl. κέ τί Et. Mg. 820, 44. καί, τι S. κιχήσομαι: κιχείω Et. Mg. 820, 44. — 259 μὴ κ᾽ ἔτ᾽ D. ὀδυσσῆϊ GH. ἐπείηι A. — 260 μηδέ τι H. μὴ δ᾽ ἔτι τηλεμάχου γε G. μὴ δ᾽ ἔτι CDL. — 261 ἄπο CDL. δύσω: δύω L 1. man. — 264 ἀγορῆθϊ G. ἀεικῆσϊ H. — 265 ὡς A. ἆρ AEGL. ὤμω C. — 266 ὃ δ᾽ L: ὅδ᾽ CDH. θαλερὸν: ἁλυκὸν Zonar. Lex. 133. ἔκπεσε, non ἔκφυγε, libri cum Eustathio. — 267 σμώδιξ G. ἐξ ὑπανέστη Vrat. c. Mosc. 1. — 268 ὑπὸ ACDEGHL. *ὃ δ᾽ L. ὅδ᾽ CGH. ἆρ ADEGHL.

A. c. 247 μηδ᾽ ἔθελ᾽ Aristarchus. — 252—256 ἀθετοῦνται Aristonicus, cf. Schol. BL ad 254. — 255 διδοῦσιν Herodianus. — 258 εἰ δέ τι Aristarchus: εἴ κ᾽ ἔτι Zenodotus, cui assentitur Didymus. κιχήσομαι Philemo cum Sinopensi: κιχείομαι Ptolemaeus. ὥς νύ περ ὧδε: ὡς τὸ πάρος περ Sinopensis. ὕστερον αὖτις Massiliensis. ἐν Δαναοῖσιν Philemo. — 262 αἰδῶ Aristarchus et Pamphilus: αἰδὼ Dionysius Sidonius.

ἀλγήϲαϲ δ', ἀχρεῖον ἰδών, ἀπομόρξατο δάκρυ.
οἳ δὲ καὶ ἀχνύμενοί περ ἐπ' αὐτῷ ἡδὺ γέλαϲϲαν,
ὧδε δέ τιϲ εἴπεϲκεν ἰδὼν ἐϲ πληϲίον ἄλλον·
ὢ πόποι, ἦ δὴ μυρί' Ὀδυϲϲεὺϲ ἐϲθλὰ ἔοργε
βουλάϲ τ' ἐξάρχων ἀγαθὰϲ πόλεμόν τε κορύϲϲων·
νῦν δὲ τόδε μέγ' ἄριϲτον ἐν Ἀργείοιϲιν ἔρεξεν,
ὃϲ τὸν λωβητῆρα ἐπεϲβόλον ἔϲχ' ἀγοράων.
οὔ θήν μιν πάλιν αὖτιϲ ἀνήϲει θυμὸϲ ἀγήνωρ
νεικείειν βαϲιλῆαϲ ὀνειδείοιϲ ἐπέεϲϲιν.
ὣϲ φάϲαν ἡ πληθύϲ· ἀνὰ δ' ὁ πτολίπορθοϲ Ὀδυϲϲεὺϲ
ἔϲτη ϲκῆπτρον ἔχων· παρὰ δὲ γλαυκῶπιϲ Ἀθήνη
εἰδομένη κήρυκι ϲιωπᾶν λαὸν ἀνώγει,
ὡϲ ἅμα θ' οἱ πρῶτοί τε καὶ ὕϲτατοι υἷεϲ Ἀχαιῶν
μῦθον ἀκούϲειαν καὶ ἐπιφραϲϲαίατο βουλήν.
ὅ ϲφιν ἐὺ φρονέων ἀγορήϲατο καὶ μετέειπεν·
Ἀτρείδη, νῦν δή ϲε ἄναξ ἐθέλουϲιν Ἀχαιοὶ
πᾶϲιν ἐλέγχιϲτον θέμεναι μερόπεϲϲι βροτοῖϲιν,
οὐδέ τοι ἐκτελέουϲιν ὑπόϲχεϲιν, ἥν περ ὑπέϲταν
ἐνθάδ' ἔτι ϲτείχοντεϲ ἀπ' Ἄργεοϲ ἱπποβότοιο,
Ἴλιον ἐκπέρϲαντ' εὐτείχεον ἀπονέεϲθαι.
ὥϲ τε γὰρ ἢ παῖδεϲ νεαροὶ χῆραί τε γυναῖκεϲ
ἀλλήλοιϲιν ὀδύρονται οἶκον δὲ νέεϲθαι.
ἦ μὴν καὶ πόνοϲ ἐϲτὶν ἀνιηθέντα νέεϲθαι.

V. ι. 269 ἀπομόρξατο ACE 218, 8 Townl. Eton. Cram. Epim. 13, 1. Et. Mg. 129, 7: ἀπεμόρξατο DE 216, 18; 218, 16 GHL Et. Mg. 120, 20. Et. Gud. 64, 24; 100, 44. — 270 οἳ δὲ C. γέλαϲ[ϲ]αν D. γέλαϲαν E. — 272 ὢ AH. ἔοργε ACDEGHL. — 274 νῦνδε D. τόδε ACDEGH Eton. Townl. tres Vratt. Mosc. 1. 2: τὸ δὲ Lips. Vrat. A. τὸ δὴ L. τόδ' αὖ Barocc. Harl. — 276 οὐ θήν D. αὖθιϲ CDG. ἀνήϲῃ Apoll. Lex. 7, 18. — 277 ὀνειδίοιϲ H 1. man. — 278 ὡϲ A. φᾶϲαν D. δ' ὁ πτολίπορθοϲ ACDGHL Schol. Γ 440: vulgo δὲ πτολίπορθοϲ, conf. Κ 363. — 279 παρα A. — 280 ϲιωπᾶν G. — 282 ἐπιφραϲαίατο DG Draco de Metr. 65, 18. — 283 ὅ, ϲφιν C. ὅϲ ϲφιν GHL, ceteri ὅ ϲφιν. *ἐὺ φρονέων: εὖ φρονέων CDGHLS. ἐϋφρονέων A. — 286 οὐδέ τοι: οὐδέ τι CELS Rhet. Gr. III, 24, 1. — 287 ἐνθάδε γε ϲτείχοντεϲ G. ϲτίχοντεϲ D. — 289 ὥϲ τε CDG: ceteri ὥϲτε. — 290 οἶκον δὲ A. οἶκονδε CDEHL. οἴκονδε G. — 291 omitt. H in textu.

A. c. 269 ἀχρεῖον: ἄχρειον Dionysius et Tyrannio. ἰδὼν: Φιλητᾶϲ τὸ ἰδὼν περιϲπᾷ, οἷον τῶν ὀφθαλμῶν Aristonicus. — 272 ἢ δὴ Herodianus. — 278 Aristarchus ἀνὰ δ' ὁ πτολίπορθοϲ: alii ἀνὰ δὲ et πτολέπορθοϲ. — 283 ὅ ϲφιν, non ὅϲ ϲφιν, Aristarchus. — 284 νῦν δή: νῦν γάρ Aristarchus, ut ex scholio Aristonici colligo.

καὶ γάρ τίϲ θ' ἕνα μῆνα μένων ἀπὸ ἧϲ ἀλόχοιο
ἀϲχαλάᾳ ϲὺν νηὶ πολυζύγῳ, ὅν περ ἄελλαι
χειμέριαι εἰλέωϲιν ὀρινομένη τε θάλαϲϲα·
ἡμῖν δ' εἴνατόϲ ἐϲτι περιτροπέων ἐνιαυτὸϲ
ἐνθάδε μιμνόντεϲϲι. τῶ οὐ νεμεϲίζομ' Ἀχαιοὺϲ
ἀϲχαλάαν παρὰ νηυϲὶ κορωνίϲιν· ἀλλὰ καὶ ἔμπηϲ
αἰϲχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεϲθαι.
τλῆτε φίλοι, καὶ μείνατ' ἐπὶ χρόνον, ὄφρα δαῶμεν,
ἢ ἐτεὸν Κάλχαϲ μαντεύεται, ἦε καὶ οὐκί.
εὖ γὰρ δὴ τόδε ἴδμεν ἐνὶ φρεϲίν, ἐϲτὲ δὲ πάντεϲ
μάρτυροι, οὓϲ μὴ κῆρεϲ ἔβαν θανάτοιο φέρουϲαι·
χθιζά τε καὶ πρώιζ', ὅτ' ἐϲ Αὐλίδα νῆεϲ Ἀχαιῶν
ἠγερέθοντο κακὰ Πριάμῳ καὶ Τρωϲὶ φέρουϲαι·
ἡμεῖϲ δ' ἀμφὶ περὶ κρήνην ἱεροὺϲ κατὰ βωμοὺϲ
ἔρδομεν ἀθανάτοιϲι τεληέϲϲαϲ ἑκατόμβαϲ,
καλῇ ὑπὸ πλατανίϲτῳ, ὅθεν ῥέεν ἀγλαὸν ὕδωρ·
ἔνθ' ἐφάνη μέγα ϲῆμα· δράκων ἐπὶ νῶτα δαφοινόϲ,
ϲμερδαλέοϲ, τόν ῥ' αὐτὸϲ Ὀλύμπιοϲ ἧκε φόωϲ δέ,
βωμοῦ ὑπαΐξαϲ πρόϲ ῥα πλατάνιϲτον ὄρουϲεν.
ἔνθα δ' ἔϲαν ϲτρουθοῖο νεοϲϲοί, νήπια τέκνα,
ὄζῳ ἐπ' ἀκροτάτῳ, πετάλοιϲ ὑποπεπτηῶτεϲ,
ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα.
ἔνθ' ὅ γε τοὺϲ ἐλεεινὰ κατήϲθιε τετριγῶταϲ·
μήτηρ δ' ἀμφεποτᾶτο ὀδυρομένη φίλα τέκνα·

V. ι. 292 θ' omitt. G. ἄπο DEHL. — 293 ϲὺν νηὶ: παρὰ νηυϲὶν Et. Gud. 100, 24. ὅν περ ADHL Lips. Eton.: ἥνπερ CEGS. — 294 ἰλέωϲιν A. εἰλέωϲιν Schol. Ζ 359. γρ. φορέωϲϊ H. — 296 τῶ ACDGHL: τῷ E. — 299 ἐπὶ χρόνον libri omnes. — 300 ἢ: εἰ CDEGHLS Et. Gud. 413, 54. Cram. Epim. 301, 4. ἢ[ει] A. οὐκί: οὐχί Et. Gud. 413, 54. — 301 τόδε, non τόγε, libri mei. ἐνι A. — 303 πρωϊζὰ G. προϊζ' C. — 304 τρῳϲὶ L. — 305 περι AD. — 306 ἔρδομεν G. τελειέϲϲαϲ D. — 307 ὑπο A. ὅθεν ἢ ὅθε E. — 308 ἐπι A. — 309 τόν ῥ': τὸν δ' L. φόωϲ δέ A. φόοϲδε D. — 311 ἐνθάδ' D. ἔνθ' ἔϲαν CG. — 312, 313 omitt. H in textu. — 314 τετρηγῶταϲ C. — 315 ἀμφιποτᾶτο G.

A. c. 292 ἀπὸ Herodianus: alii ἄπο. — 297 παρὰ νηυϲὶ κορώνιϲιν: ὅτι Ζηνόδοτοϲ γράφει ἀϲχαλάαν μιμνόντεϲϲι (μίμνοντ' ἐπὶ νήεϲϲ' Bekker. ex coni.) τὰ πληθυντικὰ δυϊκῶϲ ἐκφέρων Aristonicus. — 299 ἐπὶ: Zenodotus ἔτι. — 300 Aristarchus ἢ et οὐκί, conf. Scholl. ad Β 238, 349. — 302 μάρτυροι: Zenodotus μάρτυρεϲ. — 311 ϲτρουθοῖο: ϲτρούθοιο Chaeris. — 314 τετριγῶταϲ Aristarchus: Zenodotus τεττίζονταϲ vel τιττίζονταϲ, vid. Schol. Δ 412, Eust. 229, 20; 490, 40.

τὴν δ᾽ ἐλελιξάμενος πτέρυγος λάβεν ἀμφιαχυῖαν.
αὐτὰρ ἐπεὶ κατὰ τέκνα φάγε στρουθοῖο καὶ αὐτήν,
τὸν μὲν ἀρίζηλον θῆκεν θεός, ὅς περ ἔφηνε·
λᾶαν γάρ μιν ἔθηκε Κρόνου πάϊς ἀγκυλομήτεω·
ἡμεῖς δ᾽ ἑσταότες θαυμάζομεν, οἷον ἐτύχθη.
ὡς οὖν δεινὰ πέλωρα θεῶν εἰσῆλθ᾽ ἑκατόμβας,
Κάλχας δ᾽ αὐτίκ᾽ ἔπειτα θεοπροπέων ἀγόρευε·
τίπτ᾽ ἄνεῳ ἐγένεσθε κάρη κομόωντες Ἀχαιοί;
ἡμῖν μὲν τόδ᾽ ἔφηνε τέρας μέγα μητίετα Ζεύς,
ὄψιμον, ὀψιτέλεστον, ὅου κλέος οὔ ποτ᾽ ὀλεῖται.
ὡς οὗτος κατὰ τέκνα φάγε στρουθοῖο καὶ αὐτήν,
ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα·
ὣς ἡμεῖς τοσσαῦτ᾽ ἔτεα πτολεμίξομεν αὖθι,
τῷ δεκάτῳ δὲ πόλιν αἱρήσομεν εὐρυάγυιαν.
κεῖνος τὼς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.
ἀλλ᾽ ἄγε μίμνετε πάντες, ἐϋκνήμιδες Ἀχαιοί,
αὐτοῦ, εἰς ὅ κεν ἄστυ μέγα Πριάμοιο ἕλωμεν.
ὣς ἔφατ᾽, Ἀργεῖοι δὲ μέγ᾽ ἴαχον, ἀμφὶ δὲ νῆες

V. l. 316 πτέρύγος H. ἀμφιαχυῖαν: ΑΜΦΙΑΧΟΥϹΑΝ Ambros. — 317 κατα AGL. τέκνα φάγε Mosc. 1: ceteri τέκν᾽ ἔφαγε. — 318 ἀρίζηλον A Ambros. 2. man. CDEGHLS Schol. T 407: ΑΙΖΗΛΟΝ Ambros. 1. man. ἀείζηλον Apoll. Lex. 16, 29. ἀΐδηλον Et. Mg. 41, 44. θῆκε CDGHL Et. Mg. 41, 44. ὅς περ: ὥσπερ Schol. T 407. ἔφηνε ACEH. — 319 λάαν DG. πάϊς: libri παῖς. ἀγκυλομήτεο D. — 322 δ᾽ omitt. GS. ἀγόρευε A Ambros. CDGHL. — 323 ἄνεῳ AEGL Et. Mg. 105, 17. Apoll. Lex. 32, 12: ἄνεω CDH. ΑΝΕΩ Ambros. κάρη κομόωντες A: ceteri καρηκομόωντες. — 324 μέν: δὲ Et. Mg. 432, 33. μητιέτα L. — 325 ὀψιτέλευτον Vrat. b. ὅου: ὅ οὐ A. — 326 κατα ACL. τέκνα G, ceteri τέκν᾽. — 328 ἡμεῖς τοσσαῦτ᾽: ἡμεῖς γε τοσαῦτ᾽ GS Mor. τοσαῦτ᾽ C 1. man. D. πολεμίξομεν C 1. man. πολεμίζομεν L Lips. Vrat. a. πτολεμίζομεν DE 225, 10. — 330 τὼς: θ᾽ ὣς ACDEGHLS Et. Mg. 508, 25. θ᾽ὡς Cram. Epim. 234, 2. — 331 ἀλλάγε Barocc. Vrat. c. εὐκνήμιδες CDGHL. — 332 αὐτοῦ: αὐτοὶ H. εἰς ὅ κεν H: ceteri εἰσόκεν. — 333 ὡς A.

A. c. 316 Aristarchus πτερύγος, non πτέρυγος, conf. Cram. An. Par. III, 280, 16. Matranga. Anecd. 471. Cram. An. Ox. IV, 337, 22. — 318 ἀρίζηλον Aristarchus: ἀρίδηλον Zenodotus. — 319 ἀθετεῖται Aristonicus. Ζηνόδοτος προσέθηκεν Aristonicus ad B 318. — 323 ἄνεῳ, conf. H. T. 191. — 325 ὅου Herodianus, cf. ad α 70. ὅο Thiersch. Gr. Gr. § 148. 2. Buttm. Gramm. ampl. I, 299*. ὅο κράτος α 70. Ἰλίοο προπάροιθε O 66, X 6. ἀνεψίοο κταμένοιο O 554. ἀγρίοο πρόσθεν X 313. Αἰόλοο κλυτὰ δώματα κ 60. Αἰόλοο μεγαλήτορος κ 36. Ἰφίτοο μεγαλήτορος B 518. Ἀσκληπίοο δύο (?) B 731. — 330 Herodianus θ᾽ ὣς: Aristarchus τὼς vel τόσς᾽, conf. Cram. Epim. 234, 3. Et. Mg. 508, 26. Et. Gud. 310, 33.

σμερδαλέον κονάβησαν ἀυσάντων ὑπ᾽ Ἀχαιῶν,
μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο.
τοῖσι δὲ καὶ μετέειπε Γερήνιος ἱππότα Νέστωρ·
ὢ πόποι, ἦ δὴ παισὶν ἐοικότες ἀγοράασθε
νηπιάχοις, οἷς οὔ τι μέλει πολεμήια ἔργα.
πῇ δὴ συνθεσίαι τε καὶ ὅρκια βήσεται ἥμιν;
ἐν πυρὶ δὴ βουλαί τε γενοίατο μήδεά τ᾽ ἀνδρῶν,
σπονδαί τ᾽ ἄκρητοι καὶ δεξιαί, ᾗς ἐπέπιθμεν·
αὔτως γάρ ῥ᾽ ἐπέεσσ᾽ ἐριδαίνομεν, οὐδέ τι μῆχος
εὑρέμεναι δυνάμεσθα πολὺν χρόνον ἐνθάδ᾽ ἐόντες.
Ἀτρείδη, σὺ δ᾽ ἔθ᾽ ὡς πρὶν ἔχων ἀστεμφέα βουλὴν
ἄρχευ᾽ Ἀργείοισι κατὰ κρατερὰς ὑσμίνας,
τοῦσδε δ᾽ ἔα φθινύθειν, ἕνα καὶ δύο, τοί κεν Ἀχαιῶν
νόσφιν βουλεύωσ᾽, ἄνυσις δ᾽ οὐκ ἔσσεται αὐτῶν,
πρὶν Ἄργος δ᾽ ἰέναι, πρὶν καὶ Διὸς αἰγιόχοιο
γνώμεναι εἴ τε ψεῦδος ὑπόσχεσις, εἴ τε καὶ οὐκί.
φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα
ἤματι τῷ, ὅτε νηυσὶν ἐν ὠκυπόροισιν ἔβαινον
Ἀργεῖοι Τρώεσσι φόνον καὶ κῆρα φέροντες,
ἀστράπτων ἐπιδέξι᾽, ἐναίσιμα σήματα φαίνων.
τῶ μή τις πρὶν ἐπειγέσθω οἶκον δὲ νέεσθαι,

V. l. 335 ἐπαινέσαντες L. ἐπαινέσσαντες Mor. ἐπαιρήσαντες S. — 337 ὤ: ὦ AH. — 338 μέλλει D. — 339 πῇ AE Schol. E 54, Ω 235. Rhet. Gr. III, 397, 1: ceteri πῆ. τε omitt. S Rhet. Gr. III, 397, 1. ἥμιν A: ceteri ἡμῖν. — 340 ἐμ πυρὶ Hesych. III, 101. δή: δὲ G. — 341 ᾗς: αἷς GL. — 342 αὔτως DGE 232, 30; 235, 3 et 5. Schol. K 167. Hesych. I, 330. Apoll. Lex. 47, 13. γάρ ῥ᾽: γὰρ L Apoll. Lex. 47, 13. Schol. K 167. — 344 δ᾽ ἔθ᾽: δέ θ᾽ CDEGHLS Pseudoplut. 117, 40. — 345 ἄρχευ᾽: ἄρχεὺ L Bekk. An. 120, 28. Cram. Ep. 356, 4. Ἀργείοισιν ἀνὰ Pseudoplut. 117, 40. ὑσμῖνας D. — 346 τοῦσδε A: ceteri τούσδε. — 347 νόσφι CDG. βουλεύωσ᾽: βουλεύσωσ᾽ L Vrat. a. b. A. βουλεύουσιν E 232, 42; 235, 18. αὐτῶν: αὐτοῖς Lips. suprascr. Vrat. c. — 349 εἴτε—εἴτε ACDGHS Barocc. Mor. 1. man. Cant. Vrat. b. c.: alii εἴτε—ἠέ. scribendum videtur ἤ τε—ἦε vel ἤ τε. — 351 ἐν ADL: ἐπ᾽ CEGHS. — 352 τρῴεσσι L. — 353 ἐναίσιμα: αἰνέσιμα G. — 354 τῶ ACDGL Et. Mg. 773, 46: τῷ H. οἶκον δὲ A: οἶκονδε CDEHL. οἴκονδε G. οἰκόνδε Et. Mg. 773, 46.

A. c. 346 τοῦσδε Herodianus. — 347 βουλεύωσ᾽ Aristarchus, non βουλεύωσι (ἐκ πλήρους), quod affirmavi H. T. 397, secutus Lehrsium Qu. Ep. p. 49. et Friedlaenderum Ariston. p. 67, nondum perspecto more scholiastae, qui propter sequens αἱ „βουλεύωσιν" pro βουλεύωσ᾽ scripsit, conf. H. U. 162. — 349 οὐκί Aristarchus. — 351 pro ἐπ᾽ cum melioribus libris ἐν est scribendum, conf. adnot. ad α 211 et β 18, 27, γ 131, θ 445, ν 317, σ 181.

πρίν τινα πὰρ Τρώων ἀλόχῳ κατακοιμηθῆναι,
τίϲαϲθαι δ᾽ Ἑλένηϲ ὁρμήματά τε ϲτοναχάϲ τε.
εἰ δέ τιϲ ἐκπάγλωϲ ἐθέλει οἶκον δὲ νέεϲθαι,
ἁπτέϲθω ἧϲ νηὸϲ ἐυϲϲέλμοιο μελαίνηϲ,
ὄφρα πρόϲθ᾽ ἄλλων θάνατον καὶ πότμον ἐπίϲπῃ.
ἀλλὰ ἄναξ αὐτόϲ τ᾽ εὖ μήδεο πείθεό τ᾽ ἄλλῳ·
οὔ τοι ἀπόβλητον ἔποϲ ἔϲϲεται, ὅττί κεν εἴπω·
κρῖν᾽ ἄνδραϲ κατὰ φῦλα, κατὰ φρήτραϲ, Ἀγάμεμνον,
ὡϲ φρήτρη φρήτρηφιν ἀρήγῃ, φῦλα δὲ φύλοιϲ.
εἰ δέ κεν ὣϲ ἔρξηϲ καί τοι πείθωνται Ἀχαιοί,
γνώϲῃ ἔπειθ᾽, ὅϲ θ᾽ ἡγεμόνων κακὸϲ ὅϲ τέ νυ λαῶν,
ἠδ᾽ ὅϲ κ᾽ ἐϲθλὸϲ ἔῃϲι· κατὰ ϲφέαϲ γὰρ μαχέονται·
γνώϲεαι δ᾽, ἢ καὶ θεϲπεϲίῃ πόλιν οὐκ ἀλαπάξειϲ,
ἦ ἀνδρῶν κακότητι καὶ ἀφραδίῃ πολέμοιο.
τὸν δ᾽ ἀπαμειβόμενοϲ προϲέφη κρείων Ἀγαμέμνων·
ἦ μὰν αὖτ᾽ ἀγορῇ νικᾷϲ γέρον υἷαϲ Ἀχαιῶν.
αἲ γὰρ Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον
τοιοῦτοι δέκα μοι ϲυμφράδμονεϲ εἶεν Ἀχαιῶν·
τῶ κε τάχ᾽ ἠμύϲειε πόλιϲ Πριάμοιο ἄνακτοϲ
χερϲὶν ὑφ᾽ ἡμετέρηϲιν ἁλοῦϲά τε περθομένη τε.
ἀλλά μοι αἰγίοχοϲ Κρονίδηϲ Ζεὺϲ ἄλγε᾽ ἔδωκεν,
ὅϲ με μετ᾽ ἀπρήκτουϲ ἔριδαϲ καὶ νείκεα βάλλει.
καὶ γὰρ ἐγὼν Ἀχιλεύϲ τε μαχηϲάμεθ᾽ εἵνεκα κούρηϲ
ἀντιβίοιϲ ἐπέεϲϲιν, ἐγὼ δ᾽ ἦρχον χαλεπαίνων·
εἰ δέ ποτ᾽ ἔϲ γε μίαν βουλεύϲομεν, οὐκέτ᾽ ἔπειτα

V. ι. 355 παρ D. τρώων CGL. 355—357 omitt. H in textu. — 357 οἶκον δὲ A. οἶκονδε CDEHL. οἴκονδε G. — 358 ἐϋϲέλμοιο DEGHL 1. man. εὐϲέλμοιο. C. — 360 ἀλλ᾽ G. αὐτόϲ τε μήδεο G. — 361 οὔ τοι: οὔτι DGH. — 362 κρίν᾽ D. κατα A bis. φρήτραϲ τ᾽ G. Ἀγαμέμνων Vrat. c. Schol. Ζ 1. — 363 φρήτρηφιν CDE bis G. ἀρήγει D 1. man. S. φύλα D. — 364 ὡϲ A. ἔρξηϲ H. ἔρξειϲ L. καὶ ϲοὶ G. πείθονται CDH Lips. Townl. Eton. Vrat. b. A. Mosc. 1. pr. man. — 365 ὅϲ τε νυ G. ὅϲ τ᾽ ἔνι D. — 366 κατα A. μαχέονται: μαχέοιντο Schol. Α 368. — 367 ἢ: libri εἰ. — 368 ἢ A: ceteri ἦ. — 370 ἢ D. ἢ μὴν EG Rhet. Gr. III, 153, 8. ἀγορῇ: ἀρετῇ Schol. Β 350. — 373 τῶ ACDHL Et. Mg. 773, 50: τῷ G Schol. Ζ 518. Apoll. Lex. 156, 13. — 375 κρατέρ᾽ ἄλγε᾽ ἔδωκεν S. ἔδωκεν: ἔθηκεν E. — 376 ἀπρήκταϲ S. ἀπράκτουϲ E. — 377 μαχηϲάμεθ᾽: μαχεϲϲάμεθ᾽ ACEGHLS. μαχεϲάμεθ᾽ D. — 378 χαλεπαίνειν G. — 379 γε omitt. D.

A. c. 355 πὰρ: περ Ἀρίϲταρχοϲ καὶ τὰ ὑπομνήματα. πρίν τινι Doederl. Emend. Homer. (1858) pg. 10. — 368 ἢ Ptolemaeus: ἦ Alexio. 373 τῶ, non τῷ, Herodianus. — 377 μαχηϲάμεθ᾽ Aristarchus.

Τρωϲὶν ἀνάβληϲιϲ κακοῦ ἔϲϲεται, οὐδ᾽ ἠβαιόν.
νῦν δ᾽ ἔρχεϲθ᾽ ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν ἄρηα.
εὖ μέν τιϲ δόρυ θηξάϲθω, εὖ δ᾽ ἀϲπίδα θέϲθω,
εὖ δέ τιϲ ἵπποιϲιν δεῖπνον δότω ὠκυπόδεϲϲιν,
εὖ δέ τιϲ ἅρματοϲ ἀμφὶϲ ἰδὼν πολέμοιο μεδέϲθω,
ὥϲ κε πανημέριοι ϲτυγερῷ κρινώμεθ᾽ ἄρηι.
οὐ γὰρ παυϲωλή γε μετέϲϲεται, οὐδ᾽ ἠβαιόν,
εἰ μὴ νὺξ ἐλθοῦϲα διακρινέει μένοϲ ἀνδρῶν.
ἱδρώϲει μέν τευ τελαμὼν ἀμφὶ ϲτήθεϲϲιν
ἀϲπίδοϲ ἀμφιβρότηϲ, περὶ δ᾽ ἔγχεϊ χεῖρα καμεῖται·
ἱδρώϲει δέ τευ ἵπποϲ ἐύξοον ἅρμα τιταίνων.
ὃν δέ κ᾽ ἐγὼν ἀπάνευθε μάχηϲ ἐθέλοντα νοήϲω
μιμνάζειν παρὰ νηυϲὶ κορωνίϲιν, οὔ οἱ ἔπειτα
ἄρκιον ἐϲϲεῖται φυγέειν κύναϲ ἠδ᾽ οἰωνούϲ.
ὣϲ ἔφατ᾽, Ἀργεῖοι δὲ μέγ᾽ ἴαχον, ὡϲ ὅτε κῦμα
ἀκτῇ ἐφ᾽ ὑψηλῇ, ὅτε κινήϲῃ νότοϲ ἐλθών,
προβλῆτι ϲκοπέλῳ· τὸν δ᾽ οὔ ποτε κύματα λείπει
παντοίων ἀνέμων, ὅτ᾽ ἂν ἔνθ᾽ ἢ ἔνθα γένωνται.
ἀνϲτάντεϲ δ᾽ ὀρέοντο κεδαϲθέντεϲ κατὰ νῆαϲ,
κάπνιϲϲάν τε κατὰ κλιϲίαϲ καὶ δεῖπνον ἕλοντο.
ἄλλοϲ δ᾽ ἄλλῳ ἔρεζε θεῶν αἰειγενετάων
εὐχόμενοϲ θάνατόν τε φυγεῖν καὶ μῶλον ἄρηοϲ.
αὐτὰρ ὃ βοῦν ἱέρευϲεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
πίονα πενταέτηρον ὑπερμενεῖ Κρονίωνι,
κίκληϲκεν δὲ γέρονταϲ ἀριϲτῆαϲ Παναχαιῶν,

V. ι. 380 τρωϲὶ D. τρῳϲὶν L. — 383 ἵπποιϲι EGH. ὠκυπόδεϲϊν G. — 385 ὥϲ κε: ὥϲτε Vrat. a. — 387 διακρίνει A. διακρινέῃ S. — 388 ἱδρώϲει D. μέν τευ: μέν τ᾽ εὖ Rhet. Gr. III, 131, 28. ϲτήθεϲϲιν: ϲτήθεϲφιν ACL. ϲτήθεϲφιν H. ϲτήθεϲφι Eton. Vrat. b. c. Mosc. 1. ϲτήθεϲιν E. — 389 περι A. παρὰ H. ἔγχει χεῖρα παρεῖται Rhet. Gr. III, 131, 28. — 390 εὔξοον D. — 391 δέ κ᾽: δ᾽ ἂν E Vrat. a. Δ᾽ ΑΝ Ambros. cf. Α 549. ἐθέλοντα: πτώϲϲοντα Aristot. Ethic. Nicom. III, 11. — 395 ὅ, τε G. κινήϲει CEHL Pseudoplut. 124, 14. — 396 τὸν δ᾽: ὅν γ᾽ G. — 397 ὅτ᾽ ἂν: ὅταν CE bis L Pseudoplut. 124, 14. ΟΤΑΝ Ambros. — 398 δ᾽ ὀρέοντο D. δ᾽ ὀρόωντο C. κατὰ: ἐπὶ E. — 399 κάπνιϲάν CDEHL Schol. Σ 207. Et. Mg. 489, 53. — 400 ἔρεζε: ἔρεξε Vrat. b. Schol. Ε 372. αἰεὶ γενετάων Vrat. c. — 402 ὃ ACDGHL Et. Mg. 204, 4. — 404 κίκληϲκε DG.

A. c. 380 οὐδ᾽ ἠβαιόν: alii οὐ δὴ βαιόν. — 397 γένωνται Aristarchus: alii γένηται. — 398 ἀνϲτάντεϲ Aristarchus, cf. H. T. 394.

Νέϲτορα μὲν πρώτιϲτα καὶ Ἰδομενῆα ἄνακτα,
αὐτὰρ ἔπειτ᾽ Αἴαντε δύω καὶ Τυδέοϲ υἱόν,
ἕκτον δ᾽ αὖτ᾽ Ὀδυϲῆα Διὶ μῆτιν ἀτάλαντον.
αὐτόματοϲ δέ οἱ ἦλθε βοὴν ἀγαθὸϲ Μενέλαοϲ·
ἤδεε γὰρ κατὰ θυμὸν ἀδελφεὸν ὡϲ ἐπονεῖτο.
βοῦν δὲ περίϲτηϲάν τε καὶ οὐλοχύταϲ ἀνέλοντο.
τοῖϲιν δ᾽ εὐχόμενοϲ μετέφη κρείων Ἀγαμέμνων·
Ζεῦ κύδιϲτε μέγιϲτε, κελαινεφέϲ, αἰθέρι ναίων,
μὴ πρὶν ἐπ᾽ ἠέλιον δῦναι καὶ ἐπὶ κνέφαϲ ἐλθεῖν,
πρίν με κατὰ πρηνὲϲ βαλέειν Πριάμοιο μέλαθρον
αἰθαλόεν, πρῆϲαι δὲ πυρὸϲ δηίοιο θύρετρα,
Ἑκτόρεον δὲ χιτῶνα περὶ ϲτήθεϲϲι δαΐξαι
χαλκῷ ῥωγαλέον· πολέεϲ δ᾽ ἀμφ᾽ αὐτὸν ἑταῖροι
πρηνέεϲ ἐν κονίῃϲιν ὀδὰξ λαζοίατο γαῖαν.
ὣϲ ἔφατ᾽, οὐδ᾽ ἄρα πώ οἱ ἐπεκραίαινε Κρονίων,
ἀλλ᾽ ὅ γε δέκτο μὲν ἱρά, πόνον δ᾽ ἀμέγαρτον ὄφελλεν.
αὐτὰρ ἐπεί ῥ᾽ εὔξαντο καὶ οὐλοχύταϲ προβάλοντο,
αὐέρυϲαν μὲν πρῶτα καὶ ἔϲφαξαν καὶ ἔδειραν,
μηρούϲ τ᾽ ἐξέταμον κατά τε κνίϲῃ ἐκάλυψαν
δίπτυχα ποιήϲαντεϲ, ἐπ᾽ αὐτῶν δ᾽ ὠμοθέτηϲαν.
καὶ τὰ μὲν ἂρ ϲχίζῃϲιν ἀφύλλοιϲιν κατέκαιον,
ϲπλάγχνα δ᾽ ἄρ᾽ ἀμπείραντεϲ ὑπείρεχον Ἡφαίϲτοιο.
αὐτὰρ ἐπεὶ κατὰ μῆρα κάη καὶ ϲπλάγχνα πάϲαντο,

V. L. 406 δύο DE. τυδέω̊ϲ C. — 407 δ᾽ omitt. D. αὖθ᾽ C. ὀδυϲϲῆα DG. — 408 δέ γε ἦλθε G. — 410 * περίϲτηϲάν τε: περιϲτήϲαντο ACDEGHLS. — 411 τοῖϲι CDGHL Vrat. b. — 413 ἐπηέλιον C. ἐπι AC. — 414 καταπρηνὲϲ ACDEGHL Schol. B 400. — 416 δαΐξαι: δάϊξον H. — 419 ὡϲ A. πῶ C. πω G. ἐπεκρέαινε DH. ἐπϊκραίενε L. — 420 ὅγε, δέκτο C. ἱερὰ GH. πόνον: φόνον Et. Gud. 44, 16. — 421 προβάλοντο ACDEHL: ἀνέλοντο GS, cf. A 449. — 422 αὐέρυϲαν AG: αὖ ἔρυϲαν CDEHLS Et. Mg. 533, 50, cf. A 459. πρῶτον C. — 423 κνίϲῃ: κνίϲϲῃ C. κνίϲϲη DL. — 425 μὲν ῥα H. ἂρ omitt. D. ἀφύλλοιϲι CDE. — 426 ἂρ ADEGH Apoll. Lex. 85, 12. ἀμπείραντεϲ: ἐμπείραντεϲ E 136, 18 G Schol. A 591. ὑπήρεχον D. — 427 κατα ACDL. μῆρ᾽ ἐκάη καὶ ϲπλάγχν᾽ ἐπάϲαντο libri.

A. c. 410 περίϲτηϲάν τε Bekk. ex coniectura hic et μ 356, conf. Δ 532. — 412 ἔν τιϲι γέγραπται „Ζεῦ πάτερ Ἴδηθεν μεδέων [κύδιϲτε, μέγιϲτε]“ ut Γ 320. — 415 πρῆϲαι: ἐν ταῖϲ πλείϲταιϲ διὰ τοῦ λ πλῆϲαι, καὶ αἱ Ἀριϲτάρχου Didymus. — 420 ἀμέγαρτον: ἀλίαϲτον Aristarchus. — 423 κνίϲῃ Herodianus: κνίϲη (οὐδετέρωϲ) Aristarchus. — 427 μῆρα κάη: Ptolemaeus μῆρε κάη. Aristarchus ϲπλάγχνα πάϲαντο, cf. ad A 464.

μίϲτυλλόν τ᾽ ἄρα τἆλλα καὶ ἀμφ᾽ ὀβελοῖϲιν ἔπειραν,
ὤπτηϲάν τε περιφραδέωϲ, ἐρύϲαντό τε πάντα.
αὐτὰρ ἐπεὶ παύϲαντο πόνου τετύκοντό τε δαῖτα,
δαίνυντ᾽, οὐδέ τι θυμὸϲ ἐδεύετο δαιτὸϲ ἐίϲηϲ.
αὐτὰρ ἐπεὶ πόϲιοϲ καὶ ἐδητύοϲ ἐξ ἔρον ἕντο,
τοῖϲ ἄρα μύθων ἦρχε Γερήνιοϲ ἱππότα Νέϲτωρ·
Ἀτρείδη κύδιϲτε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
μηκέτι νῦν δήθ᾽ αὖθι λεγώμεθα, μηδ᾽ ἔτι δηρὸν
ἀμβαλλώμεθα ἔργον, ὃ δὴ θεὸϲ ἐγγυαλίζει.
ἀλλ᾽ ἄγε, κήρυκεϲ μὲν Ἀχαιῶν χαλκοχιτώνων
λαὸν κηρύϲϲοντεϲ ἀγειρόντων κατὰ νῆαϲ,
ἡμεῖϲ δ᾽ ἀθρόοι ὧδε κατὰ ϲτρατὸν εὐρὺν Ἀχαιῶν
ἴομεν, ὄφρά κε θᾶϲϲον ἐγείρομεν ὀξὺν ἄρηα.
ὣϲ ἔφατ᾽, οὐδ᾽ ἀπίθηϲεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
αὐτίκα κηρύκεϲϲι λιγυφθόγγοιϲι κέλευϲε
κηρύϲϲειν πόλεμον δὲ κάρη κομόωνταϲ Ἀχαιούϲ.
οἱ μὲν ἐκήρυϲϲον, τοὶ δ᾽ ἠγείροντο μάλ᾽ ὦκα.
οἱ δ᾽ ἀμφ᾽ Ἀτρείωνα διοτρεφέεϲ βαϲιλῆεϲ
θῦνον κρίνοντεϲ, μετὰ δὲ γλαυκῶπιϲ Ἀθήνη
αἰγίδ᾽ ἔχουϲ᾽ ἐρίτιμον ἀγήρων ἀθανάτην τε·
τῆϲ ἑκατὸν θύϲανοι παγχρύϲεοι ἠερέθονται,
πάντεϲ ἐυπλεκέεϲ, ἑκατόμβοιοϲ δὲ ἕκαϲτοϲ.
ϲὺν τῇ παιφάϲϲουϲα διέϲϲυτο λαὸν Ἀχαιῶν,
ὀτρύνουϲ᾽ ἰέναι· ἐν δὲ ϲθένοϲ ὦρϲεν ἑκάϲτῳ

V. L. 428 τἆλλα: τ᾽ ἄλλα CDGH. τἄλλα A. ἀμφοβελοῖϲιν A. — 432 ἐξέρον CH. ἕντο DGH. ἔντο L. — 433 τοῖϲ ἄρα: τοῖϲι δὲ S Cant. — 434 ἀγαμέμνων L. — 435 μηκέτι: μὴ κέτι D. δηθὰ G. δῆτ᾽ C 1. man. L. μηδ᾽ ἔτι: μὴ δ᾽ ἔτι CDL. μὴ δέ τι S Et. Mg. 79, 46. μηδέ τι AH. — 436 ἀμβαλώμεθα D. ἐγγυαλίζει A: ἐγγυαλίξει CE 250, 36 et 44; 251, 5 GHS. ἐγγυαλίξει (οι supra) L. ἐγγυαλύξει D. — 439 ὧδε Cram. Epim. 19, 15. — 440 ἴωμεν G. ὄφρά κε CH Zonar. Lex. 239. ὄφρα καὶ E. θάϲϲον D. ἐγείρομεν: ἀγείρομεν L. — 441 ἀπείθηϲεν DG. — 442 κέλευϲε ACDH Vrat. b. κέλευϲεν L. κέλευε G. — 443 πόλεμον δὲ AH. κάρη κομόωνταϲ A Lips — 444 οἱ μὲν D. κήρυϲϲον S. — 446 θύνον G. μετα D. — 447 ἀγήρων: ἀγήραον ACDEGHS. ἀγήρω τ᾽ L. — 448 ἠερέθοντο GHS. — 449 εὐπλεκέεϲ DH. ἑκατόμβιοϲ L. — 450 πεφάϲϲουϲα G. — 451 ἑκάϲτῳ: ἑκάϲτου Pseudoplut. 136, 41.

A. c. 435 δήθ᾽ αὖθι Aristarchus: δὴ ταῦτα Zenodotus. δὴ νῦν αὖθι Callistratus. — 436 ἐγγυαλίζει Aristarchus, Apollon. Rhodius, Aristophanes. — 447 ἀγήρων Aristarchus cum Aristophane. — 448 ἠερέθονται: ἠερέθοντο Zenodotus.

καρδίῃ ἄλληκτον πολεμίζειν ἠδὲ μάχεϲθαι.
τοῖϲι δ' ἄφαρ πόλεμοϲ γλυκίων γένετ' ἠὲ νέεϲθαι
ἐν νηυϲὶ γλαφυρῇϲι φίλην ἐϲ πατρίδα γαῖαν.
ἠΰτε πῦρ ἀΐδηλον ἐπιφλέγει ἄϲπετον ὕλην
οὔρεοϲ ἐν κορυφῇϲ, ἕκαθεν δέ τε φαίνεται αὐγή,
ὣϲ τῶν ἐρχομένων ἀπὸ χαλκοῦ θεϲπεϲίοιο
αἴγλη παμφανόωϲα δι' αἰθέροϲ οὐρανὸν ἷκε.
τῶν δ', ὥϲ τ' ὀρνίθων πετεηνῶν ἔθνεα πολλά,
χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων,
Ἀϲίῳ ἐν λειμῶνι Καϋϲτρίου ἀμφὶ ῥέεθρα
ἔνθα καὶ ἔνθα ποτῶνται ἀγαλλόμενα πτερύγεϲϲι,
κλαγγηδὸν προκαθιζόντων, ϲμαραγεῖ δέ τε λειμών,
ὣϲ τῶν ἔθνεα πολλὰ νεῶν ἄπο καὶ κλιϲιάων
ἐϲ πεδίον προχέοντο Ϲκαμάνδριον· αὐτὰρ ὑπὸ χθὼν
ϲμερδαλέον κονάβιζε ποδῶν αὐτῶν τε καὶ ἵππων.
ἔϲταν δ' ἐν λειμῶνι Ϲκαμανδρίῳ ἀνθεμόεντι
μυρίοι, ὅϲϲά τε φύλλα καὶ ἄνθεα γίγνεται ὥρῃ.
ἠΰτε μυιάων ἀδινάων ἔθνεα πολλά,
αἵ τε κατὰ ϲταθμὸν ποιμνήιον ἠλάϲκουϲιν

V. ι. 452 κραδίῃ CGL. ἄληκτον CDEGH. — 456 κορυφῆϲ: κορυφῇ Ε 243, 45 G. κορυφῆιϲ' D. κορυφαῖϲ Ε 253, 41, conf. Ν 179, Π 634. ἐκ κορυφῆϲ Vrat. a. φαίνεται: φαίνετο L. — 457 ὡϲ A. τῶν: τῶνδ' Vrat. a. — 458 παμφανόεϲϲα H. ἷκε CEL: ἷκεν ADG. ἧκε H. ἧκεν Schol. Ν 837. — 459 καὶ ὥϲ τ' ὀρνίθων G. — 461 Ἀϲίω ADHLS Schol. Aristoph Acharn. 68. Strabo XIV, 650: Ἀϲίῳ CEG Strabo XIII, 627. Schol. Apoll. Rhod. II, 777. ἀμφι A. — 462 ποτῶνται: πέτονται Pseudoplut. 114, 36. ἀγαλλόμενα AE 255, 7 et 16 GH Eton. 1. man. Barocc. Vrat. b. c. A.: ἀγαλλόμεναι CDL Pseudoplut. 114, 36. Eust. 44, 22; 254, 14; 255, 6; 531, 29. ἀγαλλόμενα[αι] S. πτερύγεϲϲι CEH. — 464 ὡϲ A. — 465 Ϲκαμάνδριον: καμάνδριον GL Mor. Harl. Lips. Townl. ὑπο ACDL. — 466 κονάβηϲε S. — 467 λιμῶνι[ει] D. καμανδρίῳ C post ras. GL Mor. Harl. Lips. Townl. — 468 ὅϲϲά τε CH. φύλλα: φῦλα H. *γίγνεται: γίνεται ACDEGL Lucianus XV, 42. Schol. ι 51. γείνεται H. ὥρᾳ G. γρ. ἦρι L man. rec. — 469 ἀδινάων A: ceteri ἀδινάων. — 470 κατα A. εἰλάϲκουϲιν L et sup. γρ. ἠ.

A. c. 452 ἄληκτον Aristarchus? vid. H. T. 389. — 453, 454 asterisci. οὐκ ὀρθῶϲ Λ 13, 14. — 461 Ἀϲίω Aristarchus, Ptolem. Ascalonita, Herodianus, conf. Schol BDLV. Matranga. Anecd. 477. Eust. 254, 16. Cram. Epim. 20, 19. An. Par. III, 7, 30. Et. Mg. 153, 42. Et. Gud. 83, 36. Schol. Aristoph. Acharn. 68. Ἀϲίῳ defendit G. Hermann. ad Hymn. in Apoll. 250. — 462 Aristarchus ἀγαλλόμενα, non ἀγαλλόμεναι. — 463 λειμών: γαῖα Aristarchus (?), conf. Schol. V. — 465 Καμάνδριον, cf. H. U. pg. 43.

ὥρῃ ἐν εἰαρινῇ, ὅτε τε γλάγοϲ ἄγγεα δεύει,
τόϲϲοι ἐπὶ Τρώεϲϲι κάρη κομόωντεϲ Ἀχαιοὶ
ἐν πεδίῳ ἵϲταντο διαρραῖϲαι μεμαῶτεϲ.
τοὺϲ δ', ὥϲ τ' αἰπόλια πλατέ' αἰγῶν αἰπόλοι ἄνδρεϲ
ῥεῖα διακρίνωϲιν, ἐπεί κε νομῷ μιγέωϲιν,
ὣϲ τοὺϲ ἡγεμόνεϲ διεκόϲμεον ἔνθα καὶ ἔνθα
ὑϲμίνην δ' ἰέναι, μετὰ δὲ κρείων Ἀγαμέμνων,
ὄμματα καὶ κεφαλὴν ἴκελοϲ Διὶ τερπικεραύνῳ,
Ἄρεϊ δὲ ζώνην, ϲτέρνον δὲ Ποϲειδάωνι.
ἠΰτε βοῦϲ ἀγέληφι μέγ' ἔξοχοϲ ἔπλετο πάντων
ταῦροϲ· ὁ γάρ τε βόεϲϲι μεταπρέπει ἀγρομένῃϲι·
τοῖον ἄρ' Ἀτρεΐδην θῆκε Ζεὺϲ ἤματι κείνῳ,
ἐκπρεπέ' ἐν πολλοῖϲι καὶ ἔξοχον ἡρώεϲϲιν.
ἔϲπετε νῦν μοι μοῦϲαι Ὀλύμπια δώματ' ἔχουϲαι,
ὑμεῖϲ γὰρ θεαί ἐϲτε, πάρεϲτέ τε, ἴϲτέ τε πάντα,
ἡμεῖϲ δὲ κλέοϲ οἶον ἀκούομεν οὐδέ τι ἴδμεν,
οἵ τινεϲ ἡγεμόνεϲ Δαναῶν καὶ κοίρανοι ἦϲαν.
πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήϲομαι οὐδ' ὀνομήνω,
οὐδ' εἴ μοι δέκα μὲν γλῶϲϲαι, δέκα δὲ ϲτόματ' εἶεν,
φωνὴ δ' ἄρρηκτοϲ, χάλκεον δέ μοι ἦτορ ἐνείη,
εἰ μὴ Ὀλυμπιάδεϲ μοῦϲαι, Διὸϲ αἰγιόχοιο
θυγατέρεϲ, μνηϲαίαθ' ὅϲοι ὑπὸ Ἴλιον ἦλθον.
ἀρχοὺϲ αὖ νηῶν ἐρέω νῆάϲ τε προπάϲαϲ.
Βοιωτῶν μὲν Πηνέλεωϲ καὶ Λήιτοϲ ἦρχον

V. ι. 471 εἰαρινῇ γε ὅτε γλάγοϲ G. τε omitt. H. δεύῃ L. — 472 ἐπι A. τρῳεϲϲι GL. κάρη κομόωντεϲ A: ceteri καρηκομόωντεϲ. — 475 διακρίνουϲιν G Barocc. διακρινέωϲιν L. — 476 ὡϲ A. τούϲ γ' G. — 478 κεφαλῇ Schol. Γ 168. ἴκελοϲ GH. εἴκελοϲ L Schol. Γ 168. — 479 Ἄρει Schol. Β 11. — 480 ἀγέληφι EG Rhet. Gr. III, 200, 9. Pseudoplut. 128, 44. Eust. 1111, 34. — 481 ὃ CDHL. ἀγρομένῃϲι AD. ἀγρομένοιϲι CGH. 2. man. — 482 τοῖον δ' H. ἄρ AG. θῆκεν GH. — 483 εὔπρεπέ'[εκ] S. εὐπρεπέ' Cant. ἡρώεϲϲι C. — 484 ἔϲπετε H. sequitur in H v. 487, qui suo loco est omissus. — 485 θεαὶ ἐϲτὲ, πάρεϲτε καὶ ἴϲτε πάντα G. — 487 omitt. C. — 489 εἶεν: ἦεν Cram. An. Ox. IV, 318, 1. — 490 φωνή τ' Bekk. An. 771, 21. — 494—877 omitt. D Townl.

A. c. 484 Ὀλύμπια δώματ' ἔχοντεϲ: Ὀλυμπίαδεϲ βαθύκολποι Zenodotus, conf. Eust. 260, 27 et 46. Schol. V ad Σ 339. Ariston. ad Ω 215. — 489 ἡ ἀναφορὰ πρὸϲ τοὺϲ περιγράφονταϲ τούτουϲ τοὺϲ ϲτίχουϲ (484—493?). de voce περιγράφειν vide Scholl. γ 245, 400, λ 525. Eust. 1480, 24 περιγράφει, ἤγουν ἀθετεῖ, ἐκβάλλει.

Ἀρκεϲίλαόϲ τε Προθοήνωρ τε Κλονίοϲ τε,
οἵ θ' Ὑρίην ἐνέμοντο καὶ Αὐλίδα πετρήεϲϲαν
Ϲχοῖνόν τε Ϲκῶλόν τε πολύκνημόν τ' Ἐτεωνόν,
Θέϲπειαν Γραῖάν τε καὶ εὐρύχορον Μυκαληϲϲόν,
οἵ τ' ἀμφ' Ἅρμ' ἐνέμοντο καὶ Εἰλέϲιον καὶ Ἐρύθραϲ,
οἵ τ' Ἐλεῶν' εἶχον ἠδ' Ὕλην καὶ Πετεῶνα,
Ὠκαλέην Μεδεῶνά τ', ἐυκτίμενον πτολίεθρον,
Κώπαϲ Εὔτρηϲίν τε πολυτρήρωνά τε Θίϲβην,
οἵ τε Κορώνειαν καὶ ποιήενθ' Ἁλίαρτον,
οἵ τε Πλάταιαν ἔχον ἠδ' οἳ Γλιϲᾶντα νέμοντο,
οἵ θ' Ὑποθήβαϲ εἶχον, ἐυκτίμενον πτολίεθρον,
Ὀγχηϲτόν θ' ἱερόν, Ποϲιδήιον ἀγλαὸν ἄλϲοϲ,
οἵ τε πολυϲτάφυλον Ἄρνην ἔχον, οἵ τε Μίδειαν
Νῖϲάν τε ζαθέην Ἀνθηδόνα τ' ἐϲχατόωϲαν·

V. ι. 495 κλόνϊόϲ CGL. — 497 πολύκνημόν: πολύκρημνόν Bekk. An. 865, 25. — 498 θέϲπῑαν A. θέϲπιαν E. θεϲπίαν H 1. man., ceteri Θέϲπειαν cum Pausania IX, 20, 2 et Strabone VIII, 376. εὐρύχωρον GH. μυκαληϲόν G. — 499 οἳ δ' Apoll. Lex. 44, 29. ἐρυθράϲ ACL. — 500 ἔχον L. ἠδ': ἰδ' C Eton. Lips. Vrat. c. — 501 εὐκτίμενον EH. — 503 ποιήεντ' ἁλίαρτον L Bekk. Anecd. 865, 27. — 504 Γλιϲᾶντα νέμοντο: γλιϲᾶντ' ἐνέμοντο ACG. γλιϲᾶν ἐνέμοντο Lips. γλίϲϲαντ' ἐνέμοντο E 264, 1; 269, 19 L. γλιϲϲάντ' ἐνέμοντο H. γλίϲαντ' ἐνέμοντο Eton. Vrat. b. A. Mosc. 1. — 505 ὑπὸ θήβαϲ CE 269, 28 L Strabo IX, 412. — 506 Ὀγχηϲτόν ALS Eust. Schol. Λ 700. Schol. Pind. Ol. III, 26; 41; Isthm. I, 44. Strabo: vulgo Ὄγχηϲτόν. Ποϲειδήϊον EGL. ἀγλαὸν ἄϲτυ Schol. Apoll. Rhod. III, 1242. — 508 Νῖϲάν: νίϲϲαν LS. νιϲϲάν H. νίϲαν Mosc. 1. νιϲᾶν Lips. Eton.

A. c. 496 οἵ θ' Ὑρίην: τινὲϲ οὐ ϲύνδεϲμον ἐνόηϲαν ἐνταῦθα τὸν τέ, ἀλλὰ Θυρίην πόλιν ὑπέλαβον εἶναι, conf. Schol. A. οἱ δὲ Θυρίην γράφοντεϲ ἁμαρτάνουϲιν Schol. BL. — 498 Θέϲπειαν Herodianus in cathol. prosodia: in pros. Hom. Θέϲπιαν, conf. Schol. A. Matranga. Anecd. 426. Cram. An. Par. III, 137, 6; 351, 8. γράφεται δὲ κοινῶϲ διὰ τοῦ ῑ ἡ παραλήγουϲα, Ἡρωδιανὸϲ δὲ ἐν τῇ καθόλου προϲῳδίᾳ τὴν ει δίφθογγον χαρίζεται αὐτῇ Eust. 265, 42. Θέϲπειαν Orus apud Cram. Epim. 370, 27. — 499 Ἐρύθραϲ βαρυτόνωϲ Schol. D: Ἐρυθρὰϲ Apio et Herodorus teste Eust. 267, 3. — 502 Θίϲβην: Μέϲϲην Zenodotus, cf. 582. — 503 Γλιϲᾶντα: ἡ ϲυνήθεια προπεριϲπᾷ τὸ ὄνομα, ἡ δὲ ἱϲτορία περιϲπᾷ (corrige προπαροξύνει) Schol. BL. ἡ μὲν ϲυνήθεια προπεριϲπᾷ Γλιϲϲᾶντα λέγουϲα, ἡ δὲ ἱϲτορία προπαροξύνει τὸ ὄνομα Eust. 269, 20. conf. Schol. D. Bekk. An. 1235, 4. Schol. Μ 20. H. T. 119. — 505 οἱ πλείουϲ οὐ νοοῦϲιν „ὑπὸ Θήβαϲ" ἐν δυϲὶ μέρεϲι λόγου, ἀλλὰ ὑφὲν Ὑποθήβαϲ λέγοντεϲ Eust. 269, 28. — 507 Ἄρνην: Zenodotus Ἄϲκρην, conf. Schol. H 9. Eust. 270, 37. Strabo IX, 413. Cram. An. Par. III, 193, 17. τοὺϲ δὲ γράψανταϲ „Τάρνην" ἀντὶ Ἄρνηϲ αἰτιῶνται οἱ παλαιοί Eust. 270, 40. οὐκ εὖ δὲ οὐδὲ οἱ Τάρνην ἀντὶ τῆϲ Ἄρνηϲ γράφοντεϲ Strabo IX, 413. ἔνιοι πιθανῶϲ μεταγράφουϲι πολυϲτάφυλον Τάρνην Schol. D. — 508 Νῖϲαν: οἴονται δέ τινεϲ δεῖν γράφειν „Ἶϲόν τε ζαθέην", τινὲϲ δὲ γρά-

τῶν μὲν πεντήκοντα νέεϲ κίον, ἐν δὲ ἑκάϲτῃ
κοῦροι Βοιωτῶν ἑκατὸν καὶ εἴκοϲι βαῖνον.
οἳ δ' Ἀϲπληδόνα ναῖον ἰδ' Ὀρχομενὸν Μινύειον,
τῶν ἦρχ' Ἀϲκάλαφοϲ καὶ Ἰάλμενοϲ, υἷεϲ Ἄρηοϲ,
οὓϲ τέκεν Ἀϲτυόχη δόμῳ Ἄκτοροϲ Ἀζεΐδαο,
παρθένοϲ αἰδοίη, ὑπερώιον εἰϲαναβᾶϲα,
Ἄρηι κρατερῷ· ὃ δέ οἱ παρελέξατο λάθρῃ.
τοῖϲ δὲ τριήκοντα γλαφυραὶ νέεϲ ἐϲτιχόωντο.
αὐτὰρ Φωκήων Ϲχεδίοϲ καὶ Ἐπίϲτροφοϲ ἦρχον,
υἱέεϲ Ἰφίτου μεγαθύμου Ναυβολίδαο,
οἳ Κυπάριϲϲον ἔχον Πυθῶνά τε πετρήεϲϲαν
Κρῖϲάν τε ζαθέην καὶ Δαυλίδα καὶ Πανοπῆα,
οἵ τ' Ἀνεμώρειαν καὶ Ὑάμπολιν ἀμφενέμοντο,
οἵ τ' ἄρα πὰρ ποταμὸν Κηφιϲὸν δῖον ἔναιον,
οἵ τε Λίλαιαν ἔχον πηγῇϲ ἔπι Κηφιϲοῖο·
τοῖϲ δ' ἅμα τεϲϲαράκοντα μέλαιναι νῆεϲ ἕποντο.
οἳ μὲν Φωκήων ϲτίχαϲ ἵϲταϲαν ἀμφιέποντεϲ,
Βοιωτῶν δ' ἔμπλην ἐπ' ἀριϲτερὰ θωρήϲϲοντο.

V. ι. 511 ἀϲπληδόν' ἔναιον CEG Barocc. Eton. Mosc. 1. ἀϲπλήδον' ἔναιον Vrat. b. — 512 τῶνδ' ἦρχ' Cant. — 514 εἰϲ, ἀναβᾶϲα A Schol. Π 13. — 515 ὅ δέ οἱ H. — 516 τοῖϲ: τῶν HLS Eust. 276, 31. τῶν[οιϲ] A. τοῖϲδε τριάκοντα G. — 517 φωκ[ει]ήων H. ϲχέδιοϲ GL. — 518 υἱέεϲ: υἷεϲ GS. — 520 Κρῖϲάν ACGH Eton. Vrat. b. Et. Mg. 515, 20: κρίϲαν Laud. κρίϲϲαν ELS. — 522 παρ A. κηφιϲὸν ACGHL 1. man. Eton. Vrat. a. b. Mosc. 1. Lips. Strabo XIII, 590. Pausanias X, 38, 7: κηφιϲϲὸν L ex corr. ἔναιον: ἔβαινον L. — 523 πηγῇϲ: πηγαῖϲ G. πηγῆϲ E. ἔπι E Strabo IX, 407; 424: ἐπι A. ἐπὶ CGHL. — κηφιϲϲοῖο EL Strabo IX, 407; 424. — 524 δ' omitt. L. τεϲϲεράκοντα A. τετταράκοντα L. — 525 ἵϲταϲαν AGH Eton.: ἔϲταϲαν L. ἕϲταϲαν CS. — 526 ἐπαριϲτερὰ A. θωρήϲοντο L. θωρύϲϲοντο G.

φουϲι „Κρεῦϲάν τε ζαθέην". ἄλλοι δὲ „Φαράϲ τε ζαθέαϲ". γράφουϲι δὲ καὶ τοῦτο „Νῦϲάν τε ζαθέην" Strabo IX, 405. Easdem quattuor lectiones affert Eust. 271, 5, sed Φηράϲ pro Φαράϲ.

A. c. 514 εἰϲ ἀναβᾶϲα Herodianus. — 516 τοῖϲ, non τῶν, Aristarchus. — 517 Φωκήων et Φωκείων Aristarchus διχῶϲ, cf. Eust. 273, 42. — 520 Κρῖϲαν: οὐκ ἠγνόηται δὲ οὐδ' ὅτι τινὲϲ τὴν Κρίϲϲαν δι' ἑνὸϲ ϲ̄ γράφουϲι περιϲπῶντεϲ τὴν ἄρχουϲαν Eust. 273, 28. Πανοπῆα: Ζηνόδοτοϲ γράφει „καὶ Πανοπτέων" ἄμετρον ποιῶν τὸν ϲτίχον Aristonicus. ὁ Ζηνόδοτοϲ ἐν τῷ „καὶ Δαυλίδα καὶ Πανοπῆα" γράφει καὶ Πανόπεων ὡϲ Μενέλεων Eust. 274, 35. — 521 Ἀνεμώρειαν: τινὲϲ δὲ Ἀνεμώλειαν καλοῦϲιν Strabo IX, 424. — 523 ἔπι Ptolemaeus et Pamphilus: ἐπὶ Alexio cum Aristarcho.

Λοκρῶν δ᾽ ἡγεμόνευεν Ὀιλῆος ταχὺς Αἴας,
μείων, οὔ τι τόςος γε ὅςος Τελαμώνιος Αἴας,
ἀλλὰ πολὺ μείων· ὀλίγος μὲν ἔην, λινοθώρηξ,
ἐγχείῃ δ᾽ ἐκέκαςτο Πανέλληνας καὶ Ἀχαιούς·
οἳ Κῦνόν τ᾽ ἐνέμοντ᾽ Ὀπόεντά τε Καλλίαρόν τε
Βῆςςάν τε Cκάρφην τε καὶ Αὐγειὰς ἐρατεινὰς
Τάρφην τε Θρόνιόν τε Βοαγρίου ἀμφὶ ῥέεθρα·
τῷ δ᾽ ἅμα τεςςαράκοντα μέλαιναι νῆες ἕποντο
Λοκρῶν, οἳ ναίουςι πέρην ἱερῆς Εὐβοίης.
οἳ δ᾽ Εὔβοιαν ἔχον μένεα πνείοντες Ἄβαντες,
Χαλκίδα τ᾽ Εἰρέτριάν τε πολυςτάφυλόν θ᾽ Ἱςτίαιαν
Κήρινθόν τ᾽ ἔφαλον Δίου τ᾽ αἰπὺ πτολίεθρον,
οἵ τε Κάρυςτον ἔχον ἠδ᾽ οἳ Cτύρα ναιετάαςκον·
τῶν αὖθ᾽ ἡγεμόνευ᾽ Ἐλεφήνωρ, ὄζος Ἄρηος,
Χαλκωδοντιάδης, μεγαθύμων ἀρχὸς Ἀβάντων.
τῷ δ᾽ ἅμ᾽ Ἄβαντες ἕποντο θοοί, ὄπιθεν κομόωντες,
αἰχμηταί, μεμαῶτες ὀρεκτῇςιν μελίῃςι
θώρηκας ῥήξειν δηίων ἀμφὶ ςτήθεςςι·
τῷ δ᾽ ἅμα τεςςαράκοντα μέλαιναι νῆες ἕποντο.
οἳ δ᾽ ἄρ᾽ Ἀθήνας εἶχον, ἐυκτίμενον πτολίεθρον,
δῆμον Ἐρεχθῆος μεγαλήτορος, ὅν ποτ᾽ Ἀθήνη
θρέψε, Διὸς θυγάτηρ, τέκε δὲ ζείδωρος ἄρουρα,

V. l. 527 ὁ ἰλῆος G. — 529 μείων: μείζων H. λινοθώραξ CG. — 531 οἳ κύρνον L. οἵτε κύνον ἐνέμοντο G. — 532 βῆςαν GL Laud. Vrat. b. Mosc. 1. βῆςάν H. ςβῆςςάν C Eton. ςκαφήν τε H. — 534 τῶν δ᾽ ἅμα G. νῆες ἕποντο μέλαιναι G. — 535 νέουςι A. πέραν G. — 536, 537 Strabo I, 40 et X, 453 in unum contraxit οἳ δ᾽ Εὔβοιαν ἔχον καὶ Χαλκίδα τ᾽ Εἰρέτριάν τε. — 537 τ᾽ ἱςτίαιαν A. — 540 τῶν δ᾽ αὖ G. — 542 ὄπιςθεν E 281, 17 GH. — 543 ὀρεκτῇςι EGHL. μελίῃςι CEH. — 544 ῥήξειν: ῥήςςειν Strabo X, 448. ῥῆξε (i. e. ῥῆξαι) Bekk. An. 836, 9. ἀμφι A. ςτήθεςςι ACGH. ςτήθεςιν E. ςτήθεςφιν L Bekk. An. 836, 9. — 546 οἱ A. ἄρ AGH.

A. c. 527 Ὀιλῆος Aristarchus: ὁ Ἰλῆος Zenodotus, conf. H. T. 322. — 528—530 ἀθετοῦνται Schol. D. — 528 Ζηνόδοτος ἠθέτηκεν αὐτόν Aristonicus. — 529, 530 ἀθετοῦνται ἀμφότεροι Aristonicus. — 530 Ἀρίςταρχος ἀθετεῖ Schol. A ad I 395. In codice A soli 529, 530 obelo notantur. — 532 Βῆςςάν Herodianus teste Eustath. 277, 31: Βῆςαν Zenodotus, conf. Eust. 1871, 55. Strabo IX, 426. — 537 ἡ δὲ Ἱςτίαια προπαροξυτόνως μὲν κατὰ τοὺς ἀκριβεςτέρους ἀναγινώςκεται Eust. 280, 13. — 544 δηίων: οἱ παλαιοὶ ἀξιοῦςι δήων ἀναγινώςκειν διςυλλάβως δίχα ἐκφωνήςεως τοῦ ῑ Eust. 282, 29; idem 1923, 50, conf. Kayser. de vers. aliquot Hom. Odyss. disp. II (1857), pg. 13.

κὰδ δ᾽ ἐν Ἀθήνῃς εἷςεν ἑῷ ἐν πίονι νηῷ·
ἔνθα δέ μιν ταύροιςι καὶ ἀρνειοῖς ἱλάονται
κοῦροι Ἀθηναίων περιτελλομένων ἐνιαυτῶν·
τῶν αὖθ᾽ ἡγεμόνευ᾽ υἱὸς Πετεῶο Μενεςθεύς.
τῷ δ᾽ οὔ πώ τις ὁμοῖος ἐπιχθόνιος γένετ᾽ ἀνὴρ
κοςμῆςαι ἵππους τε καὶ ἀνέρας ἀςπιδιώτας.
Νέςτωρ οἶος ἔριζεν· ὃ γὰρ προγενέςτερος ἦεν.
τῷ δ᾽ ἅμα πεντήκοντα μέλαιναι νῆες ἕποντο.
Αἴας δ᾽ ἐκ Cαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας.
[ςτῆςε δ᾽ ἄγων ἵν᾽ Ἀθηναίων ἵςταντο φάλαγγες.]
οἳ δ᾽ Ἄργός τ᾽ εἶχον Τίρυνθά τε τειχιόεςςαν,
Ἑρμιόνην Ἀςίνην τε, βαθὺν κατὰ κόλπον ἐχούςας,
Τροιζῆν᾽ Ἠϊόνας τε καὶ ἀμπελόεντ᾽ Ἐπίδαυρον,
οἵ τ᾽ ἔχον Αἴγιναν Μάςητά τε κοῦροι Ἀχαιῶν,
τῶν αὖθ᾽ ἡγεμόνευε βοὴν ἀγαθὸς Διομήδης
καὶ Cθένελος, Καπανῆος ἀγακλειτοῦ φίλος υἱός·
τοῖςι δ᾽ ἅμ᾽ Εὐρύαλος τρίτατος κίεν, ἰςόθεος φώς,

V. l. 549 κὰδδ᾽ A. Apoll. de Pron. 135 C. καδδ᾽ CG. ἀθήνῃς᾽ H. ἀθήναις G. ἐν πίονι ACHS Cant. Eton. Laud. Vrat. a. b. νηῷ: δήμῳ L. — 550 ἱλάονται (ο superscr.) S. — 552 τῶν δ᾽ αὖθ᾽ C. τῶνδ᾽ αὖ G Barocc. Eton. Πετεῷο E 283, 38; 284, 30. — 553 τῷ οὔ πώ τις Schol. Λ 506: libri τῷ δ᾽ οὔπω τις. — 554 κοςμῆςαι θ᾽ L. — 555 νέςτωρ δ᾽ L. ὃ ACGHL. — 557 δυοκαίδεκα G. δύο καὶ δέκα Athen. X, 458. Cram. An. Par. I, 287, 3. — 558 omitt. AH in textu Cant. in t. Vrat. b.: habent CGH 2. man. in marg. LS. adnotatum in marg. cod. C man. rec. οὗτος ὁ ςτίχος τοῦ ςόλωνος τοῦ ςαλαμινίου ςοφοῦ ἐκ τῶν ἑπτὰ ἑνός. ἵςταντο: ςτήςαντο L. — 559 οἱ A. τ᾽ εἶχον: εἶχον Eust. 246, 46. Et. Mg. 136, 7. τειχιόεςςαν: τειχήεςςαν L 2. man. Schol. Ψ 741. — 560 Ἀςίνην: Ἀςίην Et. Mg. 376, 44. κατα A. — 561 τροίζην᾽ A. τροίζην C. — 562 οἵ τ᾽ ἔχον: νῆςόν τ᾽ Vitt. Script. Gr. ed. Westerm. 44, 86. αἴγειναν H. μάςςητά L. — 563 τῶν δ᾽ CG. αὖθ᾽: αὖ G. add. Vitt. Script. l. l. Τυδείδης οὗ πατρὸς ἔχων μένος Οἰνείδαο. — 565 Εὐρύαλος: Vitt. Scr. l. l. Εὐρύπυλος et 567 ἐκ πάντων δ᾽ ἡγεῖτο.

A. c. 553—555 Ζηνόδοτος ἠθέτηκεν Aristonicus. — 556, 557 Megarenses legebant „ἄγεν νέας ἔκ τε Πολίχνης ἔκ τ᾽ Ἀγειρούςςης Νιςαίης τε Τριπόδων τε“, conf. Strab. IX, 394. Eust. 285, 10. — 557 Herodianus δυοκαίδεκα: δύο καὶ δέκα Pamphilus. ἄγεν δυοκαίδεκα: alii ἄγε τριςκαίδεκα teste Eust. 284, 41. — 558 Cόλων προςέθηκε, conf. Schol. B 494, 557; Γ 230. Diog. Laert. I, 2, 2. Plut. Solon. 10. Cram. An. Par. I, 287. Strab. IX, 394. Eust. 263, 23; 285, 4. — 561 τινὰ τῶν παλαιῶν ἀντιγράφων Τροίζηνα προπαροξυτόνως ἔγραψαν, ὡς καὶ Ἡρωδιανὸς ςυνηγορεῖ ἐν τῷ περὶ ταχυτῆτος καὶ δηϊοτῆτος Eust. 287, 18. — 562 γράφουςί τινες „νῆςόν τ᾽ Αἴγιναν“ ἀντὶ τοῦ „οἵ τ᾽ ἔχον Αἴγιναν“ Strabo VIII, 375.

Μηκιϲτέοϲ υἱὸϲ Ταλαϊονίδαο ἄνακτοϲ.
ϲυμπάντων δ' ἡγεῖτο βοὴν ἀγαθὸϲ Διομήδηϲ·
τοῖϲι δ' ἅμ' ὀγδώκοντα μέλαιναι νῆεϲ ἕποντο.
οἳ δὲ Μυκήναϲ εἶχον, ἐυκτίμενον πτολίεθρον,
ἀφνειόν τε Κόρινθον ἐυκτιμέναϲ τε Κλεωνάϲ,
Ὀρνειάϲ τ' ἐνέμοντο Ἀραιθυρέην τ' ἐρατεινὴν
καὶ Ϲικυῶν', ὅθ' ἄρ' Ἄδρηϲτοϲ πρῶτ' ἐμβαϲίλευεν,
οἵ θ' Ὑπερηϲίην τε καὶ αἰπεινὴν Γονόεϲϲαν
Πελλήνην τ' εἶχον, ἠδ' Αἴγιον ἀμφενέμοντο
Αἰγιαλόν τ' ἀνὰ πάντα καὶ ἀμφ' Ἑλίκην εὐρεῖαν,
τῶν ἑκατὸν νηῶν ἦρχε κρείων Ἀγαμέμνων
Ἀτρείδηϲ. ἅμα τῷ γε πολὺ πλεῖϲτοι καὶ ἄριϲτοι
λαοὶ ἕποντ'· ἐν δ' αὐτὸϲ ἐδύϲετο νώροπα χαλκὸν
κυδιόων, πᾶϲιν δὲ μετέπρεπεν ἡρώεϲϲιν,
οὕνεκ' ἄριϲτοϲ ἔην, πολὺ δὲ πλείϲτουϲ ἄγε λαούϲ.
οἳ δ' εἶχον κοίλην Λακεδαίμονα κητώεϲϲαν,
Φᾶρίν τε Ϲπάρτην τε πολυτρήρωνά τε Μέϲϲην,
Βρυϲειάϲ τ' ἐνέμοντο καὶ Αὐγειὰϲ ἐρατεινάϲ,
οἵ τ' ἄρ' Ἀμύκλαϲ εἶχον Ἕλοϲ τ', ἔφαλον πτολίεθρον,
οἵ τε Λάαν εἶχον ἠδ' Οἴτυλον ἀμφενέμοντο,
τῶν οἱ ἀδελφεὸϲ ἦρχε, βοὴν ἀγαθὸϲ Μενέλαοϲ,

V. l. 566 μηκιϲτέωϲ CHLS. — 568 add. Vitt. Script. l. l. ἐν δ' ἄνδρεϲ πολέμοιο δαήμονεϲ ἐϲτιχόωντο, Ἀργεῖοι λινοθώρηκεϲ, κέντρα πτολέμοιο, vid. Homeri et Hesiodi Certamen extr. — 569 οἱ A. εὐκτίμενον E. — 572 ἂρ AGH. ἄρ' omitt. L. ἄδραϲτοϲ G. ἐβαϲίλευϲεν CGS. ἐμβαϲίλευϲεν Lips. Vrat. a. — 573 ὑπερηϲείην GH Barocc. Eton. Lips. Ὑπερραϲίην Schol. Apoll. Rhod. I, 176. — 575 ἀμφελίκην L. — 578 ἐδύϲετο AH: ἐδύϲατο CE 296, 2; 299, 19 GL 1. man. ἐδύϲϲατο L ex corr. S. — 579 πᾶϲιν δὲ: καὶ πᾶϲι H, ceteri ὅτι πᾶϲι. — 581 οἱ A. — 582 Φᾶρίν: φάρην G. τὴν δὲ Φάρην ὁ τὰ ἐθνικὰ γράψαϲ διὰ τοῦ ῑ εἰδέναι φαίνεται, τὰ δὲ πλείω τῶν ἀντιγράφων διὰ τοῦ η̅ γράφουϲι Eust. 294, 19. Μέϲϲην: Θίϲβην Max. Tyrius Diss. XVI, 7. — 583 βρυϲϲείαϲ L. βυρϲείαϲ τ' G. αὐγειάϲ τ' G. — 584 ἂρ AGH. Ἕλοϲ — 585 εἶχον omitt. C 1. man. ἔφάλον A. — 585 λᾶαν εἶχον ἰδ' S. ἰδ' οἳ τύλον L. οἴτηλον C. ἀμφινέμοντο S.

A. c. 571 Ἀραιθυρέην: Παραιθυρέην Zenodotus. — 573 Γονόεϲϲαν: narrat Pausanias VII, 26, 13 veterem scripturam Δονόεϲϲαν a Pisistrato mutatam esse in Γονόεϲϲαν. — 578 ἐδύϲετο Aristarchus. — 579 πᾶϲιν δέ: οὕτωϲ ἡ ἑτέρα τῶν Ἀριϲταρχείων, καὶ ἔϲτι χαριεϲτέρα. ὁμοίωϲ δὲ καὶ Ζηνόδοτοϲ γράφει Didymus. — 579, 580 Ζηνόδοτοϲ ἀμφοτέρουϲ ἠθέτηκεν Aristonicus. — 581 κητώεϲϲαν: Zenodotus καιετάεϲϲαν, conf. Eust. 294, 9; 1478, 38. Schol. D. Schol. δ 1. Strabo VIII, 367. — 585 Οἴτυλον Herodianus: οἳ Τύλον Tyrannio, cf. Eust. 295, 41.

ἑξήκοντα νεῶν· ἀπάτερθε δὲ θωρήϲϲοντο.
ἐν δ' αὐτὸϲ κίεν ᾗϲι προθυμίῃϲι πεποιθώϲ,
ὀτρύνων πόλεμον δέ· μάλιϲτα δὲ ἵετο θυμῷ
τίϲαϲθαι Ἑλένηϲ ὁρμήματά τε ϲτοναχάϲ τε.
οἳ δὲ Πύλον τ' ἐνέμοντο καὶ Ἀρήνην ἐρατεινὴν
καὶ Θρύον, Ἀλφειοῖο πόρον, καὶ ἐύκτιτον Αἰπύ,
καὶ Κυπαριϲϲήεντα καὶ Ἀμφιγένειαν ἔναιον,
καὶ Πτελεὸν καὶ Ἕλοϲ καὶ Δώριον, ἔνθά τε μοῦϲαι
ἀντόμεναι Θάμυριν τὸν Θρήικα παῦϲαν ἀοιδῆϲ,
Οἰχαλίηθεν ἰόντα παρ' Εὐρύτου Οἰχαλιῆοϲ·
ϲτεῦτο γὰρ εὐχόμενοϲ νικηϲέμεν, εἴ περ ἂν αὐταὶ
μοῦϲαι ἀείδοιεν, κοῦραι Διὸϲ αἰγιόχοιο·
αἳ δὲ χολωϲάμεναι πηρὸν θέϲαν, αὐτὰρ ἀοιδὴν
θεϲπεϲίην ἀφέλοντο καὶ ἐκλέλαθον κιθαριϲτύν·
τῶν αὖθ' ἡγεμόνευε Γερήνιοϲ ἱππότα Νέϲτωρ·
τῷ δ' ἐνενήκοντα γλαφυραὶ νέεϲ ἐϲτιχόωντο.
οἳ δ' ἔχον Ἀρκαδίην ὑπὸ Κυλλήνηϲ ὄροϲ αἰπύ,
Αἰπύτιον παρὰ τύμβον, ἵν' ἀνέρεϲ ἀγχιμαχηταί,
οἳ Φενεόν τ' ἐνέμοντο καὶ Ὀρχομενὸν πολύμηλον
Ῥίπην τε Ϲτρατίην τε καὶ ἠνεμόεϲϲαν Ἐνίϲπην,
καὶ Τεγέην εἶχον καὶ Μαντινέην ἐρατεινήν,
Ϲτύμφηλόν τ' εἶχον καὶ Παῤῥαϲίην ἐνέμοντο,
τῶν ἦρχ' Ἀγκαίοιο πάιϲ, κρείων Ἀγαπήνωρ,
ἑξήκοντα νεῶν· πολέεϲ δ' ἐν νηὶ ἑκάϲτῃ
Ἀρκάδεϲ ἄνδρεϲ ἔβαινον ἐπιϲτάμενοι πολεμίζειν.
αὐτὸϲ γάρ ϲφιν δῶκεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
νῆαϲ ἐυϲϲέλμουϲ περάαν ἐπὶ οἴνοπα πόντον,

V. l. 589 πόλεμον δὲ A. — 591 οἱ A. — 592 ἐύκτιτον: εὔκτιτον E 296, 20; 297, 12 et 18. ἐϋκτίμεν' C. εὐκτιμεν' (ον superscr.) G. Αἶπυ CGHLS Steph. Byz. 54, 4. Strabo VIII, 349. Schol. γ 7: Αἰπὺ AE 296, 20; 297, 11. — 594 πελεὸν S. ἔνθά τε ACH. ἔνθα γε G. — 597 εὐχόμενοϲ: ἐρχόμενοϲ C. — 599 αἳ δὲ C. — 600 κιθαριϲτήν GH Barocc. Vrat. b. Mosc. 1. κιθαριϲτὺν (η superscr.) S. — 601 τῶν δ' C. αὖθ': αὖ G. — 602 τῷ: τῶν S. Cant. — 603 οἱ A. κυλλήνην S. — 605 φενεόν CES Steph. Byz. 662, 4. Strabo: vulgo Φένεόν. τε νέμοντο C. — 608 παρναϲίαν G. — 609 ἀγκέοιο G Apoll. Lex. 4, 6. — 613 ἐϋϲέλμουϲ CGH.

A. c. 592 εὔκτιτον Αἰπὺ Aristarchus et Apollodorus: Herodianus cum Ptolemaeo Αἶπυ. Pherecydes Εὔκτιτον αἰπύ, conf. Eust. 297, 15. — 612–614 Ζηνόδοτοϲ ἠθέτηκε Aristonicus.

Ἀτρείδης, ἐπεὶ οὔ cφι θαλάccια ἔργα μεμήλει.
οἳ δ᾽ ἄρα Βουπράcιόν τε καὶ Ἤλιδα δῖαν ἔναιον,
ὅccον ἐφ᾽ Ὑρμίνη καὶ Μύρcινοc ἐcχατόωcα
πέτρη τ᾽ Ὠλενίη καὶ Ἀλίcιον ἐντὸc ἐέργει,
τῶν αὖ τέccαρεc ἀρχοὶ ἔcαν, δέκα δ᾽ ἀνδρὶ ἑκάcτῳ
νῆεc ἕποντο θοαί, πολέεc δ᾽ ἔμβαινον Ἐπειοί.
τῶν μὲν ἄρ᾽ Ἀμφίμαχοc καὶ Θάλπιοc ἡγηcάcθην,
υἷεc ὃ μὲν Κτεάτου, ὃ δ᾽ ἄρ᾽ Εὐρύτου, Ἀκτορίωνε·
τῶν δ᾽ Ἀμαρυγκείδηc ἦρχε κρατερὸc Διώρηc·
τῶν δὲ τετάρτων ἦρχε Πολύξεινοc θεοειδήc,
υἱὸc Ἀγαcθένεοc Αὐγηιάδαο ἄνακτοc.
οἳ δ᾽ ἐκ Δουλιχίοιο Ἐχινάων θ᾽ ἱεράων
νήcων, αἳ ναίουcι πέρην ἁλόc, Ἤλιδοc ἄντα,
τῶν αὖθ᾽ ἡγεμόνευε Μέγηc, ἀτάλαντοc Ἄρηι,
Φυλείδηc, ὃν τίκτε διίφιλοc ἱππότα Φυλεύc,
ὅc ποτε Δουλίχιον δ᾽ ἀπενάccατο πατρὶ χολωθείc·
τῷ δ᾽ ἅμα τεccαράκοντα μέλαιναι νῆεc ἕποντο.
αὐτὰρ Ὀδυccεὺc ἦγε Κεφαλλῆναc μεγαθύμουc,
οἵ ῥ᾽ Ἰθάκην εἶχον καὶ Νήριτον εἰνοcίφυλλον,
καὶ Κροκύλει᾽ ἐνέμοντο καὶ Αἰγίλιπα τρηχεῖαν,
οἵ τε Ζάκυνθον ἔχον ἠδ᾽ οἳ Cάμον ἀμφενέμοντο,
οἵ τ᾽ ἤπειρον ἔχον ἠδ᾽ ἀντιπέραια νέμοντο·
τῶν μὲν Ὀδυccεὺc ἦρχε Διὶ μῆτιν ἀτάλαντοc·

V. l. 615 οἱ A. ἄρα: ἂρ G. — 616 ὅccον ἡ ὑρμίνη G. ὑρμίνῃ C. Ἀλίcιον Hesych. I, 123: libri Ἀλείcιον. — 620 ἂρ AG. — 621 ὁ μὲν εὐκτεάτου H. ὃ δ᾽ CL. ἂρ AGHL. ἄρ᾽ omitt. C Schol. N 185. εὐρύτου τοῦ G. ἀκτορίωνε A Schol. N 185. ἀκτορίωνοc (ε suprascr.) S: ceteri ἀκτορίωνοc. — 624 ἀγαcθενέωc L. — 625 οἱ A. — 626 αἳ: οἳ Eust. 304, 45; utrumque 306, 18. ναίουcι (οντται suprascr.) S. πέραν G. — 627 τῶν δ᾽ C Vrat. A. αὖθ: αὖ G. — 628 διὶ φίλοc ACEGHLS Strabo IX, 459. Athenaeus X, 458. φυλλεὺc L. — 629 δουλίχιον GS, omisso δ᾽. — 631 κεφαλῆναc C 1. man. HL. — 633 τραχεῖαν G. — 635 ἔχον οἵ τ᾽ H. οἳ δ᾽ ἀντιπέρα S. ἀντιπέρ᾽ G. ἀντιπέραν Vrat. c. Mosc. 1. ceteri ἀντιπέραι᾽ ἐνέμοντο.

A. c. 616 Ὑρμίνη: Ὑρμίνῃ Zenodotus. — 617 Ἀλίcιον: ἐν μὲν τοῖc παλαιοῖc τῶν ἀντιγράφων διὰ διφθόγγου φέρεται, ὁ δὲ τῶν ἐθνικῶν ἐκθέτηc διὰ τοῦ η γράφει αὐτό Eust. 304, 25. Aristarchus Ἀλίcιον, conf. Schol. Λ 757. — 621 Ἀκτορίωνε Aristarchus, non Ἀκτορίωνοc. — 626 αἳ: οἳ Zenodotus. — 631 habet obelum adpictum in cod. A. — 634 Aristarchus Cάμον: Zenodotus Cάμην, ἄμετρον ποιῶν τὸν cτίχον, conf. Scholl. α 246, δ 671, 845, ι 24, ο 29.

τῷ δ᾽ ἅμα νῆεc ἕποντο δυώδεκα μιλτοπάρῃοι.
Αἰτωλῶν δ᾽ ἡγεῖτο Θόαc, Ἀνδραίμονοc υἱόc,
οἳ Πλευρῶν᾽ ἐνέμοντο καὶ Ὤλενον ἠδὲ Πυλήνην
Χαλκίδα τ᾽ ἀγχίαλον Καλυδῶνά τε πετρήεccαν·
οὐ γὰρ ἔτ᾽ Οἰνῆοc μεγαλήτοροc υἱέεc ἦcαν,
οὐδ᾽ ἄρ᾽ ἔτ᾽ αὐτὸc ἔην, θάνε δὲ ξανθὸc Μελέαγροc.
τῷ δ᾽ ἐπὶ πάντ᾽ ἐτέταλτο ἀναccέμεν Αἰτωλοῖcι·
τῷ δ᾽ ἅμα τεccαράκοντα μέλαιναι νῆεc ἕποντο.
Κρητῶν δ᾽ Ἰδομενεὺc δουρὶ κλυτὸc ἡγεμόνευεν,
οἳ Κνωcόν τ᾽ εἶχον Γόρτυνά τε τειχιόεccαν,
Λύκτον Μίλητόν τε καὶ ἀργινόεντα Λύκαcτον
Φαιcτόν τε Ῥύτιόν τε, πόλειc εὖ ναιετοώcαc,
ἄλλοι θ᾽ οἳ Κρήτην ἑκατόμπολιν ἀμφενέμοντο.
τῶν μὲν ἄρ᾽ Ἰδομενεὺc δουρὶ κλυτὸc ἡγεμόνευε
Μηριόνηc τ᾽, ἀτάλαντοc Ἐνυαλίῳ ἀνδρεϊφόντῃ·
τοῖcι δ᾽ ἅμ᾽ ὀγδώκοντα μέλαιναι νῆεc ἕποντο.
Τληπόλεμοc δ᾽ Ἡρακλείδηc, ἠΰc τε μέγαc τε,
ἐκ Ῥόδου ἐννέα νῆαc ἄγεν Ῥοδίων ἀγερώχων,
οἳ Ῥόδον ἀμφενέμοντο διὰ τρίχα κοcμηθέντεc,
Λίνδον Ἰηλυcόν τε καὶ ἀργινόεντα Κάμειρον.
τῶν μὲν Τληπόλεμοc δουρὶ κλυτὸc ἡγεμόνευεν,

V. l. 637 μιλτοπάρῃοι E 306, 36 L: in ceteris abest ι adscriptum. — 639 οἱ A. — 642 ἂρ AEGHL. post hunc cod. Mosc. καὶ Τυδεὺc (ἐν) Θήβαιc ὅτ᾽ ἀπώλετο λαὸc Ἀχαιῶν, cf. Z 223. — 643 ἐτέταλτο: ἐτέτακτο S. αἰτωλοῖcι CGH. post hunc repetuntur in H versus 637 et 642. — 645 δ᾽ omitt. L. δουρὶ κλυτὸc A: ceteri δουρικλυτὸc. — 646 Κνωcόν AL Vrat. b. c.: Κνωccόν CE bis GH Strabo. — 647 ἀργιόεντα S. κάμειρον H (cf. 656) et eadem manu suprascr. ἢ λύκαcτον. — 648 τ᾽ ἐρύτιόν τε L. πόλειc: πόλιc A. * εὖ ναιετοώcαc: εὖ ναιεταώcαc CGHLS: εὐναιεταώcαc A. — 649 ἄλλοί θ᾽ C. — 650 ἂρ AGL. δουρὶ κλυτὸc A: ceteri δουρικλυτὸc. ἡγεμόνευε CHL. — 651 ἀνδριφόντῃ G. — 655 διάτριχα CE 314, 27 GHL Schol. Pind. Ol. VII, 34. διατρίχα Eust. 315, 4. — 656 ἰήλϋccόν H Et. Mg. 488, 7. ἀργιόεντα S. Κάμειρον AE 315, 13; 30 GHL 1. man. Cant. Strabo XIV, 653; 654. Schol. Pind. Ol. VII, 34: κάμιρον CL 2. man. Barocc. Eton. Vrat. b. c. A. Et. Mg. 488, 7. Eust. 314, 27; 315, 8; 24; 30. — 657 δουρὶ κλυτὸc A.

A. c. 641, 642 Ζηνόδοτοc ἠθέτηκεν Aristonicus. — 646 Κνωccόν Trypho, conf. Cram. An. Ox. II, 72, 10. — 648 Herodianus Ῥύτιον: Ῥυτίον Tyrannio. εὖ ναιετοώcαc, conf. H. T. 310. — 655 διὰ τρίχα, non διάτριχα scribendum, conf. ι 157 διὰ δὲ τρίχα κοcμηθέντεc. — 656 Κάμειρον, conf. Eust. 315, 29.

ὃν τέκεν Ἀϲτυόχεια βίῃ Ἡρακληείῃ,
τὴν ἄγετ᾽ ἐξ Ἐφύρηϲ, ποταμοῦ ἄπο Ϲελλήεντοϲ,
πέρϲαϲ ἄϲτεα πολλὰ διοτρεφέων αἰζηῶν.
Τληπόλεμοϲ δ᾽ ἐπεὶ οὖν τράφ᾽ ἐνὶ μεγάρῳ εὐπήκτῳ,
αὐτίκα πατρὸϲ ἑοῖο φίλον μήτρωα κατέκτα,
ἤδη γηράϲκοντα Λικύμνιον, ὄζον Ἄρηοϲ.
αἶψα δὲ νῆαϲ ἔπηξε, πολὺν δ᾽ ὅ γε λαὸν ἀγείραϲ
βῆ φεύγων ἐπὶ πόντον· ἀπείληϲαν γάρ οἱ ἄλλοι
υἱέεϲ υἱωνοί τε βίηϲ Ἡρακληείηϲ·
αὐτὰρ ὅ γ᾽ ἐϲ Ῥόδον ἶξεν ἀλώμενοϲ, ἄλγεα πάϲχων·
τριχθὰ δὲ ᾤκηθεν καταφυλαδόν, ἠδὲ φίληθεν
ἐκ Διόϲ, ὅϲ τε θεοῖϲι καὶ ἀνθρώποιϲιν ἀνάϲϲει.
καί ϲφιν θεϲπέϲιον πλοῦτον κατέχευε Κρονίων.
Νιρεὺϲ αὖ Ϲύμηθεν ἄγε τρεῖϲ νῆαϲ ἐίϲαϲ,
Νιρεύϲ, Ἀγλαΐηϲ υἱὸϲ Χαρόποιό τ᾽ ἄνακτοϲ,
Νιρεύϲ, ὃϲ κάλλιϲτοϲ ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε
τῶν ἄλλων Δαναῶν μετ᾽ ἀμύμονα Πηλείωνα·
ἀλλ᾽ ἀλαπαδνὸϲ ἔην, παῦροϲ δέ οἱ εἵπετο λαόϲ.

V. l. 658 Ἀϲτυόχεια: Ἀϲτυδάμεια Schol. Pind. Olymp. VII, 42. — 659 τὴν ἄγετ᾽: τηλόθεν Strabo VII, 328; VIII, 339. ἄπο: ἀπὸ CEGHL. ἀπο A. ϲελήεντοϲ G. — 660 διοτρεφέων: διοτροφέων HL. αἰζειῶν G. — 661 τράφ᾽ ἐνὶ A (ἐνι) CE 315, 38 S Eton. Vrat. b. Mosc. 1. τράφενὶ H. τράφεν ἐνὶ L Vrat. A. Cram. An. Ox. IV, 309, 25. τράφ᾽ ἐν Vrat. a.: τράφη ἐν G Schol. Pind. Ol. VII, 36. ἐϋπήκτῳ CEGL Schol. Pind. Ol. VII, 36; vulgo εὐπήκτῳ. — 665 γάρ οἱ libri mei cum Eustathio. γάρ οἱ, ἄλλοι L: γὰρ οἱ Schol. Ψ 184. — 667 ἶξεν L. ἧκεν G. — 668 κατὰ φυλαδὸν CE 315, 41 GHL. καφφυλαδὸν Vrat. a. ἠδὲ φίληθεν CG Eton. Vrat. a. c. vulgo ἠδ᾽ ἐφίληθεν. Cant. οἳ δ᾽ ἐφίληθεν. — 671 αὖ: δ᾽ αὖ Rhet. Gr. II, 433, 21. δ᾽ αἰϲύμηθεν S. Αἰϲύμνηθεν Rhet. Gr. III, 203, 7. αὖ ἐϲύμηθεν L. ἄγε: ἄγεν CL Stobaeus Floril. 65, 3. — 673 ἦλθε ACEGH Stobaeus l. l. — 674 τῶν δ᾽ S. — 675 γάρ οἱ ἕπετο G.

A. c. 658 Ἡρακληείῃ: Ζηνόδοτοϲ γράφει Ἡρακλείῃ ἄμετρον ποιῶν Aristonicus. — 661 τράφ᾽ ἐνὶ dedi ex libris optimis. ἔτραφον notione intransitiva aliis quoque locis legitur, conf. e. g. Ε 555, Η 199, Ϲ 436, Φ 279, γ 28; sed Γ 202 τράφη ἐν in omnibus et Λ 222 in omnibus fere libris reperitur. ἐυπήκτῳ, conf. H. U. 85. — 662 κατέκτᾰ Ptolemaeus cum Aristarcho: κατέκτᾱ Tyrannio. — 665 βῆ φεύγων Aristarchus. γάρ οἱ: alii propter digammum neglectum γὰρ οἱ, sed conf. Ε 339, Ζ 90, 101, 289, Λ 339, Π 735, Ψ 865, Ω 53, 72, ε 234, ζ 280, λ 442, ν 430, ο 105. — 667 αὐτὰρ ὅ γ᾽: αἶψα δ᾽ ὅγ᾽ Zenodotus. — 669 ἀθετεῖται Aristonicus. — 670 ἀθετεῖται teste Schol. Pind. Ol. VII, 62. — 671 ἄγε τρεῖϲ Aristarchus, non ἄγεν. — 673—675 τοὺϲ δύο ἠθέτηκε Ζηνόδοτοϲ, τὸν ἐδ μέϲον οὐδὲ ἔγραφεν Aristonicus.

οἳ δ᾽ ἄρα Νίϲυρόν τ᾽ εἶχον Κράπαθόν τε Κάϲον τε
καὶ Κῶν, Εὐρυπύλοιο πόλιν, νήϲουϲ τε Καλύδναϲ,
τῶν αὖ Φείδιππόϲ τε καὶ Ἄντιφοϲ ἡγηϲάϲθην,
Θεϲϲαλοῦ υἷε δύω Ἡρακλείδαο ἄνακτοϲ·
τοῖϲ δὲ τριήκοντα γλαφυραὶ νέεϲ ἐϲτιχόωντο.
νῦν αὖ τοὺϲ ὅϲϲοι τὸ Πελαϲγικὸν Ἄργοϲ ἔναιον,
οἵ τ᾽ Ἄλον οἵ τ᾽ Ἀλόπην οἵ τε Τρηχῖνα νέμοντο,
οἵ τ᾽ εἶχον Φθίην ἠδ᾽ Ἑλλάδα καλλιγύναικα,
Μυρμιδόνεϲ δὲ καλεῦντο καὶ Ἕλληνεϲ καὶ Ἀχαιοί,
τῶν αὖ πεντήκοντα νεῶν ἦν ἀρχὸϲ Ἀχιλλεύϲ.
ἀλλ᾽ οἵ γ᾽ οὐ πολέμοιο δυϲηχέοϲ ἐμνώοντο·
οὐ γὰρ ἔην ὅϲ τίϲ ϲφιν ἐπὶ ϲτίχαϲ ἡγήϲαιτο.
κεῖτο γὰρ ἐν νήεϲϲι ποδάρκηϲ δῖοϲ Ἀχιλλεύϲ,
κούρηϲ χωόμενοϲ Βριϲηίδοϲ ἠυκόμοιο,
τὴν ἐκ Λυρνηϲϲοῦ ἐξείλετο πολλὰ μογήϲαϲ,
Λυρνηϲϲὸν διαπορθήϲαϲ καὶ τείχεα Θήβηϲ,
κὰδ δὲ Μύνητ᾽ ἔβαλεν καὶ Ἐπίϲτροφον ἐγχεϲιμώρουϲ,
υἱέαϲ Εὐηνοῖο Ϲεληπιάδαο ἄνακτοϲ·
τῆϲ ὅ γε κεῖτ᾽ ἀχέων, τάχα δ᾽ ἀνϲτήϲεϲθαι ἔμελλεν.
οἳ δ᾽ εἶχον Φυλάκην καὶ Πύραϲον ἀνθεμόεντα,

V. l. 676 οἱ A. νίϲϲυρόν L. κράϲον τε L. θάϲον τε L. — 677 κῶ L post ras. Schol. Theocr. I, 57. — 678 τῶν δ᾽ αὖ CG Mor. Eton. Vrat. c. — 680 τοῖϲδε Lips. Eton. τῶν δὲ AHL. — 681 νῦν, αὖ, τοὺϲ A. νῦν τοὺϲ φημὶ ὅϲοι G. οἵ τ᾽ αὐτοὶ ὅϲοι S. νῦν δ᾽ αὐτοὺϲ Vrat. a. c. A. Schol. Apoll. Rhod. I, 14. νῦν αὐτοὶ Vrat. b. οἱ δ᾽ αὐτοὶ ὅϲϲοι Mosc. 1. νῦν αὐτοὺϲ ὅϲοι Apoll. Lex. 41, 18. ὅϲοι H. — 682 libri τρηχῖν᾽ ἐνέμοντο. — 683 ἠδ᾽: καὶ E. — 684 δὲ καλεῦντο ACELS Strabo IX, 430; VIII, 367. Schol. Β 529, Ι 478, Π 595. Eust. 1059, 59; 1123, 17. Cram. An. Par. III, 124, 5. Schol. Apoll. Rhod. I, 284; III, 775: δ᾽ ἐκαλεῦντο H Vrat. a. δ᾽ ἐκαλοῦντο Eust. 758, 56. δὲ καλοῦντο Schol. Α 244. Schol. Pind. Nem. VII, 95. δὲ καλοῦνται G. δὲ καλεῦνται Schol. Apoll. Rhod. IV, 1329. — 685 τῶν δ᾽ L. — 687 ὅϲ τί ϲφιν CH. — 690 λυρνηϲοῦ L. λυρνιϲϲοῦ G. — 691 λυρνηϲὸν L. λυρνιϲϲὸν G. — 692 καδδὲ ACGHL. μύνητα βάλεν G. ἔβαλλεν H. ἔβα$\overset{λ}{λ}$ε L. — 694 ὅγ᾽ ἔκειτ᾽ E.

A. c. 681 Ζηνόδοτοϲ μετέγραφεν „οἳ δ᾽ Ἄργοϲ εἶχον τὸ Πελαϲγικόν, οὖθαρ ἀρούρηϲ“ Aristonicus. — 682 τ᾽ Ἄλον: τινὲϲ δὲ οἴονται δαϲύνεϲθαι τὴν Ἄλὸν Eust. 320, 4. οἱ δὲ τὸν Ἀλιοῦντα ἀντὶ Ἀλόπηϲ τιθέαϲι καὶ γράφουϲιν οὕτωϲ „οἵ θ᾽ Ἅλον οἵ θ᾽ Ἁλιοῦνθ᾽ οἵ τε Τρηχῖν᾽ ἐνέμοντο“ Strabo IX, 432 extr., quod male intellexit Eust. 320, 7. Τρηχῖνα νέμοντο Aristarchus. — 686—694 Ζηνόδοτοϲ ἀθετεῖ Aristonicus. — 690 ἐκ Λυρνηϲϲοῦ Aristarchus: Zenodotus ἐν Λυρνηϲϲῷ. — 694 Aristarchus ἀνϲτήϲεϲθαι: Zenodotus ἀϲτήϲεϲθαι, conf. H. T. 394.

Δήμητρος τέμενος, Ἴτωνά τε, μητέρα μήλων,
ἀγχίαλόν τ' Ἀντρῶνα ἰδὲ Πτελεὸν λεχεποίην,
τῶν αὖ Πρωτεσίλαος ἀρήιος ἡγεμόνευε
ζωὸς ἐών· τότε δ' ἤδη ἔχεν κάτα γαῖα μέλαινα.
τοῦ δὲ καὶ ἀμφιδρυφὴς ἄλοχος Φυλάκῃ ἐλέλειπτο
καὶ δόμος ἡμιτελής· τὸν δ' ἔκτανε Δάρδανος ἀνὴρ
νηὸς ἀποθρῴσκοντα πολὺ πρώτιστον Ἀχαιῶν.
οὐδὲ μὲν οὐδ' οἳ ἄναρχοι ἔσαν, πόθεόν γε μὲν ἀρχόν·
ἀλλά σφεας κόσμησε Ποδάρκης, ὄζος Ἄρηος,
Ἰφίκλου υἱὸς πολυμήλου Φυλακίδαο,
αὐτοκασίγνητος μεγαθύμου Πρωτεσιλάου
ὁπλότερος γενεῇ· ὁ δ' ἅμα πρότερος καὶ ἀρείων,
ἥρως Πρωτεσίλαος ἀρήιος· οὐδέ τι λαοὶ
δεύονθ' ἡγεμόνος, πόθεόν γε μὲν ἐσθλὸν ἐόντα.
τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
οἳ δὲ Φερὰς ἐνέμοντο παραὶ Βοιβηίδα λίμνην,
Βοίβην καὶ Γλαφύρας καὶ ἐυκτιμένην Ἰαωλκόν,
τῶν ἦρχ' Ἀδμήτοιο φίλος πάις ἕνδεκα νηῶν,
Εὔμηλος, τὸν ὑπ' Ἀδμήτῳ τέκε δῖα γυναικῶν,
Ἄλκηστις, Πελίαο θυγατρῶν εἶδος ἀρίστη.
οἳ δ' ἄρα Μηθώνην καὶ Θαυμακίην ἐνέμοντο,
καὶ Μελίβοιαν ἔχον καὶ Ὀλιζῶνα τρηχεῖαν,

V. ι. 696 Ἰτῶνα Draco de Metr. 53, 3. — 697 ἀντρῶνα ἰδὲ ACEHLS Strabo VIII, 350. ἀντρῶνα ἠδὲ G. — 698 ἡγεμόνευε AH. — 699 κατα CL. κατὰ G. — 702 ἀποθρώισκοντα A: ceteri ἀποθρώσκοντα, cf. Eust. 326, 12. τὸ δὲ πολὺ πρώτιστον τινὰ τῶν ἀντιγράφων πολυπρώτιστον ὑφὲν γράφουσι Eust. 326, 13. — 703 οἳ ACGHL. — 704 ἀλλὰ σφέας GHL Apoll. Lex. 132, 25. — 707 γενεῇ: γενεήν Schol. Δ 60. ὅδ' CGHL. ἅμα: ἄρα ACGHLS Apoll. Lex. 54, 12. — 708 οὐδέ τι ACEGL. οὐδ' ἔτι H Vrat. a.: alii οὐδέ τε, quod coniectura videtur. — 709 γε μὲν ACHL Barocc. Eton. Lips. Vrat. b. A. Mosc. 1.: γέ μεν E. γε μὶν G. δέ μιν S. — 710 τεσσεράκοντα A. — 711 οἱ A. — 712 γλαφυρὰς AC. εὐκτιμένην EL. εὐκτίμενον G. ἰαολκὸν GL. — 713 τῶν δ' Vrat. a. πάϊς CGHL: παῖς A. — 716 οἱ A. — 717 τραχεῖαν G.

A. c. 697 ἀγχίαλον: ἀγχιάλην Zenodotus, conf. Steph. Byz. 101, 14 s. v. Ἀντρών. τὴν Ἄντρωνα δέ τινες μὲν βαρύνουσιν ὡς τὴν Ἴτωνα, τινὲς δὲ Ἀντρῶνα φασὶν ὡς Πυθῶνα. Ἡρωδιανὸς δέ φησιν ὡς Πλευρῶνα Eust. 324, 35. — 702 ἀποθρῴσκοντα conf. H. T. 284. — 703 γε μέν: δὲ τὸν Axt. Coni. Hom. (1860) pg. 4. — 707 ἅμα Aristarchus. — 711 παραὶ Βοιβηίδα λίμνην: κατ' ἐνίους δὲ καὶ ἔκδοσις παρ' Ὁμήρῳ οὕτως ἔχει „οἱ δὲ Φέρας ἐνέμοντο ἰδὲ κρήνην Ὑπέρειαν“ Schol. Pind. Pyth. IV, 221. — 717 Ὀλιζῶνα Apio et Herodorus teste Eust. 329, 12. προπερισπωμένως ὡς Μεδεῶνα. Νικίας δὲ οὐκ εὖ γράφει Ὀλίζωνα ὡς περίζωμα Herodianus.

τῶν δὲ Φιλοκτήτης ἦρχεν, τόξων εὖ εἰδώς,
ἑπτὰ νεῶν· ἐρέται δ' ἐν ἑκάστῃ πεντήκοντα
ἐμβέβασαν, τόξων εὖ εἰδότες ἶφι μάχεσθαι.
ἀλλ' ὁ μὲν ἐν νήσῳ κεῖτο κρατέρ' ἄλγεα πάσχων,
Λήμνῳ ἐν ἠγαθέῃ, ὅθι μιν λίπον υἷες Ἀχαιῶν
ἕλκεϊ μοχθίζοντα κακῷ ὀλοόφρονος ὕδρου·
ἔνθ' ὅ γε κεῖτ' ἀχέων· τάχα δὲ μνήσεσθαι ἔμελλον
Ἀργεῖοι παρὰ νηυσὶ Φιλοκτήταο ἄνακτος.
οὐδὲ μὲν οὐδ' οἳ ἄναρχοι ἔσαν, πόθεόν γε μὲν ἀρχόν·
ἀλλὰ Μέδων κόσμησεν, Ὀιλῆος νόθος υἱός,
τόν ῥ' ἔτεκεν Ῥήνη ὑπ' Ὀιλῆι πτολιπόρθῳ.
οἳ δ' εἶχον Τρίκκην καὶ Ἰθώμην κλωμακόεσσαν,
οἵ τ' ἔχον Οἰχαλίην, πόλιν Εὐρύτου Οἰχαλιῆος,
τῶν αὖθ' ἡγείσθην Ἀσκληπιοῦ δύο παῖδε,
ἰητῆρ' ἀγαθώ, Ποδαλείριος ἠδὲ Μαχάων·
τοῖς δὲ τριήκοντα γλαφυραὶ νέες ἐστιχόωντο.
οἳ δ' ἔχον Ὀρμένιον, οἵ τε κρήνην Ὑπέρειαν,
οἵ τ' ἔχον Ἀστέριον Τιτάνοιό τε λευκὰ κάρηνα,
τῶν ἦρχ' Εὐρύπυλος, Εὐαίμονος ἀγλαὸς υἱός·
τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
οἳ δ' Ἄργισσαν ἔχον καὶ Γυρτώνην ἐνέμοντο,
Ὄρθην Ἠλώνην τε πόλιν τ' Ὀλοοσσόνα λευκήν,

V. ι. 718 τῶνδε G. ἦρχε CGH. — 721 ὃ L. κρατερὰ G. — 724 δ' ἀνστήσεσθαι H et supra μνήσεσθαι. — 726 οἳ CGHL. γε μὲν omnes. — 728 τὸν ῥ' L. — 729 οἱ A. τρίκην Cant. κλωμακόεσσαν CEHLS Strabo IX, 437: κλιμακόεσσαν A Pausanias IV, 9, 2. Et. Mg. 470, 9. κλημακόεσσαν G. — 731 τῶν αὖ Vrat. b. τῶν αὖ ἡγεμόνευον παῖδες ἀσκληπιοῦ G. δῦω H. παῖδες L Athenaeus XIV, 632. — 732 ἰητῆρε καλὼ G. — 734 οἱ A. ὀρμένιον L. ορμένιον A. κρίνην L. hic versus in A post 735 collocatus est. — 735 οἵ δ' ἔχον L. — 737 τεσσεράκοντα A. — 738 οἱ A. ἄργισαν C Barocc. Lips. Vrat. a. Mosc. ἄργεισαν AGH. τὴν ῥηθεῖσαν Ἄργισσαν εὕρηνται σπάνιά τινα τῶν ἀντιγράφων Ἄργειαν ἔχοντα προπαροξυτόνως διὰ διφθόγγου Eustath. 333, 16. Γυρτώνην τε νέμοντο Schol. Apoll. Rhod. I, 57. — 739 ὀλωσόνα G. ὀλοσσῶνα H. ὀλοσῶνα S.

A. c. 718 Zenodotus τῶν αὖ[θ'] ἡγεμόνευε Φιλοκτήτης, ἄγος ἀνδρῶν. — 724, 725 Ζηνόδοτος ἠθέτηκεν Aristonicus. — 727 ἀλλά: Zenodotus τοὺς δέ. „videtur igitur Zenodotus etiam 726. eiecisse“ Friedlaender. Ariston. pg. 77. — 731 conf. Schol. Μ 208. — 733 οὕτως κατὰ δοτικὴν πτῶσιν τοῖς δὲ ἀρίσταρχος ὡς πρόκειται Didymus, conf. Β 516. — 739 Ὄρθην: οὕτως ὡς σπάρτην, ἵν' ᾖ ἴδιον Herodianus. ἡ δὲ Ὄρθη βαρύνεται κατὰ τοὺς παλαιούς Eust. 333, 27. fallitur Schol. A ὀρθήν, οὕτως ὀξυτόνως, ἐπιθετικῶς γὰρ τέτακται. Ἠλώνη δὲ τῷ μὲν τόνῳ ὡς κορώνη, καθά φασιν οἱ παλαιοί Eust. 333, 30. Ὀλοοσσόνα προπαροξυτόνως φησὶν ἐν τῇ καθόλου (Ἡρωδιανός) Schol. A.

τῶν αὖθ' ἡγεμόνευε μενεπτόλεμοϲ Πολυποίτηϲ,
υἱὸϲ Πειριθόοιο, τὸν ἀθάνατοϲ τέκετο Ζεύϲ·
τόν ῥ' ὑπὸ Πειριθόῳ τέκετο κλυτὸϲ Ἱπποδάμεια
ἤματι τῷ, ὅτε φῆραϲ ἐτίϲατο λαχνήενταϲ,
τοὺϲ δ' ἐκ Πηλίου ὦϲε καὶ Αἰθίκεϲϲι πέλαϲϲεν.
οὐκ οἶοϲ, ἅμα τῷ γε Λεοντεύϲ, ὄζοϲ Ἄρηοϲ,
υἱὸϲ ὑπερθύμοιο Κορώνου Καινεΐδαο·
τοῖϲ δ' ἅμα τεϲϲαράκοντα μέλαιναι νῆεϲ ἕποντο.
Γουνεὺϲ δ' ἐκ Κύφου ἦγε δύω καὶ εἴκοϲι νῆαϲ·
τῷ δ' Ἐνιῆνεϲ ἕποντο μενεπτόλεμοί τε Περαιβοί,
οἳ περὶ Δωδώνην δυϲχείμερον οἰκί' ἔθεντο,
οἵ τ' ἀμφ' ἱμερτὸν Τιταρήϲιον ἔργα νέμοντο,
ὅϲ ῥ' ἐϲ Πηνειὸν προΐει καλλίρροον ὕδωρ,
οὐδ' ὅ γε Πηνειῷ ϲυμμίϲγεται ἀργυροδίνῃ,
ἀλλά τέ μιν καθύπερθεν ἐπιρρέει ἠΰτ' ἔλαιον·
ὅρκου γὰρ δεινοῦ Ϲτυγὸϲ ὕδατόϲ ἐϲτιν ἀπορρώξ.
Μαγνήτων δ' ἦρχε Πρόθοοϲ, Τενθρηδόνοϲ υἱόϲ,
οἳ περὶ Πηνειὸν καὶ Πήλιον εἰνοϲίφυλλον
ναίεϲκον· τῶν μὲν Πρόθοοϲ θοὸϲ ἡγεμόνευε,
τῷ δ' ἅμα τεϲϲαράκοντα μέλαιναι νῆεϲ ἕποντο.
Οὗτοι ἄρ' ἡγεμόνεϲ Δαναῶν καὶ κοίρανοι ἦϲαν.
τίϲ τ' ἂρ τῶν ὄχ' ἄριϲτοϲ ἔην, ϲύ μοι ἔννεπε μοῦϲα,
αὐτῶν ἠδ' ἵππων, οἳ ἅμ' Ἀτρεΐδῃϲιν ἕποντο.
ἵπποι μὲν μέγ' ἄριϲται ἔϲαν Φηρητιάδαο,
τὰϲ Εὔμηλοϲ ἔλαυνε ποδώκεαϲ ὄρνιθαϲ ὥϲ,
ὄτριχαϲ, οἰέτεαϲ, ϲταφύλῃ ἐπὶ νῶτον ἐΐϲαϲ·

V. ι. 740 τῶν δ' S. αὖθ': αὖ G. — 742 ὑπο A. — 746 ὑπερθύμου G. — 747 ἅμα: ἄρα Vrat. c. τεϲϲεράκοντα A. νῆεϲ ἕποντο μέλαιναι G. — 748 δυωκαιείκοϲι A. δύο E. — 750 omitt. H. — 751 ἔργα ἐνέμοντο E, ceteri ἔργ' ἐνέμοντο. — 752 καλλῖροον C. — 754 τε A. — 756 τερθρηδόνοϲ S. τ[ευ]ένθρηδόνοϲ L. — 758 ἡγεμόνευε ACEGHL Rhet. Gr. II, 336, 28. — 759 τεϲϲεράκοντα A. — 760 ἂρ AGHL. ἔ[ϲ]ϲαν C. — 761 τίϲ τ' ἂρ: τίϲ ταρ A. τίϲ γὰρ S Vrat. b. — 762 ἀτρείδαιϲιν G. — 763 ἦϲαν CE. — 765 οἰέτεαϲ: ἰϲετέαϲ L.

A. c. 741 ἀθάνατοϲ: ἀθάνατον Zenodotus. — 744 Αἰθίκεϲϲι: Democrines Αἰθιόπεϲϲι. — 751 ἔργα νέμοντο Aristarchus, conf. Cram. An. Par. III, 280, 34. — 755 Aristarchus ἀπορρώξ: alii ἀπόρρωξ. — 756 Aristarchus ἦρχε, non ἦρχεν. — 765 ϲταφύλῃ Ptolemaeus Ascalonita, non ϲταφυλῇ conf. Eust. 341, 30. Ammon. de Diff. s. v. ϲταφυλήν.

τὰϲ ἐν Πηρείῃ θρέψ' ἀργυρότοξοϲ Ἀπόλλων,
ἄμφω θηλείαϲ, φόβον Ἄρηοϲ φορεούϲαϲ.
ἀνδρῶν αὖ μέγ' ἄριϲτοϲ ἔην Τελαμώνιοϲ Αἴαϲ,
ὄφρ' Ἀχιλεὺϲ μήνιεν· ὃ γὰρ πολὺ φέρτατοϲ ἦεν,
ἵπποι θ', οἳ φορέεϲκον ἀμύμονα Πηλείωνα.
ἀλλ' ὃ μὲν ἐν νήεϲϲι κορωνίϲι ποντοπόροιϲι
κεῖτ' ἀπομηνίϲαϲ Ἀγαμέμνονι, ποιμένι λαῶν,
Ἀτρεΐδῃ· λαοὶ δὲ παρὰ ῥηγμῖνι θαλάϲϲηϲ
δίϲκοιϲιν τέρποντο καὶ αἰγανέῃϲιν ἱέντεϲ
τόξοιϲίν θ'· ἵπποι δὲ παρ' ἅρμαϲιν οἷϲιν ἕκαϲτοϲ,
λωτὸν ἐρεπτόμενοι ἐλεόθρεπτόν τε ϲέλινον,
ἕϲταϲαν· ἅρματα δ' εὖ πεπυκαϲμένα κεῖτο ἀνάκτων
ἐν κλιϲίηϲ. οἳ δ' ἀρχὸν ἀρηίφιλον ποθέοντεϲ
φοίτων ἔνθα καὶ ἔνθα κατὰ ϲτρατὸν οὐδὲ μάχοντο.
Οἳ δ' ἄρ' ἴϲαν ὡϲ εἴ τε πυρὶ χθὼν πᾶϲα νέμοιτο·
γαῖα δ' ὑπεϲτενάχιζε Διὶ ὣϲ τερπικεραύνῳ
χωομένῳ, ὅτε τ' ἀμφὶ Τυφωέι γαῖαν ἱμάϲϲῃ
εἰν Ἀρίμοιϲ, ὅθι φαϲὶ Τυφωέοϲ ἔμμεναι εὐνάϲ·
ὣϲ ἄρα τῶν ὑπὸ ποϲϲὶ μέγα ϲτεναχίζετο γαῖα

V. ι. 766 πηρείῃ E Macrob. Saturn. I, 17, 44: πιερίῃ CGHLS Schol. Ψ 383. πηερίηι A. τινὰ ἀντίγραφα διὰ διφθόγγου τὴν ἄρχουϲαν ἔχουϲι, τὴν δὲ παραλήγουϲαν διὰ μόνου διχρόνου (Πειρίῃ). ἐν δὲ ἑτέροιϲ ἡ μὲν ἀρχὴ τὸ η̅ ἔχει, ἐν διφθόγγῳ δὲ ἡ παράληξιϲ γίνεται (Πηρείῃ) Eust. 341, 39. — 768 αὖ ACEGLS Barocc. Cant. Eton. Lips. omnes Vratt. Mosc. 1.: δ' αὖ H Schol. Pind. Nem. VII, 39. — 769 ἀχιλλεὺϲ GH. δ ACEGHL. φέρτεροϲ ES Cant. Vrat. b. — 771 δ L. ποντοπόροιϲι ACG. — 772 ἀπομηνιάϲαϲ Barocc. Mor. — 773 παραὶ H. — 774 δίϲκοιϲι EH. ἱέντεϲ H. ἐόντεϲ L. — 775 τόξοιϲί EG. — 776 ἐλεόθρεπτόν C. — 777 ἔϲταϲαν GL. εὖ: αὖ L. — 778 κλιϲίηϲ' L. κλιϲίηϲιν G. οἳ δ' L. οἵδ' CGH. — 779 κατα A. οὐδὲ μάχοντο S Vrat. a. b. ceteri οὐδ' ἐμάχοντο. — 780 οἵδ' CHL. ἂρ H. ὡϲ εἴτε AE: ceteri ὡϲείτε. — 781 ὑπεϲτονάχιζε LS. ὑποϲτονάχιζε GH. ὣϲ: ὡϲ ACEGH. — 782 ὅτε τ': ὅτε G ὅτ' ἔτ' H. ὅτε γ' Schol. O 17. ἱμάϲϲει CEG Vrat. a. Schol. O 17. — 783 εἰναρίμοιϲ A. — 784 ὡϲ A. ϲτεναχίζετο AES Cant. Eton. Vrat. a. b.: ϲτοναχίζετο CGHL.

A. c. 766 Πηρείῃ, conf. Steph. Byzant. Πηρεία: Θεϲϲαλίαϲ χωρίον et Hesych. III, 332 Πηρίη: πόλιϲ ἐν Θεϲϲαλίᾳ, Wolf. Proleg. p. 28. Valckenarius ad Ammon. p. 206 scribendum esse censet Φηρείῃ. — 769 οὕτωϲ φέρτατοϲ, οὐ φέρτεροϲ, αἱ Ἀριϲτάρχου Didymus. — 772 ἀπομηνίϲαϲ: ἐπιμηνίϲαϲ Aristarchus, conf. Schol. V ad H 230; Philem. pg. 271, 59; Osann. Quaest. Hom. IV, p. 19; H. T. 198. — 777 ἕϲταϲαν, non ἔϲταϲαν, Herodianus, conf. Eust. 345, 3. — 783 huic nonnulli subiunxerunt versum χώρῳ ἔνι δρυόεντι Ὕδηϲ ἐν πίονι δήμῳ teste Strabone XIII, 626. conf. Eust. 346, 35.

ἐρχομένων· μάλα δ' ὦκα διέπρηςςον πεδίοιο.
Τρωςὶν δ' ἄγγελος ἦλθε ποδήνεμος ὠκέα Ἶρις
πὰρ Διὸς αἰγιόχοιο cὺν ἀγγελίῃ ἀλεγεινῇ·
οἱ δ' ἀγορὰς ἀγόρευον ἐπὶ Πριάμοιο θύρῃςι
πάντες ὁμηγερέες, ἠμὲν νέοι ἠδὲ γέροντες.
ἀγχοῦ δ' ἱςταμένη προςέφη πόδας ὠκέα Ἶρις·
εἴςατο δὲ φθογγὴν υἷι Πριάμοιο Πολίτῃ,
ὃς Τρώων ςκοπὸς ἷζε ποδωκείῃςι πεποιθὼς
τύμβῳ ἐπ' ἀκροτάτῳ Αἰςυήταο γέροντος,
δέγμενος ὁππότε ναῦφιν ἀφορμηθεῖεν Ἀχαιοί·
τῷ μιν ἐειςαμένη προςέφη πόδας ὠκέα Ἶρις·
ὦ γέρον, αἰεί τοι μῦθοι φίλοι ἄκριτοί εἰςιν,
ὥς ποτ' ἐπ' εἰρήνης· πόλεμος δ' ἀλίαςτος ὄρωρεν.
ἦ μὲν δὴ μάλα πολλὰ μάχας εἰςήλυθον ἀνδρῶν,
ἀλλ' οὔ πω τοιόνδε τοςόνδέ τε λαὸν ὄπωπα·
λίην γὰρ φύλλοιςιν ἐοικότες ἢ ψαμάθοιςιν
ἔρχονται πεδίοιο μαχηςόμενοι προτὶ ἄςτυ.
Ἕκτορ, ςοὶ δὲ μάλιςτ' ἐπιτέλλομαι ὧδέ γε ῥέξαι·
πολλοὶ γὰρ κατὰ ἄςτυ μέγα Πριάμου ἐπίκουροι,
ἄλλη δ' ἄλλων γλῶςςα πολυςπερέων ἀνθρώπων·
τοῖςιν ἕκαςτος ἀνὴρ ςημαινέτω, οἷςί περ ἄρχει,
τῶν δ' ἐξηγείςθω κοςμηςάμενος πολιήτας.
ὣς ἔφαθ', Ἕκτωρ δ' οὔ τι θεᾶς ἔπος ἠγνοίηςεν,
αἶψα δ' ἔλυς' ἀγορήν· ἐπὶ τεύχεα δ' ἐςςεύοντο.

V. ι. 785 διέπρηςον CL. — 787 παρ A. παρὰ G. — 788 οἵδ' CGHL. θύρῃςι ACEGH. — 790 μετέφη Vrat. b. προςέφη (μετ supra) H. — 791 εἴςατο γὰρ E 349, 12 S Vrat. b. εἰςαμένη E 348, 7. υἷι CEGHL. υἱέϊ A Vrat. a. Apoll. Lex. 62, 25. υἱεῖ Schol. N 533. — 792 τρῴων CGL. ἵζε GH. ἶζε A. ποδωκείαιςι G. — 793 ἐπακροτάτωι A. — 794 ναῦφι L 1. man. — 795 προςέφη ACL Vrat. a.: μετέφη GHS. γρ. μετέφη A. — 797 ὥς ποτ': ὥςπερ G. — 798 ἢ μὲν δή: ἤδη μὲν S Cant. Vrat. b. πολλὰς G Lips. Vrat. b. c. — 799 τοςόνδέ τε ACGL. τόςον δέ τε H. — 801 προτὶ: libri περὶ. A περι. — 802 ἕκτωρ H. ὧδέ γε: ὧδε δὲ ACH Eton. Vrat. b. c. A. ὧδε δε S. ὧδέ τι L. — 804 πολυςπορέων S. — 807 ὡς A. ἠγνώηςεν H.

A. c. 791 υἷι, conf. H. U. pg. 46. 791—795 ἀθετοῦνται Aristonicus. — 795 προςέφη, non μετέφη scribendum esse demonstravi H. S. 209; accedit meliorum librorum auctoritas. — 798 Herodianus ἦ μὲν δή vel ἦ δὴ μέν: Aristarchus ἤδη μὲν ut Γ 184. — 801 προτὶ Aristarchus cum Zenodoto et Aristophane: alii περὶ. — 808 δ' ἔλυς': τινὲς ἀπὸ τοῦ λ τὴν ἀρχὴν ποιοῦνται καὶ προπεριςπῶςιν Herodianus.

πᾶςαι δ' ὠΐγνυντο πύλαι, ἐκ δ' ἔςςυτο λαός,
πεζοί θ' ἱππῆές τε· πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
ἔςτι δέ τις προπάροιθε πόλιος αἰπεῖα κολώνη,
ἐν πεδίῳ ἀπάνευθε, περίδρομος ἔνθα καὶ ἔνθα,
τὴν ἤ τοι ἄνδρες Βατίειαν κικλήςκουςιν,
ἀθάνατοι δέ τε ςῆμα πολυςκάρθμοιο Μυρίνης·
ἔνθα τότε Τρῶές τε διέκριθεν ἠδ' ἐπίκουροι.
Τρωςὶ μὲν ἡγεμόνευε μέγας κορυθαίολος Ἕκτωρ
Πριαμίδης· ἅμα τῷ γε πολὺ πλεῖςτοι καὶ ἄριςτοι
λαοὶ θωρήςςοντο μεμαότες ἐγχείῃςι.
Δαρδανίων αὖτ' ἦρχεν ἐὺς πάις Ἀγχίςαο,
Αἰνείας, τὸν ὑπ' Ἀγχίςῃ τέκε δῖ' Ἀφροδίτη,
Ἴδης ἐν κνημοῖςι θεὰ βροτῷ εὐνηθεῖςα,
οὐκ οἶος, ἅμα τῷ γε δύω Ἀντήνορος υἷε,
Ἀρχέλοχός τ' Ἀκάμας τε, μάχης εὖ εἰδότε πάςης.
οἳ δὲ Ζέλειαν ἔναιον ὑπαὶ πόδα νείατον Ἴδης,
ἀφνειοί, πίνοντες ὕδωρ μέλαν Αἰςήποιο,
Τρῶες, τῶν αὖτ' ἦρχε Λυκάονος ἀγλαὸς υἱός,
Πάνδαρος, ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν.
οἳ δ' Ἀδρήςτειάν τ' εἶχον καὶ δῆμον Ἀπαιςοῦ,
καὶ Πιτύειαν ἔχον καὶ Τηρείης ὄρος αἰπύ,
τῶν ἦρχ' Ἄδρηςτός τε καὶ Ἄμφιος λινοθώρηξ,
υἷε δύω Μέροπος Περκωςίου, ὃς περὶ πάντων

V. ι. 810 ὀρυγμαδὸς CGHL 1. man. — 811 πόλιος προπάροιθεν Apoll. Lex. 102, 3, unde Bothius πόλιος προπάροιθ' edidit. πόληος EL 2. man. — 813 ἤ τοι: libri ἤτοι. — 814 Μυρίννης E 350, 41; 44; 45; 351, 20; 25. — 815 τρῷες G. — 816 τρῳςὶ L. κορυθαιόλος E 352, 21. — 818 μεμαῶτες CH ἐγχείῃςι AGG. — 819 τ' αὖ ἦρχεν L. πάϊς CGLS Strabo XIII, 585; 592. Apoll. Lex. 79, 24. πᾶϊς H. παῖς A. — 820 τὸν: ὃν E. — 821 κνήμαιςι G. — 824 οἱ AC. — 826 τρῷες GL. τῶν τ' αὖ Vrat. A. — 828 οἱ A. οἵδ' ἄρ Ἀδρήςτειάν H Schol. Apoll. Rhod. I, 1116. ἀδράςτειαν εἶχον G. — 829 πίτυαν ἔχον G. πιτύαν εἶχον Strabo XIII, 587. τυρείης GL. — 830 ἄδραςτός G. ἄνδρηςτος S. — 831 Περκωςίου: κερκοπίου G. περι A.

A. c. 811 οὕτως αἰπεῖα ὡς ὀξεῖα Schol. A. — 813 Βατίειαν Herodianus προπαροξυτόνως. — 814 Μυρίννη ἐν ἁπλότητι μὲν γράφεται τοῦ ρ̄, διπλόην δὲ ἔχει τοῦ ν̄ κατὰ τὸ Ἠρίννα Eust. 351, 41. — 816 κορυθαιόλος δὲ παροξύνεται ὑπὸ τῶν παλαιῶν Eust. 352, 28, vid. H. T. 421. Cod. A fere semper κορυθαιόλος habet. — 819 πάϊς conf. H. U. p. 96. — 824 ὑπαὶ πόδα Herodianus cum Aristarcho: Tyrannio ὕπαι, conf. Schol. O 4. — 828 Ἀδρήςτειαν δὲ θέλουςι μέν τινες τριςυλλάβως Δρήςτειαν γράφειν Eust. 355, 13. Ἀπαιςοῦ Herodianus. — 831 περὶ, non πέρι, Herodianus, cf. H. T. 337.

ἤδεε μαντοςύνας, οὐδὲ οὓς παῖδας ἔαςκε
ςτείχειν ἐς πόλεμον φθιςήνορα. τὼ δέ οἱ οὔ τι
πειθέςθην· κῆρες γὰρ ἄγον μέλανος θανάτοιο.
οἳ δ᾽ ἄρα Περκώτην καὶ Πράκτιον ἀμφενέμοντο,
καὶ Cηςτὸν καὶ Ἄβυδον ἔχον καὶ δῖαν Ἀρίςβην,
τῶν αὖθ᾽ Ὑρτακίδης ἦρχ᾽ Ἄςιος, ὄρχαμος ἀνδρῶν,
Ἄςιος Ὑρτακίδης, ὃν Ἀρίςβηθεν φέρον ἵπποι
αἴθωνες μεγάλοι, ποταμοῦ ἄπο Cελλήεντος.
Ἱππόθοος δ᾽ ἄγε φῦλα Πελαςγῶν ἐγχεςιμώρων,
τῶν οἳ Λάριςαν ἐριβώλακα ναιετάαςκον·
τῶν ἦρχ᾽ Ἱππόθοός τε Πύλαιός τ᾽, ὄζος Ἄρηος,
υἷε δύω Λήθοιο Πελαςγοῦ Τευταμίδαο.
αὐτὰρ Θρήικας ἦγ᾽ Ἀκάμας καὶ Πείροος ἥρως,
ὅςςους Ἑλλήςποντος ἀγάῤῥοος ἐντὸς ἐέργει.
Εὔφημος δ᾽ ἀρχὸς Κικόνων ἦν αἰχμητάων,
υἱὸς Τροιζήνοιο διοτρεφέος Κεάδαο.
αὐτὰρ Πυραίχμης ἄγε Παίονας ἀγκυλοτόξους,
τηλόθεν ἐξ Ἀμυδῶνος, ἀπ᾽ Ἀξιοῦ εὐρὺ ῥέοντος,
Ἀξιοῦ, οὗ κάλλιςτον ὕδωρ ἐπικίδναται αἶαν.

V. L. 832 οὐδὲ οὓς: οὐδ᾽ ἑοὺς ACGHL Vrat. a. b. A. οὐδὲ ἑοὺς Lips. Eton. Vrat. c. ΟΥΔ᾽ ΕΟΥC Ambros. ἔαςκε A Ambros. CGH. — 833 CTIXEIN Ambros. φθειςήνορα Eust. 355, 10, sed 356, 17 φθιςήνορα. τὼ: ΤΩΙ Ambros. τώδε G. — 834 ΠΙΘΕCΘΗΝ Ambrosianus. — 835 οἱ A. περκώπην G. — 837 τῶν δ᾽ αὖ G. — 839 ἄπο AH Apoll. de Synt. 308, 28: ἀπὸ CEGL. — 841 Λάριςαν ACH Lips. Eton. Vrat. a. Strabo V, 221; XIII, 620: λάριςςαν EGL. ναιετάεςκον G. — 842 ὄζος: ὄζω G. — 844 Πείροος: Πείρως E 358, 24; 359, 5. πείρωος G. conf. Δ 520, 525. — 847 διοτροφέος G. — 849 Ἀμυδῶνος: Ἀβυδῶνος Steph. Byz. 10, 12. Suidas I, 1, 32, 7. εὐρὺ ῥέοντος ACE 359, 22 HLS. εὐρυρέοντος G. εὐρυρέοντος Strabo VII, 330 ter. utrumque Eust. 360, 5. — 850 ἐπιςκίδναται G. αἶαν libri mei cum Cant. Eton. Lips. Vratt. Mosc. 1.: αἴῃ Eust. 359, 24.

A. c. 832 οὐδὲ οὓς non οὐδ᾽ ἑούς scribendum est, δέ enim ante οὕς, quod olim digammum habuit, produci quidem potest, sed ε̄ in ἑούς nunquam, conf. θυγατέρᾱ ἥν Ε 371, Ζ 192. πόςεϊ ᾧ Ε 71. τέκεϊ ᾧ Ω 36, δ 175. cθένεϊ ᾧ Π 542. ἄχεϊ οὗ ο 358. δὲ ἰάχοντες δ 454. cμερδαλέᾱ ἰάχων Ε 302, Θ 321, Π 785. ἄρᾱ ἔρξαν ξ 411. ἀπὸ ἕο (ἕθεν) Ε 343, Ζ 62, Κ 465, Μ 205, Ν 163, Υ 261, 278, ι 398, φ 136, 163. — 839 ἄπο Nicias et Ptolemaeus: ἀπὸ Herodianus cum Aristarcho, conf. ad 877. — 842 Πύλαιος Herodianus, vide Eust. 358, 15, conf. Lehrs. Arist. p. 307. — 848 nonnulli huic subiunxerunt „Πηλεγόνος θ᾽ υἱὸς περιδέξιος Ἀςτεροπαῖος“ conf. Schol. Φ 140. Eust. 1228, 37. — 849, 850 ἐν δὲ τῷ „ἐπικίδναται αἴῃ“ ἢ „αἶαν“ (διττῶς γὰρ ἡ γραφή) αἶαν τινὲς οὐ τὴν γῆν ἐνόηςαν, ἀλλά τινα πηγήν, ὡς δῆλον ἐξ ὧν ὁ γεωγράφος φηςί, λέγων ὅτι ἡ παρ᾽ Ὁμήρῳ Ἀμυδὼν Ἀβυδὼν ὕςτερον ἐκλήθη Eust. 360,

Παφλαγόνων δ᾽ ἡγεῖτο Πυλαιμένεος λάςιον κῆρ
ἐξ Ἐνετῶν, ὅθεν ἡμιόνων γένος ἀγροτεράων,
οἵ ῥα Κύτωρον ἔχον καὶ Cήςαμον ἀμφενέμοντο
ἀμφί τε Παρθένιον ποταμὸν κλυτὰ δώματ᾽ ἔναιον,
Κρῶμνάν τ᾽ Αἰγιαλόν τε καὶ ὑψηλοὺς Ἐρυθίνους.
αὐτὰρ Ἁλιζώνων Ὀδίος καὶ Ἐπίςτροφος ἦρχον
τηλόθεν ἐξ Ἀλύβης, ὅθεν ἀργύρου ἐςτὶ γενέθλη.
Μυςῶν δὲ Χρόμις ἦρχε καὶ Ἔννομος οἰωνιςτής.
ἀλλ᾽ οὐκ οἰωνοῖςιν ἐρύςατο κῆρα μέλαιναν,

V. L. 851 δ᾽ omitt. S. — 852 ἐξενετῶν A. καὶ ἐνετῶν G. — 854 δώματ᾽ ἔναιον: ἔργ᾽ ἐνέμοντο Strabo XIII, 590. — 855 κρώμναν τ᾽ G. ἐριθύνους L. — 856 Ἁλιζώνων EGH Strabo XII, 549. Et. Mg. 64, 1. αλιζώνων A. Ἀλαζώνων Cram. Epim. 78, 25. Ὀδίος ACHL: Ὁδίος EG Et. Mg. 64, 1. Schol. ω 304. — 857 τηλόθϊ L post ras. ἐλθόντ᾽ ἐξ Ἀλόπης, ὅθ᾽ Ἀμαζονίδων γένος ἐςτὶν Steph. Byz. 77, 14. — 859 ἐρύςατο E 364, 10 et 19 GL: ἐρύςςατο ACH.

11. τὸν ςτίχον „Ἀξιοῦ, οὗ κάλλιςτον ὕδωρ ἐπικίδναται αἶαν“ μεταγράφουςιν οὕτως „Ἀξιοῦ, ᾧ κάλλιςτον ὕδωρ ἐπικίδναται Αἴης“ Strabo VII, 330. φέρει δὲ τὸ ἔπος καὶ Εὔδοξος ἄνευ τοῦ ν̄ „Ἀξιοῦ, οὗ κάλλιςτον ὕδωρ ἐπικίδναται Αἶα“ Schol. λ 239.

A. c. 852 Ἐνετῶν: Zenodotus Ἐνετῆς vel Ἐνέτης, conf. Strab. XII, 543; 553. Eust. 361, 19. — 855 Κρῶμνάν τ᾽ Αἰγίαλόν τε γράφεται δὲ „Κρῶμναν Κωβίαλόν τε“ Steph. Byz. 40, 17. γράφουςι δέ τινες „Κρῶμναν Κωβίαλόν τε“ Strabo XII, 545, conf. Eust. 362, 29, qui addit Ἀπολλώνιος δὲ γράφει ἐν τοῖς ἑαυτοῦ „Κωβίαλον Κρώμναν τε καὶ ὑλήεντα Κύτωρον“ (Apoll. Rhod. Argon. II, 942). παρ᾽ Ὁμήρῳ δὲ μεταγράφεται ἀντὶ τοῦ „Κρώμναν τ᾽ Αἰγίαλόν τε“ „Κρώμναν Κρωβίαλόν τε“ Schol. Apoll. Rhod. II, 942. post 855 nonnulli Καυκῶνας δ᾽ αὖτ᾽ ἦγε Πολυκλέος υἱὸς ἀμύμων (Eust. Ἄμειβος ἢ Ἀμύμων, Schol. Υ 329 Ἄμειβος), οἳ περὶ Παρθένιον ποταμὸν κλυτὰ δώματ᾽ ἔναιον (Eust. κατὰ δώματα ναῖον ἢ κλυτὰ δώματ᾽ ἔναιον, Schol. Υ 329 κλυτὰ δώματα ναῖον). ita Callisthenes apud Strabonem XII, 542. conf. Schol. Υ 329. Eust. 1210, 47. — 856 οἱ μὲν μεταγράφουςιν „Ἀλαζώνων“, οἱ δ᾽ „Ἀμαζώνων“ ποιοῦντες, τὸ δ᾽ „ἐξ Ἀλύβης“ „ἐξ Ἀλόπης“ ἢ „ἐξ Ἀλόβης“ Strabo XII, 550. γράφει (Ἔφορος) γὰρ οὕτως „αὐτὰρ Ἀμαζώνων Ὀδίος καὶ Ἐπίςτροφος ἦρχον, ἐλθόντ᾽ ἐξ Ἀλύπης, ὅθ᾽ Ἀμαζονίδων γένος ἐςτί“ Strabo XII, 550, qui paullo infra addit καὶ ἡ μεταγραφὴ δὲ παρὰ τὴν τῶν ἀντιγράφων τῶν ἀρχαίων πίςτιν καινοτομουμένη ἐπὶ τοςοῦτον ςχεδιαςμῷ ἔοικεν. Palaephatus Ἀλαζώνων teste Strabone XII, 551, Menecrates et Apollodorus Ἁλίζωνων (XII, 552). λέγει (ὁ γεωγράφος) δὲ καὶ ὅτι τὸ Ἁλιζώνων οὐ μόνον Ὀλιζώνων τινὲς μεταγράφουςιν, ἀλλὰ καὶ Ἀλαζώνων Eust. 363, 18. — 857 ἐξ Ἀλύβης: Ἀλύπης Palaephatus apud Strabonem XII, 551. ἐκ Χαλύβης alii teste Strabone XII, 549; 551. τὸ δὲ „ἐξ Ἀλύβης“ „ἐξ Ἀλύβων“ τινὲς γράφουςιν, ἕτεροι δὲ „ἐκ Χαλύβων“, ἄλλοι „ἐξ Ἀλόπης“, ἢ κατὰ Μενεκράτην „ἐξ Ἀλόβης“, ἔτι δὲ καὶ „ἐκ Χαλύβης“ Eust. 363, 12. — 859 ἐρύςατο etsi non hoc, sed omnibus ceteris locis habent libri meliores uno ς̄ scriptum, conf. Ε 344, Λ 363, Ο 290, Υ 194, 450, α 6, ξ 279, χ 372.

ἀλλ᾿ ἐδάμη ὑπὸ χερσὶ ποδώκεος Αἰακίδαο
ἐν ποταμῷ, ὅθι περ Τρῶας κεράιζε καὶ ἄλλους.
Φόρκυς αὖ Φρύγας ἦγε καὶ Ἀσκάνιος θεοειδὴς
τῆλ᾿ ἐξ Ἀσκανίης· μέμασαν δ᾿ ὑσμῖνι μάχεσθαι.
Μῄοσιν αὖ Μέσθλης τε καὶ Ἄντιφος ἡγησάσθην,
υἷε Ταλαιμένεος, τὼ Γυγαίη τέκε λίμνη,
οἳ καὶ Μῄονας ἦγον ὑπὸ Τμώλῳ γεγαῶτας.
Νάστης αὖ Καρῶν ἡγήσατο βαρβαροφώνων,
οἳ Μίλητον ἔχον Φθιρῶν τ᾿ ὄρος ἀκριτόφυλλον
Μαιάνδρου τε ῥοὰς Μυκάλης τ᾿ αἰπεινὰ κάρηνα·
τῶν μὲν ἄρ᾿ Ἀμφίμαχος καὶ Νάστης ἡγησάσθην,
Νάστης Ἀμφίμαχός τε, Νομίονος ἀγλαὰ τέκνα,
ὃς καὶ χρυσὸν ἔχων πόλεμον δ᾿ ἴεν, ἠύτε κούρη,
νήπιος, οὐδέ τί οἱ τό γ᾿ ἐπήρκεσε λυγρὸν ὄλεθρον,

V. L. 861 τρῶας κεραΐζετο ἄλλους G. — 862 αὖ: δὲ Strabo XIV, 680. δ᾿ αὖ Schol. N 793. — 863 ὑσμίνῃ GL. — 864 μηιόσιν S. μήοσι δ᾿ αὖ G. — 865 Ταλαιμένεος: πυλαιμένεος S. πηλεμένεος G. γυγέη^{αι} C. γυγαίηι A. — 866 ὕπο A. γεγαώτας G. — 867 Νάστης: Μάσθλης Strabo XIV, 661. Ναύστης, μάλιστα δὲ κατὰ τὰ πλείω καὶ ἀκριβέστερα τῶν ἀντιγράφων Νάστης δίχα τοῦ ῡ Eust. 367, 1. — 868 φθιρῶν ACG Vrat. b.: φθειρῶν EHLS Hesych. IV, 240. Schol. B 494. Eust. 263, 23. Μυκάλης τ᾿: Μυκαλησσοῦ τ᾿ Schol. B 494. — 869 τὲ ῥοὰς ACH. — 870 ἄρ GH. ἀρ A. ναύστης C. — 871 νομείονος H. — 872 ὃς δὴ χρυσὸν G. ἔχον^{ω} H. πόλεμον δ᾿ AHL. — 873 οὐδέ τι οἱ AGH. οὐδ᾿ ἔτι οἱ L. τό γ᾿: τόδ᾿ Pseudoplut. 140, 40.

A. c. 860, 861 ἀθετοῦνται ἀμφότεροι Aristonicus. — 864 Μῄοσιν et Μῄονας Heraclides (ἄνευ τοῦ ῑ) apud Eust. 365, 27. Μέσθλης: τινὲς καὶ Μέστρην γράφεσθαι φασίν Eust. 366, 11. — 865 Γυγαίη: γράφεται δὲ ἐν τοῖς σχολίοις καὶ ὅτι ἡ Μασσαλιωτικὴ ἔκδοσις ἀντὶ τοῦ Γυγαίη λίμνη γυραίως (γυραίη?) εἶχεν Eust. 366, 12. λίμνη Aristarchus: λίμνῃ Chaeris et Diodorus. οἱ δὲ σχολιασταὶ τὸ μὲν Γυγαίη δέχονται κατ᾿ εὐθεῖαν πτῶσιν, τὸ δὲ λίμνῃ κατὰ δοτικὴν Eust. 366, 3. ἀρέσκει τοῖς παλαιοτέροις εὐθεῖαν εἶναι καὶ τὸ λίμνη, καθὰ καὶ τὸ Γυγαίη Eust. 366, 8. — 866 προσγράφουσί τινες τοῦτο τέταρτον ἔπος „Τμώλῳ ὕπο νιφόεντι, Ὕδης ἐν πίονι δήμῳ“. οὐδεμία δ᾿ εὑρίσκεται Ὕδη ἐν τοῖς Λυδοῖς Strabo XIII, 626. ἡ δὲ κατ᾿ Εὐριπίδην μετὰ τὸν τρίτον στίχον, οὗ ἀρχὴ τὸ „οἳ καὶ Μῄονας ἦγον“ γράφει τέταρτον τοῦτον κατὰ σχῆμα ἐπαναλήψεως „Τμώλῳ ὕπο νιφόεντι, Ὕδης ἐν πίονι δήμῳ“ Eust. 366, 13. — 868 Φθιρῶν Herodianus, conf. Eust. 368, 12. Cram. An. Ox. II, 41, 17; 133, 19; 274, 7. Et. Mg. 792, 43. — 870, 871 ὅτι ἐπὶ τοῦ Ἀμφιμάχου ἐστὶ τὸ „ὃς καὶ χρυσὸν ἔχων“. ὁ δὲ Σιμωνίδης ἐπὶ τοῦ Νάστου λέγει Aristonicus. videtur igitur Simonides hos versus non legisse. — 874, 875 in cod. A obelo notantur. intercidit scholium Aristonici socordia librarii; nam si Aristarchus versus 860, 861 Homero abiudicaverat, hos pro genuinis habere non potuit.

ἀλλ᾿ ἐδάμη ὑπὸ χερσὶ ποδώκεος Αἰακίδαο
ἐν ποταμῷ, χρυσὸν δ᾿ Ἀχιλεὺς ἐκόμισσε δαΐφρων.
Σαρπηδὼν δ᾿ ἦρχεν Λυκίων καὶ Γλαῦκος ἀμύμων
τηλόθεν ἐκ Λυκίης, Ξάνθου ἄπο δινήεντος.

ΙΛΙΑΔΟC Γ.

Αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ᾿ ἡγεμόνεσσιν ἕκαστοι,
Τρῶες μὲν κλαγγῇ τ᾿ ἐνοπῇ τ᾿ ἴσαν ὄρνιθες ὥς,
ἠύτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό,
αἵ τ᾿ ἐπεὶ οὖν χειμῶνα φύγον καὶ ἀθέσφατον ὄμβρον,
κλαγγῇ ταί γε πέτονται ἐπ᾿ Ὠκεανοῖο ῥοάων
ἀνδράσι Πυγμαίοισι φόνον καὶ κῆρα φέρουσαι·
ἠέριαι δ᾿ ἄρα ταί γε κακὴν ἔριδα προφέρονται·
οἱ δ᾿ ἄρ᾿ ἴσαν σιγῇ μένεα πνείοντες Ἀχαιοὶ
ἐν θυμῷ μεμαῶτες ἀλεξέμεν ἀλλήλοισιν.
εὖτ᾿ ὄρεος κορυφῇσι νότος κατέχευεν ὀμίχλην,
ποιμέσιν οὔ τι φίλην, κλέπτῃ δέ τε νυκτὸς ἀμείνω,

V. L. 874 ὕπο A. — 875 ἀχιλλεὺς GH. ἐκόμισε G. — 876 ἦρχε CE GHL 1. man. — 877 ἄπο AH: ἀπὸ CE 368, 43; 369, 30 GL.

A. c. 877 ἄπο Aristarchus et Apollonius: ἀπὸ Ptolemaeus, sed conf. 839.

V. L. 1 ἕκαστοι: ἕκαστος Eust. 1840, 8. — 2 τρῷες CGL. τ᾿ post κλαγγῇ omitt. AEGHL Townl. Eton. Mosc. 1. Et. Mg. 344, 49. Cram. An. Ox. II, 472, 18. Zonar. Lex. 729: habent CDS Apoll. Lex. 3, 12. Io. Alex. 31, 30. Et. Mg. 516, 19. Cram. An. Par. I, 237, 30. Strabo XII, 574. — 5 κλαγγῖ D. ταί γε D 1. man.: τ᾿ αἵγε D 2. man. πέτωνται D. πέτανται Schol. E 249. — 7 omitt. G. τ᾿ αἵγε D ex corr. — 8 οἵδ᾿ CDGH. οἳ δ᾿ L. ἆρ ADEGHL. ἶσαν D. — 10 ὥς τ᾿ ὄρεος G. ceteri εὖτ᾿ ὄρεος cum Schol. T 386. Et. Mg. 398, 46; 56; 57. Eust. 117, 37. Apoll. de Adv. 558, 7. κορυφαῖσι G. ὀμίχλην: ὁμίχλην ACDE 373, 26; 42. — 11 οὔ τι: οὔτε L.

A. c. 3 Σέλευκος καὶ οἱ πλεῖστοι ὑγιῶς ἐφίστων τῷ „οὐρανόθι πρό“. ἡ γὰρ εἰς θι παραγωγὴ τὸ ἐν τόπῳ σημαίνει. ὅπερ τινὲς μετέγραψαν τὸ „οὐρανόθεν“, ἵνα τὸ ἐκ τόπου δηλωθῇ Apoll. de Adverb. 608, 17. — 10 εὖτ᾿ ὄρεος Aristarchus: ηὖτε ὄρεος Chia et Massiliensis cum quibusdam aliis, conf. Schol. T 386. Et. Mg. 398, 46 sqq. ὀμίχλην, conf. A 359. — 11 Aristarchus ἀμείνω: ὅτι τινὲς γράφουσι σὺν τῷ ν ἀμείνων Aristonicus. conf. Et. Mg. 82, 43 et Et. Gud. 44, 31 ἀμείνω χωρὶς τοῦ ν.

τόccόν τίc τ' ἐπιλεύccει, ὅcον τ' ἐπὶ λᾶαν ἵηcιν·
ὣc ἄρα τῶν ὑπὸ ποccὶ κονίcαλοc ὤρνυτ' ἀελλὴc
ἐρχομένων· μάλα δ' ὦκα διέπρηccον πεδίοιο.
οἳ δ' ὅτε δὴ cχεδὸν ἦcαν ἐπ' ἀλλήλοιcιν ἰόντεc,
Τρωcὶν μὲν προμάχιζεν Ἀλέξανδροc θεοειδὴc
παρδαλέην ὤμοιcιν ἔχων καὶ καμπύλα τόξα
καὶ ξίφοc· αὐτὰρ ὃ δοῦρε δύω κεκορυθμένα χαλκῷ
πάλλων Ἀργείων προκαλίζετο πάνταc ἀρίcτουc
ἀντίβιον μαχέcαcθαι ἐν αἰνῇ δηιοτῆτι.
τὸν δ' ὡc οὖν ἐνόηcεν ἀρηίφιλοc Μενέλαοc
ἐρχόμενον προπάροιθεν ὁμίλου, μακρὰ βιβῶντα,
ὥc τε λέων ἐχάρη μεγάλῳ ἐπὶ cώματι κύρcαc,
εὑρὼν ἢ ἔλαφον κεραὸν ἢ ἄγριον αἶγα,
πεινάων· μάλα γάρ τε κατεcθίει, εἴ περ ἂν αὐτὸν
cεύωνται ταχέεc τε κύνεc θαλεροί τ' αἰζηοί·
ὣc ἐχάρη Μενέλαοc Ἀλέξανδρον θεοειδέα
ὀφθαλμοῖcιν ἰδών· φάτο γὰρ τίcεcθαι ἀλείτην·
αὐτίκα δ' ἐξ ὀχέων cὺν τεύχεcιν ἆλτο χαμᾶζε.
τὸν δ' ὡc οὖν ἐνόηcεν Ἀλέξανδροc θεοειδὴc
ἐν προμάχοιcι φανέντα, κατεπλήγη φίλον ἦτορ·
ἂψ δ' ἑτάρων εἰc ἔθνοc ἐχάζετο κῆρ' ἀλεείνων.

V. l. 12 τόccόν A. τίc τ': τιc D. ἐπιλεύcει CDE. ὅcον ἐπὶ S. ὅccον ἐπὶ D. ἐπι A. λάαν DG. ῖηcιν A. ἵηcιν D. — 13 ώc A. ποcὶ D. κονίcαλοc ACDGH Lips. Townl.: κονίccαλοc EL. ὄρνυτ' L Et. Mg. 19, 55. — 14 διέπρηcον CL. — 15 οἳ δ' D. οἵδ' CGHL. ἐπαλλήλοιcιν A. — 16 τρωcὶ L. τρωcὶ DG Schol. H 8. τοῖcιν μὲν E. — 17 παρδαλίην S. — 18 δ ACDGHL Cram. Epim. 108, 21. Et. Mg. 289, 29. — 19 προκαλλίζετο D. — 22 βιβῶντα ACDE 374, 7; 375, 32 GHLS Et. Mg. 197, 22; 574, 23. Et. Gud. 378, 8: recentiores βιβάντα, quod omni caret librorum auctoritate. — 23 ὥc τε DGHL: ceteri ὥcτε. ἐπι L. — 26 cεύονται DL Et. Gud. 214, 18. — 27 ώc A. θεοειδῆ C. — 28 τίcεcθαι AG: τίcαcθαι CDHLS Et. Or. 32, 10. ἀλείτην: ἀλίτην Et. Or. 32, 10. — 29 ἆλτο C. ἄλτο S. χαμᾶζε A: χαμάζε CDGHL. — 31 κατεπλήγη: κατεπλάγη C 1. man. HL.

A. c. 13 κονίcαλοc: Ἀριcτοφάνηc γράφει κονιcάλου Schol. BL. — 18 αὐτὰρ δ δοῦρε: αὐτὰρ δοῦρε Aristarchus, Aristophanes, Zenodotus (teste Schol BL), Callistratus, Ixion, αἱ χαριέcτεραι. — 19 Ζηνόδοτοc ἠθέτηκε Schol. A. — 19, 20 ἀθετοῦνται ἀμφότεροι Aristonicus. — 20 Aristarchus δηιοτῆτι: alii δηιότητι, conf. Zonar. Lex. 499. — 22 βιβῶντα, conf. N 807, λ 539, ο 255, H. T. 215 — 28 τίcεcθαι: τίcαcθαι cf. Γ 366, υ 121. Aristarchus ἀλείτην: ἀλείταc Zenodotus (cf. υ 121). de scriptura ἀλίτην vide H. T. 184. — 29 χαμᾶζε Herodianus, non χαμάζε.

ὡc δ' ὅτε τίc τε δράκοντα ἰδὼν παλίνορcοc ἀπέcτη
οὔρεοc ἐν βήccῃc, ὑπό τε τρόμοc ἔλλαβε γυῖα,
ἂψ δ' ἀνεχώρηcεν, ὦχρόc τέ μιν εἷλε παρειάc,
ὣc αὖτιc καθ' ὅμιλον ἔδυ Τρώων ἀγερώχων
δείcαc Ἀτρέοc υἱὸν Ἀλέξανδροc θεοειδήc.
τὸν δ' Ἕκτωρ νείκεccεν ἰδὼν αἰcχροῖc ἐπέεccι·
Δύcπαρι, εἶδοc ἄριcτε, γυναιμανέc, ἠπεροπευτά,
αἴθ' ὄφελεc ἄγονόc τ' ἔμεναι ἄγαμόc τ' ἀπολέcθαι.
καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον ἦεν,
ἢ οὕτω λώβην τ' ἔμεναι καὶ ὑπόψιον ἄλλων.
ἦ που καγχαλόωcι κάρη κομόωντεc Ἀχαιοὶ
φάντεc ἀριcτῆα πρόμον ἔμμεναι, οὕνεκα καλὸν
εἶδοc ἔπ', ἀλλ' οὐκ ἔcτι βίη φρεcὶν οὐδέ τιc ἀλκή·
ἦ τοιόcδε ἐὼν ἐν ποντοπόροιcι νέεccι
πόντον ἐπιπλώcαc, ἑτάρουc ἐρίηραc ἀγείραc,
μιχθεὶc ἀλλοδαποῖcι γυναῖκ' εὐειδέ' ἀνῆγεc
ἐξ ἀπίηc γαίηc, νυὸν ἀνδρῶν αἰχμητάων,
πατρί τε cῷ μέγα πῆμα πόληί τε παντί τε δήμῳ,
δυcμενέcιν μὲν χάρμα, κατηφείην δὲ coὶ αὐτῷ;
οὐκ ἂν δὴ μείνειαc ἀρηίφιλον Μενέλαον;
γνοίηc χ', οἵου φωτὸc ἔχειc θαλερὴν παράκοιτιν.
οὐκ ἄν τοι χραίcμῃ κίθαριc τά τε δῶρ' Ἀφροδίτηc,

V. l. 33 τε omitt. GHL Rhet. Gr. III, 240, 13; 25. — 34 βήccηc' L Cant. βήcηc D Townl. βήccαιc G. ἔλαβε D. — 35 ἂψ δ' ACDE bis GHL Eton.: vulgo ἄψ τ', quod in nullo codice repperi. — 36 ὣc δ' Rhet. Gr. III, 222, 12. ώc A. αὖθιc CDH Rhet. Gr. III, 201, 22. αὖθιc ἢ αὖτιc E 377, 11. τρῴων CGL. — 37 ἀτρέ^{o}ωc C. ἀτρέωc D. — 38 ἐπέεccι CE. — 39 ἠπεροπεύτα G. — 40 ὄφελέc τ' S. ἔμμεναι DGH. — 41 πολυκέρδιον C. — 42 ἔμμεναι DGH. — 43 ἤ D. εἴ που παγκαλόωcι Bekk. Anecd. 1148. κάρη κομόωντεc A: ceteri καρηκομόωντεc. — 44 καλλόν G. — 45 ἔπ' omnes libri mei. οὔτέ τιc D. — 46 ἦ: ἢ CL. νέεccι ACEGH. — 47 ἀρίηραc Barocc. Eton. — 51 δυcμενέcι DH. δυcμενέεccι CG. κατηφίην D. δέ coι CDEL. — 53 γνοίηc θ' Eton. Vrat. A. — 54 ἄν τι E. ἄν coι L.

A. c. 35 παρειάc Aristophanes et Aristarchus: παρειά altera Aristarchi (?). παρειά δυϊκῶc Ixio, cui adversatur Ptolem. Ascalonita. παρηά Dion. Sidonius, cf. H. T. 332. — 40 post hunc „μηδέ τι γούναcιν οἷcιν ἐφέccαcθαι φίλον υἱόν" (I 455) Dionysius Scythobrachion apud Eust. 380, 30. — 42 ὑπόψιον: ἐπόψιον Aristophanes. — 43 ἦ Herodianus. — 46 ἦ Herodianus et Nicanor: alii ἤ. — 51 κατηφείην Aristarchus, Aristophanes, Sosigenes, Argolica, αἱ χαριέcταται: κατηφείῃ Zenodotus. — 54 κίθαριc: τινὲc μετέγραψαν κίδαριc Aristonicus, conf. Eust. 381, 13.

ἥ τε κόμη τό τε εἶδος, ὅτ᾽ ἐν κονίῃςι μιγείης.
ἀλλὰ μάλα Τρῶες δειδήμονες· ἦ τέ κεν ἤδη
λάινον ἕςςο χιτῶνα κακῶν ἕνεχ᾽, ὅςςα ἔοργας.
τὸν δ᾽ αὖτε προςέειπεν Ἀλέξανδρος θεοειδής·
Ἕκτορ, ἐπεί με κατ᾽ αἶςαν ἐνείκεςας οὐδ᾽ ὑπὲρ αἶςαν,
αἰεί τοι κραδίη πέλεκυς ὥς ἐςτιν ἀτειρής,
ὅς τ᾽ εἶςιν διὰ δουρὸς ὑπ᾽ ἀνέρος, ὅς ῥά τε τέχνῃ
νήιον ἐκτάμνῃςιν, ὀφέλλει δ᾽ ἀνδρὸς ἐρωήν·
ὥς ςοὶ ἐνὶ ςτήθεςςιν ἀτάρβητος νόος ἐςτί.
μή μοι δῶρ᾽ ἐρατὰ πρόφερε χρυςέης Ἀφροδίτης·
οὔ τοι ἀπόβλητ᾽ ἐςτὶ θεῶν ἐρικυδέα δῶρα,
ὅςςά κεν αὐτοὶ δῶςιν, ἑκὼν δ᾽ οὐκ ἄν τις ἕλοιτο.
νῦν αὖτ᾽, εἴ μ᾽ ἐθέλεις πολεμίζειν ἠδὲ μάχεςθαι,
ἄλλους μὲν κάθιςον Τρῶας καὶ πάντας Ἀχαιούς,
αὐτὰρ ἔμ᾽ ἐν μέςςῳ καὶ ἀρηίφιλον Μενέλαον
ςυμβάλετ᾽ ἀμφ᾽ Ἑλένῃ καὶ κτήμαςι πᾶςι μάχεςθαι.
ὁππότερος δέ κε νικήςῃ κρείςςων τε γένηται,
κτήμαθ᾽ ἑλὼν εὖ πάντα γυναῖκά τε οἴκαδ᾽ ἀγέςθω·
οἱ δ᾽ ἄλλοι φιλότητα καὶ ὅρκια πιςτὰ ταμόντες
ναίοιτε Τροίην ἐριβώλακα, τοὶ δὲ νεέςθων
Ἄργος ἐς ἱππόβοτον καὶ Ἀχαιίδα καλλιγύναικα.
ὣς ἔφαθ᾽, Ἕκτωρ δ᾽ αὖτε χάρη μέγα μῦθον ἀκούςας,
καί ῥ᾽ ἐς μέςςον ἰὼν Τρώων ἀνέεργε φάλαγγας
μέςςου δουρὸς ἑλών· τοὶ δ᾽ ἱδρύνθηςαν ἅπαντες.
τῷ δ᾽ ἐπετοξάζοντο κάρη κομόωντες Ἀχαιοὶ

V. L. 56 τρῷες GH. δειλήμονες D. ἦ τέ κεν D. ἦ ῥά κεν G. — 57 ἕςςο D. — 61 ὅς τ᾽: ὃς G. εἶςι DG. ὑπανέρος A. — 63 ὥς τοι EGL. ἐνὶ: ἐν E. ἐςτί ACG. — 64 χρυςῆς ACDEGHLS Schol. Κ 479. — 65 οὔ τοι: οὔτι DGS. — 66 ὅςςά κεν AC. — 67 με θέλεις DL. — 67 Τρῶας κάθιςον Et. Mg. 483, 18. τρῷας G. — 70 ςυμβάλλετ᾽ G. ἑλένην D. — 71 κρείςςών D. — 72 ἄγεςθαι H Vrat. c. — 75 ἀχαΐδα L. — 76 * αὖτε χάρη: libri αὖτ᾽ ἐχάρη. — 77 καί ῥ᾽: ὅ ῥ᾽ S. μέςον G. τρῴων GL. — 78 abest a cod. A. μέςον (c suprascr.) G. τοὶ δ᾽: οἵδ᾽ H. ἱδρύνθηςαν D. ἱδρύθηςαν H. — 79 κάρη κομόωντες A: ceteri καρηκομόωντες.

A. c. 55 μιγείης, conf. G. Hermann. Opusc. II, 34. — 56 δειδήμονες: Zenodotus ἐλεήμονες, conf. Schol. Γ 453, Η 390. — 57 ἕςςο Aristarchus, Aristophanes, Zenodotus: videntur alii εἶςο scripsisse. — 64 χρυςέης: χρυςῆς, χρυςῇ fere omnibus locis in libris occurrunt (vide indicem editionis Odysseae p. 352), vitio librariorum, qui formas orationis solutae poëticis substituerunt. — 71 κρείςςων: κρείςςω Zenodotus. — 74 ναίοιτε: ναίοιμεν Zenodotus. — 76 αὖτε χάρη, conf. H. U. 99 sq.

ἰοῖςίν τε τιτυςκόμενοι, λάεςςί τ᾽ ἔβαλλον.
αὐτὰρ ὃ μακρὸν ἄυςεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
ἴςχεςθ᾽ Ἀργεῖοι· μὴ βάλλετε κοῦροι Ἀχαιῶν·
ςτεῦται γάρ τι ἔπος ἐρέειν κορυθαίολος Ἕκτωρ.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἔςχοντο μάχης ἄνεῴ τε γένοντο
ἐςςυμένως. Ἕκτωρ δὲ μετ᾽ ἀμφοτέροιςιν ἔειπε·
κέκλυτέ μευ Τρῶες καὶ ἐυκνήμιδες Ἀχαιοὶ
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρεν.
ἄλλους μὲν κέλεται Τρῶας καὶ πάντας Ἀχαιοὺς
τεύχεα κάλ᾽ ἀποθέςθαι ἐπὶ χθονὶ πουλυβοτείρῃ,
αὐτὸν δ᾽ ἐν μέςςῳ καὶ ἀρηίφιλον Μενέλαον
οἴους ἀμφ᾽ Ἑλένῃ καὶ κτήμαςι πᾶςι μάχεςθαι.
ὁππότερος δέ κε νικήςῃ κρείςςων τε γένηται,
κτήμαθ᾽ ἑλὼν εὖ πάντα γυναῖκά τε οἴκαδ᾽ ἀγέςθω·
οἱ δ᾽ ἄλλοι φιλότητα καὶ ὅρκια πιςτὰ τάμωμεν.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο ςιωπῇ.
τοῖςι δὲ καὶ μετέειπε βοὴν ἀγαθὸς Μενέλαος·
κέκλυτε νῦν καὶ ἐμεῖο· μάλιςτα γὰρ ἄλγος ἱκάνει
θυμὸν ἐμόν· φρονέω δὲ διακρινθήμεναι ἤδη
Ἀργείους καὶ Τρῶας, ἐπεὶ κακὰ πολλὰ πέποςθε
εἵνεκ᾽ ἐμῆς ἔριδος καὶ Ἀλεξάνδρου ἕνεκ᾽ ἀρχῆς.
ἡμέων δ᾽ ὁπποτέρῳ θάνατος καὶ μοῖρα τέτυκται,

V. L. 80 ἰοῖςι DGH Schol. Θ 347, Φ 50. τε omitt. CDG. — 81 ὃ ACDGHL. — 83 τι: τοι Eust. 299, 14. — 84 οἳ δ᾽ D. οἵδ᾽ CHL. ἄνεῳ AE 387, 36; 43; 46 GLS. — 85 ἔειπε CGH. — 86 τρῷες G. εὐκνήμιδες CDGL. post hunc addunt ὄφρ᾽ εἴπω, τά με θυμὸς ἐνὶ ςτήθεςςι κελεύει CG Barocc. Cant. Mor. Lips. Townl. Harl. Eton., conf. Θ 6. — 88 τρῷας G. — 89 ἐπι A. πολυβοτείρῃ D. — 90 ἐς μέςςον Vrat. a. — 91 οἴους δ᾽ D. — 92 κρείςςων τὲ AD. κρείττων L Schol. Γ 457. Plutarchus Quaest. conv. 9, 13, 1 huic versui substituit eum, qui legitur 255. — 93 γυναῖκάδε H. — 94 τάμοιμεν G. — 95 ὡς A. οἳ δ᾽ D. οἵδ᾽ CL. — 97 ἐμοῖο H Cant. Vrat. b. — 98 διακριθήμεναι C 1. man. DGL. ἤδη: ἄμφω S Cant. Harl. — 99 τρῷας GL. πολλὰ κακὰ D. πέποςθε (α suprascr.) A. πέποιςθε S. — 100 ἐμεῖο ἔριδος G. εἵνεκ᾽ DH. — 101 ὁποτέρω L. τετύκτω D.

A. c. 84 ἄνεῳ: ἄνεω Apollonius cum Aristarcho, cf. H. T. 191. — 92 Aristarchus κρείςςων: κρείςςω Zenodotus ut 71. — 99 Aristarchus Ἀργείους καὶ Τρῶας: Ἀργεῖοι καὶ Τρῶες Zenodotus. Herodianus πέποςθε: πέπαςθε Aristarchus, cf. H. T. 336. — 100 Aristarchus ἀρχῆς: ἄτης Zenodotus, conf. Schol. Ω 28.

τεθναίη· ἄλλοι δὲ διακρινθεῖτε τάχιστα.
οἴcετε δ᾽ ἄρν᾽, ἕτερον λευκόν, ἑτέρην δὲ μέλαιναν,
γῇ τε καὶ ἠελίῳ· Διὶ δ᾽ ἡμεῖc οἴcομεν ἄλλον.
ἄξετε δὲ Πριάμοιο βίην, ὄφρ᾽ ὅρκια τάμνῃ
αὐτόc, ἐπεί οἱ παῖδεc ὑπερφίαλοι καὶ ἄπιcτοι,
μή τιc ὑπερβαcίῃ Διὸc ὅρκια δηλήcηται.
αἰεὶ δ᾽ ὁπλοτέρων ἀνδρῶν φρένεc ἠερέθονται·
οἷc δ᾽ ὁ γέρων μετέῃcιν, ἅμα πρόccω καὶ ὀπίccω
λεύccει, ὅπωc ὄχ᾽ ἄριcτα μετ᾽ ἀμφοτέροιcι γένηται.
ὣc ἔφαθ᾽, οἱ δ᾽ ἐχάρηcαν Ἀχαιοί τε Τρῶέc τε
ἐλπόμενοι παύcαcθαι ὀϊζυροῦ πολέμοιο.
καί ῥ᾽ ἵππουc μὲν ἔρυξαν ἐπὶ cτίχαc, ἐκ δ᾽ ἔβαν αὐτοί,
τεύχεά τ᾽ ἐξεδύοντο, τὰ μὲν κατέθεντ᾽ ἐπὶ γαίῃ
πληcίον ἀλλήλων, ὀλίγη δ᾽ ἦν ἀμφὶc ἄρουρα.
Ἕκτωρ δὲ προτὶ ἄcτυ δύω κήρυκαc ἔπεμπε
καρπαλίμωc ἄρνάc τε φέρειν Πρίαμόν τε καλέccαι.
αὐτὰρ ὃ Ταλθύβιον προΐει κρείων Ἀγαμέμνων
νῆαc ἔπι γλαφυρὰc ἰέναι, ἠδ᾽ ἄρνα κέλευεν

V. l. 102 τεθναίῃ G. τεθνέῃ D. διακριθεῖτε GL Schol. Ω 264. διακριθῆτε C Vrat. a. διακρινθῆτε Barocc. Eton. Vrat. A. Pseudoplut. 106, 44. διακρίνθητε Bekk. An. 1266. διακριθείητε D, conf. ω 531. — 103 οἴcεται δ᾽ ἄρνα H. οἴcετε δ᾽ Suidas I, 1, 237, 2. οἴcατε Zonar. Lex. 1436. ἕτερον μὲν λευκὸν G. — 105 ἄξατε G. τάμῃ H. τάμνοι Apoll. Lex. 150, 17. — 108 ἀεὶ G. — 109 μετέειcιν C. πρόcω καὶ ὀπίcω E. — 110 λεύcει D. μεταμφοτέροιcι A. — 111 ὡc A. οἳ δ᾽ DL. οἵδ᾽ CH. τρῷεc τε CG. — 112 εὐχόμενοι H et supra γρ. ἐλπό. παύcαcθαι ACDEGHLS Barocc. Cant. Lips. Vrat. a. A. Townl. Eton. Mosc. 1. 3. Schol. B 12: vulgo παύcεcθαι. — 113 ἔρυξαν: ἔρυcαν S. — 116 προτι A. πρὸ τὶ H. ἔπεμπε ADH. ἔπεμψε CGS Lips. Townl. Eton. Vrat. a. A. — 117 ἀρνάc τε AC. ἄρναc τὲ D. καλέcαι G. — 118 ὁ ACDGHL. — 119 ἔπι: ἐπὶ ACDGHL. * ἄρνα κέλευεν: vulgo ἄρν᾽ ἐκέλευεν cum AH. ἄρν᾽ ἐκέλευcεν CDGLS Cant. Barocc. Lips. Vrat. a. b. A. Eton. Mosc. 1. Athenaeus XIV, 660.

A. c. 102 διακρινθεῖτε διὰ διφθόγγου ἐν τοῖc ἀκριβεcτέροιc τῶν ἀντιγράφων φέρει τὴν παραλήγουcαν Eust. 388, 26. cf. Et. Mg. 267, 36. — 103 οἴcετε Aristarchus, ut 105 ἄξετε. — 108—110 ἀθετοῦνται Aristonicus. — 112 παύcαcθαι librorum optimorum auctoritate ita firmatur, ut ab iis recedere nisi gravissimis de causis non liceat. Sed nostro loco nulla est causa, cur auctoritatem librorum deseramus (ἔλπομαι enim non solum aoristo iungitur, si quid iam factum esse creditur, sed etiam si quid tam certe exspectatur, ut paene factum esse existimare possis), quin etiam aoristus esset praeferendus, si libri meliores in hac scriptura non ita consentirent, sicut Γ 98 φρονέω δὲ διακρινθήμεναι ἤδη, Γ 366 ἦ τ᾽ ἐφάμην τίcαcθαι Ἀλέξανδρον κακότητοc, υ 121 φάτο γὰρ τίcαcθαι ἀλείταc.

οἰcέμεναι· ὃ δ᾽ ἄρ᾽ οὐκ ἀπίθηc᾽ Ἀγαμέμνονι δίῳ.
Ἶριc δ᾽ αὖθ᾽ Ἑλένῃ λευκωλένῳ ἄγγελοc ἦλθεν,
εἰδομένη γαλόῳ, Ἀντηνορίδαο δάμαρτι,
τὴν Ἀντηνορίδηc εἶχε κρείων Ἑλικάων,
Λαοδίκην, Πριάμοιο θυγατρῶν εἶδοc ἀρίcτην.
τὴν δ᾽ εὗρ᾽ ἐν μεγάρῳ· ἣ δὲ μέγαν ἱcτὸν ὕφαινε
δίπλακα πορφυρέην, πολέαc δ᾽ ἐνέπαccεν ἀέθλουc
Τρώων θ᾽ ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων,
οὓc ἕθεν εἵνεκ᾽ ἔπαcχον ὑπ᾽ Ἄρηοc παλαμάων,
ἀγχοῦ δ᾽ ἱcταμένη προcέφη πόδαc ὠκέα Ἶριc·
δεῦρ᾽ ἴθι νύμφα φίλη, ἵνα θέcκελα ἔργα ἴδηαι
Τρώων θ᾽ ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων·
οἳ πρὶν ἐπ᾽ ἀλλήλοιcι φέρον πολύδακρυν ἄρηα
ἐν πεδίῳ, ὀλοοῖο λιλαιόμενοι πολέμοιο,
οἳ δὴ νῦν ἕαται cιγῇ, πόλεμοc δὲ πέπαυται,
ἀcπίcι κεκλιμένοι, παρὰ δ᾽ ἔγχεα μακρὰ πέπηγεν.
αὐτὰρ Ἀλέξανδροc καὶ ἀρηΐφιλοc Μενέλαοc
μακρῇc ἐγχείῃcι μαχήcονται περὶ cεῖο·
τῷ δέ κε νικήcαντι φίλη κεκλήcῃ ἄκοιτιc.
ὣc εἰποῦcα θεὰ γλυκὺν ἵμερον ἔμβαλε θυμῷ
ἀνδρόc τε προτέροιο καὶ ἄcτεοc ἠδὲ τοκήων.
αὐτίκα δ᾽ ἀργεννῇcι καλυψαμένη ὀθόνῃcιν
ὡρμᾶτ᾽ ἐκ θαλάμοιο, τέρεν κατὰ δάκρυ χέουcα,
οὐκ οἴη, ἅμα τῇ γε καὶ ἀμφίπολοι δύ᾽ ἕποντο,

V. l. 120 ὁ GL. ὅδ᾽ CDH. ἄρ᾽ omitt. D. ἂρ HL. — 121 ἦλθε D. — 122 ἀντϊνορίδαο D. ἀντηνορείδαο G. — 123 εἶχε omnes. ἐλικάων D. — 125 ἣ Athenaeus V, 191. ἠδὲ μέγαν G. ὕφαινε ACEGH Athenaeus. — 126 μαρμαρέην ACDE 392, 30; 393, 2 GHS Athenaeus. Schol. Theocr. XV, 34: πορφυρέην L. πολέαc: πολλοὺc Schol. Theocr. II, 18. Apoll. Lex. 129, 1. — 127 τρῴων GL. — 128 οὓc, ἕθεν A. οὓc ἕθεν CDEGHL Athenaeus V, 191. Apoll. Lex. 63, 11. Et. Mg. 124, 11. Schol. A 114. ὑπὲρ ἄρηοc D. — 131 τρῴων CGL. — 133 πτολέμοιο S. — 134 οἳ GH. ἕαται A. πόλεμόcδε D. — 135 παρα AGH. — 137 μακρῇc᾽ D. μακροῖc ἐγχείοιcι G. — 138 τῶ δέ γε L. γυνὴ: γρ. φίλη H. — 139 ὡc A. ἵμερον A. — 140 προτεροῦ E. — 141 ἀργενῇcϊ DG. — 142 κατα ACDL. κατὰ, δάκρυ χέουcα S. — 143 τῇ γε: τῇδε S Cant.

A. c. 122 γαλόῳ Trypho et Herodianus, conf. Eust. 391, 43. Et. Mg. 220, 9. Cram. Epim. 100, 25. — 126 πορφυρέην Aristarchus, Aristophanes, Zenodotus. — 128 οὗc ἑθεν Herodianus, sed conf. Il. Pros. A 114, ubi οὓc ἕθεν scribi iubet, vid. H. T. 236.

Αἴθρη, Πιτθῆος θυγάτηρ, Κλυμένη τε βοῶπις.
αἶψα δ᾽ ἔπειθ᾽ ἵκανον ὅθι Ϲκαιαὶ πύλαι ἦϲαν.
οἱ δ᾽ ἀμφὶ Πρίαμον καὶ Πάνθοον ἠδὲ Θυμοίτην
Λάμπόν τε Κλυτίον θ᾽ Ἱκετάονά τ᾽, ὄζον Ἄρηος,
Οὐκαλέγων τε καὶ Ἀντήνωρ, πεπνυμένω ἄμφω,
εἵατο δημογέροντες ἐπὶ Ϲκαιῇϲι πύληϲι,
γήραϊ δὴ πολέμοιο πεπαυμένοι, ἀλλ᾽ ἀγορηταὶ
ἐϲθλοί, τεττίγεϲϲιν ἐοικότες, οἵ τε καθ᾽ ὕλην
δενδρέῳ ἐφεζόμενοι ὄπα λειριόεϲϲαν ἱεῖϲι.
τοῖοι ἄρα Τρώων ἡγήτορες ἦντ᾽ ἐπὶ πύργῳ.
οἱ δ᾽ ὡϲ οὖν εἴδονθ᾽ Ἑλένην ἐπὶ πύργον ἰοῦϲαν,
ἦκα πρὸϲ ἀλλήλουϲ ἔπεα πτερόεντ᾽ ἀγόρευον·
οὐ νέμεϲιϲ Τρῶαϲ καὶ ἐυκνήμιδαϲ Ἀχαιοὺϲ
τοιῇδ᾽ ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάϲχειν·
αἰνῶϲ ἀθανάτῃϲι θεῇϲ εἰϲ ὦπα ἔοικεν·
ἀλλὰ καὶ ὧϲ, τοίη περ ἐοῦϲ᾽, ἐν νηυϲὶ νεέϲθω,
μὴ δ᾽ ἡμῖν τεκέεϲϲί τ᾽ ὀπίϲϲω πῆμα λίποιτο.
ὣϲ ἄρ᾽ ἔφαν, Πρίαμοϲ δ᾽ Ἑλένην ἐκαλέϲϲατο φωνῇ·
δεῦρο πάροιθ᾽ ἐλθοῦϲα φίλον τέκοϲ ἵζευ ἐμεῖο,

V. ι. 144 τὲ C. — 146 οἵδ᾽ H: ceteri οἱ δ᾽. ἀμφι A. — 147 λάμπόν τε AD. λάμποντα G. Κλυτίον ACDEG: κλύτιόν HL. — 148 οὐκαλέγων L. τὲ C. τε omitt. G. — 149 εἵατο CD. ϲκαιαῖϲϊ πυλαῖϲϊ G. πύληϲι CDH. — 150 γέραι S. γρ. καὶ γήρεϊ ὡϲ οὔδεϊ A. δὴ: δὲ G. — 152 δενδρέῳ ACDEGH. δένδρῳ L. δένδρει Diog. Laert. III, 9. ἑζόμενοι S Cant. λυριόεϲϲαν G. ἱεῖϲι GH Diog. Laert. III, 9. Bachm. Anecd. II, 180, 12. ἱεῖϲι D. ἱεῖϲιν L. ϊεῖϲιν A. ἱεῖϲιν CEG Schol. Λ 270. — 153 τοῖοι: τοῖϲιν G. τρῴων GL. ἧντ᾽: ἥντ᾽ D. εἶντ᾽ G. ἔπι A. — 154 οἳ δ᾽ CHL Apoll. Lex. 137, 33. εἴδονθ᾽ ACHL Harl. Vrat. a. A. ἴδονθ᾽ D. εἶδον θ᾽ S: εἶδον G Apoll. Lex. 137, 33. Hesych. IV, 335. Et. Mg. 697, 36, conf. Θ 251. — 155 ἧκα G. — 156 τρῷαϲ G. τρῶαϲ τε καὶ HL. εὐκνήμϊδαϲ CDGHL. — 157 τοίηδ᾽ D. — 158 ἀθανάτῃϲι Athen. V, 188; XIII, 566. Et. Mg. 36, 6. θεῇϲ ACE 148, 32 L Athen. V, 188; XIII, 566. Et. Mg. 36, 6. Bekk. An. 8, 31. Rhet. Gr. II, 390, 7. Schol. ρ 24. θεῇϲ᾽ DH: θεαῖϲ G Eust. 397, 9; 33; 1369, 8. Schol. Τ 282. Cram. Epim. 218, 32. ἔοικεν: ἐῴκει L Eust. 1369, 8. — 159 ὦϲ A: ceteri ὧϲ. ἐοῦϲα D. — 160 μὴ δ᾽ ACDL. μὴ G: ceteri μηδ᾽. ὀπίϲω E. λίπηται E 398, 8 L. — 161 ὡϲ A. ἄρ DG. ἐκαλέϲϲατο: καλέϲϲατο CD. καλέϲατο G. — 162 ἵζευ D. ἵζου G. ἐμοῖο S.

A. c. 144 ἀθετεῖται Aristonicus, conf. Schol. Η 9, 10. — 147 Κλυτίον, conf. H. T. 399. — 152 δενδρέῳ Aristarchus: Zenodotus δένδρει. — 155 ἦκα: ὦκα Zenodotus et Crates. — 157 τοιῇδ᾽ Herodianus, conf. Et. Mg. 416, 21: τοίῃδ᾽ Schol. V ad Ω 15. — 158 θεῇϲ: θεαῖϲ, cf. H. T. 279. — 159 ὦϲ Herodianus, vide Α 116.

ὄφρα ἴδῃ πρότερόν τε πόϲιν πηούϲ τε φίλουϲ τε·
οὔ τί μοι αἰτίη ἐϲϲί, θεοί νύ μοι αἴτιοί εἰϲιν,
οἵ μοι ἐφώρμηϲαν πόλεμον πολύδακρυν Ἀχαιῶν·
ὥϲ μοι καὶ τόνδ᾽ ἄνδρα πελώριον ἐξονομήνῃϲ,
ὅϲ τιϲ ὅδ᾽ ἐϲτὶν Ἀχαιὸϲ ἀνὴρ ἠύϲ τε μέγαϲ τε.
ἤ τοι μὲν κεφαλῇ καὶ μείζονεϲ ἄλλοι ἔαϲι·
καλὸν δ᾽ οὕτω ἐγὼν οὔ πω ἴδον ὀφθαλμοῖϲιν,
οὐδ᾽ οὕτω γεραρόν· βαϲιλῆι γὰρ ἀνδρὶ ἔοικε.
τὸν δ᾽ Ἑλένη μύθοιϲιν ἀμείβετο, δῖα γυναικῶν·
αἰδοῖόϲ τέ μοί ἐϲϲι φίλε ἑκυρὲ δεινόϲ τε·
ὡϲ ὄφελεν θάνατόϲ μοι ἁδεῖν κακόϲ, ὁππότε δεῦρο
υἱέι ϲῷ ἑπόμην θάλαμον γνωτούϲ τε λιποῦϲα
παῖδά τε τηλυγέτην καὶ ὁμηλικίην ἐρατεινήν.
ἀλλὰ τά γ᾽ οὐκ ἐγένοντο· τὸ καὶ κλαίουϲα τέτηκα.
τοῦτο δέ τοι ἐρέω, ὅ μ᾽ ἀνείρεαι ἠδὲ μεταλλᾷϲ·
οὗτόϲ γ᾽ Ἀτρείδηϲ, εὐρὺ κρείων Ἀγαμέμνων,
ἀμφότερον, βαϲιλεύϲ τ᾽ ἀγαθὸϲ κρατερόϲ τ᾽ αἰχμητήϲ·
δαὴρ αὖτ᾽ ἐμὸϲ ἔϲκε κυνώπιδοϲ, εἴ ποτ᾽ ἔην γε.
ὣϲ φάτο, τὸν δ᾽ ὁ γέρων ἠγάϲϲατο φώνηϲέν τε·
ὦ μάκαρ Ἀτρείδη, μοιρηγενέϲ, ὀλβιόδαιμον,
ἦ ῥά νύ τοι πολλοὶ δεδμήατο κοῦροι Ἀχαιῶν.
ἤδη καὶ Φρυγίην εἰϲήλυθον ἀμπελόεϲϲαν,
ἔνθα ἴδον πλείϲτουϲ Φρύγαϲ ἀνέραϲ, αἰολοπώλουϲ,

V. ι. 163 ἴδῃ ADHL Schol. Ε 695, α 238: ἴδῃϲ CE 398, 43 GS. τὸ δὲ ἴδῃϲ γρ. καὶ ἴδῃ Eust. 398, 44. — 164 οὔ τί μοι A Bekk. An. 826, 12; 828, 17; 829, 6. Eust. 70, 16: vulgo οὔτι μοι. αἴτιοι εἰϲὶν GL. — 166 ἐξονομήνηϲ Et. Gud. 182, 12. — 167 ἀχαιῶν (οϲ) D. — 168 ἔαϲι CGH. — 169 εἶδον ὀφθαλμοῖϲ H. — 170 δὲ ἀνδρὶ Athen. XIII, 566. ἔοικε CG. — 172 δέ μοί Apoll. Lex. 57, 22. μοι ἐϲϲὶ ACDEGHL Et. Mg. 29, 25; 324, 53. Eust. 873, 10; 1357, 50. Apoll. Lex. 15, 8. — 173 ἀδεῖν E bis GL. ἄδδειν D. — 174 γνωϲτούϲ D. — 175 ὁμιλικίην D. — 177 μεταλᾶϲ D. — 178 οὗτοϲ δ᾽ Apoll. de Synt. 73, 12. γ᾽ omitt. G. εὐρὺ κρείων A: ceteri εὐρυκρείων. — 179 κρατερὸϲ αἰχμητήϲ D. — 181 ὡϲ A. φᾶτο D. ἠγάϲατο DG Et. Mg. 614, 5. — 182 μοιριγενὲϲ D Zonar. Lex. 458. — 183 ἢ D. ῥὰ DH. — 184 ἐϲήλυθον H. — 185 ἔνθ᾽ εἶδον E. φρύγαϲ, ἀνέραϲ A. ἀνέρεϲ (αϲ) H. αἰοπώλουϲ G.

A. c. 163 ἴδῃ Aristarchus: ἴδῃϲ Zenodotus, vide Cram. Epim. 209, 16 et Aristonicum apud Schol. A ὅτι χωρὶϲ τοῦ ϲ̅ γράφειν ὁμηρικώτερον. — 176 τάγ᾽: διὰ τοῦ κ̅ε̅ ϲυνδέϲμου ϲυνάλειπται τάκε. γρ. δὲ καὶ τάγε Schol. A.

λαοὺϲ Ὀτρῆοϲ καὶ Μυγδόνοϲ ἀντιθέοιο,
οἵ ῥα τότ' ἐϲτρατόωντο παρ' ὄχθαϲ Ϲαγγαρίοιο·
καὶ γὰρ ἐγὼν ἐπίκουροϲ ἐὼν μετὰ τοῖϲιν ἐλέχθην
ἤματι τῷ, ὅτε τ' ἦλθον Ἀμαζόνεϲ ἀντιάνειραι·
ἀλλ' οὐδ' οἳ τόϲοι ἦϲαν, ὅϲοι ἑλίκωπεϲ Ἀχαιοί.
δεύτερον αὖτ' Ὀδυϲῆα ἰδὼν ἐρέειν' ὁ γεραιόϲ·
εἴπ' ἄγε μοι καὶ τόνδε φίλον τέκοϲ, ὅϲ τιϲ ὅδ' ἐϲτί·
μείων μὲν κεφαλῇ Ἀγαμέμνονοϲ Ἀτρεΐδαο,
εὐρύτεροϲ δ' ὤμοιϲιν ἰδὲ ϲτέρνοιϲιν ἰδέϲθαι.
τεύχεα μέν οἱ κεῖται ἐπὶ χθονὶ πουλυβοτείρῃ,
αὐτὸϲ δὲ κτίλοϲ ὣϲ ἐπιπωλεῖται ϲτίχαϲ ἀνδρῶν·
ἀρνειῷ μιν ἐγώ γε ἐίϲκω πηγεϲιμάλλῳ,
ὅϲ τ' οἰῶν μέγα πῶυ διέρχεται ἀργεννάων.
τὸν δ' ἠμείβετ' ἔπειθ' Ἑλένη Διὸϲ ἐκγεγαυῖα·
οὗτοϲ δ' αὖ Λαερτιάδηϲ, πολύμητιϲ Ὀδυϲϲεύϲ,
ὃϲ τράφη ἐν δήμῳ Ἰθάκηϲ κραναῆϲ περ ἐούϲηϲ,
εἰδὼϲ παντοίουϲ τε δόλουϲ καὶ μήδεα πυκνά.
τὴν δ' αὖτ' Ἀντήνωρ πεπνυμένοϲ ἀντίον ηὔδα·
ὦ γύναι, ἦ μάλα τοῦτο ἔποϲ νημερτὲϲ ἔειπεϲ·
ἤδη γὰρ καὶ δεῦρό ποτ' ἤλυθε δῖοϲ Ὀδυϲϲεὺϲ
ϲεῦ ἕνεκ' ἀγγελίηϲ ϲὺν ἀρηϊφίλῳ Μενελάῳ.
τοὺϲ δ' ἐγὼ ἐξείνιϲϲα καὶ ἐν μεγάροιϲι φίληϲα,
ἀμφοτέρων δὲ φυὴν ἐδάην καὶ μήδεα πυκνά.
ἀλλ' ὅτε δὴ Τρώεϲϲιν ἐν ἀγρομένοιϲιν ἔμιχθεν,
ϲτάντων μὲν Μενέλαοϲ ὑπείρεχεν εὐρέαϲ ὤμουϲ,

V. ι. 186 μυγδόνοϲ ACDEGH Cant. Mor. Lips. Vrat. A. Cram. An. Par. III, 348, 20. — 187 οἳ ῥὰ D. — 188 ἐλέχθην: ἐλέγμην Strabo XII, 552; XIV, 681. — 189 τ' omitt. G. — 190 οὐδ' οἳ ACDL: οὗτοι Philem. Lex. 26, 35. τοὶ G. τόϲϲοι D. — 191 αὖθ' C. ὀδυϲϲῆα DGH. — 192 εἶπ' D. ἐϲτί ACGH. — 193 κεφαλὴν H. — 194 ἠδὲ G. — 195 πολυβοτείρη D. — 196 κτῖλοϲ D. ὡϲ A. — 197 μιν: μὲν S. ἔγωγ' G. — 198 οἰῶν ACEL Et. Mg. 669, 22. Et. Gud. 465, 6. οἴων Et. Mg. 620, 23: vulgo ὀΐων. — 202 τὲ A. τε omitt. L. — 203 αὖτ': αὖ L Lips. ηὖδα D. — 204 ἔειπαϲ GL Mor. Barocc. Vrat. a. 1. man. Lips. 1. man. — 205 ἦλθε D. — 206 ϲεῦ, ἕνεκ' G. ἕνεκ', ἀγγελίηϲ A. — 207 τούϲδε δ' ἐγὼ ξείνιϲα L. ἐξείνιϲα G. — 208 ἀμφοτέρην Et. Mg. 179, 34. — 209 τρώεϲϲιν L. — 210 ὑπήρεχεν D.

A. c. 193 κεφαλῇ: κεφαλὴν Aristarchus. — 198 οἰῶν Ptolem. Ascalon. cum Aristarcho: ὀΐων Aristonicus, conf. Et. Mg. 620, 23. Eust. 403, 34. — 206 ϲεῦ: Zenodotus ϲῆϲ (vel ἧϲ), conf. Apoll. Lex. 7, 14.

ἄμφω δ' ἑζομένω γεραρώτεροϲ ἦεν Ὀδυϲϲεύϲ·
ἀλλ' ὅτε δὴ μύθουϲ καὶ μήδεα πᾶϲιν ὕφαινον,
ἦ τοι μὲν Μενέλαοϲ ἐπιτροχάδην ἀγόρευε
παῦρα μέν, ἀλλὰ μάλα λιγέωϲ, ἐπεὶ οὐ πολύμυθοϲ
οὐδ' ἀφαμαρτοεπήϲ, εἰ καὶ γένει ὕϲτεροϲ ἦεν.
ἀλλ' ὅτε δὴ πολύμητιϲ ἀναΐξειεν Ὀδυϲϲεύϲ,
ϲτάϲκεν, ὑπαὶ δὲ ἴδεϲκε κατὰ χθονὸϲ ὄμματα πήξαϲ,
ϲκῆπτρον δ' οὔτ' ὀπίϲω οὔτε προπρηνὲϲ ἐνώμα,
ἀλλ' ἀϲτεμφὲϲ ἔχεϲκεν, ἀΐδρεϊ φωτὶ ἐοικώϲ·
φαίηϲ κε ζάκοτόν τέ τιν' ἔμμεναι ἄφρονά τ' αὔτωϲ·
ἀλλ' ὅτε δὴ ὄπα τε μεγάλην ἐκ ϲτήθεοϲ εἵη
καὶ ἔπεα νιφάδεϲϲιν ἐοικότα χειμερίῃϲιν,
οὐκ ἂν ἔπειτ' Ὀδυϲῆΐ γ' ἐρίϲϲειε βροτὸϲ ἄλλοϲ·
οὐ τότε γ' ὧδ' Ὀδυϲῆοϲ ἀγαϲϲάμεθ' εἶδοϲ ἰδόντεϲ.
τὸ τρίτον αὖτ' Αἴαντα ἰδὼν ἐρέειν' ὁ γεραιόϲ·
τίϲ τ' ἄρ' ὅδ' ἄλλοϲ Ἀχαιὸϲ ἀνὴρ ἠΰϲ τε μέγαϲ τε,

V. ι. 211 ἑζομένων D Schol. Ψ 711. — 213 ἤτοι libri cum Apoll. de Synt. 267, 11; de Coni. 524, 29; de Adv. 551, 1. ἐπιτροχάδην C. ἀγόρευε ACEGHL. — 215 εἰ καὶ CDE 406, 30; 407, 17 GHLS Apoll. Lex. 82, 1. Cram. Epim. 184, 6: ἠ καὶ AE 407, 18 Townl. Eton. Schol. Α 219. Schol. Plat. Gorg. 469 B. Et. Mg. 415, 19; 37. Et. Gud. 250, 43. Cram. An. Par. III, 126, 4; 156, 29; 302, 17. Epim. 190, 7. ἢ Cram. Epim. 193. 15. ἦεν H. — 217 ὑπαι L. κατα A. — 218 ὀπίϲϲω D. — 219 ἀΐδρεϊ AGH: ἀΐδρει CE 406, 37; 407, 35 L Schol. Ν 69. Et. Mg. 42, 33. ἀΐδρι S Cant. Townl. Vrat. b. c. ἀΐδρϊ D. — 220 φαίηϲ G. κε: κεν ACDEGHL Schol. Ε 85. Draco de Metr. 43, 22. ζάκοτόν τέ τιν' ACDEGHL Lips. Barocc. Vrat. A. Townl. Mosc. 1. Schol. Ε 85: ζάκοτόν τινα S Draco de Metr. 43, 22. ἄμφρονα L. τ' αὔτωϲ CDEGL tres Vratt. Townl. Mosc. 1. τ' αὔτωϲ A. δ' αὔτωϲ H. θ' αὔτωϲ Macrob. Saturn. V, 14, 9. Draco de Metr. 43, 22. — 221 δὴ ὄπα ACDE 406, 31; 38 GHL Cant. Harl. Townl. Eton. Strabo I, 17. Gellius I, 15, 3. Schol. Λ 462, ι 491. τὲ AC. τὴν Schol. ι 491. εἵη Strabo I, 17. Gellius I, 15, 3. Cant. Harl. Townl. Eton. εἴη AD. ἵει G. ἵει CEHL Schol. Β 279. — 223 ὀδυϲῆϊ DGH. ἐρίϲειε CDEG. ἐρίϲϲειεν H. — 224 ὀδυϲϲῆοϲ DGH. ἀγαϲάμεθ' DG. — 226 τίϲ τ' ἆρ DEL. τίϲ ταρ A. τὶϲ γὰρ G.

A. c. 211 ἄμφω δ' ἑζομένω Aristarchus: ἑζομένων Zenodotus, conf. Schol. Ψ 711. — 215 ἢ et ἦ Nicanor: Herodianus ἤ. — 217 ὑπαὶ Herodianus, conf. ad Β 824. — 220 κε: κεν v. H. U. 45. αὔτωϲ: conf. ἔτ' αὔτωϲ Ψ 268; οὐκ αὔτωϲ ξ 151. H. T. 210. — 221 δή ῥ' ὄπα in libris meis non inveni; videtur ῥ' hiatus evitandi causa a recentioribus editoribus additum esse; sed in caesura semiternaria non opus est hiatus causa consonantem interponere, de qua re egi in Annal. Gymn. Austr. 1871, pg. 498 sqq. optativum εἵη sententia postulat, ut 216 ἀναΐξειεν. — 226 τίϲ γὰρ Trypho apud Apoll. de Coni. 506, 32.

ἔξοχος Ἀργείων κεφαλήν τε καὶ εὐρέας ὤμους;
τὸν δ᾽ Ἑλένη τανύπεπλος ἀμείβετο, δῖα γυναικῶν·
οὗτος δ᾽ Αἴας ἐστὶ πελώριος, ἕρκος Ἀχαιῶν·
Ἰδομενεὺς δ᾽ ἑτέρωθεν ἐνὶ Κρήτεσσι θεὸς ὣς
ἕστηκ᾽, ἀμφὶ δέ μιν Κρητῶν ἀγοὶ ἠγερέθονται.
πολλάκι μιν ξείνισσεν ἀρηίφιλος Μενέλαος
οἴκῳ ἐν ἡμετέρῳ, ὁπότε Κρήτηθεν ἵκοιτο.
νῦν δ᾽ ἄλλους μὲν πάντας ὁρῶ ἑλίκωπας Ἀχαιούς,
οὕς κεν ἐὺ γνοίην καί τ᾽ οὔνομα μυθησαίμην·
δοιὼ δ᾽ οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν,
Κάστορά θ᾽ ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα,
αὐτοκασιγνήτω, τώ μοι μία γείνατο μήτηρ·
ἢ οὐχ ἑσπέσθην Λακεδαίμονος ἐξ ἐρατεινῆς,
ἢ δεύρω μὲν ἕποντο νέεσσ᾽ ἔνι ποντοπόροισι,
νῦν αὖτ᾽ οὐκ ἐθέλουσι μάχην καταδύμεναι ἀνδρῶν
αἴσχεα δειδιότες καὶ ὀνείδεα πόλλ᾽, ἅ μοί ἐστιν.
ὣς φάτο, τοὺς δ᾽ ἤδη κάτεχεν φυσίζοος αἶα
ἐν Λακεδαίμονι αὖθι, φίλῃ ἐν πατρίδι γαίῃ.
κήρυκες δ᾽ ἀνὰ ἄστυ θεῶν φέρον ὅρκια πιστά,
ἄρνε δύω καὶ οἶνον ἐύφρονα, καρπὸν ἀρούρης,
ἀσκῷ ἐν αἰγείῳ· φέρε δὲ κρητῆρα φαεινὸν
κῆρυξ Ἰδαῖος ἠδὲ χρύσεια κύπελλα·

V. l. 227 κεφαλὴν ἠδ᾽ εὐρέας ACDEGHLS. — 230 ἔνι A. ὡς A. — 231 ἠγερέθονται AC: ἠγερέθοντο DGH post ras. LS Cant. Mor. Townl. Vrat. a. b. — 232 ξείνισεν DEL. ξείνϊς᾽ H. — 235 ἔϋ A. εὖ CDGHL. καὶ τοὔνομα CEHL. καί κ᾽ οὔνομα C. — 236 δύω S. — 237 πολυδεύκην CS. — 238 τώ: οὕς Eust. 1338, 41. γίνατο Apoll. Lex. 47, 28. — 239 ἐπέσθην CDEGHL 1. man. Schol. Z 321. Et. Mg. 368, 14. Zonar. Lex. 354. ἐξερατεινῆς D. — 240 δεύρω ACGL. δεῦρω D. δεῦρο EH Bekk. An. 969, 2. Cram. Epim. 117, 25. ἔνι: ἐνὶ ACDGL. ποντοπόροισι ACD. — 241 νῦν αὖτ᾽ ADH Townl. Vrat. b. c. νῦν αὖ Vrat. a: νῦν δ᾽ αὖτ᾽ CGLS. μάχην: πόνον E. — 242 ἅ μοι ἐστίν ACDEGL. — 243 ὡς A. φᾶτο D. κατέχε G. φυσίζωος D. — 244 φίλην ἐς πατρίδα γᾶῖαν D. — 245 φέρον θεῶν Athenaeus X, 425. ὅρκια D. — 246 εὔφρονα CEG. — 247 κρατῆρα G. — 248 κήρυξ GL. ἰδὲ L. χρύσεα D. χρύσια G.

A. c. 227 κεφαλήν τε καὶ εὐρέας ὤμους οὕτως σὺν τῷ τε ἡ ἀρίσταρχος (sic) καὶ ἡ ἀριστοφάνους καὶ ἔστιν εὐφραδέστερον Didymus. — 240 Nicanor ἤ: ἢ Herodianus. δεῦρο: ὅπερ εἴρηται παρὰ τῷ ποιητῇ ἅπαξ κατ᾽ ἐπέκτασιν εἰς ω ἐν τῷ „ἢ δεύρω μὲν ἕποντο“ Herodianus π. μον. λέξεως 26, 32. conf. Et. Mg. 259, 1. ἔνι Nicias. — 244 φίλῃ: ἑῇ Zenodotus.

ὤτρυνεν δὲ γέροντα παριστάμενος ἐπέεσσιν·
ὄρσεο Λαομεδοντιάδη, καλέουσιν ἄριστοι
Τρώων θ᾽ ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων
ἐς πεδίον καταβῆναι, ἵν᾽ ὅρκια πιστὰ τάμητε·
αὐτὰρ Ἀλέξανδρος καὶ ἀρηίφιλος Μενέλαος
μακρῇς ἐγχείῃσι μαχήσοντ᾽ ἀμφὶ γυναικί·
τῷ δέ κε νικήσαντι γυνὴ καὶ κτήμαθ᾽ ἕποιτο·
οἱ δ᾽ ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ ταμόντες
ναίοιμεν Τροίην ἐριβώλακα, τοὶ δὲ νέονται
Ἄργος ἐς ἱππόβοτον καὶ Ἀχαιίδα καλλιγύναικα.
ὣς φάτο, ῥίγησεν δ᾽ ὁ γέρων, ἐκέλευσε δ᾽ ἑταίροις
ἵππους ζευγνύμεναι· τοὶ δ᾽ ὀτραλέως ἐπίθοντο.
ἂν δ᾽ ἄρ᾽ ἔβη Πρίαμος, κατὰ δ᾽ ἡνία τεῖνεν ὀπίσσω·
πὰρ δέ οἱ Ἀντήνωρ περικαλλέα βήσετο δίφρον.
τὼ δὲ διὰ Σκαιῶν πεδίον δ᾽ ἔχον ὠκέας ἵππους.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἵκοντο μετὰ Τρῶας καὶ Ἀχαιούς,
ἐξ ἵππων ἀποβάντες ἐπὶ χθόνα πουλυβότειραν
ἐς μέσσον Τρώων καὶ Ἀχαιῶν ἐστιχόωντο.
ὤρνυτο δ᾽ αὐτίκ᾽ ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
ἂν δ᾽ Ὀδυσεὺς πολύμητις· ἀτὰρ κήρυκες ἀγαυοὶ
ὅρκια πιστὰ θεῶν σύναγον, κρητῆρι δὲ οἶνον
μίσγον, ἀτὰρ βασιλεῦσιν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν.

V. l. 249 ὤτρυνε CDG. ὄτρυνεν Vrat. a. ὄτρυνε Et. Mg. 637, 28. — 251 τρῴων GL. θ᾽ omitt. L. ὅρκια D (et 256). τάμητε ACGL Lips. Oxon. Townl. Eton. Mosc. 1. 3. ex corr. Vrat. a: τάμηαι DHS. — 254 μακροῖς ἐγχείοισι G. μακρῇς᾽ Cant. μαχήσονται CDGL Lips. Vrat. c. — 257 τοίδε D. νέονται: νεέσθων GS. — 258 ἀχαΐδα L. — 259 ὥς A. φᾶτο D. ῥίγησε G. ἑταίροις CDH Lips. ἑτέροις A: ἑταίρους GLS. — 260 ἐπείθοντο D. — 261 ἀν ADGL. ἂρ AGHL. ἂν δ᾽ ἀνέβη Et. Gud. 108, 40. κατα CD. — 262 παρ A. βήσετο DLS Cant. Vrat. b. c. A. Mosc. 1. βήσετο (α supra ε) A: βήσατο CEG. βήσσατο H. — 263 πεδίων Schol. B 67. — 264 τρῷας GL. — 266 μέσον C 1. man. τρῴων GL. — 268 ἀν CDG. ὀδυσσεὺς DGH. πολύμητης D. — 269 ὅρκια D. — 270 μίσγον, non μῖσγον, libri. ἀυτὰρ H et οἶνον pro ὕδωρ. ἔχευαν DGL: ἔχευον CHS Ven. B. Lips. Townl. Oxon. Vrat. c. ἔχευαν (ο supra α) A.

A. c. 257 ὅτι νῦν ὀρθῶς ἐν τῷ τοῦ κήρυκος λόγῳ γράφεται „ναίοιμεν“, ἐν δὲ τοῖς ἐπάνω (74) οὐκέτι Aristonicus. — 259 ἑταίροις Aristarchus cum Zenodoto. — 262 βήσετο: προκρίνει μὲν τὴν διὰ τοῦ ε γραφὴν βήσετο, πλὴν οὐ μετατίθησι, ἀλλὰ διὰ τοῦ α γράφει ὁ Ἀρίσταρχος Didymus. ὁ μὲν Ἀρίσταρχος ἄμεινόν φησι τὸ βήσετο, οὐ μεταποιεῖ δὲ τὴν γραφήν Cram. An. Par. III, 282, 17. conf. Scholl. B 95, K 513, Ξ 229. H. T. 214. — 270 ἔχευαν: ἀρίσταρχος διὰ τοῦ ο καὶ ἀναλογεῖ τὸ (τῷ?) μίσγον Didymus.

Ἀτρείδηϲ δὲ ἐρυϲϲάμενοϲ χείρεϲϲι μάχαιραν,
ἥ οἱ πὰρ ξίφεοϲ μέγα κουλεὸν αἰὲν ἄωρτο,
ἀρνῶν ἐκ κεφαλέων τάμνε τρίχαϲ· αὐτὰρ ἔπειτα
κήρυκεϲ Τρώων καὶ Ἀχαιῶν νεῖμαν ἀρίϲτοιϲ.
τοῖϲιν δ' Ἀτρείδηϲ μεγάλ' εὔχετο χεῖραϲ ἀναϲχών·
Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιϲτε μέγιϲτε,
ἠέλιόϲ θ', ὃϲ πάντ' ἐφορᾷϲ καὶ πάντ' ἐπακούειϲ,
καὶ ποταμοὶ καὶ γαῖα, καὶ οἳ ὑπένερθε καμόνταϲ
ἀνθρώπουϲ τίνυϲθον, ὅτιϲ κ' ἐπίορκον ὀμόϲϲῃ,
ὑμεῖϲ μάρτυροι ἔϲτε, φυλάϲϲετε δ' ὅρκια πιϲτά.
εἰ μέν κεν Μενέλαον Ἀλέξανδροϲ καταπέφνῃ,
αὐτὸϲ ἔπειθ' Ἑλένην ἐχέτω καὶ κτήματα πάντα,
ἡμεῖϲ δ' ἐν νήεϲϲι νεώμεθα ποντοπόροιϲιν·
εἰ δέ κ' Ἀλέξανδρον κτείνῃ ξανθὸϲ Μενέλαοϲ,
Τρῶαϲ ἔπειθ' Ἑλένην καὶ κτήματα πάντ' ἀποδοῦναι,
τιμὴν δ' Ἀργείοιϲ ἀποτινέμεν ἥν τιν' ἔοικεν,
ἥ τε καὶ ἐϲϲομένοιϲι μετ' ἀνθρώποιϲι πέληται.
εἰ δ' ἂν ἐμοὶ τιμὴν Πρίαμοϲ Πριάμοιό τε παῖδεϲ
τίνειν οὐκ ἐθέλωϲιν Ἀλεξάνδροιο πεϲόντοϲ,

V. l. 271 δὲ: δ' DHL. ἐρυϲϲάμενοϲ AE 413, 38 GL: ἐρυϲάμενοϲ DE 413, 30 H. ἐρυϲ(ϲ)άμενοϲ C. χείρεϲι G 1. man. — 272 παρ A. ἄωρτο AC EHS Mor. Cant. Barocc. Lips. Vrat. a. b. c. Mosc. 1. Cram. Ep. 85, 30. Et. Mg. 116, 51. Apoll. Lex. 50, 14: ἄορτο DGL. — 273 τάμνεν L. — 274 τρώων GL. νεῖμον Lips. Townl. Eton. — 275 τοῖϲι DGH Vrat. c. — 276 Ζεῦ κύδιϲτε, μέγιϲτε, κελαινεφέϲ, αἰθέρι ναίων Anonym. περὶ βαρβαριϲμοῦ ed. Valckenaer, p. 198; Heraclides Alleg. c. 3 et 23. — 277 ἠέλιοϲ δ' Schol. μ 374. — 278 καμόντεϲ Heraclides. — 279 τίνυϲθον ADEG: τίννυϲθον L Rhet. Gr. III, 151, 9 et 24. τί(ν)νυϲθον C. τῖνΰϲθ(ε)ον H. ὅτιϲ κ' A. ὅ τίϲ κ' E: ὅϲτιϲ κ' CDGHL Eust. 849, 40. Heraclides. ἐπι ὄρκον D. ὀμόϲϲει Eust. 849, 40. — 280 μάρτυροι ἐϲτὲ DGHL. μάρτυροί ἐϲτε CE 415, 6. μάρτυρεϲ Rhet. Gr. III, 151, 24. ὅρκια D. ὁρκια A. — 283 omitt. C 1. man. Lips. Townl. Eton. δ' ἐνήεϲϲϊ D. — 285 τρῷαϲ GL. — 286 τιμήν τ' DEHS Mosc. 1. 3. Schol. Γ 457: τιμὴν δ' ACGL Apoll. Lex. 153, 2. Et. Mg. 758, 46. — 287 omitt. Schol. Γ 457. — 288 ἐμοὶ: ἐμὴν Et. Mg. 679, 9. — 289 ἐθέλουϲιν G. hunc et sequentem versum in unum contraxit Et. Mg. 679, 9 τίνειν οὐκ ἐθέλῃϲι μαχήϲομαι εἵνεκα ποινῆϲ.

A. c. 272 ἄωρτο Herodianus, conf. Et. Mg. 116, 51. — 273 ἀρνῶν Aristarchus: ἀρνέων Zenodotus, vide Cram. Epim. 239, 1; An. Ox. IV, 329, 5. Et. Mg. 507, 16. Et. Gud. 318, 2. — 279 τίνυϲθον Aristarchus. ἐπίορκον Herodianus. — 280 μάρτυροι Aristarchus: Zenodotus μάρτυρεϲ. ἔϲτε Herodianus et Heraclides, cf. Osann. Quaest. Hom. IV, 19. μάρτυροί ἐϲτε Aristarchus teste Eust. 1457, 46. ἄλλοι γράφουϲι „μάρτυροί ἐϲτε“ Schol. A.

αὐτὰρ ἐγὼ καὶ ἔπειτα μαχήϲομαι εἵνεκα ποινῆϲ
αὖθι μένων, εἵωϲ κε τέλοϲ πολέμοιο κιχείω.
ἦ, καὶ ἀπὸ ϲτομάχουϲ ἀρνῶν τάμε νηλέι χαλκῷ·
καὶ τοὺϲ μὲν κατέθηκεν ἐπὶ χθονὸϲ ἀϲπαίρονταϲ,
θυμοῦ δευομένουϲ· ἀπὸ γὰρ μένοϲ εἵλετο χαλκόϲ.
οἶνον δ' ἐκ κρητῆροϲ ἀφυϲϲόμενοι δεπάεϲϲιν
ἔκχεον, ἠδ' εὔχοντο θεοῖϲ αἰειγενέτῃϲιν·
ὧδε δέ τιϲ εἴπεϲκεν Ἀχαιῶν τε Τρώων τε·
Ζεῦ κύδιϲτε μέγιϲτε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
ὁππότεροι πρότεροι ὑπὲρ ὅρκια πημήνειαν,
ὧδέ ϲφ' ἐγκέφαλοϲ χαμάδιϲ ῥέοι ὡϲ ὅδε οἶνοϲ,
αὐτῶν καὶ τεκέων, ἄλοχοι δ' ἄλλοιϲι δαμεῖεν.
ὣϲ ἔφαν, οὐδ' ἄρα πώ ϲφιν ἐπεκραίαινε Κρονίων.
τοῖϲι δὲ Δαρδανίδηϲ Πρίαμοϲ μετὰ μῦθον ἔειπε·
κέκλυτέ μευ Τρῶεϲ καὶ ἐυκνήμιδεϲ Ἀχαιοί·
ἤ τοι ἐγὼν εἶμι προτὶ Ἴλιον ἠνεμόεϲϲαν
ἄψ, ἐπεὶ οὔ πω τλήϲομ' ἐν ὀφθαλμοῖϲιν ὁρᾶϲθαι
μαρνάμενον φίλον υἱὸν ἀρηιφίλῳ Μενελάῳ·
Ζεὺϲ μέν που τό γε οἶδε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
ὁπποτέρῳ θανάτοιο τέλοϲ πεπρωμένον ἐϲτίν.
ἦ ῥα, καὶ ἐϲ δίφρον ἄρναϲ θέτο ἰϲόθεοϲ φώϲ,
ἂν δ' ἄρ' ἔβαιν' αὐτόϲ, κατὰ δ' ἡνία τεῖνεν ὀπίϲϲω·
πὰρ δέ οἱ Ἀντήνωρ περικαλλέα βήϲετο δίφρον.
τὼ μὲν ἄρ' ἄψορροι προτὶ Ἴλιον ἀπονέοντο·
Ἕκτωρ δὲ Πριάμοιο πάιϲ καὶ δῖοϲ Ὀδυϲϲεὺϲ

V. l. 290 μαχέϲϲομαι HL Schol. Γ 457. μαχέϲομαι G. — 291 εἵωϲ κε: εἴϲοκε H. — 292 ἀπο CDL. τάμεν G. τάμνε Apoll. Lex. 150, 16. — 294 ἀπο C. — 295 ἀφυϲϲόμενοι CH Lips. 1. man. Eton. Mosc. 1. ἀφυϲ(ο)ϲάμενοι A: ceteri ἀφυϲϲάμενοι. — 297 εἴπεϲκεν ἰδὼν εἰϲ οὐρανὸν εὐρύν H et in marg. γρ. ἀχαιῶν τε τρώων τε. τρῴων GL. — 299 ὑπερόρκια ACDGHL: ὑπὲρ ὅρκια E. πημήνειαν C. — 301 δαμεῖεν A Townl. Schol. BLV. Et. Mg. 246, 50: μιγεῖεν CDGHLS Schol. Ε 486. δαμεῖεν ἢ μιγεῖεν Eust. 417, 7. utrumque Harl. — 302 ἔφαν: ἔφατ' E. ἐπεκρέαινε DH. — 303 δε D. μετα CDL. ἔειπε CGH. — 304 τρῷεϲ GL. εὐκνήμιδεϲ CDGHL. — 305 προτιΐλιον A. πρὸ τὶ C. ἤτοι ἐγὼ μὲν εἶμι πρὸϲ ἴλιον Mor. — 306 τλήϲομαι ὀφθαλμοῖϲιν E. — 308 μέν: γάρ E 417, 46. τό γε: τόδε D. — 310 ῥὰ CDGHL. — 311 ἀν ACDGL. ἆρ DGHL. κατα DL. — 312 παρ CD. βήϲετο ADHL Vrat. a. b. A: βήϲατο CG. — 313 ἆρ DGH. ἀρ A.

A. c. 290 μαχήϲομαι Aristarchus. — 292 οὕτωϲ αἱ Ἀριϲτάρχου „ἀπὸ ϲτομάχουϲ“. αἱ δὲ πλείουϲ διὰ τοῦ ε̄ „ἐπὶ ϲτομάχουϲ“, καὶ ἔϲτιν οὐκ ἄχαριϲ ἡ γραφή Didymus. — 295 Aristarchus ἀφυϲϲόμενοι.

χῶρον μὲν πρῶτον διεμέτρεον, αὐτὰρ ἔπειτα
κλήρουϲ ἐν κυνέῃ χαλκήρεϊ πάλλον ἑλόντεϲ,
ὁππότεροϲ δὴ πρόϲθεν ἀφείη χάλκεον ἔγχοϲ.
λαοὶ δ᾽ ἠρήϲαντο, θεοῖϲι δὲ χεῖραϲ ἀνέϲχον·
ὧδε δέ τιϲ εἴπεϲκεν ᾽Αχαιῶν τε Τρώων τε·
Ζεῦ πάτερ, ῎Ιδηθεν μεδέων, κύδιϲτε μέγιϲτε,
ὁππότεροϲ τάδε ἔργα μετ᾽ ἀμφοτέροιϲιν ἔθηκε,
τὸν δὸϲ ἀποφθίμενον δῦναι δόμον ῎Αϊδοϲ εἴϲω,
ἡμῖν δ᾽ αὖ φιλότητα καὶ ὅρκια πιϲτὰ γενέϲθαι.
ὣϲ ἄρ᾽ ἔφαν, πάλλεν δὲ μέγαϲ κορυθαίολοϲ ῞Εκτωρ
ἂψ ὁρόων· Πάριοϲ δὲ θοῶϲ ἐκ κλῆροϲ ὄρουϲεν.
οἱ μὲν ἔπειθ᾽ ἵζοντο κατὰ ϲτίχαϲ, ἧχι ἑκάϲτῳ
ἵπποι ἀερϲίποδεϲ καὶ ποικίλα τεύχε᾽ ἔκειτο·
αὐτὰρ ὅ γ᾽ ἀμφ᾽ ὤμοιϲιν ἐδύϲετο τεύχεα καλὰ
δῖοϲ ᾽Αλέξανδροϲ, ῾Ελένηϲ πόϲιϲ ἠυκόμοιο.
κνημῖδαϲ μὲν πρῶτα περὶ κνήμῃϲιν ἔθηκε
καλάϲ, ἀργυρέοιϲιν ἐπιϲφυρίοιϲ ἀραρυίαϲ·
δεύτερον αὖ θώρηκα περὶ ϲτήθεϲϲιν ἔδυνεν
οἷο καϲιγνήτοιο Λυκάονοϲ, ἥρμοϲε δ᾽ αὐτῷ.
ἀμφὶ δ᾽ ἄρ᾽ ὤμοιϲιν βάλετο ξίφοϲ ἀργυρόηλον
χάλκεον, αὐτὰρ ἔπειτα ϲάκοϲ μέγα τε ϲτιβαρόν τε·
κρατὶ δ᾽ ἐπ᾽ ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν,
ἵππουριν· δεινὸν δὲ λόφοϲ καθύπερθεν ἔνευεν.

V. ι. 315 πρῶτον: πρῶτα E. — 316 πάλλον libri mei cum Eustathio, Hesych. III, 262, Et. Mg. 670, 34, conf. Ψ 861. — 317 ἀφείη CEGL. ἀφ᾽ εἴη A. ἀφεΐη H. ἀφίει D Townl. ex corr. Vrat. a. b. Mosc. 1. — 318 θεοῖϲι δὲ ADEHL Bekk. An. 703, 11. Schol. Ω 499. Rhet. Gr. III, 226, 5: θεοῖϲ· ἰδὲ CS. θεοῖϲ, ἠδὲ G. ἀνάϲχον Schol. Ω 499. — 319 τρῴων GL. — 321 ἔθηκε CEH. — 322 δύναι G. — 323 ὄρκια D. — 324 ὡϲ A. ἂρ ADGL. πάλλε G. πάλεν D. — 326 οἳ μὲν C. κατα A. ἦχι AC Schol. K 167. ἑκάϲτῳ libri omnes. — 327 ποικίλλα G. ἔκειτο: ἔκειντο CS Cant. — 328 αὐτὰρ ὄχ᾽ G. ἐδύϲατο CDGHS. ἐδύϲϲατο L. — 330 κνημίδαϲ DG. περι A. ἔθηκε ACGH. — 331 ἐπῖ ϲφυρῖοιϲ D. — 332 αὖ, θώρηκα AG. περι A. — 334 ἀμφι A. ἂρ DEGHL. ἀρ A. ὤμοιϲι DG. βάλλετο D. — 335 μέγά τε C. — 336 ἐΰτυκτον C.

A. c. 318 θεοῖϲι δὲ: θεοῖϲ, ἰδὲ Nicanor, conf. Schol. AB. Cram. An. Par. III, 8, 30. Bekk. An. 703, 11. Eust. 419, 15. Villoison. Anecd. Gr. II, 118. conf. ad H 177. — 326 ἑκάϲτῳ: ἑκάϲτου Aristarchus. — 334, 335 Ζηνόδοτοϲ ἀμφοτέρουϲ ἠθέτηκε Aristonicus, qui conferendus ad 339 et 361.

εἵλετο δ᾽ ἄλκιμον ἔγχοϲ, ὅ οἱ παλάμηφιν ἀρήρει.
ὣϲ δ᾽ αὔτωϲ Μενέλαοϲ ἀρήιοϲ ἔντε᾽ ἔδυνεν.
οἳ δ᾽ ἐπεὶ οὖν ἑκάτερθεν ὁμίλου θωρήχθηϲαν,
ἐϲ μέϲϲον Τρώων καὶ ᾽Αχαιῶν ἐϲτιχόωντο
δεινὸν δερκόμενοι· θάμβοϲ δ᾽ ἔχεν εἰϲορόωνταϲ
Τρῶάϲ θ᾽ ἱπποδάμουϲ καὶ ἐυκνήμιδαϲ ᾽Αχαιούϲ.
καί ῥ᾽ ἐγγὺϲ ϲτήτην διαμετρητῷ ἐνὶ χώρῳ
ϲείοντ᾽ ἐγχείαϲ, ἀλλήλοιϲιν κοτέοντε.
πρόϲθε δ᾽ ᾽Αλέξανδροϲ προΐει δολιχόϲκιον ἔγχοϲ,
καὶ βάλεν ᾽Ατρείδαο κατ᾽ ἀϲπίδα πάντοϲ᾽ ἐίϲην,
οὐδ᾽ ἔρρηξεν χαλκόϲ, ἀνεγνάμφθη δέ οἱ αἰχμὴ
ἀϲπίδι ἐν κρατερῇ. ὃ δὲ δεύτεροϲ ὤρνυτο χαλκῷ
᾽Ατρείδηϲ Μενέλαοϲ ἐπευξάμενοϲ Διὶ πατρί·
Ζεῦ ἄνα, δὸϲ τίϲαϲθαι ὅ με πρότεροϲ κάκ᾽ ἔοργε,
δῖον ᾽Αλέξανδρον, καὶ ἐμῇϲ ὑπὸ χερϲὶ δάμαϲϲον,
ὄφρά τιϲ ἐρρίγῃϲι καὶ ὀψιγόνων ἀνθρώπων
ξεινοδόκον κακὰ ῥέξαι, ὅ κεν φιλότητα παράϲχῃ.
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόϲκιον ἔγχοϲ,
καὶ βάλε Πριαμίδαο κατ᾽ ἀϲπίδα πάντοϲ᾽ ἐίϲην.
διὰ μὲν ἀϲπίδοϲ ἦλθε φαεινῆϲ ὄβριμον ἔγχοϲ,
καὶ διὰ θώρηκοϲ πολυδαιδάλου ἠρήρειϲτο·

V. ι. 338 παλάμηφιν CE. ἐν ἄλλῳ εἵλετο δ᾽ ἄλκιμον ἔγχοϲ ἀκαχμένον ὀξέϊ χαλκῷ A. — 339 ὡϲ A. αὔτωϲ ACDEGHL Zonar. Lex. 350. — 340 οἳ δ᾽ D. οἵδ᾽ CH. — 341 μέϲον DGH. τρῴων G. — 342 ἔχεν: ἔϲχεν G. — 343 τρῷαϲ CGL. εὐκνήμϊδαϲ CDGL. καὶ ἠϋκόμιαϲ ἀχαιούϲ H. — 344 ἐνι A. — 345 ἀλλήλοιϲι DE. — 346 πρόϲθεν δὲ G. προΐει A. — 347 βάλλεν H. πάντοϲε ἴϲην ACDE. πάντωϲ ἐῗϲην L. — 348 ἔρρηξε DEG. χαλκὸϲ AD 2. man. Townl. Vrat. a. χαλκὸϲ (ον) S: χαλκὸν CD 1. man. EGHL. ἀνεκάμφθη D. ἀνεγνάμφη H. ἀνεγνάφθη δὲ ἡ αἰχμή Et. Mg. 236, 11. — 349 ἀϲπίδι ἐν ACDGH Eton. ἀϲπίδι ἐνὶ E 423, 2 Cant. Townl. Mosc. 1. vulgo ἀϲπίδ᾽ ἐνὶ cum L. ὃ δὲ C. — 351 ὅϲ με G. ἔοργε ACEGH. — 352 ἐμαῖϲ G. ὑπο A. δάμαϲον G. — 353 ὄφρά τιϲ ACDH. — 354 ὅϲ κεν D. — 355 ῥὰ CDL. προΐει A. — 356 κατ A. πάντοϲε ἴϲην ADL ex corr. S. — 357 ὄβριμον ADELS Barocc. Cant. Lips. ὄμβριμον CGH. — 358 δια A.

A. c. 338 παλάμηφιν: προϲγράφει τὸ ῑ ἐκ παραδόϲεωϲ Cram. Epim. 360, 18. conf. H. U. 185. — 344 διαμητρητῷ Aristarchus: alii διαμετρήτῳ, conf. Et. Mg. 474, 22. — 348 χαλκόϲ Aristarchus, non χαλκόν, conf. Scholl. H 259, P 44. — 349 ἀϲπίδι ἐν, conf. H. U. 127. — 352 ἀθετεῖται Aristonicus. δάμαϲϲον: δαμῆναι Aristarchus, conf. Schol. A ad Γ 368. — 357 ὄμβριμον, cf. H. U. 7.

ἀντικρὺ δὲ παραὶ λαπάρην διάμηcε χιτῶνα
ἔγχος· ὃ δ' ἐκλίνθη καὶ ἀλεύατο κῆρα μέλαιναν.
Ἀτρείδης δὲ ἐρυccάμενος ξίφος ἀργυρόηλον,
πλῆξεν ἀναcχόμενος κόρυθος φάλον· ἀμφὶ δ' ἄρ' αὐτῷ
τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεcε χειρός.
Ἀτρείδης δ' ᾤμωξεν ἰδὼν εἰς οὐρανὸν εὐρύν·
Ζεῦ πάτερ, οὔ τις cεῖο θεῶν ὀλοώτερος ἄλλος·
ἦ τ' ἐφάμην τίcαcθαι Ἀλέξανδρον κακότητος·
νῦν δέ μοι ἐν χείρεccιν ἄγη ξίφος, ἐκ δέ μοι ἔγχος
ἠίχθη παλάμηφιν ἐτώcιον, οὐδ' ἔβαλόν μιν.
ἦ, καὶ ἐπαΐξας κόρυθος λάβεν ἱπποδαcείης,
ἕλκε δ' ἐπιcτρέψας μετ' ἐυκνήμιδας Ἀχαιούς·
ἄγχε δέ μιν πολύκεcτος ἱμὰς ἁπαλὴν ὑπὸ δειρήν,
ὅς οἱ ὑπ' ἀνθερεῶνος ὀχεὺς τέτατο τρυφαλείης.
καί νύ κεν εἴρυccέν τε καὶ ἄcπετον ἤρατο κῦδος,
εἰ μὴ ἄρ' ὀξὺ νόηcε Διὸς θυγάτηρ Ἀφροδίτη,
ἥ οἱ ῥῆξεν ἱμάντα βοὸς ἶφι κταμένοιο·
κεινὴ δὲ τρυφάλεια ἅμ' ἕcπετο χειρὶ παχείῃ.
τὴν μὲν ἔπειθ' ἥρως μετ' ἐυκνήμιδας Ἀχαιοὺς
ῥῖψ' ἐπιδινήcας, κόμιcαν δ' ἐρίηρες ἑταῖροι.
αὐτὰρ ὃ ἂψ ἐπόρουcε κατακτάμεναι μενεαίνων
ἔγχεϊ χαλκείῳ· τὸν δ' ἐξήρπαξ' Ἀφροδίτη

V. ι. 359 παραὶ ACEGHLS: παρὰ D Townl. Vrat. a. Hesych. III, 273. — 360 ὃ δ' A. ὅδ' CDGHL. — 361 ἐρυcάμενος CDGH. — 362 ἄρ DGHL. ἀρ A. αὐτοῦ L. — 363 διατρυφὲν ADE Et. Mg. 768, 33. διατριφὲν L. διαδρυφθὲν CGH Mor. Lips. Townl. Vrat. a. — 365 ὀλοότερος D. — 366 ἤ τ' D. τίcαcθαι ACDE 424, 32 et 35 GHLS Mor. Cant. Barocc. Lips. Vrat. a. c. Mosc. 1. — 367 ἐκ δέ μοι — ἐτώcιον (368) omitt. L. ἐν χείρεccιν ἄγη ACDEGHLS Mor. Barocc. Cant. Townl. Eton. Vrat. a. Schol. Δ 214: olim ἐν χείρεcc' ἐάγη, quod dubito an in ullo codice reperiatur, conf. Π 801. — 368 παλάμηφιν E. — 370 εἷλκε E. εὐκνήμιδας CDEGH. — 371 ἱμὰς D. ὑπο A. — 378 εἴρυcέν DGE. ἤρατο AC. — 374 ἄρ EGH. ἀρ A. — 375 ἴφι D. — 377 εὐκνήμιδας CDGH. — 378 ῥῖψ' A: ῥίψ' CDGHL. — 379 ὃ ACDGHL.

A. c. 359 παραί: παρὰ, conf. H. U. 50. — 362 αὐτῷ: ἀρίcταρχος ἀμφὶ δ' ἀρ αὐτῇ, τῇ περικεφαλαίᾳ Didymus. αὐτῇ αἱ χαριέcτεραι καὶ πλείονες Schol. V. — 364 Aristarchus εὐρύν: αἰπύν Zenodotus. — 366 ἤ Herodianus. τίcαcθαι, cf. ad 112. — 368 ἔβαλόν μιν: Ammonius οὐδ' ἐδάμας(c)α, i. e. Aristarchi lectio erat οὐδ' ἐδάμαccα, vel potius οὐδὲ δάμαccα, conf. H. T. 103 sq. — 373 Aristarchus εἴρυccεν: Aristophanes ἐξέρυcέν τε καὶ vel ἐξείρυccε καὶ (Schol. A ἐν τῆι ἀριcτοφάνους καὶ νύκεν ἐξείρυcεν).

ῥεῖα μάλ' ὥς τε θεός, ἐκάλυψε δ' ἄρ' ἠέρι πολλῇ,
κὰδ δ' εἷc' ἐν θαλάμῳ εὐώδεϊ κηώεντι.
αὐτὴ δ' αὖθ' Ἑλένην καλέουc' ἴε· τὴν δὲ κίχανε
πύργῳ ἐφ' ὑψηλῷ, περὶ δὲ Τρῳαὶ ἅλις ἦcαν.
χειρὶ δὲ νεκταρέου ἑανοῦ ἐτίναξε λαβοῦcα,
γρηὶ δέ μιν εἰκυῖα παλαιγενέι προcέειπεν,
εἰροκόμῳ, ἥ οἱ Λακεδαίμονι ναιετοώcῃ
ἤcκειν εἴρια καλά, μάλιcτα δέ μιν φιλέεcκε·
τῇ μιν ἐειcαμένη προcεφώνεε δῖ' Ἀφροδίτη·
δεῦρ' ἴθ'· Ἀλέξανδρός cε καλεῖ οἶκον δὲ νέεcθαι.
κεῖνος ὅ γ' ἐν θαλάμῳ καὶ δινωτοῖcι λέχεccι,
κάλλεΐ τε cτίλβων καὶ εἵμαcιν· οὐδέ κε φαίης
ἀνδρὶ μαχηcάμενον τόν γ' ἐλθεῖν, ἀλλὰ χορὸν δὲ
ἔρχεcθ', ἠὲ χοροῖο νέον λήγοντα καθίζειν.
ὣς φάτο, τῇ δ' ἄρα θυμὸν ἐνὶ cτήθεccιν ὄρινε·
καί ῥ' ὡς οὖν ἐνόηcε θεᾶς περικαλλέα δειρὴν
cτήθεά θ' ἱμερόεντα καὶ ὄμματα μαρμαίροντα,
θάμβηcέν τ' ἄρ' ἔπειτα ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
δαιμονίη, τί με ταῦτα λιλαίεαι ἠπεροπεύειν;
ἦ πῄ με προτέρω πολίων εὖ ναιομενάων
ἄξεις ἢ Φρυγίης, ἢ Μῃονίης ἐρατεινῆς,

V. ι. 381 ὥς τε DGL: ceteri ὥcτε. θεός γ' Vrat. a. ἄρ DGHL. ἀρ A. — 382 καδδ' ACDGHL. κὰδ δ' Apoll. de Synt. 326, 24. εἷc' ἐν: εἶcεν S. εἶcε Mosc. 1. εἶcεν ἐν Townl. ἷc' ἐν Apoll. de Synt. 326, 24. — 383 αὖθ': αὖ L. *δὲ κίχανε: vulgo δ' ἐκίχανεν. ACEGH δ' ἐκίχανε. — 384 περὶ γὰρ Schol. Γ 383. τρῳαὶ L: ceteri τρωαὶ. — 385 ἑανοῦ H. — 387 *ναιετοώcῃ, libri ναιεταώcῃ. L ναιεταούcῃ cum Athenaeo V, 191. — 388 ἤcκειν ACD 2. man. ES: ἤcκει D 1. man. GHL Lips. 2. man. Mor. εἴρια πολλὰ S Vrat. b. φιλέεcκε ACDGH. — 390 ἴθι DG. οἶκον δὲ AD. οἶκονδε CGHL. — 391 δεινωτοῖcι AG. λέχεccι ACEG. λεχέεccι H. — 392 κάλλεΐ libri, non κάλλει. — 393 μαχηcάμενον A: μαχεccάμενον CDGHLS et libri apud Heyne. μαχεcάμενον E 428, 14; 493, 18. τόν γ': τόνδ' EH Vrat. a. χορὸν δε A. — 395 ὡς A. φᾶτο D. ἐνι A. ὄρινε ACDGH. — 396 περικαλέα G. — 398 θάμβηcε G. θάμβηc' αὐτὰρ ἔπειτα Vrat. a. ἄρ DGHL. ἀρ A. ἔπειτα δ' ἔπος ἔφατ' G. ὀνόμαζε ACDGHL. — 400 ἤ πῆ DE. πήι A: ceteri πή. προτέρων et γρ. προτέρῳ E. 429, 12. εὖ ναιομενάων ACDGHLS. — 401 ἄξῃς G. μηϊονΐης H.

A. c. 384 Τρῳαί, conf. H. U. 214. — 387 ναιετοώcῃ cf. H. T. 310. — 388 ἤcκειν: μετὰ τοῦ ν γράφουcιν οἱ παλαιοί Eust. 428, 1. conf. Schol. ε 112, ρ 359. Schol. Aristoph. Plut. 696. H. T. 194. — 393 μαχηcάμενον Aristarchus, conf. H. T. 308. — 396—418 ἀθετοῦνται Aristonicus ad vs. 395. conf. Schol. Δ 208.

εἴ τίϲ τοι καὶ κεῖθι φίλοϲ μερόπων ἀνθρώπων;
οὕνεκα δὴ νῦν δῖον Ἀλέξανδρον Μενέλαοϲ
νικήϲαϲ ἐθέλει ϲτυγερὴν ἐμὲ οἴκαδ' ἄγεϲθαι,
τοὔνεκα δὴ νῦν δεῦρο δολοφρονέουϲα παρέϲτηϲ;
ἧϲο παρ' αὐτὸν ἰοῦϲα, θεῶν δ' ἀπόεικε κελεύθου,
μηδ' ἔτι ϲοῖϲι πόδεϲϲιν ὑποϲτρέψειαϲ Ὄλυμπον,
ἀλλ' αἰεὶ περὶ κεῖνον ὀΐζυε καί ἑ φύλαϲϲε,
εἰϲ ὅ κέ ϲ' ἢ ἄλοχον ποιήϲεται, ἢ ὅ γε δούλην.
κεῖϲε δ' ἐγὼν οὐκ εἶμι, νεμεϲϲητὸν δέ κεν εἴη,
κείνου πορϲανέουϲα λέχοϲ· Τρῳαὶ δέ μ' ὀπίϲϲω
πᾶϲαι μωμήϲονται· ἔχω δ' ἄχε' ἄκριτα θυμῷ.
τὴν δὲ χολωϲαμένη προϲεφώνεε δῖ' Ἀφροδίτη·
μή μ' ἔρεθε ϲχετλίη, μὴ χωϲαμένη ϲε μεθείω,
τὼϲ δέ ϲ' ἀπεχθήρω, ὡϲ νῦν ἔκπαγλα φίληϲα,
μέϲϲῳ δ' ἀμφοτέρων μητίϲομαι ἔχθεα λυγρά,
Τρώων καὶ Δαναῶν, ϲὺ δέ κεν κακὸν οἶτον ὄληαι.
ὣϲ ἔφατ', ἔδειϲεν δ' Ἑλένη, Διὸϲ ἐκγεγαυῖα,
βῆ δὲ καταϲχομένη ἑανῷ ἀργῆτι φαεινῷ,

V. L. 402 εἴ τιϲ τοι D. εἴ τίϲ που Eust. 429, 12. καὶ κεῖθι ACH: κἀκεῖθι EGLS. κακεῖθι D. — 403 δὴ omitt. L. — 404 ἐθέλοι G. οἶκαδ' D. — 405 δὴ omitt. C. δεῦρο omitt. H. — 406 ἀπόεικε κελεύθου: ἀπόειπε κελεύθουϲ ACDE bis GHLS et libri apud Heyne. — 407 μὴ δ' CL. μὴ δέτι DGH. μηδέ τι E. ϲοῖϲι: τοῖϲϊ G. — 408 περὶ κεῖνον: παρ' ἐκεῖνον L. φύλαϲϲον H. — 409 εἰϲοκε, μὲν ἄλοχον G. εἰϲόκεν ἢ Vrat. a. 1. man. Mosc. 1. ποιήϲει L. — 410 νεμεϲητὸν C 1. man. G 1. man. — 411 πορϲανέουϲα ADS Cant. Vrat. b. A. Mosc. 1. Et. Mg. 683, 47: πορϲυνέουϲα CE 430, 1; 18 GHL. τρῳαὶ L: ceteri τρωαὶ. ὀπίϲω E. — 412 ἄχε' ἀκριτόμυθα D. — 413 τήνδε G. προϲεφώνει H. — 414 χοϲαμένη D. μεθείωι A. — 415 τῶϲ D. ἀπεχθήρω CL. ἀπεχθείρω D. ἔκπαγλα φίληϲα Barocc. Lips. Townl. Eton.: ceteri ἔκπαγλ' ἐφίληϲα. — 416 μέϲϲῳ: μέϲον D. μέϲον H. ἔχθεα: ἄχθεα CD. — 417 τρῴων GL. — 418 ἔδδειϲε D.

A. c. 402 Aristarchus καὶ κεῖθι, non κἀκεῖθι. — 406 ἀπόεικε κελεύθου Aristarchus, conf. Philem. gramm. 269, 57. ἄποειπε οὔτε ἐν ταῖϲ Ἀριϲταρχείοιϲ οὔτε ἐν ἑτέρῳ τῶν γοῦν μετρίων ἐμφερόμενον πέφυκεν. καὶ οὐ μόνον ἐν ταῖϲ ἐκδόϲεϲιν, ἀλλὰ καὶ ἐν τοῖϲ ϲυγγράμμαϲιν ἅπαξ ἅπαντεϲ οὕτωϲ ἐκτιθένται Didymus. nihilominus Aristonicus ad Γ 395 laudat ἀπόειπε κελεύθουϲ. — 409 ἀθετεῖται Schol. δ 12 (cf. ad 396). εἰϲ ὅ κε Herodianus, conf. Et. Mg 305, 45. εἰϲ ὅ κε scribendum esse documento est β 99 εἰϲ ὅ τέ κέν μιν et ἐϲ ὅ apud Herodotum V, 85; 86; 92; 97; VI, 15; 40; 75; 83; 99; 113; 140; VII, 113; 225; VIII, 58. — 411 κείνου: κείνῳ Grashof. „das Hausgeräthe bei Homer“ p. 19, n. 16. πορϲανέουϲα Aristarchus, conf. H. T. 344. — 415 ἔκπαγλα φίληϲα Aristarchus. — 416 ἔχθεα et ἄχθεα Aristarchus διχῶϲ. τινὲϲ δὲ ἄλγεα Schol. A. — 417 ὄληαι: ὀλῆαι Tyrannio, conf. H. T. 228.

ϲιγῇ, πάϲαϲ δὲ Τρῳὰϲ λάθεν· ἦρχε δὲ δαίμων.
αἳ δ' ὅτ' Ἀλεξάνδροιο δόμον περικαλλέ' ἵκοντο,
ἀμφίπολοι μὲν ἔπειτα θοῶϲ ἐπὶ ἔργα τράποντο,
ἣ δ' εἰϲ ὑψόροφον θάλαμον κίε δῖα γυναικῶν.
τῇ δ' ἄρα δίφρον ἑλοῦϲα φιλομμειδὴϲ Ἀφροδίτη,
ἀντί' Ἀλεξάνδροιο θεὰ κατέθηκε φέρουϲα·
ἔνθα καθῖζ' Ἑλένη, κούρη Διὸϲ αἰγιόχοιο,
ὄϲϲε πάλιν κλίναϲα, πόϲιν δ' ἠνίπαπε μύθῳ·
ἤλυθεϲ ἐκ πολέμου· ὡϲ ὤφελεϲ αὐτόθ' ὀλέϲθαι,
ἀνδρὶ δαμεὶϲ κρατερῷ, ὃϲ ἐμὸϲ πρότεροϲ πόϲιϲ ἦεν.
ἦ μὲν δὴ πρίν γ' εὔχε' ἀρηιφίλου Μενελάου
ϲῇ τε βίῃ καὶ χερϲὶ καὶ ἔγχεϊ φέρτεροϲ εἶναι·
ἀλλ' ἴθι νῦν προκάλεϲϲαι ἀρηίφιλον Μενέλαον
ἐξαῦτιϲ μαχέϲαϲθαι ἐναντίον. ἀλλά ϲ' ἐγώ γε
παύεϲθαι κέλομαι, μηδὲ ξανθῷ Μενελάῳ
ἀντίβιον πόλεμον πολεμίζειν ἠδὲ μάχεϲθαι
ἀφραδέωϲ, μή πωϲ τάχ' ὑπ' αὐτοῦ δουρὶ δαμήηϲ.
τὴν δὲ Πάριϲ μύθοιϲιν ἀμειβόμενοϲ προϲέειπε·
μή με γύναι χαλεποῖϲιν ὀνείδεϲι θυμὸν ἔνιπτε.
νῦν μὲν γὰρ Μενέλαοϲ ἐνίκηϲεν ϲὺν Ἀθήνῃ,
κεῖνον δ' αὖτιϲ ἐγώ· παρὰ γὰρ θεοί εἰϲι καὶ ἡμῖν.

V. L. 420 τρῳὰϲ AL: ceteri τρωὰϲ. — 421 αἵδ' CDHL. — 423 ἧδ' GHL. ὑψόρροφον D. ἵηε vel ἵκε D pro κίε. κῖε H. — 424 φιλομειδὴϲ CGHL 1. man. Mor. Cant. Vrat. Townl. Et. Mg. 279, 36. — 426 κάθιζ' ACDGHL. διὸϲ αἰγιόχοιο ἐκγεγαυῖα G. — 427 ἠνείπαπε D. — 428 εἴθ' ὤφελεϲ G. — 429 πρότερον E. — 430 πρὶν εὔχε' C. πρὶν εὔχεο D. πρίν γ' εὔχου G. πρίν γ' εὔχεο E. — 431 τῇ τε βίῃ G. — 432 προκάλεϲαι DH. — 433 ἐξ αὖτιϲ L. ἐξαῦθιϲ C. — 434 παύεϲθαι CE 431, 41 HL Barocc. Mosc. 1. Eton.: παύϲαϲθαι ADE 431, 36 GS Schol. Γ 432. παύϲεϲθαι Cant. Lips. μὴ δὲ CDGHL. — 436 δαμήηϲ: δαμείηϲ CDEGHLS. δαμαϲθῇϲ A. — 437 τήνδε G. προϲέειπε ACGH. — 438 γῦναι D. ὀνείδεϲϲι μῦθον D. ἔνιπτε ACE Cram. Ep. 172, 20. Et. Mg. 342, 51. Zonar. Lex. 749: ἔνιπε H Lips. ἔνιϲπε DGL Mor. Vrat. a. Mosc. 1. — 439 ἐνίκηϲε DEGH. — 440 αὖθιϲ C Schol. Z 339. παρὰ GH: πάρα ACDEL Et. Mg. 342, 10. Et. Gud. 139, 37. θεοὶ εἰϲὶ AGL.

A. c. 423—427 Ζηνόδοτοϲ μετετίθει „αὐτὴ δ' ἀντίον ἷζεν Ἀλεξάνδροιο ἄνακτοϲ ὄϲϲε πάλιν κλίναϲα κ. τ. ἑ.“ Aristonicus. — 424—426 ἀθετοῦνται, conf. Bekk. Anecd. 737, 9. Villoison. Anecd. Gr. II, 173. — 426 κάθιζ' Herodianus, conf. H. T. 403. — 432—436 ἀθετοῦνται Aristonicus. — 434 παύεϲθαι Aristarchus: παύϲαϲθαι Aristonicus ad 432. — 436 δαμήηϲ (non δαμείηϲ ut Schol. A) Aristarchus, conf. H. T. 405 sq.

ἀλλ᾽ ἄγε δὴ φιλότητι τραπείομεν εὐνηθέντε·
οὐ γάρ πώ ποτέ μ᾽ ὧδέ γ᾽ ἔρωc φρέναc ἀμφεκάλυψεν,
οὐδ᾽ ὅτε cε πρῶτον Λακεδαίμονοc ἐξ ἐρατεινῆc
ἔπλεον ἁρπάξαc ἐν ποντοπόροιcι νέεccι,
νήcῳ δ᾽ ἐν Κρανάῃ ἐμίγην φιλότητι καὶ εὐνῇ,
ὥc cεο νῦν ἔραμαι καί με γλυκὺc ἵμεροc αἱρεῖ.
ἦ ῥα, καὶ ἄρχε λέχοcδε κιών· ἅμα δ᾽ εἵπετ᾽ ἄκοιτιc.
τὼ μὲν ἄρ᾽ ἐν τρητοῖcι κατεύναcθεν λεχέεccιν,
Ἀτρεΐδηc δ᾽ ἀν᾽ ὅμιλον ἐφοίτα θηρὶ ἐοικώc,
εἴ που ἐcαθρήcειεν Ἀλέξανδρον θεοειδέα.
ἀλλ᾽ οὔ τιc δύνατο Τρώων κλειτῶν τ᾽ ἐπικούρων
δεῖξαι Ἀλέξανδρον τότ᾽ ἀρηιφίλῳ Μενελάῳ.
οὐ μὲν γὰρ φιλότητί γ᾽ ἐκεύθανον, εἴ τιc ἴδοιτο·
ἶcον γάρ cφιν πᾶcιν ἀπήχθετο κηρὶ μελαίνῃ.
τοῖcι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
κέκλυτέ μευ Τρῶεc καὶ Δάρδανοι ἠδ᾽ ἐπίκουροι·
νίκη μὲν δὴ φαίνετ᾽ ἀρηιφίλου Μενελάου·
ὑμεῖc δ᾽ Ἀργείην Ἑλένην καὶ κτήμαθ᾽ ἅμ᾽ αὐτῇ

V. ι. 441 ἀλλά γε S. φιλότητα GL. εὐνηθέντε ACGL: εὐνηθέντες DE bis H Townl. Vrat. a. Mosc. 1. Et. Mg. 794, 42. — 442 ὧδέγ᾽ A: ὧδ᾽ DH. ἔρωc φρέναc libri omnes: φρέναc ἔρωc Eust. 431, 46, qui 433, 8 haeret, ἔρωcne an ἔροc scribendum sit. εἰ δὲ γράφεται κατά τιναc „ὧδε φρέναc ἔρωc ἀμφεκάλυψεν", ἡ τοιαύτη γραφὴ cμικρύνει τὸ ἔροc, οὗ αἰτιατικὴ τὸν ἔρον Eust. 433, 10. — 443 cὲ E. πρῶτον: πρότερον C. — 444 ἁρπάcαc G. νέεccι ACDEGH. — 445 κραναῆι AE 433, 19. — 446 ὥc cεο ACH: ὡc cέο DEGL. ἔρραμαι D. ἶμεροc A. — 447 ῥὰ CDGHL. ἄρχε ACDEGHLS et libri apud Heynium: ἦρχε Barnes. ex coniectura, quam omnes fere editores recentes receperunt. λέχοc δὲ AE. — 448 ἆρ AEGL. κατεύναcθε D. — 449 ἐφοῖτα D. — 450 ἐc ἀθρήcειεν ADL. εἰcαθρήcειεν G. θεοειδῆ L. Mosc. 1. — 451 τρῴων GL. κλυτῶν G. — 453 γ᾽ omitt. G. — 454 cφι G. cφιcι Schol. I 378. — 456 τρῷεc L. τρῷεc καὶ εὐκνήμϊδεc ἀχαιοί G. — 458 ἡμεῖc D.

A. c. 442 ἔρωc Homero abiudicant Heyne., Bothe. cum Eustathio ὧδε φρέναc ἔροc scribendum esse censentes. sed haec scriptura metri vitio laborat, nam φρ apud Homerum ante se syllabam correptam non patitur (cf. H. U. 39.) nec productio ultimae in φρέναc excusationem habet. ἔρωc autem etiam Ξ 294 in omnibus fere libris legitur et c 212 in nonnullis, ἔροc non nisi Ξ 315, ubi perperam multi ἔρωc, ἔρωτα in Hymno ad Merc. 449. γ᾽ quod Bentley. ante ἔρωc inseruit, legitur in A, quemadmodum Γ 223, 453, Ζ 99, Η 97, Ξ 107, Ρ 336, β 122, ο 100, 280, π 263, ρ 454, τ 215, 331. — 445 Κρανάῃ, παροξυτόνωc, ἵνα κύριον ὄνομα γένηται Schol. D, vide H. T. 400 sq. — 446 ὥc cεο Herodianus.

ἔκδοτε, καὶ τιμὴν ἀποτινέμεν, ἥν τιν᾽ ἔοικεν,
ἥ τε καὶ ἐccομένοιcι μετ᾽ ἀνθρώποιcι πέληται.
ὣc ἔφατ᾽ Ἀτρεΐδηc, ἐπὶ δ᾽ ᾔνεον ἄλλοι Ἀχαιοί.

ΙΛΙΑΔΟC Δ.

Οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο
χρυcέῳ ἐν δαπέδῳ, μετὰ δέ cφιcι πότνια Ἥβη
νέκταρ ἐῳνοχόει· τοὶ δὲ χρυcέοιc δεπάεccι
δειδέχατ᾽ ἀλλήλουc Τρώων πόλιν εἰcορόωντεc.
αὐτίκ᾽ ἐπειρᾶτο Κρονίδηc ἐρεθιζέμεν Ἥρην
κερτομίοιc ἐπέεccι, παραβλήδην ἀγορεύων·
δοιαὶ μὲν Μενελάῳ ἀρηγόνεc εἰcὶ θεάων,
Ἥρη τ᾽ Ἀργείη καὶ Ἀλαλκομενηὶc Ἀθήνη.
ἀλλ᾽ ἤ τοι ταὶ νόcφι καθήμεναι εἰcορόωcαι
τέρπεcθον· τῷ δ᾽ αὖτε φιλομμειδὴc Ἀφροδίτη
αἰεὶ παρμέμβλωκε καὶ αὐτοῦ κῆραc ἀμύνει,
καὶ νῦν ἐξεcάωcεν οἰόμενον θανέεcθαι.
ἀλλ᾽ ἤ τοι νίκη μὲν ἀρηιφίλου Μενελάου·
ἡμεῖc δὲ φραζώμεθ᾽, ὅπωc ἔcται τάδε ἔργα,
ἤ ῥ᾽ αὖτιc πόλεμόν τε κακὸν καὶ φύλοπιν αἰνὴν

V. ι. 459 ἥν τιν᾽ ἔοικεν: ἣν ἐπέοικεν L. ἥν τ᾽ ἐπέοικε Mosc. 1. — 461 ὣc A. ἐπι L. ἀχαιῶν D.

A. c. 459 Aristarchus ἀποτινέμεν: ἀποτίνετον Zenodotus. vera scriptura videtur ἀποτίνετε, cf. de hiatu pg. 16.

V. ι. 1 παρ AD. — 2 μετα A. cφι[ci] L. Ἥβη: Ἥρη Apoll. Lex. 111, 30. — 3 ἐῳνοχόει libri omnes cum Eustathio, Schol. Θ 1. Schol. Eurip. Phoen. 28. Athen. XII, 513. Et. Mg. 600, 12. Rhet. Gr. III, 217, 18. Cram. An. Ox. IV, 179, 29. δεπάεccι ACDGHMN Eust. 682, 58. Athenaeus I, 13; XII, 513. — 4 δειδῖχατ᾽ H. δειδέκατ᾽ Vrat. a. τρῴων GL. — 6 παρακλήδην Lips. — 7 ἀρήγονεc H. — 8 ἀλαλκομενῆc L. — 10 φιλομμειδῆc ADL Schol. Ε 131: φιλομειδῆc CEGHMNO Lips. Et. Mg. 578, 32. διπλάζει τὸ μ̄ διὰ μέτρον κατά τινα τῶν ἀντιγράφων Eust. 439, 37. — 11 πὰρ μέμβλωκε G. — 12 οἰώμενον N. — 15 ἦ ῥ᾽ D. ἢ ῥὰ H. ἢ αὖτιc EL. αὖθιc C. — 16 ὤρcομεν L. ἢ A: ceteri ἤ. βάλλωμεν H.

A. c. 3 ἐῳνοχόει Herodianus, conf. Eust. 438, 11; 1635, 27: ἐνῳνοχόει Zenodotus. praestat οἰνοχόει ut A 598, conf. H. T. 324.

ὄρϲομεν, ἢ φιλότητα μετ᾽ ἀμφοτέροιϲι βάλωμεν.
εἰ δ᾽ αὖ πωϲ τόδε πᾶϲι φίλον καὶ ἡδὺ γένοιτο,
ἤ τοι μὲν οἰκέοιτο πόλιϲ Πριάμοιο ἄνακτοϲ,
αὖτιϲ δ᾽ Ἀργείην Ἑλένην Μενέλαοϲ ἄγοιτο.
ὣϲ ἔφαθ᾽, αἳ δ᾽ ἐπέμυξαν Ἀθηναίη τε καὶ Ἥρη.
πληϲίαι αἵ γ᾽ ἥϲθην, κακὰ δὲ Τρώεϲϲι μεδέϲθην.
ἤ τοι Ἀθηναίη ἀκέων ἦν οὐδέ τι εἶπε,
ϲκυζομένη Διὶ πατρί, χόλοϲ δέ μιν ἄγριοϲ ᾕρει·
Ἥρῃ δ᾽ οὐκ ἔχαδε ϲτῆθοϲ χόλον, ἀλλὰ προϲηύδα·
αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπεϲ.
πῶϲ ἐθέλειϲ ἅλιον θεῖναι πόνον ἠδ᾽ ἀτέλεϲτον,
ἱδρῶ θ᾽, ὃν ἵδρωϲα μόγῳ, καμέτην δέ μοι ἵπποι
λαὸν ἀγειρούϲῃ Πριάμῳ κακὰ τοῖό τε παιϲίν.
ἔρδ᾽· ἀτὰρ οὔ τοι πάντεϲ ἐπαινέομεν θεοὶ ἄλλοι.
τὴν δὲ μέγ᾽ ὀχθήϲαϲ προϲέφη νεφεληγερέτα Ζεύϲ·
δαιμονίη, τί νύ ϲε Πρίαμοϲ Πριάμοιό τε παῖδεϲ
τόϲϲα κακὰ ῥέζουϲιν, ὅ τ᾽ ἀϲπερχὲϲ μενεαίνειϲ
Ἰλίου ἐξαλαπάξαι ἐυκτίμενον πτολίεθρον;
εἰ δὲ ϲύ γ᾽ εἰϲελθοῦϲα πύλαϲ καὶ τείχεα μακρὰ
ὠμὸν βεβρώθοιϲ Πρίαμον Πριάμοιό τε παῖδαϲ
ἄλλουϲ τε Τρῶαϲ, τότε κεν χόλον ἐξακέϲαιο.
ἔρξον ὅπωϲ ἐθέλειϲ· μὴ τοῦτό γε νεῖκοϲ ὀπίϲϲω

V. ι. 17 αὖ πωϲ: αὔτωϲ CD. αύτωϲ A. αὖτωϲ GHLMNOS. — 19 αὖθιϲ C. — 20 ὡϲ A. αἳ δ᾽ DMNO. αἵδ: CHL. αἱ δὲ G. ὑπέμυξαν Cram. An. Par. III, 378, 31. — 21 πληϲίαι[ον] Eton. αἵ γ᾽: αἵδ᾽ O. τρῴεϲϲι GL. — 22 ἡ μὲν ἀθηναίη G. εἶπε ACN. — 23 ἧρει G. ἡιρει A. — 24 Ἥρη Eust. 125, 8; 1345, 1. Apoll. Lex. 166, 10. MN. οὐκ ἔχαδε ACE 125, 7; 440, 45; 965, 52 GHLMNOS Apoll. Lex. 166, 10: οὐ κέχαδε H Eust. 723, 47. ἐν τῷ „Ἥρῃ δ᾽ οὐ κέχαδε ϲτῆθοϲ χόλον" ἔχαδε δεῖ γράφειν ὡϲ δεύτερον ἀόριϲτον Eust. 1345, 2. χρῆϲιϲ δὲ τοῦ κέχαδεν ἐν τῷ „Ἥρῃ δ᾽ οὐ κέχαδε χόλον θυμόϲ". εἰ γὰρ καί τινεϲ βούλονται γράφειν ἔχαδε λόγῳ δευτέρου ἀορίϲτου, ἀλλ᾽ ἡ πλείων χρῆϲιϲ τῶν ἀντιγράφων κέχαδεν αὐτὸ οἶδεν Eust. 1487, 5. — 25 ἔειπαϲ N Mor. Vrat. a. — 27 ἔκαμον δέ μοι ἵπποι Eust. 441, 22, conf. ἔκαμον δέ μοι ὄϲϲε μ 232. ἵπποι: ἵππω S Cant. Schol. Ω 765. — 29 ἔρδ᾽: ἔρδ᾽ LMNO. ἔρδε H. ἔρδε ἂρ οὔτοι G. ἔρδε ἀτὰρ οὐ πάντεϲ E 441, 33. αὐτὰρ οὗτοι Appoll. Lex. 75, 25. οὔ τοι: οὔτι MN. ἐπαινέϲομεν Mosc. 1. — 30 τήνδε H. — 33 εὐκτήμενον D. — 34 ϲύγ᾽ ἐλθοῦϲα H. — 35 βεβρώθειϲ Mor. — 36 ἄλλουϲ τὲ CHM. τρῷαϲ G. — 37 ἔρξον HLMO. έρξον A.

A. c. 17 αὖ πωϲ Aristarchus: Aristophanes αὖ τὼϲ vel αὔτωϲ. Aristophanes γένοιτο: πέλοιτο Aristarchus. Axt. Coniect. Hom. (1861) pg. 5 coniecit εἰ δή πωϲ vel εἰ δ᾽ οὖν πωϲ.

ϲοὶ καὶ ἐμοὶ μέγ᾽ ἔριϲμα μετ᾽ ἀμφοτέροιϲι γένηται.
ἄλλο δέ τοι ἐρέω, ϲὺ δ᾽ ἐνὶ φρεϲὶ βάλλεο ϲῇϲιν·
ὁππότε κεν καὶ ἐγὼ μεμαὼϲ πόλιν ἐξαλαπάξαι
τὴν ἐθέλω, ὅθι τοι φίλοι ἀνέρεϲ ἐγγεγάαϲι,
μή τι διατρίβειν τὸν ἐμὸν χόλον, ἀλλά μ᾽ ἐᾶϲαι.
καὶ γὰρ ἐγὼ ϲοὶ δῶκα ἑκὼν ἀέκοντί γε θυμῷ·
αἳ γὰρ ὑπ᾽ ἠελίῳ τε καὶ οὐρανῷ ἀϲτερόεντι
ναιετάουϲι πόληεϲ ἐπιχθονίων ἀνθρώπων,
τάων μοι περὶ κῆρι τιέϲκετο Ἴλιοϲ ἱρὴ
καὶ Πρίαμοϲ καὶ λαὸϲ ἐυμμελίω Πριάμοιο.
οὐ γάρ μοί ποτε βωμὸϲ ἐδεύετο δαιτὸϲ ἐίϲηϲ,
λοιβῆϲ τε κνίϲηϲ τε· τὸ γὰρ λάχομεν γέραϲ ἡμεῖϲ.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα βοῶπιϲ πότνια Ἥρη·
ἤ τοι ἐμοὶ τρεῖϲ μὲν πολὺ φίλταταί εἰϲι πόληεϲ,
Ἄργόϲ τε Ϲπάρτη τε καὶ εὐρυάγυια Μυκήνη·
τὰϲ διαπέρϲαι, ὅτ᾽ ἄν τοι ἀπέχθωνται περὶ κῆρι·
τάων οὔ τοι ἐγὼ πρόϲθ᾽ ἵϲταμαι οὐδὲ μεγαίρω.
εἴ περ γὰρ φθονέω τε καὶ οὐκ εἰῶ διαπέρϲαι,
οὐκ ἀνύω φθονέουϲ᾽, ἐπεὶ ἦ πολὺ φέρτερόϲ ἐϲϲι.
ἀλλὰ χρὴ καὶ ἐμὸν θέμεναι πόνον οὐκ ἀτέλεϲτον·
καὶ γὰρ ἐγὼ θεόϲ εἰμι, γένοϲ δέ μοι ἔνθεν ὅθεν ϲοί,
καί με πρεϲβυτάτην τέκετο Κρόνοϲ ἀγκυλομήτηϲ,

V. ι. 38 ἔρειϲμα D 1. man. μεταμφοτέροιϲι A. — 39 ἐνι A. ϲῇϲϊ M. — 41 ἐγγεγάαϲι A Vrat. b. Townl. Mosc. 1. 3 ex corr. ἐγγεγάαϲιν L: ἐκγεγάαϲι CEGHMNO. ἐκγεγάαϲιν D. — 42 μή τι: μή μοι N. ἔαϲον G. — 43 ἐγὼ ϲοὶ ACH: ἐγώ ϲοι DGLMNO. ἐγώ τοι E bis S. ἐγὼ τοι Cant. ἀέκοντί τε[γε] O. — 44 ἠελίωι τὲ A. — 45 ναιετάωϲι D. πόλιεϲ CGN. — 46 ἐκ τῶν μοι G. περὶ ACELMN: πέρι DGHO. — 47 ἐϋμελίω EGMO. εὐμελίω D. ἐϋμμελίωι A. ἐϋμμελίου L. — 48 γάρ μοι ποτὲ CDGHL. βωμόϲ: θυμὸϲ E. ἐΐϲϲηϲ NO. — 49 κνίϲηϲ AG: κνίϲϲηϲ CDEHLMNO. — 51 πολυφίλταταί AG (αι). εἰϲὶ DGLN. γρ. πολυφίλταται O. φίλτατοι N Vrat. a. — 53 διάπερϲον G. ὅταν EGLN. ὅτάν CDH. ἀπέχθονται D. πέρι O. — 54 οὔτι EGMS: οὔτοι ACDHL Townl. Eton. Mosc. 1. 3. προΐϲταμαι G. — 55 ἐπεὶ ἦ Et. Mg. 115, 14. Cram. An. Par. III, 302, 9. ἐπειῆ A. ἐπεὶ ἦ C et ἡ duobus accentibus. ἐπεὶ ἡ D: ceteri ἐπειή. πολυφέρτατόϲ D. φέρτεροϲ ἐϲϲὶ GMNO. φέρτατοϲ ἐϲϲὶ L. φέρτατόϲ ἐϲϲι A in marg. — 57 ἀλλὰ γὰρ χρὴ M. — 58 δέ μοι ACDEGHLOS: vulgo δ᾽ ἐμοί. — 59 καί μοι H.

A. c. 43 ἐγὼ ϲοὶ Herodianus. δῶκα ἑκών: δῶκ᾽ ἀέκων Trypho. — 46 περὶ Herodianus: alii πέρι, conf. H. T. 337. — 55, 56 ἀθετοῦνται Aristonicus.

ἀμφότερον, γενεῇ τε καὶ οὕνεκα cῇ παράκοιτις
κέκλημαι, cὺ δὲ πᾶcι μετ᾽ ἀθανάτοιcιν ἀνάccειc.
ἀλλ᾽ ἤ τοι μὲν ταῦθ᾽ ὑποείξομεν ἀλλήλοιcι,
cοὶ μὲν ἐγώ, cὺ δ᾽ ἐμοί· ἐπὶ δ᾽ ἕψονται θεοὶ ἄλλοι
ἀθάνατοι. cὺ δὲ θᾶccον Ἀθηναίῃ ἐπιτεῖλαι
ἐλθεῖν ἐc Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν,
πειρᾶν δ᾽ ὥc κε Τρῶεc ὑπερκύδανταc Ἀχαιοὺc
ἄρξωcι πρότεροι ὑπὲρ ὅρκια δηλήcαcθαι.
ὣc ἔφατ᾽, οὐδ᾽ ἀπίθηcε πατὴρ ἀνδρῶν τε θεῶν τε·
αὐτίκ᾽ Ἀθηναίην ἔπεα πτερόεντα προcηύδα·
αἶψα μάλ᾽ ἐc cτρατὸν ἐλθὲ μετὰ Τρῶαc καὶ Ἀχαιούc,
πειρᾶν δ᾽ ὥc κε Τρῶεc ὑπερκύδανταc Ἀχαιοὺc
ἄρξωcι πρότεροι ὑπὲρ ὅρκια δηλήcαcθαι.
ὣc εἰπὼν ὤτρυνε πάροc μεμαυῖαν Ἀθήνην,
βῆ δὲ κατ᾽ Οὐλύμποιο καρήνων ἀίξαcα.
οἷον δ᾽ ἀcτέρα ἧκε Κρόνου πάϊc ἀγκυλομήτεω,
ἢ ναύτῃcι τέραc ἠὲ cτρατῷ εὐρέϊ λαῶν,
λαμπρόν· τοῦ δέ τε πολλοὶ ἀπὸ cπινθῆρεc ἵενται·
τῷ εἰκυῖ᾽ ἤϊξεν ἐπὶ χθόνα Παλλὰc Ἀθήνη,
κὰδ δ᾽ ἔθορ᾽ ἐc μέccον· θάμβοc δ᾽ ἔχεν εἰcορόωνταc
Τρῶάc θ᾽ ἱπποδάμουc καὶ ἐυκνήμιδαc Ἀχαιούc.
ὧδε δέ τιc εἴπεcκεν ἰδὼν ἐc πληcίον ἄλλον·
ἦ ῥ᾽ αὖτιc πόλεμόc τε κακὸc καὶ φύλοπιc αἰνὴ

V. l. 62 ἐπιείξομεν Apoll. de Synt. 123, 13. ἀλλήλοιcι ACDEGMNO. — 63 ἐπι CD. — 64 θάccον D. ἐπίτειλαι Apoll. de Synt. 78, 14. — 65 εἰc O. τρῴων GL. — 66 πειρᾶν δ᾽ ACDEHMNOS Mor. Vrat. b. Eton. Townl. Mosc. 1. Schol. Aristoph. Plut. 322. Cram. Epim. 269, 29. Schol. Γ 276. πειρᾷν δ᾽ G Apoll. de Synt. 78, 19. Et. Gud. 390, 28. δ᾽ omitt. L. κε Et. Gud. 390, 28: κεν ACDEGHLMNO Apoll. de Synt. 78, 19. Cram. Epim. 269, 29. ὡc κέντροιcιν Schol. Γ 276. τρῷεc GL. — 67 ἄρξανταc προτέρουc Schol. Γ 276. ὑπερόρκια ACDGHL Mor.: ὑπὲρ ὅρκια E. — 68 ὡc A. ἀπείθηcε D. — 69 αὐτίκα δ᾽ MN. προcηῦδα D. — 70 μετα A. τρῷαc G. — 71 πειρᾷν G. κεν ACDGHLMNOS Anonym. περὶ βαρβαριcμοῦ ed. Valckenaer. p. 200. τρῷεc G. — 72 πρότερον O. ὑπερόρκια ACDGHL. — 73 ὡc A. — 75 ἀcτέρα ἧκε omnes. πάϊc: παῖc libri cum Schol. Ρ 547. — 76 ναύταιcι G. ἢ cτρατῷ G. — 77 ἄπο G. ἀπο CDHM. ἵενται DLM. Vrat. a. — 78 εἰκυῖα G. εἰκυίη D. τῷ ἰκέλη L. — 79 καδδ᾽ CGHLMNO. καδδέθορ᾽ D. μέcον GM. δ᾽ ἔcχεν G. — 80 τρῷαc θ᾽ GL. εὐκνήμιδαc CDGHLMO. — 82 ἤ ῥ᾽ GO. αὖθιc C.

A. c. 63 δ᾽ ἐμοὶ Apoll. de Pron. 50 A; 103 C; de Synt. 98, 4; 112, 10. — 64 Aristarchus ἐπιτεῖλαι, conf. Et. Mg. 365, 40. — 77 ἄπο et ἀπὸ Schol. BL.

ἔccεται, ἢ φιλότητα μετ᾽ ἀμφοτέροιcι τίθηcι
Ζεύc, ὅc τ᾽ ἀνθρώπων ταμίηc πολέμοιο τέτυκται.
ὣc ἄρα τιc εἴπεcκεν Ἀχαιῶν τε Τρώων τε.
ἡ δ᾽ ἀνδρὶ ἰκέλη Τρώων κατεδύcεθ᾽ ὅμιλον,
Λαοδόκῳ Ἀντηνορίδῃ, κρατερῷ αἰχμητῇ,
Πάνδαρον ἀντίθεον διζημένη, εἴ που ἐφεύροι.
εὗρε Λυκάονοc υἱὸν ἀμύμονά τε κρατερόν τε
ἑcταότ᾽· ἀμφὶ δέ μιν κρατεραὶ cτίχεc ἀcπιcτάων
λαῶν, οἵ οἱ ἕποντο ἀπ᾽ Αἰcήποιο ῥοάων.
ἀγχοῦ δ᾽ ἱcταμένη ἔπεα πτερόεντα προcηύδα·
ἦ ῥά νύ μοί τι πίθοιο Λυκάονοc υἱὲ δαΐφρον;
τλαίηc κεν Μενελάῳ ἐπιπροέμεν ταχὺν ἰόν,
πᾶcι δέ κε Τρώεccι χάριν καὶ κῦδοc ἄροιο,
ἐκ πάντων δὲ μάλιcτα Ἀλεξάνδρῳ βαcιλῆι.
τοῦ κεν δὴ πάμπρωτα παρ᾽ ἀγλαὰ δῶρα φέροιο,
αἴ κεν ἴδῃ Μενέλαον ἀρήιον, Ἀτρέοc υἱόν,
cῷ βέλεϊ δμηθέντα πυρῆc ἐπιβάντ᾽ ἀλεγεινῆc.
ἀλλ᾽ ἄγ᾽ ὀΐcτευcον Μενελάου κυδαλίμοιο,
εὔχεο δ᾽ Ἀπόλλωνι λυκηγενέϊ κλυτοτόξῳ
ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην
οἴκαδε νοcτήcαc ἱερῆc εἰc ἄcτυ Ζελείηc.

V. l. 83 τίθηcι ACEGHMN: τίθηειν DLO Apoll. Lex. 163, 7. τιθεῖμεν Et. Mg. 794, 43, quod fortasse pertinet ad ω 476. — 84 ἀνθρώποιc M. ταμίαc G. — 85 ὡc A. ἀρά D. τίc GMO. τρῴων G. — 86 ἡδ᾽ CGHLMNO. ἱκέλη CGHLM. εἰκέλη D. τρῴων CGL. κατεδύcεθ᾽ N Townl. Vrat. b. κατεδύccεθ᾽ Lips. Mosc. 3. καταδύcεθ᾽ A: κατεδύcαθ᾽ CDGHMOS Mor. Et. Gud. 164, 24. κατεδύccαθ᾽ L Vrat. a. — 87 ἀντινορίδῃ G. κραταιῷ O. — 88 ἐφεύρη[οι] O. — 89 εὗρε δὲ DGL. — 90 ἀμφι A. — 91 ἕποντο[αι] O. ἀπαιcήποιο D. αἰcύποιο G. — 92 ἔπεα πτερόεντα προcηύδα (προcηῦδα D): προcέφη γλαυκῶπιc Ἀθήνη NS Cant. Lips. Mor. γρ. προcέφη γλαυκῶπιc ἀθήνη O in marg. — 93 ἦ ῥὰ νύ H. ἦ ῥὰ νύ μοι τί NO. νύ μοι τί CDGH. ἦ ῥά νύ μοι τι M. νύ μοι τι L. πείθοιο C. — 94 τλαίηc G. ἐπιπροέμεν A. — 95 κε ADEGH Schol. Ι 303: κεν LMNOS Vrat. b. c. κε omitt. C. τρώεccι L. — 96 μάλιcτ᾽ C Lips. Townl. — 97 παρ᾽ ACDNO: πάρ᾽ EGHLM. — 98 ἴδοι O. ἀτρέωc DGNO. — 99 πυρῆc τ᾽ G Mor. Vrat. a. πυρῆc δ᾽ L. ἐπιβάντ᾽ A. — 100 ἀλλά γ᾽ M Vrat. c. ἀλλά γε E. — 101 λυκηγενέϊ A. — 102 πρωτογόνων A. πρωτοτόκων Et. Gud. 78, 58. — 103 οἴκα δὲ A. ἱερῆc ἄcτυ γε Ζελείηc L.

A. c. 88 εἴ που ἐφεύροι: εὗρε δὲ τόνδε Zenodotus, τὸν δὲ δεύτερον (89) οὐδὲ γράφει Aristonicus. — 94 Menecrates Milesius ἐπιπροέμεν: ἔπι προέμεν Aristarchus. — 97 παρ᾽ Herodianus: alii πάρ᾽.

ὣϲ φάτ᾽ Ἀθηναίη, τῷ δὲ φρένας ἄφρονι πεῖθεν.
αὐτίκ᾽ ἐϲύλα τόξον ἐΰξοον ἰξάλου αἰγὸϲ
ἀγρίου, ὅν ῥά ποτ᾽ αὐτὸϲ ὑπὸ ϲτέρνοιο τυχήϲαϲ
πέτρηϲ ἐκβαίνοντα, δεδεγμένοϲ ἐν προδοκῇϲι,
βεβλήκει πρὸϲ ϲτῆθοϲ· ὃ δ᾽ ὕπτιοϲ ἔμπεϲε πέτρῃ.
τοῦ κέρα ἐκ κεφαλῆϲ ἑκκαιδεκάδωρα πεφύκει·
καὶ τὰ μὲν ἀϲκήϲαϲ κεραοξόοϲ ἤραρε τέκτων,
πᾶν δ᾽ εὖ λειήναϲ χρυϲέην ἐπέθηκε κορώνην.
καὶ τὸ μὲν εὖ κατέθηκε τανυϲϲάμενοϲ, ποτὶ γαίῃ
ἀγκλίναϲ· πρόϲθεν δὲ ϲάκεα ϲχέθον ἐϲθλοὶ ἑταῖροι,
μὴ πρὶν ἀναΐξειαν ἀρήιοι υἷεϲ Ἀχαιῶν,
πρὶν βλῆϲθαι Μενέλαον ἀρήιον, Ἀτρέοϲ υἱόν.
αὐτὰρ ὃ ϲύλα πῶμα φαρέτρηϲ, ἐκ δ᾽ ἕλετ᾽ ἰὸν
ἀβλῆτα πτερόεντα, μελαινέων ἕρμ᾽ ὀδυνάων·
αἶψα δ᾽ ἐπὶ νευρῇ κατεκόϲμει πικρὸν ὀιϲτόν,
εὔχετο δ᾽ Ἀπόλλωνι λυκηγενέι κλυτοτόξῳ
ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην
οἴκαδε νοϲτήϲαϲ ἱερῆϲ εἰϲ ἄϲτυ Ζελείηϲ.
ἕλκε δ᾽ ὁμοῦ γλυφίδαϲ τε λαβὼν καὶ νεῦρα βόεια·
νευρὴν μὲν μαζῷ πέλαϲεν, τόξῳ δὲ ϲίδηρον.
αὐτὰρ ἐπεὶ δὴ κυκλοτερὲϲ μέγα τόξον ἔτεινε,

V. L. 104 ἔφατ᾽ D. — 105 ἐϲύλλα Eton. ἰξάλου Schol. B 827. Et. Gud. 131, 4. ἴξάλου A. — 106 ῥα H. ὕπο AEM. ϲτέρνοιο: ϲτέρνοιϲι Schol. B 827. — 107 προδοκῇϲι A Ambros. CDELMNO. προδόκαιϲι G. — 108 ὅδ᾽ CDGHLMN. ἔπεϲε M. — 109 ἑκκαιδεκάδωρα A. ἑκκαίδεκα δῶρα G. — 110 κεραοξόοϲ A. — 111 λειήναϲ CG. ΛΙΗΝΑϹ ΚΡΥϹΕΗΝ Ambros. χρυϲῆν Et. Mg. 530, 25. — 112 τανυϲάμενοϲ EHMN. — 113 ἐγκλίναϲ H Lips. Eton. Vrat. a. — 114 ἀναΐξειαν: ἀναῤῥήξειαν Vrat. a. — 115 βλῆϲθαι: βεβλῆϲθαι N. βληθῆναι G. ἀτρέωϲ DG Vrat. a. b. Mosc. 1. ἀρήϊον ἀρχὸν ἀχαιῶν C. abest hic versus ab Etonensi. — 116 ὃ ACDGHLMNO. — 117 μελαινέων A: μελαινάων CDEGHLMNO Apoll. Lex. 2, 26. μελενάων Apoll. Lex. 76, 32. — 118 ἐπὶ: ἐπεὶ G. κατεκόϲμεε NS Cant. — 119 λυκηγενέϊ A. — 120 πρωτογόνων A. — 122 γλυφίδαϲ τὲ CMO. γλυφίδ᾽ αὖτε G. — 123 πέλαϲε EGO. πέλαϲϲεν DM ex corr. — 124 *ἐπεὶ δή: libri ἐπειδή. ἔτεινε ACEHMO.

A. c. 107 δεδεγμένοϲ: δεδεχμένοϲ, conf. H. T. 224. — 117 ἀθετεῖται Aristonicus, conf. Apoll. Lex. 76, 34. μελαινέων: οὕτω διὰ τοῦ ε̄ διὰ τὸ μέτρον Schol. A. — 118 κατεκόϲμεε, conf. H. U. 97. — 123 ὅτι Ζηνόδοτοϲ πρὸ τούτου τὸν ἑξῆϲ (124) τέταχεν Aristonicus. — 124 ἐπεὶ δή in duas dictiones resolvendum esse ostendunt ἐπεὶ οὖν δή ρ 226, ϲ 362, ἐπεὶ ἄρ δή α 231, ο 390, ἐπὴν δή Ν 285, Π 453, α 293, ε 363, ϲ 269 et docuit Io. Alexandr. 40, 21 ὁ εἰ δή καὶ ἐπεὶ δή δύο μέρη λόγου εἰϲὶν ὀξυνόμενα.

λίγξε βιόϲ, νευρὴ δὲ μέγ᾽ ἴαχεν, ἆλτο δ᾽ ὀιϲτὸϲ
ὀξυβελὴϲ καθ᾽ ὅμιλον ἐπιπτέϲθαι μενεαίνων.
οὐδὲ ϲέθεν Μενέλαε θεοὶ μάκαρεϲ λελάθοντο
ἀθάνατοι, πρώτη δὲ Διὸϲ θυγάτηρ ἀγελείη,
ἥ τοι πρόϲθε ϲτᾶϲα βέλοϲ ἐχεπευκὲϲ ἄμυνεν.
ἣ δὲ τόϲον μὲν ἔεργεν ἀπὸ χροόϲ, ὡϲ ὅτε μήτηρ
παιδὸϲ ἐέργῃ μυῖαν, ὅθ᾽ ἡδέι λέξεται ὕπνῳ·
αὐτὴ δ᾽ αὖτ᾽ ἴθυνεν ὅθι ζωϲτῆροϲ ὀχῆεϲ
χρύϲειοι ϲύνεχον καὶ διπλόοϲ ἤντετο θώρηξ.
ἐν δ᾽ ἔπεϲε ζωϲτῆρι ἀρηρότι πικρὸϲ ὀιϲτόϲ·
διὰ μὲν ἂρ ζωϲτῆροϲ ἐλήλατο δαιδαλέοιο,
καὶ διὰ θώρηκοϲ πολυδαιδάλου ἠρήρειϲτο
μίτρηϲ θ᾽, ἣν ἐφόρει ἔρυμα χροόϲ, ἕρκοϲ ἀκόντων,
ἥ οἱ πλεῖϲτον ἔρυτο· διὰ πρὸ δὲ εἴϲατο καὶ τῆϲ.
ἀκρότατον δ᾽ ἄρ᾽ ὀιϲτὸϲ ἐπέγραψε χρόα φωτόϲ·
αὐτίκα δ᾽ ἔῤῥεεν αἷμα κελαινεφὲϲ ἐξ ὠτειλῆϲ.
ὡϲ δ᾽ ὅτε τίϲ τ᾽ ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ
Μῃονὶϲ ἠὲ Κάειρα, παρήιον ἔμμεναι ἵππων·
κεῖται δ᾽ ἐν θαλάμῳ, πολέεϲ τέ μιν ἠρήϲαντο
ἱππῆεϲ φορέειν· βαϲιλῆι δὲ κεῖται ἄγαλμα,
ἀμφότερον, κόϲμόϲ θ᾽ ἵππῳ ἐλατῆρί τε κῦδοϲ·

V. L. 125 ἆλτο ADEGHLMNO. ἄλτο C. ἅλτο S. — 126 ὀξυβελὴϲ A. — 129 πρόϲθε EHN: πρόϲθεν ACDGLMO. ἐχεπευκὲϲ A. — 130 ἢ δὲ C. — 131 ἐέργῃ AM Townl. Cram. Epim. 169, 14: ἐέργει CDEGHLNO. — 132 αὖθ᾽: αὖ Draco de Metr. 52, 5. — 133 ϲῦνέχον G (sic). δίπλοοϲ A. θώραξ G. — 135 ἀρ A. — 136 ἐρήριϲτο D. — 137 μίτρηϲ δ᾽ M. μίτρῃ θ᾽ L post ras. — 138 διὰ πρὸ ACDEM Schol. Ν 191, Υ 269: vulgo διαπρὸ. διαπρο δε L. διὰ προ δ᾽ N. δὲ εἴϲατο libri omnes excepto N. — 139 ἆρ DGHM. ἀρ A. — 141 τ᾽ omitt. LO. μιήνη CD. μιήνει Apoll. Lex. 164, 30. — 142 ἠὲ: ἠδὲ S. ἵππων: ἵππου Eust. 1051, 61. γρ. ἵππω O. — 143 δέ μιν H. — 145 ἵππῳ: ἵππων DO Apoll. Lex. 6, 31. ἐλατῆρι τὲ CM. δὲ O Vrat. b. Et. Mg. 532, 16.

A. c. 126 ἐπιπτέϲθαι Herodianus. — 129 ἥ τοι: οὕτω μετὰ τοῦ τ̄ ἥ τοι Didymus. πρόϲθεν, conf. H. U. 44. — 137 Aristarchus ἔρυμα: ἔλυμα Aristophanes cum Zenodoto, conf. Cram. An. Par. III, 9, 6; 282, 5. — 138 ἔρυτο Aristarchus. — 139 ἄρ᾽ ὀιϲτὸϲ: ἄρα χαλκὸϲ Zenodotus. ἐπέγραψε χωρὶϲ τοῦ ν̄ Aristarchus. — 140 ἀθετεῖται Aristonicus, conf. Apoll. Lex. 171, 27. — 141 ἐλέφαντα Aristarchus: alii ἐλεφαντά. — 142 διὰ τοῦ ῑ τινὲϲ τὸ Κάϊρα γράφουϲιν Eust. 456, 12. ἵππων: διχῶϲ καὶ ἵππω (sic) δυϊκῶϲ καὶ πληθοντικῶϲ. ἐν δὲ τῇ κατὰ Ἀριϲτοφάνη μόνωϲ δυϊκῶϲ, conf. Grashof. „das Fuhrwerk bei Homer“ pg. 39. H. T. 144.

τοῖοί τοι Μενέλαε μιάνθην αἵματι μηροὶ
εὐφυέες κνῆμαί τε ἰδὲ σφυρὰ κάλ᾽ ὑπένερθε.
ῥίγησεν δ᾽ ἄρ᾽ ἔπειτα ἄναξ ἀνδρῶν ᾽Αγαμέμνων,
ὡς εἶδεν μέλαν αἷμα καταρρέον ἐξ ὠτειλῆς·
ῥίγησεν δὲ καὶ αὐτὸς ἀρηίφιλος Μενέλαος.
ὡς δὲ ἴδεν νεῦρόν τε καὶ ὄγκους ἐκτὸς ἐόντας,
ἄψορρόν οἱ θυμὸς ἐνὶ στήθεσσιν ἀγέρθη.
τοῖς δὲ βαρὺ στενάχων μετέφη κρείων ᾽Αγαμέμνων,
χειρὸς ἔχων Μενέλαον· ἐπεστενάχοντο δ᾽ ἑταῖροι·
φίλε κασίγνητε, θάνατόν νύ τοι ὅρκι᾽ ἔταμνον,
οἶον προστήσας πρὸ ᾽Αχαιῶν Τρωσὶ μάχεσθαι,
ὥς σ᾽ ἔβαλον Τρῶες, κατὰ δ᾽ ὅρκια πιστὰ πάτησαν.
οὐ μέν πως ἅλιον πέλει ὅρκιον αἷμά τε ἀρνῶν
σπονδαί τ᾽ ἄκρητοι καὶ δεξιαί, ᾗς ἐπέπιθμεν.
εἴ περ γάρ τε καὶ αὐτίκ᾽ ᾽Ολύμπιος οὐκ ἐτέλεσσεν,
ἔκ τε καὶ ὀψὲ τελεῖ, σύν τε μεγάλῳ ἀπέτισαν,
σὺν σφῇσιν κεφαλῇσι γυναιξί τε καὶ τεκέεσσιν.
εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν·

V. L. 146 τοῖοί τε H. μιάνθη L. μιάνθεν G. — 147 τε ἰδὲ ACDH LMNO: τε ἠδὲ GE. κάλλ᾽ C. ὑπένερθε AGHO. — 148 ῥίγησε EGH 1. man. MO. δ᾽ ἆρ DEGHLMO sup. δ᾽ ἀρ A. τὰρ O 1. man. τ᾽ ἆρ N. — 149 εἶδε M. — 150 ῥίγησε GMO. — 151 δὲ ἴδεν AHLM Lips. Harl. Townl. Vrat. a. Schol. φ 61. Cram. An. Par. III, 334, 15. δὲ ἴδε GO. δ᾽ ἴδεν Mosc. 1. 3. δ᾽ ἴδε E. δ᾽ εἶδεν CS. δ᾽ εἶδε DN Et. Mg. 613, 47. ὡς εἶδε Zonar. Lex. 1424. — 152 ἄψορον οἳ D. ἄψορρόν θ᾽ οἱ M. στή-θεσιν G 1. man. — 153 τοῖς δὲ: τὸν δὲ LN. τόνδε G. τοὺς δὲ Schol. A 364. βαρὺ στενάχων A Schol. A 364: βαρυστενάχων CDEGHLMNO. μετ-έφη: προσέφη CNS et C (Cant.) L apud Bentl. — 154 ἐπεστονάχοντο GHL. — 155 φῖλε AG: ceteri φίλε. θάνατον ACD. ὅρκι᾽ D. ὁρκι᾽ A. ἔταμνον: ἔταμον N. γρ. ἔταμον O. — 156 οἶον DL. προ A. τρωσὶ L. — 157 ὡς omisso σ᾽ DGS. ᾧ σ᾽ Hesych. IV, 333. τρῷες GL. κατα CL. ϊ όρκια A. — 158 μέν περ S. μέν O. ἅλιον DL. πέλοι C et L apud Bentl. ὅρκιον D. αἷμα κατ᾽ ἀρνῶν M. — 159 ᾗς: αἷς GO Zonar. Lex. 831. — 160 ἐτέλεσεν M. — 162 σφῇσι EGHL 1. man. MNO Schol. B 259. τε-κέεσσϊ H. — 163 κατα A bis.

A. c. 148 οὕτως ἀρίσταρχος ῥίγησεν δὰρ (sic) διὰ τοῦ δ̄ οὐ διὰ τοῦ τ̄ Didymus. — 149 ἀθετεῖται Aristonicus, conf. Schol. Ξ 424. — 151 δὲ ἴδεν Herodianus: alii δ᾽ εἶδεν. — 153 altera lectio erat τὸν δὲ....προσέφη, quae est integra in Cod. N. ex his duobus lectionibus conflatae sunt scripturae librorum, qui aut τοῖς δὲ προσέφη aut τὸν δὲ μέτεφη exhibent. στενάχων Aristarchus: Dion. Sidonius στεναχῶν. — 155 φῖλε Ptolem. Ascalonita, vide ad E 359 et Eust. 556, 34. — 161 τελεῖ...ἀπέτισαν: Zenodotus τελέσει et τίσουσιν. placet coniectura Bekkeri ἐκ δὲ pro ἔκ τε scribentis.

ἔσσεται ἦμαρ, ὅτ᾽ ἄν ποτ᾽ ὀλώλῃ Ἴλιος ἱρὴ
καὶ Πρίαμος καὶ λαὸς ἐυμμελίω Πριάμοιο,
Ζεὺς δέ σφι Κρονίδης ὑψίζυγος, αἰθέρι ναίων,
αὐτὸς ἐπισσείῃσιν ἐρεμνὴν αἰγίδα πᾶσι
τῆσδ᾽ ἀπάτης κοτέων. τὰ μὲν ἔσσεται οὐκ ἀτέλεστα·
ἀλλά μοι αἰνὸν ἄχος σέθεν ἔσσεται, ὦ Μενέλαε,
αἴ κε θάνῃς καὶ πότμον ἀναπλήσῃς βιότοιο.
καί κεν ἐλέγχιστος πολυδίψιον Ἄργος ἱκοίμην·
αὐτίκα γὰρ μνήσονται ᾽Αχαιοὶ πατρίδος αἴης·
κὰδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωσὶ λίποιμεν
᾽Αργείην ῾Ελένην· σέο δ᾽ ὀστέα πύσει ἄρουρα
κειμένου ἐν Τροίῃ ἀτελευτήτῳ ἐπὶ ἔργῳ.
καί κέ τις ὧδ᾽ ἐρέει Τρώων ὑπερηνορεόντων
τύμβῳ ἐπιθρῴσκων Μενελάου κυδαλίμοιο·
αἴθ᾽ οὕτως ἐπὶ πᾶσι χόλον τελέσει᾽ ᾽Αγαμέμνων,
ὡς καὶ νῦν ἅλιον στρατὸν ἤγαγεν ἐνθάδ᾽ ᾽Αχαιῶν,
καὶ δὴ ἔβη οἶκον δὲ φίλην ἐς πατρίδα γαῖαν
σὺν κεινῇσιν νηυσί, λιπὼν ἀγαθὸν Μενέλαον.

V. L. 164 ἤμαρ D. ὅτ᾽ ἄν ACE 459, 29; 460, 14; 756, 9; 962, 40. ὅτάν DHMN: ὅταν E 460, 6 N Strabo XIII, 601. Schol. Θ 373, 527. ὀλώλει N. — 165 ἐϋμελίω GO Schol. B 461. εὐμελίω D. ἐϋμελίωι C. ἐϋμμελίου L. — 166 σφι AE: σφιν CDGHLMOS Schol. Θ 5, I 418. γάρ σφιν N, conf. I 236, Σ 185, Ω 143; Λ 734, ξ 86, ο 524. — 167 ἐπισείη-σιν E Schol. Θ 5. ἐπισείῃσι DMO. ἐπισείῃσι Schol. Δ 249. πᾶσι CDE GHNO: πᾶσιν ALM Schol. P 595. — 168 τῆσδ᾽: τῆς Schol. β 315. — 169 σέθεν ἔσσεται: ἔσεται σέθεν Et. Mg. 36, 3. — 170 πότμον: μοῖραν ACDEGHLMNO. γρ. πότμον H. — 171 καί κεν: ἤ κεν Bekk. An. 1155. πολυδίψιον A. πολὺ δίψιον D. — 173 καδδέκεν ACDGHLMNO. τρῳσὶ L. λίποιμεν AHMO: λίποιεν CDGLNS Cant. Lips. Eton. — 174 πύσσει C. — 176 καί κεν D. τριΰων GL. — 177 ἐπιθρωίσκων A: ceteri ἐπιθρώ-σκων. — 178 τελέσει᾽ ADO Cant. Apoll. de Synt. 247, 26; 250, 11: τε-λέσει C 1. man. GHLM Schol. B 4. τελέσει[αι] S. τελέσοι EN. — 179 ἅλιον N. — 180 οἶκον δὲ AD: οἶκονδε CGHMNO. οἴκονδε L. οἰκόνδε E. — 181 κεινῇσι DEHLMO. κειναῖσι ναυσὶ G. νέεσσι L. χερσὶ et supra νηυσὶ S Cant.

A. c. 170 πότμον Aristarchus pro μοῖραν quod legebatur ἐν ταῖς κοιναῖς. conf. Λ 263 πότμον ἀναπλήσαντες. — 171 ἐλέγχιστος et ἐλέγ-χιστον Aristarchus (διχῶς). πολυδίψιον: τοῦτο ἀντὶ τοῦ πολυπόθητον κεῖται, ἢ χωρὶς τοῦ δ̄ πολυΐψιον· καὶ σὺν τῷ δ̄ δὲ ὑπερβάτως δέχονταί τινες κατὰ συναλοιφὴν μετὰ τοῦ συνδέσμου τοῦ δέ, ἵν᾽ ᾖ οὕτως „καί κεν ἐλέγχιστος πολὺ δ᾽ ἴψιον Ἄργος ἱκοίμην“ [ἢ] πολυΐψιον Ἄργοσδε ἱκοίμην ἀντὶ τοῦ „εἰς Ἄργος“ Strabo VIII, 370, conf. Eust. 461, 7. — 174 ᾽Αργείην θ᾽ ῾Ελένην Zenodotus, conf. Schol. B 161. — 178 τελέσει᾽ conf. H. U. 243.

ὥς ποτέ τις ἐρέει· τότε μοι χάνοι εὐρεῖα χθών.
τὸν δ᾽ ἐπιθαρσύνων προσέφη ξανθὸς Μενέλαος·
θάρσει, μηδέ τί πω δειδίσσεο λαὸν Ἀχαιῶν.
οὐκ ἐν καιρίῳ ὀξὺ πάγη βέλος, ἀλλὰ πάροιθεν
εἰρύσατο ζωστήρ τε παναίολος ἠδ᾽ ὑπένερθε
ζῶμά τε καὶ μίτρη, τὴν χαλκῆες κάμον ἄνδρες.
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων·
αἲ γὰρ δὴ οὕτως εἴη, φίλος ὦ Μενέλαε·
ἕλκος δ᾽ ἰητὴρ ἐπιμάσσεται ἠδ᾽ ἐπιθήσει
φάρμαχ᾽, ἅ κεν παύσῃσι μελαινάων ὀδυνάων.
ἦ, καὶ Ταλθύβιον, θεῖον κήρυκα, προσηύδα·
Ταλθύβι᾽, ὅττι τάχιστα Μαχάονα δεῦρο κάλεσσον,
φῶτ᾽ Ἀσκληπιοῦ υἱόν, ἀμύμονος ἰητῆρος,
ὄφρα ἴδῃ Μενέλαον ἀρήιον, Ἀτρέος υἱόν,
ὅν τις ὀιστεύσας ἔβαλεν τόξων εὖ εἰδὼς
Τρώων ἢ Λυκίων, τῷ μὲν κλέος, ἄμμι δὲ πένθος.
ὣς ἔφατ᾽, οὐδ᾽ ἄρα οἱ κῆρυξ ἀπίθησεν ἀκούσας,
βῆ δ᾽ ἰέναι κατὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων
παπταίνων ἥρωα Μαχάονα. τὸν δὲ νόησεν
ἑσταότ᾽· ἀμφὶ δέ μιν κρατεραὶ στίχες ἀσπιστάων
λαῶν, οἵ οἱ ἕποντο Τρίκης ἐξ ἱπποβότοιο.

V. L. 182 ὥς M. τότέ μοι CDO. τότ᾽ ἐμοὶ Apoll. Lex. 17, 22. χάνει L. — 183 ἐπιθαρσήσας Vrat. c. — 184 μὴ δέ τι ACDO. μὴ δ᾽ ἔτι LM, ceteri μηδέ τι. πω omnes. δειδίσεο D. δειδείσαιο G. — 185 οὐ θὴν καίριον ὀξὺ βέλος πάγη Harl. — 186 ἐρύσατο D. ἦδ᾽ D. $\overset{η}{\text{οὐδ'}}$ H. ὑπένερθε ACGHM Schol. Δ 135. — 189 ὦ omitt. G. — 190 ἢ δ᾽ D. — 191 ἅ κεν: ἅπερ L. παύσῃ σε G. παύσῃ τε Mosc. 3. ex corr. — 192 προσηῦδα D. — 193 ὅτι A. — 195 ὄφρα ADHLMNOS: ὄφρ᾽ CG Ven. B Harl. Townl. ἀτρέος υἱόν AN Townl. ἀτρέως υἱόν D: ἀρχὸν ἀχαιῶν CGHLMOS. γρ. ἀρχὸν ἀχαιῶν A. — 196 ὅν $\overset{τις}{\text{τῖν'}}$ C. τίς GM. ἔβαλε G Schol. Γ 315. ἔβαλλε M. — 196, 197 omitt. D, habet O in margine. — 197 τρῴων GL. τὼ μὲν C. — 198 ὡς A. ἄρά οἱ MNO. κήρυξ DLN. — 200 * δὲ νόησεν: libri δ᾽ ἐνόησεν. — 201 ἄμφι A. — 202 τρίκκης AC 1. man. HLMN Harl. Vrat. a. θρήκης D. conf. B 729 οἳ δ᾽ εἶχον Τρίκκην, qua scripturae inconstantia motus Bothe. coniecit οἳ Τρίκκης οἱ ἕποντ᾽ vel ἕποντ᾽ ἐκ Τρίκκης.

A. c. 184 πω: οὕτω πῶ ἀρίσταρχος, οὐχὶ ποῦ, ὥς τινες Didymus. in codice πῶ est scriptum, non πῶς, ut Bekk. edidit. — 194 οὐ περιττὸς ὁ στίχος Schol. BL. — 195 ὁ ὀβελὸς καὶ ἀστερίσκος ὅτι νῦν παρέλκει (= περιττός ἐστι) Aristonicus. pertinere simul ad vss. 196, 197 monuit Friedlaender. recte, nam in codice his versibus et asterisci et obeli sunt adpicti.

ἀγχοῦ δ᾽ ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
ὄρσ᾽ Ἀσκληπιάδη, καλέει κρείων Ἀγαμέμνων,
ὄφρα ἴδῃ Μενέλαον ἀρήιον, ἀρχὸν Ἀχαιῶν,
ὅν τις ὀιστεύσας ἔβαλεν τόξων εὖ εἰδὼς
Τρώων ἢ Λυκίων, τῷ μὲν κλέος, ἄμμι δὲ πένθος.
ὣς φάτο, τῷ δ᾽ ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε·
βὰν δ᾽ ἰέναι καθ᾽ ὅμιλον ἀνὰ στρατὸν εὐρὺν Ἀχαιῶν.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἵκανον ὅθι ξανθὸς Μενέλαος
βλήμενος ἦν, περὶ δ᾽ αὐτὸν ἀγηγέραθ᾽ ὅσσοι ἄριστοι
κυκλόσ᾽, ὃ δ᾽ ἐν μέσσοισι παρίστατο ἰσόθεος φώς,
αὐτίκα δ᾽ ἐκ ζωστῆρος ἀρηρότος ἕλκεν ὀιστόν·
τοῦ δ᾽ ἐξελκομένοιο πάλιν ἄγεν ὀξέες ὄγκοι.
λῦσε δέ οἱ ζωστῆρα παναίολον ἠδ᾽ ὑπένερθε
ζῶμά τε καὶ μίτρην, τὴν χαλκῆες κάμον ἄνδρες.
αὐτὰρ ἐπεὶ ἴδεν ἕλκος, ὅθ᾽ ἔμπεσε πικρὸς ὀιστός,
αἷμ᾽ ἐκμυζήσας ἐπ᾽ ἄρ᾽ ἤπια φάρμακα εἰδὼς
πάσσε, τά οἵ ποτε πατρὶ φίλα φρονέων πόρε Χείρων.
ὄφρα τοὶ ἀμφεπένοντο βοὴν ἀγαθὸν Μενέλαον,
τόφρα δ᾽ ἐπὶ Τρώων στίχες ἤλυθον ἀσπιστάων·
οἳ δ᾽ αὖτις κατὰ τεύχε᾽ ἔδυν, μνήσαντο δὲ χάρμης.
ἔνθ᾽ οὐκ ἂν βρίζοντα ἴδοις Ἀγαμέμνονα δῖον,
οὐδὲ καταπτώσσοντ᾽, οὐδ᾽ οὐκ ἐθέλοντα μάχεσθαι,

V. L. 203 προσηῦδα D. γρ. ἀγόρευεν A. — 204 ὄρσε᾽ S. — 205 ἴδῃ ACDH Lips. Townl. Eton. Mosc. 1. Apoll. Lex. 125, 12: ἴδῃς GLMNOS. ἀρχὸν ἀχαιῶν ACHN Townl. Eton. Apoll. Lex. 125, 12: ἀτρέος υἱόν DGLMOS. — 206 ὅν $\overset{τις}{\text{τῖν'}}$ C. τίς GMO. ἔβαλε GO Lips. ἔβαλλε M. — 207 τρῴων GL. τὼ μὲν C. — 208 ὡς A. φᾶτο D. τοῦ δ᾽ ἄρα N. ὄρινε ACDGHLMO. — 209 βᾶν DHM. ἀνα A. κατὰ M. — 212 κυκλὸς D 1. man. κϋκλοσφ᾽ M. ὅδ᾽ CDGHLMNO. μέσοισι DGHM. — 213 εἷλκεν ACGHMNOS. εἵλκεν D: ἕλκεν L, cf. 122. — 214 πάλιν, ἄγεν A. — 215 λύσαι δέ οἱ D. ἦδ᾽ D. ἠδ᾽ Apoll. Lex. 81, 18. ὑπένερθε ACHMO Apoll. Lex. 81, 18. — 216 κάμον: τάμον M. — 217 εἶδεν D. — 218 ἆρ DGHLM. ἀρ A. ἐπί τ᾽ ἤπια φάρμακ᾽ ἔπασσον Plato Rep. III, 408 A. — 219 τά οἱ ποτὲ ACDGHLMNO. — 220 ὄφρά τοι N. τοι DG. οἳ O. — 221 ἐπϊ C. τρῴων GL. — 222 οἳ δ᾽ D. οἵδ᾽ CHLMN. αὖθις C. κατα ACDGL. κατά τ᾽ ἔντε᾽ ἔδυντο N. ἔδυνον O. — 223 ἴδῃς N. ἴδὲς M. — 224 καταπτώσοντ᾽ MN Townl. καταπτώσσοντα DE.

A. c. 205—207 νῦν δεόντως λέγονται (Cod. λέγεται) πρὸς Μαχάονα ὑπὸ τοῦ κήρυκος Aristonicus, conf. ad 195. — 205 οὕτως ἀρίσταρχος χωρὶς τοῦ σ ἴδῃ Didymus. — 212 κυκλόσ᾽ Nicias, Ptolemaeus, Herodianus: κύκλος Aristarchus, conf. Schol. Ρ 392. — 213 ἀρίσταρχος ἰακῶς ἕλκεν, καὶ αἱ πλείους Didymus.

ἀλλὰ μάλα ϲπεύδοντα μάχην ἐϲ κυδιάνειραν.
ἵππουϲ μὲν γὰρ ἔαϲε καὶ ἅρματα ποικίλα χαλκῷ·
καὶ τοὺϲ μὲν θεράπων ἀπάνευθ᾽ ἔχε φυϲιόωνταϲ
Εὐρυμέδων, υἱὸϲ Πτολεμαίου Πειραΐδαο·
τῷ μάλα πόλλ᾽ ἐπέτελλε παριϲχέμεν, ὁππότε κέν μιν
γυῖα λάβῃ κάματοϲ πολέαϲ διὰ κοιρανέοντα·
αὐτὰρ ὁ πεζὸϲ ἐὼν ἐπεπωλεῖτο ϲτίχαϲ ἀνδρῶν.
καί ῥ᾽ οὒϲ μὲν ϲπεύδονταϲ ἴδοι Δαναῶν ταχυπώλων,
τοὺϲ μάλα θαρϲύνεϲκε παριϲτάμενοϲ ἐπέεϲϲιν·
᾽Αργεῖοι, μή πώ τι μεθίετε θούριδοϲ ἀλκῆϲ·
οὐ γὰρ ἐπὶ ψευδέϲϲι πατὴρ Ζεὺϲ ἔϲϲετ᾽ ἀρωγόϲ,
ἀλλ᾽ οἵ περ πρότεροι ὑπὲρ ὅρκια δηλήϲαντο,
τῶν ἤ τοι αὐτῶν τέρενα χρόα γῦπεϲ ἔδονται,
ἡμεῖϲ αὖτ᾽ ἀλόχουϲ τε φίλαϲ καὶ νήπια τέκνα
ἄξομεν ἐν νήεϲϲιν, ἐπὴν πτολίεθρον ἕλωμεν.
οὕϲ τιναϲ αὖ μεθιένταϲ ἴδοι ϲτυγεροῦ πολέμοιο,
τοὺϲ μάλα νεικείεϲκε χολωτοῖϲιν ἐπέεϲϲιν·
᾽Αργεῖοι ἰόμωροι, ἐλεγχέεϲ, οὔ νυ ϲέβεϲθε;
τίφθ᾽ οὕτωϲ ἔϲτητε τεθηπότεϲ ἠΰτε νεβροί,
αἵ τ᾽ ἐπεὶ οὖν ἔκαμον πολέοϲ πεδίοιο θέουϲαι,
ἑϲτᾶϲ᾽, οὐδ᾽ ἄρα τίϲ ϲφι μετὰ φρεϲὶ γίγνεται ἀλκή·
ὣϲ ὑμεῖϲ ἔϲτητε τεθηπότεϲ οὐδὲ μάχεϲθε.
ἦ μένετε Τρῶαϲ ϲχεδὸν ἐλθέμεν, ἔνθά τε νῆεϲ

V. ʟ. 226 habet O in margine. — 229 παριϲχέμεν AGHNOS: παραϲχέμεν CDLM Cant. Mor. L apud Bentl. Vrat. A. Mosc. 1. — 230 λάβοι M Harl. διακοιρανέοντα ACDGHLMNO. — 231 ὃ ACDGHLMNO. — 233 ἐπέεϲϲι D. — 234 μήπω τι ACDLMN. μήπω τοι G. μήπω τό H. μήποτε E 466, 23. μεθείετε AHN Townl. — 235 ἐπὶ ψευδέϲϲι E 467, 17: ἐπιψευδέϲϲι E 466, 23. — 236 ὑπερόρκια ACDEGHLMN. — 238 δ᾽ αὖτ᾽ ACDEGHLMOS. — 240 δ᾽ αὖ N, an ὅν τινα δ᾽ αὖ μεθιέντα? conf. M 268, N 229. — 241 χολωτοῖϲ EO. ἐπέεϲϲι M. — 242 ϲεύεϲθε H. — 243 οὕτωϲ: αὕτωϲ Schol. X 1. ἔϲτητε AHMO: ἕϲτητε CDEGLN Pseudoplut. 123, 17. Schol. X 1. νεβροί: νευροί G. — 245 ἑϲτᾶϲ᾽ D. ἑϲτάϲ᾽ N. τί ϲφι MN. γίγνεται LN: γίνεται CDEGHMO. γείνεται A. — 246 ὡϲ A. ἕϲτητε DEHLN Apoll. Lex. 150, 28. ἑϲτήκατε G. — 247 ἢ DHLMO Schol. Ε 466. τρῷαϲ G. ἐνθά τε ACDM.

A. c. 228 Πειραΐδαο: Πειραίδαο Tyrannio τετραϲυλλάβωϲ. — 235 Hermappias ψεύδεϲϲι: ψευδέϲϲι Ptolemaeus cum Aristarcho, conf. Et. Gud. 573, 24. — 238 ἡμεῖϲ αὖτ᾽ Aristarchus, non δ᾽ αὖτ᾽. — 242 ἐλεγχέεϲ Aristarchus, conf. Schol. Ε 787. mallem ἐλέγχεα ut B 235, Ω 260, Hes. Theog. 26. conf. H. T. 250. — 243 ἔϲτητε: ἕϲτητε Ptolemaeus. — 245 τίϲ ϲφι, non τι ϲφι, Aristarchus, ut Z 438.

εἰρύατ᾽ εὔπρυμνοι, πολιῆϲ ἐπὶ θινὶ θαλάϲϲηϲ,
ὄφρα ἴδητ᾽, αἴ κ᾽ ὔμμιν ὑπέρϲχῃ χεῖρα Κρονίων;
ὣϲ ὅ γε κοιρανέων ἐπεπωλεῖτο ϲτίχαϲ ἀνδρῶν·
ἦλθε δ᾽ ἐπὶ Κρήτεϲϲι κιὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν.
οἱ δ᾽ ἀμφ᾽ ᾽Ιδομενῆα δαΐφρονα θωρήϲϲοντο·
᾽Ιδομενεὺϲ μὲν ἐνὶ προμάχοιϲ, ϲυὶ εἴκελοϲ ἀλκήν,
Μηριόνηϲ δ᾽ ἄρα οἱ πυμάταϲ ὤτρυνε φάλαγγαϲ.
τοὺϲ δὲ ἰδὼν γήθηϲεν ἄναξ ἀνδρῶν ᾽Αγαμέμνων,
αὐτίκα δ᾽ ᾽Ιδομενῆα προϲηύδα μειλιχίοιϲιν·
᾽Ιδομενεῦ, περὶ μέν ϲε τίω Δαναῶν ταχυπώλων
ἠμὲν ἐνὶ πτολέμῳ ἠδ᾽ ἀλλοίῳ ἐπὶ ἔργῳ
ἠδ᾽ ἐν δαίθ᾽, ὅτε πέρ τε γερούϲιον αἴθοπα οἶνον
᾽Αργείων οἱ ἄριϲτοι ἐνὶ κρητῆρι κέρωνται.
εἴ περ γάρ τ᾽ ἄλλοι γε κάρη κομόωντεϲ ᾽Αχαιοὶ
δαιτρὸν πίνωϲιν, ϲὸν δὲ πλεῖον δέπαϲ αἰεὶ
ἕϲτηχ᾽, ὥϲ περ ἐμοί, πιέειν, ὅτε θυμὸϲ ἀνώγῃ.
ἀλλ᾽ ὄρϲευ πόλεμον δ᾽, οἷοϲ πάροϲ εὔχεαι εἶναι.
τὸν δ᾽ αὖτ᾽ ᾽Ιδομενεύϲ, Κρητῶν ἀγόϲ, ἀντίον ηὔδα·

V. ʟ. 248 habet Lips. in margine. εὔπρυμνοι A. ἐπὶ χθονὶ θαλάϲϲηϲ D. — 249 ὄφρ᾽ C Mosc. 1. ἴδοιτ᾽ N. αἴ χ᾽ ὑμῖν D. αἴ κεν ὔμιν Cram. An. Par. III, 135, 13. αἴχ᾽ ὔμμιν M Mosc. 3. ὕμμιν EN. — 250 ὡϲ A. — 251 ἦλθεν ἐπὶ Eust. 179, 17. — 252 οἳ δ᾽ L. οἵδ᾽ HMNO. ο ἵδ᾽ C (sic). θωρήϲοντο L. θωρίϲϲοντο D. — 253 μὲν ἐπὶ G. ἐνι A. εἴκελοϲ: ἴκελοϲ GMNO Lips. a man. rec. ἵκελοϲ E. — 254 μϋριόνηϲ H. — 255 τούϲδε G. — 256 προϲηῦδα D. — 257 περὶ ADHMN Et. Mg. 142, 16. Et. Gud. 47, 55. Cram. Epim. 15, 25; 42, 1: πέρι CGLO Et. Mg. 94, 18; 758, 40. — 258 ἦδ᾽ D. — 259 ἦδ᾽ AD. δαιτὶ D. δαιτὶ A. δαῖθ᾽ H. — 260 κρητῆρι: κρητῆρϲι ACDEGHLMNOS. — 261 κάρη κομόωντεϲ A: ceteri καρηκομόωντεϲ. — 262 πίνωϲι DEGO. — 263 ἔϲτηχ᾽ HN. ἑϲτηχ᾽ A. πιέμεν N. *ἀνώγῃ: ἀνώγοι ACDGHM Athenaeus V, 193. Lucianus 48, 45. ἀνώγει LN. ἀνώγει EO Vrat. a. b. a. man. sec. — 264 πόλεμον δ᾽ AD. εὔχεαι ACDLNOS Cant. Harl. Vrat. a b.: εὔχεο GHM. — 265 αὖτ᾽, non αὖ, libri mei. ηὖδα D.

A. c. 249 κ᾽ ὔμμιν διὰ τοῦ κ̄ Herodianus, conf. Schol. A 335. — 259 δαιτὶ, conf. H. U. 126. — 260 ἀρίϲταρχοϲ ἑνικῶϲ ἐνικρητηρι Didymus. — 263 ἀνώγῃ: libri aut indicativum aut optativum exhibent, quorum neuter hic ferri potest. in hac re librorum nulla fere est auctoritas, nec quicquam impedit, quominus coniunctivum reponamus, qui hoc loco necessarius est. e. g. conf. librorum scripturas κινήϲει B 147, 395; Π 264, 298; φιλήϲει I 117; ὁρμήϲει N 64; ἡγεμονεύειϲ O 46; ποιήϲει O 363; ἡγεμονεύει Φ 258; ἐθείρει Φ 347; ἐπικλώϲει δ 207; ἀποδώϲει θ 318, et quae exempla congessimus ad Δ 483.

Ἀτρείδη, μάλα μέν τοι ἐγὼν ἐρίηρος ἑταῖρος
ἔϲϲομαι, ὡϲ τὸ πρῶτον ὑπέϲτην καὶ κατένευϲα·
ἀλλ' ἄλλουϲ ὄτρυνε κάρη κομόωνταϲ Ἀχαιούϲ,
ὄφρα τάχιϲτα μαχώμεθ', ἐπεὶ ϲύν γ' ὅρκι' ἔχευαν
Τρῶεϲ· τοῖϲιν δ' αὖ θάνατοϲ καὶ κήδε' ὀπίϲϲω
ἔϲϲετ', ἐπεὶ πρότεροι ὑπὲρ ὅρκια δηλήϲαντο.
ὣϲ ἔφατ', Ἀτρείδηϲ δὲ παρῴχετο γηθόϲυνοϲ κῆρ.
ἦλθε δ' ἐπ' Αἰάντεϲϲι κιὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν·
τὼ δὲ κορυϲϲέϲθην, ἅμα δὲ νέφοϲ εἵπετο πεζῶν.
ὡϲ δ' ὅτ' ἀπὸ ϲκοπιῆϲ εἶδεν νέφοϲ αἰπόλοϲ ἀνὴρ
ἐρχόμενον κατὰ πόντον ὑπὸ Ζεφύροιο ἰωῆϲ·
τῷ δέ τ' ἄνευθεν ἐόντι μελάντερον ἠύτε πίϲϲα
φαίνετ' ἰὸν κατὰ πόντον, ἄγει δέ τε λαίλαπα πολλήν,
ῥίγηϲέν τε ἰδὼν ὑπό τε ϲπέοϲ ἤλαϲε μῆλα·
τοῖαι ἅμ' Αἰάντεϲϲι διοτρεφέων αἰζηῶν
δήιον ἐϲ πόλεμον πυκιναὶ κίνυντο φάλαγγεϲ
κυάνεαι, ϲάκεϲίν τε καὶ ἔγχεϲι πεφρικυῖαι.
καὶ τοὺϲ μὲν γήθηϲεν ἰδὼν κρείων Ἀγαμέμνων,
καί ϲφεαϲ φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα·
Αἴαντ', Ἀργείων ἡγήτορε χαλκοχιτώνων,
ϲφῶι μέν, οὐ γὰρ ἔοικ' ὀτρυνέμεν, οὔ τι κελεύω·
αὐτὼ γὰρ μάλα λαὸν ἀνώγετον ἶφι μάχεϲθαι.
αἳ γὰρ Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον
τοῖοϲ πᾶϲιν θυμὸϲ ἐνὶ ϲτήθεϲϲι γένοιτο·
τῶ κε τάχ' ἠμύϲειε πόλιϲ Πριάμοιο ἄνακτοϲ

V. l. 266 ἐγὼ M. — 267 τοπρῶτον LMNO. — 268 ὤτρυνε M. κάρη κομώονταϲ A. — 269 ὅρκι' D. — 270 τρῷεϲ L. τοῖϲι DEGMO. δ' αὖ: δὲ C. — 271 ὑπὲρ ὅρκια EO: ὑπερόρκια ACDGHLMN. ὅρκι' ἐδηλήϲαντο Vrat. a. — 272 ὡϲ A. δ' ὑπερώχετο M. — 273 ἦλθεν ἐπ' E. ἀνα A. — 274 τώγ' ἐκορυϲϲέϲθην M. κορυϲέϲθην GL 1. man. — 275 ἀπο A. εἶδε DE bis GHMNO Lips. — 276 κατα A. ὑπο A. — 277 τῷ δ' ἀπάνευθεν N. τῷ δ' ἔτ' H. ἐόντι: ἰόντι MS. ἰόντι ἢ ἐόντι Eust. 471, 28. — 279 ῥίγηϲέ E. — 280 τοῖοι [αι] C. αἰάντεϲϲϊν ἀρηϊθόων H. διοτροφέων GS Lips. — 281 πυκναὶ S. — 282 ϲάκεϲί E. ϲάκεϲϲί N. ϲάκκεϲϲίν D. — 283 καὶ μὲν, τοὺϲ, L. — 284 καὶ ϲφέαϲ DGO. — 286 κελεύω [ϲ] Vrat. b. — 289 πᾶϲι CDGMNO Schol. Β 372. ἐνι A. — 290 τῶ ACDGHLMO. ἡμύϲειε G. ἠμύϲϲειε L.

A. c. 277 Zenodotus ἰόντι: ἐόντι Aristarchus. — 282 κυάνεαι: ἡρώων Zenodotus. πεφρικυῖαι et βεβριθυῖαι Aristarchus διχῶϲ, conf. Schol. Η 62.

χερϲὶν ὑφ' ἡμετέρηϲιν ἁλοῦϲά τε περθομένη τε.
ὣϲ εἰπὼν τοὺϲ μὲν λίπεν αὐτοῦ, βῆ δὲ μετ' ἄλλουϲ·
ἔνθ' ὅ γε Νέϲτορ' ἔτετμε, λιγὺν Πυλίων ἀγορητήν,
οὓϲ ἑτάρουϲ ϲτέλλοντα καὶ ὀτρύνοντα μάχεϲθαι,
ἀμφὶ μέγαν Πελάγοντα Ἀλάϲτορά τε Χρομίον τε
Αἵμονά τε κρείοντα Βίαντά τε, ποιμένα λαῶν.
ἱππῆαϲ μὲν πρῶτα ϲὺν ἵπποιϲιν καὶ ὄχεϲφι,
πεζοὺϲ δ' ἐξόπιθε ϲτῆϲεν πολέαϲ τε καὶ ἐϲθλοὺϲ
ἕρκοϲ ἔμεν πολέμοιο· κακοὺϲ δ' ἐϲ μέϲϲον ἔλαϲϲεν,
ὄφρα καὶ οὐκ ἐθέλων τιϲ ἀναγκαίῃ πολεμίζοι.
ἱππεῦϲιν μὲν πρῶτ' ἐπετέλλετο· τοὺϲ γὰρ ἀνώγει
ϲφοὺϲ ἵππουϲ ἐχέμεν, μὴ δὲ κλονέεϲθαι ὁμίλῳ·
μηδέ τιϲ ἱπποϲύνῃ τε καὶ ἠνορέηφι πεποιθὼϲ
οἶοϲ πρόϲθ' ἄλλων μεμάτω Τρώεϲϲι μάχεϲθαι,
μηδ' ἀναχωρείτω· ἀλαπαδνότεροι γὰρ ἔϲεϲθε.
ὃϲ δέ κ' ἀνὴρ ἀπὸ ὧν ὀχέων ἕτερ' ἅρμαθ' ἵκηται,
ἔγχει ὀρεξάϲθω, ἐπεὶ ἦ πολὺ φέρτερον οὕτω.
ὧδε καὶ οἱ πρότεροι πόλιαϲ καὶ τείχε' ἐπόρθεον
τόνδε νόον καὶ θυμὸν ἐνὶ ϲτήθεϲϲιν ἔχοντεϲ.

V. l. 291 ἡμετέροιϲιν G. ἡμετέρηϲι O. ἀλοῦϲά D. — 292 ὡϲ A. — 293 λιγὴν M. πηλίων GN. — 294 ὀτρυνέοντα C. — 295 χρόμϊόν CDGHM Et. Mg. 35, 25. τε ϲχέδιόν τε L. — 296 αἵμονά N. κρείοντα G, ut sit nomen proprium. αἵμονά τε κρίοντα θόωνά τε δηΐπυρόν τε Apoll. Lex. 14, 9, conf. Ν 92. — 297 πρώτιϲτα Vrat. b. c. Mosc. 1. 3. πρῶτον M. ἵπποιϲι DEGL. ὄχεϲφι CMN Cram. An. Par. III, 283, 9. Pseudoplut. 156, 19: ὄχεϲφιν ADEGHLO. — 298 ἐξόπιθεν ADLQ Maxim. Tyr. Diss. XVI, 6. Pseudoplut. 156, 19. ἐξόπιϲθεν CGH. ἐξώπιϲθεν N. ἐξόπιϲθε E. ϲτῆϲε EG. ϲτῆϲαν M. τε AC. — 299 μέϲον CGM. — 300 τίϲ CMNO. πολεμίζῃ DMNOS Schol. Δ 296. πολεμίζειν L. — 301 ἱππεῦϲι GHMNO Lips. ἱππεῦϲι μὲν πρώτοιϲ ἐπετέλλετο Schol. Α 16. ἐπιτέλλετο S. τοὺϲ [γαρ] μὲν DLMNO Cant. Harl. Vrat. a. b. μὲν A. — 302 μὴ δὲ CDGHLMNO. — 303 μὴ δέ CDLNO. ἱπποϲύνηϲϊ καὶ D. ἠνορέηφϊ CEG Hesych. II, 282. — 304 τρῴεϲϲι CGL. — 305 μὴ δ' CDGHMNO. — 306 ὃϲ δ' ἂν E. — 307 ἔγχεϊ D. ἐπειὴ A. ἐπεὶὴ CD: ceteri ἐπειὴ. πολυφέρτερον G. οὔτω ACDEGHLMNO Lips. — 308 ὧϲ δὲ καὶ D. πόλιαϲ A in marg. CDEG LMO: πόλεαϲ AH. πόλειϲ N. ἐπόρθεον A Townl.: ἐπόρθουν CEGHLM NOS. ἐπόρθο D (sic). — 309 ἐνι A. ϲτήθεϲιν GM.

A. c. 295 Χρομίον veteres, conf. H. T. 399. — 299 οὔτωϲ ἀρίϲταρχοϲ ἔλαϲϲεν, ἄλλοι δὲ ἔεργεν Didymus. — 308 πόλεαϲ Aristarchus, Ptolemaeus, Herodianus: alii πολέαϲ, vel πόλιαϲ. πόλιαϲ legitur etiam θ 560, 574 πόλιεϲ ο 412. ἐπόρθεον in fine versus scribendum est ut ρ 161 ἐγεγώνεον, conf. Η 310, Λ 282, Ξ 116, Ρ 142, Υ 218.

ὣϲ ὁ γέρων ὤτρυνε πάλαι πολέμων εὖ εἰδώϲ.
καὶ τὸν μὲν γήθηϲεν ἰδὼν κρείων Ἀγαμέμνων,
καί μιν φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα·
ὦ γέρον, εἴθ᾽, ὡϲ θυμὸϲ ἐνὶ ϲτήθεϲϲι φίλοιϲιν,
ὥϲ τοι γούναθ᾽ ἕποιτο, βίη δέ τοι ἔμπεδοϲ εἴη.
ἀλλά ϲε γῆραϲ τείρει ὁμοίιον· ὡϲ ὄφελέν τιϲ
ἀνδρῶν ἄλλοϲ ἔχειν, ϲὺ δὲ κουροτέροιϲι μετεῖναι.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Γερήνιοϲ ἱππότα Νέϲτωρ·
Ἀτρείδη, μάλα μέν τοι ἐγὼν ἐθέλοιμι καὶ αὐτὸϲ
ὣϲ ἔμεν, ὡϲ ὅτε δῖον Ἐρευθαλίωνα κατέκταν.
ἀλλ᾽ οὔ πωϲ ἅμα πάντα θεοὶ δόϲαν ἀνθρώποιϲιν·
εἰ τότε κοῦροϲ ἔα, νῦν αὖτέ με γῆραϲ ὀπάζει.
ἀλλὰ καὶ ὣϲ ἱππεῦϲι μετέϲϲομαι ἠδὲ κελεύϲω
βουλῇ καὶ μύθοιϲι· τὸ γὰρ γέραϲ ἐϲτὶ γερόντων.
αἰχμὰϲ δ᾽ αἰχμάϲϲουϲι νεώτεροι, οἵ περ ἐμεῖο
ὁπλότεροι γεγάαϲι πεποίθαϲίν τε βίηφιν.
ὣϲ ἔφατ᾽, Ἀτρείδηϲ δὲ παρῴχετο γηθόϲυνοϲ κῆρ.
εὗρ᾽ υἱὸν Πετεῶο Μενεϲθῆα πλήξιππον
ἑϲταότ᾽· ἀμφὶ δ᾽ Ἀθηναῖοι, μήϲτωρεϲ ἀυτῆϲ·
αὐτὰρ ὃ πληϲίον ἑϲτήκει πολύμητιϲ Ὀδυϲϲεύϲ,
πὰρ δὲ Κεφαλλήνων ἀμφὶ ϲτίχεϲ οὐκ ἀλαπαδναὶ

V. l. 310 ὡϲ A. ὄτρυνε HM Harl. — 311 καὶ μὲν τὸν O. — 312 προϲηῦδα D. — 313 ἐνι A. — 314 ὦϲ καὶ γούναθ᾽ G. δέ ϲοι M. — 315 ὁμοίοιον GH. ὧϲ G. ὄφελέ N. — 318 μέν τοι ACDEGHMN Lips. Townl. Vrat. a. b. Mosc. 1.: μέν κεν LO. μέν γε Harl. — 319 κατέκτα̊ν A. κατέκτον C. — 320 ἀνθρώποιϲ D. ἀνθρώποιϲι M. — 321 εἴ ποτε Schol. Є 533. ἔα: ἔην N. ὀπάζει: ἱκάνει ACEGHLMNOS Plato Conviv. 173 A. Schol. Є 533, θ 186. ἱκάνοι D. — 322 ὦϲ O Cram. Epim. 449, 16. Io. Alexandr. 32, 1. ὡϲ A. ceteri ὧϲ. μετέϲϲομαι: μετείϲομαι L. — 323 βουλαῖϲ H. — 324 αἰχμάϲουϲι G Barocc. Lips. ἐμοῖο G 1. man. MNS Et. Mg. 628, 26. — 325 πεποίθαϲί DGEMN. βίηφι ADHLMN. βίηφι CEG. βίηφιν O. — 326 ὡϲ A. — 328 ἑϲταότ᾽ D. ἑϲταῶτ᾽ Schol. Κ 167. ἑϲταῶτ᾽ N. μνήϲτορεϲ O. — 329 ὃ ACDGHLMO. αὐτὰρ οἷ N. ἑϲτήκει AGH Townl. Vrat. b. Mosc. 1.: εἱϲτήκει CDLMNOS. — 330 παρ D. κεφαλήνων DMO 1. man. ἀμφι AM.

A. c. 319 κατέκταν Herodianus cum Aristarcho, conf. Schol. Β 662. Cram. Epim. 224, 13. — 320 ὁ ἀϲτερίϲκοϲ καὶ ὁ ὀβελόϲ Aristonicus, conf. Ν 729. — 321 ἀρίϲταρχοϲ γῆραϲ ὀπάζει ἐπείγει ἐλαύνει ἀπὸ δὲ τοῦ κάτοπιν ἐϲχημάτιϲται Didymus, conf. Schol. Θ 103 οὕτωϲ ἀρίϲταρχοϲ ὀπάζει, ὁ δὲ ἰξίων ἐπείγει, ἐν ἄλλῳ γῆραϲ ἱκάνει et Ψ 623 ἐπείγει: γράφεται καὶ ὀπάζει καὶ ἱκάνει (καὶ ἔπειϲι add. 2. man.). — 329 οὕτωϲ ἀρίϲταρχοϲ ἰακῶϲ ἑϲτήκει Didymus.

ἕϲταϲαν· οὐ γάρ πώ ϲφιν ἀκούετο λαὸϲ ἀυτῆϲ,
ἀλλὰ νέον ϲυνορινόμεναι κίνυντο φάλαγγεϲ
Τρώων ἱπποδάμων καὶ Ἀχαιῶν· οἳ δὲ μένοντεϲ
ἕϲταϲαν, ὁππότε πύργοϲ Ἀχαιῶν ἄλλοϲ ἐπελθὼν
Τρώων ὁρμήϲειε καὶ ἄρξειαν πολέμοιο.
τοὺϲ δὲ ἰδὼν νείκεϲϲεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
καί ϲφεαϲ φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα·
ὦ υἱὲ Πετεῶο, διοτρεφέοϲ βαϲιλῆοϲ,
καὶ ϲύ, κακοῖϲι δόλοιϲι κεκαϲμένε, κερδαλεόφρον,
τίπτε καταπτώϲϲοντεϲ ἀφέϲτατε, μίμνετε δ᾽ ἄλλουϲ;
ϲφῶιν μέν τ᾽ ἐπέοικε μετὰ πρώτοιϲιν ἐόνταϲ
ἑϲτάμεν ἠδὲ μάχηϲ καυϲτείρηϲ ἀντιβολῆϲαι.
πρώτω γὰρ καὶ δαιτὸϲ ἀκουάζεϲθον ἐμεῖο,
ὁππότε δαῖτα γέρουϲιν ἐφοπλίζωμεν Ἀχαιοί.
ἔνθα φίλ᾽ ὀπταλέα κρέα ἔδμεναι ἠδὲ κύπελλα
οἴνου πινέμεναι μελιηδέοϲ, ὄφρ᾽ ἐθέλητον·
νῦν δὲ φίλωϲ χ᾽ ὁρόῳτε καὶ εἰ δέκα πύργοι Ἀχαιῶν
ὑμείων προπάροιθε μαχοίατο νηλέι χαλκῷ.
τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προϲέφη πολύμητιϲ Ὀδυϲϲεύϲ·
Ἀτρείδη, ποῖόν ϲε ἔποϲ φύγεν ἕρκοϲ ὀδόντων.
πῶϲ δὴ φῂϲ πολέμοιο μεθιέμεν, ὁππότ᾽ Ἀχαιοὶ

V. l. 331 ἔϲταϲαν DGLO. ἑϲταϲαν A. οὐδέ πω G. γάρ πω HLN. — 332 νέων M. κινοῦντο Vrat. b. — 333 τρῴων GL. plerique τρώων θ᾽: θ᾽ omittunt DHL Townl. οἳ M. — 334 ἔϲταϲαν GLO. ἔϲταν D. πῦργοϲ HLN. — 335 τρῴων GL. ἄρξειεν Vrat. b. — 336 τούϲδε G. νείκεϲεν H. νείκηϲεν N. — 337 καὶ ϲφέαϲ DLO. — 338 διοτροφέοϲ H. — 339 κερδαλεόφρων N. — 341 ϲφῶϊ Vrat. b. Schol. Є 2. Apoll. Lex. 147, 14. — 342 καϋϲτείρηϲ AH. καϋϲτήρηϲ D. — 343 πρῶτοι E. ἐμοῖο GLS. — 344 ἐφοπλίζωμεν A. ἐφοπλίζω̊μεν (οι) H. ἐφοπλίζομεν L: ἐφοπλίζοιμεν CDE bis GMNOS. — 345 ἔδμεναι: ἔμμεναι L. — 347 ὁρόῳτε C, ceteri ὁρόωτε. ὁρόωτε ἐὰν δέκα G. πῦργοι M. — 349 ἂρ DGHM. — 350 φῦγεν DM. ἔρκοϲ D. — 351 φῂϲ ACEN. φὴϲ GHLMO. φῆϲ D Cram. Epim. 433, 2. μεθειέμεν AN Townl.

A. c. 333 ἀρίϲταρχοϲ χωρὶϲ τοῦ θ τρώων ἱπποδάμων· τὸ δὲ ἀχαιῶν ἄμεινον ἀκούειν ἐπαχαιούϲ Didymus. — 334, 335 Aristarchus πύργοϲ Ἀχαιῶν....ἄρξειαν: ἐν τῇ πολυϲτίχῳ „κέν τιϲ ἐναντίον.... ἄρξειεν“. — 339 κερδαλεόφρον: φαίδιμ᾽ Ὀδυϲϲεῦ Zenodotus. — 343 ἐμεῖο, conf. Apoll. de Pron. 137 B; 138 A; de Synt. 164, 17; 165, 7. — 344 ἐφοπλίζοιμεν defendit G. Hermann. Opusc. II, 38. — 345, 346 ἐν μὲν τοῖϲ ὑπομνήμαϲιν οὐκ ἀθετοῦνται, ἐπαιτιῶνται δὲ αὐτοὺϲ οἱ ἡμέτεροι ὡϲ ἀπρεπεῖϲ Schol. A. — 346 μελιήδέοϲ Herodianus, cf. H. T. 418. — 351 φῂϲ conf. Herod. ad Ρ 174. Cram. Epim. 432, 25. Cram. An. Ox. IV, 354, 20. Eust. 1578, 18. Zonar. Lex. 1805. H. T. 374.

Τρωϲὶν ἐφ᾽ ἱπποδάμοιϲιν ἐγείρομεν ὀξὺν ἄρηα·
ὄψεαι, ἢν ἐθέληϲθα, καὶ αἴ κέν τοι τὰ μεμήλῃ,
Τηλεμάχοιο φίλον πατέρα προμάχοιϲι μιγέντα
Τρώων ἱπποδάμων· ϲὺ δὲ ταῦτ᾽ ἀνεμώλια βάζειϲ.
τὸν δ᾽ ἐπιμειδήϲαϲ προϲέφη κρείων Ἀγαμέμνων,
ὡϲ γνῶ χωομένοιο· πάλιν δ᾽ ὅ γε λάζετο μῦθον·
διογενὲϲ Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυϲϲεῦ,
οὔτέ ϲε νεικείω περιώϲιον οὔτε κελεύω·
οἶδα γὰρ ὥϲ τοι θυμὸϲ ἐνὶ ϲτήθεϲϲι φίλοιϲιν
ἤπια δήνεα οἶδε· τὰ γὰρ φρονέειϲ, ἅ τ᾽ ἐγώ περ.
ἀλλ᾽ ἴθι ταῦτα δ᾽ ὄπιϲθεν ἀρεϲϲόμεθ᾽, εἴ τι κακὸν νῦν
εἴρηται, τὰ δὲ πάντα θεοὶ μεταμώνια θεῖεν.
ὣϲ εἰπὼν τοὺϲ μὲν λίπεν αὐτοῦ, βῆ δὲ μετ᾽ ἄλλουϲ.
εὗρε δὲ Τυδέοϲ υἱόν, ὑπέρθυμον Διομήδεα,
ἑϲταότ᾽ ἔν θ᾽ ἵπποιϲι καὶ ἅρμαϲι κολλητοῖϲι·
πὰρ δέ οἱ ἑϲτήκει Ϲθένελοϲ, Καπανήιοϲ υἱόϲ.
καὶ τὸν μὲν νείκεϲϲεν ἰδὼν κρείων Ἀγαμέμνων,
καί μιν φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα·
ὤ μοι, Τυδέοϲ υἱὲ δαΐφρονοϲ, ἱπποδάμοιο,
τί πτώϲϲειϲ, τί δ᾽ ὀπιπεύειϲ πολέμοιο γεφύραϲ;
οὐ μὲν Τυδέι γ᾽ ὧδε φίλον πτωϲκαζέμεν ἦεν,
ἀλλὰ πολὺ πρὸ φίλων ἑτάρων δηίοιϲι μάχεϲθαι,
ὡϲ φάϲαν οἵ μιν ἴδοντο πονεύμενον· οὐ γὰρ ἐγώ γε
ἤντηϲ᾽ οὐδὲ ἴδον· περὶ δ᾽ ἄλλων φαϲὶ γενέϲθαι.
ἦ τοι μὲν γὰρ ἄτερ πολέμου εἰϲῆλθε Μυκήναϲ

V. ʟ. 352 τρωϲὶν GL. — 353 ἤν κ᾽ ἐθέληιϲθα A. μεμήλει N. — 354 τηλεμάχου CG Lips. — 355 τρῴων GL. τρώων θ᾽ Lips. — 357 μύθῳ Vrat. a. — 359 οὔτέ ϲε ACDH. οὔτε ϲὲ G. οὔτι ϲε M. νεικίω D. οὐδὲ κελεύω L. οὔτι κελεύω N. — 360 φίλοιϲι M. — 361 μήδεα οἶδε H. — 363 μεταμώνια AE 483, 5 GN Eton.: μεταμώλια CDE 480, 21; 483, 8 HLMOS. — 365 δὲ διὸϲ υἱὸν L. — 366 ἐϲταότ᾽ D. θ᾽ omitt. G. κολλητοῖϲι ACDHMO. κολλωτοῖϲι Vrat. b. κολλοτοῖϲι Lips. — 367 παρ D. ἑϲτήκει AGH: εἱϲτήκει CDLMNOS. — 368 καὶ μὲν τὸν MS. νείκεϲεν DG. — 369 habet A in margine. προϲηῦδα D. — 370 ὤμοι ACG. ὦμοι D. — 371 ὀπιπεύειϲ ACDN Lips.: ὀπιπτεύειϲ EGHLMOS Et. Mg. 627, 55. Plutarchus de Se ipsum citra invid. laud. 4. — 372 πτωκαζέμεν EGLM. — 373 προ AL. — 374 ὧϲ EM. — 375 ἶδον D. πέρι GL.

A. c. 367 οὕτωϲ ἑϲτήκει ἰακῶϲ ἀρίϲταρχοϲ Didymus. — 370 ὤμοι, conf. H. U. 188. — 371 ὀπιπεύειϲ, non ὀπιπτεύειϲ scribendum esse confirmant libri optimi hic et H 243 et τ 67, et quod semel apud Homerum legitur (Λ 385) παρθενοπῖπα.

ξεῖνοϲ ἅμ᾽ ἀντιθέῳ Πολυνείκεϊ, λαὸν ἀγείρων.
οἵ δὲ τότ᾽ ἐϲτρατόωνθ᾽ ἱερὰ πρὸϲ τείχεα Θήβηϲ,
καί ῥα μάλα λίϲϲοντο δόμεν κλειτοὺϲ ἐπικούρουϲ·
οἳ δ᾽ ἔθελον δόμεναι καὶ ἐπήνεον, ὡϲ ἐκέλευον·
ἀλλὰ Ζεὺϲ ἔτρεψε παραίϲια ϲήματα φαίνων.
οἳ δ᾽ ἐπεὶ οὖν ᾤχοντο ἰδὲ πρὸ ὁδοῦ ἐγένοντο,
Ἀϲωπὸν δ᾽ ἵκοντο βαθύϲχοινον λεχεποίην,
ἔνθ᾽ αὖτ᾽ ἀγγελίην ἐπὶ Τυδῆ ϲτεῖλαν Ἀχαιοί.
αὐτὰρ ὃ βῆ, πολέαϲ δὲ κιχήϲατο Καδμείωναϲ
δαινυμένουϲ κατὰ δῶμα βίηϲ Ἐτεοκληείηϲ.
ἔνθ᾽ οὐδὲ ξεῖνόϲ περ ἐὼν ἱππηλάτα Τυδεὺϲ
τάρβει, μοῦνοϲ ἐὼν πολέϲιν μετὰ Καδμείοιϲιν,
ἀλλ᾽ ὅ γ᾽ ἀεθλεύειν προκαλίζετο, πάντα δ᾽ ἐνίκα
ῥηιδίωϲ· τοίη οἱ ἐπίρροθοϲ ἦεν Ἀθήνη.
οἳ δὲ χολωϲάμενοι Καδμεῖοι, κέντορεϲ ἵππων,
ἂψ ἀναερχομένῳ πυκινὸν λόχον εἷϲαν ἄγοντεϲ,
κούρουϲ πεντήκοντα· δύω δ᾽ ἡγήτορεϲ ἦϲαν,
Μαίων Αἱμονίδηϲ, ἐπιείκελοϲ ἀθανάτοιϲιν,

V. ʟ. 378 οἵ ῥα: οἱ δὲ ALO. οἳ ῥὰ DM. τότε ϲτρατόωνθ᾽ S. τότε ϲτρατόωντο Townl. — 379 λίϲοντο δόμεναι D. — 380 οἳ δ᾽ D. οἵδ᾽ CGLMNO. δοῦναι E. — 381 παραίϲιμα N. — 382 οἳ δ᾽ DL. οἵδ᾽ CHMN. ᾤχοντο ἰδὲ ACEGHLMNO. ᾤχοντο ἠδὲ DS. πρὸϲ ὁδοῦ L. — 383 ἀϲϲωπόν C. ἀϲωπόν θ᾽ Barocc. — 384 ἔνθ᾽ αὖ Apoll. Lex. 7, 12. ἀγγελείην D. ἐπὶ ACDEGHLMNOS Apoll. Lex. 7, 12. Et. Mg. 670, 8. Eust. 610, 43: ἔπι Schol. O 339. Eust. 1018, 65. τυδῆ AC 1. man. EHMNO.
εῖ η
τυδη S. τυδεῖ L: τυδεῖ C 2. man. DG Mor. Cant. Vrat. a. c. ϲτείλαν G. — 385 ὃ CDGHLMNO. δ᾽ ἐκιχήϲατο L. — 386 δαιννυμένουϲ G. ἐτεοκλείηϲ DGM. — 388 πολέϲϊ GH. μετα A. καδμείωϲιν EN. — 392 ἂψ ἀναερχομένῳ AHNO Townl. Harl. Vrat. a ex coni. ἂψ ἀνερχομένῳ CD EGLMS Mor. Cant. Lips. Vrat. b. c. A. Mosc. 1. 3. λόχον ἦϲαν D.
ο
λέχοϲ N. — 393 δύο E.

A. c. 382 ᾤχοντο ἰδέ, quod omnes fere libri exhibent, recentiores quidam hiatus causa mutaverunt in ᾤχοντ᾽ ἠδέ, perperam, conf. B 697, Δ 147, Z 479, Θ 162, K 573, M 311, Φ 351, X 469, δ 604, λ 337, ϲ 249, ψ 289. — 384 ἐπὶ Aristarchus, non ἔπι, conf. H. T. 176. Τυδῆ, conf. Μηκιϲτῆ O 339 et Schol. ad h. l. — 390 ὁ ἀϲτερίϲκοϲ conf. Ε 808. — 392 recentiores aut ἂψ ἄρ᾽ ἀνερχομένῳ ut Z 187, aut ἂψ ἀνερχομένῳ aut ἄψ οἱ ἀνερχομένῳ scripserunt. sed nulla hoc loco opus est coniectura; nam ἀναερχομένῳ non magis offendit quam ἀποαίρεο A 230, 275; ἀποαίνυμαι N 262, κ 322, μ 419, ξ 309; καταείϲατο Λ 358; ἐπιείϲομαι Λ 367, Υ 454; ἐπιειϲαμένη Φ 424; ἐπιόψομαι I 167, β 294; ἐπιοϲϲομένω P 381; ἐπιάλμενοϲ H 15, ω 320.

υἱός τ' Αὐτοφόνοιο, μενεπτόλεμος Πολυφόντης.
Τυδεὺς μὲν καὶ τοῖςιν ἀεικέα πότμον ἐφῆκε·
πάντας ἔπεφν', ἕνα δ' οἶον ἵει οἶκον δὲ νέεσθαι·
Μαίον' ἄρα προέηκε θεῶν τεράεσσι πιθήσας.
τοῖος ἔην Τυδεὺς Αἰτώλιος· ἀλλὰ τὸν υἱὸν
γείνατο εἷο χέρεια μάχῃ, ἀγορῇ δέ τ' ἀμείνω.
ὣς φάτο, τὸν δ' οὔ τι προσέφη κρατερὸς Διομήδης
αἰδεσθεὶς βασιλῆος ἐνιπὴν αἰδοίοιο.
τὸν δ' υἱὸς Καπανῆος ἀμείψατο κυδαλίμοιο·
Ἀτρείδη, μὴ ψεύδε' ἐπιστάμενος σάφα εἰπεῖν.
ἡμεῖς τοι πατέρων μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι·
ἡμεῖς καὶ Θήβης ἕδος εἵλομεν ἑπταπύλοιο
παυρότερον λαὸν ἀγαγόνθ' ὑπὸ τεῖχος ἄρειον,
πειθόμενοι τεράεσσι θεῶν καὶ Ζηνὸς ἀρωγῇ·
κεῖνοι δὲ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο.
τῶ μή μοι πατέρας ποθ' ὁμοίῃ ἔνθεο τιμῇ.
τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κρατερὸς Διομήδης·
τέττα, σιωπῇ ἧσο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ.
οὐ γὰρ ἐγὼ νεμεσῶ Ἀγαμέμνονι, ποιμένι λαῶν,
ὀτρύνοντι μάχεσθαι ἐυκνήμιδας Ἀχαιούς·
τούτῳ μὲν γὰρ κῦδος ἅμ' ἕψεται, εἴ κεν Ἀχαιοὶ
Τρῶας δῃώσωσιν ἕλωσί τε Ἴλιον ἱρήν,

V. l. 395 πολυφόντης A: λυκοφόντης CDEHLMNOS. λυκοφάντης G. γρ. λυκοφόντης A. — 396 ἐφῆκε A. ἐφῆκε GHMO. ἐνεῖκε C. — 397 πάντας δ' G. οἶκον δὲ A. οἶκονδε CDGHLNO. οἴκονδε M. οἰκόνδε E. — 398 μαίων' ἄρα G. μαίονα ῥὰ NS. μαίονά ῥα Cant. — 400 χέρεια AC 1. man. DLOS Schol. A 80. Cram. Epim. 338, 13; 350, 22. Et. Mg. 809, 2. Et. Or. 166, 13: χέρηα C 2. man. GMN Lips. 1. man. Vrat. A. Cram. An. Par. III, 375, 6. χέρια (η supra) Vrat. a. χέρηα E bis H. ἀμείνων A, ceteri ἀμείνω. — 401 ὡς A. φᾶτο D. — 402 βασιλέως CE. αἰδίοιο D. — 403 omitt. Eton. — 404 ψεύδε'ο A. ψεύδε'α G. ψεύδεο E 482, 19. — 409 σφετέραισιν ἀτασθαλίαισιν ὤλοντο G. — 410 τῶ ACDGHLMO: τῷ EN. πόθ' CM. ἔνθεο A. — 411 ἆρ ADGHMO. — 412 τέτγα A. σιγῇ ἧσο N. ἧσο D. — 413 ἐγὼν M. — 414 εὐκνήμιδας DGO. — 415 μὲν omitt. M. γὰρ omitt. CG Lips. εἴ κεν: αἴ κεν NS Cant. εἰ μὲν G. — 416 τρῷας GL. δηϊώσωσιν LNO. δηϊόωσιν M. δῃώσουσιν D. δῃώσουσιν Vrat. A. δηιώσουσιν E. ἕλωσι δε L. Τρώων ἐκπέρσωσ' εὖ ναιόμενον πτολίεθρον Schol. A 407.

A. c. 400 χέρεια, conf. H. T. 379. H. U. 157. ἀμείνω: ἀμείνων Aristarchus. — 404 ψεύδε': Ἡρωδιανὸς τὸ ἐντελὲς ψεύδεό φησιν Schol. V. — 410 τῶ Herodianus: τὼ Apollonius, conf. H. T. 368. ἔνθεο Aristarchus: ἐν θέο Apollonius.

τούτῳ δ' αὖ μέγα πένθος Ἀχαιῶν δῃωθέντων.
ἀλλ' ἄγε δὴ καὶ νῶι μεδώμεθα θούριδος ἀλκῆς.
ἦ ῥα, καὶ ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε·
δεινὸν δ' ἔβραχε χαλκὸς ἐπὶ στήθεσσιν ἄνακτος
ὀρνυμένου· ὑπό κεν ταλασίφρονά περ δέος εἷλεν.
ὡς δ' ὅτ' ἐν αἰγιαλῷ πολυηχέι κῦμα θαλάσσης
ὄρνυτ' ἐπασσύτερον Ζεφύρου ὕπο κινήσαντος·
πόντῳ μέν τε πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
χέρσῳ ῥηγνύμενον μεγάλα βρέμει, ἀμφὶ δέ τ' ἄκρας
κυρτὸν ἐὸν κορυφοῦται, ἀποπτύει δ' ἁλὸς ἄχνην·
ὣς τότ' ἐπασσύτεραι Δαναῶν κίνυντο φάλαγγες
νωλεμέως πόλεμον δέ. κέλευε δὲ οἷσιν ἕκαστος
ἡγεμόνων· οἱ δ' ἄλλοι ἀκὴν ἴσαν, οὐδέ κε φαίης
τόσσον λαὸν ἕπεσθαι ἔχοντ' ἐν στήθεσιν αὐδήν,
σιγῇ δειδιότες σημάντορας· ἀμφὶ δὲ πᾶσι
τεύχεα ποικίλ' ἔλαμπε, τὰ εἱμένοι ἐστιχόωντο.
Τρῶες δ', ὥς τ' ὄιες πολυπάμονος ἀνδρὸς ἐν αὐλῇ
μυρίαι ἑστήκασιν ἀμελγόμεναι γάλα λευκόν,

V. l. 417 δηϊωθέντων CDNO Schol. Θ 236. δηιωθέντων AE. — 418 ἀλλά γε AMS. — 419 ῥὰ CDGHLMNO. ἆλτο: ἄλτο S. ἇλτο CH. χαμᾶζε AEHL: χαμάζε CDGMNO. — 420 στήθεσιν M. — 422 πολυηχέϊ A. — 423 ὕπο: ὑπὸ A. ὑποκινήσαντος CDEGHLMNOS Vrat. b. c. Schol. H 64, Λ 269. — 424 μέν τε AL Vrat. c. μέν τοι M. μὲν τὰ CDEHNO Et. Mg. 531, 17. Et. Gud. 339, 19. μὲν ταπρῶτα S. ταπρῶτα G. — 427 ὡς A. ἐπασσύτερον G. ἐπ' ἀσσύτεροι N. κίνυντο: ὤρνυντο O. — 428 πόλεμον δέ A. κέλευσε N. πόλεμόν δ' ἐκέλευεν οἷσιν H. — 429 ἦσαν D 1. man., nunc ἴσαν ut M. — 430 ἕπεσθαι L. ἐν: ἐνὶ LM. — 431 δεδιότες H. πᾶσι CDGHLMNO. — 433 τρῷες GL. πολυπάμονος A. πολυπάμονος Schol. Γ 2, Ε 137: πολυπάμμονος CDEGHLMNOS Et. Mg. 681, 48 Et. Gud. 490, 13. Heraclides Alleg. C. 30. Schol. Pind. Pyth. VIII, 103. ἐναυλῇ G. — 434 ἑστήκασιν D. ἑστήκωσιν NS Vrat. b. ἑστήκασι: γρ. ἑστήκωσι O.

A. c. 423 ὕπο Ptolemaeus Aristonici, Nicias, Tyrannio: ceteri ὑποκινήσαντος. — 424 τὰ πρῶτα, quod vulgo scribunt, ferendum non est, conf. A 6, Z 489, M 420, N 679, P 612, Ψ 523, θ 268, 553, quibus locis significat „primum“ (das erstemal, einmal). ubi sequitur ἔπειτα vel δεύτερον, non nisi πρῶτον aut πρῶτα est in usu, conf. Γ 330, Δ 442, K 344, Λ 17, 244, 301, Π 131, 495, 532, 694, T 369, κ 519, λ 27, 640, χ 448. At frequens est usus particulae τε in comparationibus, sicut Δ 442 ἥ τ' ὀλίγη μὲν πρῶτα κορύσσεται αὐτὰρ ἔπειτα, qui locus nostro est simillimus. conf. porro B 145, 456, 463, 470, 481, Γ 25, 33, Δ 483, 485, 487, Ε 88, 89, 137, 138, 139, 141. — 426 ἐὸν: ἀρίσταρχος διὰ τοῦ ῑ ἰόν Didymus. — 434 magnopere arridet scriptura ἑστήκωσιν, cuius coniunctivi in comparationibus adhibiti exempla contuli ad vs. 483.

ἀζηχὲc μεμακυῖαι, ἀκούουcαι ὄπα ἀρνῶν,
ὣc Τρώων ἀλαλητὸc ἀνὰ cτρατὸν εὐρὺν ὀρώρει·
οὐ γὰρ πάντων ἦεν ὁμὸc θρόοc οὐδ' ἴα γῆρυc,
ἀλλὰ γλῶcc' ἐμέμικτο, πολύκλητοι δ' ἔcαν ἄνδρεc.
ὦρcε δὲ τοὺc μὲν Ἄρηc, τοὺc δὲ γλαυκῶπιc Ἀθήνη
Δεῖμόc τ' ἠδὲ Φόβοc καὶ Ἔριc ἄμοτον μεμαυῖα,
Ἄρεοc ἀνδροφόνοιο καcιγνήτη ἑτάρη τε,
ἥ τ' ὀλίγη μὲν πρῶτα κορύccεται, αὐτὰρ ἔπειτα
οὐρανῷ ἐcτήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει.
ἥ cφιν καὶ τότε νεῖκοc ὁμοίιον ἔμβαλε μέccῳ
ἐρχομένη καθ' ὅμιλον, ὀφέλλουcα cτόνον ἀνδρῶν.
οἳ δ' ὅτε δή ῥ' ἐc χῶρον ἕνα ξυνιόντεc ἵκοντο,
cύν ῥ' ἔβαλον ῥινούc, cὺν δ' ἔγχεα καὶ μένε' ἀνδρῶν
χαλκεοθωρήκων· ἀτὰρ ἀcπίδεc ὀμφαλόεccαι
ἔπληντ' ἀλλήλῃcι, πολὺc δ' ὀρυμαγδὸc ὀρώρει.
ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν
ὀλλύντων τε καὶ ὀλλυμένων, ῥέε δ' αἵματι γαῖα.
ὡc δ' ὅτε χείμαῤῥοι ποταμοὶ κατ' ὄρεcφι ῥέοντεc
ἐc μιcγάγκειαν cυμβάλλετον ὄβριμον ὕδωρ
κρουνῶν ἐκ μεγάλων, κοίληc ἔντοcθε χαράδρηc·
τῶν δέ τε τηλόcε δοῦπον ἐν οὔρεcιν ἔκλυε ποιμήν·

V. L. 435 ἀκούουcαι ACDEGHLMNOS Cant. Harl. Eton. Vrat. a. b. c. A. Schol. Є 137. Apoll. Lex. 11, 32. Et. Gud. 431, 26; 584, 27; 601, 8. in Aldina I. et Romana expressum est ἀκούcαcαι. — 436 τρῴων L. ἀνα G. — 438 γλῶccα ἐμέμικτο G. γλῶccα μέμικτο Vrat. b. γλῶccαι ημεμικτο L. πολύκλιτοι D. — 441 omitt. Townl. — 442 κολύccεται E 495, 16. — 443 κάρην G. — 444 cφι G. μέcω M. μέcῳ G 1. man. μέccον D. μέcον Eust. 477, 1. — 445 ὀφελοῦcα Lips. — 446 οἳ δ' DL. οἵδ' CMNO. ἵκοντο: ἵκανον O. — 447 cὺν δ' ἔβαλον Et. Mg. 704, 26. Euseb. Praep. Ev. XIV, 6, 7. ῥηνοὺc N. ῥινούc τε καὶ ἀcπίδαc ὀμφαλοέccαc Aristoph. Pac. 1274. — 448 χαλκεοθωρήκων ACG. αὐτὰρ DL. — 449 ἔπληντο ἀλλήλαιcι G. ἀλλήλοιcι CDN Vrat. a. b. ὀρυγμαδὸc CDEGHM. — 450 ἔνθάδ' ἅμ' O. ἔνθα δ' ἄρ Max. Tyr. Diss. XXXVI, 4. ἔνθ' ἅμα GL Rhet. Gr. III, 40, 15. ἔνθ' ἅμ' DN. — 451 ὀλλύντων τὲ ACO. ὀλλύντων γε M. τε omitt. H. — 452 χείμαροι O. ῥέοντε C. — 453 μιcγάγγειαν DGLN. cυμβάλετον DGMNO 1. man. ὄμβριμον CGHLMNO ex corr. Mor. Vrat. a. Mosc. 3. Schol. Eurip. Orest. 325. Dionysius de Comp. verb. XVI.

A. c. 447 cύν ῥ' ἔβαλον laudat Aristonicus ad 448. — 452 χείμαῤῥοι Nicias: χειμάῤῥοι Ptolemaeus Ascalonita et Herodianus, conf. Eust. 496, 35.

ὣc τῶν μιcγομένων γένετο ἰαχή τε πόνοc τε.
πρῶτοc δ' Ἀντίλοχοc Τρώων ἕλεν ἄνδρα κορυcτὴν
ἐcθλὸν ἐνὶ προμάχοιcι, Θαλυcιάδην Ἐχέπωλον·
τόν ῥ' ἔβαλε πρῶτοc κόρυθοc φάλον ἱπποδαcείηc,
ἐν δὲ μετώπῳ πῆξε, πέρηcε δ' ἄρ' ὀcτέον εἴcω
αἰχμὴ χαλκείη· τὸν δὲ cκότοc ὄccε κάλυψεν,
ἤριπε δ' ὡc ὅτε πύργοc ἐνὶ κρατερῇ ὑcμίνῃ.
τὸν δὲ πεcόντα ποδῶν ἔλαβε κρείων Ἐλεφήνωρ
Χαλκωδοντιάδηc, μεγαθύμων ἀρχὸc Ἀβάντων·
ἕλκε δ' ὑπ' ἐκ βελέων, λελιημένοc ὄφρα τάχιcτα
τεύχεα cυλήcειε· μίνυνθα δέ οἱ γένεθ' ὁρμή.
νεκρὸν γάρ ῥ' ἐρύοντα ἰδὼν μεγάθυμοc Ἀγήνωρ
πλευρά, τά οἱ κύψαντι παρ' ἀcπίδοc ἐξεφαάνθη,
οὔτηcε ξυcτῷ χαλκήρεϊ, λῦcε δὲ γυῖα.
ὣc τὸν μὲν λίπε θυμόc, ἐπ' αὐτῷ δ' ἔργον ἐτύχθη
ἀργαλέον Τρώων καὶ Ἀχαιῶν· οἳ δὲ λύκοι ὣc
ἀλλήλοιc ἐπόρουcαν, ἀνὴρ δ' ἄνδρ' ἐδνοπάλιζεν.
ἔνθ' ἔβαλ' Ἀνθεμίωνοc υἱὸν Τελαμώνιοc Αἴαc,
ἠίθεον θαλερόν, Cιμοείcιον, ὅν ποτε μήτηρ
Ἴδηθεν κατιοῦcα παρ' ὄχθῃcιν Cιμόεντοc
γείνατ', ἐπεί ῥα τοκεῦcιν ἅμ' ἕcπετο μῆλα ἰδέcθαι.
τοὔνεκά μιν κάλεον Cιμοείcιον· οὐδὲ τοκεῦcι
θρέπτρα φίλοιc ἀπέδωκε, μινυνθάδιοc δέ οἱ αἰὼν

V. L. 456 ὡc A. γένετ' CHLOS. γίνετ' M. πόνοc LO: φόβοc ACDE bis GHMNS. — 457 τρῴων GL. — 458 θαλαccιάδην S. — 459 ἔβαλεν CHS. — 460 ἂρ DEGLM. ἀρ A. — 461 τόνδε G. τὸν δὴ M. ὄcc' ἐκάλυψεν DHLMO. — 462 πῦργοc HLM. — 463 ἔλαβε: εἷλε S Cant. ἐλεφείνωρ L. — 465 ὑπ' ἐκ ACDGHLMNO. — 467 γάρ ῥ': γὰρ CGLNO Harl. Lips. Townl. Eton. γὰρ ἕλκοντα D. — 468 πλευρᾶ D. — 469 οὔτιcε G. ξυcτῷ: χαλκῷ Cant. δὲ omitt. H. — 470 ὡc A. — 471 τρῴων GL. καὶ δαναῶν L. οἳ δὲ C. — 472 ἐδνοπάλιξεν Vrat. a. Apoll. Lex. 59, 22. ἐδνοπάλιξε Zonar. Lex. 557. — 473 ἀνθεμίονοc D. — 475 ὄχθῃcι EHLM. ὄχθαιcι G. — 476 ἐπεὶ ῥὰ GLMO. — 477 τοκεῦcι ADEGHMO. — 478 θρέπτα E ter LOS Vrat. b. c. Mosc. 3.

A. c. 456 ἀρίcταρχοc ἰαχή τε πόνοc τε. οὐ γὰρ γέγονέ πω φυγή Didymus. — 467 particula ῥα neque in caesura semiternaria neque ante ἐρύοντα, quod olim a digammo inchoabat, est necessaria, conf. Δ 506, Ν 598, Ξ 79, Ο 351, 354, Ρ 161, 235, 277, 287, 317, 419. quum autem Δ 492 omnes libri in scriptura ἑτέρωc' ἐρύοντα consentiant, vulgatam retinui. vid. Ξ 30, Ρ 403, ε 321, κ 242, φ 32, Annal. Gymn. Austr. 1871, pg. 506. — 478 Aristarchus θρέπτρα: θρεπτά Zenodotus, conf. H. T. 283.

ἔπλεθ᾽ ὑπ᾽ Αἴαντος μεγαθύμου δουρὶ δαμέντι.
πρῶτον γάρ μιν ἰόντα βάλε στῆθος παρὰ μαζὸν
δεξιόν· ἀντικρὺ δὲ δι᾽ ὤμου χάλκεον ἔγχος
ἦλθεν· ὁ δ᾽ ἐν κονίῃσι χαμαὶ πέσεν αἴγειρος ὥς,
ἥ ῥά τ᾽ ἐν εἰαμενῇ ἕλεος μεγάλοιο πεφύκῃ
λείη, ἀτάρ τέ οἱ ὄζοι ἐπ᾽ ἀκροτάτῃ πεφύασι·
τὴν μέν θ᾽ ἁρματοπηγὸς ἀνὴρ αἴθωνι σιδήρῳ
ἐξέταμ᾽, ὄφρα ἴτυν κάμψῃ περικαλλέι δίφρῳ·
ἡ μέν τ᾽ ἀζομένη κεῖται ποταμοῖο παρ᾽ ὄχθας.
τοῖον ἄρ᾽ Ἀνθεμίδην Σιμοείσιον ἐξενάριξεν
Αἴας διογενής. τοῦ δ᾽ Ἄντιφος αἰολοθώρηξ
Πριαμίδης καθ᾽ ὅμιλον ἀκόντισεν ὀξέι δουρί.
τοῦ μὲν ἅμαρθ᾽, ὁ δὲ Λεῦκον, Ὀδυσσέος ἐσθλὸν ἑταῖρον,
βεβλήκει βουβῶνα νέκυν ἑτέρωσ᾽ ἐρύοντα·
ἤριπε δ᾽ ἀμφ᾽ αὐτῷ, νεκρὸς δέ οἱ ἔκπεσε χειρός.
τοῦ δ᾽ Ὀδυσεὺς μάλα θυμὸν ἀποκταμένοιο χολώθη,
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ,
στῆ δὲ μάλ᾽ ἐγγὺς ἰών, καὶ ἀκόντισε δουρὶ φαεινῷ

V. l. 482 ὅδ᾽ CGLMNO. — 483 εἰαμενεῖ[η] L. ἔλεος AD. πεφύκῃ: πεφύκει ACDEGHLMO. — 484 λείῃ L. αὐτὰρ M. ἐπακροτάτῃ M. πεφύασι ACHMNO. πεφύκασι G. — 485 ἁρματοπηγὸς A. αἴθονι D. — 486 ὄφρ᾽ DG Apoll. Lex. 93, 14. περικαλέϊ E. — 487 μὲν ἀζομένη E. ποταμοῦ παρὰ G. — 488 ἂρ ADGLM. — 489 τοῦ: τὸν Vrat. a. αἰολοθώρηξ A. — 490 καθόμιλον D. ὀξέϊ χαλκῷ D. ἐν ἄλλῳ ἀκόντισε δουρὶ φαεινῶι A. — 491 ἅμαρθ᾽ D. ὀδυσσέως DM. ὀδυσέος O. — 493 αὐτῷ: αὐτὸν N. ἔκπεσε: γρ. ἔκφυγε O. ἔκπεσε χειρός, ἢ καὶ ἄλλως κατά τινα τῶν ἀντιγράφων ἔκφυγε χειρός Eust. 499, 37. — 494 ὀδυσσεὺς DGHMO. — 496 ἰὼν: ἐὼν lemma Schol. BL.

A. c. 483 πεφύκῃ: ita G. Hermann. Opusc. II, 44 ex coniectura, nam indicativus plusquamperfecti, quem libri consensu tuentur, in comparationibus prorsus est inauditus, quamobrem aut πέφυκεν aut πεφύκῃ est scribendum. coniunctivum ut praeferrem, motus sum locis similibus, quibus indocti librarii coniunctivum perfecti in indicativum plusquamperfecti mutaverunt, decepti simili pronuntiatione sonorum ει et η, qui sexcenties permutantur. exempla sunt haec: Ρ 435 ὥς τε στήλη μένει ἔμπεδον, ἥ τ᾽ ἐπὶ τύμβῳ ἀνέρος ἑστήκει ADHLS; εἱστήκει CEG. χ 469 ἕρκει ἐνιπλήξωσι, τό θ᾽ ἑστήκει ἐνὶ θάμνῳ ACEFGIK LNPQRSV. εἱστήκει H ex em. Π 633 ὥς τε δρυτόμων ἀνδρῶν ὀρυμαγδὸς ὀρώρει, ita omnes. Λ 477 ὄφρ᾽ αἷμα λιαρὸν καὶ γούνατ᾽ ὀρώρει D. ς 133 ὄφρ᾽ ἀρετὴν παρέχωσι θεοὶ καὶ γούνατ᾽ ὀρώρει AN et CKS 1. man. α 316 δῶρον δ᾽ ὅττί κέ μοι δοῦναι φίλον ἦτορ ἀνώγει ABDH KLMPQV. δ 400 ἦμος δ᾽ ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει ABD 1. man. EFGHIKLM 1. man. NPRSV. ἀμφιβεβήκοι D 2. man. M 2 man.

ἀμφὶ ἓ παπτήνας. ὑπὸ δὲ Τρῶες κεκάδοντο
ἀνδρὸς ἀκοντίσσαντος. ὁ δ᾽ οὐχ ἅλιον βέλος ἧκεν,
ἀλλ᾽ υἱὸν Πριάμοιο νόθον βάλε Δημοκόωντα,
ὅς οἱ Ἀβυδόθεν ἦλθε παρ᾽ ἵππων ὠκειάων.
τόν ῥ᾽ Ὀδυσεὺς ἑτάροιο χολωσάμενος βάλε δουρὶ
κόρσην· ἡ δ᾽ ἑτέροιο διὰ κροτάφοιο πέρησεν
αἰχμὴ χαλκείη· τὸν δὲ σκότος ὄσσε κάλυψε.
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
χώρησαν δ᾽ ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ·
Ἀργεῖοι δὲ μέγα ἴαχον, ἐρύσαντο δὲ νεκρούς,
ἴθυσαν δὲ πολὺ προτέρω. νεμέσησε δ᾽ Ἀπόλλων
Περγάμου ἐκκατιδών, Τρώεσσι δὲ κέκλετ᾽ ἀύσας·
ὄρνυσθ᾽ ἱππόδαμοι Τρῶες, μὴ δ᾽ εἴκετε χάρμης
Ἀργείοις, ἐπεὶ οὔ σφι λίθος χρὼς οὐδὲ σίδηρος
χαλκὸν ἀνασχέσθαι ταμεσίχροα βαλλομένοισιν.
οὐ μὰν οὐδ᾽ Ἀχιλεύς, Θέτιδος πάις ἠυκόμοιο,
μάρναται, ἀλλ᾽ ἐπὶ νηυσὶ χόλον θυμαλγέα πέσσει.
ὣς φάτ᾽ ἀπὸ πτόλιος δεινὸς θεός· αὐτὰρ Ἀχαιοὺς
ὦρσε Διὸς θυγάτηρ κυδίστη τριτογένεια,
ἐρχομένη καθ᾽ ὅμιλον, ὅθι μεθιέντας ἴδοιτο.
ἔνθ᾽ Ἀμαρυγκείδην Διώρεα μοῖρα πέδησε.
χερμαδίῳ γὰρ βλῆτο παρὰ σφυρὸν ὀκριόεντι
κνήμην δεξιτερήν· βάλε δὲ Θρῃκῶν ἀγὸς ἀνδρῶν,

V. l. 497 ἀμφί ἑ O. παπτήνας C. ὕπο A. τρῶες GL. — 498 ἀκοντίσαντος CDEGHM Lips. Schol. α 1. ὅδ᾽ CDGHLMNO. ἄλιον D. — 499 βᾶλε D. — 501 in O man. rec. insertus. τόν ῥ᾽: τὸν δ᾽ O. ὀδυσσεὺς DG HMO. — 502 κόρσης H. ἧδ᾽ D. ἥδ᾽ CLN. — 503 τόνδε G. ὄσσε κάλυψε ENO: ὄσσ᾽ ἐκάλυψε ACHMS. ὄσσ᾽ ἐκάλυψεν DL. ὄσσὲ ἐκάλυψε G. — 504 δούπησε H Et. Mg. 285, 10. ἐπαυτῶι A. ἐπ᾽ ὤμων M. — 506 μέγα AG: μέγ᾽ CDHLMNOS Cant. Townl. Lips. Vrat. b. c. A. Mosc. 1. 3. ἐρρύσαντο O Vrat. c. Mosc. 1. 3. — 507 δὲ πολλοὶ M. πολλὺ N. προτέρῳ G. — 508 ἐκκατιδὼν ACDGHLMNO. ἐκ κατιδὼν E. τρώεσσι GL. δὲ κέκλετ᾽ D. δ᾽ ἐκέκλετ᾽ L. — 509 τρῶες GL. μὴ δ᾽ ACDGHLMNO. — 510 ἀργείοις[ων] O. σφϊν H. — 511 τὰμεσίχροα A. — 512 μὰν: μὴν E 508, 26 G. ἀχιλλεὺς DGMO. πάϊς CS Cant.: ceteri παῖς. — 514 ὡς A. φᾶτ᾽ D. — 515 τριτογένεια A. — 516 μεθιέντες M. μεθιέντα N. — 517 μοῖρα πέδησε: μοῖρ᾽ ἐπέδησε ACGHMO. ceteri μοῖρ᾽ ἐπέδησεν. — 518 ὀκρυόεντι CLMOS.

A. c. 508 ἐκκατιδὼν, conf. Η 21. — 517 ἀρίσταρχος μοῖρα πέδησε ἰακῶς Didymus.

Πείροοϲ Ἰμβραϲίδηϲ, ὃϲ ἄρ᾽ Αἰνόθεν εἰληλούθει·
ἀμφοτέρω δὲ τένοντε καὶ ὀϲτέα λᾶαϲ ἀναιδὴϲ
ἄχριϲ ἀπηλοίηϲεν· ὃ δ᾽ ὕπτιοϲ ἐν κονίῃϲι
κάππεϲεν ἄμφω χεῖρε φίλοιϲ ἑτάροιϲι πετάϲϲαϲ,
θυμὸν ἀποπνείων. ὃ δ᾽ ἐπέδραμεν, ὅϲ ῥ᾽ ἔβαλέν περ,
Πείροοϲ· οὖτα δὲ δουρὶ παρ᾽ ὀμφαλόν· ἐκ δ᾽ ἄρα πᾶϲαι
χύντο χαμαὶ χολάδεϲ, τὸν δὲ ϲκότοϲ ὄϲϲε κάλυψε.
τὸν δὲ Θόαϲ Αἰτωλὸϲ ἀπεϲϲύμενον βάλε δουρὶ
ϲτέρνον ὑπὲρ μαζοῖο, πάγη δ᾽ ἐν πνεύμονι χαλκόϲ.
ἀγχίμολον δέ οἱ ἦλθε Θόαϲ, ἐκ δ᾽ ὄβριμον ἔγχοϲ
ἐϲπάϲατο ϲτέρνοιο, ἐρύϲϲατο δὲ ξίφοϲ ὀξύ,
τῷ ὅ γε γαϲτέρα τύψε μέϲην, ἐκ δ᾽ αἴνυτο θυμόν.
τεύχεα δ᾽ οὐκ ἀπέδυϲε· περίϲτηϲαν γὰρ ἑταῖροι
Θρήικεϲ ἀκρόκομοι δολίχ᾽ ἔγχεα χερϲὶν ἔχοντεϲ,
οἵ ἑ μέγαν περ ἐόντα καὶ ἴφθιμον καὶ ἀγαυὸν
ὦϲαν ἀπὸ ϲφείων· ὃ δὲ χαϲϲάμενοϲ πελεμίχθη.
ὣϲ τώ γ᾽ ἐν κονίῃϲι παρ᾽ ἀλλήλοιϲι τετάϲθην,
ἤ τοι ὃ μὲν Θρῃκῶν, ὃ δ᾽ Ἐπειῶν χαλκοχιτώνων,
ἡγεμόνεϲ· πολλοὶ δὲ περικτείνοντο καὶ ἄλλοι.
ἔνθά κεν οὐκέτι ἔργον ἀνὴρ ὀνόϲαιτο μετελθών,
ὅϲ τιϲ ἔτ᾽ ἄβλητοϲ καὶ ἀνούτατοϲ ὀξέι χαλκῷ

V. ʟ. 520 πείρωϲ ACDGHLMOS. ἥρωϲ Strabo VII, 351. ὃϲ ἄρ ADGMO. ὅϲ ῥ᾽ NS. — 521 λάαϲ CDGH. — 522 ἀπηλλοίηϲεν C Vrat. a. ἀπηλλοίωϲεν H 1. man. L. ἀπη λοίωϲεν H post ras. ὅδ᾽ CDGLMNO. κονίῃϲι ACDEGHMO. — 522 πετάϲαϲ DEMO. — 524 ὅδ᾽ CDGHLMNO. ἔβαλέν μιν NS Cant. ἔβαλεν μὶν G. — 525 πείρωϲ ACDGHLMS. οὖτα DHL. — 526 χῦντο D Et. Mg. 813, 21. ὄϲϲ᾽ ἐκάλυψε(ν) ACDG ex corr. HLMNO. ὄϲϲε κάλυψεν S Cant. Vrat. a. — 527 τόνδε G. ἀπεϲϲύμενον GMO Townl. Mosc. 3: ceteri ἐπεϲϲύμενον. — 528 ὕπερ D. ὑπὸ M. πνεύμονι: πλεύμονι Phot. Lex. 320. — 529 ὄβριμον AC post ras. DLNO post ras.: ὄμβριμον C 1. man. GHMO 1. man. — 530 ἐρύϲατο DO. — 531 ἔνυτο D. — 532 περιϲτῆϲαν D. — 533 ἀκρόκομοι A. — 535 ἀπο M. ϲφίων G. ὃ δὲ C. χαϲάμενοϲ DGN Lips. πολεμίχθη GL. — 536 ὡϲ A. ὧϲ οἵγ᾽ G. πετάϲθην D. — 537 ὃ μὲν N. ὅδ᾽ CDMN. — 538 περικτείνοντο CDGMNO, conf. Μ 245, λ 412. — 539 ἔνθά κεν CDHMO Et. Mg. 370, 8. οὐκέτι CDGHLMNOS Et. Mg. 370, 8. Et. Gud. 429, 53. Schol. Soph. Trach. 21. οὐκ ἔτι E. οὔ, κέτι A. δ᾽ ἔργον O. ὀνόϲετο N.

A. c. 527 ἀρίϲταρχοϲ διὰ τοῦ ᾱ ἀπεϲϲύμενον Didymus, conf. Ν 516, 567, 650, Ξ 409, 461. — 535 conf. Aristonicum ad Ν 148, ubi Zenodotus ὃ δὲ χάϲϲατο πολλὸν ὀπίϲϲω scripsit. — 538 περικτείνοντο, conf. H. T. 340. — 539 οὐκέτι Ptolemaeus Ascalonita: οὔ κέ τι Aristarchus (ἡ διπλῆ ὅτι περιϲϲὸϲ ὁ κέν Aristonicus), vide Ariston. ad Ν 127.

δινεύοι κατὰ μέϲϲον, ἄγοι δέ ἑ Παλλὰϲ Ἀθήνη
χειρὸϲ ἑλοῦϲα, ἀτὰρ βελέων ἀπερύκοι ἐρωήν·
πολλοὶ γὰρ Τρώων καὶ Ἀχαιῶν ἤματι κείνῳ
πρηνέεϲ ἐν κονίῃϲι παρ᾽ ἀλλήλοιϲι τέταντο.

ΙΛΙΑΔΟϹ Ε.

Ἔνθ᾽ αὖ Τυδείδῃ Διομήδεϊ Παλλὰϲ Ἀθήνη
δῶκε μένοϲ καὶ θάρϲοϲ, ἵν᾽ ἔκδηλοϲ μετὰ πᾶϲιν
Ἀργείοιϲι γένοιτο ἰδὲ κλέοϲ ἐϲθλὸν ἄροιτο.
δαῖέ οἱ ἐκ κόρυθόϲ τε καὶ ἀϲπίδοϲ ἀκάματον πῦρ,
ἀϲτέρ᾽ ὀπωρινῷ ἐναλίγκιον, ὅϲ τε μάλιϲτα
λαμπρὸν παμφαίνῃϲι λελουμένοϲ Ὠκεανοῖο·
τοῖόν οἱ πῦρ δαῖεν ἀπὸ κρατόϲ τε καὶ ὤμων,

V. ʟ. 541 δινεύει GH. μέϲον DE. ἄγει G. ἄγει[οι] N. ἄγη[οι] O. δὲ ἓ G. — 542 ἑλοῦϲα ἀτὰρ E. ἑλοῦϲ[α]᾽ ἀτὰρ G. ἑλοῦϲ᾽ ἀτὰρ H. ἑλοῦϲ[α]᾽ ἀ[υ]τὰρ A. ἑλοῦϲα αὐτὰρ O. ceteri ἑλοῦϲ᾽ αὐτὰρ. ἀπερύκει D. — 543 τρῴων GL. ἤματι D.

A. c. 542 ἑλοῦϲα ἀτὰρ, conf. Ahrens. de hiat. Hom. legitimis quibusdam generibus pg. 11. hanc scripturam confirmant ἐφοπλιϲόμεϲθα ἀτάρ Θ 503; ποτάμοιο ἀτάρ Λ 732; ἀνέπαλτο ἀτάρ Ψ 694; ἰχθυόεντα ἀτάρ ι 83; μεγάροιο ἀτάρ φ 229. conf. porro κανέοιϲιν ἀτάρ Ι 217, Ω 626; ἡμιόνοιϲιν ἀτάρ Η 333; προμάχοιϲιν ἀτάρ Λ 744; ἔπεφνεν ἀτάρ Κ 488; ἐϲτὶν ἀτάρ ρ 307 et Ε 483, 833, Ι 56, Λ 614, Ξ 105, Υ 181, Ψ 265, β 240, ν 243. Ε 287 οὐδ᾽ ἔτυχεϲ ἀτάρ. Ε 485 ἔϲτηκαϲ ἀτάρ. Ψ 104 εἴδωλον ἀτάρ.

V. ʟ. 2 μετα A. πᾶϲϊ M. — 3 γένοιτο ἠδὲ G. — 4 ΔΑΙΕΔΕΟΙ Ambrosianus: ceteri δαῖέ οἱ cum Bekk. Anecd. 1208. Bachm. Anecd. II, 140, 19. Drac. de Metr. 34, 8. Macrob. Sat. V, 13, 34. Suid. Lex. I, 1, 151, 25. Rhet. Gr. III, 234, 6. τινὲϲ γράφουϲι „δαῖε δέ οἱ ἐκ κόρυθοϲ“ Eust. 514, 8, qui frustra quaerit, cur hoc loco ν̄ paragogicum sit omissum. — 5 ΑϹΤΕΡΙ Ambros. ἀϲτέρι G Eust. 12, 29. Draco de Metr. 41, 12. Hesych. I, 304. ἀϲτέρ[ι]᾽ A. γράφεται καὶ ἄλλωϲ ἐντελῶϲ „ἀϲτέρι ὀπωρινῷ“ Eust. 514, 18. — 6 παμφαίνηϲι MN Lips. cum aliis sine ῑ subscripto, quod multis locis est omissum.

A. c. 4 δαῖέ οἱ χωρὶϲ τοῦ ν̄ ἐν πολλοῖϲ ἀντιγράφοιϲ φερόμενον Eust. 514, 4. conf. κέ οἱ Ζ 281, Ι 157, Ψ 540 (κέν CDGHL)· γ 258 (κέν GINV), ι 458; sed Φ 567 omnes κέν οἱ habent. κέ ἑ Ι 155. — 6 παμφαίνῃϲι, conf. H. U. 197 et Bäumlein. in Commentat. de Homero editioni Iliadis praefixa pg. XL.

ὦρϲε δέ μιν κατὰ μέϲϲον, ὅθι πλεῖϲτοι κλονέοντο.
ἦν δέ τιϲ ἐν Τρώεϲϲι Δάρηϲ ἀφνειὸϲ ἀμύμων,
ἱρεὺϲ Ἡφαίϲτοιο· δύω δέ οἱ υἱέεϲ ἤϲτην,
Φηγεὺϲ Ἰδαῖόϲ τε, μάχηϲ εὖ εἰδότε πάϲηϲ.
τώ οἱ ἀποκρινθέντε ἐναντίω ὁρμηθήτην·
τὼ μὲν ἀφ' ἵπποιιν, ὃ δ' ἀπὸ χθονὸϲ ὤρνυτο πεζόϲ.
οἳ δ' ὅτε δὴ ϲχεδὸν ἦϲαν ἐπ' ἀλλήλοιϲιν ἰόντεϲ,
Φηγεύϲ ῥα πρότεροϲ προΐει δολιχόϲκιον ἔγχοϲ·
Τυδείδεω δ' ὑπὲρ ὦμον ἀριϲτερὸν ἤλυθ' ἀκωκὴ
ἔγχεοϲ, οὐδ' ἔβαλ' αὐτόν· ὃ δ' ὕϲτεροϲ ὤρνυτο χαλκῷ
Τυδεΐδηϲ· τοῦ δ' οὐχ ἅλιον βέλοϲ ἔκφυγε χειρόϲ,
ἀλλ' ἔβαλε ϲτῆθοϲ μεταμάζιον, ὦϲε δ' ἀφ' ἵππων.
Ἰδαῖοϲ δ' ἀπόρουϲε λιπὼν περικαλλέα δίφρον,
οὐδ' ἔτλη περιβῆναι ἀδελφειοῦ κταμένοιο·
οὐδὲ γὰρ οὐδέ κεν αὐτὸϲ ὑπέκφυγε κῆρα μέλαιναν,
ἀλλ' Ἥφαιϲτοϲ ἔρυτο, ϲάωϲε δὲ νυκτὶ καλύψαϲ,
ὡϲ δή οἱ μὴ πάγχυ γέρων ἀκαχήμενοϲ εἴη.
ἵππουϲ δ' ἐξελάϲαϲ μεγαθύμου Τυδέοϲ υἱὸϲ
δῶκεν ἑταίροιϲιν κατάγειν κοίλαϲ ἐπὶ νῆαϲ.

V. l. 8 κατα A. μέϲον G 1. man. M. καὶ ἄριϲτοι H, deletum man. recentiore, quae suprascripsit κλονέοντο. — 9 τρῴεϲϲι GL. — 10 ἱερεὺϲ GHMO. ἱρεὺϲ E. υἱέε L post ras. Pseudoplut. 120, 43. ἤϲτην: ἤτην D post ras. L. ἦϲαν C. ἤϲθην N. — 11 ΙΔΟΤΕ Ambros. — 12 ἀποκρινθέντε AE 515, 18 H: ἀποκριθέντε CDGLMNS Lips. Vrat. a. ΤΩΙΟΙ ΑΠΟΚΡΙΘΕΝΤΕ Ambros. ἀποκριθέντεϲ O. ἀποκρινθέντεϲ Harl. sup. ἐναντίω A Ambr. CDL: ἐναντίον GHMNOS Mor. Cant. Harl. Lips. a man. sec. Vrat. A. ὁρμηθήτην A Ambr. DLNO: ὡρμηθήτην CGHMS Eton. Vrat. b. c. Mosc. 1 οἵ, φηϲιν, ἀποκρινθέντεϲ ἐναντίοι, τῷ Διομήδει ὡρμήθηϲαν Eust. 515, 16 suo more, unde nequaquam colligendum est, exstitisse in aliquo codice scripturam οἵ οἱ ἀποκρινθέντεϲ ἐναντίοι ὡρμήθηϲαν. — 13 omittit C in textu. ΤΩΙ Ambros. ὃ δ' L. ὅδ' C 2. man. GHMNO. ἀπο A. — 14 οἳ δ' L. οἵδ' CDGHMNO. ἐπαλλήλοιϲιν A. — 15 ῥὰ DGMN. προΐει δολιχόϲκιον A. — 16 τυδείδου G. — 17 ὃ δ' L. ὅδ' CDMNO. — 19 μετὰ μάζιον HM. — 20 ἀπόρουϲε: ἐπόρουϲε N. — 21 περιβῆναι: περιμεῖναι L errore librarii. — 24 ὣϲ A. εἴηι A. — 26 ἑταίροιϲϊ CGNO. ἑτάροιϲϊ HM.

A. c. 9 Δάρηϲ, non Δαρήϲ, Herodianus, conf. Eust. 515, 2. — 10 ἱρεύϲ: ψιλοῦται Schol. B. το δὲ ἱρεὺϲ ψιλοῦται, ὡϲ ἐν τοῖϲ Ἀπίωνοϲ κεῖται καὶ Ἡροδώρου Eust. 515, 35. — 12 ὁρμηθήτην, conf. Κ 359 ὁρμήθηϲαν (ita AH et Schol. A τὸ ὁρμήθηϲαν ἰακῶϲ). Ρ 530 ὁρμηθήτην (ita A). κ 214 ὁρμήθηϲαν (ita Q). sed Ν 496, 526, Ψ 817 in omnibus libris legitur ὡρμήθηϲαν.

Τρῶεϲ δὲ μεγάθυμοι ἐπεὶ ἴδον υἷε Δάρητοϲ
τὸν μὲν ἀλευάμενον, τὸν δὲ κτάμενον παρ' ὄχεϲφι,
πᾶϲιν ὀρίνθη θυμόϲ· ἀτὰρ γλαυκῶπιϲ Ἀθήνη
χειρὸϲ ἑλοῦϲ' ἐπέεϲϲι προϲηύδα θοῦρον Ἄρηα·
Ἆρεϲ Ἄρεϲ βροτολοιγέ, μιαιφόνε, τειχεϲιπλῆτα,
οὐκ ἂν δὴ Τρῶαϲ μὲν ἐάϲαιμεν καὶ Ἀχαιοὺϲ
μάρναϲθ', ὁπποτέροιϲι πατὴρ Ζεὺϲ κῦδοϲ ὀρέξῃ;
νῶι δὲ χαζώμεϲθα, Διὸϲ δ' ἀλεώμεθα μῆνιν.
ὣϲ εἰποῦϲα μάχηϲ ἐξήγαγε θοῦρον Ἄρηα.
τὸν μὲν ἔπειτα καθεῖϲεν ἐπ' ἠιόεντι Ϲκαμάνδρῳ,
Τρῶαϲ δ' ἔκλιναν Δαναοί· ἕλε δ' ἄνδρα ἕκαϲτοϲ
ἡγεμόνων. πρῶτοϲ δὲ ἄναξ ἀνδρῶν Ἀγαμέμνων
ἀρχὸν Ἁλιζώνων, Ὀδίον μέγαν, ἔκβαλε δίφρου·
πρώτῳ γὰρ ϲτρεφθέντι μεταφρένῳ ἐν δόρυ πῆξεν
ὤμων μεϲϲηγύϲ, διὰ δὲ ϲτήθεϲφιν ἔλαϲϲεν.
[δούπηϲεν δὲ πεϲών, ἀράβηϲε δὲ τεύχε' ἐπ' αὐτῷ.]
Ἰδομενεὺϲ δ' ἄρα Φαῖϲτον ἐνήρατο, Μῄονοϲ υἱὸν
Βώρου, ὃϲ ἐκ Τάρνηϲ ἐριβώλακοϲ εἰληλούθει.
τὸν μὲν ἄρ' Ἰδομενεὺϲ δουρὶ κλυτὸϲ ἔγχεϊ μακρῷ
νύξ' ἵππων ἐπιβηϲόμενον κατὰ δεξιὸν ὦμον·

V. l. 27 τρῷεϲ GL. δὲ: δὴ G 2. man. εἶδον M. ἶδον O. — 28 τονδὲ D. ὄχεϲφι ACDGMN. — 29 ὀρύνθη M. αὐτὰρ M. — 30 ἑλοῦϲα ἔπεϲϲι G. προϲηῦδα D. θούριον H. — 31 ἄρεϲ bis D. ἀρεϲ bis M. τειχεϲιπλῆτα A. τειχεϲιπλήτα L. τειχεϲιπλήτα M. τείχεϲι πλῆκτα D. γρ. τειχεϲιβλῆτα O. — 32 οὐκ ἂν μὲν (β) δὴ (α) τρῶαϲ (γ) ἐάϲϲαιμεν L. τρῷαϲ G. — 33 ὁποτέροιϲι D. ὀρέξει CM Vrat. a. 1. man. c. Schol. Η 171. Eust. 519, 8. ὀρέξοι (η) L. ὀρέξοι Eust. 519, 12. — 34 χαζώμεθα DG 1. man. — 35 ὡϲ A. — 36 τὸν μετέπειτα S. καμάνδρῳ C post ras. GL Mor. Barocc. Harl. — 37 τρῷαϲ GL. ἕλεν M. — 38 πρῶτοϲ: πρότεροϲ H. δ' ἄναξ CGM. — 39 ἀλιζώνων DG 1. man. L. ὀδῖον N. — 40 πῆξε M. — 41 μεϲηγὺϲ DN. ἔλαϲϲε HMO. ἔλαϲε E. ἤλαϲεν N. hic versus in Lips. margini est adscriptus. — 42 omitt. AC Townl. Eton, qui habet in margine. δούπηϲε EMO. — 43 ἐνήρατο C. μαίονοϲ C. τέκτονοϲ H ex corr. pro Μῄονοϲ. — 44 ἐκ τ' ἄρνηϲ G Mor. Cant. ἐξ ἄρνηϲ Vrat. a. — 45 ἆρ GHMN. ἀρ A. δουρὶ, κλυτὸϲ A. δουρὶ κλυτὸϲ (sic) O. ἔγχεϊ χαλκῷ L. — 46 κατα A.

A. c. 31 Ἆρεϲ: ἀρέϲ Ixio. τειχεϲιπλῆτα: τειχεϲιβλῆτα Zenodotus, conf. Et. Mg. 756, 18. — 39 Ἁλιζώνων, vide ad Β 856. Ὀδίον Herodianus παροξυτόνωϲ. — 44 Τάρνηϲ, ita Strabo IX, 413. Stephan. Byz. 102, 19. Schol. ABD.

ἤριπε δ᾽ ἐξ ὀχέων, ϲτυγερὸϲ δ᾽ ἄρα μιν ϲκότοϲ εἷλε.
τὸν μὲν ἄρ᾽ Ἰδομενῆοϲ ἐϲύλευον θεράποντεϲ·
υἱὸν δὲ Ϲτροφίοιο Ϲκαμάνδριον, αἵμονα θήρηϲ,
Ἀτρείδηϲ Μενέλαοϲ ἕλ᾽ ἔγχεϊ ὀξυόεντι,
ἐϲθλὸν θηρητῆρα· δίδαξε γὰρ Ἄρτεμιϲ αὐτὴ
βάλλειν ἄγρια πάντα, τά τε τρέφει οὔρεϲιν ὕλη.
ἀλλ᾽ οὔ οἱ τότε γε χραῖϲμ᾽ Ἄρτεμιϲ ἰοχέαιρα,
οὐδὲ ἑκηβολίαι, ᾗϲιν τὸ πρίν γε κέκαϲτο·
ἀλλά μιν Ἀτρείδηϲ δουρὶ κλειτὸϲ Μενέλαοϲ
πρόϲθεν ἕθεν φεύγοντα μετάφρενον οὔταϲε δουρί,
[ὤμων μεϲϲηγύϲ, διὰ δὲ ϲτήθεϲφιν ἔλαϲϲεν.]
ἤριπε δὲ πρηνήϲ, ἀράβηϲε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
Μηριόνηϲ δὲ Φέρεκλον ἐνήρατο, Τέκτονοϲ υἱὸν
Ἁρμονίδεω, ὃϲ χερϲὶν ἐπίϲτατο δαίδαλα πάντα
τεύχειν· ἔξοχα γάρ μιν ἐφίλατο Παλλὰϲ Ἀθήνη·
ὃϲ καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆαϲ ἐίϲαϲ
ἀρχεκάκουϲ, αἳ πᾶϲι κακὸν Τρώεϲϲι γένοντο
οἵ τ᾽ αὐτῷ, ἐπεὶ οὔ τι θεῶν ἐκ θέϲφατα ᾔδη.
τὸν μὲν Μηριόνηϲ, ὅτε δὴ κατέμαρπτε διώκων,
βεβλήκει γλουτὸν κάτα δεξιόν· ἣ δὲ διὰ πρὸ

V. L. 47 ϲκότοϲ: μόροϲ MN Harl. εἷλε ACEGMN. — 48 ἂρ MN. ἀρ A. ἐϲύλεον ἐϲθλοὶ ἑταῖροι MNS (αἰϲθλοὶ) Cant. — 49 καμάνδριον C post ras. GLS Mor. Barocc. Vrat. a. Mosc. 1. αἵμονὰ H. — 50 ὀξιόεντι S. — 51 ἄρτεμιϲ ἐϲθλή L. — 53 γε omitt. GLN. γε, χραῖϲμ᾽ A. — 54 οὐδ᾽ DH. ἧϲι HN. αἶϲι G. τοπρίν HMNO. τοπρὶν G. *γε κέκαϲτο: vulgo γ᾽ ἐκέκαϲτο. γ᾽ omitt. GLM. — 55 δουρὶ, κλυτὸϲ A. δουρικλυτὸϲ CGHL MNO. δουρικλειτὸϲ D. — 56 πρόϲθε Apollon. de Pron. 55 A. — 57 omitt. A in textu CDN 1. man. Lips. Townl. 1. man. ϲτήθεϲϲιν O. ἔλαϲεν MN. — 58 δὲ πρηνὴϲ: δ᾽ ἐξ ὀχέων MS Harl. γρ. πρηνήϲ S. γρ. δὲ πρηνὴϲ M. — 59 ἐνήρατο ACO. — 60 Ἁρμονίδου E. ἁρμονίδεω L. ἁρμονίδαο G. — 61 ἐφίλατο: φίλατο N. ἐφίληϲε S. γρ. ἐφίληϲε O. — 62 τεκτήνατο C. εἴϲϲαϲ O. — 63 τρώεϲϲι GL. — 64 οἵ τ᾽ D: ceteri οἳ τ᾽ cum Apoll. de Pron. 53 A; de Synt. 137, 26; 145, 22. ἐκ: ἒκ Apoll. de Pron. 53 A. ᾔδη L. ᾔδει CMN Harl. — 66 κάτα: libri κατὰ. ἣ δὲ C. διὰ πρὸ DEM Schol. O 127.

A. c. 53 χραῖϲμ᾽ Ἄρτεμιϲ ἰοχέαιρα: χραῖϲμεν θανάτοιο πέλωρα Zenodotus. — 56 ἕθεν Herodianus: ἑθὲν Dion. Sidonius, conf. Schol. Γ 128, Є 80. Et. Mg. 124, 17. H. T. 236. — 59 τέκτονοϲ υἱὸν οἱ μὲν ἀκριβέϲτεροι ἐπίθετόν φαϲι Eust. 521, 39. — 60 πάντα: πολλά altera Aristarchi. — 64 ἀθετεῖται Aristonicus. οἵ τ᾽, non οἳ τ᾽ scribendum esse docui H. U. 141. οἳ Herodianus cum Apollonio. ᾔδη Aristarchus, non ᾔδει. — 66 ἣ δὲ Aristarchus, non ἠδὲ, conf. Herod. ad O 127.

ἀντικρὺ κατὰ κύϲτιν ὑπ᾽ ὀϲτέον ἤλυθ᾽ ἀκωκή.
γνὺξ δ᾽ ἔριπ᾽ οἰμώξαϲ, θάνατοϲ δέ μιν ἀμφεκάλυψε.
Πήδαιον δ᾽ ἄρ᾽ ἔπεφνε Μέγηϲ, Ἀντήνοροϲ υἱόν,
ὅϲ ῥα νόθοϲ μὲν ἔην, πύκα δ᾽ ἔτρεφε δῖα Θεανὼ
ἶϲα φίλοιϲι τέκεϲϲι, χαριζομένη πόϲεϊ ᾧ.
τὸν μὲν Φυλείδηϲ δουρὶ κλυτὸϲ ἐγγύθεν ἐλθὼν
βεβλήκει κεφαλῆϲ κατὰ ἰνίον ὀξέϊ δουρί·
ἀντικρὺ δ᾽ ἀν᾽ ὀδόνταϲ ὑπὸ γλῶϲϲαν τάμε χαλκόϲ.
ἤριπε δ᾽ ἐν κονίῃϲ, ψυχρὸν δ᾽ ἕλε χαλκὸν ὀδοῦϲιν.
Εὐρύπυλοϲ δ᾽ Εὐαιμονίδηϲ Ὑψήνορα δῖον,
υἱὸν ὑπερθύμου Δολοπίονοϲ, ὅϲ ῥα Ϲκαμάνδρου
ἀρητὴρ ἐτέτυκτο, θεὸϲ δ᾽ ὣϲ τίετο δήμῳ,
τὸν μὲν ἄρ᾽ Εὐρύπυλοϲ, Εὐαίμονοϲ ἀγλαὸϲ υἱόϲ,
πρόϲθεν ἕθεν φεύγοντα μεταδρομάδην ἔλαϲ᾽ ὦμον
φαϲγάνῳ ἀίξαϲ, ἀπὸ δ᾽ ἔξεϲε χεῖρα βαρεῖαν.
αἱματόεϲϲα δὲ χεὶρ πεδίῳ πέϲε· τὸν δὲ κατ᾽ ὄϲϲε
ἔλλαβε πορφύρεοϲ θάνατοϲ καὶ μοῖρα κραταιή.
ὣϲ οἳ μὲν πονέοντο κατὰ κρατερὴν ὑϲμίνην·
Τυδείδην δ᾽ οὐκ ἂν γνοίηϲ ποτέροιϲι μετείη,
ἠὲ μετὰ Τρώεϲϲιν ὁμιλέοι ἦ μετ᾽ Ἀχαιοῖϲ.
θῦνε γὰρ ἂμ πεδίον ποταμῷ πλήθοντι ἐοικὼϲ
χειμάρρῳ, ὅϲ τ᾽ ὦκα ῥέων ἐκέδαϲϲε γεφύραϲ·
τὸν δ᾽ οὔτ᾽ ἄρ τε γέφυραι ἐερμέναι ἰϲχανόωϲιν,
οὔτ᾽ ἄρα ἕρκεα ἴϲχει ἀλωάων ἐριθηλέων,

V. L. 68 ἀμφεκάλυψε AEGHMNO. — 69 πήδαιον ACDEGHLMNOS Vrat. a. b. Mosc. 1. 3. Zonar. Lex. 381. ἂρ ADGHLMN. γὰρ Zonar. 381. ἀντίνοροϲ G. — 70 ῥὰ DGLMO. μὲν omitt. G. ἔτραφε Townl. — 72 δουρὶ, κλυτὸϲ A: ceteri δουρικλυτὸϲ. — 73 ἠνίον N. χαλκῷ M et supra δουρὶ. — 74 ἂν A. ἀνοδόνταϲ DN. — 75 κονίῃ CEGMNOS: κονίηϲ ADL. κονίῃϲι H ex corr. ἐν ἄλλῳ ἤριπε δ᾽ ἐξ ὀχέων A. ὀδοῦϲι M. — 77 ῥὰ DGLMN. καμάνδρου C post ras. GL Barocc. Mor. Vrat. b. — 78 ὡϲ A. ἐτίετο DLM. — 79 ἂρ LM. ἀρ A. — 81 ἀποδέξελε M. — 83 ἔλαβε G: ἔλλαχε Porphyrius ad Z 488. πορφύρεοϲ λάβε θάνατοϲ D. — 86 ὁμιλέει EG Barocc. Vrat. a. ἦ: libri ἤ. — 87 ἀμπεδίον ACDGHLMNO. — 88 χειμάρῳ L. ἐκέδαϲε DGM. ἐϲκέδαϲϲε HN. — 89 τε omitt. C. τι Et. Mg. 478, 42, quod postulat Naegelsbach. Anmerk. z. Ilias pg. 37. ἐερμέναι: libri ἐεργμέναι. — 90 ἂρ H. ἀλωάων H: ceteri ἀλωάων. ἐριθηλάων GL.

A. c. 69 Aristarchus Πήδαιον: alii Πηδαῖον. — 76 Εὐαιμονίδηϲ et 79 Εὐαίμονοϲ Ptolemaeus Ascalonita, conf. Eust. 524, 6. — 87 ἀμπεδίον, conf. Schol. ε 329. — 89 ἀρίϲταρχοϲ ἐερμέναι Didymus, conf. Schol. V.

ἐλθόντ' ἐξαπίνης, ὅτ' ἐπιβρίσῃ Διὸς ὄμβρος·
πολλὰ δ' ὑπ' αὐτοῦ ἔργα κατήριπε κάλ' αἰζηῶν.
ὣς ὑπὸ Τυδείδῃ πυκιναὶ κλονέοντο φάλαγγες
Τρώων, οὐδ' ἄρα μιν μίμνον πολέες περ ἐόντες.
τὸν δ' ὡς οὖν ἐνόησε Λυκάονος ἀγλαὸς υἱὸς
θύνοντ' ἂμ πεδίον, πρὸ ἕθεν κλονέοντα φάλαγγας,
αἶψ' ἐπὶ Τυδείδῃ ἐτιταίνετο καμπύλα τόξα,
καὶ βάλ' ἐπαΐσσοντα τυχὼν κατὰ δεξιὸν ὦμον,
θώρηκος γύαλον, διὰ δ' ἔπτατο πικρὸς ὀιστός·
ἀντικρὺ δὲ διέσχε, παλάσσετο δ' αἵματι θώρηξ.
τῷ δ' ἐπὶ μακρὸν ἄυσε Λυκάονος ἀγλαὸς υἱός·
ὄρνυσθε Τρῶες μεγάθυμοι, κέντορες ἵππων·
βέβληται γὰρ ἄριστος Ἀχαιῶν, οὐδέ ἕ φημι
δήθ' ἀνσχήσεσθαι κρατερὸν βέλος, εἰ ἐτεόν με
ὦρσεν ἄναξ Διὸς υἱὸς ἀπορνύμενον Λυκίηθεν.
ὣς ἔφατ' εὐχόμενος· τὸν δ' οὐ βέλος ὠκὺ δάμασσεν,
ἀλλ' ἀναχωρήσας πρόσθ' ἵπποιιν καὶ ὄχεσφιν
ἔστη, καὶ Cθένελον προσέφη, Καπανήιον υἱόν·
ὄρσο πέπον Καπανηιάδη, καταβήσεο δίφρου,
ὄφρα μοι ἐξ ὤμοιο ἐρύσσῃς πικρὸν ὀιστόν.
ὣς ἄρ' ἔφη, Cθένελος δὲ καθ' ἵππων ἆλτο χαμᾶζε,
πὰρ δὲ στὰς βέλος ὠκὺ διαμπερὲς ἐξέρυσ' ὤμου·
αἷμα δ' ἀνηκόντιζε διὰ στρεπτοῖο χιτῶνος.
δὴ τότ' ἔπειτ' ἠρᾶτο βοὴν ἀγαθὸς Διομήδης·

V. L. 91 ἐπιβρίσει CDE ter LM Vrat. A. — 93 ὕπο A. πυκναὶ S. — 94 τρῴων GL. — 96 ἀμπεδίον ACDGHLMNO Apoll. Lex. 63, 12. ἀνπεδίον Townl. ἂν πεδίον E. — 97 τυδείδεω Vrat. b. — 98 τυχὸν N. κατα A. — 99 δια CDGL. δέπτατο D. — 101 ἐπι D. — 102 τρῷες GL. — 103 οὐδέ ἑ φημὶ ACDEGHLMNO. — 104 δηθὰ σχήσεσθαι E 528, 5 NOS Cant. δήθ' ἀνασχήσεσθαι C (δήθ') LM Lips. Mor. δηθὰ ἀνασχέσθαι G. γράφεται οὐδέ ἑ φημὶ δῆθ' ἀνσχήσεσθαι Eust. 528, 6. — 106 ὡς A. ὣς φάτ' D. ὣς φάτ' ἐπευχόμενος E 528, 18 M Vrat. b. Harl. — 107 πρόσθεν ἵπποις G. — 108 καπανήϊος G. — 109 ὄρσε S Cant. Vrat. A. ὄρσεο NO Vrat. a. c. Mosc. 3. καπανιάδη L. καταβήσαιο GN. — 110 ὄφρά μοι CDLO. ἐρύσῃς N. ἐρρύσσῃς O. — 111 ὡς A. ἄρ DGM. ἄλτο C. χαμάζε CGLMN. — 112 παρ CDG. ὤμων N. — 113 ἀνηκόντιζε διά: ἀνηκόντιζεν ἀπὸ Eust. 680, 24. δια L.

A. c. 104 ἀρίσταρχος δήθ' ἀνσχήσεσθαι Didymus, conf. H. T. 394. ἀρίσταρχος βέλος Didymus. de alia scriptura nihil est traditum.

κλῦθί μευ αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη,
εἴ ποτέ μοι καὶ πατρὶ φίλα φρονέουσα παρέστης
δηίῳ ἐν πολέμῳ, νῦν αὖτ' ἐμὲ φῖλαι Ἀθήνη·
δὸς δέ τέ μ' ἄνδρα ἑλεῖν καὶ ἐς ὁρμὴν ἔγχεος ἐλθεῖν,
ὅς μ' ἔβαλε φθάμενος καὶ ἐπεύχεται, οὐδέ μέ φησι
δηρὸν ἔτ' ὄψεσθαι λαμπρὸν φάος ἠελίοιο.
ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη,
γυῖα δ' ἔθηκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθεν·
ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
θαρσῶν νῦν Διόμηδες ἐπὶ Τρώεσσι μάχεσθαι·
ἐν γάρ τοι στήθεσσι μένος πατρώιον ἧκα
ἄτρομον, οἷον ἔχεσκε σακέσπαλος ἱππότα Τυδεύς·
ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλον, ἣ πρὶν ἐπῆεν,
ὄφρ' εὖ γιγνώσκῃς ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα.
τῶ νῦν, αἴ κε θεὸς πειρώμενος ἐνθάδ' ἵκηται,

V. L. 115 κλῦθί μοι ACDGHL. μευ NO Cant. Harl. μου M. — 117 αὖτ' ἐμὲ ADGN: αὖτέ με CE bis HLMOS Cant. Lips. Vrat. b. A. Mosc. 1. Et. Mg. 793, 33. Zonar. Lex. 1812. Cram. An. Ox. II, 421, 27. φῖλαι AN: φίλαι E bis S Cant. Townl. Mosc. 1. Et. Mg. 793, 33. Zonar. Lex. 1812. φίλε D. φίλε' CGHLMO Mosc. Vrat. b. c. A. Mosc. 3. γρ. φίλαι ἀθήνη O. νῦν αὖ με φίλαι Ἀθήνη, οὕτω γάρ τινες γράφουσι τῶν ἀκριβεστέρων Eust. 1269, 10. conf. K 280. — 118 δὸς δέ τε μ' vel τέ μ' libri mei. τὸν δέ τ' ἄνδρα Schol. O 119. δὸς δέ τ' ἔμ' Apollon. de Synt. 243, 7; 244, 20. — 119 οὐδέ με φησὶ ACDGL (φησὶν) MNO. οὔ ἐμὲ φησὶ Townl. — 121 ὡς A. — 124 ἐπι A. τρῴεσσι GL. — 125 στήθεσι O. — 126 σακεσπάλος D 1. man. σακκεσπάλος M. — 128 γιγνώσκης N 1. man. O 2. man. γινώσκης EMN 2. man. O 1. man. Lucianus XII, 7. Et. Mg. 722, 19. Plato Alcib. II, 150 D. γινώσκης [οι] H. γιγνώσκοις L. γινώσκοις ACDG Mosc. 3. Maxim. Tyr. Diss. XIV, 5. Zonar. Lex. 1661. conf. Schol. Є 451. — 129 τῷ ACDGHLMNO.

A. c. 115 κλῦθϊ μοι (conf. H. S. 162) non solum hoc loco, sed etiam K 278, β 262, δ 762, ζ 239, 324 in libris optimis scribitur, socordia librariorum, qui ceteris locis (A 37, 451, Γ 97, 304, 456, H 67, 348, 368, Θ 5, 497, K 284, T 101, β 25, 161, 229, ρ 370, 468, c 43, υ 292, φ 68, 275, ω 443, 445) genitivum Homero usitatum non immutaverunt. at poëtae Homero recentiores dativo utebantur, ut Theognis 4 σὺ δέ μοι κλῦθι. 13 εὐχομένῳ μοι κλῦθι. Solon 13, 2 κλῦτέ μοι εὐχομένῳ. — 117 φῖλαι scribendum est, non φίλαι vel φίλε', est enim imperativus aoristi ab indicativo ἐφιλάμην, qui legitur Є 61, ut πείρησαι A 302, θ 145, φράσαι A 83, ἄλευαι X 285, κατάλεξαι τ 44. — 118 δὸς δέ τέ μ': οὕτως ἔν τισιν ἡρωδιανὸς ἡ δὲ γραφὴ τὸν δέ τέ μ' ἄνδρα Schol. A. — 122 ὁ ἀστερίσκος, ὅτι ἐντεῦθεν μετενήνεκται εἰς τὸν ἐπὶ Πατρόκλῳ ἀγῶνα Aristonicus, conf. Schol. N 61. — 128 optativum γιγνώσκοις agnoscit Schol. BL. ἠδὲ καὶ ἄνδρα: ἠδ' ἄνθρωπον Zenodotus.

μή τι cύ γ' ἀθανάτοιcι θεοῖc ἀντικρὺ μάχεcθαι
τοῖc ἄλλοιc· ἀτὰρ εἴ κε Διὸc θυγάτηρ Ἀφροδίτη
ἔλθῃc' ἐc πόλεμον, τήν γ' οὐτάμεν ὀξέι χαλκῷ.
ἣ μὲν ἄρ' ὣc εἰποῦc' ἀπέβη γλαυκῶπιc Ἀθήνη,
Τυδείδηc δ' ἐξαῦτιc ἰὼν προμάχοιcιν ἐμίχθη·
καὶ πρίν περ θυμῷ μεμαὼc Τρώεccι μάχεcθαι,
δὴ τότε μιν τρὶc τόccον ἕλεν μένοc, ὥc τε λέοντα,
ὅν ῥά τε ποιμὴν ἀγρῷ ἐπ' εἰροπόκοιc ὀίεccι
χραύcῃ μέν τ' αὐλῆc ὑπεράλμενον οὐδὲ δαμάccῃ·
τοῦ μέν τε cθένοc ὦρcεν, ἔπειτα δέ τ' οὐ προcαμύνει,
ἀλλὰ κατὰ cταθμοὺc δύεται, τὰ δ' ἐρῆμα φοβεῖται·
αἳ μέν τ' ἀγχιcτῖναι ἐπ' ἀλλήλῃcι κέχυνται,
αὐτὰρ ὃ ἐμμεμαὼc βαθέηc ἐξάλλεται αὐλῆc·
ὣc μεμαὼc Τρώεccι μίγη κρατερὸc Διομήδηc.
ἔνθ' ἕλεν Ἀcτύνοον καὶ Ὑπείρονα, ποιμένα λαῶν,
τὸν μὲν ὑπὲρ μαζοῖο βαλὼν χαλκήρεϊ δουρί,
τὸν δ' ἕτερον ξίφεϊ μεγάλῳ κληῖδα παρ' ὦμον
πλῆξ', ἀπὸ δ' αὐχένοc ὦμον ἐέργαθεν ἠδ' ἀπὸ νώτου.
τοὺc μὲν ἔαc', ὃ δ' Ἄβαντα μετῴχετο καὶ Πολύιδον,

V. l. 130 μή τι cύ γ': μὴ cύγε NS Cant. μὴ cύπερ M. — 131 αὐτὰρ M. εἴ κε: εἰ καὶ D. — 132 τήν γ': τήνδ' M. — 133 ἣ Athenaeus X, 458. ἆρ DGLMN. ἀρ A. ὡc A. — 134 ἐξ αὖτιc L. ἐξαῦθιc C. — 135 καίπερ πρὶν G. τρῴεccι DL. — 136 ἕλε C 1. man. GN. εἶλεν M. ὥc τε D. — 137 ὃν ῥά DE. ὀΐεccι ACDEGMNO. — 138 χραύcει CEO Eust. 1063, 30; 1314, 9. Steph. Byz. 146, 9. ὑπεράλμενον A. ὑπὲρ ἅλμενον Cram. An. Par. III, 152, 27. δαμάccει CE Townl. δαμάcει Vrat. A. — 140 κατα AD 1. man. — 141 omitt. M. ἀγχιcτῖναι D: ἀγχηcτῖναι ACGHL Vrat. c. Schol. Β 474, Θ 131. Apoll. Lex. 5, 19. ἀγχηcτίναι N. ἀγχιcτῆναι O Apoll. de Pron. 108 C. ἀγχηcτῆναι E 530, 46; 531, 42. γράφεται δὲ διὰ τοῦ η̅ ἡ προπαραλήγουcα τοῦ ἀγχηcτῆναι Eust. 531, 46. ἀλλήλοιcι DH Vrat. c. Mosc. 1. 2. Schol. Φ 6. ἀλλήλαιcι G. — 142 ὁ ACDG HLMNO. βαθείηc CDG. ἐξάλεται L. — 143 ὡc A. τρῴεccι L. — 144 Ὑπείρονα: ὑπήρονα L. ὑπήνορα MN. — 145 ὕπερ A. — 146 τὸν ἄλλον Vrat. b. et γρ. ἕτερον. κληῗδα DGMN. — 147 νώτων L. ex corr. — 148 ὃ δ' D. ὅδ' CGLNO. πολύϊδον ACDHLMN 2. man. O 1. man. πολύειδον

A. c. 132 τήν γ' οὐτάμεν et τὴν οὐτάμεν Aristarchus, διχῶc: τήν γ' οὐτάcαι Zenodotus. — 136 πτολεμαῖοc ὁ τοῦ ὀροάνδου ἐν τῷ περὶ τῆc ὁπλοποιίαc διὰ τοῦ χ̅ προφέρεται ἔχεν μένοc Didymus. — 138 Ptolemaeus et Herodianus ὑπεράλμενον: ὕπερ ἅλμενον Dionysius. — 141 ἀγχιcτῖναι, conf. Ρ 361, χ 118, ω 181, 449. — 142 Apollonius ἐξάλλεται: alii ἐξ ἅλλεται. — 146 τὸν δ' ἕτερον: τοῦ δ' ἑτέρου Zenodotus. — 148 Πολύιδον Apollonius Archibii, conf. Cram. An. Par. IV, 188, 25 et Ν 663.

υἱέαc Εὐρυδάμαντοc, ὀνειροπόλοιο γέροντοc,
τοῖc οὐκ ἐρχομένοιc ὁ γέρων ἐκρίνατ' ὀνείρουc,
ἀλλά cφεαc κρατερὸc Διομήδηc ἐξενάριξε.
βῆ δὲ μετὰ Ξάνθόν τε Θόωνά τε, Φαίνοποc υἷε,
ἄμφω τηλυγέτω· ὃ δὲ τείρετο γήραϊ λυγρῷ,
υἱὸν δ' οὐ τέκετ' ἄλλον ἐπὶ κτεάτεccι λιπέcθαι.
ἔνθ' ὅ γε τοὺc ἐνάριζε, φίλον δ' ἐξαίνυτο θυμὸν
ἀμφοτέρω, πατέρι δὲ γόον καὶ κήδεα λυγρὰ
λεῖπ', ἐπεὶ οὐ ζώοντε μάχηc ἐκ νοcτήcαντε
δέξατο· χηρωcταὶ δὲ διὰ κτῆcιν δατέοντο.
ἔνθ' υἷαc Πριάμοιο δύω λάβε Δαρδανίδαο,
εἰν ἑνὶ δίφρῳ ἐόνταc, Ἐχέμμονά τε Χρομίον τε.
ὡc δὲ λέων ἐν βουcὶ θορὼν ἐξ αὐχένα ἄξῃ
πόρτιοc ἠὲ βοόc, ξύλοχον κάτα βοcκομενάων,
ὣc τοὺc ἀμφοτέρουc ἐξ ἵππων Τυδέοc υἱὸc
βῆcε κακῶc ἀέκονταc, ἔπειτα δὲ τεύχε' ἐcύλα·
ἵππουc δ' οἷc ἑτάροιcι δίδου μετὰ νῆαc ἐλαύνειν.
τὸν δ' ἴδεν Αἰνείαc ἀλαπάζοντα cτίχαc ἀνδρῶν,

GN 1. man. O 2. man. S Et. Mg. 681, 22. ὁ δὲ Πολύϊδοc διφορεῖται παρὰ τοῖc παλαιοῖc ἔν τε διχρόνῳ καὶ διὰ διφθόγγου δὲ ἔχων τὴν παραλήγουcαν Eust. 533, 6. conf. Ν 663, 666.

V. l. 149 Εὐρυδάμαντοc: εὐρυμέδοντοc M. ὀνειροπόλοιο A. — 150 τοῖc: οἷc E bis. κρίνατ' H. — 151 ἀλλὰ cφέαc LMNO. καὶ γάρ cφεαc E 532, 38. ἐξενάριξε ACGHMNO. ἐξενάρηξεν D. — 152 ξάνθόν τε AD. θέωνά τε N. φΐνοποc M. — 153 ὃ C. δὲ, τείρετο CL. δὲ τείρετο A Vrat. a. c. A. ὃ δ' ἐτείρετο D. ὅδ' ἐτείρετο GMNO. ὁ δ' ἐτείρετο ES. ὅδ' ἐτείρατο H. — 154 τέκετ': τέκεν H. υἱὸν δ' οὐκέτ' ἄλλον L. — 155 ἐνάριξε D 1. man. MNOS Cant. Vrat. a. b. A. Mosc. 1. 3. — 156 ἀμφοτέρῳ H. ἀμφοτέρων LMN Cant. Vrat. b. πατρὶ μέν γε γόον G. κήδεϊ A. — 157 ἐκνοcτήcαντε ACDEGHLMNO. — 158 δια, κτῆcιν S. δια CDGL. — 159 υἷαc libri mei cum Townl. Vrat. b. c. A. Mosc. 1. alii υἱοὺc. δύο GH. — 160 ἐχέμονά DGH. ἐχαίμονά LN. χρόμϊόν CDGHLMNO. — 161 θορῶν C. ἄξει CEN Rhet. Gr. III, 107, 3. ἄξῃ[ει] L. ἄξῃ ADGHMO Barocc. Townl. Lips. 1. man. Vrat. A. Mosc. 1. — 162 κάτα βοcκομενάων ADLO Et. Mg. 123, 37; 342, 11. Et. Gud. 189, 40: κατὰ Cram. Epim. 154, 17: καταβοcκομενάων CEGHMN. — 163 ὡc AD. — 166 omitt. O in textu.

A. c. 156 ἀμφοτέρω: ἀμφοτέρων Zenodotus. — 158 δατέονται Heraclides, conf. Osann. Quaest. Hom. IV, 20. — 160 ἐόνταc: ἐόντε Aristophanes? cf. Schol. Λ 103. dualem defendit Ahrens. de hiat. Hom. legit. quibusdam generibus pg. 20. — 161 ἄξῃ postulat G. Hermann. Opusc. II, 46. — 162 πόρτιοc: βουκόλου Zenodotus. κάτα βοcκομενάων, conf. Δ 230, Є 332, 763, Π 96, Ρ 207, C 492, Υ 221, 329, Ω 705, α 247, ε 335, λ 201, ν 377, π 424, τ 48, φ 346, ψ 290.

βῆ δ' ἴμεν ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων
Πάνδαρον ἀντίθεον διζήμενοϲ, εἴ που ἐφεύροι.
εὗρε Λυκάονοϲ υἱὸν ἀμύμονά τε κρατερόν τε,
ϲτῆ δὲ πρόϲθ' αὐτοῖο ἔποϲ τέ μιν ἀντίον ηὔδα·
Πάνδαρε, ποῦ τοι τόξον ἰδὲ πτερόεντεϲ ὀιϲτοὶ
καὶ κλέοϲ, ᾧ οὔ τίϲ τοι ἐρίζεται ἐνθάδε γ' ἀνήρ;
οὐδέ τιϲ ἐν Λυκίῃ ϲέο γ' εὔχεται εἶναι ἀμείνων.
ἀλλ' ἄγε τῷδ' ἔφεϲ ἀνδρὶ βέλοϲ Διὶ χεῖραϲ ἀναϲχών,
ὅϲ τιϲ ὅδε κρατέει καὶ δὴ κακὰ πολλὰ ἔοργε
Τρῶαϲ, ἐπεὶ πολλῶν τε καὶ ἐϲθλῶν γούνατ' ἔλυϲεν·
εἰ μή τιϲ θεόϲ ἐϲτι κοτεϲϲάμενοϲ Τρώεϲϲιν,
ἱρῶν μηνίϲαϲ· χαλεπὴ δὲ θεοῦ ἔπι μῆνιϲ.
τὸν δ' αὖτε προϲέειπε Λυκάονοϲ ἀγλαὸϲ υἱόϲ·
Αἰνεία, Τρώων βουληφόρε χαλκοχιτώνων,
Τυδεΐδῃ μιν ἐγώ γε δαΐφρονι πάντα ἐίϲκω,
ἀϲπίδι γιγνώϲκων αὐλώπιδί τε τρυφαλείῃ,
ἵππουϲ τ' εἰϲορόων· ϲάφα δ' οὐκ οἶδ' εἰ θεόϲ ἐϲτιν.
εἰ δ' ὅ γ' ἀνήρ, ὅν φημι, δαΐφρων Τυδέοϲ υἱόϲ,
οὐχ ὅ γ' ἄνευθε θεοῦ τάδε μαίνεται, ἀλλά τιϲ ἄγχι
ἕϲτηκ' ἀθανάτων νεφέλῃ εἰλυμένοϲ ὤμουϲ,
ὃϲ τούτου βέλοϲ ὠκὺ κιχήμενον ἔτραπεν ἄλλῃ.
ἤδη γάρ οἱ ἐφῆκα βέλοϲ, καί μιν βάλον ὦμον
δεξιὸν ἀντικρὺ διὰ θώρηκοϲ γυάλοιο·
καί μιν ἐγώ γ' ἐφάμην Ἀϊδωνῆι προϊάψειν,
ἔμπηϲ δ' οὐκ ἐδάμαϲϲα· θεόϲ νύ τίϲ ἐϲτι κοτήειϲ.

V. l. 169 εὗρε δὲ MO. — 170 ηὖδα D. — 171 ἰδὲ: ἠδὲ CG. — 172 ᾧ δὴ οὔτιϲ τοι [ε]γερίζεται G omisso ἐνθάδε γ'. οὔ τίϲ τοι: libri οὔτιϲ τοι. — 174 ἔφεϲ: ἄφεϲ GL. — 175 ὅδε: ὧδε LN. ἔοργε ACDGHLMNO. — 176 τρῶαϲ GL. πολλῶν τὲ O. — 177 τρῴεϲϲιν GL. τρώεϲϲι MO. — 178 ἱερῶν G. ἔπι μῆνιϲ E 535, 45 HM. ἐπὶ μῆνιϲ AL Lips. ἐπιμῆνιϲ CDE 564, 16 GNO. — 180 τρῴων G. — 181 μιν: μὲν GO sup. — 182 γιγνώϲκων CLM 2. man. N 2. man. Schol. Є 183: γινώϲκων ADEGHM 1. man. N 1. man O Lips. Schol. Γ 166. — 183 ἵππουϲ δ' M. ἐϲτι C. — 184 ὅδ' ἀνὴρ Cant. ὃν φημὶ CDGH. ὃ φημι L. δαΐφρονοϲ S. — 185 ὅ γ': ὅδ' E. ἄνευ G. — 187 κιχήμενον[οϲ] S. — 188 γάρ ῥ οἱ D. — 189 δια C. — 190 ἔγωγε φάμην O. — 191 ἐδάμαϲα M. νύ τιϲ ἐϲτὶ EGLMN. νύ τιϲ ἔϲτι DO. νύ τοι ἐϲτὶ C.

A. c. 178 ἐπὶ μῆνιϲ Aristarchus, κατὰ παρολκὴν τῆϲ ἐπί, conf. H. U. 261 sqq. — 181 μιν et μὲν Aristarchus, διχῶϲ. — 183 ἀθετεῖται Aristonicus. — 187 Ζηνόδοτοϲ ἠθέτηκεν Aristonicus.

ἵπποι δ' οὐ παρέαϲι καὶ ἅρματα, τῶν κ' ἐπιβαίην·
ἀλλά που ἐν μεγάροιϲι Λυκάονοϲ ἕνδεκα δίφροι
καλοὶ πρωτοπαγεῖϲ νεοτευχέεϲ· ἀμφὶ δὲ πέπλοι
πέπτανται· παρὰ δέ ϲφιν ἑκάϲτῳ δίζυγεϲ ἵπποι
ἑϲτᾶϲι κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύραϲ.
ἦ μέν μοι μάλα πολλὰ γέρων αἰχμητὰ Λυκάων
ἐρχομένῳ ἐπέτελλε δόμοιϲ ἔνι ποιητοῖϲιν·
ἵπποιϲίν μ' ἐκέλευε καὶ ἅρμαϲιν ἐμβεβαῶτα
ἀρχεύειν Τρώεϲϲι κατὰ κρατερὰϲ ὑϲμίναϲ·
ἀλλ' ἐγὼ οὐ πιθόμην, ἦ τ' ἂν πολὺ κέρδιον ἦεν,
ἵππων φειδόμενοϲ, μή μοι δευοίατο φορβῆϲ,
ἀνδρῶν εἱλομένων, εἰωθότεϲ ἔδμεναι ἅδην.
ὣϲ λίπον, αὐτὰρ πεζὸϲ ἐϲ Ἴλιον εἰλήλουθα
τόξοιϲιν πίϲυνοϲ· τὰ δέ μ' οὐκ ἄρ' ἔμελλον ὀνήϲειν.
ἤδη γὰρ δοιοῖϲιν ἀριϲτήεϲϲιν ἐφῆκα,
Τυδεΐδῃ τε καὶ Ἀτρεΐδῃ, ἐκ δ' ἀμφοτέροιιν
ἀτρεκὲϲ αἷμ' ἔϲϲευα βαλών, ἤγειρα δὲ μᾶλλον.
τῷ ῥα κακῇ αἴϲῃ ἀπὸ παϲϲάλου ἀγκύλα τόξα
ἤματι τῷ ἑλόμην, ὅτε Ἴλιον εἰϲ ἐρατεινὴν
ἡγεόμην Τρώεϲϲι φέρων χάριν Ἕκτορι δίῳ.
εἰ δέ κε νοϲτήϲω καὶ ἐϲόψομαι ὀφθαλμοῖϲι
πατρίδ' ἐμὴν ἄλοχόν τε καὶ ὑψερεφὲϲ μέγα δῶμα,
αὐτίκ' ἔπειτ' ἀπ' ἐμεῖο κάρη τάμοι ἀλλότριοϲ φώϲ,
εἰ μὴ ἐγὼ τάδε τόξα φαεινῷ ἐν πυρὶ θείην

V. l. 193 μεγάροιϲ H. — 195 παρα AD. — 196 ἱϲτᾶϲι L. — 198 ἐνὶ CDGHLMNO: εὖ Vrat. a. ποιητοῖϲι D. — 199 ἵπποιϲί DGNO. με κέλευε D. μ' ἐκέλευϲε O. τ' ἐκέλευε H. ἐμμεμαῶτα Mor. Vrat. c. — 200 τρῴεϲϲι GL. — 201 ἔγωγε G. πειθόμην M. ἦτ' D. γρ. εἶτ' ἂν O. πολϋκέρδιον O 1. man. — 203 εἰλομένων EGLM. ἄδην D 1. man. E bis Cram. An. Par. III, 327, 11. ceteri ἄδδην. — 204 ὡϲ A. ἀτὰρ DO. αὐτὰρ ὃ L. ἐϲΐλιον A. ἐϲ omitt. G. εἰϲ CMNO. ἠλήλουθα O. hunc versum omitt. H in textu. — 205 τόξοιϲι DEGMNO Lips. ἄρ DGM. ἀρ A. ἔμελλον CGHLMN: ἔμελλεν ADEO. — 206 ἐφῆκα A. — 207 τὲ καὶ CMO. ἀμφοτέροι|||ϊν O post ras. — 208 ἔϲευα G. — 209 τῶ ACGLMNO. τῷ DH. ῥὰ DMNO. — 210 ὅτε τ' C. ὅτε γ' G. — 211 τρῴεϲϲι GL. — 212 ὀφθαλμοῖϲι ACDEGMNO. — 213 ὑψερεφὲϲ ACEH Mor. ὑψιρεφὲϲ GL post ras. M Barocc. ὑψηρεφὲϲ DNO Lips. Vrat. b. c. — 214 ἐμοῖο N post ras. S. τάμη Vrat. a. — 215 ἂν μὴ G.

A. c. 194 Ζηνόδοτοϲ μετέθηκεν (ἠθέτηκεν?) Aristonicus. — 203 ἀρίϲταρχοϲ ἄδην, ἄλλοι δὲ ἄδδην διὰ β' δδ Didymus. Nicias ἄδδην, conf. H. T. 179. — 205 ἔμελλον: ἔμελλεν, conf. H. T. 383. — 211 τινὲϲ μεταγράφουϲι „Τρώεϲϲι φέρων χάριν ἱπποδάμοιϲιν“ Aristonicus.

χερϲὶ διακλάϲϲαϲ· ἀνεμώλια γάρ μοι ὀπηδεῖ.
τὸν δ᾽ αὖτ᾽ Αἰνείαϲ, Τρώων ἀγόϲ, ἀντίον ηὔδα·
μὴ δὴ οὕτωϲ ἀγόρευε· πάροϲ δ᾽ οὐκ ἔϲϲεται ἄλλωϲ,
πρίν γ᾽ ἐπὶ νὼ τῷδ᾽ ἀνδρὶ ϲὺν ἵπποιϲιν καὶ ὄχεϲφιν
ἀντιβίην ἐλθόντε ϲὺν ἔντεϲι πειρηθῆναι.
ἀλλ᾽ ἄγ᾽ ἐμῶν ὀχέων ἐπιβήϲεο, ὄφρα ἴδηαι,
οἷοι Τρώιοι ἵπποι, ἐπιϲτάμενοι πεδίοιο
κραιπνὰ μάλ᾽ ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεϲθαι·
τὼ καὶ νῶι πόλιν δὲ ϲαώϲετον, εἴ περ ἂν αὖτε
Ζεὺϲ ἐπὶ Τυδεΐδῃ Διομήδεϊ κῦδοϲ ὀρέξῃ.
ἀλλ᾽ ἄγε νῦν μάϲτιγα καὶ ἡνία ϲιγαλόεντα
δέξαι, ἐγὼ δ᾽ ἵππων ἀποβήϲομαι, ὄφρα μάχωμαι·
ἠὲ ϲὺ τόνδε δέδεξο, μελήϲουϲιν δ᾽ ἐμοὶ ἵπποι.
τὸν δ᾽ αὖτε προϲέειπε Λυκάονοϲ ἀγλαὸϲ υἱόϲ·
Αἰνεία, ϲὺ μὲν αὐτὸϲ ἔχ᾽ ἡνία καὶ τεὼ ἵππω·
μᾶλλον ὑφ᾽ ἡνιόχῳ εἰωθότι καμπύλον ἅρμα
οἴϲετον, εἴ περ ἂν αὖτε φεβώμεθα Τυδέοϲ υἱόν.
μὴ τὼ μὲν δείϲαντε ματήϲετον, οὐδ᾽ ἐθέλητον
ἐκφερέμεν πολέμοιο τεὸν φθόγγον ποθέοντε,
νῶι δ᾽ ἐπαΐξαϲ μεγαθύμου Τυδέοϲ υἱόϲ
αὐτώ τε κτείνῃ καὶ ἐλάϲϲῃ μώνυχαϲ ἵππουϲ.
ἀλλὰ ϲύ γ᾽ αὐτὸϲ ἔλαυνε τέ᾽ ἅρματα καὶ τεὼ ἵππω,

V. l. 216 διακλάϲαϲ CDEGHO. διακλάξαϲ A. ὀπήδει Apoll. Lex. 35, 19. — 217 τρῴων CGL. — 218 *μὴ δή: libri μὴ δ᾽. παρέλκει δὲ ὁ πρῶτοϲ δε ϲύνδεϲμοϲ καὶ κεῖται ἀντὶ τοῦ δη Eust. 541, 9. — 219 νώ: νῶ Apoll. Lex. 117, 14. τῶι ἀνδρὶ D. ἵπποιϲι DHMNO Lips. ὄχεϲφι ACDHN Apoll. Lex. 117, 14. — 220 ϲυνέντεϲι A. πειραθῆναι M. — 221 ἐπιβήϲαιο N. — 222 τρώϊοι G. — 223 διώκειν Plato Laches 191 B. φέυεϲθαι G. — 224 τῶ καὶ LO. τῶ et τὼ A eadem manu. πόλιν δὲ AD. εἴπερ : εἴκεν Vrat. a. — 225 ὀρέξει EO. — 226 ἀλλά γε D. ἄλλα γε M. νῦν: δὴ MN Harl. — 227 ἀποβήϲομαι ADGHLMNO 2. man. conf. Eust. 542, 16. ἀπο ἐπιβήϲομαι S. ἐπιβήϲομαι CO 1. man. Cant. Vrat. c. Mosc. 1. 3. — 228 τόνδε: τόνγε E 542, 18 N. μελήϲουϲι CDELMNO Lips. δ᾽ ἐμοὶ ACHMNO: δέ μοι DEGLS Lips. Vrat. a. b. c. A. Mosc. 1. 3. — 231 εἰωθότε L. — 233 οὐδὲ θέλητον DN. — 234 ποθέοντεϲ DE 557, 31 L. — 236 κτείνει G. ἐλάϲῃ DEL. ἐλάϲοι G. — 237 ἀλλ᾽ αὐτὸϲ ϲύ γ᾽ C. ἔλαυνέ τε M. ἔλαυνέ θ᾽ ἅρματα O.

A. c. 218 μὴ δὴ οὕτωϲ conf. H. U. 281. — 219 νώ: alii νῷ conf. H. U. 190. — 227 οὕτωϲ ἀρίϲταρχοϲ ἀποβήϲομαι διὰ τοῦ α Didymus. Zenodotus ἐπιβήϲομαι. — 231 οὕτωϲ εἰωθότι καὶ Ἀρίϲταρχοϲ καὶ ϲχεδὸν ἅπαντεϲ Didymus. altera lectio erat εἰωθότε.

τόνδε δ᾽ ἐγὼν ἐπιόντα δεδέξομαι ὀξέι δουρί.
ὣϲ ἄρα φωνήϲαντεϲ, ἐϲ ἅρματα ποικίλα βάντεϲ,
ἐμμεμαῶτ᾽ ἐπὶ Τυδεΐδῃ ἔχον ὠκέαϲ ἵππουϲ.
τοὺϲ δὲ ἴδε Ϲθένελοϲ, Καπανήιοϲ ἀγλαὸϲ υἱόϲ,
αἶψα δὲ Τυδεΐδην ἔπεα πτερόεντα προϲηύδα·
Τυδεΐδη Διόμηδεϲ, ἐμῷ κεχαριϲμένε θυμῷ,
ἄνδρ᾽ ὁρόω κρατερὼ ἐπὶ ϲοὶ μεμαῶτε μάχεϲθαι,
ἶν᾽ ἀπέλεθρον ἔχοντε· ὃ μὲν τόξων εὖ εἰδώϲ,
Πάνδαροϲ, υἱὸϲ δ᾽ αὖτε Λυκάονοϲ εὔχεται εἶναι·
Αἰνείαϲ δ᾽ υἱὸϲ μεγαλήτοροϲ Ἀγχίϲαο
εὔχεται ἐκγεγάμεν, μήτηρ δέ οἵ ἐϲτ᾽ Ἀφροδίτη.
ἀλλ᾽ ἄγε δὴ χαζώμεθ᾽ ἐφ᾽ ἵππων, μὴ δέ μοι οὕτω
θῦνε διὰ προμάχων, μή πωϲ φίλον ἦτορ ὀλέϲϲῃϲ.
τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προϲέφη κρατερὸϲ Διομήδηϲ·
μή τι φόβον δ᾽ ἀγόρευ᾽, ἐπεὶ οὐδέ ϲε πειϲέμεν οἴω·
οὐ γάρ μοι γενναῖον ἀλυϲκάζοντι μάχεϲθαι
οὐδὲ καταπτώϲϲειν· ἔτι μοι μένοϲ ἔμπεδόν ἐϲτιν·
ὀκνείω δ᾽ ἵππων ἐπιβαινέμεν, ἀλλὰ καὶ αὔτωϲ
ἀντίον εἶμ᾽ αὐτῶν· τρεῖν μ᾽ οὐκ ἐᾷ Παλλὰϲ Ἀθήνη.

V. l. 238 τόνδε δ᾽: τόνδ᾽ EN. ἐγὼ E 542, 19. — 239 φωνήϲαντε GL Mosc. 1. βάντε GL Mosc. 1., quod non displicet, conf. 234, 245. — 240 ἐμμεμαῶτεϲ E 543, 30 HM. — 241 τούϲδε G. — 242 αἶψ᾽ ἐπὶ τϋδείδην L. προϲηῦδα D. — 245 ἔχοντε GMN Harl. Mosc. 1. Vrat. b. Lesbonax περὶ ϲχημάτων pg. 186. ἔχοντεϲ Et. Gud. 278, 49. ceteri ἔχονταϲ. ὅ CDM. — 246 δ᾽ omitt. N. — 247 θ᾽ υἱὸϲ C. μεγαλήτοροϲ A sup. DHS Schol. T 291. Rhet. Gr. III, 154, 7: μὲν ἀμύμονοϲ AGLMNO Lips. Townl. Barocc. Vrat. a. A. conf. Ε 468, Υ 208. — 248 abest a Vrat. a. δέ οἱ ἔϲτ᾽ ACDEHLM. — 249 ἀλλά γε M. μὴ δέ ACDGLMN. μοι: μεν G. οὕτω ACDE bis GHLMNO. — 250 θύναι G. δια A. ὀλέϲῃϲ EM. — 251 ἂρ DGMN. ἀρ A. ἄρα H. — 252 φόβον μ᾽ L. οὐδέ ϲε CDHLMNO. οὐδε ϲὲ A. οὐδέ με S Cant. ceteri οὐδὲ ϲέ, conf. 284. οὐδ᾽ ἐμὲ Pseudoplut. 138, 21. ὀΐω CDGMO. — 253 γάρ μοί A. ἐμοὶ S Cant. Mosc. 1. γάρ μοι ceteri cum Apoll. Lex. 54, 17. Schol. Pind. Pyth. VIII, 53. — 254 ἐϲτι DMNO. — 255 ἐπιβαινέμεν: ἐπιβήμεναι EM, conf. Schol. Soph. Trach. 7. αὔτωϲ AEGHLMNO. οὕτωϲ Lips. Townl. — 256 ἀντίοϲ S Cant. μ᾽ οὐκ: δ᾽ οὐκ S. ἐᾷ DGHMNO Aristonicus ad N 515. ἐᾶ CL: ἔα AE Et. Mg. 637, 31. Draco de Metr. 71, 16.

A. c. 238 τόνδε δ᾽ Herodianus ad Ω 17. — 245 ἔχοντε probat Ahrens. de hiatus Hom. legitimis quibusdam generibus pg. 20. de duali in hac sede vocabulo praeposita, quod a vocali incipit, conf. Ε 12, Θ 378, θ 361, Λ 103, Ρ 103, ε 477. — 247 μεγαλήτοροϲ scripsi, ut Ε 468, Υ 208. — 249 ἐφ᾽ ἵππων Aristarchus. an alii ἐφ᾽ ἵππουϲ? — 249, 250 δοκεῖ Ζηνόδοτοϲ τοῦτον καὶ τὸν ἑξῆϲ ἠθετηκέναι Aristonicus. — 252 οὐδέ ϲε Ptolem. Ascalonita: οὐδὲ ϲὲ Herodianus. — 256 ἐᾷ: ἔα Herodianus.

τούτω δ᾽ οὐ πάλιν αὖτις ἀποίcετον ὠκέες ἵπποι
ἄμφω ἀφ᾽ ἡμείων, εἴ γ᾽ οὖν ἕτερός γε φύγῃcιν.
ἄλλο δέ τοι ἐρέω, cὺ δ᾽ ἐνὶ φρεcὶ βάλλεο cῇcιν·
αἴ κέν μοι πολύβουλος Ἀθήνη κῦδος ὀρέξῃ
ἀμφοτέρω κτεῖναι, cὺ δὲ τούcδε μὲν ὠκέας ἵππους
αὐτοῦ ἐρυκακέειν, ἐξ ἄντυγος ἡνία τείνας·
Αἰνείαο δ᾽ ἐπαΐξαι μεμνημένος ἵππων,
ἐκ δ᾽ ἐλάcαι Τρώων μετ᾽ ἐυκνήμιδας Ἀχαιούς.
τῆς γάρ τοι γενεῆς, ἧς Τρωΐ περ εὐρύοπα Ζεὺς
δῶχ᾽ υἷος ποινὴν Γανυμήδεος, οὕνεκ᾽ ἄριστοι
ἵππων, ὅccοι ἔαcιν ὑπ᾽ ἠῶ τ᾽ ἠέλιόν τε.
τῆς γενεῆς ἔκλεψεν ἄναξ ἀνδρῶν Ἀγχίcης,
λάθρῃ Λαομέδοντος ὑποcχὼν θήλεας ἵππους·
τῶν οἱ ἓξ ἐγένοντο ἐνὶ μεγάροιcι γενέθλη·
τοὺς μὲν τέccαρας αὐτὸς ἔχων ἀτίταλλ᾽ ἐπὶ φάτνῃ,
τὼ δὲ δύ᾽ Αἰνείᾳ δῶκεν, μήcτωρε φόβοιο.
εἰ τούτω κε λάβοιμεν, ἀροίμεθά κε κλέος ἐcθλόν.
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
τὼ δὲ τάχ᾽ ἐγγύθεν ἦλθον ἐλαύνοντ᾽ ὠκέας ἵππους.

V. ι. 257 τούτων M. πάλιν αὔτως D. ὠκέας ἵππουc [οι] C. — 258 εἰ γοῦν CEGLM Eust. 1174, 2. φύγηcϊ M. — 259 ἐνι AD. — 260 ὀρέξοι L. — 261 τοῦcδε A: ceteri τούcδε. — 262 ἐξάντυγος AD. — 263 ἐπαΐξαι ACDEGHMNO. ἐπάϊξαι LS. καλλίτριχας S et in marg. μεμνημένος. — 264 ἐξελάcαι [κδ᾽] A. τρώων GL. μετεϋκνήμιδας A. εὐκνήμϊδας CDGHLN. — 265 τρωΐ L. — 267 ὅcοι C. ἠώ G. — 268 ἔκλεψε H. — 269 θήλεας ACDEHM: θηλέας GLNO Vrat. A. ὑποcχὼν θήλεας ἵππους γράφουcί τινες „ὑποcχὼν θηλέας ἵππους ἀντὶ τοῦ θηλείας παροξυτόνως, καὶ οὐ προπαροξυτόνως θήλεας“ Eust. 558, 19. — 270 τῶν οἳ D. τῶν, οἳ M. ἐνι A. ἐνϊμμεγάροιcϊ H. γενέθλη ADEGHMO Cant. Barocc. Vrat. a: γενέθλῃ C Lips. Vrat. c. A. γενέθλη [ης] N. γενέθλαι L. — 271 τοὺς: τῶν M. — 272 δῶκε CDEGHMNO. μήcτωρε ACDEGHLMNO et Heynii omnes. μήcτωρι [ε] S. conf. Θ 108. — 273 ἀραίμεθα M. κε κλέος AHLO: κεν CDGMNS Cant. Barocc. Lips. Vrat. a. b. c. Townl. Mosc. 1. 3. ἂν E. conf. c 255, τ 128. — 274 ὥς A.

A. c. 258 οὕτως εἰ γοῦν διὰ τοῦ γ̄, εἰ δὴ ἕτερος αὐτὸν φύγῃ Schol. A. εἰ γοῦν tuetur G. Hermann. Opusc. IV, 99. — 263 Αἰνείαο: Αἰνειῶο Zenodotus, non Αἰνείω, conf. ad 323. — 269 Ptolemaeus cum Aristarcho θήλεας: θηλέας Hellanicus. — 272 οὕτως ἀρίςταρχος μήcτωρε δυϊκῶς, ἐπὶ γὰρ τῶν ἵππων Didymus. — 273 γε λάβοιμεν Bekk. cum J. H. Vossio. de εἴ κεν cum optativo conf. Θ 196 εἰ τούτω κε λάβοιμεν, ἐελποίμην κὲν Ἀχαιοὺς αὐτονυχὶ νηῶν ἐπιβηcέμεν et A 60, B 123, 597, H 387, I 141, T 322, Ψ 346.

τὸν πρότερος προcέειπε Λυκάονος ἀγλαὸς υἱός·
καρτερόθυμε, δαΐφρον, ἀγαυοῦ Τυδέος υἱέ·
ἦ μάλα c᾽ οὐ βέλος ὠκὺ δαμάccατο, πικρὸς ὀιcτός·
νῦν αὖτ᾽ ἐγχείῃ πειρήcομαι, αἴ κε τύχωμι.
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόcκιον ἔγχος,
καὶ βάλε Τυδεΐδαο κατ᾽ ἀcπίδα· τῆς δὲ διὰ πρὸ
αἰχμὴ χαλκείη πταμένη θώρηκι πελάcθη.
τῷ δ᾽ ἐπὶ μακρὸν ἄυcε Λυκάονος ἀγλαὸς υἱός·
βέβληαι κενεῶνα διαμπερές, οὐδέ c᾽ ὀίω
δηρὸν ἔτ᾽ ἀνcχήcεcθαι· ἐμοὶ δὲ μέγ᾽ εὖχος ἔδωκας.
τὸν δ᾽ οὐ ταρβήcας προcέφη κρατερὸς Διομήδης·
ἤμβροτες, οὐδ᾽ ἔτυχες· ἀτὰρ οὐ μὲν cφῶΐ γ᾽ ὀίω
πρίν γ᾽ ἀποπαύcεcθαι, πρίν γ᾽ ἢ ἕτερόν γε πεcόντα
αἵματος ἆcαι Ἄρηα, ταλαύρινον πολεμιcτήν·
ὣς φάμενος προέηκε· βέλος δ᾽ ἴθυνεν Ἀθήνη
ῥῖνα παρ᾽ ὀφθαλμόν, λευκοὺς δ᾽ ἐπέρηcεν ὀδόντας.
τοῦ δ᾽ ἀπὸ μὲν γλῶccαν πρυμνὴν τάμε χαλκὸς ἀτειρής,
αἰχμὴ δ᾽ ἐξεcύθη παρὰ νείατον ἀνθερεῶνα.
ἤριπε δ᾽ ἐξ ὀχέων, ἀράβηcε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ
αἰόλα, παμφανόωντα, παρέτρεccαν δέ οἱ ἵπποι

V. ι. 276 τὸν: τῶν N. τὼ Mosc. 1. — 277 καρτερόθυμε A. — 278 ἢ D. — 279 τύχωμι A: ceteri τύχοιμι cum Et. Mg. 608, 52. Thom. Mag. s. v. νῦν. Drac. de Metr. 151, 5. — 280 ἢ ῥὰ CDGHLMNO. προΐῃ Vrat. a. δολιχόcκιον A. — 281 διὰ πρὸ MO: ceteri διαπρὸ. — 282 πεπταμένη θώρακι G. — 283 ἐπι D. — 285 ἂν cχήcεcθαι D. ἀναcχήcεcθαι L. — 288 πρίν γ᾽: πρὶν L. ἀποπαύcεcθαι DN: ἀποπαύcαcθαι CGHLMOS Cant. Barocc. Lips. Vrat. b. c. A. Mosc. 1. 3. ἀποπαύcαcθαι [ε] A. ἀναπαύcαcθαι Townl. πρὶν ἢ L, conf. X 266. — 289 ἄρηα κατὰ λαύρϊνον H. — 290 ὥς A. προέηκε A. — 292 πρύμνην L. — 293 ἐξεcύθη CDEGLNO Vrat. a. A. Lucianus 60, 27. ἐξεccύθη Vrat. b. ἐξελύθη AHM Mor. Barocc. Cant. Vrat. c. Apoll. Lex. 15, 12. Schol. O 451. ἐξελύθη [c] Harl. ἐξελάθη [υ] S. ἐξέcυτο Lips. Townl. ἐξεχύθη Mosc. 1. ed. Romana. — 295 παμφανόεντα G. παρέτρεcαν CDEGL. παρέτρεcεν [α] H.

A. c. 279 τύχωμι, conf. H. U. 250. — 281 τῆς δέ: ἧ δέ? conf. Є 66, H 260, Υ 276. — 283 ἐπὶ: οὐκ ἀναcτρεπτέον τὴν πρόθεcιν Herodianus. — 288 γ᾽ bis positum delevit Bekkerus, conf. Є 258, 827, Π 30, X 266. — 289 ταλαύρινον Trypho assentiente Herodiano: ταλαύρινον Aristarchus cum Aristophane. — 293 Aristarchus ἐξελύθη, quod explicant τῆς ὁρμῆς ἐπαύcατο: ἐξεcύθη Zenodotus.

ὠκύποδες· τοῦ δ᾽ αὖθι λύθη ψυχή τε μένος τε.
Αἰνείας δ᾽ ἀπόρουϲε ϲὺν ἀϲπίδι δουρί τε μακρῷ,
δείϲας μή πως οἱ ἐρυϲαίατο νεκρὸν Ἀχαιοί.
ἀμφὶ δ᾽ ἄρ᾽ αὐτῷ βαῖνε λέων ὣς ἀλκὶ πεποιθώς,
πρόσθε δέ οἱ δόρυ τ᾽ ἔϲχε καὶ ἀϲπίδα πάντοϲ᾽ εἴϲην
τὸν κτάμεναι μεμαώς, ὅς τις τοῦ γ᾽ ἀντίος ἔλθοι,
ϲμερδαλέα ἰάχων. ὁ δὲ χερμάδιον λάβε χειρὶ
Τυδείδης, μέγα ἔργον, ὃ οὐ δύο γ᾽ ἄνδρε φέροιεν,
οἷοι νῦν βροτοί εἰϲ᾽. ὁ δέ μιν ῥέα πάλλε καὶ οἶος.
τῷ βάλεν Αἰνείαο κατ᾽ ἰϲχίον, ἔνθά τε μηρὸς
ἰϲχίῳ ἐνϲτρέφεται, κοτύλην δέ τέ μιν καλέουϲι·
θλάϲϲε δέ οἱ κοτύλην, πρὸς δ᾽ ἄμφω ῥῆξε τένοντε·
ὦϲε δ᾽ ἀπὸ ῥινὸν τρηχὺς λίθος. αὐτὰρ ὅ γ᾽ ἥρως
ἔϲτη γνὺξ ἐριπὼν καὶ ἐρείϲατο χειρὶ παχείῃ
γαίης· ἀμφὶ δὲ ὄϲϲε κελαινὴ νὺξ ἐκάλυψε.
καί νύ κεν ἔνθ᾽ ἀπόλοιτο ἄναξ ἀνδρῶν Αἰνείας,
εἰ μὴ ἄρ᾽ ὀξὺ νόηϲε Διὸς θυγάτηρ Ἀφροδίτη,
μήτηρ, ἥ μιν ὑπ᾽ Ἀγχίϲῃ τέκε βουκολέοντι·
ἀμφὶ δ᾽ ἑὸν φίλον υἱὸν ἐχεύατο πήχεε λευκώ,
πρόσθε δέ οἱ πέπλοιο φαεινοῦ πτύγμα κάλυψεν,
ἕρκος ἔμεν βελέων, μή τις Δαναῶν ταχυπώλων
χαλκὸν ἐνὶ ϲτήθεϲϲι βαλὼν ἐκ θυμὸν ἕλοιτο.
ἣ μὲν ἑὸν φίλον υἱὸν ὑπεξέφερεν πολέμοιο·

V. l. 297 ἀπόρουϲε ACDGMOS 1. man. Cant. Harl. Lips. Vrat. b. A. Mosc. 1. ἐπόρουϲε LS 2. man. ἐπώρουϲε N. ἀπορουϲε (ε suprascr.) H. — 298 libri μήπως οἱ: G μή πως οἱ bene, conf. H. U. 144. — 299 ἄρ GLMN. ἀρ A. ὡς D. — 300 προς δέ οἱ N. πάντοϲε ἴϲην LMNOS Townl. — 301 τοῦ γ᾽: τοῦδ᾽ Mosc. 1. ἀντίος ACGLMNO Harl. Vrat. c. A. Mosc. 3. ἀντίον DEHS. ἔλθῃ N Vrat. A. — 302 ὃ δὲ CD. — 303 δύο ἄνδρε D. — 304 οἷοι: τῶν οἱ Pseudoplut. 115, 49. ὃ O. πάλε N. — 305 ἔνθά τε ACDHMNO. ἔνθα γε G Mosc. 1. — 306 ἰϲχίῳ: ἰνίῳ Cram. An. Ox. II, 372, 28. δέ τε μιν ACL. καλέουϲι ACDEGHMNO. — 307 τένοντε omnes. — 308 ἄπο H. — 310 ἀμφὶ δέ οἱ ὄϲϲε E. ἐκάλυψε ACEGHMNO. — 312 ἄρ DGMNO. ἀρ A. — 314 δ᾽ ἑὸν CDHMNO: δὲ ὃν EGLS Cant. δὲ όν A. δ᾽ ὃν Vrat. b. — 315 * πτύγμα κάλυψεν: libri πτύγμ᾽ (A πτύγ᾽ μ᾽) ἐκάλυψεν. — 317 ἐνι AD. ϲτήθεϲι E. ϲτήθεϲι (ϲ suprascr.) N. ἐκ θυμὸν, non ἀπὸ, libri mei cum Cant. Barocc. Vrat. a. Mosc. 1. ἕληται N. — 318 ὑπεξέφερε DLMNO Lips. πτολέμοιο N Harl.

A. c. 302 Aristarchus ἰάχων: ἰαχῶν Tyrannio. — 308 Herodianus ἀπὸ: ἄπο Ptolemaeus. — 310 ὁ ἀϲτερίϲκος, ὅτι οὐκ ὀρθῶς ἐπὶ Ἕκτορος λέγεται (Λ 356) Aristonicus.

οὐδ᾽ υἱὸς Καπανῆος ἐλήθετο ϲυνθεϲιάων
320 τάων, ἃς ἐπέτελλε βοὴν ἀγαθὸς Διομήδης,
ἀλλ᾽ ὅ γε τοὺς μὲν ἑοὺς ἠρύκακε μώνυχας ἵππους
νόϲφιν ἀπὸ φλοίϲβου, ἐξ ἄντυγος ἡνία τείνας.
Αἰνείαο δ᾽ ἐπαΐξας καλλίτριχας ἵππους
ἐξέλαϲε Τρώων μετ᾽ ἐυκνήμιδας Ἀχαιούς.
δῶκε δὲ Δηιπύλῳ, ἑτάρῳ φίλῳ, ὃν περὶ πάϲης
τῖεν ὁμηλικίης, ὅτι οἱ φρεϲὶν ἄρτια ᾔδη,
νηυϲὶν ἔπι γλαφυρῇϲιν ἐλαυνέμεν. αὐτὰρ ὅ γ᾽ ἥρως
ὧν ἵππων ἐπιβὰς ἔλαβ᾽ ἡνία ϲιγαλόεντα,
αἶψα δὲ Τυδείδην μέθεπε κρατερώνυχας ἵππους
ἐμμεμαώς· ὁ δὲ Κύπριν ἐπῴχετο νηλέι χαλκῷ,
γιγνώϲκων ὅ τ᾽ ἄναλκις ἔην θεός, οὐδὲ θεάων
τάων, αἵ τ᾽ ἀνδρῶν πόλεμον κάτα κοιρανέουϲιν,
οὔτ᾽ ἄρ᾽ Ἀθηναίη οὔτε πτολίπορθος Ἐνυώ.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐκίχανε πολὺν καθ᾽ ὅμιλον ὀπάζων,
ἔνθ᾽ ἐπορεξάμενος μεγαθύμου Τυδέος υἱὸς
ἄκρην οὔταϲε χεῖρα μετάλμενος ὀξέι δουρὶ
ἀβληχρήν· εἶθαρ δὲ δόρυ χροὸς ἀντετόρηϲεν
ἀμβροϲίου διὰ πέπλου, ὅν οἱ χάριτες κάμον αὐταί,
πρυμνὸν ὕπερ θέναρος. ῥέε δ᾽ ἄμβροτον αἷμα θεοῖο,
ἰχώρ, οἷός πέρ τε ῥέει μακάρεϲϲι θεοῖϲιν·
οὐ γὰρ ϲῖτον ἔδουϲ᾽, οὐ πίνουϲ᾽ αἴθοπα οἶνον,
τοὔνεκ᾽ ἀναίμονές εἰϲι καὶ ἀθάνατοι καλέονται.

V. l. 321 ἐρύκακε GNO. εἰρύκακε L. — 322 ἐξάντυγος AD. — 324 τρῴων GL. εὐκνήμϊδας CDGHLN. — 325 περὶ: πέρι GLN. — 326 ἤδηι D. ᾖδη GL. ἤιδει C. — 327 ἐπι AN. ἐπὶ CDHLMO. — 330 ὃ δὲ CD. — 331 γιγνώϲκων LN: γινώϲκων ACDEGHMO. ἔην θεὰ G. — 332 κατακοιρανέουϲιν ACDEGHLMNO. — 333 οὐτὰρ H. ἄρ DEGMN. ἀρ A. — 334 ῥα κίχανε G. — 336 abhinc usque ad vers. 635 codex A recentiore manu est scriptus: desunt scholia et signa critica. — 336 δουρὶ: χαλκῷ H Lips. — 337 ἀμβληχρὴν LS. δὲ διὰ χροὸς L. ἀντετόρηϲε D. — 338 δια DN. ὃν οἱ D. — 339 ὑπὲρ MNO. — 341 ἔδουϲιν D. πίνουϲιν DN. — 342 ἀναίμονες εἰϲὶ GHL.

A. c. 322 Herodianus ἀπό. — 323 ὅτι Ζηνόδοτος γράφει αἰνειῶο (cod. αἰνείω), οὐκ ἔϲτι δὲ αἰνειώς ὡς πετεώς Aristonicus, conf. 263. — 329 κρατερώνυχας ἵππους: κρατερωνύχεϲ᾽ ἵπποις Zenodotus. — 331 ὅ τ᾽, conf. H. S. 265. — 332 κάτα κοιρανέουϲιν Ptolem. Ascalonita: κατακοιρανέουϲιν defendit Herodianus. — 337 ἀβληχρήν: ἀβλήχρην Heraclides Milesius, conf. Herod. et Eustath. ad Θ 178. Cram. Epim. 95, 11. Osann. Quaest. Hom. III, 5.

ἡ δὲ μέγα ἰάχουϲα ἀπὸ ἕο κάββαλεν υἱόν.
καὶ τὸν μὲν μετὰ χερϲὶν ἐρύϲατο Φοῖβοϲ Ἀπόλλων
κυανέῃ νεφέλῃ, μή τιϲ Δαναῶν ταχυπώλων
χαλκὸν ἐνὶ ϲτήθεϲϲι βαλὼν ἐκ θυμὸν ἕλοιτο·
τῇ δ' ἐπὶ μακρὸν ἄυϲε βοὴν ἀγαθὸϲ Διομήδηϲ·
εἶκε Διὸϲ θύγατερ πολέμου καὶ δηιοτῆτοϲ·
ἦ οὐχ ἅλιϲ ὅττι γυναῖκαϲ ἀνάλκιδαϲ ἠπεροπεύειϲ;
εἰ δὲ ϲύ γ' ἐϲ πόλεμον πωλήϲεαι, ἦ τέ ϲ' ὀίω
ῥιγήϲειν πόλεμόν γε, καὶ εἴ χ' ἑτέρωθι πύθηαι.
ὣϲ ἔφαθ', ἡ δ' ἀλύουϲ' ἀπεβήϲετο, τείρετο δ' αἰνῶϲ.
τὴν μὲν ἄρ' Ἶριϲ ἑλοῦϲα ποδήνεμοϲ ἔξαγ' ὁμίλου
ἀχθομένην ὀδύνῃϲι· μελαίνετο δὲ χρόα καλόν.
εὗρεν ἔπειτα μάχηϲ ἐπ' ἀριϲτερὰ θοῦρον Ἄρηα
ἥμενον· ἠέρι δ' ἔγχοϲ ἐκέκλιτο καὶ ταχέ' ἵππω.
ἡ δὲ γνὺξ ἐριποῦϲα καϲιγνήτοιο φίλοιο
πολλὰ λιϲϲομένη χρυϲάμπυκαϲ ἤτεεν ἵππουϲ·
φίλε καϲίγνητε, κόμιϲαί τέ με δὸϲ δέ μοι ἵππουϲ,
ὄφρ' ἐϲ Ὄλυμπον ἵκωμαι, ἵν' ἀθανάτων ἕδοϲ ἐϲτί.
λίην ἄχθομαι ἕλκοϲ, ὅ με βροτὸϲ οὔταϲεν ἀνήρ,
Τυδείδηϲ, ὃϲ νῦν γε καὶ ἂν Διὶ πατρὶ μάχοιτο.

V. L. 343 ἡ δὲ C. μέγ' ἰάχουϲα ACGHMS Lips. κάμβαλεν ACL 1. man. NS: ceteri κάββαλεν. — 344 ἐρύϲατο ADEGH Lips.: ἐρύϲϲατο CLS cum aliis. — 346 ενι D. ἐνι N. ἕλοιτο ADEGLMNOS Cant. Lips. Harl. Townl. Barocc. Vratt. Mosc. 1.: ἕληται CH. — 348 θυγάτηρ CNO. πολέμοιο O. — 349 ἡ GNO: ceteri ἦ. ὅτι N. ὑπεροπεύειϲ AN. — 351 πόλεμόνδε
γε
DN. πόλεμόνδε C. καὶ εἴ γ' H. ῥιγήϲειν καὶ εἰ χ' ἑτέρωθι πυθη πόλεμόν γε G. — 352 ἧδ' AD. ἥδ' CGHM. ἀλύουϲ' H. ἀκέουϲ' Et. Gud. 25, 24. Et. Orionis 4, 1. ἀπεβήϲετο AD Vrat. b. 1. man. c.: ἀπεβήϲατο CEGHLNO Cram. Epim. 23, 3; 273, 1. Bekk. An. 380, 24. Bachm. Anecd. I, 72, 4. Et. Gud. 25, 24. Eust. 654, 54. ἀπεβήϲ|||το M. — 353 ἄρ ADGLMN. — 355 εὗρεν δ' D. — 357 ἣ δὲ C. — 358 ἐλιϲϲομένη S. — 359 φῖλε GM: ceteri φίλε. καϲίγνητε κόμιϲαί C 1. man. DEGHMNO Harl. Townl. Vrat. a. b. Et. Mg. 526, 48: καϲίγνητ' ἐκκόμιϲαι AC 2. man. L. Lips. καϲίγνητε ἐκκόμιϲαί S. δέ με G. δὸϲ δέ μοι ADEHLMNOS. δόϲ τέ μοι C. — 360 ἐϲτί AGMNO. — 361 λίαν G. — 362 ὃϲ δή γε E 357, 11.

A. c. 343 ἰάχουϲα: ἰαχοῦϲα Tyrannio. — 344 ἐρύϲατο dedi ex optimis libris, conf. Β 859, Λ 363, Ο 290, Υ 194, 450, α 6, ξ 279, χ 372. — 350 ἔν τιϲι γράφεται „εἰ δὲ καὶ ἐϲ" Schol. LV. — 352 ἀλύουϲ': ἁλύουϲ' Ptolem. Ascalonita, conf. H. T. 186. — 359 φῖλε Ptolemaeus Ascalonita, conf. ad Δ 155. ϲημειωτέον ὅτι καὶ ἀκεφάλοιϲ χρῆται ὁ ποιητήϲ, ὥϲτε οὐ χρὴ περιϲπᾶν τὸ „φίλε καϲίγνητε" Schol. DV ad Χ 379. δὸϲ δέ μοι libri fere omnes. quod cur Heynio suspectum fuerit non video, conf. Matth. Gramm. § 626.

ὣϲ φάτο, τῇ δ' ἄρ' Ἄρηϲ δῶκε χρυϲάμπυκαϲ ἵππουϲ.
ἡ δ' ἐϲ δίφρον ἔβαινεν ἀκηχεμένη φίλον ἦτορ.
πὰρ δέ οἱ Ἶριϲ ἔβαινε καὶ ἡνία λάζετο χερϲί,
μάϲτιξεν δ' ἐλάαν, τὼ δ' οὐκ ἀέκοντε πετέϲθην.
αἶψα δ' ἔπειθ' ἵκοντο θεῶν ἕδοϲ, αἰπὺν Ὄλυμπον.
ἔνθ' ἵππουϲ ἔϲτηϲε ποδήνεμοϲ ὠκέα Ἶριϲ
λύϲαϲ' ἐξ ὀχέων, παρὰ δ' ἀμβρόϲιον βάλεν εἶδαρ·
ἡ δ' ἐν γούναϲι πῖπτε Διώνηϲ δῖ' Ἀφροδίτη,
μητρὸϲ ἑῆϲ· ἡ δ' ἀγκὰϲ ἐλάζετο θυγατέρα ἥν,
χειρί τέ μιν κατέρεξεν ἔποϲ τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
τίϲ νύ ϲε τοιάδ' ἔρεξε φίλον τέκοϲ Οὐρανιώνων
μαψιδίωϲ, ὡϲ εἴ τι κακὸν ῥέζουϲαν ἐνωπῇ;
τὴν δ' ἠμείβετ' ἔπειτα φιλομμειδὴϲ Ἀφροδίτη·
οὖτά με Τυδέοϲ υἱόϲ, ὑπέρθυμοϲ Διομήδηϲ,
οὕνεκ' ἐγὼ φίλον υἱὸν ὑπεξέφερον πολέμοιο,
Αἰνείαν, ὃϲ ἐμοὶ πάντων πολὺ φίλτατόϲ ἐϲτιν.
οὐ γὰρ ἔτι Τρώων καὶ Ἀχαιῶν φύλοπιϲ αἰνή,
ἀλλ' ἤδη Δαναοί γε καὶ ἀθανάτοιϲι μάχονται.
τὴν δ' ἠμείβετ' ἔπειτα Διώνη, δῖα θεάων·
τέτλαθι τέκνον ἐμὸν καὶ ἀνάϲχεο κηδομένη περ.
πολλοὶ γὰρ δὴ τλῆμεν Ὀλύμπια δώματ' ἔχοντεϲ
ἐξ ἀνδρῶν, χαλέπ' ἄλγε' ἐπ' ἀλλήλοιϲι τιθέντεϲ.
τλῆ μὲν Ἄρηϲ, ὅτε μιν Ὦτοϲ κρατερόϲ τ' Ἐφιάλτηϲ,

V. L. 363 τῇ δ' ἄρ' ἄρηϲ CG(ἄρ)HOS Cant. Vrat. b. Mosc. 1.: τῇ δ' ἄρηϲ ADLMN. — 364 ἧδ' CHLMNO. ἀκαχημένη G. ἀκαχεμένη H ex corr.
α η
ἀκηχεμένη S. ἀκαχ|||μένη O. — 365 παρ CD. ἶριϲ DG. ἔβαινεν A. χερϲί GHMNO. — 366 μάϲτιξε EGNO 1. man. μάϲτιζεν L. μάϲτιζε N ex corr. ἐλάαν G. ἀέκοντε GO Cant. Barocc. Rhet. Gr. III, 233, 16. ἄκοντε ceteri cum Cram. Epim. 398, 6. Macrob. Sat. VI, 7, 14. Gell. Noct. Att. II, 6, 11. Drac. de Metr. 13, 5. ἄκοντ' ἐπετέϲθην H. — 369 λύϲαϲ M. παρα C. πὰρ δ' G. περὶ A. — 370 ἡ δ' A Athenaeus X, 458. ἧδ' CGLMNO. πῖπτε Athenaeus X, 458. Schol. Є 357: πίπτε ACDGHLMNO. — 371 ἡ δ' D. ἧδ' CGLMNO. ἥν: ἦν D. — 372 κατέρεψεν G. ὀνόμαζε ACDEGHLNO. — 373 τίϲ νυ ϲε D. — 374 ὡϲ εἴ τι CDEM Apoll. Lex. 69, 29. Et. Mg. 344, 55: ὡϲεί τι AGHLNO. ἐν ὠπῇ O et γρ. ἐνωπῖ ἤγουν ἐνώπ (sic). — 375 φιλομειδὴϲ ACGNO 1. man. Lips. — 376 οὗτα ACDGHLMN. — 377 πτολέμοιο N. — 378 πολυφίλτατοϲ ἐϲτίν D. φίλτατοϲ ἐϲτίν LN. — 379 τρῴων G. — 380 δαναοί τε Vrat. a. b. — 383 πολλοὶ: πολλὰ OS. — 385 ὅτέ μιν A. Ἐπιάλτηϲ Heracl. Alleg. C. 32. conf. Zonar. Lex. 790.

A. c. 366 de scriptura ἀέκοντε vid. H. U. 98. — 374 τινὲϲ δὲ γράφουϲιν ἐνιπῇ Schol. BL.

παῖδες Ἀλωῆος, δῆcαν κρατερῷ ἐνὶ δεcμῷ·
χαλκέῳ δ᾽ ἐν κεράμῳ δέδετο τρειcκαίδεκα μῆνας.
καί νύ κεν ἔνθ᾽ ἀπόλοιτο Ἄρηc ἆτοc πολέμοιο,
εἰ μὴ μητρυιή, περικαλλὴc Ἠερίβοια,
Ἑρμέᾳ ἐξήγγειλεν· ὃ δ᾽ ἐξέκλεψεν Ἄρηα
ἤδη τειρόμενον, χαλεπὸc δέ ἑ δεcμὸc ἐδάμνα.
τλῆ δ᾽ Ἥρη, ὅτε μιν κρατερὸc πάιc Ἀμφιτρύωνοc
δεξιτερὸν κατὰ μαζὸν ὀιcτῷ τριγλώχινι
βεβλήκει· τότε καί μιν ἀνήκεcτον λάβεν ἄλγοc.
τλῆ δ᾽ Ἀίδηc ἐν τοῖcι πελώριοc ὠκὺν ὀιcτόν,
εὖτέ μιν ωὑτὸc ἀνήρ, υἱὸc Διὸc αἰγιόχοιο,
ἐν Πύλῳ ἐν νεκύεccι βαλὼν ὀδύνῃcιν ἔδωκεν.
αὐτὰρ ὃ βῆ πρὸc δῶμα Διὸc καὶ μακρὸν Ὄλυμπον
κῆρ ἀχέων, ὀδύνῃcι πεπαρμένοc· αὐτὰρ ὀιcτὸc
ὤμῳ ἔνι cτιβαρῷ ἠλήλατο, κῆδε δὲ θυμόν.
τῷ δ᾽ ἐπὶ Παιήων ὀδυνήφατα φάρμακα πάccων
ἠκέcατ᾽· οὐ μὲν γάρ τι καταθνητόc γε τέτυκτο.
cχέτλιοc, ὀβριμοεργόc, ὃc οὐκ ὄθετ᾽ αἴcυλα ῥέζων,
ὃc τόξοιcιν ἔκηδε θεούc, οἳ Ὄλυμπον ἔχουcι.
cοὶ δ᾽ ἐπὶ τοῦτον ἀνῆκε θεὰ γλαυκῶπιc Ἀθήνη·
νήπιοc, οὐδὲ τὸ οἶδε κατὰ φρένα Τυδέοc υἱόc,

V. L. 386 ἐνι D. — 387 * τρειcκαίδεκα: libri τριcκαίδεκα. — 388 καὶ AC. — 389 περικαλῆc ἐρίβοια G. — 390 ἑρμείαι A. ἑρμείᾳ Cant. ἑρμεῖ S. ἑρμέα τ᾽ M. ὃ δ᾽ DL. ὅδ᾽ ACHMNO. ἔκλεψεν HL. — 392 ὅτέ μιν A. πάϊc AS: ceteri παῖc. — 394 καί μιν ADLS Cant. Barocc. Mosc. 1.: κέν μιν HMNO. καί μιν περ G. καί περ C et rec. man. γρ. κέν μιν. εὖχοc N et supra ἄλγοc. — 396 ὡυτὸc DLMNO. ωὐτὸc ACEGH Lips. Townl. Vrat. b. A. Mosc. 1. 3. ωὑτὸc Bekk. Anecd. 803, 23. — 397 ὀδύναιcιν G. — 398 ὃ ACDGHLMNO. — 399 κῆρ᾽ AC. ὀδύναιcι G. — 400 ἐνὶ ACEGHLMNO. ἐνι D. ἐλήλατο EMNO Vrat. a. b. A. κηδε δ᾽ ἓ θυμῷ G Mor. Barocc. — 401 ἐπϊ CD. — 402 κατὰ θνητόc AMNO. κατὰ θνητόc et καταθνητόc E. γε τέτυκτο O Vrat. A. ceteri γ᾽ ἐτέτυκτο. — 403 ὀμβριμοεργὸc ACG Eust. 564, 28. Cram. Epim. 305, 27. ὀβριμουργόc S. ὃc: ὅδ᾽ Cram. Ep. 51, 29. ὡc Cram. Ep. 73, 27. — 404 ἔχουcι ACGHMNO. — 405 ἔπι A. ἐπι D. — 406 νηπϊον H. τὸ ἤδη G. κατα D. 1. man. Τυδέοc υἱόc: καὶ κατὰ θυμόν E.

A. c. 387 τρειcκαίδεκα, conf. H. T. 229. — 394 τότε καί μιν: ἐν τῇ ἑτέρᾳ τότε κέν μιν Schol. V. — 397 Πύλῳ: πύλῳ Aristarchus ἀντὶ τοῦ πύλῃ, conf. Apollodorum II, 7, 3. Schol. V ad Π 203. Apollon. de Coni. 511. Eust. 563, 27. — 401 ἐπὶ, non ἔπι Schol. B. — 403 ὀβριμοεργόc: αἰcυλοεργόc Aristarchus. ὃc: διὰ τοῦ τ̄ ὅτ᾽ οὐκ ὄθετ᾽ Schol. LV, voluit ὅ τ᾽ = ὅτι τε. — 405 ἐπί: οὐκ ἀναcτρεπτέον Schol. B.

ὅττι μάλ᾽ οὐ δηναιὸc ὃc ἀθανάτοιcι μάχηται,
οὐδέ τί μιν παῖδεc ποτὶ γούναcι παππάζουcιν
ἐλθόντ᾽ ἐκ πολέμοιο καὶ αἰνῆc δηιοτῆτοc.
τῶ νῦν Τυδείδηc, εἰ καὶ μάλα καρτερόc ἐcτι,
φραζέcθω μή τίc οἱ ἀμείνων cεῖο μάχηται,
μὴ δὴν Αἰγιάλεια, περίφρων Ἀδρηcτίνη,
ἐξ ὕπνου γοόωcα φίλουc οἰκῆαc ἐγείρῃ,
κουρίδιον ποθέουcα πόcιν, τὸν ἄριcτον Ἀχαιῶν,
ἰφθίμη ἄλοχοc Διομήδεοc ἱπποδάμοιο.
ἦ ῥα, καὶ ἀμφοτέρῃcιν ἀπ᾽ ἰχῶ χειρὸc ὀμόργνυ·
ἄλθετο χείρ, ὀδύναι δὲ κατηπιόωντο βαρεῖαι.
αἳ δ᾽ αὖτ᾽ εἰcορόωcαι Ἀθηναίη τε καὶ Ἥρη
κερτομίοιc ἐπέεccι Δία Κρονίδην ἐρέθιζον.
τοῖcι δὲ μύθων ἦρχε θεὰ γλαυκῶπιc Ἀθήνη·
Ζεῦ πάτερ, ἦ ῥά τί μοι κεχολώcεαι, ὅττί κεν εἴπω;
ἦ μάλα δή τινα Κύπριc Ἀχαιιάδων ἀνιεῖcα
Τρωcὶν ἅμα cπέcθαι, τοὺc νῦν ἔκπαγλα φίληcε,
τῶν τινα καῤῥέζουcα Ἀχαιιάδων ἐυπέπλων

V. L. 407 μάχηται DE 564, 38 HLMN Harl. Lips. Vrat. b. 2. man. c. Et. Mg. 266, 25. ΜΑΧΗΤΑΙ Ambros. μάχεται E 564, 36: μάχοιτο ACGOS. — 408 οὐδέ τι μιν ADLMNO. ποτὶ: ἐν Eust. 1283, 36. — 410 τῶι CDGLMO. ΤΩΙ Ambros. τῷ AHN. κρατερόc GHL. ἐcτι A Ambros. CEHLMO. — 411 μή τιc οἱ ACDHLMNO. ἀμείνω cοῖο S. — 412 ἀδραcτίνη G. — 413 ἐξύπνου D. ἀγείρῃ Lips. Mosc. 1. — 414 Διομήδουc ἱπποδάμεια Et. Mg. 480, 43. — 415 ΙΦΘΙΜΗΙ Ambros. — 416 ἥ ῥὰ ACDGHLMN. ἀμφοτέραιcιν G. ἰχῶ A Ambros. E 566, 30 N Mor. Et. Mg. 480, 57. Et. Gud. 286, 53. Zonar. Lex. 1135. Bekk. An. 1233. ἰχὼ S: ἰχὼρ CDGLM. ἰχῶρ HO Cant. Eust. 984, 21. τὸ δὲ γράφειν ἰχῶρ μετὰ τοῦ ρ̄ κατὰ ἀποκοπὴν μόνου τοῦ τελευταίου φωνήεντοc οὐ πάνυ ἀρέcκει τοῖc παλαιοῖc Eust. 566, 32. ὀμόργνυ: ὄμορξεν Et. Mg. 480, 57. ἀπομόργνυ H. — 417 ἄλφετο H. ἄλθετο δὲ χεὶρ A. — 418 αἳ δ᾽ AL αἴδ᾽ CHMNO. — 420 μῦθον M. — 421 ῥά τϊ μοι CHM. ῥὰ τί μοι LN. ἥ ῥα τί μοι D. — 422 ἥ D. ЄΝΙЄΙCΑ Ambros. — 423 τρῳcὶν L. ἅμα cπέcθαι CDGHMN Mor. Harl. Townl. ἅμ᾽ ἑcπέcθαι A Ambros. ELOS Lips. Rhet. Gr. III, 205, 30. * ἔκπαγλα φίληcε: ἔκπαγλ᾽ ἐφίληcε A Ambros. CEGHLMNO Rhet. Gr. III, 205, 30. — 424 τινὰ EM. καῤῥέζουc᾽[α] G. καταρέζουcα N. ἐϋπέπλων ACEGHLNS Rhet. Gr. III, 205, 30. Apoll. Lex. 95, 27. εὖ πέπλων M.

A. c. 408 οὐδέ τί μιν: διχῶc, καὶ οὐδέ τέ μιν Schol. V. — 416 χειρὸc: ἡ Ἀριcτάρχειοc ἑνικῶc· ἡ Ζηνοδότου χερcίν Schol. LV. — 424 ἐϋπέπλων, conf. H. U. 85.

πρὸς χρυσέῃ περόνῃ καταμύξατο χεῖρα ἀραιήν.
ὣς φάτο, μείδησεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε,
καί ῥα καλεσσάμενος προσέφη χρυσέην Ἀφροδίτην·
οὔ τοι τέκνον ἐμὸν δέδοται πολεμήια ἔργα,
ἀλλὰ σύ γ᾽ ἱμερόεντα μετέρχεο ἔργα γάμοιο,
ταῦτα δ᾽ Ἄρηι θοῷ καὶ Ἀθήνῃ πάντα μελήσει.
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Αἰνείᾳ δ᾽ ἐπόρουσε βοὴν ἀγαθὸς Διομήδης,
γιγνώσκων ὅ οἱ αὐτὸς ὑπείρεχε χεῖρας Ἀπόλλων·
ἀλλ᾽ ὅ γ᾽ ἄρ᾽ οὐδὲ θεὸν μέγαν ἅζετο, ἵετο δ᾽ αἰεὶ
Αἰνείαν κτεῖναι καὶ ἀπὸ κλυτὰ τεύχεα δῦσαι.
τρὶς μὲν ἔπειτ᾽ ἐπόρουσε κατακτάμεναι μενεαίνων,
τρὶς δέ οἱ ἐστυφέλιξε φαεινὴν ἀσπίδ᾽ Ἀπόλλων.
ἀλλ᾽ ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος,
δεινὰ δ᾽ ὁμοκλήσας προσέφη ἑκάεργος Ἀπόλλων·
φράζεο Τυδείδη, καὶ χάζεο, μηδὲ θεοῖσιν
ἶσ᾽ ἔθελε φρονέειν, ἐπεὶ οὔ ποτε φῦλον ὁμοῖον
ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων τ᾽ ἀνθρώπων.
ὣς φάτο, Τυδείδης δ᾽ ἀνεχάζετο τυτθὸν ὀπίσσω
μῆνιν ἀλευάμενος ἑκατηβόλου Ἀπόλλωνος.
Αἰνείαν δ᾽ ἀπάτερθεν ὁμίλου θῆκεν Ἀπόλλων
Περγάμῳ εἰν ἱερῇ, ὅθι οἱ νηός γε τέτυκτο·

V. L. 425 χρυσέῃ: χρυσῇ A Ambros. CDEGHLMNOS Lips. Rhet. Gr. III, 205, 30. καταμύξατο EN: κατεμύξατο A Ambr. CDGHLMO Rhet. Gr. III, 205, 30. ἀραιήν E bis HO: ceteri ἀραιήν. — 426 φᾶτο D. μείδησε DGN. μείδισε MO. — 427 καὶ ῥὰ GM. χρυσέην: χρυσῆν A Ambr. CD(ὴν)GHLMNOS. — 428 τέκνον ἐμόν, οὔ τοι Cicero ad Atticum XIV, 13, 2. Plutarchus de Aud. poët. 14. — 431 οἳ C. — 432 ἐπώρουσε N. — 433 γιγνώσκων ALN: ceteri γινώσκων. χεῖρα O. — 434 ὅγ᾽ ἄρ AN. ὃ γὰρ CDLMO Lips. Mosc. 1. ὅγε οὐδὲ G. ἴετο DHM. — 435 ἄπο ACDGHLM. δύσαι N. — 437 στυφέλιξε L. — 438, 439 omitt. A. — 439 δεινά γ᾽ Mosc. 1. — 440 μὴ δὲ ACDGHLMNO. — 441 ἶσα θέλε GO. — 442 χαμαί τ᾽ ἐρχομένων ἀνθρώπων G. — 444 ἀλευάμενος: ἀλευόμενος AGNS Cant. Lips. Townl. Vrat. a. b. Mosc. 1. — 445 ἀπάτερθεν: ἀπάνευθεν S Cant. conf. Schol. Θ 10. — 446 εἰν: ἐν CDEO Schol. Pind. Ol. VIII, 55. γε τέτυκτο O: ceteri γ᾽ ἐτέτυκτο praeter G qui γ᾽ omittit.

A. c. 425 καταμύξατο Aristarchus. ἀραιὴν Aristarchus, conf. H. T. 201. — 428 οὔ τοι Apollonius, conf. de Pron. 105 A: οὐ τοὶ Zenodotus, vid. Cram. Epim. 409, 14. — 443 Ἀρίσταρχος τυτθόν, οὐ πολλόν Schol. L, conf. Π 710.

ἥ τοι τὸν Λητώ τε καὶ Ἄρτεμις ἰοχέαιρα
ἐν μεγάλῳ ἀδύτῳ ἀκέοντό τε κύδαινόν τε.
αὐτὰρ ὁ εἴδωλον τεῦξ᾽ ἀργυρότοξος Ἀπόλλων
αὐτῷ τ᾽ Αἰνείᾳ ἴκελον καὶ τεύχεσι τοῖον,
ἀμφὶ δ᾽ ἄρ᾽ εἰδώλῳ Τρῶες καὶ δῖοι Ἀχαιοὶ
δῄουν ἀλλήλων ἀμφὶ στήθεσσι βοείας
ἀσπίδας εὐκύκλους λαισήιά τε πτερόεντα.
δὴ τότε θοῦρον Ἄρηα προσηύδα Φοῖβος Ἀπόλλων·
Ἆρες Ἄρες βροτολοιγέ, μιαιφόνε, τειχεσιπλῆτα,
οὐκ ἂν δὴ τόνδ᾽ ἄνδρα μάχης ἐρύσαιο μετελθὼν
Τυδείδην, ὃς νῦν γε καὶ ἂν Διὶ πατρὶ μάχοιτο;
Κύπριδα μὲν πρῶτα σχεδὸν οὔτασε χεῖρ᾽ ἐπὶ καρπῷ,
αὐτὰρ ἔπειτ᾽ αὐτῷ μοι ἐπέσσυτο δαίμονι ἶσος.
ὣς εἰπὼν αὐτὸς μὲν ἐφέζετο Περγάμῳ ἄκρῃ,
Τρῳὰς δὲ στίχας οὖλος Ἄρης ὤτρυνε μετελθών,
εἰδόμενος Ἀκάμαντι θοῷ ἡγήτορι Θρῃκῶν·
υἱάσι δὲ Πριάμοιο διοτρεφέεσσι κέλευεν·
ὦ υἱεῖς Πριάμοιο, διοτρεφέος βασιλῆος,
ἐς τί ἔτι κτείνεσθαι ἐάσετε λαὸν Ἀχαιοῖς;

V. L. 449 ὃ ACDGHLMNO. — 450 τ᾽ omitt. LN. τε A. ἴκελον ACDGHLN. τεύχεσι τοῖο G Mor. — 451 ἂρ ADGLMNO. τρῷες GL. — 452 δηίουν DHNO Lips. ἀλλήλους Zonar. Lex. 502. στήθεσι G. στήθεσφι D Vrat. b. — 453 ἐϋκύκλους C. — 454 προσηῦδα DG. — 455 ἆρες ἄρες C. ἆρες bis M. ἄρες bis DNO. — 456 δὴ omitt. A. τόνδ᾽: τὸν E. — 457 μάχοιτο: μάχηται Vrat. b. conf. 407. — 458 πρῶτα ACDEGHLM Barocc.: πρῶτον NO, cf. 883. — 460 μὲν omitt. O Flor. Rom. — 461 τρῳὰς G Cram. Epim. 442, 15. τρωὰς D 2. man. NO Mor. Harl. τρωΐας C. τρῶας D 1. man. E Schol. Υ 44. Lesbonax περὶ σχημάτων 183. τρώων AHMS. τρῴων L. διττὴ φέρεται γραφὴ τοῦ πρώτου ποδός· ἢ γὰρ κτητικῶς Τρῳὰς ὀξυτόνως λέγει τὰς Τρωικάς, ἢ μᾶλλον προπερισπωμένως Τρῶας στίχας Eust. 571, 17. τινὲς γράφουσι „Τρῳὰς δὲ στίχος ἠλὸς Ἄρης ὤτρυνεν“ Cram. Epim. 442, 15. γρ. τρώων O. — 462 θρακῶν G. — 463 υἱᾶσι DO. υἱέσι LN. διοτροφέεσσι G. κέλευσεν ACGLNO Cant. Lips. Townl. Vrat. a. b. c. Mosc. 1. — 464 διοτροφέος GHO. — 465 εἰς τί A. ἐάσατε Cant. Et. Mg. 382, 10. ἀχαιῶν CM.

A. c. 455 ἀρές Ixion, conf. 31. — 461 Τρῳάς Antimachus, Sinopensis, Cypria: Τρῶας Ptolemaeus Ascalonita, ἡ κοινή. tertia scriptura nec Nicanori neque Eustathio cognita erat, nam Τρώων est glossema ut ex scholio Nicanoris colligo ἵν᾽ ᾖ Τρῶας ἀντὶ τοῦ Τρώων. οὖλος, conf. Herod. ad Κ 134. — 465 ἐς τί ἔτι: ἐστίετι Ptolem. Ascalonita, conf. Et. Mg. 382, 10.

ἢ εἰϲ ὅ κεν ἀμφὶ πύληϲ εὖ ποιητῇϲι μάχωνται;
κεῖται ἀνήρ, ὅν τ' ἶϲον ἐτίομεν Ἕκτορι δίῳ,
Αἰνείαϲ, υἱὸϲ μεγαλήτοροϲ Ἀγχίϲαο.
ἀλλ' ἄγετ' ἐκ φλοίϲβοιο ϲαώϲομεν ἐϲθλὸν ἑταῖρον.
ὣϲ εἰπὼν ὤτρυνε μένοϲ καὶ θυμὸν ἑκάϲτου.
ἔνθ' αὖ Ϲαρπηδὼν μάλα νείκεϲεν Ἕκτορα δῖον·
Ἕκτορ, πῇ δή τοι μένοϲ οἴχεται, ὃ πρὶν ἔχεϲκεϲ;
φῆϲ που ἄτερ λαῶν πόλιν ἑξέμεν ἠδ' ἐπικούρων
οἶοϲ ϲὺν γαμβροῖϲι καϲιγνήτοιϲί τε ϲοῖϲι.
τῶν νῦν οὔ τιν' ἐγὼν ἰδέειν δύναμ' οὐδὲ νοῆϲαι,
ἀλλὰ καταπτώϲϲουϲι κύνεϲ ὣϲ ἀμφὶ λέοντα·
ἡμεῖϲ δ' αὖ μαχόμεϲθ', οἵ πέρ τ' ἐπίκουροι ἔνειμεν.
καὶ γὰρ ἐγὼν ἐπίκουροϲ ἐὼν μάλα τηλόθεν ἵκω·
τηλοῦ γὰρ Λυκίη, Ξάνθῳ ἔπι δινήεντι,
ἔνθ' ἄλοχόν τε φίλην ἔλιπον καὶ νήπιον υἱόν,
κὰδ δὲ κτήματα πολλά, τά τ' ἔλδεται, ὅϲ κ' ἐπιδευήϲ.
ἀλλὰ καὶ ὣϲ Λυκίουϲ ὀτρύνω καὶ μέμον' αὐτὸϲ

V. L. 466 ἣ L: ceteri ἤ. εἰϲ ὅ κεν M. ἐϲόκεν L. εἰϲόκ' AN. ceteri εἰϲόκεν. πύλαιϲ EG. πύληϲ N. πύληϲιν DH. εὖ ποιητῇϲι DGL. εὐποιητῇϲι A. εὐποιήτηϲι CH Schol. Π 636. εὖ ποιητοῖϲι O Harl. Towl. εὐποιήτοιϲι MN Vrat. b. — 467 ὅν τ': ὃν Eust. 580, 16. — 468 post hunc in H et Vrat. b. insertus est versus „εὔχεται ἐκγεγάμεν μήτηρ δέ οἱ ἔϲτ' ἀφροδίτη", qui legitur Ε 248. — 469 φλοίϲβου CG. — 470 ὄτρυνε Vrat. b. — 471 νείκεϲϲεν M. — 472 πῇ DEHMO. πὴ ACL. ποῖ N Vrat. b. Mosc. 1. — 473 φῆϲ CDEH 1. man. Schol. BL. φῇϲ vel φὴϲ AGH ex corr. LMNOS Cram. Epim. 432, 29. — 474 γαβροῖϲι G. ϲυγαμβροῖϲι D. καϲιγνήτεϲϲί N. ϲοῖϲι ACDEGHMNO. — 475 ἐγὼν ACDEHLN: ἐγὼ GMO. δύναμαι DGHO. οὔτε νοῆϲαι H. — 477 δ' αὖ: δὲ GM Lips. Harl. Mosc. Schol. Β 131. τὲ C, conf. ad Ο 478. οἵ πέρ CD, ceteri οἵπερ. τ' omitt. N. — 478 * ἵκω: libri ἥκω. — 479 ἔπι Io. Alexandr. 26, 32. Et. Mg. 342, 12. Et. Gud. 189, 41: ἐπὶ ACDEGLMNO Io. Alexandr. 4, 3. Cram. Epim. 154, 19. Schol. Β 839. ἐπϊ H. — 481 καδδὲ CDEGHLMNO Cram. Epim. 364, 2. τὰ δ' S. ὅϲ κ': ὅϲ τ' CHMOS. ὃϲ L. ἐπιδεύει O. — 482 ὧϲ O: ceteri ὣϲ.

A. c. 466 ποιητοῖϲι δὲ Ἀρίϲταρχοϲ, Ζηνόδοτοϲ δὲ ποιητῇϲι Schol. LV. τὸ εὖ οὐ θέλουϲι κατ' ἰδίαν προφέρεϲθαι, ἐπεὶ καὶ ἐν ἑτέροιϲ φηϲὶ τὴν δοτικὴν „εὐποιήτηϲι πύληϲι" παρωνύμωϲ. κἀγὼ δὲ ϲυγκατατίθεμαι Herodianus ad Π 636. conf. Lobeck. Paralip. 497. Grashof. „das Hausgeräthe bei Homer" pg. 11, not. 11. — 473 φῆϲ: Ἀρίϲταρχοϲ περιϲπᾷ καὶ τὸ ῑ οὐ γράφει. λέγει γὰρ ἐὰν εἶχε τὸ ῑ, ἐνεϲτὼϲ ὤφελλεν εἶναι Zonar. Lex. 1805. conf. Herod. ad Ρ 174. Eust. 1578, 18. H. U. 192. — 477 ἔνειμεν: οὕτωϲ αἱ Ἀριϲτάρχου, conf. Didym. ad Β 131. — 478 ἵκω, non ἥκω, poëtam usum esse veteres tradiderunt, conf. H. T. 288.

ἀνδρὶ μαχήϲαϲθαι· ἀτὰρ οὔ τί μοι ἐνθάδε τοῖον,
οἷόν κ' ἠὲ φέροιεν Ἀχαιοὶ ἤ κεν ἄγοιεν·
τύνη δ' ἕϲτηκαϲ, ἀτὰρ οὐδ' ἄλλοιϲι κελεύειϲ
λαοῖϲιν μενέμεν καὶ ἀμυνέμεναι ὤρεϲϲι.
μή πωϲ, ὡϲ ἀψῖϲι λίνου ἁλόντε πανάγρου,
ἀνδράϲι δυϲμενέεϲϲιν ἕλωρ καὶ κύρμα γένηϲθε·
οἱ δὲ τάχ' ἐκπέρϲουϲ' εὖ ναιομένην πόλιν ὑμήν.
ϲοὶ δὲ χρὴ τάδε πάντα μέλειν νύκτάϲ τε καὶ ἦμαρ,
ἀρχοὺϲ λιϲϲομένῳ τηλεκλειτῶν ἐπικούρων
νωλεμέωϲ ἐχέμεν, κρατερὴν δ' ἀποθέϲθαι ἐνιπήν.
ὣϲ φάτο Ϲαρπηδών, δάκε δὲ φρέναϲ Ἕκτορι μῦθοϲ.
αὐτίκα δ' ἐξ ὀχέων ϲὺν τεύχεϲιν ἆλτο χαμᾶζε,
πάλλων δ' ὀξέα δοῦρα κατὰ ϲτρατὸν ᾤχετο πάντῃ,
ὀτρύνων μαχέϲαϲθαι, ἔγειρε δὲ φύλοπιν αἰνήν.
οἱ δ' ἐλελίχθηϲαν καὶ ἐναντίοι ἔϲταν Ἀχαιῶν·
Ἀργεῖοι δ' ὑπέμειναν ἀολλέεϲ οὐδὲ φόβηθεν.

V. L. 483 μαχέϲϲαϲθαι ADS. μαχέϲαϲθαι CGNO. μαχέϲθαι H. οὔ τί: οὔτι libri. — 484 οἷόν κ': οἷον E 574, 1. οἷον ἄν E 572, 25. ἤ κ' ἄγοιεν H. — 485 ἔϲτηκαϲ DM. — 486 λαοῖϲι ACDEGHMNO. ὤρεϲϲι ACGMNO. — 487 ἀψίϲι DGH. ἀψῖϲιν A. ἀψῖϲι O. ἁλόντεϲ E. λίνοιο ἑλόντε Et. Mg. 183, 32. — 488 ἀνδρᾶϲι D. κῦρμα ADHN. γένοιϲθε C. — 459 οἳ AC. ἐκπέρϲουϲιν AD. ἐκπέρϲωϲιν M. ἐκπέρϲωϲ' C Harl. Mosc. 2. εὖ ναιομένην ACDEGLO. εὐναιομένην HMN. ὑμήν: ὑμῖν OS Lips. — 490 καὶ ϲὲ χρὴ Et. Gud. 386, 39. μέλλειν HM. νύκτάϲ τε M. νύκταϲ τὲ C. ἧμαρ D. — — 491 λιϲϲόμενοι (ω superscr.) D. τηλεκλειτῶν DLS Lips. 1. man. Cant. Townl. Vrat. b. c. τηλεκλητῶν ACGNO. τηλεκλητῶν τ' M. τηλεκλειτῶν γ' H. τηλεκλυτῶν Schol. Μ 49. — 492 κρατερὴν CDEGM Et. Mg. 126, 23: χαλεπὴν AHLNOS Cant. Vrat. a. b. Schol. Θ 523. — 493 φᾶτο D. — 494 ἅλτο AM. ἆλτο C. χαμάζε ACDGHLMNO. — 496 μαχέεϲθαι L. — 497 οἵδ' ACHLMNO. — 498 οὐδὲ φόβηθεν ACH 2. man. MNOS Vrat. c. Mosc. 1.

A. c. 483 μαχήϲαϲθαι Aristarchus, conf. ad Α 298, 304, Β 377, Γ 290. — 487 ἀψῖϲι: ψιλωτέον τὸ ἀψῖϲι εἰϲ ἰδιότητα Schol. BLV. φαϲὶ δὲ τὰ ϲχόλια δέον εἶναι βαρύνεϲθαι τὸ ἄψίϲ ὡϲ Αἰολικόν. λέγουϲι δὲ ὅτι ψιλοῦται τὸ ᾱ παραλόγωϲ ἐνταῦθα Schol. D. conf. Eust. 574, 21. haesitabant viri docti in duali ἁλόντε, cuius prima syllaba hoc loco praeter consuetudinem poëtae producitur. hanc anomaliam facili coniectura „λίνου πανάγροιο ἁλόντεϲ" sanavit Bentleius, sed neque Heynius, qui Bentleium verum vidisse sibi persuasum habet, nec recentiores eam receperunt, nam dualis librorum et scholiorum consensu firmatur. quodsi emendatione esset opus, posses cum etymologico λίνοιο scribere, sed in vulgata mihi acquiescendum esse putavi. alii alia tentaverunt, in his Clarkius „λίνου που ἁλόντε", Bothius „λίνου ἀλύοντε", Axtius coniect. Hom. (1860) pg. 5 „ὡϲ πανάγροιο λίνου ἀψῖϲιν ἁλόντεϲ".

ὡς δ' ἄνεμος ἄχνας φορέει ἱερὰς κατ' ἀλῳὰς
ἀνδρῶν λικμώντων, ὅτε τε ξανθὴ Δημήτηρ
κρίνῃ ἐπειγομένων ἀνέμων καρπόν τε καὶ ἄχνας·
αἳ δ' ὑπολευκαίνονται ἀχυρμιαί· ὣς τότ' Ἀχαιοὶ
λευκοὶ ὕπερθε γένοντο κονισάλῳ, ὅν ῥα δι' αὐτῶν
οὐρανὸν ἐς πολύχαλκον ἐπέπληγον πόδες ἵππων,
ἂψ ἐπιμισγομένων· ὑπὸ δ' ἔστρεφον ἡνιοχῆες.
οἳ δὲ μένος χειρῶν ἰθὺς φέρον. ἀμφὶ δὲ νύκτα
θοῦρος Ἄρης ἐκάλυψε μάχῃ Τρώεσσιν ἀρήγων,
πάντοσ' ἐποιχόμενος· τοῦ δ' ἐκραίαινεν ἐφετμὰς
Φοίβου Ἀπόλλωνος χρυσαόρου, ὅς μιν ἀνώγει
Τρωσὶν θυμὸν ἐγεῖραι, ἐπεὶ ἴδε Παλλάδ' Ἀθήνην
οἰχομένην· ἣ γάρ ῥα πέλεν Δαναοῖσιν ἀρηγών.
  αὐτὸς δ' Αἰνείαν μάλα πίονος ἐξ ἀδύτοιο
ἧκε, καὶ ἐν στήθεσσι μένος βάλε ποιμένι λαῶν.
Αἰνείας δ' ἑτάροισι μεθίστατο· τοὶ δὲ χάρησαν,
ὡς εἶδον ζωόν τε καὶ ἀρτεμέα προσιόντα
καὶ μένος ἐσθλὸν ἔχοντα· μετάλλησάν γε μὲν οὔ τι.
οὐ γὰρ ἔα πόνος ἄλλος, ὃν ἀργυρότοξος ἔγειρεν
Ἄρης τε βροτολοιγὸς Ἔρις τ' ἄμοτον μεμαυῖα.
  τοὺς δ' Αἴαντε δύω καὶ Ὀδυσσεὺς καὶ Διομήδης
ὤτρυνον Δαναοὺς πολεμιζέμεν· οἳ δὲ καὶ αὐτοὶ

V. ι. 499 ἀλῳὰς Townl., ceteri ἀλωὰς. — 500 τε omitt. G. τὲ H. — 501 κρίνῃ AH post ras. MO: κρίνει CDELN Et. Mg. 181, 52. Zonar. Lex. 362; 1254. κρίνοι G. — 502 αἵδ' CLMNO. ὑπολευκαίνοντο L. — 503 ὕπερθ' ἐγένοντο GLMN Vrat. c. Mosc. 1. κονισάλῳ CDEGH Lips. Vrat.: κονισσάλῳ ALMNO Heraclides Alleg. c. 10. ὃν ῥὰ GHL. — 505 ὑπο CD. — 506 οἳ δὲ C. — 507 τρῴεσσιν GL. — 508 ἐκρέαινεν D 2. man. ἐκράαινεν L. δὲ κραίαινεν M. — 510 τρωσὶ DHN Schol. Θ 2. τρῳσὶ G. τρῳσὶν L. ἐγεῖραι: ἀγεῖραι E 577, 13. Schol. Θ 2. ἰστέον δὲ ὅτι τὰ πλείω τῶν ἀντιγράφων οὐκ ἀγεῖραι γράφουσιν, ἀλλὰ „Τρωσὶ θυμὸν ἐγεῖραι“ Eust. 577, 17. — 511 ἢ CDHLMO. γὰρ ῥὰ HL. πέλε GO. ἀρήγων M. ἀρηγός CDN. — 513 στήθεσι GM. — 514 μεθ' ἵστατο A. τοὶ: οἱ E. οἳ M. * δὲ χάρησαν: libri δ' ἐχάρησαν. — 516 οὔ τι: οὐδέν D. — 518 τὲ CDNO. — 520 ὤτρυναν Mosc. 2. πολεμίζειν E. οἳ δὲ C. ἠδὲ Harl. Townl. Mosc. 1.

A. c. 499 τὸ ἀλωάς μετὰ προσγεγραμμένου ῑ γράφουσιν οἱ παλαιοί Cram. An. Par. III, 211, 9, conf. H. U. 212. — 500 Πτολεμαῖος τοὺς δωδεκασυλλάβους στίχους ἐκτιθείς φησι καὶ τοῦτον οὕτω γράφεσθαι „εὖτ' ἂν ξανθὴ Δητήτηρ“ Schol. LV. — 502 κατ' ὀξεῖαν δὲ τὸ ἀχυρμιαί Schol. BL. — 511 ἀρηγών: Ἀρίσταρχος ὀξυτόνως Schol. V.

οὔτε βίας Τρώων ὑπεδείδισαν οὔτε ἰωκάς,
ἀλλ' ἔμενον νεφέλῃσιν ἐοικότες, ἅς τε Κρονίων
νηνεμίης ἔστησεν ἐπ' ἀκροπόλοισιν ὄρεσσιν
ἀτρέμας, ὄφρ' εὕδῃσι μένος βορέαο καὶ ἄλλων
ζαχρειῶν ἀνέμων, οἵ τε νέφεα σκιόεντα
πνοιῇσιν λιγυρῇσι διασκιδνᾶσιν ἀέντες·
ὣς Δαναοὶ Τρῶας μένον ἔμπεδον οὐδὲ φέβοντο.
Ἀτρείδης δ' ἀν' ὅμιλον ἐφοίτα πολλὰ κελεύων·
  ὦ φίλοι, ἀνέρες ἔστε καὶ ἄλκιμον ἦτορ ἕλεσθε,
ἀλλήλους τ' αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας.
αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται·
φευγόντων δ' οὔτ' ἂρ κλέος ὄρνυται οὔτέ τις ἀλκή.
  ἦ, καὶ ἀκόντισε δουρὶ θοῶς, βάλε δὲ πρόμον ἄνδρα,
Αἰνείω ἕταρον μεγαθύμου, Δηικόωντα
Περγασίδην, ὃν Τρῶες ὁμῶς Πριάμοιο τέκεσσι
τῖον, ἐπεὶ θοὸς ἔσκε μετὰ πρώτοισι μάχεσθαι.
τόν ῥα κατ' ἀσπίδα δουρὶ βάλε κρείων Ἀγαμέμνων·
ἣ δ' οὐκ ἔγχος ἔρυτο, διὰ πρὸ δὲ εἴσατο χαλκός,
νειαίρῃ δ' ἐν γαστρὶ διὰ ζωστῆρος ἔλασσε.
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
  ἔνθ' αὖτ' Αἰνείας Δαναῶν ἕλεν ἄνδρας ἀρίστους,

V. ι. 521 τρῴων G. ὑποδείδισαν Rhet. Gr. III, 130, 6. ἰωκάς: ἰωὰς O. — 523 ὄρεσιν E. — 525 ζαχρειῶν ACDEGHLMNOS Apoll. Lex. 81, 1. Et. Mg. 389, 34. Zonar. Lex. 906. ζαχρειῶν et ζαχρηῶν Hesych. II, 254. — 526 πνοιῇσι CDEGHNO Lips. Schol. O 171. διασκίδνασιν N Apoll. Lex. 10, 4. διασκέδασθεν Et. Mg. 20, 30. διασκίδνησιν Schol. O 171. — 527 τρῷας G. οὐδὲ φέβοντο CH 1. man. N Vrat. a. b.: ceteri οὐδ' ἐφέβοντο. — 528 πολλὰ ἢ μακρὰ Eust. 579, 35. — 529 ἔστε GMO Et. Mg. 381, 58: ἐστὲ ACDEHLN Et. Mg. 107, 43. — 530 τ' omitt. L. — 531 αἰδομένων δ' ACDEHMNOS Cant. Harl. Schol. Soph. Ai. 676, 1079. Schol. Pind. Nem. IX, 85. Apoll. Lex. 15, 7. Eust. 654, 38. δ' omittunt GL. — 532 ὤ(ο)ρνυται C. οὔτέ τις ACGHLMN. — 534 Αἰνείω Schol. B 461: αἰνείεω ACDGHLMN. αἰνείαο O. Δηικόωντα: δημοκόωντα CH Vrat. b. Schol. E 326. — 535 τρῷες GL. τέκεσσι ACDHMNO Schol. E 326. τεκέεσσι G. — 537 τὸν ῥὰ DL. — 538 ἥδ' ACDGHLMNO. διὰ πρὸ MO. διὰ προδεείσατο D. χαλκὸς ALO Vrat. b. in marg. Barocc.: καὶ τῆς CDGHMN, ut Δ 138. praestat χαλκός, conf. P 518, ω 524. — 539 ἐγγαστρὶ Apoll. Lex. 115, 10. ἔλασσε ACDGHNO. — 540 δούπησε DO. δὲ πεσών: ἤριπε δὲ πρηνὴς M Harl. Mosc. 1. ἐπαυτῶ M.

A. c. 531 αἰδομένων δ' ἀνδρῶν: αἰδομένων ἀνδρῶν Aristarchus, vide Didym. ad O 563. — 534 Αἰνείω, ut Ἑρμείω O 214, Βορέω Ξ 395, Ψ 692, ξ 533, Ἀσίω B 461, ἐυμμελίω Δ 47, 165, Z 449.

υἷε Διοκλῆοc, Κρήθωνά τε Ὀρcίλοχόν τε,
τῶν ῥα πατὴρ μὲν ἔναιεν ἐυκτιμένῃ ἐνὶ Φηρῇ
ἀφνειὸc βιότοιο, γένοc δ' ἦν ἐκ ποταμοῖο
Ἀλφειοῦ, ὅc τ' εὐρὺ ῥέει Πυλίων διὰ γαίηc,
ὃc τέκετ' Ὀρcίλοχον πολέεcc' ἄνδρεccιν ἄνακτα·
Ὀρcίλοχοc δ' ἄρ' ἔτικτε Διοκλῆα μεγάθυμον,
ἐκ δὲ Διοκλῆοc διδυμάονε παῖδε γενέcθην,
Κρήθων Ὀρcίλοχόc τε μάχηc εὖ εἰδότε πάcηc.
τὼ μὲν ἄρ' ἡβήcαντε μελαινάων ἐπὶ νηῶν
Ἴλιον εἰc εὔπωλον ἅμ' Ἀργείοιcιν ἑπέcθην,
τιμὴν Ἀτρεΐδῃc, Ἀγαμέμνονι καὶ Μενελάῳ,
ἀρνυμένω· τὼ δ' αὖθι τέλοc θανάτοιο κάλυψεν.
οἵω τώ γε λέοντε δύω ὄρεοc κορυφῇcιν
ἐτραφέτην ὑπὸ μητρὶ βαθείηc τάρφεcιν ὕληc·
τὼ μὲν ἄρ' ἁρπάζοντε βόαc καὶ ἴφια μῆλα
cταθμοὺc ἀνθρώπων κεραΐζετον, ὄφρα καὶ αὐτὼ
ἀνδρῶν ἐν παλάμῃcι κατέκταθεν ὀξέι χαλκῷ·
τοίω τὼ χείρεccιν ὑπ' Αἰνείαο δαμέντε
καππεcέτην, ἐλάτῃcιν ἐοικότεc ὑψηλῇcι.
τὼ δὲ πεcόντ' ἐλέηcεν ἀρηΐφιλοc Μενέλαοc,
βῆ δὲ διὰ προμάχων κεκορυθμένοc αἴθοπι χαλκῷ,
cείων ἐγχείην· τοῦ δ' ὤτρυνεν μένοc Ἄρηc,
τὰ φρονέων, ἵνα χερcὶν ὑπ' Αἰνείαο δαμείη.
τὸν δ' ἴδεν Ἀντίλοχοc, μεγαθύμου Νέcτοροc υἱόc,

V. ι. 542 κρίθωνά D. — 543 ῥὰ LMN. ἐϋκτημένη D. φηρῇ: φῦρη H. φορῇ NO. — 545 ὅc τ': ὃc E. — 546 τέκεν Mosc. 2. τέκ' H. ὀρcί- (τ superscr.) λοχον D. ὀρτίλοχον Townl. πολέεccϊν C. πολέεcϊν (c subscr.) G. πολέεccϊ δ' H. — 547 ἆρ ADGHMNO. — 548 διδυμάωνε G. παῖδεc H. 1. man. — 550 ἆρ ADGMNO. ἠβήcαντεc M. βήcαντε O. — 551 εἰc: ἐc O. — 552 ἀτρείδῃc' GHLMNO. — 556 ἆρ ADGLMNO. — 557 cταθμούc τ' N. αὐτὼ: αὐτοὶ EN. — 559 τοίῳ H. τὼ: τοὶ O. χείρεcιν O. δαμέντεc Mor. Barocc. — 560 ἐοικότε L Mosc. 1. ὑψηλῆcι AEHMNO. ὑψηλοῖcϊ C. — 561 ἀρηΐφιλοc, non βοὴν ἀγαθὸc, libri mei cum Mor. Cant. Barocc. Vrat. a. b. Mosc. 1. — 563 τοῦ: τῷ Mosc. 1. ὤτρυνε DGNO Lips.

A. c. 543 Φηρῇ: τὸ Φηρῇ περιcπᾶται κατὰ τὴν παράδοcιν· ἡ μέντοι ἀναλογία ἠξίου βαρύνεcθαι Et. Mg. 791, 45. παραλόγωc δὲ ἡ Φηρὰ κατὰ τοὺc παλαιοὺc ὀξύνεται, ὡc οὕτω τετριμμένη τῇ παραδόcει Eust. 580, 43. — 549 (542) Ὀρcίλοχοc: Ὀρτίλοχοc Zenodotus teste Schol. HQ ad γ 489. conf. Schol. LV ad 542 ὁ πρόγονοc διὰ τοῦ τ̅, ὁ παῖc διὰ τοῦ c̅. — 555 τάρφεcιν Herodianus: ταρφέcιν Tyrannio, conf. Herod. ad O 606. — 560 δυϊκῶc τὸ ἐοικότεc Ἀρίcταρχοc Schol. V.

βῆ δὲ διὰ προμάχων· περὶ γὰρ δίε ποιμένι λαῶν
μή τι πάθοι, μέγα δέ cφαc ἀποcφήλειε πόνοιο.
τὼ μὲν δὴ χεῖράc τε καὶ ἔγχεα ὀξυόεντα
ἀντίον ἀλλήλων ἐχέτην μεμαῶτε μάχεcθαι·
Ἀντίλοχοc δὲ μάλ' ἄγχι παρίcτατο ποιμένι λαῶν.
Αἰνείαc δ' οὐ μεῖνε θοόc περ ἐὼν πολεμιcτήc,
ὡc εἶδεν δύο φῶτε παρ' ἀλλήλοιcι μένοντε.
οἳ δ' ἐπεὶ οὖν νεκροὺc ἔρυcαν μετὰ λαὸν Ἀχαιῶν,
τὼ μὲν ἄρα δειλὼ βαλέτην ἐν χερcὶν ἑταίρων,
αὐτὼ δὲ cτρεφθέντε μετὰ πρώτοιcι μαχέcθην.
ἔνθα Πυλαιμένεα ἑλέτην ἀτάλαντον Ἄρηι,
ἀρχὸν Παφλαγόνων μεγαθύμων, ἀcπιcτάων·
τὸν μὲν ἄρ' Ἀτρεΐδηc δουρὶ κλειτὸc Μενέλαοc
ἑcταότ' ἔγχεϊ νύξε κατὰ κληῖδα τυχήcαc·
Ἀντίλοχοc δὲ Μύδωνα βάλ', ἡνίοχον θεράποντα,
ἐcθλὸν Ἀτυμνιάδην, ὃ δ' ὑπέcτρεφε μώνυχαc ἵππουc,
χερμαδίῳ ἀγκῶνα τυχὼν μέcον· ἐκ δ' ἄρα χειρῶν
ἡνία λεύκ' ἐλέφαντι χαμαὶ πέcον ἐν κονίῃcιν.
Ἀντίλοχοc δ' ἄρ' ἐπαΐξαc ξίφει ἤλαcε κόρcην·
αὐτὰρ ὅ γ' ἀcθμαίνων εὐεργέοc ἔκπεcε δίφρου
κύμβαχοc ἐν κονίῃcιν ἐπὶ βρεχμόν τε καὶ ὤμουc.
δηθὰ μάλ' ἑcτήκει, τύχε γάρ ῥ' ἀμάθοιο βαθείηc,
ὄφρ' ἵππω πλήξαντε χαμαὶ βάλον ἐν κονίῃcι,

V. ι. 566 περὶ HLNO Schol. O 568, X 251. Et. Mg. 273, 10. πέρι AGM. περι CD. παρὰ Zonar. Lex. 544. δῖε CM. ποιμένα Zonar. Lex. 544. — 567 πάθοι LO: πάθῃ ACDEGHMNS et Heynii libri. Schol. O 568. Zonar. Lex. 544. δέ cφαc GHLMO Mor. Vrat. a. Apoll. de Pron. 127 C. Et. Mg. 128, 22: δέ cφεαc ACDEN. δὲ cφέαc Zon. Lex. 270. — 568 ὀξιόεντα S. — 571 μεῖναι GM. — 572 εἶδε EMO. ἴδε A. δύω AGM. — 573 οἵδ' ADL: οἵδ' CHMNO. — 575 cτραφθέντε M. cτραφέντε O et γρ. cτρεφθέντε. — 578 τὼ μὲν M. ἆρ AGM. δουρικλυτὸc ACDGMN. — 579 κατα A. παρὰ Harl. Townl. κληῗδα DGMNO. — 581 ὃ δ' ADMNO. ὅδ' CGHL. — 582 χειρὸc Vrat. A. — 583 πέcον: πέcεν L. κονίῃcι D. — 584 ἆρ AGDMO. ἄρ' omitt. LN. κόρcϊν G. — 586 κονίηcι M. ἐπι D. βρεχμόν (γ superscr.) A. βρεγμόν N Cant. βρεγχμόν S. — 587 εἱcτήκει ACDEGHLMNOS Schol. Z 201. γάρ ῥ' ἀμάθοιο ACD 1. man. E Lips. Schol. I 593. γὰρ ἀμάθοιο MNO Vrat. a. Mosc. 1. 3. a prim. man. Apoll. Lex. 27, 10. Ammon. de Diff. s. v. ψάμαθοc. δ' ἄρ ἀμάθοιο G. γὰρ ψαμάθοιο D 2. man. HL. — 588 κονίῃcι CDHMNO.

A. c. 567 cφαc: cυcταλτέον διὰ τὸ μέτρον Schol. NV. — 587 ἑcτήκει, non εἱcτήκει, Aristarchus.

τοὺϲ ἵμαϲ' Ἀντίλοχοϲ, μετὰ δὲ ϲτρατὸν ἤλαϲ' Ἀχαιῶν.
τοὺϲ δ' Ἕκτωρ ἐνόηϲε κατὰ ϲτίχαϲ, ὦρτο δ' ἐπ' αὐτοὺϲ
κεκληγώϲ· ἅμα δὲ Τρώων εἵποντο φάλαγγεϲ
καρτεραί· ἦρχε δ' ἄρα ϲφιν Ἄρηϲ καὶ πότνι' Ἐνυώ,
ἡ μὲν ἔχουϲα κυδοιμὸν ἀναιδέα δηιοτῆτοϲ,
Ἄρηϲ δ' ἐν παλάμηϲι πελώριον ἔγχοϲ ἐνώμα,
φοίτα δ' ἄλλοτε μὲν πρόϲθ' Ἕκτοροϲ, ἄλλοτ' ὄπιϲθε.
τὸν δὲ ἰδὼν ῥίγηϲε βοὴν ἀγαθὸϲ Διομήδηϲ.
ὡϲ δ' ὅτ' ἀνὴρ ἀπάλαμνοϲ, ἰὼν πολέοϲ πεδίοιο,
ϲτήῃ ἐπ' ὠκυρόῳ ποταμῷ ἅλα δὲ προρέοντι,
ἀφρῷ μορμύροντα ἰδών, ἀνά τ' ἔδραμ' ὀπίϲϲω,
ὡϲ τότε Τυδείδηϲ ἀνεχάζετο, εἶπέ τε λαῷ·
ὦ φίλοι, οἷον δὴ θαυμάζομεν Ἕκτορα δῖον
αἰχμητήν τ' ἔμεναι καὶ θαρϲαλέον πολεμιϲτήν·
τῷ δ' αἰεὶ πάρα εἷϲ γε θεῶν, ὃϲ λοιγὸν ἀμύνει·
καὶ νῦν οἱ πάρα κεῖνοϲ Ἄρηϲ βροτῷ ἀνδρὶ ἐοικώϲ.
ἀλλὰ πρὸϲ Τρῶαϲ τετραμμένοι αἰὲν ὀπίϲϲω
εἴκετε, μὴ δὲ θεοῖϲ μενεαινέμεν ἶφι μάχεϲθαι.
ὡϲ ἄρ' ἔφη, Τρῶεϲ δὲ μάλα ϲχεδὸν ἤλυθον αὐτῶν.
ἔνθ' Ἕκτωρ δύο φῶτε κατέκτανεν εἰδότε χάρμηϲ,
εἰν ἑνὶ δίφρῳ ἐόντε, Μενέϲθην Ἀγχίαλόν τε.
τὼ δὲ πεϲόντ' ἐλέηϲε μέγαϲ Τελαμώνιοϲ Αἴαϲ·
ϲτῆ δὲ μάλ' ἐγγὺϲ ἰών, καὶ ἀκόντιϲε δουρὶ φαεινῷ,
καὶ βάλεν Ἄμφιον, Cελάγου υἱόν, ὅϲ ῥ' ἐνὶ Παιϲῷ

V. ι. 589 τοὺϲ ἵμαϲ' ACDGHLMNOS Harl.: vulgo τοὺϲ δ' ἵμαϲ', quod cum ne unus quidem ex libris meis exhibeat, neque paraphrastes apud Bekkerum agnoscat, meram coniecturam esse iudico — 591 τρῴων GL. — 592 κρατεραὶ CGHMN Lips. ϲφὶν G. — 595 ὄπιϲθε ACDH: ὄπιϲθεν EGLMNO. — 596 τόνδε G. τοὺϲ δὲ M. Harl. ῥίγηϲεν D. — 597 ϲτήῃ CO Et. Mg. 73, 47. Zonar. Lex. 139. ϲτήη D. ϲτηη L. — 598 ὠκυρρόω N. ἅλα δὲ DH. — 599 ὀπίϲω Apoll. Lex. 30, 15. — 600 ἀναχάζετο S. εἶπε δὲ L. εἶπε τὲ N. — 602 ἔμμεναι N. — 604 Ἄρηϲ: ἀνὴρ Cram. Epim. 223, 25; 248, 30. — 605 τρῷαϲ GL. — 606 μὴ δὲ ACDHLMNO: vulgo μηδὲ. μενεαινέμεν G. — 607 ἂρ DM. ἄρ (α supra) O. τρῷεϲ GL. — 608 δύω DGHNO. — 609 ἐγχίαλόν τε O. — 610 τώδε G. — 612 ὅϲ ῥ': ὅϲ γ' O. παιϲϲῷ G. πεϲϲῶ L. Παίϲῳ Zonar. Lex. 247.

A. c. 597 ϲτήῃ, conf. H. U. 198. — 605 μενεαινέμεν: μενεαίνετε Ahrens. de hiat. Hom. leg. quibusdam generibus pg. 31. conf. Γ 459. — 609 Aristarchus Μενεϲθῆν, alii Μενέϲτην διὰ τοῦ τ. τὸ δὲ Ἀγχίαλον ψιλωτέον· κύριον γὰρ Schol. LV. conf. H. T. 416. — 612 Παιϲῷ Strabo XIII, 589. Herodianus ad B 828. Et. Mg. 119, 33.

ναῖε πολυκτήμων πολυλήιοϲ· ἀλλά ἑ μοῖρα
ἦγ' ἐπικουρήϲοντα μετὰ Πρίαμόν τε καὶ υἷαϲ.
τόν ῥα κατὰ ζωϲτῆρα βάλεν Τελαμώνιοϲ Αἴαϲ,
νειαίρῃ δ' ἐν γαϲτρὶ πάγη δολιχόϲκιον ἔγχοϲ,
δούπηϲεν δὲ πεϲών. ὁ δ' ἐπέδραμε φαίδιμοϲ Αἴαϲ
τεύχεα ϲυλήϲων· Τρῶεϲ δ' ἐπὶ δούρατ' ἔχευαν
ὀξέα, παμφανόωντα· ϲάκοϲ δ' ἀνεδέξατο πολλά.
αὐτὰρ ὁ λὰξ προϲβὰϲ ἐκ νεκροῦ χάλκεον ἔγχοϲ
ἐϲπάϲατ'· οὐδ' ἄρ' ἔτ' ἄλλα δυνήϲατο τεύχεα καλὰ
ὤμοιιν ἀφελέϲθαι· ἐπείγετο γὰρ βελέεϲϲι.
δεῖϲε δ' ὅ γ' ἀμφίβαϲιν κρατερὴν Τρώων ἀγερώχων,
οἳ πολλοί τε καὶ ἐϲθλοὶ ἐφέϲταϲαν ἔγχε' ἔχοντεϲ,
οἵ ἑ μέγαν περ ἐόντα καὶ ἴφθιμον καὶ ἀγαυὸν
ὦϲαν ἀπὸ ϲφείων· ὁ δὲ χαϲϲάμενοϲ πελεμίχθη.
ὡϲ οἱ μὲν πονέοντο κατὰ κρατερὴν ὑϲμίνην·
Τληπόλεμον δ' Ἡρακλείδην, ἠύν τε μέγαν τε,
ὦρϲεν ἐπ' ἀντιθέῳ Cαρπηδόνι μοῖρα κραταιή.
οἱ δ' ὅτε δὴ ϲχεδὸν ἦϲαν ἐπ' ἀλλήλοιϲιν ἰόντεϲ,
υἱόϲ θ' υἱωνόϲ τε Διὸϲ νεφεληγερέταο,
τὸν καὶ Τληπόλεμοϲ πρότεροϲ πρὸϲ μῦθον ἔειπε·
Cαρπῆδον, Λυκίων βουληφόρε, τίϲ τοι ἀνάγκη
πτώϲϲειν ἐνθάδ' ἐόντι μάχηϲ ἀδαήμονι φωτί;
ψευδόμενοι δέ ϲέ φαϲι Διὸϲ γόνον αἰγιόχοιο
εἶναι, ἐπεὶ πολλὸν κείνων ἐπιδεύεαι ἀνδρῶν,
οἳ Διὸϲ ἐξεγένοντο ἐπὶ προτέρων ἀνθρώπων,

V. ι. 613 πολυκτήμων πολυλήϊοϲ C. — 614 ἧκ' ἐπϊκουρήϲοντα C. — 615 ῥὰ DGL. κατα H. βάλε O. — 616 πάγεν L. — 617 δούπηϲε MNO. ὃδ' ADMNO. ὅδ' CG. — 618 τρῷεϲ GL. ἐπι AC. — 620 ὁ ACDGLMNO. προβὰϲ ACDNO Lips. — 621 ἂρ ADGMN. — 622 βελέεϲϲι CDEGHNO. — 623 κρατερὴν: κρατερῶν Apoll. Lex. 27, 20. τρῴων GL. — 625 οἵ ἑ: οἳ καὶ A. — 626 ἄπο O. ὃ δὲ CD. χαϲάμενοϲ EN. πολεμίχθη GL. — 628 ἠύν: αἰῦν M. — 630 οἵδ' ACLMNO. — 632 τόν κε LN. τοῦ δὲ Ammon. de Diff. s. v. πρότεροϲ. πρῶτοϲ Mosc. 1. προϲ A. ἔειπε CGHMNO. — 633 ϲαρπηδὼν O. Cαρπήδων Apollon. Lex. 140, 23. — 634 ἐνθάδε ὄντι E. — 635 δέ ϲε φαϲὶ CDEGHLMNO. — 636 abhinc codex A a prima manu est scriptus. πολλῶν S. — 637 οἱ A. ἐπι D.

A. c. 630 ἰόντεϲ: ἐν τῇ ἑτέρᾳ ἰόντε κεῖται Schol. L. conf. Schol. Z 121.

ἀλλ᾽ οἷόν τινά φαϲι βίην Ἡρακληείην
εἶναι, ἐμὸν πατέρα θραϲυμέμνονα θυμολέοντα,
ὅϲ ποτε δεῦρ᾽ ἐλθὼν ἕνεχ᾽ ἵππων Λαομέδοντοϲ
ἓξ οἴηϲ ϲὺν νηυϲὶ καὶ ἀνδράϲι παυροτέροιϲιν
Ἰλίου ἐξαλάπαξε πόλιν, χήρωϲε δ᾽ ἀγυιάϲ.
ϲοὶ δὲ κακὸϲ μὲν θυμόϲ, ἀποφθινύθουϲι δὲ λαοί.
οὐδέ τί ϲε Τρώεϲϲιν ὀίομαι ἄλκαρ ἔϲεϲθαι
ἐλθόντ᾽ ἐκ Λυκίηϲ, οὐδ᾽ εἰ μάλα καρτερόϲ ἐϲϲι,
ἀλλ᾽ ὑπ᾽ ἐμοὶ δμηθέντα πύλαϲ Ἀίδαο περήϲειν.
τὸν δ᾽ αὖ Ϲαρπηδών, Λυκίων ἀγόϲ, ἀντίον ηὔδα·
Τληπόλεμ᾽, ἤ τοι κεῖνοϲ ἀπώλεϲεν Ἴλιον ἱρὴν
ἀνέροϲ ἀφραδίῃϲιν ἀγαυοῦ Λαομέδοντοϲ,
ὅϲ ῥά μιν εὖ ἔρξαντα κακῷ ἠνίπαπε μύθῳ,
οὐδ᾽ ἀπέδωχ᾽ ἵππουϲ, ὧν εἵνεκα τηλόθεν ἦλθε·
ϲοὶ δ᾽ ἐγὼ ἐνθάδε φημὶ φόνον καὶ κῆρα μέλαιναν
ἐξ ἐμέθεν τεύξεϲθαι, ἐμῷ δ᾽ ὑπὸ δουρὶ δαμέντα
εὖχοϲ ἐμοὶ δώϲειν, ψυχὴν δ᾽ Ἄϊδι κλυτοπώλῳ.
ὣϲ φάτο Ϲαρπηδών, ὁ δ᾽ ἀνέϲχετο μείλινον ἔγχοϲ
Τληπόλεμοϲ. καὶ τῶν μὲν ἁμαρτῇ δούρατα μακρὰ
ἐκ χειρῶν ἤιξαν· ὁ μὲν βάλεν αὐχένα μέϲϲον
Ϲαρπηδών, αἰχμὴ δὲ διαμπερὲϲ ἦλθ᾽ ἀλεγεινή·

V. L. 638 ἀλλ᾽ οἷον A Ambr. CDEGHLMNOS: ἀλλοῖόν τινα Diodorus IV, 32; 49. τινὰ φαϲὶ DGHL. τινα φαϲὶ N. τινά φηϲϊ M. ἡρακλείην G. — 639 θραϲυμήμονα S. — 640 ὃϲ ποτὲ D. ΩϹΠΟΤЄ Ambros. — 641 ΟΙΗϹ Ambros. οἴηϲιν νηυϲὶ D. οἴῃϲι νηυϲὶ Mosc. 1. — 642 ἐξαλαπάξαι G. δ᾽ἀγυιάϲ: γυναῖκαϲ S in margine. — 644 οὐδέ τϊ ϲε ACDGLN. ita vel οὐδέ τί ϲε E Barocc. Vrat. a. b. Mosc. 1. 2. Ambrosianus. οὐδέ τιϲϊ M. οὐδ᾽ ἔτι HO. τρῴεϲϲιν GL. οἴομαι H. — 645 κρατερόϲ CH 1. man. LN. ἐϲϲὶ L. — 646 ἐμοὶ A Ambros. CDHLM Lips. Barocc. Vrat. a. ἐμοῦ GNOS Cram. An. Par. III, 303, 27. — 647 αὖ: ἂρ Mosc. 1. ηὖδα D. — 650 ἔρξαντα GNO 2. man. ῥέξαντα Vrat. a. ἠνείπαπε Lips. — 651 ὧν: τῶν A. ἕνεκα D. ἤλθε A Ambros. CDEGHMNO. — 653 δ᾽ omitt. L. ὗπο A. δαμέντα: δαμέντι N 1. man. O. — 654 ἀίδῃ N. — 655 ώϲ A. ὃ δ᾽ DHMNO ὅδ᾽ CGL. μείλινον: χάλκεον O. — 656 ἁμαρτῇ A Ambros. CGLMN Harl. Mosc. 1. ὁμαρτῇ DEO. ὁμαρτῆ HS. ὁμαρτῇ γράφεται κατά τινα τῶν ἀντιγράφων Eust. 592, 20. — 657 ἤιξαν: ΗΙΞЄΝ Ambros. —

A. c. 638 ἀλλ᾽ οἷον Aristarchus, Aristophanes, Heracleo, Philoxenus, Herodianus, Pius: ἀλλοῖον Tyrannio. ἀλλ᾽ οἷον Nicias et Parmeniscus, conf. Schol. δ 242. Ἡρακληείην: Ζηνόδοτοϲ δὲ καὶ ἀμέτρωϲ γράφει ἡρακλείην Schol. A. conf. Schol. B 658. — 656 Herodianus et Ptolemaeus ἁμαρτῇ: ἁμαρτὴ Aristarchus, conf. Herod. ad Φ 162. Zonar. Lex. 164. Eustath. 592, 19. — 657 ἤιξαν Aristarchus, conf. Ariston. ὅτι τὰ δόρατα ἤιξαν, H. T. 383 sq.

τὸν δὲ κατ᾽ ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψε.
Τληπόλεμοϲ δ᾽ ἄρα μηρὸν ἀριϲτερὸν ἔγχεϊ μακρῷ
βεβλήκειν, αἰχμὴ δὲ διέϲϲυτο μαιμώωϲα,
ὀϲτέῳ ἐγχριμφθεῖϲα, πατὴρ δ᾽ ἔτι λοιγὸν ἄμυνεν.
οἳ μὲν ἄρ᾽ ἀντίθεον Ϲαρπηδόνα δῖοι ἑταῖροι
ἐξέφερον πολέμοιο· βάρυνε δέ μιν δόρυ μακρὸν
ἑλκόμενον. τὸ μὲν οὔ τιϲ ἐπεφράϲατ᾽ οὐδὲ νόηϲε,
μηροῦ ἐξερύϲαι δόρυ μείλινον, ὄφρ᾽ ἐπιβαίη,
ϲπευδόντων· τοῖον γὰρ ἔχον πόνον ἀμφιέποντεϲ.
Τληπόλεμον δ᾽ ἑτέρωθεν ἐυκνήμιδεϲ Ἀχαιοὶ
ἐξέφερον πολέμοιο· νόηϲε δὲ δῖοϲ Ὀδυϲϲεὺϲ
τλήμονα θυμὸν ἔχων, μαίμηϲε δέ οἱ φίλον ἦτορ·
μερμήριξε δ᾽ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν
ἢ προτέρω Διὸϲ υἱὸν ἐριγδούποιο διώκοι,
ἦ ὅ γε τῶν πλεόνων Λυκίων ἀπὸ θυμὸν ἕλοιτο.
οὐδ᾽ ἄρ᾽ Ὀδυϲϲῆι μεγαλήτορι μόρϲιμον ἦεν
ἴφθιμον Διὸϲ υἱὸν ἀποκτάμεν ὀξέι χαλκῷ·
τῷ ῥα κατὰ πληθὺν Λυκίων τράπε θυμὸν Ἀθήνη.
ἔνθ᾽ ὅ γε Κοίρανον εἷλεν Ἀλάϲτορά τε Χρομίον τε
Ἄλκανδρόν θ᾽ Ἅλιόν τε Νοήμονά τε Πρύτανίν τε.
καί νύ κ᾽ ἔτι πλέοναϲ Λυκίων κτάνε δῖοϲ Ὀδυϲϲεύϲ,
εἰ μὴ ἄρ᾽ ὀξὺ νόηϲε μέγαϲ κορυθαίολοϲ Ἕκτωρ.

V. L. 659 ἐκάλυψε CEGHMNO. — 661 βεβλήκει CDGHLMNOS. βεβλήκειν A (ν 2. man. add.). — 662 ἐγχριμφθεῖϲα ACGHLNO: ἐγχριφθεῖϲα DM Vrat. b. c. Mosc. 3. δ᾽ἔτι ACEHLMNO Lips. Mosc. 1. 2. δέ τι DGS. δέ τε Vrat. a. ἄμυνε D. ἄμεινεν G. — 663 οἱ μὲν C. ἆρ DGLMNO. ἀρ A. — 664 μακρῷ Harl. — 665 ἐπεφράϲϲατ᾽ NO. οὐδὲ νόηϲεν. L. οὐδ᾽ ἐνόηϲε ACDEGMNO. vulgo οὐδ᾽ ἐνόηϲεν. — 666 ἐπιβαίῃ AG. — 668 εὐκνήμιδεϲ CDGHM. — 669 δέ μιν δῖοϲ G. — 670 μέμηϲε O. μαίηϲε H. — 671 μερμήριζε L Vrat. b. — 672 ἧ: ἢ L. προτέρωι A. ἐριγδούποιο A. διώκει M Lips. 1. man. — 673 ἢ A: ceteri ἦ. ἀπο ACDH. — 674 ἆρ DGLMNO. ἀρ A. — 675 ἀποκτάμεν᾽ LN. — 676 τῶ ACDGMNO. τω L. τῷ H. ῥὰ CLMN. κατα D. τρέπε L Mosc. 2. — 677 χρομίον τε AD: χρόμϊόν τε CEGHLMNO. — 678 τ᾽ ἅλϊόν L. ἁλῖον H. πρίτανίν L. — 679 πλείονας N. κτᾶνε D. — 680 ἆρ DGMNO. ἀρ A.

A. c. 661 ἀρίϲταρχοϲ μετὰ τοῦ ν̄ βεβλήκειν Didymus, conf. H. T. 194 sq. Annal. Gymn. Austr. 1871, pg. 499. — 665 τὸ μέν: ἔν τιϲι τό οἱ οὔτιϲ Schol. A. ἔν τιϲι τό τοι Schol. L. — 672 προτέρῳ conf. H. U. 186. — 678 Ἅλιον Herodianus: τινὲϲ δὲ καὶ τὸ Ἅλιοϲ κύριον ἐνταῦθα παροξύνουϲι Eust. 593, 34.

βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ,
δεῖμα φέρων Δαναοῖϲι· χάρη δ᾽ ἄρα οἱ προϲιόντι
Ϲαρπηδών, Διὸϲ υἱόϲ, ἔποϲ δ᾽ ὀλοφυδνὸν ἔειπε·
Πριαμίδη, μὴ δή με ἕλωρ Δαναοῖϲιν ἐάϲῃϲ
κεῖϲθαι, ἀλλ᾽ ἐπάμυνον. ἔπειτά με καὶ λίποι αἰὼν
ἐν πόλει ὑμετέρῃ, ἐπεὶ οὐκ ἄρ᾽ ἔμελλον ἐγώ γε
νοϲτήϲαϲ οἶκον δὲ φίλην ἐϲ πατρίδα γαῖαν
εὐφρανέειν ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν.
ὣϲ φάτο, τὸν δ᾽ οὔ τι προϲέφη κορυθαίολοϲ Ἕκτωρ,
ἀλλὰ παρήϊξεν λελιημένοϲ ὄφρα τάχιϲτα
ὤϲαιτ᾽ Ἀργείουϲ, πολέων δ᾽ ἀπὸ θυμὸν ἕλοιτο.
οἳ μὲν ἄρ᾽ ἀντίθεον Ϲαρπηδόνα δῖοι ἑταῖροι
εἷϲαν ὑπ᾽ αἰγιόχοιο Διὸϲ περικαλλέι φηγῷ·
ἐκ δ᾽ ἄρα οἱ μηροῦ δόρυ μείλινον ὦϲε θύραζε
ἴφθιμοϲ Πελάγων, ὅϲ οἱ φίλοϲ ἦεν ἑταῖροϲ.
τὸν δ᾽ ἔλιπε ψυχή, κατὰ δ᾽ ὀφθαλμῶν κέχυτ᾽ ἀχλύϲ·
αὖτιϲ δ᾽ ἐμπνύνθη, περὶ δὲ πνοιὴ βορέαο
ζώγρει ἐπιπνείουϲα κακῶϲ κεκαφηότα θυμόν.
Ἀργεῖοι δ᾽ ὑπ᾽ Ἄρηι καὶ Ἕκτορι χαλκοκορυϲτῇ
οὔτέ ποτε προτρέποντο μελαινάων ἐπὶ νηῶν
οὔτέ ποτ᾽ ἀντεφέροντο μάχῃ, ἀλλ᾽ αἰὲν ὀπίϲϲω
χάζονθ᾽, ὡϲ ἐπύθοντο μετὰ Τρώεϲϲιν Ἄρηα.
ἔνθα τίνα πρῶτον, τίνα δ᾽ ὕϲτατον ἐξενάριξαν

V. L. 683 ἔειπε ACGHMNO. — 684 μὴ δέ NO. ἔλωρ D. — 686 ἡμετέρῃ EM. οὐκ: οὐδ᾽ S Cant. ἂρ DGMNO. ἀρ A. — 687 οἶκον δὲ A. οἶκονδε CDHLMNO. οἴκονδε G. οἰκόνδε E. — 689 ὣϲ A. — 690 παρήϊξε EGLMNO. — 691 ἄπο CL. — 692 οἳ μὲν C. ἂρ DGLMNO. ἀρ A. — 696 δὲ λίπε Vrat. b. — 697 αὖθιϲ CE Schol. X 475. Pseudoplut. 115, 18; 160, 12. ἐμπνύνθη Schol. X 475: libri ἀμπνύνθη. ἀμπνύθη (ν supra) A. ἀμπνύϲθη Townl. γρ. ἀμπνύνθη A. περὶ δ᾽ ἓ G Mor. πνοὴ N Lips. πνοιῇ M. — 698 ζώγρει: ζώει L. κεκαφηῶτα O. — 700 οὔτέ ποτε ACGLMNO. οὐτέ ποτε D. οὐδέποτε H. ἐπὶ: ἀπὸ Ammon. de Diff. s. v. ἀπό. — 701 οὔτέ ποτ᾽ CGLMNO. οὐτέ ποτ᾽ AD. οὐδέποτ᾽ H. ἄντ᾽ ἐφέροντο A. ἀντιφέροντο G. μάχῃ: μάχην L. ὀπίϲω E. — 702 μετα A. τρῴεϲϲιν GL. — 703 ἐξενάριξαν ACGM Mor. Barocc. Harl. Lips.: ἐξενάριξεν DEHLNOS Cram. An. Par. III, 278, 16.

A. c. 695 Πελάγων: Ϲελάγων Ptolemaeus Oroandae. — 697 ἔν τιϲι διὰ τοῦ ε̅ ἐμπνύνθη γρ. ita Aristarchum scripsisse testantur Schol. X 475, ε 458. — 700 οὕτωϲ Ἀρίϲταρχοϲ ἀμφότερα διὰ τοῦ ε̅, προτρέποντο καὶ ἐπὶ νηῶν Didymus: alii προτράποντο et ἀπὸ. — 703 ἀρίϲταρχοϲ διὰ τοῦ α̅ [ἐ]ξενάριξαν Didymus.

Ἕκτωρ τε Πριάμοιο πάιϲ καὶ χάλκεοϲ Ἄρηϲ;
ἀντίθεον Τεύθραντ᾽, ἐπὶ δὲ πλήξιππον Ὀρέϲτην,
Τρῆχόν τ᾽ αἰχμητὴν Αἰτώλιον Οἰνόμαόν τε,
Οἰνοπίδην θ᾽ Ἕλενον καὶ Ὀρέϲβιον αἰολομίτρην,
ὅϲ ῥ᾽ ἐν Ὕλῃ ναίεϲκε μέγα πλούτοιο μεμηλώϲ,
λίμνῃ κεκλιμένοϲ Κηφιϲίδι· πὰρ δέ οἱ ἄλλοι
ναῖον Βοιωτοὶ μάλα πίονα δῆμον ἔχοντεϲ.
τοὺϲ δ᾽ ὡϲ οὖν ἐνόηϲε θεὰ λευκώλενοϲ Ἥρη
Ἀργείουϲ ὀλέκονταϲ ἐνὶ κρατερῇ ὑϲμίνῃ,
αὐτίκ᾽ Ἀθηναίην ἔπεα πτερόεντα προϲηύδα·
ὢ πόποι, αἰγιόχοιο Διὸϲ τέκοϲ, ἀτρυτώνη,
ἦ ῥ᾽ ἅλιον τὸν μῦθον ὑπέϲτημεν Μενελάῳ,
Ἴλιον ἐκπέρϲαντ᾽ εὐτείχεον ἀπονέεϲθαι,
εἰ οὕτω μαίνεϲθαι ἐάϲομεν οὖλον Ἄρηα.
ἀλλ᾽ ἄγε δὴ καὶ νῶι μεδώμεθα θούριδοϲ ἀλκῆϲ.
ὣϲ ἔφατ᾽, οὐδ᾽ ἀπίθηϲε θεὰ γλαυκῶπιϲ Ἀθήνη.
ἣ μὲν ἐποιχομένη χρυϲάμπυκαϲ ἔντυεν ἵππουϲ
Ἥρη, πρέϲβα θεά, θυγάτηρ μεγάλοιο Κρόνοιο·
Ἥβη δ᾽ ἀμφ᾽ ὀχέεϲϲι θοῶϲ βάλε καμπύλα κύκλα,
χάλκεα ὀκτάκνημα, ϲιδηρέῳ ἄξονι ἀμφίϲ.
τῶν ἤ τοι χρυϲέη ἴτυϲ ἄφθιτοϲ, αὐτὰρ ὕπερθε
χάλκε᾽ ἐπίϲϲωτρα προϲαρηρότα, θαῦμα ἰδέϲθαι·
πλῆμναι δ᾽ ἀργύρου εἰϲὶ περίδρομοι ἀμφοτέρωθεν.
δίφροϲ δὲ χρυϲέοιϲι καὶ ἀργυρέοιϲιν ἱμᾶϲιν

V. L. 704 ἔκτωρ τὲ ACMO. — 706 τρῆχον τόντ᾽ A. — 707 ὑπέρβιον O et γρ. ὀρέϲβῖον. — 709 κηφῖϲίδι A. κηφιϲίδι CDGHN Harl. Townl. Mosc. 2. Pausanias IX, 38, 7. Et. Mg. 500, 21; 566, 21. Eustath. 1046, 13. κϊφϊϲῖδϊ N. κεφηϲίδι M. κεφιϲϲίδι L. κηφιϲϲίδι E Strabo IX, 407; 408. Eust. 267, 20; 556, 17. conf. B 522. παρ D. οἱ, ἄλλοι A. — 711 τὸν δ᾽ M. — 712 omitt. D in textu. ἐνι A. — 713 προϲηῦδα D. — 714 ὦ AE. — 715 ἀπέϲτημεν (ὑ supra) H. — 716 ἴλϊόν τ᾽ H. ἐκπέρϲαντ᾽ (α supra) A. — 718 ἄγε δὲ M. — 720 ἣ μὲν C. ἐποιχομένη: ἐπειγομένη O. χρυϲάμπυκαϲ A. ἔντυεν ACDEGH 1. man. ἔντυνεν H ex corr. LMNOS. — 721 θεά: θεῶν N. — 722 ὀχέεϲϲι C: ὀχέεϲφι ADGHLMNOS Lips. Townl. Vrat. b. A. Mosc. 1. 2. ὄχεϲφι Vrat. a. — 723 ὀκτάκνημα A. — 724 libri ἤτοι. ὕπερθε ACGMNO. — 725 ἐπίϲωτρα GN Lips. — 727 δῖφροϲ M. χρυϲέοιϲ M Et. Mg. 279, 30. χρυϲέηϲι καὶ αργυρέηιϲιν ἱμᾶϲι D.

A. c. 708 Ὕλῃ: Ὕδῃ Zenodotus. — 725 ἔν τιϲι γρ. ὀπίϲϲωτρα διὰ τοῦ ο̅ Schol. A. conf. Υ 394, 502.

ἐντέταται, δοιαὶ δὲ περίδρομοι ἄντυγές εἰcι.
τοῦ δ' ἐξ ἀργύρεοc ῥυμὸc πέλεν· αὐτὰρ ἐπ' ἄκρῳ
δῆcε χρύcειον καλὸν ζυγόν, ἐν δὲ λέπαδνα
κάλ' ἔβαλε, χρύcει'· ὑπὸ δὲ ζυγὸν ἤγαγεν Ἥρη
ἵππουc ὠκύποδαc, μεμαυῖ' ἔριδοc καὶ ἀυτῆc.
αὐτὰρ Ἀθηναίη, κούρη Διὸc αἰγιόχοιο,
πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸc ἐπ' οὔδει,
ποικίλον, ὅν ῥ' αὐτὴ ποιήcατο καὶ κάμε χερcίν·
ἡ δὲ χιτῶν' ἐνδῦcα Διὸc νεφεληγερέταο
τεύχεcιν ἐc πόλεμον θωρήccετο δακρυόεντα.
ἀμφὶ δ' ἄρ' ὤμοιcιν βάλετ' αἰγίδα θυccανόεccαν,
δεινήν, ἣν πέρι μὲν πάντῃ φόβοc ἐcτεφάνωται,
ἐν δ' ἔριc, ἐν δ' ἀλκή, ἐν δὲ κρυόεccα ἰωκή,
ἐν δέ τε Γοργείη κεφαλὴ δεινοῖο πελώρου,
δεινή τε cμερδνή τε, Διὸc τέραc αἰγιόχοιο.
κρατὶ δ' ἐπ' ἀμφίφαλον κυνέην θέτο τετραφάληρον,
χρυcείην, ἑκατὸν πολίων πρυλέεcc' ἀραρυῖαν.
ἐc δ' ὄχεα φλόγεα ποcὶ βήcετο, λάζετο δ' ἔγχοc
βριθὺ μέγα cτιβαρόν, τῷ δάμνηcι cτίχαc ἀνδρῶν
ἡρώων, τοῖcίν τε κοτέccεται ὀβριμοπάτρη.

V. L. 728 εἰcι AC. ἄντυγεc εἰcὶ DGHL(εἰcὶν)MO. ἄντυγεc ἀμφὶc N. — 729 ἐξαργύρεοc D. ἄκρῳ: αὐτῷ D. — 730 δῆcεν D. — 731 κάλλ' M. καδδ' ἔβαλεν H. χρύcεια D. χρύcεα O. ἤγαγεν: ἔβαλεν M. γρ. ἤραρεν Vrat. b. in marg. — 734 ἑανὸν N. ἐπούδα M. — 735 χερcὶ M. — 736 ἣ δὲ CD. νεφεληγερέταο A. — 737 εἰc E. θωρήcετο G. — 738 ἆρ GLN. ἀρ A. ἄρ D. ὤμοιcι DEGMO. βάλετ': βάλεν O. βάλ' Lips. αἰγίδα: ἀcπίδα Mor. et Barocc. in marg. θυcανόεccαν E 600, 25 Lips. θυcανόεccαν A. — 739 περὶ CDEMN. ἐcτεφάνωται AEHLM Harl. Vrat. c. A. Mosc. 2. 3.: ἐcτεφάνωτο CDGNO Lips. ἐcτεφάνωτο (αι) S. — 740 ἓν δ' ἔριc A. δὲ κρυόεccα: δ' ὀκρυόεccα G. — 744 πόλεων CDEGHLMNS Schol. Δ 308. Hesych. II, 40: πολίων O. πολίων (ε) A. πρϋλλέεcc' M. — 745 ποccὶ G. βήcατο O. — 746 τῷ: ᾧ E. δάμνηcι CDEGLMNO: δάμνηcι AH. — 747 τοῖcι GNO Lips. οἷcιν τε L. τοῖcιν δὲ H. δὲ O. ὀβριμοπάτρη A. ὀμβριμοπάτρη C.

A. c. 734, 735 asterisci. οὐ δεόντωc Θ 385, 386. ὁ δὲ Ζηνόδοτοc τούτουc μὲν ἀθετεῖ, ἐκείνουc δὲ καταλείπει Aristonicus, sed conf. Didymum, qui Θ 385 adnotavit ἠθέτει δὲ καὶ Ἀριcτοφάνηc, Ζηνόδοτοc δὲ οὐδὲ ἔγραφεν. — 736 ἣ δὲ Herodianus cum Aristarcho: alii ἠδὲ, conf. Ariston. ad O 127. — 739 πέρι Herodianus. — 744 πόλεων Herodianus ad Δ 308. — 746 δάμνηcι Dion. Sidonius: δάμνηcι Aristarchus. — 746, 747 εἰc τὴν Ὀδύccειαν (α 100, 101) μετάκεινται, itaque asterisci, conf. Schol. α 99.

Ἥρη δὲ μάcτιγι θοῶc ἐπεμαίετ' ἄρ' ἵππουc·
αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ, ἃc ἔχον Ὧραι,
τῇc ἐπιτέτραπται μέγαc οὐρανὸc Οὔλυμπόc τε,
ἠμὲν ἀνακλῖναι πυκινὸν νέφοc ἠδ' ἐπιθεῖναι.
τῇ ῥα δι' αὐτάων κεντρηνεκέαc ἔχον ἵππουc.
εὗρον δὲ Κρονίωνα θεῶν ἄτερ ἥμενον ἄλλων
ἀκροτάτῃ κορυφῇ πολυδειράδοc Οὐλύμποιο.
ἔνθ' ἵππουc cτήcαcα θεὰ λευκώλενοc Ἥρη
Ζῆν' ὕπατον Κρονίδην ἐξείρετο καὶ προcέειπε·
Ζεῦ πάτερ, οὐ νεμεcίζῃ Ἄρῃ τάδε καρτερὰ ἔργα,
ὁccάτιόν τε καὶ οἷον ἀπώλεcε λαὸν Ἀχαιῶν
μάψ, ἀτὰρ οὐ κατὰ κόcμον, ἐμοὶ δ' ἄχοc· οἳ δὲ ἕκηλοι
τέρπονται Κύπρίc τε καὶ ἀργυρότοξοc Ἀπόλλων
ἄφρονα τοῦτον ἀνέντεc, ὃc οὔ τινα οἶδε θέμιcτα;
Ζεῦ πάτερ, ἦ ῥά τί μοι κεχολώcεαι, αἴ κεν Ἄρηα
λυγρῶc πεπληγυῖα μάχηc ἐξ ἀποδίωμαι;
τὴν δ' ἀπαμειβόμενοc προcέφη νεφεληγερέτα Ζεύc·
ἄγρει μάν οἱ ἔπορcον Ἀθηναίην ἀγελείην,
ἥ ἑ μάλιcτ' εἴωθε κακῇc ὀδύνῃcι πελάζειν.

V. L. 748 ἐπεμαίετ' ἄρ: ἐπεμαίετο E. ἆρ DGLMNO. ἀρ A. — 749 αὐτόμαται libri cum Et. Mg. 579, 13. Cram. Epim. 281, 21. Rhet. Gr. II, 361, 10: αὐτόματοι E Rhet. Gr. II, 407, 26. Eust. 1148, 29; 1901, 4. μῦκον GM. — 750 τῆc' O. ταῖc G. τῆc κ' H. τῇcιν D. — 752 ῥὰ LMNO. κεντρηνεκέαc L. — 753 εὗρον δ' εὐρύοπα θεῶν ἄτερ N conf. A 498. — 754 πολυδειράδοc A. ὀλύμποιο E. — 756 ἐξείρετο ADEGHMOS Cant. Barocc. Harl. Vrat. A. Mosc. 1.: ἐξήρετο CLN Lips. προcέειπε ADGHLMNO: μετέειπεν E. μετέειπε Mosc. 2. — 757 ἄρῃ ADHN ex corr. Vrat. 1. (sic) Mosc. 1. 2. ceteri ἄρει Harl. ἄρει et ἄρῃ. ὦ πάτερ οὐ νεμεcίζει ὁρῶν τάδε ἔργ' ἀΐδηλα Apoll. Lex. 16, 31. κρατερὰ CDGMNO Lips. τάδ' ἀΐδηλ' ἔργα S. τάδε ἔργ' ἀΐδηλα Cant. Harl. — 758 ὅc|||τοιόντε καὶ οἷον G post ras. ὁccάτιόν (sic) H. — 759 κατα D. οἳ δὲ C. — 760 τὲ καὶ CN. — 762 ἦ ῥα τί μοι DGHMO. ῥὰ N. — 763 ἐξαποδίωμαι CDEGHLMNO. — 764 τὴν δ' ἠμείβετ' ἔπειτα πατὴρ ἀνδρῶν τε θεῶν τε LS Cant. Vrat. b. Mosc. 1. — 765 μήν οἱ G. νῦν μοι et ἀγελίην Apoll. Lex. 6, 20. — 766 κακαῖc ὀδύναιcι G.

A. c. 757 ἄρῃ non ἄρει hic et Φ 112, 431 cum melioribus libris est scribendum. καρτερὰ ἔργα, οὕτωc ἀρίcταρχοc, ἄλλοι δὲ τάδε ἔργ' ἀΐδηλα Didymus. — 763 ἐξ ἀποδίωμαι scripsi propter caesuram bucolicam quae dicitur, conf. Β 84, Δ 230, Ε 157, 332, Π 96, 252, Ρ 207, Υ 212, 221, 329, Χ 444, Ψ 477, α 247, ε 335, λ 201. — 764 ἡ διπλῆ, ὅτι ἔνιοι γράφουcι „τὴν δ' αὖτε προcέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε“, unde colligi potest alteram scripturam esse Aristarcheam.

ὣϲ ἔφατ', οὐδ' ἀπίθηϲε θεὰ λευκώλενοϲ Ἥρη,
μάϲτιξεν δ' ἵππουϲ· τὼ δ' οὐκ ἀέκοντε πετέϲθην
μεϲϲηγὺϲ γαίηϲ τε καὶ οὐρανοῦ ἀϲτερόεντοϲ.
ὅϲϲον δ' ἠεροειδὲϲ ἀνὴρ ἴδεν ὀφθαλμοῖϲιν
ἥμενοϲ ἐν ϲκοπιῇ, λεύϲϲων ἐπὶ οἴνοπα πόντον,
τόϲϲον ἐπιθρῴϲκουϲι θεῶν ὑψηχέεϲ ἵπποι.
ἀλλ' ὅτε δὴ Τροίην ἷξον ποταμώ τε ῥέοντε,
ἧχι ῥοὰϲ Cιμόειϲ ϲυμβάλλετον ἠδὲ Cκάμανδροϲ,
ἔνθ' ἵππουϲ ἔϲτηϲε θεὰ λευκώλενοϲ Ἥρη
λύϲαϲ' ἐξ ὀχέων, περὶ δ' ἠέρα πουλὺν ἔχευε·
τοῖϲιν δ' ἀμβροϲίην Cιμόειϲ ἀνέτειλε νέμεϲθαι.
αἳ δὲ βάτην τρήρωϲι πελειάϲιν ἴθμαθ' ὁμοῖαι,
ἀνδράϲιν Ἀργείοιϲιν ἀλεξέμεναι μεμαυῖαι.
ἀλλ' ὅτε δή ῥ' ἵκανον ὅθι πλεῖϲτοι καὶ ἄριϲτοι
ἕϲταϲαν, ἀμφὶ βίην Διομήδεοϲ ἱπποδάμοιο
εἰλόμενοι, λείουϲιν ἐοικότεϲ ὠμοφάγοιϲιν
ἢ ϲυϲὶ κάπροιϲιν, τῶν τε ϲθένοϲ οὐκ ἀλαπαδνόν,
ἔνθα ϲτᾶϲ' ἤυϲε θεὰ λευκώλενοϲ Ἥρη,
Cτέντορι εἰϲαμένη μεγαλήτορι, χαλκεοφώνῳ,
ὃϲ τόϲον αὐδήϲαϲχ', ὅϲον ἄλλοι πεντήκοντα·

V. l. 767 ὡϲ A. — 768 μάϲτιξε GNO. μάϲτιζεν Lips. ἀέκοντε GN Vrat. a. ceteri ἄκοντε, conf. 366. ἄκοντ' ἐπετέϲθην A, perperam, conf. H. U. 77 et 113. — 769 τε omitt. G. — 770 ὅϲϲόν τ' H. εἶδεν D. 1. man. (?) G. — 771 λεύϲων CG. — 772 ἐπιθρώϲκουϲι A Ambr. CDEGHLMNOS: ἔπι θρώϲκουϲι nullus. ὑψηχέεϲ A. ὑψηυχέεϲ L. ὑψαυχέεϲ G ex corr. Mosc. 1. ὑψαύχενεϲ quod ex Longino afferunt est glossema, conf. Schol. B et Et. Mg. 785, 50 ὑψηχέεϲ ἵπποι: παρὰ τὸ εἰϲ ὕψοϲ ἀναφέρειν τὸν ἦχον τῶν ποδῶν, ἢ μεγαλόφωνοι, ἢ ὑψαύχενεϲ. Suidas et Zonar. Lex. 1791. ὑψηχήϲ: ὁ ὑψαύχην. — 773 ἶξον ADLM. — 774 ἧχι CDGLMNO: ἦχι AH. Schol. Υ 138. Rhet Gr. III, 101, 22; 154, 20. Io. Alexandr. 5, 25. Cram. An. Ox. III, 369, 11. Suidas I, 1, 230, 7. HIXI Ambros. ἔνθα Schol. Q ad κ 513. ϲυμβάλετον GO. κάμανδροϲ C post ras. GLM Mor. Barocc. Harl. Vrat. A. Io. Alex. 5, 25. — 776 ΛΥCΑC Ambros. πολὺν DGMO. ἔχευε NO. — 777 τοῖϲι CEGL 1. man. NO Lips. ἀβροϲίην L. ἀμβροϲίηϲ D. νέμεϲθαι: νέεϲθαι M. — 778 αἳ: libri αἱ. τὼ Schol. Soph. El. 977. Oed. Colon. 1676. Eurip. Alc. 924. Zonar. Lex. 758. πελειᾶϲιν D. ὁμοῖαι: ὁμοίω Schol. Eurip. Alc. 924. — 781 ἔϲταϲαν DL. ἀμφι D. — 782 εἰλόμενοι GM. εἰλούμενοι A. λέουϲιν D. ὠμοφάγοιϲι D. — 783 κάπροιϲι CDEGMNO Lips. οὐ καλαπαδνόν A. — 785 εἰϲαμένη: εἰδομένη HS Cant. Vrat. b. εἰϲομένη L. — 786 ὃϲ: ἢ S. αὐδήϲαϲ, χ' L.

A. c. 774 ἦχι Aristarchus et Dionysius, conf. ad A 607. — 786 ἔν τιϲιν οὐκ ἦν ὁ ϲτίχοϲ Schol. BL. ἄλλοι δέ φαϲιν ἐν πολλοῖϲ τῶν ἀντιγράφων μὴ κεῖϲθαι τὸν ϲτίχον Eust. 607, 30.

αἰδὼϲ Ἀργεῖοι, κάκ' ἐλέγχεα, εἶδοϲ ἀγητοί·
ὄφρα μὲν ἐϲ πόλεμον πωλέϲκετο δῖοϲ Ἀχιλλεύϲ,
οὐδέ ποτε Τρῶεϲ πρὸ πυλάων Δαρδανιάων
οἴχνεϲκον· κείνου γὰρ ἐδείδιϲαν ὄβριμον ἔγχοϲ·
νῦν δὲ ἑκὰϲ πόλιοϲ κοίληϲ ἐπὶ νηυϲὶ μάχονται.
ὣϲ εἰποῦϲ' ὤτρυνε μένοϲ καὶ θυμὸν ἑκάϲτου.
Τυδείδῃ δ' ἐπόρουϲε θεὰ γλαυκῶπιϲ Ἀθήνη·
εὗρε δὲ τόν γε ἄνακτα παρ' ἵπποιϲιν καὶ ὄχεϲφιν
ἕλκοϲ ἀναψύχοντα, τό μιν βάλε Πάνδαροϲ ἰῷ.
ἱδρὼϲ γάρ μιν ἔτειρεν ὑπὸ πλατέοϲ τελαμῶνοϲ
ἀϲπίδοϲ εὐκύκλου· τῷ τείρετο, κάμνε δὲ χεῖρα,
ἂν δ' ἴϲχων τελαμῶνα κελαινεφὲϲ αἷμ' ἀπομόργνυ.
ἱππείου δὲ θεὰ ζυγοῦ ἥψατο φώνηϲέν τε·
ἦ ὀλίγον οἷ παῖδα ἐοικότα γείνατο Τυδεύϲ.
Τυδεύϲ τοι μικρὸϲ μὲν ἔην δέμαϲ, ἀλλὰ μαχητήϲ.
καί ῥ' ὅτε πέρ μιν ἐγὼ πολεμίζειν οὐκ εἴαϲκον
οὐδ' ἐκπαιφάϲϲειν, ὅτε τ' ἤλυθε νόϲφιν Ἀχαιῶν
ἄγγελοϲ ἐϲ Θήβαϲ πολέαϲ μετὰ Καδμείωναϲ,
δαίνυϲθαί μιν ἄνωγον ἐνὶ μεγάροιϲιν ἕκηλον·

V. l. 787 ἐλέγχεα: ἐλεγχέεϲ L. ἀγητοί: ἄριϲτοι L. — 788 ἐϲ: εἰϲ O. — 789 τρῷεϲ GL. προ A. δαρδανείων M. δαρδανίων Lips. Δαρδανιδάων Pseudoplut. 103, 33. — 790 ῴχνεϲκον Cant. ὄμβριμον CG Barocc. — 791 δὲ ἑκὰϲ ACELMNOS Cant. Harl. Townl. Mosc. 1. 2. 3. Vrat. b. δ' ἑκὰϲ D Lips. δ' ἕκαθεν GH. κοίλαιϲ G. ἐπι A. — 792 ὡϲ A. εἰπὼν H 1. man. — 793 τυδείδην NS. — 794 τόν γε: τόντε H. τόνδε O. ἵπποιϲι DGMNO. ὄχεϲφι CO. — 797 εὐκύκλου ἢ ἀμφιβρότηϲ E 608, 33, conf. Β 398, Μ 402, Υ 281. ἐϋκύκλου C. τείρετο LNOS: τρίβετο CDGHM
ριβ
Barocc. Harl. Vrat. b. in marg. Mosc. 1. 2. τείρετο A. τείρετο ἢ τρίβετο E 608, 34. δὲ χερϲι D. — 798 ἀν CDGL. ἄν τ' Vrat. a. ἰϲχὼν Mosc. 3. ἀϲχὼν Vrat. c. ἀπομόργνυ ACGLNO Lips. Vrat. a. b. A. Mosc. 2. ἀπεμόργνυ DEHMS. — 800 ὀλίγον οἷ AG Apoll. de Pron. 44 C; 52 B; 53 A; 103 C. Et. Mg. 616, 28; 621, 45. Et. Gud. 420, 45. Schol. Pind. Ol. I, 55; Nem. X, 147. Schol. Aristoph. Pac. 763; Av. 1635: ὀλίγον οἱ CDEHLNO Apoll. de Synt. 143, 28. Et. Gud. 425, 42. Zonar. Lex. 1441. Phot. Lex. 239. Suidas II, 1, 1080, 16; 1081, 12; II, 2, 149, 20. Schol. Pind. Ol. XI, 26. ὀλίγόν οἱ M. παῖδ' C. — 802 πολεμίζειν Eust. et Et. Mg. 658, 8 cum omnibus fere libris: πολεμιζέμεν H. — 803 ἐκπεφάϲϲειν G. ἐκπε^{αι}-φάϲϲειν M. — 804 πολλέαϲ D. μετα A. — 805 ἐνι A.

A. c. 787 ἐλέγχεα: ἐλεγχέεϲ Aristarchus ut Δ 242, Ω 239; sed. conf. Β 235, Ω 260. ἀγητοί et ἄριϲτοι Aristarchus, διχῶϲ. — 791 Zenodotus et Aristophanes δὲ ἑκὰϲ: δ' ἕκαθεν Aristarchus, conf. Didym. ad Ν 107. — 797 ἀρίϲταρχοϲ τῷ τείρετο, ἄλλοι δὲ τῷ τρίβετο Didymus.

αὐτὰρ ὃ θυμὸν ἔχων ὃν καρτερόν, ὡς τὸ πάρος περ,
κούρους Καδμείων προκαλίζετο, πάντα δ' ἐνίκα
ῥηιδίως· τοίη οἱ ἐγὼν ἐπιτάῤῥοθος ἦα.
σοὶ δ' ἦ τοι μὲν ἐγὼ παρά θ' ἵσταμαι ἠδὲ φυλάσσω,
καί σε προφρονέως κέλομαι Τρώεσσι μάχεσθαι·
ἀλλά σευ ἢ κάματος πολυάιξ γυῖα δέδυκεν,
ἤ νύ σέ που δέος ἴσχει ἀκήριον· οὐ σύ γ' ἔπειτα
Τυδέος ἔκγονός ἐσσι δαΐφρονος Οἰνεΐδαο.
τὴν δ' ἀπαμειβόμενος προσέφη κρατερὸς Διομήδης·
γιγνώσκω σε θεά, θύγατερ Διὸς αἰγιόχοιο·
τῶ τοι προφρονέως ἐρέω ἔπος οὐδ' ἐπικεύσω.
οὔτέ τί με δέος ἴσχει ἀκήριον οὔτέ τις ὄκνος,
ἀλλ' ἔτι σέων μέμνημαι ἐφετμέων, ἃς ἐπέτειλας.
οὔ μ' εἴας μακάρεσσι θεοῖς ἀντικρὺ μάχεσθαι
τοῖς ἄλλοις· ἀτὰρ εἴ κε Διὸς θυγάτηρ Ἀφροδίτη
ἔλθῃσ' ἐς πόλεμον, τήν γ' οὐτάμεν ὀξέι χαλκῷ.
τοὔνεκα νῦν αὐτός τ' ἀναχάζομαι ἠδὲ καὶ ἄλλους
Ἀργείους ἐκέλευσα ἀλήμεναι ἐνθάδε πάντας·
γιγνώσκω γὰρ Ἄρηα μάχην ἀνὰ κοιρανέοντα.
τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·

V. L. 806 ὃ ACDGHLMNO. κρατερὸν CDGHNO Lips. τοπάρος O. τοπάρος GL post ras. N. — 807 δέ, νίκα D. — 808 τοίη οἱ ADHLMNOS Lips. Harl. Vrat. A. οἳ Cant. τοίη τοι CE Townl. Vrat. c. Mosc. 3. τοίη δὴ G. ἐγὼ DLOS. — 809 ✱ δ' ἦ τοι: libri δ' ἤτοι. H Lips. δὴ τοι. παρά θ': παραδ' H. — 810 καὶ σὲ G. — 811 ἀλλὰ σεῦ D. ἀλλά σε G. πολυάϊξ ACDEGHLMNO Schol. O 709. δέδϋικεν C. λέλυκεν L. — 812 νύ σε που CDNO. νύ σε ποῦ GM. νυ σέ που E. ἴσχει: ἔχει G. — 813 Τυδέως E. ἔκγονος ἐσσὶ GL. ἔγγονος Vrat. b. οἰνίδαο DG. — 815 γιγνώσκω LN: γινώσκω ACDEGHMO. — 816 τῶ ACDGHL. τῷ E. τώ MNO. — 817 οὔτέ τι AMNO. οὔτέ τί CH. οὐτέ τι GL. ἴσχει: ἔχει G. οὔτέ τις ACMNO. οὐτέ τις GL. οὐδέ τις H. — 818 σέων: σῶν ACDEGHLMNOS. σὴν et ἐφετμὴν ἃς ἐπέτελλεν Schol. Z 129. — 819 θεοῖσιν DL. — 821 ἔλθῃσ': ἔλθῃ LMO Vrat. b. ἔλθῃσιν G. εἰς O. τήν γ': τὴν L. — 824 γιγνώσκω LN: γινώσκω ACDEGHMO Apoll. Lex. 30, 21. ἀνὰ A. ἄνα Apoll. Lex. 30, 21. ἀνακοιρανέοντα CDEGHLMNO.

A. c. 807 ὅτι Ζηνόδοτος ὑποτάσσει τούτῳ στίχον „ῥηϊδίως, τοίη οἱ ἐγὼν ἐπίταῤῥοθος ἦα“ Aristonicus. — 808 τοῦτον τὸν στίχον οὐχ εὑρῆσθαι καθόλου φασὶν ἐν ταῖς Ἀριστάρχου Didymus, conf. Δ 390, cui versui asteriscus est adpictus. — 814 ὅτι ἔνιοι „τὴν δ' αὖτε προσέειπε [βοὴν ἀγαθὸς]“ Aristonicus. — 818 Ἀρίσταρχος σέων γράφει Schol. LV. conf. M 424 αὐτέων, O 656 πρωτέων, B 131, I 544 πολλέων. — 821 τήν γ': τήν, conf. ad 132. — 824 ἀνά, non ἄνα, Aristarchus.

Τυδεΐδη Διόμηδες, ἐμῷ κεχαρισμένε θυμῷ,
μήτε σύ γ' Ἄρηα τό γε δείδιθι μήτέ τιν' ἄλλον
ἀθανάτων· τοίη τοι ἐγὼν ἐπιτάῤῥοθός εἰμι.
ἀλλ' ἄγ' ἐπ' Ἄρηι πρώτῳ ἔχε μώνυχας ἵππους,
τύψον δὲ σχεδίην μὴ δ' ἅζεο θοῦρον Ἄρηα
τοῦτον μαινόμενον, τυκτὸν κακόν, ἀλλοπρόσαλλον,
ὃς πρῴην μὲν ἐμοί τε καὶ Ἥρῃ στεῦτ' ἀγορεύων
Τρωσὶ μαχήσεσθαι, ἀτὰρ Ἀργείοισιν ἀρήξειν,
νῦν δὲ μετὰ Τρώεσσιν ὁμιλεῖ, τῶν δὲ λέλασται.
ὣς φαμένη Σθένελον μὲν ἀφ' ἵππων ὦσε χαμᾶζε
χειρὶ πάλιν ἐρύσασ'· ὃ δ' ἄρ' ἐμμαπέως ἀπόρουσεν.
ἣ δ' ἐς δίφρον ἔβαινε παραὶ Διομήδεα δῖον
ἐμμεμαυῖα θεά· μέγα δ' ἔβραχε φήγινος ἄξων
βριθοσύνῃ· δεινὴν γὰρ ἄγεν θεὸν ἄνδρά τ' ἄριστον.
λάζετο δὲ μάστιγα καὶ ἡνία Παλλὰς Ἀθήνη·
αὐτίκ' ἐπ' Ἄρηι πρώτῳ ἔχε μώνυχας ἵππους.
ἦ τοι ὃ μὲν Περίφαντα πελώριον ἐξενάριζεν,
Αἰτωλῶν ὄχ' ἄριστον, Ὀχησίου ἀγλαὸν υἱόν·
τὸν μὲν Ἄρης ἐνάριζε μιαιφόνος· αὐτὰρ Ἀθήνη

V. L. 827 μή τϊ σύγ' M. τό γε ACDGHLN Mor. Barocc. Vrat. b. A. Mosc. 1. 2. τόνγε EO Townl. Vrat. a. τόνδε S Cant. Lips. Mosc. 3. τὸν M Harl. μήτέ τιν' ACDGHLMNO Bekk. An. 835, 23. ἄλλον: ἄλλων Cant. Vrat. a. — 828 ἐγὼ O. — 829 ἀλλά γ' H. — 830 μὴ δ' ACDGHLMNO. ἅζεο GN Lips. — 831 ἀλλοπρόσαλλον AC. — 832 πρῴην AEG: ceteri πρώην. πρῶτον Schol. B 14, P 24. ἐμοί τε: ἔμοιγε Schol. B 12. — 833 τρωσὶ L. μαχήσασθαι HLO Vrat. A. Mosc. 3. μαχέσθαι (σα supra) G. μαχέσασθαι Vrat. a. αὐτὰρ M. — 834 μετα A. λέλησται G. — 835 ὡς A. καθ' ἵππων N. χαμᾶζε AE: χαμάζε CDGHLMNO. — 836 ἐρύσασα D. ὃ δ' LMNO. ὅδ' CG. ἂρ GLMNO. ἀρ A. ἐμμαπέως: γρ. ἐμμεμαὼς Vrat. b. in marg. ἐπόρουσεν N. — 837 ἣδ' CGLMNO. παρὰ OS 1. man. — 838 φήγινος libri cum Apoll. Lex. 162, 9: πήδινος Et. Mg. 669, 40. Hesych. III, 330. — 839 ἄγε NO Lips. ἆγε θεάν G. — 840 δέ: δὴ G 2. man. γὰρ H. — 841 πρῶτα L. post hunc in C insertus est versus, qui legitur 846. in A ordo est 841, 846, 842—845, 847 adscripto ad vs. 846. scholio „ἐν ἄλλῳ οὗτος ὁ στίχος μετὰ τέσσαρας στίχους κεῖται“. — 842 ὃ μὲν C. ἐξενάριζεν AD: ἐξενάριξεν CGHLMNOS. — 844 ἐνάριζε ACHL Vrat. b. a. Townl.: ἐνάριξε D(ξεν)GNOS Cant. Lips. Harl. Vrat. a. c. ἐξενάριξε M.

A. c. 832 πρῴην, conf. H. U. 218. — 838 οἱ δὲ παλαιοὶ ἀντὶ τοῦ φήγινος „πήδινος“ γράφουσιν Eust. 613, 9. — 838, 839 ἀθετοῦνται Aristonicus. — 839 διὰ τοῦ δὲ αἱ ἀριστάρχου ἄνδρα δ' ἄριστον Didymus. — 842 ἐξενάριζεν Aristarchus: ὅτι τινὲς γράφουσιν ἐξενάριξεν Aristonicus, in his Zenodotum fuisse suspicor, conf. Ariston. ad Λ 368. — 844 ἐνάριζε Aristarchus, cf. Ariston. ad 842.

δῦν᾽ Ἄϊδος κυνέην, μή μιν ἴδοι ὄβριμος Ἄρης.
  ὡς δὲ ἴδε βροτολοιγὸς Ἄρης Διομήδεα δῖον,
ἤ τοι ὃ μὲν Περίφαντα πελώριον αὐτόθ᾽ ἔαςε
κεῖςθαι, ὅθι πρῶτον κτείνων ἐξαίνυτο θυμόν,
αὐτὰρ ὃ βῆ ῥ᾽ ἰθὺς Διομήδεος ἱπποδάμοιο.
οἳ δ᾽ ὅτε δὴ ςχεδὸν ἦςαν ἐπ᾽ ἀλλήλοιςιν ἰόντες,
πρόςθεν Ἄρης ὠρέξαθ᾽ ὑπὲρ ζυγὸν ἡνία θ᾽ ἵππων
ἔγχεϊ χαλκείῳ μεμαὼς ἀπὸ θυμὸν ἑλέςθαι·
καὶ τό γε χειρὶ λαβοῦςα θεὰ γλαυκῶπις Ἀθήνη
ὦςεν ὑπ᾽ ἐκ δίφροιο ἐτώςιον ἀϊχθῆναι.
δεύτερος αὖθ᾽ ὡρμᾶτο βοὴν ἀγαθὸς Διομήδης
ἔγχεϊ χαλκείῳ· ἐπέρειςε δὲ Παλλὰς Ἀθήνη
νείατον ἐς κενεῶνα, ὅθι ζωννύςκετο μίτρην·
τῇ ῥά μιν οὖτα τυχών, διὰ δὲ χρόα καλὸν ἔδαψεν,
ἐκ δὲ δόρυ ςπάςεν αὖτις. ὃ δ᾽ ἔβραχε χάλκεος Ἄρης,
ὅςςόν τ᾽ ἐννεάχιλοι ἐπίαχον ἢ δεκάχιλοι
ἀνέρες ἐν πολέμῳ ἔριδα ξυνάγοντες ἄρηος·
τοὺς δ᾽ ἄρ᾽ ὑπὸ τρόμος εἷλεν Ἀχαιούς τε Τρῶάς τε
δείςαντας· τόςον ἔβραχ᾽ Ἄρης ἆτος πολέμοιο.
  οἵη δ᾽ ἐκ νεφέων ἐρεβεννὴ φαίνεται ἀὴρ
καύματος ἒξ ἀνέμοιο δυςαέος ὀρνυμένοιο,

V. l. 845 ὀμβριμος C. — 846 omitt. M, conf. ad 841. δὲ εἶδε D. δὲ οἶδε G Vrat. A. δ᾽ εἶδε H ex corr. δ᾽ εἶδε Vrat. b. — 847 ἔαςε ACGMNO. — 848 κεῖςθ᾽ ὅθι πρῶτον μϊν NS. κεῖςθ᾽ ὅθι μιν πρῶτον Cant. πρῶτα C. ἐξένυτο G. — 849 δ ACDGHLMNO. ῥὰ NS. — 850 οἵδ᾽ CGLMNO. — 852 ἀπο ACDHL. ἑλέςθαι A Ambr. NS Cant. Harl.: ὀλέςςαι CDGHLMO. γρ. ὀλέςςαι A. — 853 τό γε: τότε Harl. Townl. — 854 ὑπ᾽ ἐκ CDEGHMO. ΥΠ᾽ ЄΚ Ambros. ὑπὲκ N. ὑπεκ G. ἀπ᾽ ἐκ Vrat A. ὑπὲρ A. — 855 δεύτερον DS Cant. ὁρμᾶτο MN. — 856 ἐπέρειςε (η supra ει) N. ἐπέρεξε Vrat. a. — 857 ζωνύςκετο DE bis LMN Lips. Vrat. c. Mosc. 2. μίτρην omnes libri cum Hesych. II, 260. — 858 τῇ ῥά μιν: ἔνθα μιν E. οὔτα G. δια AD. — 859 ἐν δὲ A. αὖθις C. ὅδ᾽ CLMNO. — 860 ἐννεάχιλοι AG. ἐννεάχειλοι S. γρ. ἐννεάχειλοι O. δεκάχειλοι S. γρ. δεκάχειλοι O, conf. Eust. 614, 44. — 861 ςυνάγοντες E bis. — 862 ἄρ ADGLNO. ὑπο CDHLMN. τρῷας G. — 863 τόςςον DO Mor. — 864 ἐρεβενὴ G. — 865 ἐξ EGHLMNO.

A. c. 857 Herodianus μίτρην: μίτρῃ Aristarchus. ἔν τιςι τῶν ὑπομνημάτων „ὅθι ςτελλέςκετο μίτρῃ“ Didymus. Homerus et accusativo (Ξ 181, Ψ 140) et dativo (Κ 77, ς 67) ζώννυςθαι iungit. — 860 Aristophanes ἐννεάχιλοι: ἐννεάχειλοι et δεκάχειλοι Aristarchus, conf. Schol. V ad Ξ 148. ὅςςόν τ᾽: ὅςςον δ᾽ Aristophanes, ibidem. — 862 βαρυτονητέον τὴν ὑπό Herodianus.

τοῖος Τυδεΐδῃ Διομήδεϊ χάλκεος Ἄρης
φαίνεθ᾽ ὁμοῦ νεφέεςςιν ἰὼν εἰς οὐρανὸν εὐρύν.
καρπαλίμως δ᾽ ἵκανε θεῶν ἕδος, αἰπὺν Ὄλυμπον,
πὰρ δὲ Διὶ Κρονίωνι καθέζετο θυμὸν ἀχεύων,
δεῖξεν δ᾽ ἄμβροτον αἷμα καταῤῥέον ἐξ ὠτειλῆς,
καί ῥ᾽ ὀλοφυρόμενος ἔπεα πτερόεντα προςηύδα·
  Ζεῦ πάτερ, οὐ νεμεςίζῃ ὁρῶν τάδε καρτερὰ ἔργα;
αἰεί τοι ῥίγιςτα θεοὶ τετληότες εἰμὲν
ἀλλήλων ἰότητι, χάριν ἄνδρεςςι φέροντες.
ςοὶ πάντες μαχόμεςθα· ςὺ γὰρ τέκες ἄφρονα κούρην,
οὐλομένην, ᾗ τ᾽ αἰὲν ἀήςυλα ἔργα μέμηλεν.
ἄλλοι μὲν γὰρ πάντες, ὅςοι θεοί εἰς᾽ ἐν Ὀλύμπῳ,
ςοί τ᾽ ἐπιπείθονται καὶ δεδμήμεςθα ἕκαςτος·
ταύτην δ᾽ οὔτ᾽ ἔπεϊ προτιβάλλεαι οὔτέ τι ἔργῳ,
ἀλλ᾽ ἀνιεῖς, ἐπεὶ αὐτὸς ἐγείναο παῖδ᾽ ἀΐδηλον·
ἣ νῦν Τυδέος υἱόν, ὑπερφίαλον Διομήδεα,
μαργαίνειν ἀνέηκεν ἐπ᾽ ἀθανάτοιςι θεοῖςι.
Κύπριδα μὲν πρῶτον ςχεδὸν οὔταςε χεῖρ᾽ ἐπὶ καρπῷ,
αὐτὰρ ἔπειτ᾽ αὐτῷ μοι ἐπέςςυτο δαίμονι ἶςος·
ἀλλά μ᾽ ὑπήνεικαν ταχέες πόδες· ἦ τέ κε δηρὸν

V. l. 867 εὐρὺ D. — 868 δ᾽ omitt. Lips. — 869 παρ D. — 870 δεῖξε CNO. καταρέον D. — 871 προςηῦδα D. — 872 κρατερὰ CGMO Lips. ἔργ᾽ ἀΐδηλα N Cant. τάδ᾽ ἀΐδηλ᾽ ἔργα S. — 873 αἰεί τι H. τετληκότες N. — 874 χάριν ἄνδρεςςι EHNO Cant. Harl. Townl. Mosc. 2.: χάριν δ᾽ ACDGLM. — 875 μαχόμεθα EMNO 1. man. — 876 μέμηλε O. — 877 γὰρ omitt. G. εἶς᾽ CNO. — 878 δεδμήμεθα CNO. — 879 οὔτέ τι ACEHLMNO. — 880 ἀνιεῖς Schol. Ξ 131: ἀνίεις ACDEGHLO 1. man. Lips. Et. Mg. 109, 50. ἀνίης NO 2. man. S Cant. Lips. 2. man. ἀνείης M. — 881 ὑπερφίαλον ADGL: ὑπέρθυμον CHMNOS Lips. — 882 ἀνέήκεν A. ἐπαθανάτοιςι A. θεοῖςι ACDGHMNO. — 883 πρῶτα H Vrat. b. πρώτην Et. Mg. 676, 37, conf. 458. ἐπι A. — 884 αὐτῷ ᾽μοι (sic!) μοι G. ἶςος D. — 885 ὑπήνεγκαν LN Et. Orionis 53, 4. ἤ τὲ καὶ O. κεν G.

A. c. 872 καρτερὰ ἔργα: γράφεται ἔργ᾽ ἀΐδηλα Schol. LV, conf. ad 757. — 874 χάριν ἄνδρεςςι: χάριν δ᾽ ἄνδρεςςι Aristarchus, conf. Λ 68 ἐλαύνωςῑν ἀνδρός, Λ 371 κεκλιμένο̄ς ἀνδροκμήτῳ et ad Β 198. — 880 ἀνιεῖς, conf. μεθιεῖς Ζ 523, δ 732; μεθιεῖ Κ 121; τιθεῖ Ν 732, α 192; διδοῖς Ι 164; διδοῖ Ι 515, δ 237, ρ 350; τιθεῖν Theognis 286; ςυνιεῖν 1237; διδοῦν 1329. alii ἀνίεις perperam; haec enim verba apud poetas et Iones saepenumero coniugationem contractorum in εω et οω sequuntur, quod confirmat frequens usus formarum τιθεῖ, ξυνιεῖς, τιθεῖςι, ἱεῖςι, διδοῖ, διδοῦςιν, ἐδίδουν, ἐδίδου, ἵουν, ἵεις, ἵει, quas neque scriptores prosae orationis plane aspernantur. — 881 Aristarchus ὑπερφίαλον: ὕπερθυμον αἱ δημώδεις.

αὐτοῦ πήματ' ἔπαςχον ἐν αἰνῇςιν νεκάδεςςιν,
ἤ κε ζὼς ἀμενηνὸς ἔα χαλκοῖο τυπῇςι.
τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προςέφη νεφεληγερέτα Ζεύς·
μή τί μοι ἀλλοπρόςαλλε παρεζόμενος μινύριζε.
ἔχθιςτος δέ μοί ἐςςι θεῶν, οἳ Ὄλυμπον ἔχουςιν·
αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε.
μητρός τοι μένος ἐςτὶν ἀάςχετον, οὐκ ἐπιεικτόν,
Ἥρης· τὴν μὲν ἐγὼ ςπουδῇ δάμνημ' ἐπέεςςι.
τῶ ς' ὀίω κείνης τάδε πάςχειν ἐννεςίῃςιν.
ἀλλ' οὐ μάν ς' ἔτι δηρὸν ἀνέξομαι ἄλγε' ἔχοντα·
ἐκ γὰρ ἐμεῦ γένος ἐςςί, ἐμοὶ δέ ςε γείνατο μήτηρ.
εἰ δέ τευ ἐξ ἄλλου γε θεῶν γένευ ὧδ' ἀίδηλος,
καί κεν δὴ πάλαι ἦςθα ἐνέρτερος Οὐρανιώνων.
ὣς φάτο, καὶ Παιήον' ἀνώγειν ἰήςαςθαι.
τῷ δ' ἐπὶ Παιήων ὀδυνήφατα φάρμακα πάςςεν

V. l. 886 αἰνῇςι CMNO Et. Mg. 600, 10. αἰναῖςι G. — 887 ἤ: εἴ H sup. NO. ἦ Schol. Π 445. Bekk. An. 1202. ἢ Cram. An. Par. IV, 232, 33. κε Et. Gud. 236, 30. Schol. Π 445. Cram. An. Par. IV, 232, 33. κεν ACDEGHLMNOS Lips. Apoll. Lex. 27, 5. Et. Mg. 306, 52. Schol. Θ 111. Bekk. An. 1202. Cram. An. Ox. IV, 359, 11; 363, 30. χαλκιοτυπαῖςι G. τυπῇςι ACDHO. — 888 ἆρ DGMNO. ἀρ A. νεφεληγερέτα A. — 889 μήτϊ μοι CLMNO. ἀλλοπρόςαλλε A. — 890 δέ μοι ἐςςὶ ACDEGHLMNO. — 891 τοι: τις N. τοι omitt. HL. — 892 ἐςτὶν: αἰὲν Et. Mg. 1, 30. — 893 ἐπέεςςι ACGNO Et. Mg. 247, 8. — 894 τῶ ACDGHLMO. οἴω DH. ἐννεςίῃςι H. — 895 μάν: μέν Vrat. b. — 896 ἐμοὶ (η supra) S. ἐςςί: ἐςςὶν MO. ς' ἐγείνατο HM. — 897 γε omitt. CL. ἄλλου (οιο supra) C (οιο man. rec.). τε θεῶν γίνευ H. — 898 ἦςθα: ἦςθας ADO 1. man. S. νέρτερος Townl. Lips. — 899 ὡς A. ἀνώγειν AC Townl.: ἀνώγει GHLMNOS. ἀνῶγεν D. ἄνωγεν δ καὶ ἀνώγει γράφεται Eust. 619, 21. — 900 ἐπϊ C. ὀδυνήφατα A. πάςςεν ACDHL Lips. Mosc. 1. φάρμακ' ἔπαςςεν Harl.: πάςςων EGMNOS Vrat. A.

A. c. 887 ζὼς Herodianus: ζῶς Ptolemaeus Asoalonita, conf. Et. Mg. 413, 30. Eust. 618, 10. τὸ ἤ κεν γράφεται μὲν διὰ τοῦ η παρὰ τοῖς ἀκριβεςτέροις Eust. 618, 6. — 891 asteriscus; κακῶς A 177. — 898 ἐνέρτερος: ἐνέρτατος Zenodotus. de forma ἦςθας conf. Eust. 1773, 30 Αἴλιος Διονύςιος γράφει ὅτι καὶ τὸ οἶςθα καὶ τὸ οἶςθας ἄμφω Ἑλληνικά, καθὰ καὶ ἦςθα καὶ ἦςθας. hoc Nauckius Euripidi tribuit, quem Helen. 587. ἐνθάδ' ἦςθας ἐν Τροίᾳ scripsisse coniecit, conf. Ion. 999 οἶςθας, qua forma usus est Alexis comicus apud Athen. III, 118, a. — 900 ἰακῶς φάρμακα πάςςεν Schol. A, quod si est Didymi, Aristarchus sequentem versum omisit.

[ἠκέςατ'· οὐ μὲν γάρ τι καταθνητός γ' ἐτέτυκτο].
ὡς δ' ὅτ' ὀπὸς γάλα λευκὸν ἐπειγόμενος ςυνέπηξεν
ὑγρὸν ἐόν, μάλα δ' ὦκα περιτρέφεται κυκόωντι,
ὣς ἄρα καρπαλίμως ἰήςατο θοῦρον Ἄρηα.
τὸν δ' Ἥβη λοῦςεν, χαρίεντα δὲ εἵματα ἕςςε·
πὰρ δὲ Διὶ Κρονίωνι καθέζετο κύδεϊ γαίων.
αἳ δ' αὖτις πρὸς δῶμα Διὸς μεγάλοιο νέοντο
Ἥρη τ' Ἀργείη καὶ Ἀλαλκομενηὶς Ἀθήνη,
παύςαςαι βροτολοιγὸν Ἄρην ἀνδροκταςιάων.

ΙΛΙΑΔΟϹ Ζ.

Τρώων δ' οἰώθη καὶ Ἀχαιῶν φύλοπις αἰνή·
πολλὰ δ' ἄρ' ἔνθα καὶ ἔνθ' ἴθυςε μάχη πεδίοιο,
ἀλλήλων ἰθυνομένων χαλκήρεα δοῦρα,
μεςςηγὺς Ϲιμόεντος ἰδὲ Ξάνθοιο ῥοάων.

V. l. 901 omitt. CDL Townl. in textu, Lips. Vrat. A. Mosc. 1. ἐν ἄλλῳ ὁ ςτίχος οὐχ εὕρηται A in margine. γρ. φάρμακα πάςςων ἠκέςατ', οὐ μὲν γάρ τι κατὰ θνητός γε τέτυκτο C in margine. κατὰ θνητός MO. κατὰ θνητὸν Vrat. b. κατὰ θνητοὺς Vrat. a. γε τέτυκτο S Cant. — 902 ἐπειγόμενον DGS Mor. Townl. man. sec. Mosc. 1. 2. — 903 περιτρέφεται Cram. An. Par. III, 215, 20. Apoll. Lex. 130, 14. Eust. 1339, 19. Schol. Ξ 308: libri περιςτρέφεται. — 904 ὡς A. — 905 τόνδε G. λοῦςε GNO Lips. χαρίεντά τε HS Vrat. a. εἵματα ἕςςεν D. ἕςςε AMNO. — 906 παρ CD. — 907 αἳ δ' DMNO. αἴδ' CGL. αἶδ' H. — 909 παύςαςθαι Mosc. 1. βροτολοιγὸν A. ἄρην ACDEGHLMNO. ἄρη' Cant. ἄρηα S.

A. c. 903 περιτρέφεται Herodianus apud Eust. 620, 14 et Cram. An. Par. III, 215, 14. conf. ι 246, ξ 477, ubi sex libri περιςτρέφετο pro περιτρέφετο exhibent. — 906 asteriscus (cum obelo, qui deest in codice): ὀρθῶς A 405, ubi vide Aristonicum. τὸ ἔπος Ζηνόδοτος ἀθετεῖ Schol. B. Ἀρίςταρχος ἀθετεῖ Schol. LV. — 909 Ἄρην Herodianus, conf. ad 757. sed haud scio an Ἄρη praeferendum sit, quod propter hiatum, qui h. l. est nullus (conf. ad B 198) in Ἄρην mutatum videtur esse.

V. l. 1 τρώων L. — 2 δ' ἄρ': δ' ἆρ DGMNO. δ' ἀρ A. γὰρ H. δὲ E. ἔνθα ἴθυςε DMNOS Schol. Θ 106. — 3 ἰθυνόντων S. — 4 ἰδὲ: ἠδὲ GN.

A. c. 4 ἐν τοῖς ἀρχαίοις (i. e. in exemplaribus prioris editionis Aristarcheae. τοῖς Ἀριςταρχείοις Lehrsius. ἐν τῇ προτέρᾳ τῶν Ἀριςταρχείων Bekkerus) ἐγέγραπτο „μεςςηγὺς ποταμοῖο Ϲκαμάνδρου καὶ ςτομαλίμνης." διὸ καὶ ἐν τοῖς ὑπομνήμαςι φέρεται. καὶ ὕςτερον δὲ περιπεςὼν (sc. Ἀρίςταρχος) ἔγραψε „μεςςηγὺς Ϲιμόεντος ἰδὲ Ξάνθοιο ῥοάων" Aristonicus. Χάρης (Χαῖρις) δὲ γράφει μεςςηγὺς ποταμοῖο Ϲκαμάνδρου καὶ Ϲιμόεντος Schol. BLV, conf. H. T. 81, n. 147.

Αἴαc δὲ πρῶτοc Τελαμώνιοc, ἕρκοc Ἀχαιῶν,
Τρώων ῥῆξε φάλαγγα, φόωc δ' ἑτάροιcιν ἔθηκεν,
ἄνδρα βαλών, ὃc ἄριcτοc ἐνὶ Θρῄκεccι τέτυκτο,
υἱὸν Єὐccώρου, Ἀκάμαντ' ἠΰν τε μέγαν τε.
τόν ῥ' ἔβαλε πρῶτοc κόρυθοc φάλον ἱπποδαcείηc,
ἐν δὲ μετώπῳ πῆξε, πέρηcε δ' ἄρ' ὀcτέον εἴcω
αἰχμὴ χαλκείη· τὸν δὲ cκότοc ὄccε κάλυψεν.
Ἄξυλον δ' ἄρ' ἔπεφνε βοὴν ἀγαθὸc Διομήδηc
Τευθρανίδην, ὃc ἔναιεν ἐϋκτιμένῃ ἐν Ἀρίcβῃ
ἀφνειὸc βιότοιο, φίλοc δ' ἦν ἀνθρώποιcι·
πάνταc γὰρ φιλέεcκεν ὁδῷ ἔπι οἰκία ναίων.
ἀλλά οἱ οὔ τιc τῶν γε τότ' ἤρκεcε λυγρὸν ὄλεθρον
πρόcθεν ὑπαντιάcαc, ἀλλ' ἄμφω θυμὸν ἀπηύρα,
αὐτὸν καὶ θεράποντα Καλήcιον, ὅc ῥα τόθ' ἵππων
ἔcκεν ὑφηνίοχοc· τὼ δ' ἄμφω γαῖαν ἐδύτην.
Δρῆcον δ' Єὐρύαλοc καὶ Ὀφέλτιον ἐξενάριξε·
βῆ δὲ μετ' Αἴcηπον καὶ Πήδαcον, οὕc ποτε νύμφη
νηὶc Ἀβαρβαρέη τέκ' ἀμύμονι Βουκολίωνι.
Βουκολίων δ' ἦν υἱὸc ἀγαυοῦ Λαομέδοντοc
πρεcβύτατοc γενεῇ, cκότιον δέ ἑ γείνατο μήτηρ·
ποιμαίνων δ' ἐπ' ὄεccι μίγη φιλότητι καὶ εὐνῇ,
ἣ δ' ὑποκυcαμένη διδυμάονε γείνατο παῖδε.
καὶ μὲν τῶν ὑπέλυcε μένοc καὶ φαίδιμα γυῖα
Μηκιcτηιάδηc, καὶ ἀπ' ὤμων τεύχε' ἐcύλα.
Ἀcτύαλον δ' ἄρ' ἔπεφνε μενεπτόλεμοc Πολυποίτηc·

V. L. 6 τρώων GL. — 7 βαλὼν: λαβὼν H. ἐν M. — 8 εὐcώρου N. ἀκάμαντα MO. — 9 τὸν ῥὰ βάλε G. — 10 πέρηcεν H. ἂρ DGLMNO. ἀρ A. — 11 τονδε D. ὄcc' ἐκάλυψεν CHLMOS et Heynii libri praeter Mor. — 12 ἄζυλον Vrat. 1 (sic). ἂρ DGLMNO. ἀρ A. — 14 ἀνθρώποιcι ACDEGHNO. — 15 πάνταc μὲν Schol. Ζ 305. ἔπι: ἐπὶ CGL. ἔπι O (sic). ἐνὶ HN. ἐπιοικία D. — 16 τῶν γε: τόνγε A. — 17 ἀπηῦρα D. ἀπηύρεν G ex corr. — 18 ὃc ῥὰ DNO. — 19 ὑφ' ἡνίοχοc ACDH 1. man. LMO 1. man. τὼ δ': τὼ H. τώγ' G. — 20 δρῆcόντ' H. ἐξενάριξε ACGHMNO. — 22 νηῒc βαρβαρέη N. — 24 δὲ ἓ G. δ' ἑ D. — 26 ἥδ' CGHLMNO. ὑποκυcαμένη NO: ὑποκυccαμένη ACDEGHLMS Lips. διδυμάον' ἐγείνατο M Mosc. 1. — 27 καὶ μὴν . . . . ἐπέλυcε Mosc. 1. — 28 μηκιcτιάδηc DL. — 29 ἄcτυλλον Mosc. 3. ἂρ DEGLMNO. ἀρ A.

A. c. 21 οἱ περὶ Ἀρίcταρχον Πήρεχον τὴν Πήδαcον λέγουcιν Schol. BLV.

Πιδύτην δ' Ὀδυcεὺc Περκώcιον ἐξενάριξεν
ἔγχεϊ χαλκείῳ, Τεῦκροc δ' Ἀρετάονα δῖον.
Ἀντίλοχοc δ' Ἄβληρον ἐνήρατο δουρὶ φαεινῷ
Νεcτορίδηc, Ἔλατον δὲ ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
ναῖε δὲ Cατνιόεντοc ἐϋρρείταο παρ' ὄχθαc
Πήδαcον αἰπεινήν. Φύλακον δ' ἕλε Λήιτοc ἥρωc
φεύγοντ'· Єὐρύπυλοc δὲ Μελάνθιον ἐξενάριξεν.
Ἄδρηcτον δ' ἄρ' ἔπειτα βοὴν ἀγαθὸc Μενέλαοc
ζωὸν ἕλ'· ἵππω γάρ οἱ ἀτυζομένω πεδίοιο,
ὄζῳ ἔνι βλαφθέντε μυρικίνῳ, ἀγκύλον ἅρμα
ἄξαντ' ἐν πρώτῳ ῥυμῷ αὐτὼ μὲν ἐβήτην
πρὸc πόλιν, ᾗ περ οἱ ἄλλοι ἀτυζόμενοι φοβέοντο,
αὐτὸc δ' ἐκ δίφροιο παρὰ τροχὸν ἐξεκυλίcθη
πρηνὴc ἐν κονίῃcιν ἐπὶ cτόμα. πὰρ δέ οἱ ἔcτη
Ἀτρείδηc Μενέλαοc ἔχων δολιχόcκιον ἔγχοc.
Ἄδρηcτοc δ' ἄρ' ἔπειτα λαβὼν ἐλλίccετο γούνων·
ζώγρει Ἀτρέοc υἱέ, cὺ δ' ἄξια δέξαι ἄποινα.
πολλὰ δ' ἐν ἀφνειοῦ πατρὸc κειμήλια κεῖται,
χαλκόc τε χρυcόc τε πολύκμητόc τε cίδηροc,
τῶν κέν τοι χαρίcαιτο πατὴρ ἀπερείcι' ἄποινα,
εἴ κεν ἐμὲ ζωὸν πεπύθοιτ' ἐπὶ νηυcὶν Ἀχαιῶν.
ὣc φάτο, τῷ δ' ἄρα θυμὸν ἐνὶ cτήθεccιν ἔπειθε.

V. L. 30 πηδύτην O Barocc. Vrat. a in margine. ὀδυccεὺc DGHLM. περκάcιον Lips. — 31 δ' ἄρ' ἐτάονα Lips. Vrat. b. 1. man. δ' Ἀρετάονα ἢ δ' ἂρ Єτάονα Eust. 623, 9. — 32 αὔληρον M. αὔκληρον N. ἐνήρατο DDGHO. ἐνείρατο Cant. — 34 εὐρείταο O. ἐϋρρύταο N. παρόχθαc D. ὄχθαιc Strabo XIII, 606. — 35 Φύλακον: Cχεδίον Herodianus περὶ μον. λέξ. 18, 6. — 37 ἂρ DGLMNO. ἀρ A. — 38 ζωιὸν C. ἕλεν L. ἵπποι E 656, 9. ἀτυζόμενοι Eust. 656, 9. Apoll. Lex. 46, 22. — 39 ἔνι CE: ἐνὶ GHLM. ἐνιβλαφθέντε ADNO Vrat. b. — 41 οἵπερ N Vrat. a. — 42 ἐξεκυλίcθην H. — 43 ἐπι D. παρ CD. — 45 ἂρ DGLMNO. ἐλίccετο CDGHLMO. ἔ λαβὼν, ἐλίccετο N (ἔ 2. man.) — 46 ἀτρέωc N. δέξ' G. — 47 κεῖνται G Barocc. — 48 πολύκμητόc A. — 49 τῶν: τῶ O 1. man. κέν: καί DN. ἀπειρέcι' G. — 50 αἴ E Lips. εἴ κε με N. — 51 ὡc A. ἐνι A. ἔπειθε HNOS. ἔπειθεν ADM. γρ. ἔπειθε C man. rec. ὄρινε CGL Barocc. Mor. Leid. Mosc. 2. utrumque Harl. ὄρινεν A sup.

A. c. 34 ναῖε δὲ: ὃc ναῖε (νάε?) Zenodotus. Cατνιόεντοc: ὁ γεωγράφοc φηcὶν ὅτι τινὲc Cαφνιόεντα λέγουcιν Eust. 623, 20, cf. Strab. XIII, 606. — 51 ἔπειθε ut Ι 384, 386, 587, Μ 173, Π 842, Χ 78, α 43, η 258, ι 33, 500, ψ 230, 337, cum libris melioribus scribendum est, non ὄρινεν, quod recentiores fere omnes receperunt. nam Adrastus pretio proposito Menelao persuadere volebat, ut vitae suae parceret, non autem animum eius ad misericordiam commovere.

καὶ δή μιν τάχ' ἔμελλε θοὰς ἐπὶ νῆας Ἀχαιῶν
δώϲειν ᾧ θεράποντι καταξέμεν· ἀλλ' Ἀγαμέμνων
ἀντίοϲ ἦλθε θέων, καὶ ὁμοκλήϲαϲ ἔποϲ ηὔδα·
ὦ πέπον ὦ Μενέλαε, τί ἢ δὲ ϲὺ κήδεαι οὕτωϲ
ἀνδρῶν; ἦ ϲοὶ ἄριϲτα πεποίηται κατὰ οἶκον
πρὸϲ Τρώων· τῶν μή τιϲ ὑπεκφύγοι αἰπὺν ὄλεθρον
χεῖράϲ θ' ἡμετέραϲ, μηδ' ὅν τινα γαϲτέρι μήτηρ
κοῦρον ἐόντα φέροι, μηδ' ὃϲ φύγοι, ἀλλ' ἅμα πάντεϲ
Ἰλίου ἐξαπολοίατ' ἀκήδεϲτοι καὶ ἄφαντοι.
ὣϲ εἰπὼν ἔτρεψεν ἀδελφειοῦ φρέναϲ ἥρωϲ,
αἴϲιμα παρειπών· ὃ δ' ἀπὸ ἕθεν ὤϲατο χειρὶ
ἥρω' Ἄδρηϲτον· τὸν δὲ κρείων Ἀγαμέμνων
οὖτα κατὰ λαπάρην· ὃ δ' ἀνετράπετ', Ἀτρείδηϲ δὲ
λὰξ ἐν ϲτήθεϲι βὰϲ ἐξέϲπαϲε μείλινον ἔγχοϲ.
Νέϲτωρ δ' Ἀργείοιϲιν ἐκέκλετο μακρὸν ἀύϲαϲ·
ὦ φίλοι ἥρωεϲ Δαναοί, θεράποντεϲ Ἄρηοϲ,
μή τιϲ νῦν ἐνάρων ἐπιβαλλόμενοϲ μετόπιϲθε
μιμνέτω, ὥϲ κε πλεῖϲτα φέρων ἐπὶ νῆαϲ ἵκηται,
ἀλλ' ἄνδραϲ κτείνωμεν· ἔπειτα δὲ καὶ τὰ ἕκηλοι
νεκροὺϲ ἂμ πεδίον ϲυλήϲετε τεθνηῶταϲ.
ὣϲ εἰπὼν ὤτρυνε μένοϲ καὶ θυμὸν ἑκάϲτου.

V. L. 54 ἀντίον Vrat. a. b. ἀντίοϲ H post ras. ηὖδα G. — 55 τί ἢ A Io. Alexandr. 42, 22. τιὴ EO. ceteri τίη. οὕτωϲ ACDGHLMNOS Barocc. Mor. Cant. Townl. Vrat. a. b. c. A. Mosc. 1. 2. 3. Cram. Epim. 190, 12. αὔτωϲ E Io. Alex. 42, 22. — 56 ἦ: ἢ GH. ϲοὶ: ϲοι ACGHMO. τοι E. πεποίηνται Townl. — 57 τρώων CGL. ὑπεκφύγη S. ἐκφύγοι H. ὑπ' ἔκφυγε Vrat. a. — 58 μὴ δ' ACGLMNO. — 59 φέρει N. μὴ δ' ACDGHLMN. φύγη Vrat. a. — 61 ὡϲ A. ἔτρεψεν: παρέπειϲεν AHNO Vrat. a. Cram. An. Par. III, 385, 12. γρ. ἔτρεψεν AO. conf. H 120, N 788. — 62 αἴϲιμα: αἴϲια Bekk. An. 831 16. ὃδ' CGHLMNO. ἀπὸ: ἀπαὶ S Cant. Vrat. A. τινὲϲ μεταγράφουϲιν ἀπαὶ ἕθεν Eust. 625, 12. — 64 οὗτα DG Et. Mg. 637, 48. κατὰ: καταὶ Schol. E 256. ὃδ' CGLMN. — 65 ἀπέϲπαϲε Vrat. b. — 66 δ' omitt. Draco de Metr. 16, 8. — 68 μετόπιϲθε ACDEGM. — 69 ὥϲ κε Lips. Mosc. 1. ὥϲ κεν ACGHLMNOS Pseudoplut. 157, 30. ὡϲ καὶ D. ὡϲ ἂν EO sup. — 71 νεκρούϲ ῥ' S. ἀμπεδίον ACDEGHLMNO Pseudoplut. 157, 30. Schol. O 349. ἂν πεδίον Eust. 1019, 3. ϲυλήϲεται H. τεθνειῶταϲ CD(ώ)EGMN Pseudoplut. 157, 30. τεθνηιῶταϲ A. τεθνειῶταϲ (η supra) O. — 72 ὡϲ A. ὄτρυνε Lips. 1. man. Vrat. a.

A. c. 54 ἀντίοϲ: οὕτωϲ ἀρίϲταρχοϲ διὰ τοῦ ϲ̄, ἄλλοι (Zenodotus teste Schol. B) δὲ διὰ τοῦ ν̄ Didymus, conf. H. T. 193. — 59 τινὲϲ δὲ γράφουϲι φέρει Schol. A. — 69 κε πλεῖϲτα, conf. H. U. 15. — 71 οὕτωϲ ἀρίϲταρχοϲ τεθνηῶταϲ Didymus. Zenodotus Τρώων ἀμπεδίον ϲυλήϲομεν ἔντεα νεκρῶν.

ἔνθά κεν αὖτε Τρῶεϲ ἀρηιφίλων ὑπ' Ἀχαιῶν
Ἴλιον εἰϲανέβηϲαν ἀναλκείῃϲι δαμέντεϲ,
εἰ μὴ ἄρ' Αἰνείᾳ τε καὶ Ἕκτορι εἶπε παραϲτὰϲ
Πριαμίδηϲ Ἕλενοϲ, οἰωνοπόλων ὄχ' ἄριϲτοϲ·
Αἰνεία τε καὶ Ἕκτορ, ἐπεὶ πόνοϲ ὔμμι μάλιϲτα
Τρώων καὶ Λυκίων ἐγκέκλιται, οὕνεκ' ἄριϲτοι
πᾶϲαν ἐπ' ἰθύν ἐϲτε μάχεϲθαί τε φρονέειν τε,
ϲτῆτ' αὐτοῦ, καὶ λαὸν ἐρυκάκετε πρὸ πυλάων
πάντῃ ἐποιχόμενοι, πρὶν αὖτ' ἐν χερϲὶ γυναικῶν
φεύγονταϲ πεϲέειν, δηίοιϲι δὲ χάρμα γενέϲθαι.
αὐτὰρ ἐπεί κε φάλαγγαϲ ἐποτρύνητον ἁπάϲαϲ,
ἡμεῖϲ μὲν Δαναοῖϲι μαχηϲόμεθ' αὖθι μένοντεϲ,
καὶ μάλα τειρόμενοί περ· ἀναγκαίη γὰρ ἐπείγει.
Ἕκτορ, ἀτὰρ ϲὺ πόλιν δὲ μετέρχεο, εἰπὲ δ' ἔπειτα
μητέρι ϲῇ καὶ ἐμῇ· ἣ δὲ ξυνάγουϲα γεραιὰϲ
νηὸν Ἀθηναίηϲ γλαυκώπιδοϲ ἐν πόλει ἄκρῃ,
οἴξαϲα κληῖδι θύραϲ ἱεροῖο δόμοιο,
πέπλον, ὅϲ οἱ δοκέει χαριέϲτατοϲ ἠδὲ μέγιϲτοϲ
εἶναι ἐνὶ μεγάρῳ καί οἱ πολὺ φίλτατοϲ αὐτῇ,
θεῖναι Ἀθηναίηϲ ἐπὶ γούναϲιν ἠυκόμοιο,

V. L. 73 ἔνθά κεν ACDHMN. αὖτε: αὖ G. τρῷεϲ GL. ἀρηϊφίλων A. — 74 εἰϲ ἀνέβηϲαν A. ἀναλκίῃϲι AO. — 75 ἂρ DMNO. ἀρ A. αἰνεία τὲ N. — 76 οἰωνοπόλων A. — 77 αἰνεία τὲ A. ὕμμι AGHMN. — 78 τρῴων GL. — 79 ἐπιθύν ἐϲτὲ D. ἰθὺν ἐϲτὲ ACGHLMNO. — 80 προ A. — 81 πάντῃ ADE Bekk. An. 832, 11: ceteri πάντη. — 82 δῄοιϲϊ H. δηίοιϲι τε D. — 83 ἐπωτρύνητον O. — 86 πόλιν δὲ AD. μετέρχεο: μετοίχεο E Vrat. a. — 87 δὲ: δὴ Mor. Barocc. ϲυνάγουϲα G Mor. Barocc. — 89 κληῖδι DGMN. — 90 ὅϲ οἱ ACDEGHLMNOS: recentiores ex coni. ὅ οἱ. — 91 ἐνῒμμεγάρῳ H. μεγάροιϲι E. καὶ ὃϲ et γρ. καί οἱ L. πολυφίλτατοϲ D. — 92 ἀθηναίοιϲ L.

A. c. 76 οἰωνοπόλων ὄχ' ἄριϲτοϲ: Ἀμμώνιοϲ ὡϲ Ἀριϲτάρχειον (Cod. Ἀρίϲταρχοϲ) προφέρεται καὶ ταύτην τὴν γραφήν „μάντίϲ τ' οἰωνοπόλοϲ τε“. ἔργον δὲ τὸ ϲαφὲϲ εἰπεῖν· διὸ διχῶϲ Didymus, conf. H. T. 103. — 87 τινὲϲ „γεραιράϲ“ ἀναγινώϲκουϲιν, ἵνα δηλοῖ τὰϲ ἱερείαϲ Schol. BLV. — 87, 88 εἰϲ τὸ γλαυκώπιδοϲ ϲτικτέον, καὶ λείπει ἡ εἰϲ...... ἢ περιϲϲοὶ οἱ δύο ϲτίχοι Schol. BL. — 90 ὅϲ οἱ: τὴν ὅϲ ὀξυτονητέον διὰ τὴν οἱ ἀντωνυμίαν, ἥτιϲ νῦν ἐγκλιτική ἐϲτιν Herodianus, qui igitur ὅϲ οἱ, non ὅ οἱ, legit: recentiores fere omnes ὅ οἱ scribunt, quod omni librorum auctoritate caret. qua coniectura non opus esse docent alii loci, quibus digammum pronominis tertiae personae neglectum est, conf. οὐδέ τίϲ οἱ Ζ 101; πέπλου ὅν οἱ Ε 338; ἀπείληϲαν γάρ οἱ Β 665; μέγηρε γάρ οἱ Ψ 865; porro Ζ 289, λ 44', ν 430, ο 105.

καί οἱ ὑποϲχέϲθαι δυοκαίδεκα βοῦϲ ἐνὶ νηῷ
ἤνιϲ ἠκέϲταϲ ἱερευϲέμεν, αἴ κ᾽ ἐλεήϲῃ
ἄϲτύ τε καὶ Τρώων ἀλόχουϲ καὶ νήπια τέκνα,
αἴ κεν Τυδέοϲ υἱὸν ἀπόϲχῃ Ἰλίου ἱρῆϲ,
ἄγριον αἰχμητήν, κρατερὸν μήϲτωρα φόβοιο,
ὃν δὴ ἐγὼ κάρτιϲτον Ἀχαιῶν φημι γενέϲθαι.
οὐδ᾽ Ἀχιλῆά ποθ᾽ ὧδέ γ᾽ ἐδείδιμεν, ὄρχαμον ἀνδρῶν,
ὅν πέρ φαϲι θεᾶϲ ἐξέμμεναι· ἀλλ᾽ ὅδε λίην
μαίνεται, οὐδέ τίϲ οἱ δύναται μένοϲ ἰϲοφαρίζειν.
ὣϲ ἔφαθ᾽, Ἕκτωρ δ᾽ οὔ τι καϲιγνήτῳ ἀπίθηϲεν.
αὐτίκα δ᾽ ἐξ ὀχέων ϲὺν τεύχεϲιν ἆλτο χαμᾶζε,
πάλλων δ᾽ ὀξέα δοῦρα κατὰ ϲτρατὸν ᾤχετο πάντῃ
ὀτρύνων μαχέϲαϲθαι, ἔγειρε δὲ φύλοπιν αἰνήν.
οἱ δ᾽ ἐλελίχθηϲαν καὶ ἐναντίοι ἔϲταν Ἀχαιῶν·
Ἀργεῖοι δ᾽ ὑπεχώρηϲαν, λῆξαν δὲ φόνοιο,
φὰν δέ τιν᾽ ἀθανάτων ἐξ οὐρανοῦ ἀϲτερόεντοϲ
Τρωϲὶν ἀλεξήϲοντα κατελθέμεν· ὣϲ ἐλέλιχθεν.
Ἕκτωρ δὲ Τρώεϲϲιν ἐκέκλετο μακρὸν ἀύϲαϲ·
Τρῶεϲ ὑπέρθυμοι τηλεκλειτοί τ᾽ ἐπίκουροι,
ἀνέρεϲ ἔϲτε, φίλοι, μνήϲαϲθε δὲ θούριδοϲ ἀλκῆϲ,

V. L. 93 δυοκαίδεκα AGL. γρ. δύο καὶ δέκα ὡϲ ὁ μέγαϲ θεϲϲαλωνίκηϲ εὐϲτάθιοϲ ἰϲχυρίζεται O. — 94 ἥνῖϲ AN. ἧνιϲ GLO Cram. Epim. 283, 6. ἀκέϲταϲ G. ἐλεήϲει D. 2. man. — 95 ἄϲτύ τε A. ἄϲτυ τὲ HMN. τρῴων CG. — 96 ὥϲ κεν Lips. ἀπόϲχοι Vrat. a. — 97 μύϲτωρα L. — 98 κράτιϲτον HM Lips. ἀχαιῶν φημι ACD 1. man. EGHLMNO. — 99 γε δείδημεν H. γε δείδιμεν Vrat. a. γ᾽ omitt. Lips. Vrat. b. — 100 ὅν πέρ φαϲι E: ὅνπερ φαϲὶ ACDGHLMNO. ἐξέμμεναι ACDGHLMNOS: ἐξ ἔμμεναι E. ἒξ ἔμμεναι nullus. — 101 οὐδέ τιϲ οἱ CDGM οὐδέ τι, ϲοί A. — 102 ὡϲ A. ὧϲ φάτο L. — 103 ἄλτο A. ἆλτο S. χαμάζε CDGLMNO. — 104 πάντῃ AEH Schol. Γ 379: ceteri πάντη. — 105 μαχέϲαϲθαι: μαχέεϲθαι E. — 106 οἳ δ᾽ D. οἵδ᾽ CGLMNO. ἐναντίον H, conf. Ε 497, Λ 214, Ρ 343. — 107 ὑποχώρηϲαν S. — 109 τρῳϲὶν GL. ἀλεξήϲαντα Townl. μετελθέμεν L. ὧϲ ELO: ὡϲ ACDGHMN Lips. Et. Mg. 328, 47. — 110 τρῴεϲϲιν GL. — 111 τρῷεϲ GL. τηλεκλητοί GNO Lips. Vrat. c. Mosc. 1. 3. τηλεκλητοί (ει) S. τρῶεϲ καὶ λυκῖοι καὶ δάρδανοι ἀγχιμαχηταί H. — 112 ἔϲτε AGMO Et. Mg. 381, 58: ἐϲτὲ DHLN Eust. 556, 46. μνήϲαϲθαι H. μνήϲεϲθε Vrat. a.

A. c. 96 αἴ κεν: ἀρίϲταρχοϲ ὥϲκεν τυδέοϲ Didymus. — 97 τινὲϲ οὕτωϲ διεῖλον ἄγριον, εἶτα αἰχμητὴν κρατερόν, εἶτα μήϲτωρα φόβοιο. Ἀπολλόδωροϲ δὲ διχῶϲ ἄγριον αἰχμητήν, εἶτα κρατερὸν μήϲτωρα φόβοιο Nicanor. — 109 ἤτοι ϲτικτέον ἐπὶ τὸ κατελθέμεν, ἵνα ἀφ᾽ ἑτέραϲ ἀρχῆϲ λέγηται τὸ ὧϲ ἐλέλιχθεν ἀντὶ τοῦ οὕτωϲ ἐλέλιχθεν, ἢ ϲυναπτέον, ἵν᾽ ᾖ τὸ ὡϲ ἀντὶ τοῦ ὅτε. βέλτιον δὲ τὸ πρότερον Nicanor. — 112 Zenodotus ἀνέρεϲ ἔϲτε θοοί, καὶ ἀμύνετον ἄϲτεϊ λώβην.

ὄφρ᾽ ἂν ἐγὼ βείω προτὶ Ἴλιον ἠδὲ γέρουϲιν
εἴπω βουλευτῇϲι καὶ ἡμετέρῃϲ ἀλόχοιϲι
δαίμοϲιν ἀρήϲαϲθαι, ὑποϲχέϲθαι δ᾽ ἑκατόμβαϲ.
ὣϲ ἄρα φωνήϲαϲ ἀπέβη κορυθαίολοϲ Ἕκτωρ·
ἀμφὶ δέ μιν ϲφυρὰ τύπτε καὶ αὐχένα δέρμα κελαινόν,
ἄντυξ, ἣ πυμάτη θέεν ἀϲπίδοϲ ὀμφαλοέϲϲηϲ.
Γλαῦκοϲ δ᾽, Ἱππολόχοιο πάιϲ, καὶ Τυδέοϲ υἱὸϲ
ἐϲ μέϲον ἀμφοτέρων ϲυνίτην μεμαῶτε μάχεϲθαι.
οἳ δ᾽ ὅτε δὴ ϲχεδὸν ἦϲαν ἐπ᾽ ἀλλήλοιϲιν ἰόντεϲ,
τὸν πρότεροϲ προϲέειπε βοὴν ἀγαθὸϲ Διομήδηϲ·
τίϲ δὲ ϲύ ἐϲϲι φέριϲτε καταθνητῶν ἀνθρώπων;
οὐ μὲν γάρ ποτ᾽ ὄπωπα μάχῃ ἔνι κυδιανείρῃ
τὸ πρίν· ἀτὰρ μὲν νῦν γε πολὺ προβέβηκαϲ ἁπάντων
ϲῷ θάρϲει, ὅ τ᾽ ἐμὸν δολιχόϲκιον ἔγχοϲ ἔμειναϲ.
δυϲτήνων δέ τε παῖδεϲ ἐμῷ μένει ἀντιόωϲιν.
εἰ δέ τιϲ ἀθανάτων γε κατ᾽ οὐρανοῦ εἰλήλουθαϲ,
οὐκ ἂν ἐγώ γε θεοῖϲιν ἐπουρανίοιϲι μαχοίμην.
οὐδὲ γὰρ οὐδὲ Δρύαντοϲ υἱόϲ, κρατερὸϲ Λυκόοργοϲ,
δὴν ἦν, ὅϲ ῥα θεοῖϲιν ἐπουρανίοιϲιν ἔριζεν·

V. L. 113 βείω: βέω Zonar. Lex. 385, 388. βίω Et. Gud. 109, 26. προτὶ ADGHNO Schol. Ο 194, Χ 421. Cram. Epim. 402, 11. Et. Mg. 198, 7. πρὸ τὶ CM: ποτὶ LS Zonar. Lex. 385, 388. Cram. Epim. 202, 22. — 114 ἀλόχοιϲι ACDHNO. — 115 ὑποϲχέϲθαι θ᾽ E. — 116 ὡϲ A. κορυθαίολοϲ A. κορυθαιόλοϲ D 1. man. — 120 ἀμφοτέρων: ἀμφοτέρω A, conf. Ψ 814. μεμαῶτεϲ G. — 121 οἳ δ᾽ DLMNO. οἵδ᾽ CH. — 123 ϲὺ ἐϲϲὶ DHLMN. κατὰ θνητῶν ACDE bis HLMNO Lips. Vrat. a. b. c. A. Mosc. 1. 3. καταθνήτων Schol. Κ 204. — 124 ἔνι ADG Apoll. de Synt. 306, 28. Schol. Ψ 718. Et. Mg. 123, 43: ἐνὶ CELMNO Schol. Β 839. ἐνι H Et. Gud. 67, 12. — 125 τοπρὶν N. τοπρὶν G. νῦν μέν Vrat. b. γε omitt. GL. πολλὸν L. — 126 ὅ τ᾽ A: ceteri ὅτ᾽. ὅτε μὲν δολιχόϲκιον Vrat. a. δολιχόϲκιον A. — 128 ἀθανάτων δε (γε) H. οὐρανοῦ: οὐρανὸν G. — 130 Δρύαντοϲ παῖϲ Pseudoplut. 113, 7. λυκόοργοϲ A. λυκοῦργοϲ L. λυκόεργοϲ N Vrat. b. Rhet. Gr. III, 107, 6; 200, 29. — 131 ὃϲ ῥὰ DLN.

A. c. 113 διχῶϲ ἀρίϲταρχοϲ καὶ διὰ τοῦ κε ὄφρα κ᾽ ἐγὼ καὶ διὰ τοῦ ἄν Didymus. — 119 ἡ διπλῆ, ὅτι μετατιθέαϲί τινεϲ ἀλλαχόϲε ταύτην τὴν ϲύϲταϲιν Aristonicus. — 121 Ζηνόδοτοϲ καὶ Ἀριϲτοφάνηϲ δυϊκῶϲ ἰόντε. ἐν δὲ τοῖϲ ἔμπροϲθεν (cf. Schol. Ε 630) εἰρήκαμεν Ἀριϲτάρχου εἶναι τὴν δυϊκὴν γραφήν Didymus. — 124 ἔνι Herodianus ad Ψ 718. — 128 κατ᾽ οὐρανὸν Aristarchus.

ὅϲ ποτε μαινομένοιο Διωνύϲοιο τιθήναϲ
ϲεῦε κατ' ἠγάθεον Νυϲήιον· αἱ δ' ἅμα πᾶϲαι
θύϲθλα χαμαὶ κατέχευαν ὑπ' ἀνδροφόνοιο Λυκούργου
θεινόμεναι βουπλῆγι· Διώνυϲοϲ δὲ φοβηθεὶϲ
δύϲεθ' ἁλὸϲ κατὰ κῦμα, Θέτιϲ δ' ὑπεδέξατο κόλπῳ
δειδιότα· κρατερὸϲ γὰρ ἔχε τρόμοϲ ἀνδρὸϲ ὁμοκλῇ.
τῷ μὲν ἔπειτ' ὀδύϲαντο θεοὶ ῥεῖα ζώοντεϲ,
καί μιν τυφλὸν ἔθηκε Κρόνου πάιϲ· οὐδ' ἄρ' ἔτι δὴν
ἦν, ἐπεὶ ἀθανάτοιϲιν ἀπήχθετο πᾶϲι θεοῖϲιν.
οὐδ' ἂν ἐγὼ μακάρεϲϲι θεοῖϲ ἐθέλοιμι μάχεϲθαι.
εἰ δέ τίϲ ἐϲϲι βροτῶν, οἳ ἀρούρηϲ καρπὸν ἔδουϲιν,
ἆϲϲον ἴθ', ὥϲ κεν θᾶϲϲον ὀλέθρου πείραθ' ἵκηαι.
τὸν δ' αὖθ' Ἱππολόχοιο προϲηύδα φαίδιμοϲ υἱόϲ·
Τυδείδη μεγάθυμε, τί ἣ γενεὴν ἐρεείνειϲ;
οἵη περ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν.
φύλλα τὰ μέν τ' ἄνεμοϲ χαμάδιϲ χέει, ἄλλα δέ θ' ὕλη
τηλεθόωϲα φύει, ἔαροϲ δ' ἐπιγίγνεται ὥρη·

V. l. 132 ὃϲ τότε Rhet. Gr. III, 234, 10. διωνύϲοιο ACGHO Lips. Et. Mg. 280, 8. Strabo XV, 687. Schol. Pind. Pyth. IV, 138. Rhet. Gr. III, 234, 10. διονύϲοιο N Schol. Apoll. Rhod. III, 118. διονύϲϲοιο LM. Διωνύϲϲοιο E 629, 33. διονύϲιο D. — 133 κατηγάθεον A. νυϲήϊον ACDHMNO Barocc. Vrat. b. Lips. Strabo XV, 687. Rhet. Gr. III, 234, 11. Apoll. Lex 82, 11. Et. Mg. 5, 52: νυϲϲήιον E bis Cram. Ep. 64, 17. νηϲήϊον G. νιϲήιον L. αἳ δ' Heraclid. Alleg. C. 35. αἵδ' CDGMNO. — 134 κατέχευον G Barocc. Heraclid. Alleg. C. 35. — 135 διόνυϲοϲ DE. διόνυϲοϲ (ϲ supra) N. διώνυϲϲοϲ HLM. — 136 κατα A. κατὰ omitt. D. — 137 δὲ ἔχε Cant. — 138 ὀδύϲϲαντο N. — 139 * πάιϲ: libri παῖϲ. ἄρ GLMNO. ἀρ A. — 140 θεοῖϲι D. — 141 οὐ γὰρ ἐγὼ H. — 142 δέ τιϲ ἐϲϲὶ ACDEGHLMNO. οὗ H et supra οἳ. — 143 ἆϲϲον CEGHMNO: ἄϲϲον DL. άϲϲον A. ὥϲ κε EO. — 144 τῶ δ' N. αὖ H. προϲηῦδα D. — 145 τί ἣ D. τί ἡ A: ceteri τίη. γενετὴν Plutarchus Consol. ad Apoll. 6. ἐρεείνηϲ A. — 146 τοίη δὲ ADM Steph. Byz. 370, 5. τοίηδε E bis G Schol. Apoll. Rhod. I, 5. τοίη, omisso δὲ, LO: τοιήδε CHN Eust. 812, 50. Strabo XIV, 651. Plutarchus Consol. ad Apoll. 6. Diog. Laert. IX, 11, 6. Stob. Floril. 98, 29. Schol. Aristoph. Av. 686. Rhet. Gr. III, 201, 24; 240, 15. Et. Mg. 225, 32; 761, 20; 802, 15. — 148 ἔαρόϲ τ' L. ἔαροϲ ὅτε||||||γίνεται G. ἐπιγίγνεται L: ἐπιγίνεται ADE bis MNOS Lips. Euseb. Praep. Ev. XV, 4, 13. ἐπιγείνεται CH. ἐπεγείνατο Vrat. a. ὥρη: ὥρῃ AE bis HS.

A. c. 135 φοβηθεὶϲ: ὅτι Ζηνόδοτοϲ γρ. χολωθεὶϲ Aristonicus. — 143 ἆϲϲον: ἄϲϲον Herodianus, conf. Et. Mg. 158, 13. Cram. Epim. 42, 28. H. T. 206. — 146 τοίη δὲ Aristarchus et Herodianus, non τοιῆδε. — 148 Ἀριϲτοφάνηϲ γράφει τηλεθόωντα, καὶ ἐπὶ τῶν φύλλων ἀκούει, καὶ τὸ ὥρῃ μετὰ τοῦ ῑ γράφει κατὰ δοτικὴν Didymus.

ὣϲ ἀνδρῶν γενεὴ ἣ μὲν φύει, ἣ δ' ἀπολήγει.
εἰ δ' ἐθέλειϲ, καὶ ταῦτα δαήμεναι, ὄφρ' εὖ εἰδῇϲ
ἡμετέρην γενεήν, πολλοὶ δέ μιν ἄνδρεϲ ἴϲαϲιν·
ἔϲτι πόλιϲ Ἐφύρη μυχῷ Ἄργεοϲ ἱπποβότοιο,
ἔνθα δὲ Ϲίϲυφοϲ ἔϲκεν, ὃ κέρδιϲτοϲ γένετ' ἀνδρῶν,
Ϲίϲυφοϲ Αἰολίδηϲ· ὃ δ' ἄρα Γλαῦκον τέκεθ' υἱόν,
αὐτὰρ Γλαῦκοϲ ἔτικτεν ἀμύμονα Βελλεροφόντην·
τῷ δὲ θεοὶ κάλλόϲ τε καὶ ἠνορέην ἐρατεινὴν
ὤπαϲαν. αὐτάρ οἱ Προῖτοϲ κακὰ μήϲατο θυμῷ,
ὅϲ ῥ' ἐκ δήμου ἔλαϲϲεν, ἐπεὶ πολὺ φέρτεροϲ ἦεν,
Ἀργείων· Ζεὺϲ γάρ οἱ ὑπὸ ϲκήπτρῳ ἐδάμαϲϲε.
τῷ δὲ γυνὴ Προίτου ἐπεμήνατο, δῖ' Ἄντεια,
κρυπταδίῃ φιλότητι μιγήμεναι· ἀλλὰ τὸν οὔ τι
πεῖθ' ἀγαθὰ φρονέοντα, δαΐφρονα Βελλεροφόντην.
ἣ δὲ ψευϲαμένη Προῖτον βαϲιλῆα προϲηύδα·
τεθναίηϲ ὦ Προῖτ', ἢ κάκτανε Βελλεροφόντην,
ὅϲ μ' ἔθελεν φιλότητι μιγήμεναι οὐκ ἐθελούϲῃ.
ὣϲ φάτο, τὸν δὲ ἄνακτα χόλοϲ λάβεν, οἷον ἄκουϲε·

V. l. 149 ἣ μὲν C. ἡ μὲν ADGHLMNO Apoll. Lex. 54, 7. Euseb. Praep. Ev. XV, 4, 13: ἡμὲν ES Cant. Lips. Et. Mg. 803, 29. ἣ δ' MNO. ἡ δ' ADGH Apoll. Lex. 54, 7. Euseb. Praep. Ev. XV, 4, 13: ἠδ' CELS Cant. Lips. Et. Mg. 803, 29. — 150 δὲ θέλειϲ N. ἐθέλειϲ, καὶ A. — 153 ἐνθάδε CGLMNO Schol. K 44. ἔνθα καὶ S. ὃ: ὃϲ LMNO Apoll. Lex. 98, 2. — 154 ὃ δ' DLMNO. ὅδ' CG. τέκεν M Harl. Mosc. 3. — 155 αὐτὰρ ὃ D. ἔτικτεν libri omnes. βελλερεφόντην LS. — 156 τῷδε G. κάλλόϲ τε A. — 157 κακ' ἐμήϲατο A(κὰκ')CDEGHLMNOS et Heynii libri. — 158 ἔλαϲεν G 1. man. L. φέρτεροϲ (ατοϲ supra) A. — 159 γάρ οἱ ACDGHMN 2. man. S: γάρ μιν ALN 1. man. O Vrat. a. Mosc. 1. γρ. Ζεὺϲ γάρ οἱ A. γρ. γάρ οἱ O. γρ. μιν C man. rec. ὑπο D. ἐδάμαϲϲε AC. ἐδάμαϲεν E. τε δάμαϲϲε Vrat. a. — 160 ἐπεμήνατο CH Eust. 1809, 8. δῖα GL. διάντεια H. — 161 μιγῆναι G. τὸν οὔτοι Plutarchus de Aud. poët. 11. — 162 βελλερεφόντην LS. — 163 ἣ δὲ C. προϲηῦδα D. — 164 βελλερεφόντην LS. — 165 μ' (οι supra) A. ἔθελε DEGO Lips. ἔθελ' ἐν MNS Vrat. A, conf. Cram. An. Ox. IV, 316, 23. — 166 τὸν δὲ: τὸν δ' D. τόνδ' G. ἄκουϲε ACEGHLO. —

A. c. 149 ἣ μὲν — ἣ δ': Alexio ἠμὲν — ἠδ'. — 150 ὑποϲτικτέον εἰϲ τὸ ἐθέλειϲ, ἵνα ᾖ τὸ δαήμεναι ἀντὶ προϲτακτικοῦ τοῦ δάηθι Nicanor, conf. ad Φ 487. εἰδῇϲ Ἀρίϲταρχοϲ περιϲπᾷ Herodianus. — 155 ἔτικτεν: ἰακῶϲ τὸ τίκτεν ἀρίϲταρχοϲ Didymus. Βελλεροφόντην: καὶ ὁ Βελλεροφόντηϲ δέ, φαϲιν, Ἐλλεροφόντηϲ ἐν τοῖϲ Ζηνοδότου εὕρηται Eust. 289, 39. — 157 ἀρίϲταρχοϲ ἰακῶϲ κακὰ μήϲατο Didymus. — 160 δῖ' Ἄντεια Herodianus. τινὲϲ δὲ Διάντεια ὁμοῦ ἀναγινώϲκουϲι, κακῶϲ Schol. BL.

κτεῖναι μέν ῥ' ἀλέεινε, cεβάccατο γὰρ τό γε θυμῷ,
πέμπε δέ μιν Λυκίην δέ, πόρεν δ' ὅ γε cήματα λυγρά,
γράψαc ἐν πίνακι πτυκτῷ θυμοφθόρα πολλά,
δεῖξαι δ' ἠνώγει ᾧ πενθερῷ, ὄφρ' ἀπόλοιτο.
αὐτὰρ ὁ βῆ Λυκίην δὲ θεῶν ὑπ' ἀμύμονι πομπῇ.
ἀλλ' ὅτε δὴ Λυκίην ἷξε Ξάνθόν τε ῥέοντα,
προφρονέωc μιν τῖεν ἄναξ Λυκίηc εὐρείηc.
ἐννῆμαρ ξείνιccε καὶ ἐννέα βοῦc ἱέρευcεν.
ἀλλ' ὅτε δὴ δεκάτη ἐφάνη ῥοδοδάκτυλοc ἠώc,
καὶ τότε μιν ἐρέεινε καὶ ᾔτεε cῆμα ἰδέcθαι,
ὅττί ῥά οἱ γαμβροῖο πάρα Προίτοιο φέροιτο.
αὐτὰρ ἐπεὶ δὴ cῆμα κακὸν παρεδέξατο γαμβροῦ,
πρῶτον μέν ῥα Χίμαιραν ἀμαιμακέτην ἐκέλευcε
πεφνέμεν. ἡ δ' ἄρ' ἔην θεῖον γένοc οὐδ' ἀνθρώπων,
πρόcθε λέων, ὄπιθεν δὲ δράκων, μέccη δὲ χίμαιρα,
δεινὸν ἀποπνείουcα πυρὸc μένοc αἰθομένοιο.
καὶ τὴν μὲν κατέπεφνε θεῶν τεράεccι πιθήcαc.
δεύτερον αὖ Cολύμοιcι μαχήcατο κυδαλίμοιcι·
καρτίcτην δὴ τήν γε μάχην φάτο δύμεναι ἀνδρῶν.
τὸ τρίτον αὖ κατέπεφνεν Ἀμαζόναc ἀντιανείραc.
τῷ δ' ἄρ' ἀνερχομένῳ πυκινὸν δόλον ἄλλον ὕφαινε·

V. ι. 167 cεβάcατο GL 1. man. M. τό γε: τόδε L. — 168 λυκίην δὲ A. λυκίην γε L. λυκίηνδ' ἔπορεν H. πόρε G Lips. — 169 πυκτῷ CHMNO Lips. Cant. Vrat. a. c. Mosc. 1. 3. Apoll. Lex. 55, 24. Schol. H ad α 141. Cram. An. Ox. IV, 320, 3; 324, 27. γρ. πτυκτῶ O. πτυκτῇ Bekk. An. 784, 26. τυκτῷ GL. — 170 ἠνώγει CDEGHMNO Et. Mg. 115, 29. Cram. An. Par. III, 347, 13. ἀνώγει L. ἠνώγειν A. — 171 ὁ ACDGHLMNO. λυκίην δὲ AD. θεοῦ E. — 172 ἷξε CL. ἴξε A. ἴξεν D. ἷξεν M. ἦξε G. ξάνθόν τε ACD. — 173 τίεν CGNO. — 174 ἐννῆμαρ μὲν LNO. ξείνιcε EL. — 175 φάνη CLNO. — 176 cήματ' L. — 177 ὅ,ττι G. παρὰ CGHLMNO. παρα D. περὶ S. — 178 libri ἐπειδὴ. — 179 μὲν ῥὰ GL. ἐκέλευcε ACDEGMO. — 180 ἣ δ' MNO. ἥδ' CGHL. ἂρ LMNO. ἀρ A. — 181 ὄπιθε CDGO 2. man. ὄπιcθεν H Lips. ὄπιcθε O 1. man. δὲ omitt. CG. μέϲη G. — 184 μαχέccατο ACDE 635, 50 HLMNS Strabo XII, 573; XIII, 630; XIV, 667. Schol. A 298. μαχέcατο E 635, 29 GO. κυδαλίμοιcι ACDGMNO. κυδαλίμοιc H. — 185 κρατίcτην H Lips. δὴ: δὲ E 635, 29 GL Vrat. a. τήν γε: τήνδε GL Barocc. Vrat. a. ἔμμεναι L et γρ. δύμεναι. — 186 τοτρίτον DNO. τοτρίτον M. — 187 δ' ἂρ DEGMNO. δ' ἀρ A. δ' ἀναερχομένω HL, conf. Δ 392. ἀπερχομένῳ Lips. πυκνὸν H. δόλον A in marg. CD 1. man. EGLMNO. λόχον AD ex corr. H. ὕφαινε ACGHLMNO.

A. c. 170 οὕτωc cὺν τῷ ν̄ ἠνώγειν Ἀρίcταρχοc Didymus. — 171 ὑπ': μετ' Ixion. — 174 ἀρίcταρχοc καὶ ξείνιccε καὶ ξείνιζε Didymus. — 187 ἀνερχομένῳ: οὕτωc ἀρίcταρχοc, ἄλλοι δὲ διὰ τοῦ ε̄ ἐπερχομένῳ Didymus. fallitur Schol. V Ἀρίcταρχοc ἀπερχομένῳ.

κρίναc ἐκ Λυκίηc εὐρείηc φῶταc ἀρίcτουc
εἷcε λόχον· τοὶ δ' οὔ τι πάλιν οἶκον δὲ νέοντο·
πάνταc γὰρ κατέπεφνεν ἀμύμων Βελλεροφόντηc.
ἀλλ' ὅτε δὴ γίγνωcκε θεοῦ γόνον ἠὺν ἐόντα,
αὐτοῦ μιν κατέρυκε, δίδου δ' ὅ γε θυγατέρα ἥν,
δῶκε δέ οἱ τιμῆc βαcιληίδοc ἥμιcυ πάcηc·
καὶ μέν οἱ Λύκιοι τέμενοc τάμον ἔξοχον ἄλλων,
καλὸν φυταλιῆc καὶ ἀρούρηc, ὄφρα νέμοιτο.
ἡ δ' ἔτεκε τρία τέκνα δαΐφρονι Βελλεροφόντῃ,
Ἴcανδρόν τε καὶ Ἱππόλοχον καὶ Λαοδάμειαν.
Λαοδαμείῃ μὲν παρελέξατο μητίετα Ζεύc,
ἡ δ' ἔτεκ' ἀντίθεον Cαρπηδόνα χαλκοκορυcτήν.
ἀλλ' ὅτε δὴ καὶ κεῖνοc ἀπήχθετο πᾶcι θεοῖcιν,
ἤ τοι ὁ κὰπ πεδίον τὸ Ἀλήιον οἶοc ἀλᾶτο,
ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων,
Ἴcανδρον δέ οἱ υἱὸν Ἄρηc ἆτοc πολέμοιο
μαρνάμενον Cολύμοιcι κατέκτανε κυδαλίμοιcι,
τὴν δὲ χολωcαμένη χρυcήνιοc Ἄρτεμιc ἔκτα.
Ἱππόλοχοc δ' ἔμ' ἔτικτε, καὶ ἐκ τοῦ φημι γενέcθαι·
πέμπε δέ μ' ἐc Τροίην, καί μοι μάλα πόλλ' ἐπέτελλεν,
αἰὲν ἀριcτεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων,

V. ι. 188 ἐείκοcι φῶταc ἀρίcτουc Townl Et. Mg. 538, 41. γρ. καὶ εἴκοcι φῶταc L. — 189 οἶκον δὲ A. οἶκονδε CDHLMO. οἶκονδε E bis GN. — 190 πάνταc δὲ L. βελλερεφόντηc LS. — 191 γίνωcκε ACDEGHLMNO Lips. Cant. Mor. Vrat. A. — 192 δίδου γ' ὅγε H. δίδου ὅγε Lips. — 193 βαcϊλήϊοc N. — 194 οἱ, λύκιοι A. — 195 ὄφρα νέμοιτο: πυροφόροιο ALO, conf. Μ 314. γρ. ὄφρα νέμοιτο A. γρ. ὄφρα νέμηται O. — 196 ἣ δ' H. ἥδ' CGLMNO. βελλεροφοντῒ G. βελλερεφόντῃ LS. — 199 ἥδ' CHLMNO. χαλκοκορυcτήν A. — 200 καὶ κεῖνοc AE: κἀκεῖνοc C post. ras. DGHLMNO. θεοῖcι DO. αὐτὰρ ἐπεὶ καὶ κεῖνοc Aristoteles Probl. XXX, 1. — 201 ἦτοι Schol. Pind. Ol. XIII, 130. ὁ CDGLMO. καππεδίον ACDEGHLMNO Aristot. Probl. XXX, 1. Schol. Pind. Ol. XIII, 130. Et. Mg. 62, 24. Rhet. Gr. III, 115, 29. ὅ γ' ἐc πεδίον Rhet. Gr. II, 251, 17. — 203 Ἴcανδρον: Πείcανδρον Strabo XII, 573; XIII, 631. — 204 κατέκτα Lips. κυδαλίμοιcι ACDGMNO. — 205 τήνδε H. κ|||||έκτα D. — 206 *δ' ἔμ' ἔτικτε: δέ μ' ἔτικτε ACDEGHLMNOS Athenaeus X, 458. τοῦ φημὶ libri cum Athenaeo. — 207 τροίαν G. ἐπέτελλε D.

A. c. 201 τὸ δὲ ἀλήιον οἳ μὲν ἐψίλωcαν (in his Aristarchus) οἳ δὲ ἐδάcυναν Schol. A, conf. Et. Mg. 62, 34. — 206 δ' ἔμ' ἔτικτε scripsi contra libros, ut Ν 452, τ 181. pronomen enim hoc loco premendum est propter notionem discretivam, vel ut verbis veterum grammaticorum utar ὅτι ἀντιδιαcταλτικῶc κεῖται, cf. H. U. 280.

μὴ δὲ γένος πατέρων αἰςχυνέμεν, οἳ μέγ' ἄριςτοι
ἔν τ' Ἐφύρῃ ἐγένοντο καὶ ἐν Λυκίῃ εὐρείῃ.
ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι.
ὣς φάτο, γήθηςεν δὲ βοὴν ἀγαθὸς Διομήδης.
ἔγχος μὲν κατέπηξεν ἐπὶ χθονὶ πουλυβοτείρῃ,
αὐτὰρ ὃ μειλιχίοιςι προςηύδα ποιμένα λαῶν·
ἦ ῥά νύ μοι ξεῖνος πατρώιός ἐςςι παλαιός·
Οἰνεὺς γάρ ποτε δῖος ἀμύμονα Βελλεροφόντην
ξείνις' ἐνὶ μεγάροιςιν ἐείκοςιν ἤματ' ἐρύξας·
οἳ δὲ καὶ ἀλλήλοιςι πόρον ξεινήια καλά·
Οἰνεὺς μὲν ζωςτῆρα δίδου φοίνικι φαεινόν,
Βελλεροφόντης δὲ χρύςεον δέπας ἀμφικύπελλον,
καί μιν ἐγὼ κατέλειπον ἰὼν ἐν δώμας' ἐμοῖςι.
Τυδέα δ' οὐ μέμνημαι, ἐπεί μ' ἔτι τυτθὸν ἐόντα
κάλλιφ', ὅτ' ἐν Θήβηςιν ἀπώλετο λαὸς Ἀχαιῶν.
τῷ νῦν ςοὶ μὲν ἐγὼ ξεῖνος φίλος Ἄργεϊ μέςςῳ
εἰμί, ςὺ δ' ἐν Λυκίῃ, ὅτε κεν τῶν δῆμον ἵκωμαι.
ἔγχεα δ' ἀλλήλων ἀλεώμεθα καὶ δι' ὁμίλου·

V. l. 209 μὴ δὲ ACDGHLMNO: μηδὲ E. — 210 ἔντε φύρῃ L. — 211 ταύτης: τοίης Schol. Plat. Gorg. 449 A. τοι: τῆς Plato Soph. 268 D. δὴ G. γενεᾶς D. τε καί: καὶ H Cant. Schol. Plat. Gorg. 449 A. Bekk. Anecd. 356, 18. Bachm. Anecd. I, 44, 27. Zonar. Lex. 87 τοι καὶ L. καὶ εὔχομαι αἵματος εἶναι Lips. Mosc. 3. — 212 ὡς A. γήθηςε CG Lips. ῥῖγηςε[θη] N, θη man. rec., quae ῥῖ delevit. — 213 πολυβοτείρηι D. — 214 ὃ ACDGHLMNO. προςηῦδα D. — 215 ῥα HO. ῥὰ DN. πατρώϊος ἐςςὶ EGLMNO. — 216 βελλερεφόντην LS. — 217 ξείνις' ἐνὶ EHLNO. ἐνι CD. ξείνις' ἐν GM. ξείνιςεν ἐν A Mor. γρ. ξείνις' ἐνιμεγάροιςιν A. ἐνϊμμεγάροιςιν C. ἤματ' DG. — 218 οἳ δὲ C. — 220 βελλερεφόντης LS. χρύςειον GLN. — 221 καὶ τόγ' ἐγὼ H. κατέλιπον C post. ras. DMN. δώμαςιν D. ἐμοῖςι A Ambr. CDHMNO. — 222 μέμνημ' H. — 223 ΚΑΛΛΙΠ' Ambros. θήβαιςιν[η] H. — 224 τῶ ACGHLMNO. τῶι D. ΤΩΙ Ambros. ξέ|||νος ἄργεϊ μέςςῳ εἰμί G post ras. deleto man. rec. εἰμί in versu 225 et φίλος super ξένος scripto. φίλος omitt. M. — 225 εἶμι M. δὲ|||λυκίῃ G. τῶν: τὸν N Townl. 1. man. Vrat. a. conf. Ω 481; ο 228, 238, υ 219. — 226 ἔγχεα MNO Harl. Townl. Leid. Mosc. 1. a. man. sec. 3. ἔγχεα[ci] A. ἔγχε|||||[ci] C: ἔγχεςι DEGHLS Lips.

A. c. 213 ἐνὶ χθονὶ Bekk. ex coni. collatis Η 441, Λ 378. adde Κ 374, Λ 574, Ο 317, Υ 279, Φ 69, 168, Χ 276. sed Ψ 876 poëta dixit ἂψ ἐπὶ γαίῃ πρόςθεν Μηριόναο πάγη ποδός, quem locum Bekkerus non tetigit. ceteris locis ἐπὶ χθονί (γαίῃ) significat „auf die Erde", non „in die Erde", conf. Γ 89, 114, Ζ 473, Θ 73, Μ 158, Π 310, Ρ 58, ω 553. — 222, 223 ἄτοποι οἱ δύο ςτίχοι Schol. LV. — 226 Aristarchus ἔγχεα δ' ἀλλήλων: Zenodotus ἔγχεςι δ' ἀλλήλους.

πολλοὶ μὲν γὰρ ἐμοὶ Τρῶες κλειτοί τ' ἐπίκουροι
κτείνειν, ὅν κε θεός γε πόρῃ καὶ ποςςὶ κιχείω,
πολλοὶ δ' αὖ ςοὶ Ἀχαιοὶ ἐναιρέμεν, ὅν κε δύνηαι.
τεύχεα δ' ἀλλήλοις ἐπαμείψομεν, ὄφρα καὶ οἵδε
γνῶςιν, ὅτι ξεῖνοι πατρώιοι εὐχόμεθ' εἶναι.
ὣς ἄρα φωνήςαντε, καθ' ἵππων ἀίξαντε,
χεῖράς τ' ἀλλήλων λαβέτην καὶ πιςτώςαντο.
ἔνθ' αὖτε Γλαύκῳ Κρονίδης φρένας ἐξέλετο Ζεύς,
ὃς πρὸς Τυδείδην Διομήδεα τεύχε' ἄμειβε
χρύςεα χαλκείων, ἑκατόμβοι' ἐννεαβοίων.
Ἕκτωρ δ' ὡς Cκαιάς τε πύλας καὶ φηγὸν ἵκανεν,
ἀμφ' ἄρα μιν Τρώων ἄλοχοι θέον ἠδὲ θύγατρες
εἰρόμεναι παῖδάς τε καςιγνήτους τε ἔτας τε
καὶ πόςιας· ὃ δ' ἔπειτα θεοῖς εὔχεςθαι ἀνώγει
πάςας ἑξείης· πολλῇςι δὲ κήδε' ἐφῆπτο.
ἀλλ' ὅτε δὴ Πριάμοιο δόμον περικαλλέ' ἵκανε,
ξεςτῇς αἰθούςῃςι τετυγμένον, αὐτὰρ ἐν αὐτῷ
πεντήκοντ' ἔνεςαν θάλαμοι ξεςτοῖο λίθοιο,
πληςίον ἀλλήλων δεδμημένοι· ἔνθα δὲ παῖδες
κοιμῶντο Πριάμοιο παρὰ μνηςτῇς ἀλόχοιςι.

V. l. 227 τρῷες L. τρῶες ἐμοὶ Harl. τρῷες ἐμοὶ G. κλητοί O Mor. Barocc. Vrat. a. — 228 κτείνειν, ὅν ACEGL. ὅν γε N. ὅν γ' M. ὅν τε Cant. θεός τε S Cant. πόροι EGLMN Lips. Cant. Harl. πορῇ[οι] S. — 229 ςοι HL. ἐναιρέμεν, ὅν DEL. — 230 ἀλλήλοις' G. ἀλλήλοιςι S. ἀλλήλων Schol. Ζ 234. ἐπαμείψωμεν DH. ἀπαμείψομεν S. οἷδε AD: ceteri οἵδε. — 232 ὡς A. φωνήςαντες et ἀΐξαντες O 1. man. — 233 βαλέτην LO. γρ. λαβέτην O. καὶ ἐπιςτώςαντο E 638, 30 Vrat. a. κἀπιςτώςαντο M. — 234 ἔνθ' αὖ G. ἔνθά τε D. — 235 προς A. ἄμειβε AGHLMNO Lips. — 236 ἐννεαβοίων A. — 237 φηγὸν CDEGHLMN: πύργον AOS Cant. Lips. Mor. suprascr. Harl. Vrat. b. A. Mosc. 1. 2. Apoll. Lex. 170, 13. Hesych. IV, 335. καὶ φηγὸν A suprascr. γρ. φηγὸν S Lips. — 238 τρώων GL. — 239 καςιγνήτους τὲ A. — 240 ὃ δ' DHMNO. ὅδ' CGL. — 241 πάςας libri omnes. — 242 ἵκανε ACGHMNO. — 243 ξεςταῖς L. αἰθούςςῃςϊ H. αἰθούςςῃςε A. — 244 ενέςαν D. ἔςαν C. ἔςςαν NO. γρ. ἔνεςαν O. πεντήκοντα ἔςαν G. — 245 πληςίον DMNOS Barocc. Vrat. a. b. c. A. Mosc. 3. πληςίον[ι] A: ceteri πληςίοι. ἐνθάδε HNO. ἔνθάδε M. — 246 παρὰ μνηςτῇις' A. μνηςταῖς G. παρ' αἰδοίῃς M Townl. Vrat. b. παρ' αἰδίης H. ἐν ἄλλῳ παραιδοίης ἀλόχοιςι A. ἀλόχοιςι ACDEGHMNO.

A. c. 229 δύνηαι Aristarchus cum ceteris: δυνῆαι Tyrannio, cf. H. T. 228. — 239 Herodianus et Ptolemaeus Ascalonita ἔτας: ἕτας Alexio, conf. Eust. 641, 58. — 241 Aristarchus πάςας ἑξείης: ἔν τιςι γράφεται πᾶςι μάλ' ἑξείης Aristonicus. — 244 ἔνεςαν Aristarchus.

κουράων δ' ἑτέρωθεν ἐναντίοι ἔνδοθεν αὐλῆc
δώδεκ' ἔcαν τέγεοι θάλαμοι ξεcτοῖο λίθοιο,
πληcίον ἀλλήλων δεδμημένοι· ἔνθα δὲ γαμβροὶ
κοιμῶντο Πριάμοιο παρ' αἰδοίῃc ἀλόχοιcιν.
ἔνθά οἱ ἠπιόδωροc ἐναντίη ἤλυθε μήτηρ
Λαοδίκην ἐcάγουcα, θυγατρῶν εἶδοc ἀρίcτην·
ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔποc τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
τέκνον, τίπτε λιπὼν πόλεμον θραcὺν εἰλήλουθαc;
ἦ μάλα δὴ τείρουcι δυcώνυμοι υἷεc Ἀχαιῶν
μαρνάμενοι περὶ ἄcτυ· cὲ δ' ἐνθάδε θυμὸc ἀνῆκεν
ἐλθόντ' ἐξ ἄκρηc πόλιοc Διὶ χεῖραc ἀναcχεῖν.
ἀλλὰ μέν', ὄφρά κέ τοι μελιηδέα οἶνον ἐνείκω,
ὡc cπείcῃc Διὶ πατρὶ καὶ ἄλλοιc ἀθανάτοιcι
πρῶτον, ἔπειτα δὲ καὐτὸc ὀνήcεαι, αἴ κε πίηcθα.
ἀνδρὶ δὲ κεκμηῶτι μένοc μέγα οἶνοc ἀέξει,
ὡc τύνη κέκμηκαc ἀμύνων cοῖcιν ἔτῃcι.
τὴν δ' ἠμείβετ' ἔπειτα μέγαc κορυθαίολοc Ἕκτωρ·
μή μοι οἶνον ἄειρε μελίφρονα πότνια μῆτερ,

V. ʟ. 247 ἐναντίον N Vrat. b. — 248 ἔccαν N. — 249 πληcίον DMO 1. man. S. πληcίοι A. ἐνθάδε HLNO. ἔνθα γε G. ἐνθά γε Vrat. b. — 250 παρ' αἰδοίηιc' A. παραιδοίηc D. αἰδοίηc M. αἰδῖηc H. αἰδοίαιc G. παρὰ μνηcταῖc Mor. ἀλόχοιcι DHM. ἐν ἄλλῳ παρὰ μνηcτῆc ἀλόχοιcι A. — 251 ἔνθά οἱ ACDGHLMNO. ἠπιόδωροc A. ἐναντίον Mosc. 2. — 252 εἰcάγουcα EL. — 253 ἐνδ' M Harl. ἄρά οἱ O Et. Mg. 803, 31. ὀνόμαζε ACDGHLMNO. — 256 περιάcτυ A. — 257 πόλεωc S. πόληοc M. — 258 καίτοι DG. — 259 ἀθανάτοιcι AGHLMNO. — 260 δὲ καὐτὸc H Et. Mg. 628, 10. Et. Gud. 422, 24. δε καὐτὸc D. δὲ καὶ αὐτὸc G Athenaeus II, 35. Schol. Γ 246. Eust. 1077, 54. δὲ αὐτὸc Eust. 641, 13; 1765, 31. δὲ κ' αὐτὸc Et. Mg. 618, 26. Et. Gud. 429, 52. Eust. 640, 43. δέ καὐτὸc AC 2. man. δέ κ' αὐτὸc C 1. man. LMNO Schol. Υ 311, γ 255. Eust. 1774, 47. Cram. Epim. 306, 8; 322, 23; 332, 19. An. Par. III, 357, 12. — 261 δὲ omitt. H. κεκμηότι L. οἶνοc μένοc μέγα ἀέξει O. οἶνοc μάλα μένοc ἀέξει L. μέγα omitt. M. μέγα cθένοc οἶνοc ἀέξει Boissonad. Anecd. I, 114. — 262 ἔτῃcι CDM post. ras. O. ἑτηιcι A. — 263 τὴν δ' ἐπαμείβετ' Vrat. a. κορυθαιόλοc D.

A. c. 250 οὕτωc ἀρίcταρχοc παραιδοίηιc' (sic) Didymus. — 260 δέ κ' αὐτὸc Ptolem. Ascalonita cum Aristarcho, conf. Ariston. ad Υ 311, qui hoc loco corrigendus est ὅτι τὸ πλῆρέc ἐcτι κε (cod. καὶ) αὐτόc. Ὁμηρικὸν δὲ τὸ τὸν κὲ (cod. καί) περιττὸν εἶναι. Herodianus utramque scripturam novit, δὲ καὐτὸc et δέ κ' αὐτόc, conf. H. U. 283 sq. — 262 ἔτῃcι: ἔτηcι, conf. 239.

μή μ' ἀπογυιώcῃc μένεοc, ἀλκῆc τε λάθωμαι·
χερcὶ δ' ἀνίπτοιcιν Διὶ λείβειν αἴθοπα οἶνον
ἅζομαι· οὐδέ πῃ ἔcτι κελαινεφέι Κρονίωνι
αἵματι καὶ λύθρῳ πεπαλαγμένον εὐχετάαcθαι.
ἀλλὰ cὺ μὲν πρὸc νηὸν Ἀθηναίηc ἀγελείηc
ἔρχεο cὺν θυέεccιν ἀολλίccαcα γεραιάc·
πέπλον δ', ὅc τίc τοι χαριέcτατοc ἠδὲ μέγιcτοc
ἔcτιν ἐνὶ μεγάρῳ καί τοι πολὺ φίλτατοc αὐτῇ,
τὸν θὲc Ἀθηναίηc ἐπὶ γούναcιν ἠυκόμοιο,
καί οἱ ὑποcχέcθαι δυοκαίδεκα βοῦc ἐνὶ νηῷ
ἤνιc ἠκέcταc ἱερευcέμεν, αἴ κ' ἐλεήcῃ
ἄcτύ τε καὶ Τρώων ἀλόχουc καὶ νήπια τέκνα,
αἴ κεν Τυδέοc υἱὸν ἀπόcχῃ Ἰλίου ἱρῆc,
ἄγριον αἰχμητήν, κρατερὸν μήcτωρα φόβοιο.
ἀλλὰ cὺ μὲν πρὸc νηὸν Ἀθηναίηc ἀγελείηc
ἔρχευ, ἐγὼ δὲ Πάριν μετελεύcομαι, ὄφρα καλέccω,
αἴ κ' ἐθέλῃc' εἰπόντοc ἀκουέμεν. ὥc κέ οἱ αὖθι
γαῖα χάνοι· μέγα γάρ μιν Ὀλύμπιοc ἔτρεφε πῆμα

V. ʟ. 265 μένεοc δ' LO. μένεοc τ' G. δ' omittunt ACDEHMNS Cant. Lips. Townl. Vrat. b. Mosc. 1. 2. Apoll. Lex. 40, 2. — 266 ἀνίπτοιcι CDEGHLMNO. ἀνίπτῃcι S. — 267 πῃ AEO: ceteri πη. ἔcτι: ἐcτὶ CEGLMNO. ἐcτι D. — 269 cὺ μὲν: cύγε N. προc A. — 270 cυν AD. θυέccιν L. θύεεccι D (sic). ἀολλίccαcα ADGL Et. Mg. 116, 50: ἀολλίcαcα CEHN. ἀολίcαcα MO. ἀολλήcαcα S. γερεάc G. γρ. καὶ γεραιράc A. — 271 πέπλον ACDGMNO. πέπλον (ω suprascr.) H. πέπλων L Barocc. Harl. Lips. suprascr. Vrat. a. Mosc. 2. πέπλοc Vrat. b. Mosc. 1. 3. ὅc τίc ACMNO: ceteri ὅcτιc. — 272 ἐcτὶν O. ἐνι A. ἐν G Lips. ἐνὶμμεγάρῳ HS. καί cοι N. πολυφίλτατοc D. — 273 ἐπι A. — 274 δυοκαίδεκα ACGL. ἐνι AD. — 275 ἧνιc GLO. ἱερευcαίμεν D. αἴ κ': εἰ Vrat. a. ἐλεήcει N Vrat. a. — 276 ἄcτύ τε A. ἄcτυ τὲ HLMN. τρῴων GL. — 277 ἀπόcχοι G Mor. Barocc. — 278 ἄγριον· αἰχμητὴν· κρατερὸν A. ἄγριον· αἰχμητὴν κρατερὸν· μήcτωρα L. — 280 ἔρχεο D. καλέω G. κελεύcω Vrat. a. 1. man. — 281 ὥc κέ οἱ ACGLMNO Cant. Mor. Mosc. 1. ὡc καί οἱ DH Townl. Mosc. 2. ὥc κέν οἱ E Lips. — 282 ἔτραφε DEMO.

A. c. 265 δ' post μένεοc omittit Aristarchus, conf. Eust. 641, 27, eaque sola est vera ac genuina lectio, quam consensus omnium fere librorum tuetur. accedit auctoritas Platonis, qui in Cratylo 415 A. locum nostrum ita laudat „μή μ' ἀπογυιώcῃc μένεοc", unde apparet, Platonem genetivum μένεοc ad ἀπογυιώcῃc retulisse. — 266 οὕτωc ἀρίcταρχοc καὶ ἡρωδιανὸc διὰ τοῦ η ἀνίπτηιcιν Schol. A. ὅτι Ζηνόδοτοc γρ. ἀνίπτηcιν· οὐκ ἔcτι δὲ ἡ εὐθεῖα ἀνίπτηc Aristonicus, conf. H. T. 388. — 268 Aristarchus, Ptolem. Ascalonita, Herodianus εὐχετάᾰcθαι: alii εὐχεταᾶcθαι.

Τρωϲί τε καὶ Πριάμῳ μεγαλήτορι τοῖό τε παιϲίν.
εἰ κεῖνόν γε ἴδοιμι κατελθόντ' Ἄϊδοϲ εἴϲω,
φαίην κε φρέν' ἀτέρπου ὀϊζύοϲ ἐκλελαθέϲθαι.
ὣϲ ἔφαθ', ἣ δὲ μολοῦϲα ποτὶ μέγαρ' ἀμφιπόλοιϲι
κέκλετο· ταὶ δ' ἄρ' ἀόλλιϲϲαν κατὰ ἄϲτυ γεραιάϲ.
αὐτὴ δ' ἐϲ θάλαμον κατεβήϲετο κηώεντα,
ἔνθ' ἔϲάν οἱ πέπλοι παμποίκιλοι, ἔργα γυναικῶν
Ϲιδονίων, τὰϲ αὐτὸϲ Ἀλέξανδροϲ θεοειδὴϲ
ἤγαγε Ϲιδονίηθεν, ἐπιπλὼϲ εὐρέα πόντον,
τὴν ὁδὸν ἣν Ἑλένην περ ἀνήγαγεν εὐπατέρειαν.
τῶν ἕν' ἀειραμένη Ἑκάβη φέρε δῶρον Ἀθήνῃ,
ὃϲ κάλλιϲτοϲ ἔην ποικίλμαϲιν ἠδὲ μέγιϲτοϲ,
ἀϲτὴρ δ' ὣϲ ἀπέλαμπεν· ἔκειτο δὲ νείατοϲ ἄλλων.
βῆ δ' ἰέναι, πολλαὶ δὲ μετεϲϲεύοντο γεραιαί.
αἳ δ' ὅτε νηὸν ἵκανον Ἀθήνηϲ ἐν πόλει ἄκρῃ,
τῇϲι θύραϲ ὤϊξε Θεανὼ καλλιπάρῃοϲ,
Κιϲϲηΐϲ, ἄλοχοϲ Ἀντήνοροϲ ἱπποδάμοιο·
τὴν γὰρ Τρῶεϲ ἔθηκαν Ἀθηναίηϲ ἱέρειαν.
αἳ δ' ὀλολυγῇ πᾶϲαι Ἀθήνῃ χεῖραϲ ἀνέϲχον.
ἣ δ' ἄρα πέπλον ἑλοῦϲα Θεανὼ καλλιπάρῃοϲ
θῆκεν Ἀθηναίηϲ ἐπὶ γούναϲιν ἠυκόμοιο,

V. L. 283 τρωϲὶ L. τρωϲί τὲ N. παιϲί D. — 284 γ' εἴδοιμι LMNO Mor. — 285 κε C Lips.: κεν: A Ambr. DEGHLMNOS. ἀτέρ που A. ἐπιλαθέϲθαι Vrat. A. — 286 ὡϲ A. ἡ δὲ C. ἀμφιπόλοιϲι A Ambr. CGHMNO. — 287 ταί: αἱ E. ἆρ DGMO. ἀρ A. ἀόλλϊϲαν CDH. ἀόληϲαν N. — 288 κατεβήϲατο CDGLMO. καταβήϲετο H. κατεβήϲετο (α supra ε) A. ΗΔ' ΕΙϹ ΟΙΚΟΝ ΙΟΥϹΑ ΠΑΡΙϹΤΑΤΟ ΦΩΡΙΑΜΟΙϹΙΝ Ambrosianus. eundem habet D in margine manu recentiore scriptum. — 289 ἔϲάν AL Schol. B 255. Bekk. An. 1154: vulgo ἔϲαν. οἱ, πέπλοι AC. παμποίκιλα M. — 290 τάϲ: AC Ambros. ἃϲ Strabo I, 41. — 293 ἀειρομένη M Harl. — 295 ὡϲ DH. ἔλαμπεν G. — 296 πολλαί τε H. μετεϲεύοντο L. μετεϲϲίλοντο G. — 297 αἳ δ' DMNO. αἴδ' GH. γρ. ἀλλ' ὅτε Lips. ὅτε δὴ D. ἀθηναίηϲ DG. — 298 τάϲ γε θύραϲ G. ΚΑΛΛΙΠΑΡΗΟϹ Ambros. cum plerisque: καλλιπάρῃοϲ EHO. — 300 γάρ: καὶ H. τρῷεϲ GL. — 301 αἳ δ' DMNO. αἴδ' CGHL. χεῖραϲ ἀνέϲχον ἀθήνῃ N. — 302 ἥδ' CHLMNO.

A. c. 285 ἔϲτι δὲ καὶ ἄλλη γραφή. „φαίην περ“ Schol. LV. φρέν' ἀτέρπου: φίλον ἦτορ Zenodotus. alii φρέν' ἄτερ που, conf. Eust. 642, 16. in his Aristarchum fuisse patet ex scholio Aristonici ὅτι τὸ ϲημαινόμενον, εἰ ἐκεῖνον ἴδοιμι τετελευτηκότα, δόξαιμι ἂν ἐκλελῆϲθαι τῆϲ κακοπαθείαϲ καὶ χωρὶϲ αὐτῆϲ γεγονέναι. ἔνιοι δὲ ἀγνοήϲαντεϲ γράφουϲιν ἀτέρπου, conf. Schol. BL et D. — 288 ἐν ταῖϲ ἀριϲτάρχου φέρεται καὶ ἑτέρωϲ „ἡ δ' εἰϲ οἶκον ἰοῦϲα παρίϲτατο φωριαμοῖϲιν“ (qui habetur ο 104) Didymus. — 289 ἔϲάν οἱ Aristarchus, conf. Bekk. An. 1154. H. T. 414.

εὐχομένη δ' ἠρᾶτο Διὸϲ κούρῃ μεγάλοιο·
πότνι' Ἀθηναίη, ἐρυϲίπτολι, δῖα θεάων,
ἆξον δὴ ἔγχοϲ Διομήδεοϲ, ἠδὲ καὶ αὐτὸν
πρηνέα δὸϲ πεϲέειν Ϲκαιῶν προπάροιθε πυλάων,
ὄφρά τοι αὐτίκα νῦν δυοκαίδεκα βοῦϲ ἐνὶ νηῷ
ἤνιϲ ἠκέϲταϲ ἱερεύϲομεν, αἴ κ' ἐλεήϲῃϲ
ἄϲτύ τε καὶ Τρώων ἀλόχουϲ καὶ νήπια τέκνα.
ὣϲ ἔφατ' εὐχομένη, ἀνένευε δὲ Παλλὰϲ Ἀθήνη.
ὣϲ αἳ μέν ῥ' εὔχοντο Διὸϲ κούρῃ μεγάλοιο,
Ἕκτωρ δὲ πρὸϲ δώματ' Ἀλεξάνδροιο βεβήκει
καλά, τά ῥ' αὐτὸϲ ἔτευξε ϲὺν ἀνδράϲιν, οἳ τότ' ἄριϲτοι
ἦϲαν ἐνὶ Τροίῃ ἐριβώλακι τέκτονεϲ ἄνδρεϲ,
οἵ οἱ ἐποίηϲαν θάλαμον καὶ δῶμα καὶ αὐλὴν
ἐγγύθι τε Πριάμοιο καὶ Ἕκτοροϲ, ἐν πόλει ἄκρῃ.
ἔνθ' Ἕκτωρ εἰϲῆλθε διίφιλοϲ, ἐν δ' ἄρα χειρὶ
ἔγχοϲ ἔχ' ἑνδεκάπηχυ· πάροιθε δὲ λάμπετο δουρὸϲ
αἰχμὴ χαλκείη, περὶ δὲ χρύϲεοϲ θέε πόρκηϲ.
τὸν δ' εὗρ' ἐν θαλάμῳ περικαλλέα τεύχε' ἕποντα,
ἀϲπίδα καὶ θώρηκα, καὶ ἀγκύλα τόξ' ἀφόωντα·
Ἀργείη δ' Ἑλένη μετ' ἄρα δμῳῇϲι γυναιξὶν
ἧϲτο καὶ ἀμφιπόλοιϲι περικλυτὰ ἔργα κέλευε.

V. L. 305 ἐρυϲίπτολι A. — 306 ἆξον ADGMN Et. Mg. 15, 23. Schol. Ϲ 521. Cram. An. Ox. IV, 369, 32: ἄξον CEHLO Apoll. Lex. 37, 12. Eust. 1287, 10. Cram. Epim. 76, 15. An. Ox. III, 293, 6. — 308 ὄφρά τοι ACDHNO. δυοκαίδεκα AGL. ἐνι A. — 309 ἦνιϲ GLMO. ἀκέϲταϲ G. ἱερευϲέμεν H. ἱερεύϲωμεν LO. — 310 ἄϲτύ τε A ἄϲτυ τὲ CHMN. τρῴων GL. — 311 ὡϲ A. ἀνένευϲε N. — 312 ὡϲ A. ῥ' omitt. O — 313 βέβηκε S. — 314 κάλ' ἅτ' ἄρ' Vrat. a. — 315 ἔνι AD. τροίηϲ D. — 317 ἐγγύθι τε LMNO. — 318 διῒ φίλοϲ ACDGHLMNOS. Pseudoplut. 121, 30. — 319 ἑνδεκάπηχυ A. δ' ἐλάμπετο G. — 321 θαλάμῳ: μεγάροιϲ H. ἕποντα AGHL. ἔχοντα Cram. Epim. 435, 4. — 322 τόξ' ἀφόωντα AD ex corr. GHLMN Lips. Et. Mg. 178, 30. Apoll. Lex. 26, 7. τόξ' ἀφόοντα O. τόξ' ἀφώωντα CE Zonar. Lex. 554. τόξα φόωντα D 1. man. Zonar. Lex. 1821, conf. Et. Mg. 178, 31. — 323 μετά ῥα EN Cant. μετὰ ῥὰ S. μετάρα D. — 324 περικλυτὰ A. ἔργα κέλευε ACDEGHO. ἔργ' ἐκέλευεν LMN. —

A. c. 305 ἐρυϲίπτολι: ἄμεινον ῥυϲίπτολι Schol. ABLV. — 306 ἆξον Herodianus, vid. π. διχρόνων 293, 7. — 308 δυοκαίδεκα: δύο καὶ δέκα Pamphilus, conf. H. T. 228. — 319 ἔχ' ἑνδεκάπηχυ Heracleo, Alexio, Herodianus: alii ἔχεν δεκάπηχυ. ὁ Ἀϲκαλωνίτηϲ οὐδεμίαν προκρίνει Herodianus, conf. Eust. 644, 37. — 322 τὸ δὲ φόωντα τινὲϲ λαμπρύνοντα, παρὰ τὸ φῶϲ· ἢ ἀφόωντα ἀντὶ τοῦ ἐρευνῶντα, ψηλαφῶντα Schol. LV.

τὸν δ' Ἕκτωρ νείκεϲϲεν ἰδὼν αἰϲχροῖϲ ἐπέεϲϲι·
δαιμόνι', οὐ μὲν καλὰ χόλον τόνδ' ἔνθεο θυμῷ.
λαοὶ μὲν φθινύθουϲι περὶ πτόλιν αἰπύ τε τεῖχοϲ
μαρνάμενοι· ϲέο δ' εἵνεκ' ἀυτή τε πτόλεμόϲ τε
ἄϲτυ τόδ' ἀμφιδέδηε· ϲὺ δ' ἂν μαχέϲαιο καὶ ἄλλῳ,
ὅν τινά που μεθιέντα ἴδοιϲ ϲτυγεροῦ πολέμοιο.
ἀλλ' ἄνα, μὴ τάχα ἄϲτυ πυρὸϲ δηίοιο θέρηται.
τὸν δ' αὖτε προϲέειπεν Ἀλέξανδροϲ θεοειδήϲ·
Ἕκτορ, ἐπεί με κατ' αἶϲαν ἐνείκεϲαϲ οὐδ' ὑπὲρ αἶϲαν,
τοὔνεκά τοι ἐρέω· ϲὺ δὲ ϲύνθεο καί μευ ἄκουϲον,
οὔ τοι ἐγὼ Τρώων τόϲϲον χόλῳ οὐδὲ νεμέϲϲι
ἥμην ἐν θαλάμῳ, ἔθελον δ' ἄχεϊ προτραπέϲθαι.
νῦν δέ με παρειποῦϲ' ἄλοχοϲ μαλακοῖϲ ἐπέεϲϲιν
ὥρμηϲ' ἐϲ πόλεμον· δοκέει δέ μοι ὧδε καὶ αὐτῷ
λώιον ἔϲϲεϲθαι· νίκη δ' ἐπαμείβεται ἄνδραϲ.
ἀλλ' ἄγε νῦν ἐπίμεινον, ἀρήια τεύχεα δύω·
ἢ ἴθ', ἐγὼ δὲ μέτειμι· κιχήϲεϲθαι δέ ϲ' ὀίω.
ὣϲ φάτο, τὸν δ' οὔ τι προϲέφη κορυθαίολοϲ Ἕκτωρ·
τὸν δ' Ἑλένη μύθοιϲι προϲηύδα μειλιχίοιϲι·
δᾶερ ἐμεῖο, κυνὸϲ κακομηχάνου, ὀκρυοέϲϲηϲ,
ὥϲ μ' ὄφελ' ἤματι τῷ, ὅτε με πρῶτον τέκε μήτηρ,
οἴχεϲθαι προφέρουϲα κακὴ ἀνέμοιο θύελλα
εἰϲ ὄροϲ ἢ εἰϲ κῦμα πολυφλοίϲβοιο θαλάϲϲηϲ,

V. L. 325 τὸν δ': τόν ῥ' N. νείκεϲεν N. ἐπέεϲϲι ACDGHNO. — 327 οἱ λαοὶ S. περι A. πόλιν GS Lips. — 328 πόλεμόϲ τε GLMO. — 329 ἀμφιδέδηε L. ἀμφιδέδ^{η}ειε O. ἀμφιδέδηαι D. ϲὺ δ' αὖ M. μαχέϲϲαιο E. — 330 ὅν: εἴ ACDEGHLMNOS. ἴδ^{οι}ηϲ N. — 331 τάχ' G. δηιοῖο D. — 333 οὐχ Vrat. b. — 335 οὔτι H Lips. τρῴων GL. τόϲον G 1. man. τόϲϲω N. χόλ^{ον}ῳ M et suprascr. τόϲϲον διχῶϲ γρ. οὐδὲ: οὔτε Townl. νεμέϲϲι AO Et. Mg. 600, 32: νεμέϲϲει ACDEGHLNS Lips. Schol. Z 326. νέμεϲ^{ιϲ}ει M. — 336 ἥμην G. — 337 ἐπέεϲϲι D. — 339 ἔϲεϲθαι GN. ἐπαμείβετ' H. — 340 ἀλλά γε N. post ἐπίμεινον 2. man. in L add. ὄφρα. — 341 ἴθι D. — 342 κορυθαιόλοϲ D. — 343 προϲηῦδα D. μειλιχίοιϲι ACDGHMO. μύθοιϲιν ἀμείβετο δῖα γυναικῶν S Cant. ἐν ἄλλῳ προϲηύδα δῖα γυναικῶν A. — 344 ἐμοῖο L. — 345 ὤφελ' NO. ἥματι D. ὅτέ C. με omitt. GHL. — 346 θυέλλη L.

A. c. 330 εἴ τινα: ἀρίϲταρχοϲ ὅντινά που Didymus. — 335 διὰ τοῦ ῑ μακροῦ τὸ νεμέϲϲι, ὡϲ Θέτι (C 407) Schol. LV. — 336 ἥμην Herodianus: alii ἧμην.

ἔνθά με κῦμ' ἀπόερϲε πάροϲ τάδε ἔργα γενέϲθαι.
αὐτὰρ ἐπεὶ τάδε γ' ὧδε θεοὶ κακὰ τεκμήραντο,
ἀνδρὸϲ ἔπειτ' ὤφελλον ἀμείνονοϲ εἶναι ἄκοιτιϲ,
ὃϲ ᾔδη νέμεϲίν τε καὶ αἴϲχεα πόλλ' ἀνθρώπων.
τούτῳ δ' οὔτ' ἂρ νῦν φρένεϲ ἔμπεδοι οὔτ' ἄρ' ὀπίϲϲω
ἔϲϲονται· τῶ καί μιν ἐπαυρήϲεϲθαι ὀίω.
ἀλλ' ἄγε νῦν εἴϲελθε καὶ ἕζεο τῷδ' ἐπὶ δίφρῳ,
δᾶερ, ἐπεί ϲε μάλιϲτα πόνοϲ φρέναϲ ἀμφιβέβηκεν
εἵνεκ' ἐμεῖο κυνὸϲ καὶ Ἀλεξάνδρου ἕνεκ' ἄτηϲ,
οἷϲιν ἐπὶ Ζεὺϲ θῆκε κακὸν μόρον, ὡϲ καὶ ὀπίϲϲω
ἀνθρώποιϲι πελώμεθ' ἀοίδιμοι ἐϲϲομένοιϲι.
τὴν δ' ἠμείβετ' ἔπειτα μέγαϲ κορυθαίολοϲ Ἕκτωρ·
μή με κάθιζ' Ἑλένη, φιλέουϲά περ· οὐδέ με πείϲειϲ.
ἤδη γάρ μοι θυμὸϲ ἐπέϲϲυται ὄφρ' ἐπαμύνω
Τρώεϲϲ', οἳ μέγ' ἐμεῖο ποθὴν ἀπεόντοϲ ἔχουϲιν.
ἀλλὰ ϲύ γ' ὄρνυθι τοῦτον, ἐπειγέϲθω δὲ καὶ αὐτόϲ,
ὥϲ κεν ἔμ' ἔντοϲθεν πόλιοϲ καταμάρψῃ ἐόντα.
καὶ γὰρ ἐγὼν οἶκον δὲ ἐλεύϲομαι, ὄφρα ἴδωμαι
οἰκῆαϲ ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν.
οὐ γάρ τ' οἶδ', ἢ ἔτι ϲφιν ὑπότροποϲ ἵξομαι αὖτιϲ,

V. L. 348 ἔνθά με ACDHMN Et. Mg. 126, 12. — 349 τάδέ HL. τεκμήραντο C. θεοὶ διετεκμήραντο D. — 350 ὤφειλον L. ὤφελον HM Lips. ὄφελλον O. — 351 ὃϲ ACDEGMO Mor. Harl. Townl. Vrat. a. ὅϲ ῥ' HN Lips. ὅϲ ῥ' L. ὅϲ τ' Vrat. b. ἤδηι D. ᾔδη GL. — 352 οὔτ' ἄρ bis ADEGLMNO οὐτὰρ H. ὀπίϲϲωι A. — 353 τῶ ACGHLMNO: τῷ DE. καί μιν ADGHLMO Harl. Vrat. b. Mosc. 1. κέν μιν CEN Lips. γρ. καί μιν A. — 354 ἔπι A. ἐνὶ N. — 355 δάερ HN. ἀμφιβέβηκε O. — 356 ἐμοῖο E bis O. ἄτηϲ: ἀρχῆϲ Vrat. c. Apollon. de Synt. 133, 6. — 357 ἔπι GS. ἐπι CDH. ὥϲ κεν NS Cant. — 358 ἐϲϲομένοιϲι ACDGMNO. — 359 κορυθαίολοϲ A. κορυθαιόλοϲ D. — 362 τρῴεϲϲ' L. τρώεϲιν GM. τρώεϲϲιν Lips. ἐμοῖο EL. ἔχουϲι N. — 364 ἔντοϲθε CDHO Lips. πτόλιοϲ O. πόληοϲ H. — 365 οἰκόνδε ἐλεύϲομαι O. οἶκονδ' ἐλεύϲομαι EM 1. man. N Lips. Vrat. b. οἶκονδ^{ε}' ἐλεύϲομαι G. οἶκονδ'ἐ, ^{ϲε}λευϲομαι M ex corr. οἶκονδ' ἐϲελεύϲομαι ACDHL Cant. Harl. Vrat. a. A. Apoll. de Synt. 341, 1. ὄφρ' ἂν ἴδωμαι M. Lips. ὄφρα ἴδωμεν Et. Gud. 421, 25. Ammon. de Diff. s. v. οἰκῆαϲ. ὄφρα ἴδω H. — 367 οὐ γὰρ ἔτ' οἶδ' Mosc. 3. οὐ γὰρ ἔτι οἶδ' D. οὐ γὰρ ἔτ' οἶδα H. * ἤ: εἰ ACDEGHLMNO. αὖθιϲ C Apoll. Lex. 159, 35.

A. c. 354 ἄγε νῦν: οὕτωϲ νῦν αἱ ἀριϲτάρχου Didymus. alii fortasse δή. — 355 ἐπεί ϲε Herodianus: alii ἐπεὶ ϲὲ. — 356 ἄτηϲ Aristarchus: Zenodotus ἀρχῆϲ, conf. Schol. Γ 300, Ω 28. — 357 ἐπὶ Heracleo et Alexio: ἔπι Ptolem. Ascalonita. — 365 οἶκον δὲ ἐλεύϲομαι Ahrens. de hiatus Hom. legitimis quibusdam generibus pg. 22. genuinam lectionem putat esse. cui assentior, conf. H. T. 223. — 367 ἔτι ϲφιν Herodianus, non ἔτί ϲφιν.

ἤ ἤδη μ' ὑπὸ χερσὶ θεοὶ δαμόωσιν Ἀχαιῶν.
ὣς ἄρα φωνήσας ἀπέβη κορυθαίολος Ἕκτωρ.
αἶψα δ' ἔπειθ' ἵκανε δόμους εὖ ναιετάοντας,
οὐδ' εὗρ' Ἀνδρομάχην λευκώλενον ἐν μεγάροισιν,
ἀλλ' ἥ γε ξὺν παιδὶ καὶ ἀμφιπόλῳ εὐπέπλῳ
πύργῳ ἐφεστήκει γοόωσά τε μυρομένη τε.
Ἕκτωρ δ' ὡς οὐκ ἔνδον ἀμύμονα τέτμεν ἄκοιτιν,
ἔστη ἐπ' οὐδὸν ἰών, μετὰ δὲ δμῳῇσιν ἔειπεν·
εἰ δ' ἄγε μοι δμῳαὶ νημέρτεα μυθήσασθε·
πῇ ἔβη Ἀνδρομάχη λευκώλενος ἐκ μεγάροιο;
ἠέ πῃ ἐς γαλόων ἢ εἰνατέρων εὐπέπλων,
ἢ ἐς Ἀθηναίης ἐξοίχεται, ἔνθά περ ἄλλαι
Τρῳαὶ ἐυπλόκαμοι δεινὴν θεὸν ἱλάσκονται;
τὸν δ' αὖτ' ὀτρηρὴ ταμίη πρὸς μῦθον ἔειπεν·
Ἕκτορ, ἐπεὶ μάλ' ἄνωγας ἀληθέα μυθήσασθαι,
οὔτέ πῃ ἐς γαλόων οὔτ' εἰνατέρων εὐπέπλων
οὔτ' ἐς Ἀθηναίης ἐξοίχεται, ἔνθά περ ἄλλαι
Τρῳαὶ ἐυπλόκαμοι δεινὴν θεὸν ἱλάσκονται,
ἀλλ' ἐπὶ πύργον ἔβη μέγαν Ἰλίου, οὕνεκ' ἄκουσε

V. L. 368 *ἤ: libri ἢ. μ': δ' O. — 369 ὡς A. κορυθαίολος A. κορυθαιόλος C 1. man. D. — 370 εὖ ναιετάοντας CDGLMNOS. εὐναιετάοντας AH. — 371 μεγάροισι DN. — 372 ἀλλ' αὕτη G ex corr. ξύμπαιδὶ C. ξυμπαιδὶ DH, conf. ι 199 συμπαισὶ L, σὺμπαιδὶ Hesych. IV, 120. Π 248 ξυμπᾶσι D Pal., συμπᾶσι C. ξ 296 συμφόρτον L. ι 332 συμμοχλὸν PS. κ 42 συγχεῖρας A. Κ 19 συμμῆτιν CDHL Townl. Σ 213 κεμπως Pal. Φ 145 ἐμφρεσὶ A. λ 257 ἐμπύλω A. δ 671 ἐμπορθμῷ A. Τ 251 ἐγχειρί A. ἐϋπέπλῳ CDEGLOS. — 373 ἐφεστήκει G Et. Mg. 697, 35: ἐφειστήκει ACDEH 1. man. LMNOS Apoll. Lex. 137, 33. ἐφϊστήκει H ex corr. — 375 δμωιῇσιν A: ceteri δμωῇσιν. — 376 μυθήσασθαι LMS. — 377 πῆ AEHMO Apoll. de Synt. 21, 25; de Coni. 517, 18; de Adv. 616, 14. Et. Mg. 512, 25; 669, 13. Et. Gud. 464, 48. Schol. Ο 171, Ρ 643: πῇ CDGLN Cram. Ep. 104, 22; 352, 7; 384, 30. An. Ox. III, 267, 21. Apoll. Lex. 131, 8. Ammon. de Diff. s. v. πῇ. ποῖ Thomas Mag. s. v. ὅποι. — 378 πῃ AEH: ceteri πη. ἐϋπέπλων ACDEGHLS Et. Mg. 302, 16. Eust. 1042, 15: εὐπέπλων MNO. — 379 ἔνθά περ ACHN. — 380 τρωιαὶ AL. εὐπλόκαμοι E bis GLMO. post hunc in A insertus est versus, qui legitur 386. — 381 προς AC. ἔειπε N. — 382 ἕκτωρ M. ἐπεί μ' ἄνωγας N. — 383 οὔτέ ACGHMN. οὔτ' ἄρ πη L. πῃ AMN: ceteri πη. ἢ εἰνατέρων S. ἐϋπέπλων ACDGHLS. — 384 ἔνθά περ ACHL. — 385 τρωιαὶ AL. εὐπλόκαμοι GHMO. — 386 πῦργον G. ἄκουσε ACDGHLMNO.

A. c. 369 de κορυθαιόλος, quod h. l. duo boni libri exhibent, et multis locis etiam Venetus A, conf. H. T. 421. — 373 ἐφειστήκει: ἐφεστήκει Aristarchus. — 375 δμῳῇσιν veteres, conf. H. U. pg. 214.

τείρεσθαι Τρῶας, μέγα δὲ κράτος εἶναι Ἀχαιῶν.
ἡ μὲν δὴ πρὸς τεῖχος ἐπειγομένη ἀφικάνει,
μαινομένῃ εἰκυῖα· φέρει δ' ἅμα παῖδα τιθήνη.
ἦ ῥα γυνὴ ταμίη, ὁ δ' ἀπέσσυτο δώματος Ἕκτωρ
τὴν αὐτὴν ὁδὸν αὖτις ἐυκτιμένας κατ' ἀγυιάς.
εὖτε πύλας ἵκανε διερχόμενος μέγα ἄστυ,
Σκαιάς, τῇ ἄρ' ἔμελλε διεξίμεναι πεδίον δέ,
ἔνθ' ἄλοχος πολύδωρος ἐναντίη ἦλθε θέουσα
Ἀνδρομάχη, θυγάτηρ μεγαλήτορος Ἠετίωνος,
Ἠετίων, ὃς ἔναιεν ὑπὸ Πλάκῳ ὑληέσσῃ,
Θήβῃ Ὑποπλακίῃ, Κιλίκεσσ' ἄνδρεσσιν ἀνάσσων·
τοῦ περ δὴ θυγάτηρ ἔχεθ' Ἕκτορι χαλκοκορυστῇ.
ἥ οἱ ἔπειτ' ἤντησ', ἅμα δ' ἀμφίπολος κίεν αὐτῇ
παῖδ' ἐπὶ κόλπῳ ἔχουσ' ἀταλάφρονα, νήπιον αὔτως,
Ἑκτορίδην ἀγαπητόν, ἀλίγκιον ἀστέρι καλῷ,
τόν ῥ' Ἕκτωρ καλέεσκε Σκαμάνδριον, αὐτὰρ οἱ ἄλλοι
Ἀστυάνακτ'· οἶος γὰρ ἐρύετο Ἴλιον Ἕκτωρ.
ἤ τοι ὁ μὲν μείδησεν ἰδὼν ἐς παῖδα σιωπῇ·
Ἀνδρομάχη δέ οἱ ἄγχι παρίστατο δάκρυ χέουσα,
ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
δαιμόνιε, φθίσει σε τὸ σὸν μένος, οὐδ' ἐλεαίρεις

V. L. 387 τρῷας GL. — 388 ἢ μὲν C. προς A. — 390 ἣ ῥὰ CDHLMN. ὃ δ' D. ὅδ' CGHLMN. — 391 αὖθις C. εὐκτιμένας O. καταγυιάς D. — 392 εὖτέ τε M. εὖτε δὲ N. — 393 τῇ ἄρ' CGLMN Barocc. Harl. Mosc. 1. τῇ ἄρ DHO. τῆι ἀρ A. τῇδ' ἄρ S Cant. Vrat. A. διεξιέναι MN. διεξϊέμεναι C. διεξέμεναι DH. πεδίον δὲ A: πεδίοιο D. — 394 ἄλοχος πολύεδνος Mor. e glossa. — 396 ὑποπλάκῳ CDEGHMNO Lips. — 397 ὑπὸπλακίη O (sic). ὑπὸ πλακίη D et ex corr. πλακίω. Κιλίκεσιν E. κιλίκεσ' MO. ἄνδρασιν G. ἄνδρασσιν Mor. ἄνδρεσιν M. — 398 χαλκοκορυστῆι A. — 399 κῖεν D. — 400 ἐπὶ: ἐνὶ EGL Barocc. κόλπῳ: κόλπον CHNS Lips. conf. I. H. Voss. ad Hymn. in Cererem 187. αὔτως CHLN Townl. αύτως A. in D non liquet utrum sit αὔτως an αὕτως. αὕτως EGMO. — 402 ῥ' omitt. DG. τόν ῥ' ἄκτωρ H. καμάνδριον C post ras. H post ras. LM. — 403 οἶος: αὐτὸς Schol. Ξ 424. ἐρύατο Vrat. c. ἴλιον ἱρὴν Barocc. — 404 μείδισεν N. — 405 δακρυχέουσα libri. δακρυχέουσα O. — 406 ἄρά οἱ N. ἄρ οἱ Lips. ὀνόμαζε ACDGHLNO. — 407 φθείσει A Cram. Ep. 427, 1.

A. c. 390 ἦ: φῆ Passovius, conf. Lehrs. Arist. pg. 105. — 393 τῇ ἄρ' dedi ex libris optimis, quum γάρ quod vulgo scribunt, non nisi hiatus causa positum videatur, vide Annal. Gymn. Austr. 1871, pg. 501. — 402, 403 ἄμφω πρέποντα Schol. BLV.

παῖδά τε νηπίαχον καὶ ἔμ᾽ ἄμμορον, ἣ τάχα χήρη
ςεῦ ἔςομαι· τάχα γάρ ςε κατακτανέουςιν Ἀχαιοὶ
πάντες ἐφορμηθέντες· ἐμοὶ δέ κε κέρδιον εἴη
ςεῦ ἀφαμαρτούςῃ χθόνα δύμεναι· οὐ γὰρ ἔτ᾽ ἄλλη
ἔςται θαλπωρή, ἐπεὶ ἂν ςύ γε πότμον ἐπίςπῃς,
ἀλλ᾽ ἄχε᾽· οὐδέ μοι ἔςτι πατὴρ καὶ πότνια μήτηρ.
ἤ τοι γὰρ πατέρ᾽ ἁμὸν ἀπέκτανε δῖος Ἀχιλλεύς,
ἐκ δὲ πόλιν πέρςεν Κιλίκων εὖ ναιετόωςαν,
Θήβην ὑψίπυλον· κατὰ δ᾽ ἔκτανεν Ἠετίωνα,
οὐδέ μιν ἐξενάριξε, ςεβάςςατο γὰρ τό γε θυμῷ,
ἀλλ᾽ ἄρα μιν κατέκηε ςὺν ἔντεςι δαιδαλέοιςιν
ἠδ᾽ ἐπὶ ςῆμ᾽ ἔχεεν· περὶ δὲ πτελέας ἐφύτευςαν
νύμφαι ὀρεςτιάδες, κοῦραι Διὸς αἰγιόχοιο.
οἳ δέ μοι ἑπτὰ καςίγνητοι ἔςαν ἐν μεγάροιςιν,
οἱ μὲν πάντες ἰῷ κίον ἤματι Ἄϊδος εἴςω·
πάντας γὰρ κατέπεφνε ποδάρκης δῖος Ἀχιλλεὺς
βουςὶν ἐπ᾽ εἰλιπόδεςςι καὶ ἀργεννῇς ὀΐεςςι.
μητέρα δ᾽, ἣ βαςίλευεν ὑπὸ Πλάκῳ ὑληέςςῃ,
τὴν ἐπεὶ ἂρ δεῦρ᾽ ἤγαγ᾽ ἅμ᾽ ἄλλοιςι κτεάτεςςιν,
ἂψ ὅ γε τὴν ἀπέλυςε λαβὼν ἀπερείςι᾽ ἄποινα,
πατρὸς δ᾽ ἐν μεγάροιςι βάλ᾽ Ἄρτεμις ἰοχέαιρα.
Ἕκτορ, ἀτὰρ ςύ μοί ἐςςι πατὴρ καὶ πότνια μήτηρ

V. ι. 408 ἠ τάχα L. — 410 δὲ κέρδιον MN. — 411 ἁμαρτούςῃ GL Lips. οὐχ ἔτ᾽ ἄλλη D. — 412 ἐπεὶ ἂν: ἐπειδὰν L. — 413 οὐδέ μοι ἐςτὶ ACDEGHLMNO Schol. Soph. Ai. 514. — 414 ἀμὸν DGHLM: ἁμὸν AC Apoll. de Pron. 142 B. ἐμὸν O Lips. Cant. πατέρα ᾽μον Vrat. A. ἤτοι μὲν γὰρ ἐμὸν πατέρ᾽ ἔκτανε N. idem fortasse voluit Eustathius cum exhibet ἤτοι μὲν γὰρ πατέρα ἐμὸν ἀπέκτανε. ἀπέκτεινε GM. — 415 πέρςε GNO. πέρςαι H. εὖ ναιετάωςαν ACDGMNS. εὖ ναιετάουςαν ELO ex corr. Barocc. Mor. Vrat. c. εὐναιετάωςαν H. — 416 κατα ACDL. δὲ κτάνεν Et. Gud. 678, 41. — 417 ἐξενάριξεν D. ςεβάςατο GL. ςεβάςςατό γαρ A. — 418 κατέκηε C Schol. Soph. Ai. 574. κατέκηεν L. κατέκηεν D. κατέκαιε S Cant. μῖν κατέθηκε G. ςυντεύχεςι D. δαιδαλέοιςι N. — 419 ἦδ᾽ M. ἐπι A. ἔχευεν DM. ἔχευε O. — 421 οἱ AC post. ras. ἔςςαν H. — 422 ἤματι D. — 423 ἀχιλεύς C. — 424 ἐπειλιπόδεςςι D. ἀργεννῆς᾽ O. ἀργενῆς CD. ἀργενῆς M. ὀΐεςςι A Ambr. CDGHNO. — 425 ὑποπλάκῳ ACDEGHNO, conf. 396. — 426 ἤγαγεν CG. ΑΛΛΟΙCΙΝ Ambros. κτεάτοιςι D. — 429 αὐτὰρ O. ςύ μοι ἐςςὶ ACDEGHLMNO Schol. Soph. Ai. 514.

A. c. 408 ὅτι τινὲς γράφουςι καὶ ἐμὸν μόρον οὐκ εὖ Schol. A, conf. Schol. Ω 773. — 414 ἀμὸν Demetrius: ἁμὸν Apollonius. — 415 ἀρίςταρχος διὰ τοῦ ō ναιετόωςαν Didymus. — 422 ἰῷ Aristarchus, non ἴῳ, conf. Eust. 652, 51.

ἠδὲ καςίγνητος, ςὺ δέ μοι θαλερὸς παρακοίτης.
ἀλλ᾽ ἄγε νῦν ἐλέαιρε καὶ αὐτοῦ μίμν᾽ ἐπὶ πύργῳ,
μὴ παῖδ᾽ ὀρφανικὸν θήῃς χήρην τε γυναῖκα·
λαὸν δὲ ςτῆςον παρ᾽ ἐρινεόν, ἔνθα μάλιςτα
ἀμβατός ἐςτι πόλις καὶ ἐπίδρομον ἔπλετο τεῖχος.
τρὶς γὰρ τῇ γ᾽ ἐλθόντες ἐπειρήςανθ᾽ οἱ ἄριςτοι
ἀμφ᾽ Αἴαντε δύω καὶ ἀγακλυτὸν Ἰδομενῆα
ἠδ᾽ ἀμφ᾽ Ἀτρείδας καὶ Τυδέος ἄλκιμον υἱόν·
ἤ πού τίς ςφιν ἔνιςπε θεοπροπίων εὖ εἰδώς,
ἤ νυ καὶ αὐτῶν θυμὸς ἐποτρύνει καὶ ἀνώγει.
   τὴν δ᾽ αὖτε προςέειπε μέγας κορυθαίολος Ἕκτωρ·
ἦ καὶ ἐμοὶ τάδε πάντα μέλει γύναι· ἀλλὰ μάλ᾽ αἰνῶς
αἰδέομαι Τρῶας καὶ Τρῳάδας ἑλκεςιπέπλους,
αἴ κε κακὸς ὣς νόςφιν ἀλυςκάζω πολέμοιο·
οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐςθλὸς
αἰεὶ καὶ πρώτοιςι μετὰ Τρώεςςι μάχεςθαι,
ἀρνύμενος πατρός τε μέγα κλέος ἠδ᾽ ἐμὸν αὐτοῦ.
εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν·
ἔςςεται ἦμαρ, ὅτ᾽ ἄν ποτ᾽ ὀλώλῃ Ἴλιος ἱρὴ
καὶ Πρίαμος καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.
ἀλλ᾽ οὔ μοι Τρώων τόςςον μέλει ἄλγος ὀπίςςω,

V. ι. 430 παρακοίτις G. παράκοιτις M. — 431 ἐπι A. — 432 θήῃς AO Townl. Vrat. b. Cram. Epim. 430, 29. θήης DH. ΘΗΙΗC Ambros. θείῃς CGLMNS Lips. Schol. Soph. Ai. 449. — 434 ἄμβατός CS. — 435 τῇ γ᾽: τῇ δ᾽ H Townl. τῇγ᾽ ἐλθόντες γρ. καὶ διὰ τοῦ δ̄ καὶ διὰ τοῦ γ̄ A in marg. — 438 ἢ L. που ACDGLNO. τίς: τί AM Vrat. c. θεοπροπίας CG Barocc. Mor. θεοπροπέων D Lips. θεοπρέων L. — 440 κορυθαιόλος D. — 441 μέλλει O. — 442 τρῷας GL. τρωϊάδας ACDE bis GMN. ἑλκεςιπέπλους A. — 443 ὡς AD. γρ. καὶ κακὸς ᾇ Eust. 654, 46. γρ. κακὸς ἅ, ἤγουν καθὰ κακός L. — 444 οὐδὲ μὲ A. οὐδ᾽ ἐμὲ Townl. Mosc. 2. ἀνώγει N. — 445 τρῴεςςι GL. — 446 ἠδ᾽: καὶ E Lips. — 447 εὖ μὲν ἐγὼ CGL Vrat. b. Mosc. 2. τόδε: τόγε Mosc. 1. κατα AD. — 448 ἔςςετ᾽ G. ὅτάν DGNO. — 449 ἐϋμμελίωι A. εὐμελίωι D. ἐϋμελίω GO Townl. ἐϋμμελίου CL. — 450 οὔτι μοι G omisso ἄλγος. τρῴων GL. ὀπίςςωι A. ὀπῖςω D.

A. c. 432 οὕτως ἀρίςταρχος διὰ τοῦ η̄ θήῃς Didymus, conf. H. T. 406. τὸ δὲ θείῃς, ὃ δὴ κοινῶς τῇ ει̅ διφθόγγῳ παραλήγεται, πολλὰ τῶν ἀντιγράφων διὰ τοῦ η̄ γράφουςιν ἐν τῇ παραληγούςῃ Eust. 653, 42. — 433—439 ἀθετοῦνται ςτίχοι ἑπτά Aristonicus. — 434 οὕτως ἀρίςταρχος ἀμβατός. καλλίςτρατος διὰ τοῦ η̄ ἀμβάτη Didymus. — 437 Ἀτρείδας: ὁ Ἰξίων ἐν τῷ πρὸς τοὺς ἠθετημένους Ἀτρείδα προφέρεται (sc. ὡς Ἀριςτάρχειον) δυϊκῶς Didymus. — 439 αὐτῶν: ἐν ἐνίοις ἤ νυ καὶ αὐτούς Schol. A.

οὔτ' αὐτῆc Ἑκάβηc οὔτε Πριάμοιο ἄνακτοc,
οὔτε καcιγνήτων, οἵ κεν πολέεc τε καὶ ἐcθλοὶ
ἐν κονίῃcι πέcοιεν ὑπ' ἀνδράcι δυcμενέεccιν,
ὅccον cεῦ, ὅτε κέν τιc Ἀχαιῶν χαλκοχιτώνων
δακρυόεccαν ἄγηται ἐλεύθερον ἦμαρ ἀπούραc.
καί κεν ἐν Ἄργει ἐοῦcα πρὸc ἄλληc ἱcτὸν ὑφαίνοιc,
καί κεν ὕδωρ φορέοιc Μεccηΐδοc ἢ Ὑπερείηc
πόλλ' ἀεκαζομένη, κρατερὴ δ' ἐπικείcετ' ἀνάγκη.
καί ποτέ τιc εἴπῃcιν ἰδὼν κατὰ δάκρυ χέουcαν·
Ἕκτοροc ἥδε γυνή, ὃc ἀριcτεύεcκε μάχεcθαι
Τρώων ἱπποδάμων, ὅτε Ἴλιον ἀμφεμάχοντο.
ὥc ποτέ τιc ἐρέει· cοὶ δ' αὖ νέον ἔccεται ἄλγοc
χήτει τοιοῦδ' ἀνδρόc, ἀμύνειν δούλιον ἦμαρ.
ἀλλά με τεθνηῶτα χυτὴ κατὰ γαῖα καλύπτοι,
πρίν γέ τι cῆc τε βοῆc coῦ θ' ἑλκηθμοῖο πυθέcθαι.
ὣc εἰπὼν οὗ παιδὸc ὀρέξατο φαίδιμοc Ἕκτωρ.
ἂψ δ' ὁ πάϊc πρὸc κόλπον ἐϋζώνοιο τιθήνηc
ἐκλίνθη ἰάχων, πατρὸc φίλου ὄψιν ἀτυχθείc,
ταρβήcαc χαλκόν τε ἰδὲ λόφον ἱππιοχαίτην,

V. l. 451 οὔτ' ἑκάβηc αὐτῆc H. — 452 πολέεc τὲ AM. — 453 ὑπ': ἐπ' Mosc. 1. δυcμενέεccι D. — 454 cεῖ' CHL post ras. MN. cεῖ' (supra o) A. cεῖ DS. cεῖο GO. — 456 ἄργεϊ G. ἄργεϊ οὖcα C Townl. Vrat. A. Mosc. 1. 2. ἰοῦcα (supra ε) H. ἰοῦcα O et supra ἢ ἐοῦcα. ἄλλῃc HN. ἄλλαιc G. ὑφαίνῃc L Lips. 1. man. Mosc. 3. ὑφαίνειc D. — 457 φορέειc (supra οι) A. φορέῃc LO. μεcηΐδοc G. — 458 ἐπικείcεται EM. — 459 καὶ τότε H. καταδακρυχέουcαν DGHLMNO. δακρυχέουcαν E. — 460 ἧδε A. — 461 τρῴων GL. ἀμφὶ μάχοντο Vrat. c. Mosc. 3. — 463 χήτει ACDEGHLMNOS Apoll. Lex. 166, 28; 167, 33. — 464 τεθνειῶτα CDEGMNS. τεθνειῶτα (supra ηι) A. τεθνειῶτα (supra η) O. κατα CDGL. καλύπτει D. καλύψαι NS Cant. — 465 γέ τι ADLN Mosc. 2. γέ τοι Mosc. 1. γ' ἔτι CGMOS. γέ τι et γ' ἔτι E. coῦ τ' ἑλκυθμοῖο D. ἑλκυθμοῖο GLMN Mor. Barocc. Mosc. 1. 3. ἑλκυθμοῖο (supra η) C. — 466 ὥc A. — 467 εὐζώνοιο EM. — 468 φίλον N Schol. Nicandr. Alex. 193. — 469 τε ἠδὲ GO. τ' ἠδὲ N Townl. ἱππιοχαίτην A.

A. c. 454 in caesura semiternaria cεῦ, non cεῖ' scribendum est, ut Τ 273, Φ 398, ο 19, ρ 43. conf. Α 541, Ζ 409, 411, Ι 426, C 77, Τ 62, Υ 349, Χ 432, Ω 371, c 268, Annal. Gymn. Austr. 1871, pg. 500. — 463 causam non intelligo, cur recentiores fere omnes χήτει, quod librorum consensus tuetur, in χήτεϊ mutaverint, conf. H. U. 71. — 465 Dionysius Sidonius, Alexio, Heracleo γέ τι: γ' ἔτι Ptol. Ascalonita, ab Herodiano reprehensus.

δεινὸν ἀπ' ἀκροτάτηc κόρυθοc νεύοντα νοήcαc.
ἐκ δ' ἐγέλαccε πατήρ τε φίλοc καὶ πότνια μήτηρ.
αὐτίκ' ἀπὸ κρατὸc κόρυθ' εἵλετο φαίδιμοc Ἕκτωρ,
καὶ τὴν μὲν κατέθηκεν ἐπὶ χθονὶ παμφανόωcαν·
αὐτὰρ ὅ γ' ὃν φίλον υἱὸν ἐπεὶ κύcε πῆλέ τε χερcίν,
εἶπεν ἐπευξάμενοc Διί τ' ἄλλοιcίν τε θεοῖcι·
Ζεῦ ἄλλοι τε θεοί, δότε δὴ καὶ τόνδε γενέcθαι
παῖδ' ἐμόν, ὡc καὶ ἐγώ περ, ἀριπρεπέα Τρώεccιν,
ὧδε βίην τ' ἀγαθὸν καὶ Ἰλίου ἶφι ἀνάccειν·
καί ποτέ τιc εἴποι πατρόc γ' ὅδε πολλὸν ἀμείνων
ἐκ πολέμου ἀνιόντα· φέροι δ' ἔναρα βροτόεντα
κτείναc δήιον ἄνδρα, χαρείη δὲ φρένα μήτηρ.
ὣc εἰπὼν ἀλόχοιο φίληc ἐν χερcὶν ἔθηκε
παῖδ' ἑόν· ἡ δ' ἄρα μιν κηώδεϊ δέξατο κόλπῳ
δακρυόεν γελάcαcα· πόcιc δ' ἐλέηcε νοήcαc,
χειρί τέ μιν κατέρεξεν ἔποc τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
δαιμονίη, μή μοί τι λίην ἀκαχίζεο θυμῷ·
οὐ γάρ τίc μ' ὑπὲρ αἶcαν ἀνὴρ Ἄϊδι προϊάψει·
μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,

V. l. 471 δ' ἐγέλαcε GHMN. δὲ γέλαccε O. — 474 κῦcε EGHMN. πῆλε τὲ CNO. πάλλε O 1. man. — 475 εἶπε τ' N. ἄλλοιcί DGMNO Lips. θεοῖcι ACDGO. — 476 ἄλλοί τε AM. ἄλλοι τὲ N. δὴ omitt. O. — 477 ἀριπρεπέα A. τρῴεccιν L. — 478 βίην τ' ἀγαθὸν AELO Mor. Harl. Vrat. a. c. βίην ἀγαθόν τε GHMN Lips. Barocc. Mosc. 1. 2. βίην τ' ἀγαθόν τε C. βοὴν ἀγαθόν τε D. ἄλλοι ὧδε βίην ἀγαθόν τε A. — 479 εἴπῃ L Rhet. Gr. III, 154, 27. εἴποι Schol. Ν 352. εἴπῃcι (supra οι) A. ceteri εἴπῃcι. γ' ὅδε: δ' ὅγε ACDEGHLMNO Schol. Γ 43, Ν 352. δ' ὅδε πολλὸν ἀρείων Rhet. Gr. III, 154, 27. ἀμείνω Schol. Ν 352. — 480 πολέμου δ' H. φέρει H. — 482 ὡc A. ἔθηκε ACEGMO. — 483 ἣδ' CGHLMNO. — 484 ἐλέηcε: ἐλέαιρε DM Lips. Harl. Mosc. 1. — 485 κατέρεψεν G. ὀνόμαζε ACDGHLNO. — 486 μοί γε G. μοι CLMN. λίαν LN. — 487 τιc CMN. — 488 οὔτινα φημὶ ADGHLNO Et. Mg. 589, 29. οὔτινά φημι CEM Schol. Α 3, α 34. Zonar. Lex. 1369. Apoll. Lex. 113, 12. πεφευγμένον Apoll. Lex. 113, 12.

A. c. 475 εἶπεν: ἀρίcταρχοc διὰ τοῦ δ εἶπε δ' ἐπευξάμενοc Didymus. — 479 εἴποι, non εἴπῃcι hoc loco scribendum est, nam πατρόc apud poëtam nusquam primam habet correptam, conf. H. U. 9. optativum εἴποι et hoc loco et ad Ν 352 profert Nicanor, quem memoria lapsum esse non facile adducor ut credam. quodsi coniunctivo opus esset, εἴπῃ esset scribendum, sed precationi magis accomodatus est optativus, quam coniunctivus loco indicativi futuri positus. ἀρίcταρχοc πατρὸc γ' ὅδε Didymus.

οὐ κακόν, οὐδὲ μὲν ἐcθλόν, ἐπὴν τὰ πρῶτα γένηται.
ἀλλ' εἰc οἶκον ἰοῦcα τὰ c' αὐτῆc ἔργα κόμιζε,
ἱcτόν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοιcι κέλευε
ἔργον ἐποίχεcθαι· πόλεμοc δ' ἄνδρεccι μελήcει
πᾶcιν, ἐμοὶ δὲ μάλιcτα, τοὶ Ἰλίῳ ἐγγεγάαcιν.
ὣc ἄρα φωνήcαc κόρυθ' εἵλετο φαίδιμοc Ἕκτωρ
ἵππουριν· ἄλοχοc δὲ φίλη οἶκον δὲ βεβήκει
ἐντροπαλιζομένη, θαλερὸν κατὰ δάκρυ χέουcα.
αἶψα δ' ἔπειθ' ἵκανε δόμουc εὖ ναιετάονταc
Ἕκτοροc ἀνδροφόνοιο, κιχήcατο δ' ἔνδοθι πολλὰc
ἀμφιπόλουc, τῇcιν δὲ γόον πάcῃcιν ἐνῶρcεν.
αἱ μὲν ἔτι ζωὸν γόον Ἕκτορα ᾧ ἐνὶ οἴκῳ·
οὐ γάρ μιν ἔτ' ἔφαντο ὑπότροπον ἐκ πολέμοιο
ἵξεcθαι προφυγόντα μένοc καὶ χεῖραc Ἀχαιῶν.
οὐδὲ Πάριc δήθυνεν ἐν ὑψηλοῖcι δόμοιcιν,
ἀλλ' ὅ γ', ἐπεὶ κατέδυ κλυτὰ τεύχεα, ποικίλα χαλκῷ,
cεύατ' ἔπειτ' ἀνὰ ἄcτυ ποcὶ κραιπνοῖcι πεποιθώc.
ὡc δ' ὅτε τιc cτατὸc ἵπποc ἀκοcτήcαc ἐπὶ φάτνῃ,

V. l. 489 ταπρῶτα L. ταπρῶτα EGN. — 490 τὰ c' αὐτῆc D: τὰ cαυτῆc ACEGHLMNOS Et. Mg. 370, 10. Zonar. Lex. 868. Cram. An. Par. IV, 255, 5. Schol. Soph. Ai. 292. Hesych. III, 184. — 493 τοὶ: οἳ G. ἐκγεγάαcιν CGM Vrat. b. 1. man. Mosc. 1. ἐγγεγάαcι D. ἐνγεγάαcιν (γ supra) A. — 494 ὥc A. — 495 οἶκον δὲ AD. οἶκονδε CGMNO. οἴκονδε EL. οἶκονδ' ἐβεβήκει H Mosc. 1. — 496 κατα DLNO. δάκρυ' D. δακρυχέουcα HNO. — 497 εὖ, ναιετάονταc A. εὖ ναιετάονταc CGNO. εὐναιετάονταc DLM. — 499 τῇcι DEGMNO Lips. πᾶcιν L. — 500 est in margine cod. O. αἳ μὲν C. ζωὸν E. γόων ENO Lips. Cant. Vrat. b. c. Mosc. 2: ceteri γόον cum Apoll. Lex. 170, 8. Et. Mg. 238, 23. Zonar. Lex. 449. Schol. ν 265. ἐνι A. — 501 ἔτι φάντο Mor. — 503 δόμοιcι AD. — 505 cεύετ' N. cεύατο G. — 506 τίc CDM. φάτνῃ: φάτνηc Et. Mg. 51, 11.

A. c. 489 τὰ πρῶτα: τινὲc πρωτά, ὡc γνωτά, ἵν' ᾖ τὰ πεπρωμένα, οὐχ ὑγιῶc Schol. A. conf. Cram. Epim. 340, 8 πρωτὸc γὰρ ὀξυτόνωc ὁ πεπρωμένοc ὑποπεπτωκώc (τῇ πεπρωμένῃ ὑποπεπτωκώc?), ὅθεν καὶ ἐτόλμηcάν τινεc ἀναγινώcκειν „ἐπὴν τὰ πρωτὰ γένηται“ κατὰ πεπρωμένην. — 490 τὰ c' αὐτῆc, cf. H. U. 139. — 490—493 asterisci: ὀρθῶc hoc loco et φ 350; κακῶc α 356—359, conf. Schol. α 356. — 493 verborum ordinem propter digammum vocis Ἰλίῳ invertit Bekkerus praeeunte Hoffmanno, et scribit πᾶcι μάλιcτα δ' ἐμοί, quod legitur α 359, φ 353, idque probavit Friedlaender. in Iahnii Annalibus, 1859, pg. 817. quibus non assentior, cui certum ac deliberatum est, ultra recensiones Alexandrinorum nullo pacto regredi. — 500 γόον Apollonius et Herodianus, conf. Et. Mg. 238, 23. — 506—511 asterisci: κακῶc O 263—268.

δεcμὸν ἀπορρήξαc, θείῃ πεδίοιο κροαίνων,
εἰωθὼc λούεcθαι ἐϋρρεῖοc ποταμοῖο,
κυδιόων· ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται
ὤμοιc ἀΐccονται· ὃ δ' ἀγλαΐηφι πεποιθώc,
ῥίμφά ἑ γοῦνα φέρει μετά τ' ἤθεα καὶ νομὸν ἵππων·
ὣc υἱὸc Πριάμοιο Πάριc κατὰ Περγάμου ἄκρηc,
τεύχεcι παμφαίνων ὥc τ' ἠλέκτωρ, ἐβεβήκει
καγχαλόων, ταχέεc δὲ πόδεc φέρον, αἶψα δ' ἔπειτα
Ἕκτορα δῖον ἔτετμεν ἀδελφεόν, εὖτ' ἄρ' ἔμελλε
cτρέψεcθ' ἐκ χώρηc, ὅθι ᾗ ὀάριζε γυναικί.
τὸν πρότεροc προcέειπεν Ἀλέξανδροc θεοειδήc·
ἠθεῖ', ἦ μάλα δή cε καὶ ἐccύμενον κατερύκω
δηθύνων, οὐδ' ἦλθον ἐναίcιμον, ὡc ἐκέλευεc.
τὸν δ' ἀπαμειβόμενοc προcέφη κορυθαίολοc Ἕκτωρ·
δαιμόνι', οὐκ ἄν τίc τοι ἀνήρ, ὃc ἐναίcιμοc εἴη,
ἔργον ἀτιμήcειε μάχηc, ἐπεὶ ἄλκιμόc ἐccι·
ἀλλὰ ἑκὼν μεθιεῖc τε καὶ οὐκ ἐθέλειc· τὸ δ' ἐμὸν κῆρ
ἄχνυται ἐν θυμῷ, ὅθ' ὑπὲρ cέθεν αἴcχε' ἀκούω
πρὸc Τρώων, οἳ ἔχουcι πολὺν πόνον εἵνεκα cεῖο.
ἀλλ' ἴομεν· τὰ δ' ὄπιcθεν ἀρεccόμεθ', αἴ κέ ποθι Ζεὺc

V. l. 507 δεcμὸν δ' G. δεcμὰ διαρρήξαc Et. Mg. 51, 12. θείῃ (vel θείη) ADGHLMNO Cant. Barocc. Mor. Harl. Townl. Vrat. b. Mosc. 2. Suidas I, 1, 171, 15. Et. Mg. 51, 12: θείει CE bis Lips. Hesych. I, 102. πεδίονδε Et. Mg. 51, 12. — 508 εὐρεῖοc O. ἐϋρρῆοc N. — 510 ἀΐcονται L. ὃ δ' D 2. man. LMNO. ὅδ' CG. ἀγλαίῃφι CEH. ἀγλαιΐφι D 1. man. ἀγλαηῗφι D 2. man. — 511 ῥίμφά ἑ ACDHLN. ῥίμφα ἓ G. — 512 πάϊc D 1. man. pro πάριc. — 513 τεύχεccι M. ὥc τ' L Vrat. c.: ceteri ὥcτ'. ἐμβεβήκει H. — 514 δ' ἓ πόδεc G Mor. — 515 ἄρ CGLMNO. ἀρ A. ἔμελλε ACGHNO. — 516 cτρέψαcθαι G. — 518 ἤ θεῖ' Vrat. c. ἤ D. — 519 αἰνέcιμον N. ἐκέλευεc: ἐκέλευcαc GNO. — 521 δαιμόνιε DG. τίc coι Bekk. An. 177, 1. τιc τοι CL. αἰνέcιμοc MN. εἴηι A. — 522 τοὖργον Vrat. b. ἄλκιμοc ἐccί GLNO. — 523 ἀλλ' D. μεθίειc ACDE bis GHMOS Bekk. An. 577, 3. μεθίηc LN Lips. Vrat. b. γράφεται δὲ καὶ νῦν τὸ μεθίειc ἐν τῇ ληγούcῃ καὶ διὰ τοῦ η Eust. 660, 15, conf. ad Ε 880. — 524 ὅθ' (τι supra) A. ὑπερ A. — 525 τρῴων GL. — 526 τὰ δ': τὸ δ' N Vrat. b.

A. c. 507 conf. G. Hermann. Opusc. II, 43. — 511 Zenodotus ῥίμφ' ἑὰ γοῦνα φέρει, conf. Ariston. ad Ο 405, Ρ 700, Ϲ 148. Ποcειδώνιοc ὁ ἀναγνωcτὴc Ἀριcτάρχου ἄνευ διαιρέcεωc τὸ ε ψιλῶc προφέρεται (ῥίμφαε γοῦνα) Aristonicus. — 518 ἠθεῖ': Ἀρίcταρχοc προπεριcπᾷ Herodianus.

δώῃ ἐπουρανίοιϲι θεοῖϲ αἰειγενέτῃϲι
κρητῆρα ϲτήϲαϲθαι ἐλεύθερον ἐν μεγάροιϲιν,
ἐκ Τροίηϲ ἐλάϲαντας ἐϋκνήμιδας Ἀχαιούϲ.

V. L. 527 δώῃ HMN. δώη CGL. δώιηι AD. διώῃ Zonar. Lex. 590. αἰειγενέτηιϲι A. αἰειγενέτηϲι CDGHO. αἰηγενέτηϲϊ N. — 528 ϲτήϲεϲθαι EH Vrat. b. Et. Mg. 329, 52. μεγάροιϲι D. — 529 ἐλάϲαντεϲ Lips. ἐλάϲαϲιν G. εὐκνήμιδαϲ DGMO.

ΙΛΙΑΔΟϹ Η.

Ὣϲ εἰπὼν πυλέων ἐξέϲϲυτο φαίδιμοϲ Ἕκτωρ,
τῷ δ' ἅμ' Ἀλέξανδροϲ κί' ἀδελφεόϲ· ἐν δ' ἄρα θυμῷ
ἀμφότεροι μέμαϲαν πολεμίζειν ἠδὲ μάχεϲθαι.
ὡϲ δὲ θεὸϲ ναύτῃϲιν ἐελδομένοιϲιν ἔδωκεν
οὖρον, ἐπεί κε κάμωϲιν ἐυξέϲτῃϲ ἐλάτῃϲι
πόντον ἐλαύνοντεϲ, καμάτῳ δ' ὑπὸ γυῖα λέλυνται,
ὣϲ ἄρα τὼ Τρώεϲϲιν ἐελδομένοιϲι φανήτην.
ἔνθ' ἑλέτην ὃ μὲν υἱὸν Ἀρηϊθόοιο ἄνακτοϲ,
Ἄρνῃ ναιετάοντα Μενέϲθιον, ὃν κορυνήτηϲ
γείνατ' Ἀρηίθοοϲ καὶ Φυλομέδουϲα βοῶπιϲ·
Ἕκτωρ δ' Ἠϊονῆα βάλ' ἔγχεϊ ὀξυόεντι

V. L. 1 Ὡϲ A. — 3 μέμαϲϲαν G. πολεμίζειν ACDEGL Apoll. de Synt. 45, 6. Et. Mg. 91, 50 et 55: πολεμιζέμεν H. — 5 ἐπεί κε, κάμωϲιν A. ἐπεί κε κάμωϲιν CE Mosc. 1. ἐπὴν κεκάμωϲιν HL. ἐπῆν κεκάμωϲιν D. ἐπὰν κεκάμωϲιν G. ἐπήν κε κάμωϲι Mosc. 2. ἐπεὶ κεκάμωϲι Cant. ἐϋξέϲτῃϲ (οι) S. ἐλάτῃϲι ACDE Cram. Epim. 218, 22. — 6 ἐλαύνοντεϲ: γρ. ἐρέϲϲοντεϲ A Lips. ὑπο ACH. ὕπο G. — 7 ὡϲ A. τρῴεϲϲιν L. — 10 φυλομέδουϲα ACDH Vrat. b. φιλομέδουϲα GLS. — 11 ἕκτωρ δὲ δηϊονῆα G.

A. c. 5 ἐπεί κε: οὕτωϲ ἀρίϲταρχοϲ, ἄλλοι δὲ ἐπήν κε Didymus. ἐπήν κε Sidonius teste Schol. V. ὅτι ἔν τιϲι γράφεται ἐπήν. ἐὰν δὲ οὕτωϲ ἔχῃ, προενεκτέον ὑφ' ἓν κεκάμωϲιν ὡϲ λελάχωϲιν Aristonicus. cf. ad A 168. H. T. 294. — 6 ἐλαύνοντεϲ: κατ' ἔνια τῶν ὑπομνημάτων ἐρέϲϲοντεϲ Didymus. ὑπὸ Herodianus, non ὕπο. — 7 τὼ: οὕτωϲ ἀρίϲταρχοϲ τώ (Cod. τὸ) δυϊκῶϲ Didymus. ἀμμώνιοϲ ἐν τῷ πρὸϲ ἀθηνοκλέα „τοὶ τρώεϲϲι" προφέρεται πληθυντικῶϲ Didymus. ad προφέρεται supplendum est ὡϲ ἀριϲτάρχειον, vid. H. T. 103 sq. — 9 Ἄρνῃ Zenodotus.

αὐχέν' ὑπὸ ϲτεφάνηϲ εὐχάλκου, λῦϲε δὲ γυῖα.
Γλαῦκοϲ δ', Ἱππολόχοιο πάιϲ, Λυκίων ἀγὸϲ ἀνδρῶν,
Ἰφίνοον βάλε δουρὶ κατὰ κρατερὴν ὑϲμίνην
Δεξιάδην, ἵππων ἐπιάλμενον ὠκειάων,
ὦμον· ὃ δ' ἐξ ἵππων χαμάδιϲ πέϲε, λύντο δὲ γυῖα.
τοὺϲ δ' ὡϲ οὖν ἐνόηϲε θεὰ γλαυκῶπιϲ Ἀθήνη
Ἀργείουϲ ὀλέκονταϲ ἐνὶ κρατερῇ ὑϲμίνῃ,
βῆ ῥα κατ' Οὐλύμποιο καρήνων ἀΐξαϲα
Ἴλιον εἰϲ ἱερήν. τῇ δ' ἀντίοϲ ὤρνυτ' Ἀπόλλων
Περγάμου ἐκκατιδών, Τρώεϲϲι δὲ βούλετο νίκην.
ἀλλήλοιϲι δὲ τώ γε ϲυναντέϲθην παρὰ φηγῷ.
τὴν πρότεροϲ προϲέειπεν ἄναξ Διὸϲ υἱὸϲ Ἀπόλλων·
τίπτε ϲὺ δὴ αὖ μεμαυῖα, Διὸϲ θύγατερ μεγάλοιο,
ἦλθεϲ ἀπ' Οὐλύμποιο, μέγαϲ δέ ϲε θυμὸϲ ἀνῆκεν;
ἦ ἵνα δὴ Δαναοῖϲι μάχηϲ ἑτεραλκέα νίκην
δῷϲ; ἐπεὶ οὔ τι Τρῶαϲ ἀπολλυμένουϲ ἐλεαίρειϲ.
ἀλλ' εἴ μοί τι πίθοιο, τό κεν πολὺ κέρδιον εἴη,
νῦν μὲν παύϲωμεν πόλεμον καὶ δηιοτῆτα
ϲήμερον· ὕϲτερον αὖτε μαχήϲοντ', εἰϲ ὅ κε τέκμωρ
Ἰλίου εὕρωϲιν, ἐπεὶ ὣϲ φίλον ἔπλετο θυμῷ
ὑμῖν ἀθανάτῃϲι, διαπραθέειν τόδε ἄϲτυ.
τὸν δ' αὖτε προϲέειπε θεὰ γλαυκῶπιϲ Ἀθήνη·

V. L. 12 ὕπο A. ὑπὲρ Cant. ἐϋχάλκου S Apoll. Lex. 97, 13. εὐκύκλου D. λῦϲε: λῦϲαι D. λύντο S. — 14 κατα A. — 15 ἐπάλμενον D. — 16 ὃ δ' D. ὅδ' CGL. χαμάδηϲ G. λῦντο CDEG. — 17 τὸν δ' ὡϲ οὖν L. — 18 ὀλέκοντα L post ras. ἀνὰ κρατερὴν ὑϲμίνην Vrat. b. — 19 ῥὰ DGL. — 20 ἱερὴν ACDHLS Cant. Barocc. Mor. Mosc. 1. 2. ἱρὴν G Draco de Metr. 54, 16. — 21 ἐκκατιδὼν ACDGHLS, conf. Δ 508. — 22 ϲυναντίϲθην G. παρὰ: περὶ S Cant. — 24 * δὴ αὖ: libri δ' αὖ. θυγάτηρ C. — 25 Οὐλύμποιο: οὐλύμπου γε G. — 26 ἢ D. — 27 οὔτι ACDGHLS Mor. Harl. Lips. Vrat. b. A. Mosc. 1. alii οὔτοι. τρῷαϲ L. — 28 πείθοιο D. — 29 νῦν μὲν δὴ D. — 30 αὖτε: αὖ E. δ' αὖτε D. μαχήϲονται L. libri εἰϲόκε. — 32 ἀθανάτοιϲι D 1. man. Cant. Harl. Vrat. b. c.

A. c. 12 ἀρίϲταρχοϲ λῦντο δὲ γυῖα Didymus, conf. 6, 16, B 135, 397, M 159, N 28, 117. — 15 Δεξιάδην: τινὲϲ δεξιάδην ἐπιάλμενον, ἤτοι ἀπὸ τῶν δεξιῶν μερῶν ἐπιβαίνοντα Schol. BLV. conf. Et. Mg. 256, 11. Hesych. I, 474. Eust. 662, 4. εἴτε ὄνομα πατρωνυμικόν, εἴτε ποιότητοϲ ἢ τόπου ἐπίρρημα, δύναται καὶ τοῖϲ ἄνω καὶ τοῖϲ ἑπομένοιϲ ϲυνάπτεϲθαι Nicanor. — 16 λύντο Aristarchus, conf. Ariston. ὅτι λύντο εἶπεν ἀντὶ τοῦ ἐλύθηϲαν. — 31 βαρυτονητέον τὸ ὥϲ Herodianus. — 32 ἀθανάτῃϲι: ἀθανάτοιϲι Zenodotus. Aristophanes ἀμφοτέρῃϲι. — 33 ὅτι Ζηνόδοτοϲ γράφει τὸν δ' ἠμείβετ' ἔπειτα Aristonicus.

ὧδ' ἔςτω ἑκάεργε· τὰ γὰρ φρονέουςα καὶ αὐτὴ
ἦλθον ἀπ' Οὐλύμποιο μετὰ Τρῶας καὶ Ἀχαιούς.
ἀλλ' ἄγε, πῶς μέμονας πόλεμον καταπαυςέμεν ἀνδρῶν;
τὴν δ' αὖτε προςέειπεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων·
Ἕκτορος ὄρςωμεν κρατερὸν μένος ἱπποδάμοιο,
ἤν τινά που Δαναῶν προκαλέςςεται οἰόθεν οἶος
ἀντίβιον μαχέςαςθαι ἐν αἰνῇ δηιοτῆτι.
οἳ δέ κ' ἀγαςςάμενοι χαλκοκνήμιδες Ἀχαιοὶ
οἶον ἐπόρςειαν πολεμίζειν Ἕκτορι δίῳ.
ὣς ἔφατ', οὐδ' ἀπίθηςε θεὰ γλαυκῶπις Ἀθήνη.
τῶν δ' Ἕλενος, Πριάμοιο φίλος παῖς, ςύνθετο θυμῷ
βουλήν, ἥ ῥα θεοῖςιν ἐφήνδανε μητιόωςι·
ςτῆ δὲ παρ' Ἕκτορ' ἰὼν καί μιν πρὸς μῦθον ἔειπεν·
Ἕκτορ, υἱὲ Πριάμοιο, Διὶ μῆτιν ἀτάλαντε,
ἦ ῥά νύ μοί τι πίθοιο; καςίγνητος δέ τοί εἰμι·
ἄλλους μὲν κάθιςον Τρῶας καὶ πάντας Ἀχαιούς,
αὐτὸς δὲ προκάλεςςαι Ἀχαιῶν ὅς τις ἄριςτος
ἀντίβιον μαχέςαςθαι ἐν αἰνῇ δηιοτῆτι·
οὐ γάρ πώ τοι μοῖρα θανεῖν καὶ πότμον ἐπιςπεῖν.
ὣς γὰρ ἐγὼν ὄπ' ἄκουςα θεῶν αἰειγενετάων.
ὣς ἔφαθ', Ἕκτωρ δ' αὖτε χάρη μέγα μῦθον ἀκούςας,
καί ῥ' ἐς μέςςον ἰὼν Τρώων ἀνέεργε φάλαγγας,
μέςςου δουρὸς ἑλών· οἳ δ' ἱδρύνθηςαν ἅπαντες.
κὰδ δ' Ἀγαμέμνων εἷςεν ἐυκνήμιδας Ἀχαιούς.
κὰδ δ' ἄρ' Ἀθηναίη τε καὶ ἀργυρότοξος Ἀπόλλων
ἑζέςθην ὄρνιςιν ἐοικότες αἰγυπιοῖςι

V. L. 35 ἀπουλύμποιο A. μετὰ: κατὰ S Cant. τρῶας L. — 36 ἀνδρῶν omitt. L. — 38 ὄρςομεν CD. — 41 αγαςάμενοι G. χαλκοκνήμιδες A. — 43 ὡς A. — 44 ςύνθετο: ξύνθετο Plutarchus de Genio Socratis 24. — 45 ἣ ῥὰ DL. ἐφῆνδανε A. μητιόωςι AG. — 46 προς A. ἔειπε C. — 48 ἢ ῥὰ CL. νύ μοι τί CGL. νύ μοι τι DH. δέ τοι εἰμί ACDEGHL. — 49 κάθιζον L. τρῶας L. — 52 γάρ πω τοι CGHL. γὰρ πῶ τοι D. — 53 ὡς Eust. 1780, 20. ἐγὼ G. αἰειγενετάων A. — 54 ὡς A. * αὖτε χάρη: libri αὖτ' ἐχάρη. δ' ἄρ: γρ. δ' αὖτ' ἐχάρη L. — 55 μέςον EG 1. man. τρώων L. — 56 μέςον G. οἳ δ' DLS. οἱ δ' A Cant. Vrat. b. Mosc. 1. vulgo τοὶ δ'. τοίδ' C. ἵδρύθηςαν H. — 57 καδδ' CDGHL. εὐκνήμιδας DG. — 58 καδδ' CDGHL. ἄρ AEGL. — 59 αἰγυπίοιςι ACG.

A. c. 41 ἀγαςςάμενοι: ἀγαςςόμενοι Aristarchus. — 53 ἀθετεῖται Aristonicus.

φηγῷ ἐφ' ὑψηλῇ πατρὸς Διὸς αἰγιόχοιο,
ἀνδράςι τερπόμενοι· τῶν δὲ ςτίχες εἵατο πυκναὶ
ἀςπίςι καὶ κορύθεςςι καὶ ἔγχεςι πεφρικυῖαι.
οἵη δὲ Ζεφύροιο ἐχεύατο πόντον ἔπι φρὶξ
ὀρνυμένοιο νέον, μελάνει δέ τε πόντος ὑπ' αὐτῆς,
τοῖαι ἄρα ςτίχες εἵατ' Ἀχαιῶν τε Τρώων τε
ἐν πεδίῳ· Ἕκτωρ δὲ μετ' ἀμφοτέροιςιν ἔειπε·
κέκλυτέ μευ Τρῶες καὶ ἐυκνήμιδες Ἀχαιοί,
ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ ςτήθεςςι κελεύει.
ὅρκια μὲν Κρονίδης ὑψίζυγος οὐκ ἐτέλεςςεν,
ἀλλὰ κακὰ φρονέων τεκμαίρεται ἀμφοτέροιςιν,
εἰς ὅ κεν ἢ ὑμεῖς Τροίην εὔπυργον ἕλητε,
ἢ αὐτοὶ παρὰ νηυςὶ δαμήετε ποντοπόροιςιν.
ὑμῖν δ' ἐν γὰρ ἔαςιν ἀριςτῆες Παναχαιῶν·
τῶν νῦν ὅν τινα θυμὸς ἐμοὶ μαχέςαςθαι ἀνώγῃ,
δεῦρ' ἴτω ἐκ πάντων πρόμος ἔμμεναι Ἕκτορι δίῳ.
ὧδε δὲ μυθέομαι, Ζεὺς δ' ἄμμ' ἐπιμάρτυρος ἔςτω·

V. L. 60 ἐφ': ἐν Barocc. Mor. Schol. Π 233. — 61 εἵατο CD. — 62 πεφρικυῖαι: γρ. καὶ βεβριθυῖαι A. — 63 ἐπιφρὶξ CDE 664, 57; 665, 1; 4 GHL post ras. ἐπὶ φρὶξ L 1. man. ἐπι, φρὶξ S. ἐπίφριξ Lips. Vrat. b. ἔπι φρὶξ A Schol. Λ 269, Φ 126. — 64 μελάνει (η) S. μελαίνει G Mor. πόντος AC 2. man. DEHLS Vrat. A. Schol. Λ 269, Ν 340, Φ 126, α 44. Eustath. 967, 40: πόντον C 1. man. G Lips. Vrat. c. utrumque Harl. αὐτῆς ACDEHLS Schol. Λ 269, Φ 126: αὐτῇ Lips. Harl. Townl. Ven. B. αὐτοῦ G. — 65 εἵατ' CD. τρώων L. — 66 ἔειπε ACGH. — 67 τρῶες L. εὐκνήμιδες CDGHL. — 68 ἐνι A. — 69 ἐτέλεςεν G 1. man. — 70 ἀμφοτέροιςι AG. — 71 ἡμεῖς L. ἔϋπυργον CL. ἕληται D. ἕλοιτε H Et. Gud. 174, 13. — 72 ἢ καὶ αὐτοὶ G. * δαμήετε: libri δαμείετε. ποντοπόροιςι D. — 73 δ' ἐν: μὲν ACDEGHL. γὰρ omitt. H. παναχαιῶν A. — 74 τῶν νῦν ὅντινα: γρ. τῶν εἰ καί τινα θυμὸς A. θυμὸς ἐνὶ ςτήθεςςιν ἀνώγει H. μάχεςθαι L. * ἀνώγῃ: libri ἀνώγει. — 76 ἄμμ': ἄμμ' D. ἄμ' Schol. Β 302, Γ 280. ἔπι μάρτυρος A. ἐπὶ μάρτυρος Cram. An. Par. III, 135, 15, quod non displicet.

A. c. 62 πεφρικυῖαι: βεβριθυῖαι, cf. ad Δ 282. — 63 ὁ Ἀςκαλωνίτης ἀναςτρέφει „πόντον ἔπι“, οὕτως καὶ οἱ ἄλλοι· καὶ ἄμεινον Herodianus. — 64 ἀρίςταρχος πόντον διὰ τοῦ ν̄ καὶ ὑπ' αὐτῇ, τῇ φρικί, ἄλλοι δὲ πόντος ὑπ' αὐτοῦ Didymus, conf. Aristonicum. — 72 δαμήετε scripsi cum Bekkero, δαμείετε enim, quod libri exhibent, neque optativus, nec coniunctivus potest esse; nam η̄ optativi nusquam in ε̄ corripitur et ε̄ in formis coniunctivi, si subsequitur ε̄ vel η̄, non nisi in η̄ producitur, cf. παρςτήετον ς 182, βλήεται ρ 472, H. U. 153. — 73 Aristarchus ὑμῖν δ' ἐν γὰρ ἔαςιν. — 74 ἀνώγῃ scripsi libris invitis, nam ὅς τις pro ὅς κεν (quicunque) positum cum coniunctivo iungitur, vide Α 230, Ν 234, Ρ 631, Φ 347, α 352, 415, γ 320, ε 448, θ 210, μ 41, 66, ν 214, ξ 106. ο 401, π 76, ς 335, υ 335, ω 286.

εἰ μέν κεν ἔμ᾿ ἐκεῖνος ἕλῃ ταναήκεϊ χαλκῷ,
τεύχεα cυλήcαc φερέτω κοίλαc ἐπὶ νῆαc,
cῶμα δὲ οἴκαδ᾿ ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρόc με
Τρῶεc καὶ Τρώων ἄλοχοι λελάχωcι θανόντα.
εἰ δέ κ᾿ ἐγὼ τὸν ἕλω, δώῃ δέ μοι εὖχοc ᾿Απόλλων,
τεύχεα cυλήcαc οἴcω προτὶ ῎Ιλιον ἱρήν,
καὶ κρεμόω προτὶ νηὸν ᾿Απόλλωνοc ἑκάτοιο,
τὸν δὲ νέκυν ἐπὶ νῆαc ἐυccέλμουc ἀποδώcω,
ὄφρά ἑ ταρχύcωcι κάρη κομόωντεc ᾿Αχαιοὶ
cῆμά τέ οἱ χεύωcιν ἐπὶ πλατεῖ ῾Ελληcπόντῳ·
καί ποτέ τιc εἴπῃcι καὶ ὀψιγόνων ἀνθρώπων,
νηὶ πολυκλήιδι πλέων ἐπὶ οἴνοπα πόντον·
ἀνδρὸc μὲν τόδε cῆμα πάλαι κατατεθνηῶτοc,
ὅν ποτ᾿ ἀριcτεύοντα κατέκτανε φαίδιμοc ῞Εκτωρ.
ὥc ποτέ τιc ἐρέει· τὸ δ᾿ ἐμὸν κλέοc οὔ ποτ᾿ ὀλεῖται.
ὥc ἔφαθ᾿, οἱ δ᾿ ἄρα πάντεc ἀκὴν ἐγένοντο cιωπῇ·
αἴδεcθεν μὲν ἀνήναcθαι, δεῖcαν δ᾿ ὑποδέχθαι.
ὀψὲ δὲ δὴ Μενέλαοc ἀνίcτατο καὶ μετέειπε
νείκει ὀνειδίζων, μέγα δὲ cτεναχίζετο θυμῷ·
ὤ μοι, ἀπειλητῆρεc, ᾿Αχαιίδεc, οὐκέτ᾿ ᾿Αχαιοί·
ἦ μὲν δὴ λώβη τάδε γ᾿ ἔccεται αἰνόθεν αἰνῶc,
εἰ μή τιc Δαναῶν νῦν ῞Εκτοροc ἀντίοc εἶcιν.
ἀλλ᾿ ὑμεῖc μὲν πάντεc ὕδωρ καὶ γαῖα γένοιcθε,

V. L. 77 ἔμ᾿ ἐκεῖνοc H: ceteri ἐμὲ κεῖνοc. — 80 τρῷεc καὶ τρῴων L. — 81 εἰ δέ κ᾿ ἐγὼ τὸν: αἴ κεν πῶc μιν Apoll. Lex. 18, 10. δώῃ: δώη CGL. δῴη ADE 666, 6 et 36 S Apoll. Lex. 18, 10. — 82 προτὶ ACDEGHL: ποτὶ S. — 83 προτὶ ADH: ποτὶ CELS. ἐπὶ G Mor. Barocc. νηὸc L. — 84 ἐϋcέλμουc C 1. man. EG. — 85 ὄφρά ἑ ACHL. ὄφρα ἓ DG. ταρχύcουcι H. ταρχεύcωcι G. ταρχεύωcι Mor. ταρχήcωcι Vrat. b. κάρη κομόωντεc AH: ceteri καρηκομόωντεc. — 86 χεύcωcιν GLS. — 87 εἴποιcι G. — 88 κατατεθνηῶτοc GHL Et. Mg. 711, 11: κατατεθνειῶτοc ACDES Barocc. Lips. Cant. Vrat. A. Ven. B. Pseudoplut. 162, 39. — 91 ὡc A. — 92 ὡc A. οἵδ᾿ CGHL. ἀκῆν G. — 93 ἀνήναcθαι ACGH. ἀρνήcαcθαι S. — 94 μετέειπε ACDG. — 95 νείκε^{α}᾿ G. δὲ cτοναχίζετο CE. δ᾿ ἐcτοναχίζετο GL Mor. δ᾿ ἐcτεναχίζετο H Townl. — 96 ὤμοι ACGH. ὦ μοι D. — 97 τά γ᾿ ἔccεται D. — 98 ἀντίον Townl. εἶcι DG. — 99 μὲν omitt. H.

A. c. 77 ἔμ᾿ ἐκεῖνοc, conf. Ξ 250, κ 397, 414, λ 615, π 151, ρ 110, ψ 76, H. T. 249. — 89 ἀρίcταρχοc διὰ τοῦ η̅ κατατεθνηιῶτοc (sic) Didymus. — 95 νείκει: ἔν τιcι τῶν ὑπομνημάτων νείκε᾿ ὀνειδίζων ἔξω τοῦ ι̅ Didymus. praeter hoc aliud scholium in cod. A margini est adscriptum ἔν τιcι νείκε᾿ ὀνειδίζων.

ἥμενοι αὖθι ἕκαcτοι ἀκήριοι, ἀκλεὲc αὔτωc·
τῷδε δ᾿ ἐγὼν αὐτὸc θωρήξομαι· αὐτὰρ ὕπερθε
νίκηc πείρατ᾿ ἔχονται ἐν ἀθανάτοιcι θεοῖcιν.
ὣc ἄρα φωνήcαc κατεδύcετο τεύχεα καλά.
ἔνθά κέ τοι Μενέλαε φάνη βιότοιο τελευτὴ
῞Εκτοροc ἐν παλάμῃcιν, ἐπεὶ πολὺ φέρτεροc ἦεν,
εἰ μὴ ἀναΐξαντεc ἕλον βαcιλῆεc ᾿Αχαιῶν·
αὐτόc τ᾿ ᾿Ατρείδηc, εὐρὺ κρείων ᾿Αγαμέμνων,
δεξιτερῆc ἕλε χειρὸc ἔποc τ᾿ ἔφατ᾿ ἔκ τ᾿ ὀνόμαζεν·
ἀφραίνειc Μενέλαε διοτρεφέc, οὐδέ τί cε χρὴ
ταύτηc ἀφροcύνηc· ἀνὰ δὲ cχέο κηδόμενόc περ,
μὴ δ᾿ ἔθελ᾿ ἐξ ἔριδοc cεῦ ἀμείνονι φωτὶ μάχεcθαι,
῞Εκτορι Πριαμίδῃ, τόν τε cτυγέουcι καὶ ἄλλοι.
καὶ δ᾿ ᾿Αχιλεὺc τούτῳ γε μάχῃ ἔνι κυδιανείρῃ
ἔρριγ᾿ ἀντιβολῆcαι, ὅ περ cέο πολλὸν ἀμείνων.
ἀλλὰ cὺ μὲν νῦν ἵζευ ἰὼν μετὰ ἔθνοc ἑταίρων,
τούτῳ δὲ πρόμον ἄλλον ἀναcτήcουcιν ᾿Αχαιοί.
εἴ περ ἀδειήc τ᾿ ἐcτὶ καὶ εἰ μόθου ἔcτ᾿ ἀκόρητοc,

V. L. αὖθι: αὖθιc Apoll. Lex. 19, 15. ἀκλεεῖc G. αὔτωc CEGH Apoll. Lex. 19, 15. αὐτωc A. — 101 τῷ δ᾿ ἐγὼν L. τῷ δὲ ἐγὼν E 667, 60. ὕπερθε ACEG Townl.: alii ὕπερθεν. — 102 θεοῖcι D. — 103 ὡc A. κατεδύcετο G Vrat. c. Mosc. 1. κατεδύccετο H: κατεδύcατο ACDLS Cant. Mor. Barocc. — 104 βιότοιο: γρ. καὶ θανάτοιο τελευτὴ οἷον θανάcιμον τέλοc A. — 107 αὐτόc τ᾿: αὐτὸc δ᾿ HS Cant. εὐρὺ κρείων A: ceteri εὐρυκρείων. — 108 ὀνόμαζε ADG. — 109 διοτροφὲc GH. οὐδέ τι cε ACDGHL. χρὴ: χρεὼ H. — 110 ἀνὰ δὲ, cχέο A. ἀνα CD. δὲ cχέο DE 668, 8. ἀνα δ᾿ ἔcχεο GL. ceteri ἀνὰ δ᾿ ἴcχεο. — 111 μὴ δ᾿ ACDGL. μὴδ᾿ et μηδ᾿ E. μὴ δὲ θέλ᾿ H. — 113 ἀχιλλεὺc DEGH. τούτῳ γε: γρ. καὶ τοῦτόν γε A. ἐνὶ CEGH Io. Alex. 3, 28. ἔνι AD. — 117 ἀδειήc τ᾿ ἐcτὶ ACE bis GL Apoll. Lex. 9, 18. ἀδειήc γ᾿ ἐcτὶ H. ἀδειήc ἐcτι DE 669, 36. Townl. Vrat. b. c. γρ. καὶ διὰ τοῦ γε ἀδειήc γε A. ἔcτ᾿: ἐcτ᾿ G.

A. c. 110 ἀρίcταρχοc ἀναδ ἄνcχεο, ἀνάcχου δὲ Didymus. adduci non possum ut credam Aristarchum ἀνὰ δ᾿ ἄνcχεο scripsisse, quod omnino pro varia lectione non habeo; variant enim libri inter δὲ cχέο et δ᾿ ἴcχεο. illud Herodiani est, ut ex scholio eius patet (τὸ cχέο τὴν ὀξεῖαν ἴcχει ἐφ᾿ ἑαυτοῦ νῦν), hoc Schol. Vict. Aristarcho et Herodiano tribuit, non minus a vero aberrans. id unum ei concedere possumus, Aristarchum ἀνὰ δ᾿ ἴcχεο scripsisse, si enim lectio Aristarchea eadem esset, quae in codice A, librarius more suo οὕτωc ἀρίcταρχοc ἀνὰ δὲ cχέο scripsisset, de quo dixi H. T. 125 sq. sed ne id quidem certum est, nam haec lex in codice non ubique servatur, quapropter Herodiani et librorum optimorum auctoritatem sequi malebam. — 114 ἀμείνων: Ζηνόδοτοc χωρὶc τοῦ ν̅ ἀμείνω γράφει Aristonicus, conf. A 80, 249. τὸ δὲ ἀντιβολῆcαι γράφεται καὶ διὰ τοῦ μ̅ ἀντιμολῆcαι Schol. A.

φημί μιν ἀcπαcίωc γόνυ κάμψειν, αἴ κε φύγῃcι
δηΐου ἐκ πολέμοιο καὶ αἰνῆc δηιοτῆτοc.
ὣc εἰπὼν παρέπειcεν ἀδελφειοῦ φρένας ἥρωc,
αἴcιμα παρειπών· ὃ δ' ἐπείθετο. τοῦ μὲν ἔπειτα
γηθόcυνοι θεράποντεc ἀπ' ὤμων τεύχε' ἕλοντο.
Νέcτωρ δ' Ἀργείοιcιν ἀνίcτατο καὶ μετέειπεν·
ὢ πόποι, ἦ μέγα πένθοc Ἀχαιίδα γαῖαν ἱκάνει·
ἦ κε μέγ' οἰμώξειε γέρων ἱππηλάτα Πηλεύc,
ἐcθλὸc Μυρμιδόνων βουληφόροc ἠδ' ἀγορητήc,
ὅc ποτέ μ' εἰρόμενοc μέγ' ἐγήθεεν ᾧ ἐνὶ οἴκῳ,
πάντων Ἀργείων ἐρέων γενεήν τε τόκον τε.
τοὺc νῦν εἰ πτώccονταc ὑφ' Ἕκτορι πάνταc ἀκούcαι,
πολλά κεν ἀθανάτοιcι φίλαc ἀνὰ χεῖραc ἀείραι
θυμὸν ἀπὸ μελέων δῦναι δόμον Ἄϊδοc εἴcω.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
ἡβῷμ' ὡc ὅτ' ἐπ' ὠκυρόῳ Κελάδοντι μάχοντο
ἀγρόμενοι Πύλιοί τε καὶ Ἀρκάδεc ἐγχεcίμωροι,
Φειᾶc πὰρ τείχεccιν, Ἰαρδάνου ἀμφὶ ῥέεθρα.
τοῖcι δ' Ἐρευθαλίων πρόμοc ἵcτατο, ἰcόθεοc φώc,
τεύχε' ἔχων ὤμοιcιν Ἀρηιθόοιο ἄνακτοc,
δίου Ἀρηιθόου, τὸν ἐπίκληcιν κορυνήτην
ἄνδρεc κίκληcκον καλλίζωνοί τε γυναῖκεc,
οὕνεκ' ἄρ' οὐ τόξοιcι μαχέcκετο δουρί τε μακρῷ,
ἀλλὰ cιδηρείῃ κορύνῃ ῥήγνυcκε φάλαγγαc.
τὸν Λυκόοργοc ἔπεφνε δόλῳ, οὔ τι κράτεΐ γε,

V. ι. 118 φύγῃcι ACDEGH. — 119 πολέμου DE. — 120 ὡc A. — 121 ὅδ' CGHL. — 124 ὢ: ὦ AD. — 125 ἢ καὶ C. κεν μέγ' οἰμώξειεν D. — 126 omitt. Apoll. de Synt. 89, 13. — 127 ἐνιοίκωι A. — 129 πτώcονταc G. ἀκούcαι ACL Lips. Cant. Townl. Vrat. c. A. Mosc. 1. ἀκοῦcαι H. ἀκούcοι G Mor. Barocc. Lips. man. sec. ἀκούcει DE. — 130 ἀνα A. χεῖραc ἀναεῖραι φίλαc D. ἀείροι G Mor. Barocc. ἀείρο^οι H. — 131 ἀπο A. ἀπαὶ GL post ras. S Cant. — 133 ὠκυῤῥόω L. — 135 παρ AD. ἰορδάνου H. — 136 τοῖcι δ' ἄρ' ἐρευθαλίων H. — 137 ἀρηϊθόου G. — 140 ἆρ EGL. ἀρ A. οὕνεκαρ D. — 142 λυκάοργοc G. λυκόεργοc Mor. Λυκοῦργοc Schol. Ζ 130. κράτει γε H.

A. c. 127 Zenodotus μειρόμενοc et μεγάλ' ἔcτενεν, non μέγα δ' ἔcτενεν, conf. Schol. Ι 616. — 130 φίλαc ἄνα: ἐν ταῖc ἐξηταcμέναιc Ἀριcτάρχου βαρείαc χεῖραc Didymus. — 133 Κελάδοντι: alii Ἀκίδοντι teste Strabone VIII, 348. — 135 Φειᾶc: nonnulli Χάαc apud Strabonem VIII, 348. alii Φιᾶc teste Eust. 671, 18.

cτεινωπῷ ἐν ὁδῷ, ὅθ' ἄρ' οὐ κορύνη οἱ ὄλεθρον
χραῖcμε cιδηρείη· πρὶν γὰρ Λυκόοργοc ὑποφθὰc
δουρὶ μέcον περόνηcεν, ὃ δ' ὕπτιοc οὔδει ἐρείcθη·
τεύχεα δ' ἐξενάριξε, τά οἱ πόρε χάλκεοc Ἄρηc.
καὶ τὰ μὲν αὐτὸc ἔπειτα φόρει μετὰ μῶλον ἄρηοc.
αὐτὰρ ἐπεὶ Λυκόοργοc ἐνὶ μεγάροιcιν ἐγήρα,
δῶκε δ' Ἐρευθαλίωνι, φίλῳ θεράποντι, φορῆναι·
τοῦ ὅ γε τεύχε' ἔχων προκαλίζετο πάνταc ἀρίcτουc.
οἳ δὲ μάλ' ἐτρόμεον καὶ ἐδείδιcαν οὐδέ τιc ἔτλη·
ἀλλ' ἐμὲ θυμὸc ἀνῆκε πολυτλήμων πολεμίζειν
θάρcει ᾧ· γενεῇ δὲ νεώτατοc ἔcκον ἁπάντων·
καὶ μαχόμην οἱ ἐγώ, δῶκεν δέ μοι εὖχοc Ἀθήνη.
τὸν δὴ μήκιcτον καὶ κάρτιcτον κτάνον ἄνδρα·
πολλὸc γάρ τιc ἔκειτο παρήοροc ἔνθα καὶ ἔνθα.
εἴθ' ὣc ἡβώοιμι, βίη δέ μοι ἔμπεδοc εἴη,
τῷ κε τάχ' ἀντήcειε μάχηc κορυθαίολοc Ἕκτωρ.
ὑμέων δ' οἵ περ ἔαcιν ἀριcτῆεc Παναχαιῶν,
οὐδ' οἳ προφρονέωc μέμαθ' Ἕκτοροc ἀντίον ἐλθεῖν.
ὣc νείκεcc' ὁ γέρων, οἳ δ' ἐννέα πάντεc ἀνέcταν.
ὦρτο πολὺ πρῶτοc μὲν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
τῷ δ' ἐπὶ Τυδείδηc ὦρτο κρατερὸc Διομήδηc,

V. ι. 143 cτεινοπῷ D 2. man. εἰν ὀδῶ L. ἆρ EGL. ἀρ A. ἄρ D. — 144 λυκάοργοc G. ὑποφθὰc: γρ. καὶ ἀναcτὰc A. — 145 ὃ δ' D. ὅδ' CGHL. — 146 τεύχεα δ' AHS Cant. Harl. τεύχεά τ' CDEGL. τά: ἅ Schol. Υ 265. χάλκειοc G. — 147 ἔπειτα φόρει ADEGL Cant. Lips. Harl. Vrat. b. Mosc. 1. ἔπειτ' αὐτὸc φόρει C. ἔπειτ' ἐφόρει H. — 148 λυκάοργοc G. ἐνιμεγάροιcιν AD. ἐνῖμμεγάροιcῐν CH. ἐγήρᾱ AC. — 149 δῶκε δ': δῶκεν D post ras. GHS. — 151 οἳ δὲ C. μάλλ' D. δὲ μέγ' H. post hunc insertus in GS Cant. Barocc. Mor. Vrat. b. versus ἀντίβιον μαχέcαcθαι ἐν αἰνῇ δηϊοτῆτι. — 152 πολυτλήμων A. — 153 θάρcει ACDGHL: θάρcεϊ Apoll. de Pron. 60 C. de Synt. 155, 1. — 154 οἳ CD. δῶκε CDEGL 1. man. εὖχοc ἀπόλλων H. — 156 παρῄοροc E bis. — 157 ὡc A. — 158 τῶ ACHL: τῷ DEG. κε: καὶ D. κορυθαιόλοc D. — 159 παναχαιῶν A. — 160 οἱ ACDEGHL. — 161 ὡc A. νείκεc' G. οἳ δ' D. οἵδ' CGHL. — 162 πρῶτοc: πρῶτον S Cant. Lips. 1. man. μὲν omitt. L. — 163 ἔπι AC. ἔπι EGH.

A. c. 144 ὑποφθάc: Ἀρίcταρχοc δέ φηcι καὶ ἀναcτάc, οἷον ἐκ λόχου ἀναcτάc Didymus. — 146 τεύχεα δ': οὕτωc ἀρίcταρχοc, ἄλλοι δὲ διὰ τοῦ τε τεύχεά τ' ἐξενάριξε Didymus. — 149 δῶκε δ' Aristarchus: alii δῶκεν. — 153 θάρcει ᾧ: θάρcει ἐμῷ Zenodotus. — 163 ἐπὶ, non ἔπι, Herodianus, idem 164, 165, 167 ἐπ', non ἔπ' conf. Schol. 167 οὐδὲ ἐνθάδε ἀναcτρεπτέον, καὶ ὅτι cυνήλειπται.

τοῖϲι δ' ἐπ' Αἴαντεϲ, θοῦριν ἐπιειμένοι ἀλκήν,
τοῖϲι δ' ἐπ' Ἰδομενεὺϲ καὶ ὀπάων Ἰδομενῆοϲ,
Μηριόνηϲ, ἀτάλαντοϲ Ἐνυαλίῳ ἀνδρεϊφόντῃ,
τοῖϲι δ' ἐπ' Εὐρύπυλοϲ, Εὐαίμονοϲ ἀγλαὸϲ υἱόϲ,
ἂν δὲ Θόαϲ Ἀνδραιμονίδηϲ καὶ δῖοϲ Ὀδυϲϲεύϲ·
πάντεϲ ἄρ' οἵ γ' ἔθελον πολεμίζειν Ἕκτορι δίῳ.
τοῖϲ δ' αὖτιϲ μετέειπε Γερήνιοϲ ἱππότα Νέϲτωρ·
κλήρῳ νῦν πεπάλαϲθε διαμπερέϲ, ὅϲ κε λάχῃϲιν·
οὗτοϲ γὰρ δὴ ὀνήϲει ἐυκνήμιδαϲ Ἀχαιούϲ·
καὶ δ' αὐτὸϲ ὃν θυμὸν ὀνήϲεται, αἴ κε φύγῃϲι
δηίου ἐκ πολέμοιο καὶ αἰνῆϲ δηιοτῆτοϲ.
ὣϲ ἔφαθ', οἱ δὲ κλῆρον ἐϲημήναντο ἕκαϲτοϲ,
ἐν δ' ἔβαλον κυνέῃ Ἀγαμέμνονοϲ Ἀτρεΐδαο.
λαοὶ δ' ἠρήϲαντο, θεοῖϲι δὲ χεῖραϲ ἀνέϲχον·
ὧδε δέ τιϲ εἴπεϲκεν ἰδὼν εἰϲ οὐρανὸν εὐρύν·
Ζεῦ πάτερ, ἢ Αἴαντα λαχεῖν, ἢ Τυδέοϲ υἱόν,
ἢ αὐτὸν βαϲιλῆα πολυχρύϲοιο Μυκήνηϲ.
ὣϲ ἄρ' ἔφαν, πάλλεν δὲ Γερήνιοϲ ἱππότα Νέϲτωρ,
ἐκ δ' ἔθορε κλῆροϲ κυνέηϲ, ὃν ἄρ' ἤθελον αὐτοί,
Αἴαντοϲ· κῆρυξ δὲ φέρων ἀν' ὅμιλον ἁπάντῃ
δεῖξ' ἐνδέξια πᾶϲιν ἀριϲτήεϲϲιν Ἀχαιῶν.
οἱ δ' οὐ γιγνώϲκοντεϲ ἀπηνήναντο ἕκαϲτοϲ.

V. l. 164, 165, 167 ἔπ' EGH. — 166 ἀνδριφόντῃ DGHL Lips. 1. man. cf. Eust. 673, 52. — 168 ἀν CD. ἐν L. — 169 ἄρ EG. ἀρ A. γὰρ L. — 170 τοῖϲ δ' AHLS Cant. Harl. Townl. Vrat. b. c. A. Mosc. 1. 3. τοῖϲι δ' CDG. αὖθιϲ C. — 171 πεπάλαϲθε AG Mor. Lips. πεπάλαχθε C post ras. DEHLS Rhet. Gr. III, 226, 17. Schol. Pind. Ol. VII, 110. Eust. 809, 18. λάχῃϲι DG. — 172 οὗτοϲ: οὕτωϲ D. εὐκνήμιδαϲ DGHL. — 173 ὀνήϲειεν Vrat. A. φύγῃϲι ACDEGH. — 174 πολέμου L. — 175 ὡϲ A. οἳ δὲ C. ἐϲημήναντο CGH. — 176 ἒν δ' A. δέβαλον D. — 177 θεοῖϲι δὲ C post ras. DE 674, 42 GL: θεοῖϲ· ἰδὲ AS Ven. B. Cant. Townl. Vrat. c. Mosc. 1. τὸ θεοῖϲι δὲ διαιρεθὲν γράφεται καὶ οὕτωϲ· „ἠρήϲαντο θεοῖϲ", εἶτα „ἰδὲ χεῖραϲ ἀνέϲχον" Eust. 674, 46. — 179 λαχεῖν: τυχεῖν L. — 181 ὡϲ A. ἂρ D. — 182 ἓκ A. καδδ' ἔθορε H. ὅν ῥ' C. ἂρ DEGL. ἀρ A. — 183 κῆρυξ ACEH: κήρυξ DGL. ἀν A. ἀνόμιλον D. ἁπάντῃ AE: ceteri ἁπάντη. — 185 οἳ δ' L. οἵδ' CH. γιγνώϲκοντεϲ L: γινώϲκοντεϲ ACDE bis GH. ἀπηνήναντο ACEGH.

A. c. 167 Εὐαίμονοϲ Herodianus, ψιλῶϲ. — 171 οὕτωϲ ἀρίϲταρχοϲ καὶ ἡρωδιανὸϲ διὰ τοῦ ϲ̄ πεπάλαϲθε, οὐ διὰ τοῦ χ̄ Schol. A, oonf. Schol. et Eustath. ad ι 331. — 173 καὶ δ': καὶ δή? — 177 διχῶϲ καὶ θεοῖϲι δὲ καὶ θεοῖϲ ἰδὲ Schol. A. θεοῖϲι δὲ Alexio et Heracleo: θεοῖϲ ἰδὲ Ptolem. Ascalonita, conf. Γ 318. — 184 ἐνδέξια Herodianus, non ἐν δεξιᾷ, conf. Schol. ρ 365.

ἀλλ' ὅτε δὴ τὸν ἵκανε φέρων ἀν' ὅμιλον ἁπάντῃ,
ὅϲ μιν ἐπιγράψαϲ κυνέῃ βάλε, φαίδιμοϲ Αἴαϲ,
ἦ τοι ὑπέϲχεθε χεῖρ', ὁ δ' ἄρ' ἔμβαλεν ἄγχι παραϲτάϲ,
γνῶ δὲ κλήρου ϲῆμα ἰδών, γήθηϲε δὲ θυμῷ.
τὸν μὲν πὰρ πόδ' ἑὸν χαμάδιϲ βάλε φώνηϲέν τε·
ὦ φίλοι, ἦ τοι κλῆροϲ ἐμόϲ, χαίρω δὲ καὶ αὐτὸϲ
θυμῷ, ἐπεὶ δοκέω νικηϲέμεν Ἕκτορα δῖον.
ἀλλ' ἄγετ', ὄφρ' ἂν ἐγὼ πολεμήια τεύχεα δύω,
τόφρ' ὑμεῖϲ εὔχεϲθε Διὶ Κρονίωνι ἄνακτι
ϲιγῇ ἐφ' ὑμείων, ἵνα μὴ Τρῶέϲ γε πύθωνται,
ἠὲ καὶ ἀμφαδίην, ἐπεὶ οὔ τινα δείδιμεν ἔμπηϲ·
οὐ γάρ τίϲ με βίῃ γε ἑκὼν ἀέκοντα δίηται,
οὐδέ τι ἰδρείῃ, ἐπεὶ οὐδ' ἐμὲ νήιδά γ' οὕτωϲ
ἔλπομαι ἐν Ϲαλαμῖνι γενέϲθαί τε τραφέμεν τε.
ὣϲ ἔφαθ', οἱ δ' εὔχοντο Διὶ Κρονίωνι ἄνακτι·
ὧδε δέ τιϲ εἴπεϲκεν ἰδὼν εἰϲ οὐρανὸν εὐρύν·
Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιϲτε, μέγιϲτε,
δὸϲ νίκην Αἴαντι καὶ ἀγλαὸν εὖχοϲ ἀρέϲθαι·
εἰ δὲ καὶ Ἕκτορά περ φιλέειϲ καὶ κήδεαι αὐτοῦ,
ἴϲην ἀμφοτέροιϲι βίην καὶ κῦδοϲ ὄπαϲϲον.
ὣϲ ἄρ' ἔφαν, Αἴαϲ δὲ κορύϲϲετο νώροπι χαλκῷ.

V. l. 186 δή ῥ' ἵκανε A. ἁπάντῃ AE: ceteri ἁπάντη. ἀχαιῶν Vrat. b. 1. man. — 187 κυνέῃ: κυνέην L Et. Gud. 327, 37. — 188 ἤτει ὑπεϲχέθαι[ε] H. ὃ δ' L. ὅδ' GH. ἂρ DGL. ἔβαλεν GS. — 190 παρ A. — 191 ἤ τοι Et. Mg. 519, 12. ἤτοι μὲν κλῆροϲ ἐμοὶ G. — 195 τρῷεϲ L. γε πύθωνται: πεπύθωνται F Vrat. c. Mosc. 3. — 196 ἠέ: ἠδὲ L. — 197 γάρ τῖϲ με H. ἑλὼν: γρ. ἑκὼν LS. ἀέκοντα A. — 198 οὐδέ τ' ἀϊδρείῃ ACD ELS et libri apud Heynium cum Et. Mg. 42, 45. Apoll. Lex. 17, 3. Hesych. I, 73. οὐδέ γ' ἀϊδρείῃ G. οὐδ' ἐμέ: οὐδέ με HL. οὕτωϲ: αὕτωϲ H. — 199 γενέϲθαί τε, τραφέμεν τε ACD. γενέϲθαί τε G Et. Gud. 244, 21. Cram. Ep. 187, 21. Cram. An. Par. III, 116, 26: vulgo γενέϲθαι τε, conf. ad γ 28. τετραφέμεν E 676, 7. — 200 ὡϲ A. οἵδ' CGL. — 206 ὡϲ A. ἂρ ADG.

A. c. 186 διχῶϲ ἀλλ' ὅτε δή ῥ' ἵκοντο καὶ ἀλλ' ὅτε δὴ τὸν ἵκανε Didymus. — 193 ἀρίϲταρχοϲ δύνω, ἄλλοι δὲ δύω Didymus. — 195—199 ϲτίχοι πέντε ἀθετοῦνται Aristonicus, conf. Didym. ad 198 ἠθέτηντο δὲ καὶ παρὰ Ἀριϲτοφάνει καὶ Ζηνοδότῳ. — 197 ἑκών: ἀρίϲταρχοϲ διὰ τοῦ λ̄ ἑλών Didymus. Ἀρίϲταρχοϲ καὶ αἱ πλείουϲ ἑλών Schol. A. — 198 διὰ τοῦ ῑ (οὐδέ τι ἰδρείῃ) εἶχον αἱ Ἀριϲτάρχου· ἡ δὲ Ἀριϲτοφάνουϲ οὐδὲ μὲν ἰδρείῃ Didymus. ἀϊδρείῃ, τῇ πολυπειρίᾳ, ἐπιτάϲει τοῦ ᾱ Schol. BL. οὐδ' ἐμέ, non οὐδέ με, Herodianus. — 199 γενέϲθαί τε Herodianus, conf. H. T. 413.

αὐτὰρ ἐπεὶ δὴ πάντα περὶ χροῒ ἕccατο τεύχεα,
cεύατ᾽ ἔπειθ᾽ οἷόc τε πελώριοc ἔρχεται Ἄρηc,
ὅc τ᾽ εἶcιν πόλεμον δὲ μετ᾽ ἀνέραc, οὕc τε Κρονίων
θυμοβόρου ἔριδοc μένεϊ ξυνέηκε μάχεcθαι.
τοῖοc ἄρ᾽ Αἴαc ὦρτο πελώριοc, ἕρκοc Ἀχαιῶν,
μειδιόων βλοcυροῖcι προcώπαcι· νέρθε δὲ ποccὶν
ἤιε μακρὰ βιβάc, κραδάων δολιχόcκιον ἔγχοc.
τὸν δὲ καὶ Ἀργεῖοι μὲν ἐγήθεον εἰcορόωντεc,
Τρῶαc δὲ τρόμοc αἰνὸc ὑπήλυθε γυῖα ἕκαcτον,
Ἕκτορί τ᾽ αὐτῷ θυμὸc ἐνὶ cτήθεccι πάταccεν·
ἀλλ᾽ οὔ πωc ἔτι εἶχεν ὑποτρέcαι οὐδ᾽ ἀναδῦναι
ἂψ λαῶν ἐc ὅμιλον, ἐπεὶ προκαλέccατο χάρμῃ.
Αἴαc δ᾽ ἐγγύθεν ἦλθε φέρων cάκοc ἠύτε πύργον,
χάλκεον ἑπταβόειον, ὅ οἱ Τυχίοc κάμε τεύχων,
cκυτοτόμων ὄχ᾽ ἄριcτοc, Ὕλῃ ἔνι οἰκία ναίων·
ὅc οἱ ἐποίηcεν cάκοc αἰόλον ἑπταβόειον
ταύρων ζατρεφέων, ἐπὶ δ᾽ ὄγδοον ἤλαcε χαλκόν.
τὸ πρόcθε cτέρνοιο φέρων Τελαμώνιοc Αἴαc
cτῆ ῥα μάλ᾽ Ἕκτοροc ἐγγύc, ἀπειλήcαc δὲ προcηύδα·
Ἕκτορ, νῦν μὲν δὴ cάφα εἴcεαι οἰόθεν οἶοc,
οἷοι καὶ Δαναοῖcιν ἀριcτῆεc μετέαcι
καὶ μετ᾽ Ἀχιλλῆα ῥηξήνορα θυμολέοντα.

V. l. 207 τεύχεα: τεύχη CDEGHLS. τεύχη[εα] A. — 208 τε omitt. D. — 209 πόλεμον δὲ ADH. — 210 ξυνἕηκε A. — 211 ἄρ DEG. ἀρ A. — 212 προcώπαcι: προcώποιc L. προcώποιcι DG Vrat. b. A. ποccὶ D. — 213 βιβὰc libri omnes. — 214 τόνδε GL. μὲν: μέγ᾽ ACDGLS. μέγα E 676, 49; 677, 56. — 215 τρῷαc L. τρώων G. δὲ: μὲν Pseudoplut. 138, 49. ὑπήλυθε: ἐπήλυθε Plutarchus de Aud. poët. 10. ὑπῆλθεν Eust. 677, 57 et 61. ὑπείληφε Eust. 676, 50. ἕκαcτον: ἑκάcτου DG Vrat. A. pro emendatione. — 216 ἐνι AD. ἐν cτήθεcφι Barocc. Mor. — 218 λαὸν L. καλέccατο H. — 219 πῦργον L. — 220 ἑπταβόειον A. ὅ, οἱ CG. τύχιοc D. κάμε τέκτων Cant. — 221 ἐνὶ CDGHL. ἐνι A Apoll. Lex. 157, 16. — 222 ἐποίηcε CEGL. ἑπταβόειον A. — 224 πρόcθε ADEL. τὸ, πρόcθεν CGH. — 225 ῥὰ DL. — 226 ἕκτωρ H. — 227 μετέαcι ACEG. — 228 ἀχιλῆα CG.

A. c. 207 τεύχεα, conf. H. U. 146. — 213 οὕτωc ἀρίcταρχοc βιβάc Didymus, conf. H. T. 215. — 214 ἀρίcταρχοc τὸν δὲ καὶ ἀργεῖοι μὲν ἐγήθεον Didymus. — 221 Ὕλῃ: οὐδ᾽ ἐνταῦθα εὖ γράφουcί τινεc „Ὕδῃ ἔνι“. οὐ γὰρ ὁ Αἴαc ἐκ Λυδίαc τὸ cάκοc μετεπέμπετο Strabo IX, 408; conf. XIII, 626, Eust. 267, 18; 678, 12.

ἀλλ᾽ ὃ μὲν ἐν νήεccι κορωνίcι ποντοπόροιcι
κεῖτ᾽ ἀπομηνίcαc Ἀγαμέμνονι, ποιμένι λαῶν·
ἡμεῖc δ᾽ εἰμὲν τοῖοι, οἳ ἂν cέθεν ἀντιάcαιμεν,
καὶ πολέεc. ἀλλ᾽ ἄρχε μάχηc ἠδὲ πτολέμοιο.
τὸν δ᾽ αὖτε προcέειπε μέγαc κορυθαίολοc Ἕκτωρ·
Αἶαν διογενὲc Τελαμώνιε, κοίρανε λαῶν,
μή τί μευ ἠύτε παιδὸc ἀφαυροῦ πειρήτιζε
ἠὲ γυναικόc, ἣ οὐκ οἶδεν πολεμήια ἔργα.
αὐτὰρ ἐγὼν εὖ οἶδα μάχαc τ᾽ ἀνδροκταcίαc τε·
οἶδ᾽ ἐπὶ δεξιά, οἶδ᾽ ἐπ᾽ ἀριcτερὰ νωμῆcαι βῶν
ἀζαλέην, τό μοι ἔcτι ταλαύρινον πολεμίζειν·
οἶδα δ᾽ ἐπαΐξαι μόθον ἵππων ὠκειάων·
οἶδα δ᾽ ἐνὶ cταδίῃ δηίῳ μέλπεcθαι Ἄρηι.
ἀλλ᾽ οὐ γάρ c᾽ ἐθέλω βαλέειν τοιοῦτον ἐόντα
λάθρῃ ὀπιπεύcαc, ἀλλ᾽ ἀμφαδόν, αἴ κε τύχωμι.
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόcκιον ἔγχοc,
καὶ βάλεν Αἴαντοc δεινὸν cάκοc ἑπταβόειον
ἀκρότατον κατὰ χαλκόν, ὃc ὄγδοοc ἦεν ἐπ᾽ αὐτῷ.

V. l. 229 ποντοπόροιcι ACDEGH. — 230 κεῖται μηνίcαc G. — 231 εἰμὲν τοι οἵ H. γρ. τοὶ οἵ Vrat. b. — 232 πολέμοιο D. — 233 κορυθαιόλοc D. — 234 habet A in margine. αἶαν ἁμαρτοεπὲc βουγάϊε ποῖον ἔειπεc S Cant. Vrat. A. hic versus legitur N 824. — 235 μή τί AE Schol. A 522, Z 465. μεῦ H. — 236 οἶδε DG. — 238 οἶδ᾽ ἐπὶ: ἠδ᾽ ἐπ᾽ Schol. C 514. ἠδ᾽ ἐπὶ D post ras. οἶδ᾽ ἐπ᾽: ἠδ᾽ ἐπ᾽ D ex corr. LS Cant. Vrat. A. Schol. C 514. τινὲc πειρῶνται μεταγράψαι „ἠδ᾽ ἐπὶ δεξιὰ ἠδ᾽ ἐπ᾽ ἀριcτερὰ“ Eust. 678, 52. βῶν ACDEGHS Apoll. Lex. 53, 25. Et. Mg. 608, 21. Zonar. Lex. 414. Hesych. III, 166. Cram. An. Ox. II, 328, 10; 420, 25; IV, 415, 28. Bekk. An. 654, 14. Schol. C 514. βοῶν Cram. An. Ox. II, 399, 3. βοῦν L Et. Mg. 204, 5. Zonar. Lex. 55. — 239 ἀζαλέην· τό AC. τό μοι ἐcτὶ ACDGHL Eust. 1160, 8: τό μοί ἐcτι E Apoll. Lex. 11, 24. Schol. C 514. ταλαύρηνον G Mor. — 240 libri ἐπαΐξαι cum Et. Gud. 396, 39; Bekk. Anecd. 654, 16. ἐπαΐξαι. γρ. καὶ ἐπαΐξειν A. hic versus in Cod. D et apud Eust. post 241 est collocatus. — 241 ἐνι D. ἐν E. cταδίῳ[η] S. cταδίῳ Cant. — 242 cε θέλω DH Schol. Λ 612. τοιοῦτον: τοῖον περ L. — 243 ὀπιπεύcαc ACD: ὀπιπτεύcαc EGHLS. τύχωμι AH Mor. Townl. τύχοιμι CDE bis GLS. γρ. δὲ καὶ τύχῳμι E 679, 41. τύχωμαι Et. Mg. 88, 35. — 244 ῥὰ CDGL.

A. c. 230 ἀπομηνίcαc: Ἀρίcταρχοc ἐπιμηνίcαc Schol. V. conf. H. T. 199. — 238 οὕτωc ἀρίcταρχοc βῶν ἀντὶ τοῦ ἀcπίδα Didymus. Aristophanes βοῦν. τινὲc (Herodianus teste Schol. V) ἔξω τοῦ ν̄ βῶ, καὶ μήποτε πιθανῶc Didymus. ἐν τοῖc παλαιοῖc ἐγέγραπτο ΒΟΝ, ὅπερ οὐκ ἐνόηcαν οἱ διορθωταί Schol. V. — 239 τό μοί ἐcτι Aristarchus, conf. H. S. pg. 74. Eust. 679, 26 explicat διό μοι ἐcτί. — 241 δηίῳ: δηίων Aristarchus. — 243 τύχωμι, conf. H. U. 250.

ἐξ δὲ διὰ πτύχαϲ ἦλθε δαΐζων χαλκὸϲ ἀτειρήϲ·
ἐν τῇ δ' ἑβδομάτῃ ῥινῷ ϲχέτο. δεύτεροϲ αὖτε
Αἴαϲ διογενὴϲ προΐει δολιχόϲκιον ἔγχοϲ,
καὶ βάλε Πριαμίδαο κατ' ἀϲπίδα πάντοϲ' ἐίϲην.
διὰ μὲν ἀϲπίδοϲ ἦλθε φαεινῆϲ ὄβριμον ἔγχοϲ,
καὶ διὰ θώρηκοϲ πολυδαιδάλου ἠρήρειϲτο·
ἀντικρὺ δὲ παραὶ λαπάρην διάμηϲε χιτῶνα
ἔγχοϲ· ὁ δ' ἐκλίνθη καὶ ἀλεύατο κῆρα μέλαιναν.
τὼ δ' ἐκϲπαϲϲαμένω δολίχ' ἔγχεα χερϲὶν ἅμ' ἄμφω
ϲύν ῥ' ἔπεϲον λείουϲιν ἐοικότεϲ ὠμοφάγοιϲιν,
ἢ ϲυϲὶ κάπροιϲιν, τῶν τε ϲθένοϲ οὐκ ἀλαπαδνόν.
Πριαμίδηϲ μὲν ἔπειτα μέϲον ϲάκοϲ οὔταϲε δουρί,
οὐδ' ἔρρηξεν χαλκόϲ, ἀνεγνάμφθη δέ οἱ αἰχμή.
Αἴαϲ δ' ἀϲπίδα νύξεν ἐπάλμενοϲ· ἣ δὲ διὰ πρὸ
ἤλυθεν ἐγχείη, ϲτυφέλιξε δέ μιν μεμαῶτα,
τμήδην δ' αὐχέν' ἐπῆλθε, μέλαν δ' ἀνεκήκιεν αἷμα.
ἀλλ' οὐδ' ὣϲ ἀπέληγε μάχηϲ κορυθαίολοϲ Ἕκτωρ,
ἀλλ' ἀναχαϲϲάμενοϲ λίθον εἵλετο χειρὶ παχείῃ
κείμενον ἐν πεδίῳ, μέλανα, τρηχύν τε μέγαν τε·
τῷ βάλεν Αἴαντοϲ δεινὸν ϲάκοϲ ἑπταβόειον
μέϲϲον ἐπομφάλιον· περιήχηϲεν δ' ἄρα χαλκόϲ.
δεύτεροϲ αὖτ' Αἴαϲ πολὺ μείζονα λᾶαν ἀείραϲ
ἧκ' ἐπιδινήϲαϲ, ἐπέρειϲε δὲ ἶν' ἀπέλεθρον,
εἴϲω δ' ἀϲπίδ' ἔαξε βαλὼν μυλοειδέι πέτρῳ,
βλάψε δέ οἱ φίλα γούναθ'· ὁ δ' ὕπτιοϲ ἐξετανύϲθη
ἀϲπίδι ἐγχριμφθείϲ· τὸν δ' αἶψ' ὤρθωϲεν Ἀπόλλων.

V. ι. 247 δια A. — 248 ἑβδομάτῃ δὲ ῥῖνῷ H. — 250 βάλλε D. πάντοϲε ἴϲην CHS. πάντοϲ'ε ἴϲην D. πάντοϲε ἶϲην A. — 251 ὄμβριμον CGH. — 254 ὃ δ' D. ὃδ' CGL. — 255 ἐκϲπαϲαμένω GHL. ἐκϲπαϲάμενοι E. — 257 ἢ A. κάπροιϲι CDEG. — 259 ἔρρηξε GL 2. man. Townl. χαλκὸϲ S Townl.: χαλκὸν ACDEGHL. ἀνεγνάφθη G Mor. ἀνεγνάμφη Lips. — 260 ἢ δὲ C. διὰ πρὸ L: ceteri διαπρὸ. — 262 τυδείδην D et man. rec. γρ. τμήδην. ἀνακήκιεν Schol. Soph. Phil. 697. — 263 ὧϲ A: ceteri ὣϲ. κορυθαίολοϲ A. — 264 ἀναχαϲάμενοϲ E. — 265 τραχύν G. — 267 ἐπὸμφάλιον A. ἐπ' ὀμφάλιον G Cant. Mor. Vrat. A. Mosc. 1. περιήχηϲε DEG. — 268 δεύτερον H. λάαν G. — 269 ἐπέρηϲε A. — 271 ὃδ' CGHL. — 272 ἀϲπίδι ἐγχριμφθείϲ ACEGHLS. ἐγχριφθείϲ D: ἀϲπίδ' ἐνιχριμφθείϲ Mor.

A. c. 256, 257 τοὺϲ ϲτίχουϲ τούτουϲ οὐ προϲίενται ἔνιοι, ὥϲπερ οὐδὲ Ζηνόδοτοϲ Schol. A. — 259 ἀρίϲταρχοϲ διὰ τοῦ ϲ̄ χαλκόϲ Didymus, conf. Γ 348, Ρ 44. — 272 ἀρίϲταρχοϲ ἀϲπίδ' ἐνιχριμφθείϲ Didymus, conf. H. U. 127. αἶψ': οὕτωϲ Ἀρίϲταρχοϲ, οὐκ ἄψ Schol. V.

καί νύ κε δὴ ξιφέεϲϲ' αὐτοϲχεδὸν οὐτάζοντο,
εἰ μὴ κήρυκεϲ, Διὸϲ ἄγγελοι ἠδὲ καὶ ἀνδρῶν,
ἦλθον, ὁ μὲν Τρώων, ὁ δ' Ἀχαιῶν χαλκοχιτώνων,
Ταλθύβιόϲ τε καὶ Ἰδαῖοϲ, πεπνυμένω ἄμφω·
μέϲϲῳ δ' ἀμφοτέρων ϲκῆπτρα ϲχέθον, εἶπέ τε μῦθον
κῆρυξ Ἰδαῖοϲ, πεπνυμένα μήδεα εἰδώϲ·
μηκέτι παῖδε φίλω πολεμίζετε, μηδὲ μάχεϲθον·
ἀμφοτέρω γὰρ ϲφῶι φιλεῖ νεφεληγερέτα Ζεύϲ·
ἄμφω δ' αἰχμητά· τό γε δὴ καὶ ἴδμεν ἅπαντεϲ.
νὺξ δ' ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέϲθαι.
τὸν δ' ἀπαμειβόμενοϲ προϲέφη Τελαμώνιοϲ Αἴαϲ·
Ἰδαῖ', Ἕκτορα ταῦτα κελεύετε μυθήϲαϲθαι·
αὐτὸϲ γὰρ χάρμῃ προκαλέϲϲατο πάνταϲ ἀρίϲτουϲ.
ἀρχέτω· αὐτὰρ ἐγὼ μάλα πείϲομαι ᾗ περ ἂν οὗτοϲ.
τὸν δ' αὖτε προϲέειπε μέγαϲ κορυθαίολοϲ Ἕκτωρ·
Αἶαν, ἐπεί τοι δῶκε θεὸϲ μέγεθόϲ τε βίην τε
καὶ πινυτήν, περὶ δ' ἔγχει Ἀχαιῶν φέρτατόϲ ἐϲϲι,
νῦν μὲν παυϲώμεϲθα μάχηϲ καὶ δηιοτῆτοϲ
ϲήμερον· ὕϲτερον αὖτε μαχηϲόμεθ', εἰϲ ὅ κε δαίμων
ἄμμε διακρίνῃ, δώῃ δ' ἑτέροιϲί γε νίκην·
νὺξ δ' ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέϲθαι·
ὡϲ ϲύ τ' εὐφρήνῃϲ πάνταϲ παρὰ νηυϲὶν Ἀχαιούϲ,
ϲούϲ τε μάλιϲτα ἔταϲ καὶ ἑταίρουϲ, οἵ τοι ἔαϲιν·
αὐτὰρ ἐγὼ κατὰ ἄϲτυ μέγα Πριάμοιο ἄνακτοϲ

V. ι. 273 ξιφέεϲϲι G. — 275 τρώων GL. ὃδ' CHL. — 277 μέϲϲον Harl. μέϲϲοι E. ἀμφοτέρω Mosc. 1. — 278 κῆρυξ ACGH: κήρυξ DL. — 279 μή κέ τι CD. μὴ δὲ CDGHL. μάχεϲθε Barocc. Mor. Gellius XIII, 25, 18. μάχεϲθαι L. — 280 ϲφῶι: ϲφῶε H. — 281 αἰχμηταὶ G Barocc. Mor. — 282 δ' omitt. H. — 284 ἕκτορα ACDLS: ἕκτορι EGH Lips. Ven. B. — 285 αὐτὸϲ: οὗτοϲ EL. ἐν ἄλλῳ οὗτοϲ γὰρ A. γὰρ: δὲ G 1. man. δὴ G ex corr. — 286 ἤπερ ACD Townl.: εἴπερ GHLS. — 287 κορυθαιόλοϲ D. — 289 ἔγχεϊ EGL. φέρτατοϲ: φέρτεροϲ D. — 290 νῦν μὲν παύϲωμεν πόλεμον καὶ δηϊοτῆτα G (πολέμου) Barocc. Harl. (νὼ μὲν) Townl. ἐν ἄλλῳ νῦν μὲν παύϲωμεν πόλεμον καὶ δηϊοτῆτα A. — 291 δ' αὖτε D. — 292 δώῃ EGH. δώη CL. δῴη AS. δώιηι D. — 294 εὐφρήνῃϲ CEL. εὐφρῄνῃϲ H. εὐφράνῃϲ G Mor. τε εὐφρήνῃϲ Eust. 1121, 20. ἀχαιοὺϲ: ἀχαιῶν G. — 295 οἵ ϲοι G. οἵ τ' ἔαϲιν D.

A. c. 280 ϲφῶι: ϲφῶε Ixion teste Apollon. de Pronom. 114 A. — 282 asteriscus: κακῶϲ 293. — 289 πινυτήν Aristarchus ὀξυτόνωϲ. — 293 obelus cum asterisco: ὀρθῶϲ 282. — 295 ἀθετεῖται Aristonicus.

Τρῶας ἐυφρανέω καὶ Τρῳάδας ἑλκεσιπέπλους,
αἵ τέ μοι εὐχόμεναι θεῖον δύϲονται ἀγῶνα.
δῶρα δ' ἄγ' ἀλλήλοιϲι περικλυτὰ δώομεν ἄμφω,
ὄφρά τις ὧδ' εἴπηϲιν Ἀχαιῶν τε Τρώων τε·
ἠμὲν ἐμαρνάϲθην ἔριδοϲ πέρι θυμοβόροιο,
ἠδ' αὖτ' ἐν φιλότητι διέτμαγεν ἀρθμήϲαντε.
ὣς ἄρα φωνήϲας δῶκε ξίφος ἀργυρόηλον
ϲὺν κολεῷ τε φέρων καὶ ἐυτμήτῳ τελαμῶνι·
Αἴας δὲ ζωϲτῆρα δίδου φοίνικι φαεινόν.
τὼ δὲ διακρινθέντε ὃ μὲν μετὰ λαὸν Ἀχαιῶν
ἤϊ', ὃ δ' ἐς Τρώων ὅμαδον κίε. τοὶ δὲ χάρηϲαν,
ὡς εἶδον ζωόν τε καὶ ἀρτεμέα προϲιόντα,
Αἴαντος προφυγόντα μένος καὶ χεῖρας ἀάπτους·
καί ῥ' ἦγον προτὶ ἄϲτυ ἀελπτέοντες ϲόον εἶναι.
Αἴαντ' αὖθ' ἑτέρωθεν ἐυκνήμιδες Ἀχαιοὶ
εἰς Ἀγαμέμνονα δῖον ἄγον, κεχαρηότα νίκῃ.
οἳ δ' ὅτε δὴ κλιϲίηϲιν ἐν Ἀτρεΐδαο γένοντο,
τοῖϲι δὲ βοῦν ἱέρευϲεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
ἄρϲενα πενταέτηρον ὑπερμενέι Κρονίωνι.
τὸν δέρον ἀμφί θ' ἕπον, καί μιν διέχευαν ἅπαντα.

V. l. 297 τρῶας τ' C. εὐφρανέω CGHL. τρωιάδας A. τρωϊάδας CDGHL Townl. Vrat. b. c. ἑλκεσιπέπλους A. — 298 αἵ τέ μοι CDHL. δύϲϲονται G. — 299 δῶρα δ' ἄμ' G Mor. δῶρα δέ γ' Harl. Lips. δέ γ' et δ' ἄγ' E 682, 18. ἄγ' omitt. D 1. man. H. — 300 ὄφρά τις ACL. τίς G. τρῴων G. εἴπηιϲιν καὶ αἰῶν χαλκοχιτώνων D et suprascr. χαιῶν τε τρώων τε. — 301 ἤ μὲν DEGLS Et. Mg. 141, 31. περὶ DGH. περι A. θυμοβόροιο A. — 302 ἤ δ' A. αὖτε φιλότητι S. ἠδὲ καὶ αὖ φιλότητι Et. Mg. 141, 31. διέτμαγον Mosc. 1. ἀρθμήϲαντε ACEHL Et. Mg. 141, 31: ἀρθμήϲαντες D Vrat. b. ἁρμοϲθέντε G e glossa, conf. Schol. B. — 303 ὥς A. ἐΰτμήτω A. ἐυδμήτῳ E. εὐδμήτῳ G. — 306 οἱ δὲ διακρινθέντες E. διακριθέντε CGHL Lips. Townl. διακρινθέντες Pseudoplut. 116, 16. ὃ μὲν C. — 307 ἤϊε D. ἤϊ' G. ὅδ' CGL. ὁ δὲ τρώων H. τρῴων L. ὅμαδον G. * δὲ χάρηϲαν: libri δ' ἐχάρηϲαν. — 309 ἀάπτους A. — 310 καί ῥ': καὶ δὴ E. ἀέλποντες G. ἀελπέοντες Hesych. I, 54. ϲόον: ϲῶον D Barocc. Mor. ϲῷον G. — 311 εὐκνήμιδες DGL. — 312 ἄγων D. ἄγον G. κεχαρηότα: κεκαφηότα Et. Mg. 492, 8 diserte. — 313 οἵδ' CL. — 315 ὑπερμενέϊ C. — 316 ἀμφὶ δ' Schol. μ 209. διέχευον (α suprascr.) A, conf. τ 421, Γ 270.

A. c. 298 δύϲονται: γρ. δὲ καὶ θύονται, ὡς Ἡρωδιανός Schol. BL. — 304 ἐΰτμήτῳ: ἀρίϲταρχος διὰ τοῦ κ̄ ἐΰκμήτωι Didymus. — 310 ϲόον, conf. Schol. I 681, Π 252.

μίϲτυλλόν τ' ἄρ' ἐπιϲταμένως πεῖράν τ' ὀβελοῖϲιν,
ὤπτηϲάν τε περιφραδέως, ἐρύϲαντό τε πάντα.
αὐτὰρ ἐπεὶ παύϲαντο πόνου τετύκοντό τε δαῖτα,
δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐϲης.
νώτοιϲιν δ' Αἴαντα διηνεκέεϲϲι γέραιρεν
ἥρως Ἀτρεΐδης, εὐρὺ κρείων Ἀγαμέμνων.
αὐτὰρ ἐπεὶ πόϲιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
τοῖϲ ὁ γέρων πάμπρωτος ὑφαίνειν ἤρχετο μῆτιν,
Νέϲτωρ, οὗ καὶ πρόϲθεν ἀρίϲτη φαίνετο βουλή·
ὅ ϲφιν ἐὺ φρονέων ἀγορήϲατο καὶ μετέειπεν·
Ἀτρεΐδη τε καὶ ἄλλοι ἀριϲτῆες Παναχαιῶν,
πολλοὶ γὰρ τεθνᾶϲι κάρη κομόωντες Ἀχαιοί,
τῶν νῦν αἷμα κελαινὸν ἐΰρροον ἀμφὶ Ϲκάμανδρον
ἐϲκέδαϲ' ὀξὺς Ἄρης, ψυχαὶ δ' Ἄϊδος δὲ κατῆλθον·
τῶ ϲε χρὴ πόλεμον μὲν ἅμ' ἠοῖ παῦϲαι Ἀχαιῶν,
αὐτοὶ δ' ἀγρόμενοι κυκλήϲομεν ἐνθάδε νεκροὺς
βουϲὶ καὶ ἡμιόνοιϲιν· ἀτὰρ κατακήομεν αὐτοὺς
τυτθὸν ἀπὸ πρὸ νεῶν, ὥς κ' ὀϲτέα παιϲὶν ἕκαϲτος
οἴκαδ' ἄγῃ, ὅτ' ἂν αὖτε νεώμεθα πατρίδα γαῖαν.
τύμβον δ' ἀμφὶ πυρὴν ἕνα χεύομεν ἐξαγαγόντες
ἄκριτον ἐκ πεδίου· ποτὶ δ' αὐτὸν δείμομεν ὦκα

V. l. 317 μῖϲτῦλον δ' H. ἄρ DGL. ἀρ A. — 320 οὐδ' ἔτι A. — 321 νώτοιϲι E. — 322 εὐρὺ κρείων A: ceteri εὐρυκρείων. — 323 ἔντο L. ἕντο DGH. — 324 τοῖϲ δ' Eust. 1850, 19. πάμπρωτον Plut. Quaest. conviv. VII, 9, 1. ἤρξατο Eust. 1275, 61. μύθῳ Vrat. b. μῦθον Eust. 1850, 19. μύθους Et. Mg. 785, 32, conf. I 93. — 326 ὅ, ϲφιν C. ὅϲ ϲφιν GL. ἐΰ φρονέων A. εὖ φρονέων CDEGHLS. ἐΰφρονέων nullus. — 327 ἀτρεΐδη (αι suprascr.) A. ἀτρεῖδαί CGH Barocc. Mor. Harl. παναριϲτῆες ἀχαιῶν L. παναχαιῶν A. — 328 γάρ: μὲν S Cant. Mor. μὲν γὰρ G Harl. δὴ Vrat. b. 1. man. κάρη κομόωντες A: ceteri καρηκομόωντες. — 329 κάμανδρον L Harl. — 330 ἄϊδος δὲ ADH. — 331 τῶ ACL. τῷ DEH. τώ G. γε χρὴ H. — 332 νεκροὺς: πάντας Et. Mg. 544, 24. — 333 ἡμιόνοιϲι H. κατακείομεν ACDEHL Lips. Harl. Townl. Vrat. b. Mosc. 1. — 334 ἀπὸ πρὸ A. ἄπο πρὸ CDH. ἄπο προ S. ἀπόπρο GL Mor. ἀποπρὸ Cant. ἄπο πρὸ ἢ μᾶλλον ἀπόπρο E. — 335 ἄγει Schol. Ϲ 332. ὅταν CG. — 336 τύμβον δ' ἐκ πεδίου ἵνα χεύομεν Pseudoplut 156, 8. — 337 ἐκ πεδίου ACDGHLS Cant. Mor. Harl. Lips. Vrat. b. c. A. Mosc. 1. 3. ἐκ πεδίου ἢ μάλιϲτα ἐν πεδίῳ E 683, 34. προτὶ L.

A. c. 334 ἀπὸ πρὸ Herodianus: ἄπο πρὸ Aristarchus. — 334, 335 ἀθετοῦνται Aristonicus, conf. Schol. Δ 174, Ϲ 332. — 336 ἀρίϲταρχος διὰ τοῦ τ̄ τύμβον τ' ἀμφι Didymus. — 337 ἐκ πεδίου: ἐν πεδίῳ Aristophanes, conf. ad 436.

πύργους ὑψηλούς, εἶλαρ νηῶν τε καί αὐτῶν,
ἐν δ' αὐτοῖcι πύλας ποιήcομεν εὖ ἀραρυίας,
ὄφρα δι' αὐτάων ἱππηλαcίη ὁδὸc εἴη·
ἔκτοcθεν δὲ βαθεῖαν ὀρύξομεν ἐγγύθι τάφρον,
ἥ χ' ἵππους καὶ λαὸν ἐρυκάκοι ἀμφὶc ἐοῦcα,
μή ποτ' ἐπιβρίcῃ πόλεμος Τρώων ἀγερώχων.
ὣc ἔφαθ', οἳ δ' ἄρα πάντεc ἐπῄνηcαν βαcιλῆεc.
Τρώων αὖτ' ἀγορὴ γένετ' Ἰλίου ἐν πόλει ἄκρῃ,
δεινή, τετρηχυῖα, παρὰ Πριάμοιο θύρῃcι.
τοῖcιν δ' Ἀντήνωρ πεπνυμένος ἦρχ' ἀγορεύειν·
κέκλυτέ μευ Τρῶεc καὶ Δάρδανοι ἠδ' ἐπίκουροι,
ὄφρ' εἴπω τά με θυμὸc ἐνὶ cτήθεccι κελεύει.
δεῦτ' ἄγετ', Ἀργείην Ἑλένην καὶ κτήμαθ' ἅμ' αὐτῇ
δώομεν Ἀτρείδῃcιν ἄγειν· νῦν δ' ὅρκια πιcτὰ
ψευcάμενοι μαχόμεcθα· τῶ οὔ νύ τι κέρδιον ἧμιν
ἔλπομαι ἐκτελέεcθαι, ἵνα μὴ ῥέξομεν ὧδε.
ἦ τοι ὅ γ' ὣc εἰπὼν κατ' ἄρ' ἕζετο· τοῖcι δ' ἀνέcτη
δῖοc Ἀλέξανδροc, Ἑλένηc πόcιc ἠυκόμοιο,
ὅc μιν ἀμειβόμενοc ἔπεα πτερόεντα προcηύδα·
Ἀντῆνορ, cὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύειc·
οἶcθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆcαι.
εἰ δ' ἐτεὸν δὴ τοῦτον ἀπὸ cπουδῆc ἀγορεύειc,

V. L. 338 εἶλαρ H. αὐτῶν D ex corr. — 339 ἒν A. — 340 εἴη libri et Eustathius. — 342 ἧχ' Townl. Mosc. 1. 3. ἵππουc E: ἵππον ACDGHL Barocc. Mor. Harl. Townl. Lips. Vrat. c. Mosc. 1. 3. ἵππονουc S, i. e. ἵππον^ουc. ἀντὶ τοῦ ἵππουc D in margine. ἀμφὶc ἔουcα: γράφεται ἀμφὶc ἔχουcα V. — 343 ἐπιβρήcῃ DG. τρῴων L. — 344 ὡc A. οἵδ' CL. ὅδ' H. ἐπήνεcαν DGH. — 345 δ' αὖτ' DG. — 346 δεινή τε τραχεῖα G Mor. τε τρηχεῖα H. θύρηcι ACDGH. ἑcτίῃcιν S. ἑcτίῃcι Cant. et suprascr. θύρῃcι. — 347 τοῖcι GH Lips. τοῖcι δὴ αὖτ' Vrat. b. ἀντίον ηὔδα A et γρ. ἦρχ' ἀγορεύειν. — 348 τρῷεc L. — 349 ἐνι A. ἐνὶ cτήθεccιν ἀνώγει D Vrat. b. 1. man. — 351 Ἀτρείδῃcιν: ἀργείοιcιν Harl. νῦν: γρ. μὴ C man. rec. ὅρκια D. — 352 τῶ ACDL: τῷ EH. μαχόμεθα τώ οὔ νύ τοι G. οὐ νύ τϊ H. ἧμιν AD. ἡμῖν ἢ ἧμιν E 684, 50. — 354 ὡc A. ἂρ GL. ἀρ A. καταρέζετο CDH. — 357 ἀντήνωρ D. τάδ' H et sup. ταῦτ'. — 358 ἀμείνονα: ἀμύμονα Townl. — 359 ἀγορεύῃc G.

A. c. 340 εἴη: εἴῃ G. Hermannus ad Vigerum 906. idem Opusc. II, 32 inter εἴῃ et ἤῃ haesitat; sed legitima forma coniunctivi est ἤῃ, producto ε̄ in η̄, ut ἀνήῃ, θήῃ, cαπήῃ, φανήῃ. — 353 ἀθετεῖται Aristonicus. ἀρίcταρχοc ἐκτελέεcθαι ἵνα ἂν μὴ Didymus. scripsit Aristarchus ἵν' ἄν, non ἐκτελέεcθ' ἵνα ἄν. — 359 εἰ δ' ἐτεὸν: οὕτωc ἀρίcταρχοc ἄλλοι δίχα τοῦ δ̄ εἰ ἐτεὸν Didymus.

ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρέναc ὤλεcαν αὐτοί.
αὐτὰρ ἐγὼ Τρώεccι μεθ' ἱπποδάμοιc ἀγορεύcω.
ἀντικρὺ δ' ἀπόφημι, γυναῖκα μὲν οὐκ ἀποδώcω·
κτήματα δ', ὅcc' ἀγόμην ἐξ Ἄργεοc ἡμέτερον δῶ,
πάντ' ἐθέλω δόμεναι καὶ ἔτ' οἴκοθεν ἄλλ' ἐπιθεῖναι.
ἦ τοι ὅ γ' ὣc εἰπὼν κατ' ἄρ' ἕζετο· τοῖcι δ' ἀνέcτη
Δαρδανίδηc Πρίαμοc, θεόφιν μήcτωρ ἀτάλαντοc,
ὅ cφιν ἐὺ φρονέων ἀγορήcατο καὶ μετέειπε·
[κέκλυτέ μευ Τρῶεc καὶ Δάρδανοι ἠδ' ἐπίκουροι,
ὄφρ' εἴπω τά με θυμὸc ἐνὶ cτήθεccι κελεύει.]
νῦν μὲν δόρπον ἕλεcθε κατὰ πτόλιν, ὡc τὸ πάροc περ,
καὶ φυλακῆc μνήcαcθε καὶ ἐγρήγορθε ἕκαcτοc·
ἠῶθεν δ' Ἰδαῖοc ἴτω κοίλαc ἐπὶ νῆαc
εἰπέμεν Ἀτρείδηc, Ἀγαμέμνονι καὶ Μενελάῳ,
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκοc ὄρωρε·
καὶ δὲ τόδ' εἰπέμεναι πυκινὸν ἔποc, αἴ κ' ἐθέλωcι
παύcαcθαι πολέμοιο δυcηχέοc, εἰc ὅ κε νεκροὺc
κήομεν· ὕcτερον αὖτε μαχηcόμεθ', εἰc ὅ κε δαίμων
ἄμμε διακρίνῃ, δώῃ δ' ἑτέροιcί γε νίκην.
ὣc ἔφαθ', οἳ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο,
[δόρπον ἔπειθ' εἵλοντο κατὰ cτρατὸν ἐν τελέεccιν.]
ἠῶθεν δ' Ἰδαῖοc ἔβη κοίλαc ἐπὶ νῆαc.
τοὺc δ' εὗρ' εἰν ἀγορῇ Δαναούc, θεράποντας Ἄρηοc,
νηὶ πάρα πρυμνῇ Ἀγαμέμνονοc· αὐτὰρ δ τοῖcι
cτὰc ἐν μέccοιcιν μετεφώνεεν ἠπύτα κῆρυξ·

V. L. 361 τρῴεccι L. ἀγορεύω Lips. — 362 ἀπόφημι A. — 364 ἐπιθεῖναι: ἐπιδοῦναι Eust. 1335, 50. — 365 ὡc A. κατὰρ A. ἂρ GL. καταρέζετο CDH. — 367 ὅ, cφιν C. ὅc cφιν GL. ἔϋ φρονέων A. εὖ φρονέων CDEGHLS, conf. 326. μετέειπε C. — 368, 369 omitt. AH. ἐν ἄλλῳ καὶ ἐνταῦθα οὗτοι οἱ cτίχοι (368, 369) κεῖνται A in margine. — 368 τρῷεc L. — 370 κατὰ πτόλιν ACDGL Barocc. Vrat. c. A. Mosc. 1. 3. κατὰ πόλιν Mor. Vrat. b. κατὰ cτρατὸν EHS Cant. γρ. καταcτρατὸν A. τοπάροc G. — 372 κοίλαc ἐπὶ νῆαc ἀχαιῶν HL. — 373 ἀτρείδηc' DL. ἀτρείδῃcιν G. — 374 ἀλεξάνδρου G. ὄρωρε ACG. — 375 αἴ κ' ἐθέλωcι ACDEGHL. αἴκε θέλωcι S Cant. Vrat. b. — 376 παύcεcθαι Vrat. b. — 377 κείομεν ACDH Mor. Barocc. Townl. Lips. Mosc. 1. κῄομεν L. μαχηcόμεθ' ACDHLS: μαχεccόμεθ' EG Mor. Barocc. — 378 δώῃ GH. δώη CL. δῴη AES. δώιηι D. — 379 ὡc A. οἵδ' CGL. * ἠδὲ πίθοντο: libri ἠδ' ἐπίθοντο. — 380 omitt. AD 1. man. L: habent CD in marg. man. rec. EGHS cum aliis. ἐν ἄλλῳ καὶ οὗτοc ὁ cτίχοc A in margine. ἕλοντο C. — 382 εἰν: ἐν D. — 383 παρὰ CDGHL. παρα A. πρυμνῇ Schol. A 490: πρύμνῃ libri. δ ACDGHL. τοῖcι ACDGH. — 384 μέccοιcϊ CDG. κήρυξ L.

Ἀτρείδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν,
ἠνώγει Πρίαμός τε καὶ ἄλλοι Τρῶες ἀγαυοὶ
εἰπεῖν, αἴ κέ περ ὔμμι φίλον καὶ ἡδὺ γένοιτο,
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρε·
κτήματα μέν, ὅσ' Ἀλέξανδρος κοίλῃς ἐνὶ νηυσὶν
ἠγάγετο Τροίην δ', ὡς πρὶν ὤφελλ' ἀπολέσθαι,
πάντ' ἐθέλει δόμεναι καὶ ἔτ' οἴκοθεν ἄλλ' ἐπιθεῖναι·
κουριδίην δ' ἄλοχον Μενελάου κυδαλίμοιο
οὔ φησιν δώσειν· ἦ μὴν Τρῶές γε κέλονται.
καὶ δὲ τόδ' ἠνώγεον εἰπεῖν ἔπος, αἴ κ' ἐθέλητε
παύσασθαι πολέμοιο δυσηχέος, εἰς ὅ κε νεκροὺς
κήομεν· ὕστερον αὖτε μαχησόμεθ', εἰς ὅ κε δαίμων
ἄμμε διακρίνῃ, δώῃ δ' ἑτέροισί γε νίκην.
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ·
ὀψὲ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸς Διομήδης·
μήτ' ἄρ τις νῦν κτήματ' Ἀλεξάνδροιο δεχέσθω
μήθ' Ἑλένην· γνωτὸν δὲ καὶ ὃς μάλα νήπιός ἐστιν,
ὡς ἤδη Τρώεσσιν ὀλέθρου πείρατ' ἐφῆπται.
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἐπίαχον υἷες Ἀχαιῶν

V. l. 385 habet A in margine. ἀτρείδη ACDH Harl. Townl. Vrat. b. Mosc. 1. ἀτρείδα Mor. ἀτρεῖδαι GLS. τὲ καὶ CH. ἀριστῆες παναχαιῶν ACGHS Mor. Cant. Barocc. Lips. εὐκνήμιδες ἀχαιοί DL. ἐϋκνήμιδες ἀχαιοί Vrat. b. c. Mosc. 1. 3. pro var. lect. — 386 τρῷες L. — 387 εἰπέμεν C. αἴ κε περ AL. αἴ κέν πως G. ὔμμι AD. — 388 ὄρωρε ACGH. — 389 ὅςς' AH. κοίλαις G. ἐνι A. νηυςὶ D. — 390 τροίηνδε L. ὄφελλ' DL. — 391 δόμεναι: δώσειν E. — 393 οὐ φησὶν AD. οὔ φησὶν H. οὔ φησι E. ἦ μὴν ACGHL Cant. Harl. Townl.: ἦ μιν DES. τρῷες L. — 394 ἠνώγεον ACDGHLS Schol. Ο 725. ἠνώγειον Schol. Π 8. ἠνώγην Mor. vulgo ἠνώγειν. κε θέλητε D. — 395 παῦσαι δὴ πολέμοιο G. δυσηχέος A. — 396 κείομεν ACDH Lips. Vrat. b. κήομεν GL. μαχεσσόμεθ' Mor. Barocc. — 397 δώῃ H. δώη CL. δῴη ADS. — 398 ὡς A. οἵδ' CGL. ἀκῆν G. — 400 μὴ γάρ τις GH Barocc. Mor. μητάρ τις D. — 401 γνώτω δὲ G. ἐστι C. ἐστὶ G. — 402 τρῴεσσιν L. — 403 ὡς A. οἳ δ' E. οἵδ' CGL.

A. c. 393 οὕτως ἦ μὴν (non ἦ μιν) Didymus. ita etiam Herodianus, qui comparat Β 291 ἦ μὴν καὶ πόνος ἐστίν. — 394 ἠνώγεον librorum optimorum et Schol. V ad Π 8 firmatur auctoritate, neque ulla est causa cur ab his recedamus et praesens ἀνωγέω pro grammaticorum commento habeamus. ut enim a γέγωνα invenitur imperfectum ἐγεγώνει, ἐγεγώνεον, γέγωνε (vid. H. T. 217), ita ab ἄνωγα ἠνώγει, ἠνώγεον, ἄνωγε. de ἠνώγεον olim dubitavi (H. T. 194), nunc in tanto librorum consensu dubitatio nulla potest esse. — 396 κείομεν, conf. H. U. 159. — 398, 399 ὁ ἀστερίσκος, ὅτι ἐντεῦθεν μετάκεινται εἰς τὴν ἀποπρεσβείαν (Ι 693 et 696) Aristonicus. — 396 ἀρίσταρχος τεθνηιώτων, ἄλλοι δὲ τεθνειώτων Didymus.

μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο.
καὶ τότ' ἄρ' Ἰδαῖον προσέφη κρείων Ἀγαμέμνων·
Ἰδαῖ', ἦ τοι μῦθον Ἀχαιῶν αὐτὸς ἀκούεις,
ὥς τοι ὑποκρίνονται· ἐμοὶ δ' ἐπιανδάνει οὕτως.
ἀμφὶ δὲ νεκροῖσιν κατακαιέμεν οὔ τι μεγαίρω·
οὐ γάρ τις φειδὼ νεκύων κατατεθνηώτων
γίγνετ', ἐπεί κε θάνωσι, πυρὸς μειλισσέμεν ὦκα.
ὅρκια δὲ Ζεὺς ἴστω, ἐρίγδουπος πόσις Ἥρης.
ὣς εἰπὼν τὸ σκῆπτρον ἀνέσχεθε πᾶσι θεοῖσιν,
ἄψορρον δ' Ἰδαῖος ἔβη προτὶ Ἴλιον ἱρήν.
οἳ δ' ἕατ' εἰν ἀγορῇ Τρῶες καὶ Δαρδανίωνες,
πάντες ὁμηγερέες, ποτιδέγμενοι ὁππότ' ἄρ' ἔλθοι
Ἰδαῖος· ὃ δ' ἄρ' ἦλθε καὶ ἀγγελίην ἀπέειπε
στὰς ἐν μέσσοισιν, τοὶ δ' ὡπλίζοντο μάλ' ὦκα,
ἀμφότερον, νέκυάς τ' ἀγέμεν, ἕτεροι δὲ μεθ' ὕλην·
Ἀργεῖοι δ' ἑτέρωθεν ἐϋσσέλμων ἀπὸ νηῶν
ὠτρύνοντο νέκυς τ' ἀγέμεν, ἕτεροι δὲ μεθ' ὕλην.
ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας,
ἐξ ἀκαλαρρείταο βαθυρρόου Ὠκεανοῖο
οὐρανὸν εἰσανιών· οἳ δ' ἤντεον ἀλλήλοισιν.
ἔνθα διαγνῶναι χαλεπῶς ἦν ἄνδρα ἕκαστον·
ἀλλ' ὕδατι νίζοντες ἄπο βρότον αἱματόεντα,

V. l. 404 ἀγασάμενοι E. — 405 ἂρ ADGL. — 407 οὕτω Eust. 25, 44; sed 687, 10 οὕτως. — 408 ἀμφι AD. νεκροῖσι DEG. κατακαιέμεν: κατακηέμεν GLS. κατακειέμεν CH Townl. Vrat. b. Mosc. 1. κατακειέμεν' E. κατακαιόμεν D. — 409 κατατεθνειώτων ACDS Et. Mg. 791, 20. Rhet. Gr. III, 155, 15. — 410 γίγνετ' ALS: γίνετ' CDGH Rhet. Gr. III, 155, 16. γίνεται E. μελησέμεν C et man. rec. γρ. μειλισσέμεν. — 412 ὡς A. θεοῖσι D. — 413 προτὶ: ποτὶ S. — 414 οἳ δ' D. οἵδ' CGHL. τρῷες L. — 415 ὁμηγυρέες L. προτιδέγμενοι D 1. man. ὁππότ' ἄρ' DH. ὁππότ' ἂρ A(ἀρ) CL Cant. Harl. Townl. Vrat. c. A. Mosc. 1. 3. ὁππόταν G. ἔλθοι [η] S. — — 416 ὃ δ' D. ὅδ' CGHL. ἂρ DGL. ἀρ A. ἀπέειπε ACDGH. — 417 μέσσοισϊ H. — 418 ἀμφότεροι [ον] L Vrat. c. 1. man. ἀμφοτέρων Mosc. 3. — 419 ἐϋσέλμων DG. γρ. ἐκαρτύναντο φάλαγγας L. — 420 ὤτρυνον ACHLS. ὄτρυνον DG. νέκυας τ' ADGHLS. νέκυάς τ' C. — 422 ἀκαλαρρείτᾶο A. ἀκαλαρείταο βαθυρόου Et. Mg. 44, 36. — 423 εἰς ἀνιών [ὧς] A. οἳ δ' D. οἵδ' CGHL. ἀλλήλοισι D. — 424 χαλεπὸν C Vrat. b. χαλεπὸν S. — 425 ἄπο ADEGL Bekk. An. 834, 26. ἀπο CH.

A. c. 420 ἀρίσταρχος νέκῡς ἐκτεταμένως καὶ ὀτρύνοντο οὐκ ὄτρυνον Didymus. — 425 ἄπο Herodianus.

δάκρυα θερμὰ χέοντες, ἀμαξάων ἐπάειραν.
οὐδ᾿ εἴα κλαίειν Πρίαμος μέγας· οἳ δὲ σιωπῇ
νεκροὺς πυρκαϊῆς ἐπενήνεον ἀχνύμενοι κῆρ,
ἐν δὲ πυρὶ πρήσαντες ἔβαν προτὶ Ἴλιον ἱρήν.
ὣς δ᾿ αὔτως ἑτέρωθεν ἐυκνήμιδες Ἀχαιοὶ
νεκροὺς πυρκαϊῆς ἐπενήνεον ἀχνύμενοι κῆρ,
ἐν δὲ πυρὶ πρήσαντες ἔβαν κοίλας ἐπὶ νῆας.
ἦμος δ᾿ οὔτ᾿ ἄρ πω ἠώς, ἔτι δ᾿ ἀμφιλύκη νύξ,
τῆμος ἄρ᾿ ἀμφὶ πυρὴν κριτὸς ἤγρετο λαὸς Ἀχαιῶν,
τύμβον δ᾿ ἀμφ᾿ αὐτὴν ἕνα ποίεον ἐξαγαγόντες
ἄκριτον ἐκ πεδίου, ποτὶ δ᾿ αὐτὸν τεῖχος ἔδειμαν
πύργους θ᾿ ὑψηλούς, εἶλαρ νηῶν τε καὶ αὐτῶν.
ἐν δ᾿ αὐτοῖσι πύλας ἐνεποίεον εὖ ἀραρυίας,
ὄφρα δι᾿ αὐτάων ἱππηλασίη ὁδὸς εἴη·
ἔκτοσθεν δὲ βαθεῖαν ἐπ᾿ αὐτῷ τάφρον ὄρυξαν,
εὐρεῖαν μεγάλην, ἐν δὲ σκόλοπας κατέπηξαν.
ὣς οἳ μὲν πονέοντο κάρη κομόωντες Ἀχαιοί·
οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἀστεροπητῇ
θηεῦντο μέγα ἔργον Ἀχαιῶν χαλκοχιτώνων.
τοῖσι δὲ μύθων ἦρχε Ποσειδάων ἐνοσίχθων·
Ζεῦ πάτερ, ἦ ῥά τίς ἐστι βροτῶν ἐπ᾿ ἀπείρονα γαῖαν,

V. ι. 426 ἀμαξάων ADLS Mor. Cant. ἁμαξάων CEGH. ἐπάειραν A. — 427 οἳ δὲ C. ἐν ἄλλῳ ἀλλὰ σιωπῇ A. — 428 πυρκαιῆς (ϊ supra) A. πυρκαῖης S. ἐπενήνεον: γρ. καὶ ἐπινήνεον, καὶ ἔστιν ἰακόν A. — 429 προτὶ ACDHL: ποτὶ GS. — 430 ὡς A. αὔτως A. αὔτως GHL. εὐκνήμιδες DGH. — 431 πυρκαϊῆς (ϊ supra) A. — 432 ἐπι A. — 433 οὐτάρ A. — 434 τῆμος δ᾿ ἀμφὶ Barocc. Mor. ἆρ L. ἀρ A. * ἤγρετο: libri ἔγρετο. — 436 ποτὶ: κατὶ H (sic). — 437 πύργους θ᾿: θ᾿ omitt. ADHL Cant. Lips. Vrat. c. Mosc. 1. 3. εἶλαρ· H. εἶλαρ A. τὲ A. — 438 ἐνεποίεον A. — 440 ἐπ᾿: ἐν S Cant. ὤρυξαν EG. — 441 ἐν: περὶ HS Cant. — 442 οἳ μὲν C. κάρη κομόωντες AH: ceteri καρηκομόωντες. — 443 παρ AD. — 444 χαλκοχιτώνων A. — 445 μῦθον D. — 446 τϊς ἐστὶ CEH. τίς ἐστὶ G.

A. c. 428 οὕτως ἀρίσταρχος πυρκαΐας (sic) κατὰ γενικὴν Didymus, idem αἱ δὲ Ζηνοδότου (cf. H. T. 54, n. 82) πυρκαϊῇ, καὶ ἔστι χαριέστερον. — 434 antiqua scriptura ЄΓΡЄΤΟ pro ἤγρετο grammaticos veteres in errorem induxit, ut omitterent ϵ in η convertere. nam ἔγρετο aoristus ab ἐγείρω sententiae non convenit, ἀγείρω autem ἤγρετο facit, vel si augmentum neglexeris ἄγρετο, conf. Ω 789. — 436 Aristophanes ἐν πεδίῳ. — 443—464 ἀθετοῦνται στίχοι κβ´ Aristonicus. ἠθέτουν οἱ περὶ Ζηνόδοτον καὶ Ἀριστοφάνη καὶ αὐτὸς Ἀρίσταρχος Schol. AV, conf. Schol. M 17.

ὅς τις ἔτ᾿ ἀθανάτοισι νόον καὶ μῆτιν ἐνίψει;
οὐχ ὁράᾳς ὅτι δὴ αὖτε κάρη κομόωντες Ἀχαιοὶ
τεῖχος ἐτειχίσσαντο νεῶν ὕπερ, ἀμφὶ δὲ τάφρον
ἤλασαν, οὐδὲ θεοῖσι δόσαν κλειτὰς ἑκατόμβας;
τοῦ δ᾿ ἦ τοι κλέος ἔσται ὅσον τ᾿ ἐπικίδναται ἠώς·
τοῦ δ᾿ ἐπιλήσονται, τὸ ἐγὼ καὶ Φοῖβος Ἀπόλλων
ἥρῳ Λαομέδοντι πολίσσαμεν ἀθλήσαντε.
τὸν δὲ μέγ᾿ ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς·
ὢ πόποι ἐννοσίγαι᾿ εὐρυσθενές, οἷον ἔειπες.
ἄλλός κέν τις τοῦτο θεῶν δείσειε νόημα,
ὃς σέο πολλὸν ἀφαυρότερος χεῖράς τε μένος τε·
σὸν δ᾿ ἦ τοι κλέος ἔσται ὅσον τ᾿ ἐπικίδναται ἠώς.
ἄγρει μάν, ὅτ᾿ ἂν αὖτε κάρη κομόωντες Ἀχαιοὶ
οἴχωνται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν,
τεῖχος ἀναρρήξας τὸ μὲν εἰς ἅλα πᾶν καταχεῦαι,
αὖτις δ᾿ ἠιόνα μεγάλην ψαμάθοισι καλύψαι,
ὥς κέν τοι μέγα τεῖχος ἀμαλδύνηται Ἀχαιῶν.
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
δύσετο δ᾿ ἠέλιος, τετέλεστο δὲ ἔργον Ἀχαιῶν,
βουφόνεον δὲ κατὰ κλισίας καὶ δόρπον ἕλοντο.
νῆες δ᾿ ἐκ Λήμνοιο παρέσταςαν οἶνον ἄγουσαι

V. ι. 448 ὅτι DEGL. ΟΤΙ Ambros. ὅτε ACH Townl. Lips. Schol. M 4. * δὴ αὖτε: libri δ᾿ αὖτε. κάρη κομόωντες AH: ceteri καρηκομόωντες. — 449 ἐτειχίσαντο CEGH Schol. M 4. ἐτεκτήναντο Hesychius III, 152. ἀμφι D. — 452 * δ᾿ ἦ τοι: vulgo δ᾿ ἤτοι. δή τοι AGH. ὅσον: ὅσην (ο supra) A. ΟϹΗΝ Ambros. ὅσσον τ᾿ ἐπισκίδναται G. τ᾿ omitt. L. — 452 τό τ᾿ ἐγὼ A Ambros. L Schol. Φ 446. ὅτ᾿ ἐγὼ CDGHS. — 453 ἥρωϊ CDGHL Schol. ν 35, ο 157. ἥρωι AS Cant. Barocc. ἥρῳ E. ἀθλήσαντε ACDS: ἀθλήσαντες GHL Barocc. Mor. Vrat. b. — 454 τόνδε GHL. νεφεληγερέτα A. — 455 ἐνοσίγαιε G. ἔειπας C. ἔειπας (ες supra) L. — 456 ἄλλός A. κέν: δή E. — 458 σὸν: σοὶ S. τοῦ L. δή τοι DE 691, 1 et 19 LS Vrat. b. A. Mosc. 1. 3. ὅσην (ο supra) A. ΟϹΗΝ Ambros. τ᾿ omitt. L. — 459 ἄγρει μὲν Mosc. 3. ὅταν CDGL. κάρη κομόωντες AH: ceteri καρηκομόωντες. — 460 οἴχονται GH Mor. Barocc. Townl. Vrat. A. — 461 κατάχευε L. κατέχευε H. καταχεύσω G. καταχεῦσαι Mor. Lips. — 462 αὖθις C. αὖτίς τ᾿ S. καλύψω G. — 464 οἳ μὲν C. — 465 δύσετό τ᾿ CHL Lips. δύσσετό τ᾿ DE bis. δύσετο τ᾿ (δ supra) A. δύσσατο δ᾿ G. — 467 παρέστασαν: παρέτρεσαν Schol. O 705.

A. c. 451 ὅσον Zenodotus. ἀρίσταρχος ὅσην, ἄλλοι δὲ ὅσον Didymus. — 452 ἀρίσταρχος τὸ ἐγὼ Didymus. — 453 ἥρῳ Aristarchus δισυλλάβως, hic et θ 483.

πολλαί, τὰc προέηκεν Ἰηcονίδηc Εὔνηοc,
τόν ῥ᾽ ἔτεχ᾽ Ὑψιπύλη ὑπ᾽ Ἰήcονι, ποιμένι λαῶν.
χωρὶc δ᾽ Ἀτρείδηc, Ἀγαμέμνονι καὶ Μενελάῳ,
δῶκεν Ἰηcονίδηc ἀγέμεν μέθυ, χίλια μέτρα.
ἔνθεν ἄρ᾽ οἰνίζοντο κάρη κομόωντεc Ἀχαιοί,
ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ᾽ αἴθωνι cιδήρῳ,
ἄλλοι δὲ ῥινοῖc, ἄλλοι δ᾽ αὐτῆcι βόεccιν,
ἄλλοι δ᾽ ἀνδραπόδεccι· τίθεντο δὲ δαῖτα θάλειαν.
παννύχιοι μὲν ἔπειτα κάρη κομόωντεc Ἀχαιοὶ
δαίνυντο, Τρῶεc δὲ κατὰ πτόλιν ἠδ᾽ ἐπίκουροι·
παννύχιοc δέ cφιν κακὰ μήδετο μητίετα Ζεὺc
cμερδαλέα κτυπέων· τοὺc δὲ χλωρὸν δέοc ᾕρει·
οἶνον δ᾽ ἐκ δεπάων χαμάδιc χέον, οὐδέ τιc ἔτλη
πρὶν πιέειν, πρὶν λεῖψαι ὑπερμενέι Κρονίωνι.
κοιμήcαντ᾽ ἄρ᾽ ἔπειτα καὶ ὕπνου δῶρον ἕλοντο.

ΙΛΙΑΔΟϹ Θ.

Ἠὼc μὲν κροκόπεπλοc ἐκίδνατο πᾶcαν ἐπ᾽ αἶαν,
Ζεὺc δὲ θεῶν ἀγορὴν ποιήcατο τερπικέραυνοc

V. ι. 470 ἀτρείδηc᾽ DEGHL. — 472 ἔνθεν: ἔνθ᾽ D Et. Gud. 603, 17. ἂρ DEGL. ἀρ A. κάρη κομόωντεc AH, ut 459. — 474 δὲ: δ᾽ ἐν G Mor. Barocc., conf. H. U. 60. ῥηνοῖc D. αὐτῆcι ADEGHL: αὐτοῖcι C Bekk. An. 834, 13. Maxim. Tyrius Diss. XXXIX, 1. Philemo 233, 20. Eust. 1012, 33. βόεccι C. — 475 ἀνδραπόδοιc Et. Mg. 146, 45. — 476 κάρη κομόωντεc AH. — 477 τρῷεc L. — 478 παννύχιον Schol. Θ 2. cφι DG Schol. Θ 2. — 482 κοιμίccαντ᾽ L. ἂρ DEGL. ἀρ A.

A. c. 474 ἀυτῆcι Aristarchus, conf. Aristonicum. — 475 ἀθετεῖται Aristonicus. ἡ τῶν ἀνδραπόδων λέξιc νεωτερική ἐcτι κατὰ τοὺc παλαιούc. διὸ καὶ Ἀριcτοφάνηc καὶ Ζηνόδοτοc ἠθέτουν τὸ ἔποc, ἐν ᾧ κεῖται ἡ λέξιc αὕτη Eust. 692, 21. ἀνδραπόδεccι: ἀρίcταρχοc διὰ τοῦ ο ἀνδραπόδοιcι Didymus. τινὲc δὲ ἀνδραπόδοιcι γράφουcιν Eust. 692, 24. — 481 πρὶν πιέειν: ἀρίcταρχοc πιέμεναι πρὶν λείψω (sic) Didymus. — 482 Ζηνόδοτοc καὶ τοῦτον καὶ τὸν πρῶτον τῆc ἑξῆc ῥαψῳδίαc ἦρκε cτίχον Schol. AB.

A. c. 1 Ζηνόδοτοc μετατίθηcι τὴν ἀνατολὴν κάτω πρὸc τὸ „οἱ δ᾽ ἄρα δεῖπνον ἕλοντο“ (53) Aristonicus, conf. Schol. ad Θ 53 et Düntzer. Zenod. p. 154.

ἀκροτάτῃ κορυφῇ πολυδειράδοc Οὐλύμποιο.
αὐτὸc δέ cφ᾽ ἀγόρευε, θεοὶ δ᾽ ὑπὸ πάντεc ἄκουον·
κέκλυτέ μευ πάντέc τε θεοὶ πᾶcαί τε θέαιναι·
[ὄφρ᾽ εἴπω τά με θυμὸc ἐνὶ cτήθεccι κελεύει.]
μήτέ τιc οὖν θήλεια θεὸc τό γε μήτέ τιc ἄρcην
πειράτω διακέρcαι ἐμὸν ἔποc, ἀλλ᾽ ἅμα πάντεc
αἰνεῖτ᾽, ὄφρα τάχιcτα τελευτήcω τάδε ἔργα.
ὃν δ᾽ ἂν ἐγὼν ἀπάνευθε θεῶν ἐθέλοντα νοήcω
ἐλθόντ᾽ ἢ Τρώεccιν ἀρηγέμεν ἢ Δαναοῖcι,
πληγεὶc οὐ κατὰ κόcμον ἐλεύcεται Οὔλυμπον δέ·
ἤ μιν ἑλὼν ῥίψω ἐc Τάρταρον ἠερόεντα,
τῆλε μάλ᾽, ἧχι βάθιcτον ὑπὸ χθονόc ἐcτι βέρεθρον,
ἔνθα cιδήρειαί τε πύλαι καὶ χάλκεοc οὐδόc,
τόccον ἔνερθ᾽ Ἀΐδεω, ὅcον οὐρανόc ἐcτ᾽ ἀπὸ γαίηc·
γνώcετ᾽ ἔπειθ᾽, ὅcον εἰμὶ θεῶν κάρτιcτοc ἁπάντων.
εἰ δ᾽ ἄγε πειρήcαcθε θεοί, ἵνα εἴδετε πάντεc·
cειρὴν χρυcείην ἐξ οὐρανόθεν κρεμάcαντεc
πάντεc δ᾽ ἐξάπτεcθε θεοὶ πᾶcαί τε θέαιναι·
ἀλλ᾽ οὐκ ἂν ἐρύcαιτ᾽ ἐξ οὐρανόθεν πεδίον δὲ
Ζῆν᾽, ὕπατον μήcτωρ᾽, οὐδ᾽ εἰ μάλα πολλὰ κάμοιτε.
ἀλλ᾽ ὅτε δὴ καὶ ἐγὼ πρόφρων ἐθέλοιμι ἐρύccαι,
αὐτῇ κεν γαίῃ ἐρύcαιμ᾽ αὐτῇ τε θαλάccῃ·

V. ι. 4 ὑπὸ ACEG Barocc. Mor. Harl. Lips. Vrat. b. A. Mosc. 1. ὑπο DHL: ἅμα S. ἤκουον DL. — 5 πάντέc τε A. πάντεc τὲ C. πάντεc θεοὶ DG. — 6 omitt. AD, qui habet in marg. man. recent. scriptum. — 7 μήτέ τιc οὖν AEH Apoll. de Synt. 25, 19. μήτε τῖc οὖν C. τόγε libri mei praeter L, in quo abest τόγε, cum Apoll. de Synt. 25, 19. Lucian. 44, 6: τόδε Schol. C 514. Maxim. Tyr. Diss. XXXII, 7. μήτέ τιc CEH Apoll. de Synt. 25, 19. — 11 δαναοῖcι ACDEGL. — 12 κατα A. οὔλυμπον δὲ A. — 13 ἥ μιν L. ἢ μὶν DG. ἐc: εἰc E. — 14 ἦχι AEH Plato Phaed. 112 A. Et. Mg. 188, 7. — 16 ἔνερθ᾽ ἀΐδαο Plutarchus de Facie in orb. lunae 25. ὅccον G. οὐρανὸc ἔcτ᾽ ACL. — 17 γνώccετ᾽ G. ὅccον G. κράτιcτοc CG. — 18 εἴ δ᾽ L. πειρήcεcθε Rhet. Gr. III, 144, 25. εἰδῆτε Townl. — 19 χρυcείην ἐ G. ἐξουρανόθεν A. — 20 πάντεc τ᾽ C. — 21 ἂν: ἄν μ᾽ S Mosc. 1. ἐρύcητ᾽ G. πεδίον δὲ A. — 22 μήcτωρ᾽: πάντων Aristoteles περὶ ζώων κινήcεωc 4. κάμητε HL Vrat. b. γρ. καὶ πάθοιτε A. — 23 ἀλλ᾽ ὅτε κεν Pseudoplut. 125, 27. ἐρύcαι G. ἐρῦccαι H. — 24 αὐτῆι κεν θαλάccηι D.

A. c. 7 θεὸc: ἀρίcταρχοc θεῶν Didymus. — 10 ἀπάνευθε: ἐν τῇ ἀριcτοφάνουc ἀπάτερθε, Ζηνόδοτοc μετόπιcθε Didymus. — 23 πρόφρων: πρόccω Ptolemaeus Oroandae. ἐθέλοιμι: ἀρίcταρχοc ἐθέλωμι Didymus.

ϲειρὴν μέν κεν ἔπειτα περὶ ῥίον Οὐλύμποιο
δηϲαίμην, τὰ δέ κ' αὖτε μετήορα πάντα γένοιτο.
τόϲϲον ἐγὼ περί τ' εἰμὶ θεῶν περί τ' εἴμ' ἀνθρώπων.
ὣϲ ἔφαθ', οἳ δ' ἄρα πάντεϲ ἀκὴν ἐγένοντο ϲιωπῇ
μῦθον ἀγαϲϲάμενοι· μάλα γὰρ κρατερῶϲ ἀγόρευϲεν.
ὀψὲ δὲ δὴ μετέειπε θεὰ γλαυκῶπιϲ Ἀθήνη·
ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,
εὖ νυ καὶ ἡμεῖϲ ἴδμεν ὅ τοι ϲθένοϲ οὐκ ἐπιεικτόν·
ἀλλ' ἔμπηϲ Δαναῶν ὀλοφυρόμεθ' αἰχμητάων,
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήϲαντεϲ ὄλωνται.
ἀλλ' ἤ τοι πολέμου μὲν ἀφεξόμεθ', ὡϲ ϲὺ κελεύειϲ·
βουλὴν δ' Ἀργείοιϲ ὑποθηϲόμεθ', ἥ τιϲ ὀνήϲει,
ὡϲ μὴ πάντεϲ ὄλωνται ὀδυϲϲαμένοιο τεοῖο.
τὴν δ' ἐπιμειδήϲαϲ προϲέφη νεφεληγερέτα Ζεύϲ·
θάρϲει τριτογένεια, φίλον τέκοϲ· οὔ νύ τι θυμῷ
πρόφρονι μυθέομαι· ἐθέλω δέ τοι ἤπιοϲ εἶναι.
ὣϲ εἰπὼν ὑπ' ὄχεϲφι τιτύϲκετο χαλκόποδ' ἵππω,
ὠκυπέτα, χρυϲέῃϲιν ἐθείρῃϲιν κομόωντε,
χρυϲὸν δ' αὐτὸϲ ἔδυνε περὶ χροΐ, γέντο δ' ἱμάϲθλην
χρυϲείην εὔτυκτον, ἑοῦ δ' ἐπεβήϲετο δίφρου.
μάϲτιξεν δ' ἐλάαν· τὼ δ' οὐκ ἀέκοντε πετέϲθην

V. l. 25 περὶρρῖον C. περὶρίον (ρ supra) D. περϊρρῖον H. περὶρρίον S. περὶ ῥύον L. — 26 τὰ δέ κ' αὖθι Pseudoplut. 125, 27. μετήιορα C. — 27 ὅϲϲον Pseudoplut. 131, 12. εἰμι et εἰμ' A. — 28 ὡϲ A. οἵδ' CGL. ἂρ S. ἀκῆν G. — 29 ἀγόρευϲεν ACGHS Cant. Mor. Vrat. b. c. Mosc. 1. 3. ἀγόρευε D. ἀγόρευεν L. — 32 εὖ νῦν G. ὅτι ϲθένοϲ G. — 34 οἵ κεν C et man. rec. γρ. εἰ. — 35 ὡϲ ϲὺ AL Vrat. b. εἰ ϲὺ DEGHS. ἢ ϲὺ C. — 37 ὄλονται L. ὀδυϲϲομένοιο L Vrat. b. A. — 38 νεφεληγερέτα A. — 39 οὐ νύ τϊ DHL. οὐ νύ τοι E. οὔ τοι θυμῷ G. — 40 ἤπιοϲ DG. — 41 ὡϲ A. ὑπόχεϲφι DH. τϋτῖϲκετο H. — 42 χρυϲείῃιϲιν ἐθείρῃϲι κομόωνται D. χρυϲείῃϲιν ἐθείρῃϲι E. κομόωντας (ε supra) L. 44 ἐΰτυκτον C. ἐπεβήϲετο CDS Cant. Mor. ἐπϊβήϲετο H. ἐπεβήϲετο (α supra) A. ἐπεβήϲατο GL. — 45 μάϲτιξέν τ' S Cant. ἐλάαν G. * ἀέκοντε: libri ἄκοντε.

A. c. 25, 26 Ζηνόδοτοϲ ἀμφοτέρουϲ ἠθέτηκεν Aristonicus. — 28—40 ἀθετοῦνται ϲτίχοι ιγ' ὅτι ἐξ ἄλλων τόπων μετάκεινται Aristonicus. — 29 ἀγαϲϲάμενοι: γράφεται καὶ φραϲϲάμενοι· μᾶλλον δὲ τὸ ἀγαϲϲάμενοι τοῖϲ ἑξῆϲ ϲυνᾴδει Schol. A, conf. Schol. I 694. — 32—34 asterisci: ὀρθῶϲ 463—465. in codice versibus 28—34 asterisci sunt adpicti. — 35 ὡϲ: οὕτωϲ ἀρίϲταρχοϲ, ἄλλοι δὲ εἰ ϲὺ κελεύειϲ Didymus. — 37 οὐδὲ ἐν τῇ Ζηνοδότου ἐφέρετο (Cod. δὲ ὁ φέρων) Didymus. — 39, 40 asterisci: ὀρθῶϲ Χ 183, 184.

μεϲϲηγὺϲ γαίηϲ τε καὶ οὐρανοῦ ἀϲτερόεντοϲ.
Ἴδην δ' ἵκανεν πολυπίδακα, μητέρα θηρῶν,
Γάργαρον· ἔνθα δέ οἱ τέμενοϲ βωμόϲ τε θυήειϲ.
ἔνθ' ἵππουϲ ἔϲτηϲε πατὴρ ἀνδρῶν τε θεῶν τε
λύϲαϲ ἐξ ὀχέων, κατὰ δ' ἠέρα πουλὺν ἔχευεν.
αὐτὸϲ δ' ἐν κορυφῇϲι καθέζετο κύδεϊ γαίων;
εἰϲορόων Τρώων τε πόλιν καὶ νῆαϲ Ἀχαιῶν.
οἳ δ' ἄρα δεῖπνον ἕλοντο κάρη κομόωντεϲ Ἀχαιοὶ
ῥίμφα κατὰ κλιϲίαϲ, ἀπὸ δ' αὐτοῦ θωρήϲϲοντο·
Τρῶεϲ δ' αὖθ' ἑτέρωθεν ἀνὰ πτόλιν ὡπλίζοντο,
παυρότεροι· μέμαϲαν δὲ καὶ ὣϲ ὑϲμῖνι μάχεϲθαι,
χρειοῖ ἀναγκαίῃ, πρό τε παίδων καὶ πρὸ γυναικῶν.
πᾶϲαι δ' ὠΐγνυντο πύλαι, ἐκ δ' ἔϲϲυτο λαόϲ,
πεζοί θ' ἱππῆέϲ τε· πολὺϲ δ' ὀρυμαγδὸϲ ὀρώρει.
οἳ δ' ὅτε δή ῥ' ἐϲ χῶρον ἕνα ξυνιόντεϲ ἵκοντο,
ϲύν ῥ' ἔβαλον ῥινούϲ, ϲὺν δ' ἔγχεα καὶ μένε' ἀνδρῶν
χαλκεοθωρήκων· ἀτὰρ ἀϲπίδεϲ ὀμφαλόεϲϲαι
ἔπληντ' ἀλλήλῃϲι, πολὺϲ δ' ὀρυμαγδὸϲ ὀρώρει.
ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν
ὀλλύντων τε καὶ ὀλλυμένων, ῥέε δ' αἵματι γαῖα.
ὄφρα μὲν ἠὼϲ ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ,
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, πῖπτε δὲ λαόϲ.
ἦμοϲ δ' ἠέλιοϲ μέϲον οὐρανὸν ἀμφιβεβήκει,

V. l. 47 ἵκανε DEG Schol. Ξ 283. πολλυπίδακα G. — 48 ἔνθα δέ ADGHLS Schol Γ 320. Cram. An. Ox. II, 329, 4: ἔνθα τέ C. — 50 λύϲαϲ δ' H. ἐξοχέων D. κατὰ ACE: περὶ GHLS Cant. Barocc. Harl. Vrat. b. Mosc. 1. περι D, conf. Ε 776, ubi omnes περὶ exhibent. πολὺν D 1. man. G. πολλὴν C. — 52 τρῴων L. — 53 οἵδ' CGL. κάρη κομόωντεϲ AH: ceteri καρηκομόωντεϲ. — 54 κατα D. ἀπο A. — 55 τρῷεϲ L. αὖθ' ACD EHLS Harl. Townl. Vrat. b. αὖ G. ὡπλίζοντο libri mei cum Eust. — 56 ὧϲ: libri ὧϲ. A ὡϲ. ὑϲμίνῃ DGL. — 57 καὶ προ D. — 59 θ' omitt. Cant. ὀρυγμαδὸϲ C 1. man. GH. — 60 οἳ δ' L. οἵδ' CH. δὴ ἐϲ D. ἵκοντο: ἵκανον L. γρ. ἵκανον A. γρ. καὶ ἵκανον Mosc. 1. — 61 ῥηνοὺϲ D. ϲυν δ' D. — 62 χαλκεοθωρήκων A. αὐτὰρ CDG. — 63 ἔμπληντ' Mosc. 3. ἀλλήλοιϲι Cant. ὀρυγμαδὸϲ CD post ras. GH. — 64 ἔνθ' ἅμα οἰμωγή G Ammon. de Diff. s. v. ἅμα. ἔνθ' ἅμ' C, conf. Δ 450. ἔνθ' ἄρα L. — 65 τὲ καὶ AC. τε omitt. Ammon. l. l. conf. Δ 451. — 67 πίπτε ACDEGHL.

A. c. 48 ἔνθα τε G. Hermannus ad Hymn. in Ven. 59; conf. Ζ 245, 240, Ψ 680. — 54 τινὲϲ γράφουϲι τοὶ δ' αὐτόθι θωρήϲϲοντο Schol. A. — 55 ὡπλίζοντο: ἀρίϲταρχοϲ διὰ τοῦ ō ὁπλίζοντο Didymus, conf. H. T. 424. — 68 ἀμφιβεβήκει: γρ. ϲὺν τῷ ν̄ ἀμφιβεβήκειν, conf. H. T. 194 sq.

καὶ τότε δὴ χρύcεια πατὴρ ἐτίταινε τάλαντα·
ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο
Τρώων θ' ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων,
ἕλκε δὲ μέccα λαβών, ῥέπε δ' αἴcιμον ἦμαρ Ἀχαιῶν.
αἱ μὲν Ἀχαιῶν κῆρες ἐπὶ χθονὶ πουλυβοτείρῃ
ἑζέcθην, Τρώων δὲ πρὸς οὐρανὸν εὐρὺν ἄερθεν.
αὐτὸς δ' ἐξ Ἴδης μεγάλ' ἔκτυπε, δαιόμενον δὲ
ἧκε cέλας μετὰ λαὸν Ἀχαιῶν· οἳ δὲ ἰδόντες
θάμβηcαν, καὶ πάντας ὑπὸ χλωρὸν δέος εἷλεν.
ἔνθ' οὔτ' Ἰδομενεὺς τλῆ μίμνειν οὔτ' Ἀγαμέμνων,
οὔτε δύ' Αἴαντες μενέτην, θεράποντες Ἄρηος·
Νέcτωρ οἶος ἔμιμνε Γερήνιος, οὖρος Ἀχαιῶν,
οὔ τι ἑκών, ἀλλ' ἵππος ἐτείρετο, τὸν βάλεν ἰῷ
δῖος Ἀλέξανδρος, Ἑλένης πόcις ἠυκόμοιο,
ἄκρην κὰκ κορυφήν, ὅθι τε πρῶται τρίχες ἵππων
κρανίῳ ἐμπεφύαcι, μάλιcτα δὲ καίριόν ἐcτιν.
ἀλγήcας δ' ἀνέπαλτο, βέλος δ' εἰς ἐγκέφαλον δῦ,
cὺν δ' ἵππους ἐτάραξε κυλινδόμενος περὶ χαλκῷ.
ὄφρ' ὁ γέρων ἵπποιο παρηορίας ἀπέταμνε
φαcγάνῳ ἀΐccων, τόφρ' Ἕκτορος ὠκέες ἵπποι
ἦλθον ἀν' ἰωχμὸν θραcὺν ἡνίοχον φορέοντες,
Ἕκτορα. καί νύ κεν ἔνθ' ὁ γέρων ἀπὸ θυμὸν ὄλεccεν,
εἰ μὴ ἄρ' ὀξὺ νόηcε βοὴν ἀγαθὸς Διομήδης·

V. L. 69 καὶ τότε δὴ: αὐτὸς δὲ Euseb. Praep. Evang. XIII, 13, 59. — 70 ἐν δὲ τίθει A. ἔνθ' ἐτίθει L. τανηλεγέος A. — 71 τρῴων L. — 72 μέcα G. — 73 πουλυβοτείρηι A. πολυβοτείρη D. — 74 τρῴων L. — 76 οἳ δὲ CD. — 77 ὑπο ACDH. εἷλεν: ἥρει L. ἐν ἄλλῳ δέος ἥιρει A. — 79 οὐδὲ δύ' D. οὔτ' αἴαντε δύω C. οὐδ' αἴαντε μενέτην Mor. αἴαντε Vrat. A. — 80 δ' οἶος GLS. „ante οἶος deest δ' in Mosc. 1. binis Vindob." Heyne. — 83 κακκορυφὴν CDEGL. κἀκκοφυφὴν H. ὅθί τε H. ἵνα τε Aristoteles περὶ ζώων γενέcεως V, 5. τε omitt. C 1. man. ἐcτι D. — 86 cυνδ' C. περι A. — 87 παρηορέας L. παρηορῆας G. παρηορίας Eust. 700, 40; 702, 58. Cram. Epim. 406, 22. Et. Gud. 521, 35. ἀπέταμνε ACEL Et. Gud. 521, 35. ἀπέταμνεν Cram. Epim. 406, 22: ἀπέτεμνε DGHS Cant. Lips. Mor. Vrat. b. c. A. Mosc. 3. Cram. Epim. 177, 8. ἀπέτεμνεν Schol. Π 474. — 89 φέροντες G. — 90 ἀπο DG. — 91 ἆρ DGL. ἀρ A.

A. c. 73, 74 ἀθετοῦνται Aristonicus. — 74 ἑζέcθην: ἐν ἐνίοις διὰ τοῦ ε ἕζεcθεν Schol. A. τὸ δὲ ἑζέcθην ἀντὶ τοῦ ἕζεcθεν, ὡς ἄερθεν. ὅμοιον δέ ἐcτι τῷ „μιάνθην αἵματι μηροί" (Δ 146) Schol. BL. — 81 ἐτείρετο: ἔν τιcι τῶν ὑπομνημάτων ἐδάμνατο Didymus.

cμερδαλέον δ' ἐβόηcεν ἐποτρύνων Ὀδυcῆα·
διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυccεῦ,
πῇ φεύγεις μετὰ νῶτα βαλὼν κακὸς ὣς ἐν ὁμίλῳ;
μή τίς τοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξῃ.
ἀλλὰ μέν', ὄφρα γέροντος ἀπώcομεν ἄγριον ἄνδρα.
ὣς ἔφατ', οὐδ' ἐcάκουcε πολύτλας δῖος Ὀδυccεύς,
ἀλλὰ παρήιξεν κοίλας ἐπὶ νῆας Ἀχαιῶν.
Τυδείδης δ' αὐτός περ ἐὼν προμάχοιcιν ἐμίχθη,
cτῆ δὲ πρόcθ' ἵππων Νηληιάδαο γέροντος,
καί μιν φωνήcας ἔπεα πτερόεντα προcηύδα·
ὦ γέρον, ἦ μάλα δή cε νέοι τείρουcι μαχηταί,
cὴ δὲ βίη λέλυται, χαλεπὸν δέ cε γῆρας ὀπάζει,
ἠπεδανὸς δέ νύ τοι θεράπων, βραδέες δέ τοι ἵπποι.
ἀλλ' ἄγ' ἐμῶν ὀχέων ἐπιβήcεο, ὄφρα ἴδηαι
οἷοι Τρώιοι ἵπποι, ἐπιcτάμενοι πεδίοιο
κραιπνὰ μάλ' ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεcθαι,
οὕς ποτ' ἀπ' Αἰνείαν ἑλόμην, μήcτωρε φόβοιο.
τούτω μὲν θεράποντε κομείτων, τώδε δὲ νῶι
Τρωcὶν ἐφ' ἱπποδάμοις ἰθύνομεν, ὄφρα καὶ Ἕκτωρ
εἴcεται, ἦ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃcιν.

V. L. 92 ἐβόηc' ἐν L. ὀδυccῆα DEG. — 94 πῇ AE 701, 48: ceteri πῆ. ποι L Eust. 1664, 10. Maxim. Tyr. Diss. XXI, 10. ὡς ADH. — 95 μή τΐς CDGHL. — 97 ὡς A. — 98 παρήϊξε DG. παρήιε E. — 99 Τυδείδης δ': δ' omitt. Apollon. de Pron. 71 A; 80 B. Et. Mg. 172, 57. αὐτός περ ἐὼν: αὐτὸς πονέων Schol. Theocr. XI, 12. — 100 νηληϊάδεω G. — 101 προcηῦδα D. — 103 cή τε H. ὀπάζει: ἱκάνει HS Cant. Townl. Vrat. b. Mosc. 1. ἐν ἄλλῳ γῆρας ἱκάνει A. — 106 τρῷοι H. — 108 αἰνείαο D, ο 2. man. αἰνείου H. μήcτωρε ACDGH Mor. Townl. Lips. Mosc. 1. Schol. Ξ 45: μήcτωρα ELS Plato Lach. 191 B diserte. οἱ δὲ γράψαντες μήcτωρε φόβοιο πάνυ cφάλλονται τοῦ ὀρθοῦ Eust. 702, 24. — 109 κομείτων EL Cram. Epim. 227, 24; 397, 32. κομίτων G. κομείτων [ην] A. κομ|||ίτην [ει ων] C. κομείτην DH Vrat. b. Mosc. 1. prim. man. Cram. Epim. 397, 30. νῶϊ libri fere omnes cum Apoll. de Pron. 117 C; 118 A. Et. Mg. 416, 23. Cram. Epim. 398, 31: νῶϊν G. νῶιν L. — 110 τρῳcὶν L. ἱπποδάμοις ACH Mor. Vrat. a. b. Mosc. 1. ἱπποδάμοιcιν DES Draco de Metr. 52, 7 diserte. ἱπποδάμοιcϊ θύνομεν G. ἱπποδάμοιcιν θείνομεν L. — 111 ἤ Townl. Schol. Ε 886. Eust. 62, 33. ἦ [ει] A: εἰ CDEGHLS Eust. 1046, 18.

A. c. 103 οὕτως ἀρίcταρχος ὀπάζει, ὁ δὲ ἰξίων ἐπείγει Didymus, cf. ad Δ 321. — 108 ἀθετεῖται Aristonicus. Aristarchus μήcτωρε, conf. ad Ε 272. τὸ δὲ μήcτωρε τινὲς μήcτωρα ἐπὶ τοῦ Αἰνείου Schol. V. — 109 ἀρίcταρχος κομείτων Didymus. τώδε Herodianus, παροξυτόνως.

ὣϲ ἔφατ᾽, οὐδ᾽ ἀπίθηϲε Γερήνιοϲ ἱππότα Νέϲτωρ.
Νεϲτορέαϲ μὲν ἔπειθ᾽ ἵππουϲ θεράποντε κομείτην,
ἴφθιμοϲ Ϲθένελόϲ τε καὶ Εὐρυμέδων ἀγαπήνωρ.
τὼ δ᾽ εἰϲ ἀμφοτέρω Διομήδεοϲ ἅρματα βήτην·
Νέϲτωρ δ᾽ ἐν χείρεϲϲι λάβ᾽ ἡνία ϲιγαλόεντα,
μάϲτιξεν δ᾽ ἵππουϲ· τάχα δ᾽ Ἕκτοροϲ ἄγχι γένοντο.
τοῦ δ᾽ ἰθὺϲ μεμαῶτοϲ ἀκόντιϲε Τυδέοϲ υἱόϲ.
καὶ τοῦ μέν ῥ᾽ ἀφάμαρτεν, ὃ δ᾽ ἡνίοχον θεράποντα,
υἱὸν ὑπερθύμου Θηβαίου, Ἠνιοπῆα,
ἵππων ἡνί᾽ ἔχοντα βάλε ϲτῆθοϲ παρὰ μαζόν.
ἤριπε δ᾽ ἐξ ὀχέων, ὑπερώηϲαν δέ οἱ ἵπποι
ὠκύποδεϲ· τοῦ δ᾽ αὖθι λύθη ψυχή τε μένοϲ τε.
Ἕκτορα δ᾽ αἰνὸν ἄχοϲ πύκαϲε φρέναϲ ἡνιόχοιο.
τὸν μὲν ἔπειτ᾽ εἴαϲε καὶ ἀχνύμενόϲ περ ἑταίρου
κεῖϲθαι, ὃ δ᾽ ἡνίοχον μέθεπε θραϲύν. οὐδ᾽ ἄρ᾽ ἔτι δὴν
ἵππω δευέϲθην ϲημάντοροϲ· αἶψα γὰρ εὗρεν
Ἰφιτίδην Ἀρχεπτόλεμον θραϲύν, ὅν ῥα τόθ᾽ ἵππων
ὠκυπόδων ἐπέβηϲε, δίδου δέ οἱ ἡνία χερϲίν.
ἔνθά κε λοιγὸϲ ἔην καὶ ἀμήχανα ἔργα γένοντο,
καί νύ κε ϲήκαϲθεν κατὰ Ἴλιον ἠύτε ἄρνεϲ,
εἰ μὴ ἄρ᾽ ὀξὺ νόηϲε πατὴρ ἀνδρῶν τε θεῶν τε.
βροντήϲαϲ δ᾽ ἄρα δεινὸν ἀφῆκ᾽ ἀργῆτα κεραυνόν,
κὰδ δὲ πρόϲθ᾽ ἵππων Διομήδεοϲ ἧκε χαμᾶζε·

V. ι. 113 κομίτην CG. — 114 ἴφθιμοϲ AD: ceteri ἴφθιμοι, conf. Ψ 511. — 116 χερϲὶ DG. ϲιγαλόεντα CDEGL: φοινικόεντα AHS Cant. Harl. Vrat. b. c. Mosc. 3. Schol. Π 159. ἐν ἄλλῳ ϲιγαλόεντα A. γράφεται φοινικόεντα Schol. apud Cram. An. Par. III, 33, 6; conf. 137. — 117 μάϲτιξε G. φαίνϊξεν δ᾽ ἵππουϲ H. — 119 ἀφάμαρτε D. ὃ δ᾽ D. ὅδ᾽ CG. — 120 ὑπεργαθύμου G. — 121 ϲτήθεοϲ L. — 122 ἐξοχέων D. — 123 omitt. in textu DH, qui habent in marg. man. recent. scriptum. αὖτ᾽ ἐλύθη Mosc. 1. — 124 πύκαϲεν DH. — 126 κεῖϲθ᾽ Bekk. Anecd. 835, 13 diserte. ὃ δ᾽ D 1. man. ὅδ᾽ CD 2. man. GHL. ἄρ D 1. man. ἀρ A. — 128 ὃν ῥὰ DL. — 129 δίδου δ᾽ ὅγε ἡνία L. — 130 ἔνθά κε CDHL. ἐνθά κε A Et. Gud. 602, 5. — 131 ἠΰτέ γ᾽ ἄρνεϲ S Cant. — 132 ἄρ DG. ἀρ A. — 133 ἀφῆκεν D. — 134 καδδὲ ACDGHL. χαμᾶζε ADE: χαμάζε CGHL.

A. c. 113 τὸ δὲ κομείτην Ἀρίϲταρχοϲ μὲν κομείτων, Ζηνόδοτοϲ δὲ κομείτην Schol. V. pertinet ad 109. — 128 Ἀρχεπτόλεμον: Ἐραϲιπτόλεμον Zenodotus, sed 312 Ἀρχεπτόλεμον, ubi vid. Schol. — 131 ἔν τιϲι τῶν παλαιῶν φέρονται δύο ϲτίχοι „Τρῶεϲ ὑπ᾽ Ἀργείων, ἔλιπον δέ κεν Ἕκτορα δῖον χαλκῷ δῃωθέντα (Cod. δηϊόωντα), δάμαϲϲε δέ μιν Διομήδηϲ“ Schol. V.

δεινὴ δὲ φλὸξ ὦρτο θεείου καιομένοιο,
τὼ δ᾽ ἵππω δείϲαντε καταπτήτην ὑπ᾽ ὄχεϲφι.
Νέϲτορα δ᾽ ἐκ χειρῶν φύγον ἡνία ϲιγαλόεντα·
δεῖϲε δ᾽ ὅ γ᾽ ἐν θυμῷ, Διομήδεα δὲ προϲέειπε·
Τυδείδη, ἄγε δὴ αὖτε φόβον δ᾽ ἔχε μώνυχαϲ ἵππουϲ.
ἦ οὐ γιγνώϲκειϲ ὅ τοι ἐκ Διὸϲ οὐχ ἕπετ᾽ ἀλκή;
νῦν μὲν γὰρ τούτῳ Κρονίδηϲ Ζεὺϲ κῦδοϲ ὀπάζει,
ϲήμερον· ὕϲτερον αὖτε καὶ ἡμῖν, αἴ κ᾽ ἐθέληϲι,
δώϲει· ἀνὴρ δέ κεν οὔ τι Διὸϲ νόον εἰρύϲϲαιτο,
οὐδὲ μάλ᾽ ἴφθιμοϲ, ἐπεὶ ἦ πολὺ φέρτερόϲ ἐϲτι.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα βοὴν ἀγαθὸϲ Διομήδηϲ·
ναὶ δὴ ταῦτά γε πάντα γέρον κατὰ μοῖραν ἔειπεϲ·
ἀλλὰ τόδ᾽ αἰνὸν ἄχοϲ κραδίην καὶ θυμὸν ἱκάνει·
Ἕκτωρ γάρ ποτε φήϲει ἐνὶ Τρώεϲϲ᾽ ἀγορεύων·
Τυδείδηϲ ὑπ᾽ ἐμεῖο φοβεύμενοϲ ἵκετο νῆαϲ.
ὥϲ ποτ᾽ ἀπειλήϲει· τότε μοι χάνοι εὐρεῖα χθών.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Γερήνιοϲ ἱππότα Νέϲτωρ·
ὤ μοι, Τυδέοϲ υἱὲ δαΐφρονοϲ, οἷον ἔειπεϲ.
εἴ περ γάρ ϲ᾽ Ἕκτωρ γε κακὸν καὶ ἀνάλκιδα φήϲει,
ἀλλ᾽ οὐ πείϲονται Τρῶεϲ καὶ Δαρδανίωνεϲ
καὶ Τρώων ἄλοχοι μεγαθύμων ἀϲπιϲτάων,
τάων ἐν κονίηϲι βάλεϲ θαλεροὺϲ παρακοίταϲ.
ὣϲ ἄρα φωνήϲαϲ φύγαδ᾽ ἔτραπε μώνυχαϲ ἵππουϲ
αὖτιϲ ἀν᾽ ἰωχμόν· ἐπὶ δὲ Τρῶέϲ τε καὶ Ἕκτωρ

V. ι. 135 θεοῖο L. — 136 καταπλήτην L. ὄχεϲφι ACDEG. — 137 φύγον CGHLS Cant. Harl. Townl. Mor. Barocc. Lips. Vrat. A. Mosc. 3. φύγον[ε] A. φύγεν DE. ϲιγαλόεντα A post ras. φοινικόεντα ἢ ϲιγαλόεντα Eust. 703, 26, conf. 116. — 138 ὅγε θυμῶι D. προϲέειπε CDG. — 139 * δὴ αὖτε: libri δ᾽ αὖτε. — 140 ἦ: ἢ CDE. γινώϲκειϲ ACDEGHL. ὅ τοι: ὅτι CDGHL. — 142 δ᾽ αὖτε D. ἐθέληϲι ACEGH. αἴκε θέληϲι D. — 143 εἰρύϲαιτο GH Et. Mg. 304, 14. — 144 ἐπεὶ ἣ D. ἐπειῆ A. ceteri ἐπειὴ. ἐϲτι ACDG. ἐϲτὶν L. — 146 κατα A. ἔειπαϲ G Mor. Barocc. ἔειπαϲ[ες] L. — 147 τόδ᾽: τόγ᾽ G Mor. Barocc. — 148 γάρ: δή E. ἐνι A. τρώεϲϲ᾽ L. τρώεϲϲιν D. — 149 τυδείδηϲ δ᾽ D. ὑπ᾽ ἐμοῖο E. — 150 τότέ D. — 152 ὤμοι ACEGH. ἔειπαϲ CH 1. man. — 153 ἕκτωρ τε H. γε omitt. L. — 154 τρῶεϲ L. — 157 φύγαδε, τράπε A. φύγαδ᾽ ἔτρεπε L Et. Mg. 801, 38. ceteri cum Bekk. An. 1229 φύγαδ᾽ ἔτραπε. — 158 αὖθιϲ C. ἀνιωχμὸν A. ἔπι A. τρῶεϲ L.

A. c. 137 φύγον[ε]: ἀρίϲταρχοϲ φύγον, ἄλλοι δὲ φύγεν, ἐν ἄλλῳ δὲ τὸ φοινικόεντα Didymus. — 139 Zenodotus ἄγε νῶϊ φόβονδε. — 157 οὕτωϲ διὰ τοῦ α̅ τράπε αἱ ἀριϲτάρχου Didymus.

ἠχῇ θεσπεσίῃ βέλεα στονόεντα χέοντο.
τῷ δ' ἐπὶ μακρὸν ἄυσε μέγας κορυθαίολος Ἕκτωρ·
Τυδείδη, περὶ μέν σε τίον Δαναοὶ ταχύπωλοι
ἕδρῃ τε κρέασίν τε ἰδὲ πλείοις δεπάεσσι·
νῦν δέ σ' ἀτιμήσουσι· γυναικὸς ἄρ' ἀντὶ τέτυξο.
ἔρρε κακὴ γλήνη, ἐπεὶ οὐκ εἴξαντος ἐμεῖο
πύργων ἡμετέρων ἐπιβήσεαι, οὐδὲ γυναῖκας
ἄξεις ἐν νήεσσι· πάρος τοι δαίμονα δώσω.
ὣς φάτο, Τυδείδης δὲ διάνδιχα μερμήριξεν,
ἵππους τε στρέψαι καὶ ἐναντίβιον μαχέσασθαι.
τρὶς μὲν μερμήριξε κατὰ φρένα καὶ κατὰ θυμόν,
τρὶς δ' ἄρ' ἀπ' Ἰδαίων ὀρέων κτύπε μητίετα Ζεὺς
σῆμα τιθεὶς Τρώεσσι, μάχης ἑτεραλκέα νίκην.
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀύσας·
Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς·
γιγνώσκω δ' ὅτι μοι πρόφρων κατένευσε Κρονίων
νίκην καὶ μέγα κῦδος, ἀτὰρ Δαναοῖσί γε πῆμα·
νήπιοι, οἳ ἄρα δὴ τάδε τείχεα μηχανόωντο
ἀβλήχρ' οὐδενόσωρα· τὰ δ' οὐ μένος ἁμὸν ἐρύξει·

V. l. 160 ἐπι A. μέγα κορυθαιόλος E. κορυθαιόλος A. — 161 περὶ ACD: πέρι EGHL. — 162 ἕδρηι D. κρέασίν τε ἰδὲ ACDEHL. τ' ἠδὲ G. δεπάεσσι ACDEHL. — 163 ἆρ DL. ἀρ A. γὰρ G. ἄντι τέτυξο DH. ἀντ' ἐτέτυξο AG Lips. ἀντετέτυξο CEL Et. Mg. 388, 10. Eust. 1261, 64. ἀντιτέτυξο Mosc. 1. — 166 πάρος γάρ τοι G. — 167 φᾶτο D. μερμήριζεν LS. μερμήριζε Cant. Mor. — 168 ἵππους τὲ C. τε omitt. L. τρέψαι D. καὶ ἀντΐβϊον H. — 169 μερμήριζε S. κατα bis A. — 170 ἆρ DE. ἀρ A. ἰδέων G. γρ. καὶ ἐπ' ἰδαίων A. μητιέτα L. — 171 τρῴεσσι L. — 172 τρῴεσσιν L. — 173 τρῷες L. — 174 ἀνέρες ἐστὲ CHL. — 175 γιγνώσκω L: γινώσκω ACDEGH. — 177 τάδε: τάγε Barocc. μηχανόωντο AC 2. man. D 1. man. GHS: μηχανόωνται C 1. man. D 2. man. Townl. 1. man. μηχανοωνται (ο supra) L. — 178 ἀβλῆχρ' CL. ἀβληχρ" A. ἀβληχρὰ E. ἀμβληχρ' G. ἄβληχρ' Vrat. b. οὐδενόσωρα A. οὐδὲ νόσωρα G. ἁμὸν ACE Apoll. de Pron. 142 A. Apoll. Lex. 2, 22. alii ἀμὸν. ἐρύξοι L.

A. c. 163 ἀρίσταρχος αν (τ supra) τοῦ τέτυξο (sic) Didymus. διὰ τοῦ ῑ εἶχον αἱ ἐκδόσεις (h. e. Ἀριστάρχου) ἀντιτέτυξο. ὁ δὲ Ἡρωδιανὸς διὰ τοῦ ε̄ ἐξέθετο Schol. BCL (Cod. C omitt. ἀντιτέτυξο). alii ἄντι τέτυξο, quibus obloquitur Herodianus. quid Aristarchus scripserit, ἀντὶ τέτυξο an ἀντιτέτυξο, non patet. — 164—166 ἀθετοῦνται Aristonicus. τούτους καὶ ἀριστοφάνης ἠθέτηκεν Didymus. — 166 δαίμονα δώσω: ἐν τῇ Ζηνοδότου πότμον ἐφήσω Didymus. — 168 ὅτι ὑποτάσσουσιν „ἢ μήτε στρέψαι, μήτ' ἀντίβιον μαχέσασθαι Aristonicus. — 177 οἳ Aristarchus: οἷ' Dionysius Sidonius. — 178 ἀβλήχρ': ἄβληχρ' Heraclides Milesius, conf. Eust. 705, 60. ἁμὸν, conf. ad Z 414.

ἵπποι δὲ ῥέα τάφρον ὑπερθορέονται ὀρυκτήν.
ἀλλ' ὅτε κεν δὴ νηυσὶν ἔπι γλαφυρῇσι γένωμαι,
μνημοσύνη τις ἔπειτα πυρὸς δηίοιο γενέσθω,
ὡς πυρὶ νῆας ἐνιπρήσω, κτείνω δὲ καὶ αὐτούς
[Ἀργείους παρὰ νηυσὶν ἀτυζομένους ὑπὸ καπνοῦ].
ὣς εἰπὼν ἵπποισιν ἐκέκλετο φώνησέν τε·
Ξάνθέ τε καὶ σὺ Πόδαργε, καὶ Αἴθων Λάμπέ τε δῖε,
νῦν μοι τὴν κομιδὴν ἀποτίνετον, ἣν μάλα πολλὴν
Ἀνδρομάχη, θυγάτηρ μεγαλήτορος Ἠετίωνος,
ὑμῖν πὰρ προτέροισι μελίφρονα πυρὸν ἔθηκεν
οἶνόν τ' ἐγκεράσασα πιεῖν, ὅτε θυμὸς ἀνώγοι,
ἢ ἐμοί, ὅς πέρ οἱ θαλερὸς πόσις εὔχομαι εἶναι.
ἀλλ' ἐφομαρτεῖτον καὶ σπεύδετον, ὄφρα λάβωμεν
ἀσπίδα Νεστορέην, τῆς νῦν κλέος οὐρανὸν ἵκει,
πᾶσαν χρυσείην ἔμεναι, κανόνας τε καὶ αὐτήν,
αὐτὰρ ἀπ' ὤμοιιν Διομήδεος ἱπποδάμοιο
δαιδάλεον θώρηκα, τὸν Ἥφαιστος κάμε τεύχων.
εἰ τούτω κε λάβοιμεν, ἐελποίμην κεν Ἀχαιοὺς
αὐτονυχὶ νηῶν ἐπιβησέμεν ὠκειάων.
ὣς ἔφατ' εὐχόμενος, νεμέσησε δὲ πότνια Ἥρη,
σείσατο δ' εἰνὶ θρόνῳ, ἐλέλιξε δὲ μακρὸν Ὄλυμπον,
καί ῥα Ποσειδάωνα, μέγαν θεόν, ἀντίον ηὔδα·

V. l. 179 δὲ: δὴ G ex corr. — 180 ἐπὶ CDG. — 181 δηΐου G. γενέσθω: γένηται Townl. — 182 ἐμπρήσω C. — 183 omitt. ACDHL Townl. Harl. Lips.: habent EGH in marg. 2. man. S cum aliis. καπνοῦ: καπνῷ S Cant. Mor. Vrat. a. c. A. Mosc. 1. 3. περὶ καπνῷ ἤγουν ὑπὸ καπνοῦ E 705, 41. — 185 ξάνθέ τε ACD. ξάνθε τὲ H. λάμπέ τε AC Bekk. Anecd. 1143. — 186 ἀποτίνετε G. — 188 ἡμῖν L. παρ ACD. — 189 ἀνώγοι AD: ἀνώγει CEGHL Barocc. Cant. man. sec. Vrat. b. — 190 ὅς πέρ οἱ AE Apollon. de Synt. 126, 24. ὅσπερ οἳ D. ὅσπερ οἷ L. ὅστίς οἱ C. — 191 ἐφομαρτῆτον L. αἴ κε λάβωμεν H. — 192 νεστορίην GL. ἵκει: ἥκει G Vrat. A. Mosc. 3. ἥκει (ϊ supra) L. — 193 χρυσίην G. ἔμμεναι GH 1. man. τὲ καὶ C. — 194 ῴμοιϊν C. ὤμοισιν L. — 197 αὐτονυχὶ A. αὐτονυχὶ GHL Townl. Vrat. b. Mosc. 1. a pr. man. αὐτονυχεὶ CDES. — 198 ὡς A. — 199 εἰνι A. ἐνὶ Schol. A 528. — 200 καὶ ῥὰ ποσειδάονα D. ηὖδα D.

A. c. 185 ἀθετεῖται Aristonicus, vid. Schol. T 400, Ψ 295. — 189 καὶ παρ' ἀριστοφάνει ἀθετεῖται Didymus. in Cod. A est obelus adpictus. ἠθετοῦντο οἱ στίχοι παρά τινων Eust. 707, 23. — 191 Aristarchus ἐφαμαρτεῖτον? conf. Schol. M 412, Ψ 414. ὄφρα: οὕτως ἀρίσταρχος, ἄλλοι δὲ αἴκε λάβωμεν Didymus. — 197 αὐτονυχεί: ἄλλοι δὲ διὰ τοῦ ῑ γράφουσιν Schol. L. τὸ δὲ αὐτονυχεί ἐν τοῖς Ἀπίωνος μὲν καὶ Ἡροδώρου διὰ τοῦ ῑ γράφεται, ἄλλοι δὲ διὰ διφθόγγου αὐτὸ ἔγραψαν Eust. 708, 2.

ὢ πόποι ἐννοϲίγαι᾿ εὐρυϲθενέϲ, οὐδέ νυ ϲοί περ
ὀλλυμένων Δαναῶν ὀλοφύρεται ἐν φρεϲὶ θυμόϲ.
οἳ δέ τοι εἰϲ Ἑλίκην τε καὶ Αἰγὰϲ δῶρ᾿ ἀνάγουϲι
πολλά τε καὶ χαρίεντα· ϲὺ δέ ϲφιϲι βούλεο νίκην.
εἴ περ γάρ κ᾿ ἐθέλοιμεν, ὅϲοι Δαναοῖϲιν ἀρωγοί,
Τρῶαϲ ἀπώϲαϲθαι καὶ ἐρυκέμεν εὐρύοπα Ζῆν᾿,
αὐτοῦ κ᾿ ἔνθ᾿ ἀκάχοιτο καθήμενοϲ οἶοϲ ἐν Ἴδῃ.
τὴν δὲ μέγ᾿ ὀχθήϲαϲ προϲέφη κρείων ἐνοϲίχθων·
Ἥρη ἀπτοεπέϲ, ποῖον τὸν μῦθον ἔειπεϲ.
οὐκ ἂν ἐγώ γ᾿ ἐθέλοιμι Διὶ Κρονίωνι μάχεϲθαι
ἡμέαϲ τοὺϲ ἄλλουϲ, ἐπεὶ ἦ πολὺ φέρτερόϲ ἐϲτιν.
ὣϲ οἳ μὲν τοιαῦτα πρὸϲ ἀλλήλουϲ ἀγόρευον·
τῶν δ᾿, ὅϲον ἐκ νηῶν ἀπὸ πύργου τάφροϲ ἔεργε,
πλῆθεν ὁμῶϲ ἵππων τε καὶ ἀνδρῶν ἀϲπιϲτάων
εἰλομένων· εἴλει δὲ θοῷ ἀτάλαντοϲ Ἄρηι
Ἕκτωρ Πριαμίδηϲ, ὅτε οἱ Ζεὺϲ κῦδοϲ ἔδωκε.
καί νύ κ᾿ ἐνέπρηϲεν πυρὶ κηλέῳ νῆαϲ ἐίϲαϲ,
εἰ μὴ ἐπὶ φρεϲὶ θῆκ᾿ Ἀγαμέμνονι πότνια Ἥρη
αὐτῷ ποιπνύϲαντι θοῶϲ ὀτρῦναι Ἀχαιούϲ·
βῆ δ᾿ ἰέναι παρά τε κλιϲίαϲ καὶ νῆαϲ Ἀχαιῶν
πορφύρεον μέγα φᾶροϲ ἔχων ἐν χειρὶ παχείῃ,

V. l. 201 ὢ πόποι A. εἰνοϲίγαι᾿ G. ϲοί $\overset{περ}{γε}$ H. — 203 οἳ AGL. δέ τε εἰϲ G. ἀνάγουϲι ACEGH Pausanias VII, 25, 12. — 205 κε θέλοιμεν S. κ᾿ ἐθέλημεν L. — 206 τρῷαϲ L. ζῆν᾿ EL Schol. Ν 453. $\overset{α}{ζῆν᾿}$ G. ζῆνα HS. ζῆ ACD. — 207 αὐτοῦ: ν᾿· αὐτοῦ CD. $\overset{α}{ν᾿}$· αὐτοῦ A. — 208 τήνδε GL. μοχθήϲαϲ S. — 209 ἀπτοεπέϲ A. ἔειπαϲ GH 1. man. S Mor. Barocc. — 210 ἔγωιγ᾿ libri: ἐγὼν G Mor. ἐθέλημι L. — 211 ἐπειὴ AE. ἐπεὶ ἡ D. πολυφέρτατοϲ DS. φέρτατοϲ L. — 212 ὡϲ A. οἳ μὲν C. — 213 ἔεργε ACDEGHL. — 214 πλῆϲθεν C. — 215 εἰλομένων· εἴλει EG. — 216 ὅτέ οἱ CGL. ἔδωκε ACGH. — 217 κ᾿ ἐνέπρηϲεν S Cant. Harl. Lips. Townl. Vrat. b. ἐνέπρηϲεν ἂν E. κ᾿ ἐνέπρηϲε C. κεν ἔπρηϲεν AHL. κεν ἔπρηϲε DG. — 218 ἐπι D. — 220 omitt. L. — 221 φάροϲ DGH.

A. c. 206, 207 ζῆ — ν᾿· αὐτοῦ Aristarchus et Nicanor, conf. Didymum et Aristonicum ad Ω 331, H. U. 165. Ζῆν G. Hermannus Element. doctr. metr. § 329, p. 110 (4. edit.). — 207 ἔνθα κάθοιτ᾿ ἀκαχήμενοϲ Zenodotus. — 209 ἀπτοεπὲϲ Aristarchus: alii ἀπτοεπέϲ, conf. Et. Mg. 133, 43. — 213 διχῶϲ ἀρίϲταρχοϲ καὶ ἔεργε καὶ ἔρυκε Didymus. Ζηνόδοτοϲ δὲ γράφει τῶν δ᾿ ὅϲον ἐκ νηῶν ἀπὸ πύργου τάφροϲ ἔεργεν Schol. A. ὅτι ἔν τιϲι γράφεται ἀπὸ τάφρου πύργοϲ ἔεργεν Schol. A. — 217 κ᾿ ἐνέπρηϲεν, non κεν ἔπρηϲεν, scribendum esse testantur Θ 182, 235, Ι 242, Μ 198, Ν 319, Ξ 47, Ο 417, 507, 702, Χ 374.

ϲτῆ δ᾿ ἐπ᾿ Ὀδυϲϲῆοϲ μεγακήτεϊ νηὶ μελαίνῃ,
ἥ ῥ᾿ ἐν μεϲϲάτῳ ἔϲκε, γεγωνέμεν ἀμφοτέρωϲε·
[ἠμὲν ἐπ᾿ Αἴαντοϲ κλιϲίαϲ Τελαμωνιάδαο
ἠδ᾿ ἐπ᾿ Ἀχιλλῆοϲ, τοί ῥ᾿ ἔϲχατα νῆαϲ ἐΐϲαϲ
εἴρυϲαν ἠνορέῃ πίϲυνοι καὶ κάρτεϊ χειρῶν·]
ἤυϲεν δὲ διαπρύϲιον Δαναοῖϲι γεγωνώϲ·
αἰδὼϲ Ἀργεῖοι, κάκ᾿ ἐλέγχεα, εἶδοϲ ἀγητοί·
πῇ ἔβαν εὐχωλαί, ὅτε δὴ φάμεν εἶναι ἄριϲτοι,
ἅϲ, ὁπότ᾿ ἐν Λήμνῳ, κενεαυχέεϲ ἠγοράαϲθε,
ἔϲθοντεϲ κρέα πολλὰ βοῶν ὀρθοκραιράων,
πίνοντεϲ κρητῆραϲ ἐπιϲτεφέαϲ οἴνοιο,
Τρώων ἄνθ᾿ ἑκατόν τε διηκοϲίων τε ἕκαϲτοϲ
ϲτήϲεϲθ᾿ ἐν πολέμῳ· νῦν δ᾿ οὐδ᾿ ἑνὸϲ ἄξιοί εἰμεν
Ἕκτοροϲ, ὃϲ τάχα νῆαϲ ἐνιπρήϲει πυρὶ κηλέῳ.
Ζεῦ πάτερ, ἦ ῥά τιν᾿ ἤδη ὑπερμενέων βαϲιλήων
τῇδ᾿ ἄτῃ ἄαϲαϲ καί μιν μέγα κῦδοϲ ἀπηύραϲ;
οὐ μὲν δή ποτέ φημι τεὸν περικαλλέα βωμὸν
νηὶ πολυκλήιδι παρελθέμεν ἐνθάδε ἔρρων·

V. l. 222 μεγακήτεϊ A. — 223 μεϲϲοτάτω L. — 224—226 omitt. ACDGL Mor. Barocc. Harl. Townl. Lips. Vrat. b. Mosc. 1. — 224 κλιϲίηϲ S. — 227 ἤϋϲε G Schol. Β 408. Et. Mg. 269, 13. — 229 πῆ AE Schol. A 225. Eust. 1198, 12. κενεαυχέαϲ Eust. 1198, 13. κενεαυχέεϲ A. ἠγοράαϲθε A: ἐν ἄλλῳ εὐχετάαϲθε A. — 231 ὀρθοκραιράων A. ὀρθοκεράων G post ras. — 233 τρῴων L. ἀνθ᾿ CDEL Et. Mg. 111, 29. Apoll. Lex. 31, 10. τε post ἑκατὸν omitt. G. — 234 δ᾿ omitt. A. οὐδ᾿ ἑνὸϲ EH: οὐδενὸϲ A Ambros. CDGLS Townl. Vrat. a. b. Mosc. 3. ἄξιοι εἰμὲν GL. ἠμὲν C post ras. — 237 ἄϲαϲ H Lips. Vrat. b. ᾶϲᾰϲ A. ΑϹΑϹ Ambr. ἄτηι $\overset{ᾰ}{}$ αϲαϲ D, ᾰ man. rec. ἄαϲαϲ CEGL. ἀπηῦραϲ E. — 238 δή ποτε φημὶ ACDG. γάρ ποτε φημὶ H. — 239 πολυκληΐδι G. ἐνθάδ᾿ HL.

A. c. 228 ἐλέγχεα: ἐλεγχέεϲ Aristarchus, conf. Didym. ad Ε 787. idem Aristarchus Ε 787 διχῶs εἶδοϲ ἄριϲτοι et εἶδοϲ ἀγητοί. — 231 (in Cod. A obelo notatus) περιττὸϲ ὁ ϲτίχοϲ Aristonicus, conf. Ariston. ad Υ 84 et Athenaeum II, 39 ἐπεϲημήνατο ὁ γραμματικὸϲ Ἀρίϲταρχοϲ περιγράφειν τὸν ϲτίχον ὃϲ ἀπὸ κρεωφαγίαϲ αὐχεῖν ποιεῖ τοὺϲ Ἕλληναϲ. „ἔϲθοντεϲ κρέα“ καὶ ἑξῆϲ, ὃν δὴ ϲτίχον ὁ Ἀρίϲταρχοϲ περιγράφων ἀθετεῖ Eust. 1198, 15. — 233 ἄνθ᾿: τὸ πλῆρεϲ ἄντα, ὡϲ καὶ τῷ Ἡρωδιανῷ ἀρέϲκει, οὐχὶ δὲ ἀντί, καθὼϲ Ἀριϲτάρχῳ ἔδοξεν Schol. BL. Ἀρίϲταρχοϲ ἀναγινώϲκει „Τρώων ἀνθ᾿ ἑκατόν“ Apoll. Lex. 31, 10, conf. Et. Mg. 111, 29. Cram. An. Ox. II, 466, 18. — 235 ἠθέτητο δὲ καὶ παρὰ Ἀριϲτοφάνει Didymus. ἧττον ἄν φηϲιν Ἀρίϲταρχοϲ ὀνειδιϲτικὸν εἶναι, εἴπερ οὕτωϲ ἐγέγραπτο „Ἕκτοροϲ, ᾧ δὴ κῦδοϲ Ὀλύμπιοϲ αὐτὸϲ ὀπάζει.“ — 237 ἆϲαϲ dedi ex libris optimis, conf. λ 61 ἆϲε, Τ 95 ἄϲατο.

ἀλλ᾽ ἐπὶ πᾶσι βοῶν δημὸν καὶ μηρί᾽ ἔκηα,
ἱέμενος Τροίην εὐτείχεον ἐξαλαπάξαι.
ἀλλὰ Ζεῦ, τόδε πέρ μοι ἐπικρήηνον ἐέλδωρ·
αὐτοὺς δή περ ἔασον ὑπεκφυγέειν καὶ ἀλύξαι,
μὴ δ᾽ οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς.
ὣς φάτο, τὸν δὲ πατὴρ ὀλοφύρατο δάκρυ χέοντα,
νεῦσε δέ οἱ λαὸν σῶν ἔμμεναι οὐδ᾽ ἀπολέσθαι.
αὐτίκα δ᾽ αἰετὸν ἧκε, τελειότατον πετεηνῶν,
νεβρὸν ἔχοντ᾽ ὀνύχεσσι, τέκος ἐλάφοιο ταχείης·
πὰρ δὲ Διὸς βωμῷ περικαλλέι κάββαλε νεβρόν,
ἔνθα πανομφαίῳ Ζηνὶ ῥέζεσκον Ἀχαιοί.
οἱ δ᾽ ὡς οὖν εἴδονθ᾽ ὅ τ᾽ ἄρ᾽ ἐκ Διὸς ἤλυθεν ὄρνις,
μᾶλλον ἐπὶ Τρώεσσι θόρον, μνήσαντο δὲ χάρμης.
ἔνθ᾽ οὔ τις πρότερος Δαναῶν, πολλῶν περ ἐόντων,
εὔξατο Τυδεΐδαο πάρος σχέμεν ὠκέας ἵππους
τάφρου τ᾽ ἐξελάσαι καὶ ἐναντίβιον μαχέσασθαι,
ἀλλὰ πολὺ πρῶτος Τρώων ἕλεν ἄνδρα κορυστήν,
Φραδμονίδην Ἀγέλαον. ὃ μὲν φύγαδ᾽ ἔτραπεν ἵππους·
τῷ δὲ μεταστρεφθέντι μεταφρένῳ ἐν δόρυ πῆξεν
ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσεν.
ἤριπε δ᾽ ἐξ ὀχέων, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.

V. L. 240 ἔκηα CDEH 1. man. ἔκηον (α supra ο) A. ἔκηον H ex corr. ἔκηον L. ΕΚΑΙΟΝ Ambros. — 241 ἵέμενος AH 1. man. ἰέμενος CDGH 2. man. L. — 242 τόδέ περ μοι G. ἐπικρήηνον L. ἐπικρήιηινον C. ἐπικρήϊνον G. — 243 δέ περ G. hic versus in G Mor. Barocc. post 244 est collocatus. — 244 omitt. Abrosianus. μὴ δ᾽ ACDGHL. τρώεσσιν L. — 245 ὡς A. τόνδε D. ὁ πατὴρ G Mor. Barocc. Vrat. a. ὀλοφύρετο CHLS Vrat. b. 2. man. Vrat. A. ὀλοφύρετο (α supra ε) A. δάκρυ χέοντα G: ceteri δακρυχέοντα. — 246 σόον A Ambr. CDEHLS. σῶον G Mor. ἔμμεναι DGH. ἀπολέσθαι libri omnes. — 247 πετεεινῶν GL 1. man. Mor. Barocc. — 249 παρ AD. κάμβαλε CGS. ἐν ἄλλῳ θήκατο νεβρὸν A. — 251 οἳ δ᾽ D. οἵδ᾽ CGL. εἴδονθ᾽ ACDEHL: εἶδον θ᾽ S Cant. Harl. Townl. Mor. Barocc. Vrat. b. εἶδον G. ΙΔΟΝΘ᾽ Ambros. ὅτ᾽ (ι supra) A. ἂρ AEGL. — 252 τρώεσσι L. μνήσαντό δε A. — 254 τυδείδεω C. σχέμεν: ἐχέμεν D 2. man. E. — 255 τάφρον G Mor. τ᾽ omitt. G. καὶ ἀντΐβϊον H. — 256 τρώων L. — 257 φραδμονίδην (γ supra δ) S. φραγμονίδην Vrat. c. ὃ μὲν C. ἔτραπεν (ε supra α) A. — 258 μεταστραφθέντι L Mor. μεταστραφέντι S. δόρι L. — 260 ἐπαυτῶι A. ἐν ἄλλῳ ὑπερώησαν δὲ οἱ ἵπποι A.

A. c. 240 δημὸν Ptolem. Ascalonita cum Aristarcho. — 246 ἀρίσταρχος οὐδ᾽ ἀπολεῖσθαι Didymus. — 251 εἴδονθ᾽, conf. Γ 154.

τὸν δὲ μετ᾽ Ἀτρεΐδαι, Ἀγαμέμνων καὶ Μενέλαος,
τοῖσι δ᾽ ἐπ᾽ Αἴαντες, θοῦριν ἐπιειμένοι ἀλκήν,
τοῖσι δ᾽ ἐπ᾽ Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος,
Μηριόνης, ἀτάλαντος Ἐνυαλίῳ ἀνδρεϊφόντῃ,
τοῖσι δ᾽ ἐπ᾽ Εὐρύπυλος, Εὐαίμονος ἀγλαὸς υἱός.
Τεῦκρος δ᾽ εἴνατος ἦλθε παλίντονα τόξα τιταίνων,
στῆ δ᾽ ἄρ᾽ ὑπ᾽ Αἴαντος σάκεϊ Τελαμωνιάδαο.
ἔνθ᾽ Αἴας μὲν ὑπεξέφερεν σάκος· αὐτὰρ ὅ γ᾽ ἥρως
παπτήνας, ἐπεὶ ἄρ τιν᾽ ὀϊστεύσας ἐν ὁμίλῳ
βεβλήκοι, ὃ μὲν αὖθι πεσὼν ἀπὸ θυμὸν ὄλεσσεν,
αὐτὰρ ὃ αὖτις ἰὼν πάις ὣς ὑπὸ μητέρα δύσκεν
εἰς Αἴανθ᾽· ὃ δέ μιν σάκεϊ κρύπτασκε φαεινῷ.
ἔνθα τίνα πρῶτον Τρώων ἕλε Τεῦκρος ἀμύμων;
Ὀρσίλοχον μὲν πρῶτα καὶ Ὄρμενον ἠδ᾽ Ὀφελέστην
Δαίτορά τε Χρομίον τε καὶ ἀντίθεον Λυκοφόντην
καὶ Πολυαιμονίδην Ἀμοπάονα καὶ Μελάνιππον.
[πάντας ἐπασσυτέρους πέλασε χθονὶ πουλυβοτείρῃ.]
τὸν δὲ ἰδὼν γήθησεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
τόξου ἄπο κρατεροῦ Τρώων ὀλέκοντα φάλαγγας·
στῆ δὲ παρ᾽ αὐτὸν ἰὼν καί μιν πρὸς μῦθον ἔειπε·

V. L. 261 τόνδε DL. μετ᾽ A. μέτ᾽ EG. — 262 ἔπ᾽ EGH. θοῦροι G Mor. — 263 ἔπ᾽ EGH. — 264 ἀνδρειφόντηι A. ἀνδριφόντῃ DGH. — 265 ἔπ᾽ GH. εὐαίμονος A. — 266 παλίντονα A. — 267 δ᾽ ἂρ ὑπ᾽ DEGL. δ᾽ ἄρ᾽ ἐπ᾽ H. δὲ παρ᾽ A et γρ. στῆ δ᾽ ἀρ ὑπ᾽ αἴαντος. — 268 ὑπεξέφερε DE. — 269 παπτήινας C. ἐπὶ ἄρ τινα G. — 270 βεβλήκοι CHS: βεβλήκει ADEGL. ὃ μὲν C. ἀπο CDL. ὄλεσσεν ACDGLS. ὤλεσεν E. ὄλεσκεν H. — 271 ὃ ACDGHL. αὖθις C. πάϊς ACDEHL. ὡς ὑπο A. — 272 ὅδε G. — 273 τρώων L. — 274 ὅρμενον CG. ὁρμενον A. ὀφελέτην G. ἠδὲ φολέστην H. — 275 χρόμιόν CDGL. — 276 πολυαιμονίδην ἀμοπάονα A. ἀμοπάονα DG Mor. Townl. ἀμοπάονα CE 712, 53 H 1. man. L. ἄμ᾽ ὀπάονα H 2. man. Apoll. Lex. 121, 29. οἱ γράφοντες ἄμ᾽ ὀπάονα ἐν δυσὶ μέρεσι λόγου σφάλλονται τῆς ὀρθότητος Eust. 712, 54. — 277 omitt. ACDGL Mor. Harl. Townl. Vrat. b. Mosc. 1. prim. man.: habent HS cum aliis. — 278 τόνδε G. — 279 ἀπὸ CDEGHL. ἄπο A. τρώων L. — 280 ἔειπε ACGH.

A. c. 270 ἀρίσταρχος βεβλήκοι Didymus. ὄλεσσεν, conf. Δ 516, Ρ 733, Τ 317, qui loci ostendunt, non opus esse forma iterativa ὄλεσκεν, quam Bekkerus induxit. — 271 πάις, conf. Ω 259, H. U. 97. — 276 Πολυαιμονίδην Ἀμοπάονα καὶ Μελάνιππον: ψιλωτέον πάντα, ἵνα κύρια γένηται (cf. H. T. 416 sq.). παραιτητέον δὲ τοὺς διαλύοντας τὸ Ἀμοπάονα Herodianus. idem τὸ Ἀμοπάονα ἐν ἑνὶ μέρει λόγου ἀναγνωστέον· κύριον γάρ.

Τεῦκρε, φίλη κεφαλή, Τελαμώνιε, κοίρανε λαῶν,
βάλλ' οὕτωc, αἴ κέν τι φόωc Δαναοῖcι γένηαι
πατρί τε cῷ Τελαμῶνι, ὅ c' ἔτρεφε τυτθὸν ἐόντα,
καί cε νόθον περ ἐόντα κομίccατο ᾧ ἐνὶ οἴκῳ·
τὸν καὶ τηλόθ' ἐόντα ἐυκλείηc ἐπίβηcον.
coὶ δ' ἐγὼ ἐξερέω ὡc καὶ τετελεcμένον ἔcται·
αἴ κέν μοι δώῃ Ζεύc τ' αἰγίοχοc καὶ Ἀθήνη
Ἰλίου ἐξαλαπάξαι ἐυκτίμενον πτολίεθρον,
πρώτῳ τοι μετ' ἐμὲ πρεcβήιον ἐν χερὶ θήcω,
ἢ τρίποδ' ἠὲ δύω ἵππουc αὐτοῖcιν ὄχεcφιν
ἠὲ γυναῖχ', ἥ κέν τοι ὁμὸν λέχοc εἰcαναβαίνοι.
τὸν δ' ἀπαμειβόμενοc προcεφώνεε Τεῦκροc ἀμύμων·
Ἀτρείδη κύδιcτε, τί με cπεύδοντα καὶ αὐτὸν
ὀτρύνειc; οὐ μέν τοι, ὅcη δύναμίc γε πάρεcτι,
παύομαι, ἀλλ' ἐξ οὗ προτὶ Ἴλιον ὠcάμεθ' αὐτούc,
ἐκ τοῦ δὴ τόξοιcι δεδεγμένοc ἄνδραc ἐναίρω.
ὀκτὼ δὴ προέηκα τανυγλώχιναc ὀιcτούc,
πάντεc δ' ἐν χροΐ πῆχθεν ἀρηιθόων αἰζηῶν·
τοῦτον δ' οὐ δύναμαι βαλέειν κύνα λυccητῆρα.
ἦ ῥα, καὶ ἄλλον ὀιcτὸν ἀπὸ νευρῆφιν ἴαλλεν
Ἕκτοροc ἀντικρύ, βαλέειν δέ ἑ ἵετο θυμόc.
καὶ τοῦ μέν ῥ' ἀφάμαρθ', ὁ δ' ἀμύμονα Γοργυθίωνα,
υἱὸν ἐὺν Πριάμοιο, κατὰ cτῆθοc βάλεν ἰῷ·

V. ι. 282 βάλ' D. κέν τοι C. φόοc G. — 283 ὅ, c' ἔτρεφε AC. ὅc ἔτρεφε DEGHL Mor. — 284 κομίcατο G. ἐνι AD. — 285 ἐόντ' L. εὐκλείηc DEGL. — 286 ἐγὼν EH. ὃ καὶ G Mor. Barocc. ἔcται: ἐcτι H post ras. — 287 αἴ κεν μοι DGH. δώη H. δώη L. δῴη ACDEGS. ζεύc τ' ACDHL Barocc. Harl. ζεὺc GS. — 288 ἰλίου ἐκπέρcαι G Mor. εὐκτίμενον G. — 289 μετεμὲ A. μετ' ἐμεῦ Apoll. Lex. 136, 28. ἐν χειρὶ θείω D. — 290 ἵππω Townl. ὄχεcφι D. — 292 προcέφη G. — 294 οὐ μέν μοι ALS Cant. Townl. πάρεcτι ACDEGH. — 295 παύcομαι Vrat. b. man. sec. παύομαι ἢ παύcομαι Eust. 713, 54. προτὶ ACDGHL: ποτὶ S. — 296 ἐκ τοῦ: αἰεὶ S in marg. Cant. — 297 προέηκα τανυγλώχιναc A. — 298 ἀρηιθόων A. αἰζηῶν H. — 299 καὶ•τόνδ' οὐ Suidas I, 1, 943, 4. λυcιτῆρα D. λυccητῆρα ἢ λωβητῆρα Eust. 714, 7. — 300 ῥὰ CDGL. ἀπαὶ νευρῆcφιν G. — 301 δὲ ἵετο D. — 302 ἀφάμαρτεν G. ὃ δ' D. ὅδ' CGL.

A. c. 284 παρὰ Ζηνοδότῳ οὐδὲ ἦν· ἠθέτητο δὲ καὶ παρὰ Ἀριcτοφάνει Didymus, conf. Schol. V ad Μ 371. — 290 οἱ περὶ ζηνόδοτον καὶ ἀριcτοφάνην ἵππω Didymus. — 296 δεδεγμένοc Aristarchus: Herodianus δεδεχμένοc.

τόν ῥ' ἐξ Αἰcύμηθεν ὀπυιομένη τέκε μήτηρ,
καλὴ Καcτιάνειρα, δέμαc εἰκυῖα θεῇcι.
μήκων δ' ὡc ἑτέρωcε κάρη βάλεν, ἥ τ' ἐνὶ κήπῳ,
καρπῷ βριθομένη νοτίῃcί τε εἰαρινῇcιν·
ὣc ἑτέρωc' ἤμυcε κάρη πήληκι βαρυνθέν.
Τεῦκροc δ' ἄλλον ὀιcτὸν ἀπὸ νευρῆφιν ἴαλλεν
Ἕκτοροc ἀντικρύ, βαλέειν δέ ἑ ἵετο θυμόc.
ἀλλ' ὅ γε καὶ τόθ' ἅμαρτε· παρέcφηλεν γὰρ Ἀπόλλων·
ἀλλ' Ἀρχεπτόλεμον, θραcὺν Ἕκτοροc ἡνιοχῆα,
ἱέμενον πόλεμον δὲ βάλε cτῆθοc παρὰ μαζόν·
ἤριπε δ' ἐξ ὀχέων, ὑπερώηcαν δέ οἱ ἵπποι
ὠκύποδεc· τοῦ δ' αὖθι λύθη ψυχή τε μένοc τε.
Ἕκτορα δ' αἰνὸν ἄχοc πύκαcε φρέναc ἡνιόχοιο.
τὸν μὲν ἔπειτ' εἴαcε καὶ ἀχνύμενόc περ ἑταίρου,
Κεβριόνην δ' ἐκέλευcεν ἀδελφεὸν ἐγγὺc ἐόντα
ἵππων ἡνί' ἑλεῖν· ὁ δ' ἄρ' οὐκ ἀπίθηcεν ἀκούcαc.
αὐτὸc δ' ἐκ δίφροιο χαμαὶ θόρε παμφανόωντοc
cμερδαλέα ἰάχων· ὁ δὲ χερμάδιον λάβε χειρί,
βῆ δ' ἰθὺc Τεύκρου, βαλέειν δέ ἑ θυμὸc ἀνώγει.
ἤ τοι ὁ μὲν φαρέτρηc ἐξείλετο πικρὸν ὀιcτόν,
θῆκε δ' ἐπὶ νευρῇ· τὸν δ' αὖ κορυθαίολοc Ἕκτωρ
αὐερύοντα παρ' ὦμον, ὅθι κληῒc ἀποέργει
αὐχένα τε cτῆθόc τε, μάλιcτα δὲ καίριόν ἐcτι,

V. ι. 304 ἐξαιcύμηθεν A. ὀπυομένη DG. ὀπηομένη L. — 305 οἰκυῖα G. θεῇcι ACDH Apoll. Lex. 63, 30. καλὴ Καccιέπεια θεοῖc δέμαc ἐοικυῖα Athenaeus XIV, 632, qui laudat hunc versum ut μείουρον. — 306 ὧc ACDEH: alii ὡc. κάρην G. ἐνι A. — 306, 307 omitt. L. — 308 ὡc A. ἤμυccε L ex corr. — 309 ἀπο A. νευρῆφιν CE. νευρῆcφιν G. — 311 παρέcφηλε E 714, 20 G. — 313 ϊέμενον A. ἱέμενον H. νιccόμενον D et man. rec. γρ. καὶ ἱέμενον. πόλεμον δὲ A. — 318 ἐκέλευcεν: ἐκάλεcεν Schol. Λ 521. — 319 ὅδ' CGHL. ἆρ DGL. ἀρ A. — 321 ὁ δὲ C. — 322 τεύκροιο D. ἄνωγεν E. ἀνῶγεν D. — 323 ὁ μὲν C. — 324 κορυθαιόλοc A. κορυθαιόλοc E. — 325 αὐερύοντα A. αὖ ἐρύοντα C et supra man. rec. γρ. DEGLS αὖ ἐρύοντα. C ᾠμον. — 326 ἔcτι ACDH. ἐcτὶ G.

A. c. 304 ἀρίcταρχοc αἰcύμνηθεν, καὶ ἡ ζηνοδότου καὶ ἡ ἀριcτοφάνουc Didymus. Αἰcύνηθεν (sic) διὰ τοῦ ν καὶ αἱ Ζηνοδότου καὶ ἡ Ἀριcτοφάνουc. ἐξ Αἰcύμηθεν ἴcωc τῆc Νιρέωc Cύμηc (B 671). οἳ δὲ αἰcύμνηθεν, ἀπὸ βαcιλικοῦ γένουc Schol. V. — 311 διχῶc ἀλλ' ὅγε τοῦ μὲν ἅμαρτε καὶ ἀλλ' ὅγε καὶ τόθ' ἅμαρτε Didymus. — 325 οὕτωc χωρὶc τοῦ ῑ ἀποέργει Schol. V.

τῇ ῥ' ἐπὶ οἷ μεμαῶτα βάλεν λίθῳ ὀκριόεντι,
ῥῆξε δέ οἱ νευρήν· νάρκηϲε δὲ χεὶρ ἐπὶ καρπῷ,
ϲτῆ δὲ γνὺξ ἐριπών, τόξον δέ οἱ ἔκπεϲε χειρόϲ.
Αἴαϲ δ' οὐκ ἀμέληϲε καϲιγνήτοιο πεϲόντοϲ,
ἀλλὰ θέων περίβη καί οἱ ϲάκοϲ ἀμφεκάλυψε.
τὸν μὲν ἔπειθ' ὑποδύντε δύω ἐρίηρεϲ ἑταῖροι,
Μηκιϲτεύϲ, Ἐχίοιο πάιϲ, καὶ δῖοϲ Ἀλάϲτωρ,
νῆαϲ ἔπι γλαφυρὰϲ φερέτην βαρέα ϲτενάχοντα.
  ἂψ δ' αὖτιϲ Τρώεϲϲιν Ὀλύμπιοϲ ἐν μένοϲ ὦρϲεν·
οἳ δ' ἰθὺϲ τάφροιο βαθείηϲ ὦϲαν Ἀχαιούϲ·
Ἕκτωρ δ' ἐν πρώτοιϲι κίε ϲθένεϊ βλεμεαίνων.
ὡϲ δ' ὅτε τίϲ τε κύων ϲυὸϲ ἀγρίου ἠὲ λέοντοϲ
ἅπτηται κατόπιϲθε, ποϲὶν ταχέεϲϲι διώκων,
ἰϲχία τε γλουτούϲ τε, ἑλιϲϲόμενόν τε δοκεύει,
ὣϲ Ἕκτωρ ὤπαζε κάρη κομόωνταϲ Ἀχαιοὺϲ
αἰὲν ἀποκτείνων τὸν ὀπίϲτατον· οἳ δὲ φέβοντο.
αὐτὰρ ἐπεὶ διά τε ϲκόλοπαϲ καὶ τάφρον ἔβηϲαν
φεύγοντεϲ, πολλοὶ δὲ δάμεν Τρώων ὑπὸ χερϲίν,
οἳ μὲν δὴ παρὰ νηυϲὶν ἐρητύοντο μένοντεϲ,
ἀλλήλοιϲί τε κεκλόμενοι καὶ πᾶϲι θεοῖϲι
χεῖραϲ ἀνίϲχοντεϲ μεγάλ' εὐχετόωντο ἕκαϲτοϲ·
Ἕκτωρ δ' ἀμφιπεριϲτρώφα καλλίτριχαϲ ἵππουϲ
Γοργοῦϲ ὄμματ' ἔχων ἠὲ βροτολοιγοῦ Ἄρηοϲ.
  τοὺϲ δὲ ἰδοῦϲ' ἐλέηϲε θεὰ λευκώλενοϲ Ἥρη,

V. ι. 327 ἔπι A. ἐπὶ οἷ D. ἐπί οἱ G. βάλε DEG. ὀκρυόεντι GS. — 328 χεὶρ ACDE. χεῖρ' GHL. ἔπι A. — 331 ἀμφεκάλυψε ACEGH. — 333 αἰχίοιο D. παῖϲ H. — 334 ἔπι AD. ἐπὶ CEGHL. — 335 αὖθιϲ C. τρῴεϲϲιν L. ἒν A. ἔμμενοϲ D. — 336 οἳ δ' D. οἵδ' CGL. — 339 ποϲὶ D. διώκων A Townl. πεποιθὼϲ CDEGHLS. γρ. πεποιθὼϲ A. — 340 ἑλιϲϲόμενον AC post ras. DHL. ἑλιϲϲόμενόϲ G Mor. Vrat. c. A. ἐλιϲϲόμενοϲ C 1. man.? δὲ δοκεύει Harl. — 341 ὡϲ A. ὄπαζε D. κάρη κομόωνταϲ AH: ceteri καρηκομόωνταϲ. — 342 οἳ δ' D. οἵδ' G. δὲ, φέβοντο C. δὲ φέβοντο AHLS Cant. Harl. Townl. Lips. Vrat. b. δ' ἐφέβοντο DEG. — 344 δάμον G. τρῴων L. ὑποχερϲὶ D. — 345 οἳ μὲν C. — 346 θεοῖϲι ACDGH. — 347 ἀνίϲχοντεϲ: ἀναϲχόμενοι Suidas II, 1, 725, 15. — 348 ἀμφιπεριϲτρόφα G. — 349 ἠὲ: ἠδὲ ACDEGHLS et Heynii libri. — 350 τούϲδε G. τούϲδ' D.

A. c. 328 χεὶρ Ptolemaeus Ascalonita: alii χεῖρ'. — 334 vid. Schol. N 423. — 340 οὕτω διὰ τοῦ ν̄ ἑλιϲϲόμενον, τὸν γὰρ ὗν ἐπιϲτρεφόμενον ὑποτηρεῖ Didymus. — 349 ἀρίϲταρχοϲ γοργοῦϲ οἶματ' ἔχων Didymus. Γοργόνοϲ ὄμματ' ἔχων ἠὲ βροτολοιγοῦ Ἄρηοϲ Zenodotus. ,,Γοργοῦϲ ὄμματ' ἔχων" αἱ πλείουϲ τῶν δημωδῶν.

αἶψα δ' Ἀθηναίην ἔπεα πτερόεντα προϲηύδα·
  ὢ πόποι αἰγιόχοιο Διὸϲ τέκοϲ, οὐκέτι νῶι
ὀλλυμένων Δαναῶν κεκαδηϲόμεθ' ὑϲτάτιόν περ;
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήϲαντεϲ ὄλωνται
ἀνδρὸϲ ἑνὸϲ ῥιπῇ, ὃ δὲ μαίνεται οὐκέτ' ἀνεκτῶϲ
Ἕκτωρ Πριαμίδηϲ, καὶ δὴ κακὰ πολλὰ ἔοργε.
  τὴν δ' αὖτε προϲέειπε θεὰ γλαυκῶπιϲ Ἀθήνη·
καὶ λίην οὗτόϲ γε μένοϲ θυμόν τ' ὀλέϲειε,
χερϲὶν ὑπ' Ἀργείων φθίμενοϲ ἐν πατρίδι γαίῃ·
ἀλλὰ πατὴρ οὑμὸϲ φρεϲὶ μαίνεται οὐκ ἀγαθῇϲι,
ϲχέτλιοϲ, αἰὲν ἀλιτρόϲ, ἐμῶν μενέων ἀπερωεύϲ·
οὐδέ τι τῶν μέμνηται, ὅ οἱ μάλα πολλάκιϲ υἱὸν
τειρόμενον ϲώεϲκον ὑπ' Εὐρυϲθῆοϲ ἀέθλων.
ἤ τοι ὃ μὲν κλαίεϲκε πρὸϲ οὐρανόν, αὐτὰρ ἐμὲ Ζεὺϲ
τῷ ἐπαλεξήϲουϲαν ἀπ' οὐρανόθεν προΐαλλεν.
εἰ γὰρ ἐγὼ τάδε ᾔδε' ἐνὶ φρεϲὶ πευκαλίμῃϲιν,
εὖτέ μιν εἰϲ Ἀΐδαο πυλάρταο προὔπεμψεν
ἐξ ἐρέβευϲ ἄξοντα κύνα ϲτυγεροῦ Ἀΐδαο,
οὐκ ἂν ὑπεξέφυγε Ϲτυγὸϲ ὕδατοϲ αἰπὰ ῥέεθρα.
νῦν δ' ἐμὲ μὲν ϲτυγέει, Θέτιδοϲ δ' ἐξήνυϲε βουλάϲ,
ἥ οἱ γούνατ' ἔκυϲϲε καὶ ἔλλαβε χειρὶ γενείου,
λιϲϲομένη τιμῆϲαι Ἀχιλλῆα πτολίπορθον.
ἔϲται μάν, ὅτ' ἂν αὖτε φίλην γλαυκώπιδα εἴπῃ.
ἀλλὰ ϲὺ μὲν νῦν νῶιν ἐπέντυε μώνυχαϲ ἵππουϲ,
ὄφρ' ἂν ἐγὼ καταδῦϲα Διὸϲ δόμον αἰγιόχοιο
τεύχεϲιν ἐϲ πόλεμον θωρήξομαι, ὄφρα ἴδωμαι,

V. ι. 351 προϲηῦδα D. — 352 ὦ AD. — 353 δαναῶν: γρ. ἀργείων A. — 355 ὃ δὲ C. ἀνεκτῆ L. — 356 πολλὰ κακὰ GL. ἔοργε ACDGHL. — 358 οὕτωϲ (ο supra ω) H. μένοϲ καὶ θυμὸν G. ὀλέϲειε ACDH. — 360 ὀὑμὸϲ ACEG. οὐμὸϲ HL. ἀγαθῆϲι ACDEGH. — 361 ἁλιτρὸϲ C 1. man. — 362 οἵ οἱ H. μάλιϲτα πολλάκιϲ L. — 365 ἐξ οὐρανόθεν Apoll. de Synt. 117, 20. — 366 ἤδη Pausanias VIII, 18, 3. ἤδε' (α supra ε) A. ἐνι A. — 367 προύπεμψεν AG. — 370 δέ με L. — 371 ἔλαβε DG. — 372 ἀχϊλῆα CD. — 373 ἔϲϲεται ἦμαρ ὅταν αὖτε G. ἔϲϲεται ἦμαρ ὅτ' αὖτε Mor. Barocc. ὅταν CL. ὅτε αὖτε Cant. — 374 omitt. H. μὲν οὖν G. νῦν omitt. C. ἐπέντυνε Vrat. c. — 375 καταδύϲα D. — 376 ἴδωμεν Vrat. b. Mosc. 1. ex corr. γρ. ἴδωμεν A. ἴδω G.

A. c. 355 ἀνεκτῶϲ Aristarchus. — 371, 372 ἀθετοῦνται δύο ϲτίχοι Aristonicus. οὐδὲ παρὰ Ζηνοδότῳ ἦϲαν Didymus.

ἢ νῶι Πριάμοιο πάϊς, κορυθαίολος Ἕκτωρ,
γηθήσει προφανέντε ἀνὰ πτολέμοιο γεφύρας,
ἦ τις καὶ Τρώων κορέει κύνας ἠδ᾽ οἰωνοὺς
δημῷ καὶ σάρκεσσι, πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν.
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε θεὰ λευκώλενος Ἥρη.
ἡ μὲν ἐποιχομένη χρυσάμπυκας ἔντυεν ἵππους
Ἥρη, πρέσβα θεά, θυγάτηρ μεγάλοιο Κρόνοιο·
αὐτὰρ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸς ἐπ᾽ οὔδει,
ποικίλον, ὅν ῥ᾽ αὐτὴ ποιήσατο καὶ κάμε χερσίν,
ἡ δὲ χιτῶν᾽ ἐνδῦσα Διὸς νεφεληγερέταο
τεύχεσιν ἐς πόλεμον θωρήσσετο δακρυόεντα.
ἐς δ᾽ ὄχεα φλόγεα ποσὶ βήσετο, λάζετο δ᾽ ἔγχος
βριθὺ μέγα στιβαρόν, τῷ δάμνησι στίχας ἀνδρῶν
ἡρώων, τοῖσίν τε κοτέσσεται ὀβριμοπάτρη.
Ἥρη δὲ μάστιγι θοῶς ἐπεμαίετ᾽ ἄρ᾽ ἵππους·
αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ, ἃς ἔχον Ὧραι,
τῇς ἐπιτέτραπται μέγας οὐρανὸς Οὔλυμπός τε,

V. l. 377 νῶι: νῶϊν DH. κορυθαιόλος A. — 378 προφανέντε A Mosc. 1. ex corr. Mosc. 3. a pr. man. προφανείσα D 1. man. E 718, 61; 1115, 59. Cram. Epim. 373, 22. προφανεῖσα Vrat. A. γρ. προφανεῖσα A. προφανείσας CD 2. man. L Cant. Townl. man. rec. Barocc. Mor. προφανεισᾶν S. προφανεῖσαν Vrat. c. προφανησαι H. γρ. προφανήσαιν C man. rec. προφανήσαις G post ras. — 379 ἢ τις CD. ὅς τις καὶ τρώων L. κορέσει G Mor. Barocc. Harl. — 380 ἐπι A. — 381 θεὰ γλαυκῶπϊς ἀθήνη H. — 382 ἢ μὲν CD. ἤντυεν Vrat. c. — 383 omitt. D in textu et Townl. 1. man. ἥρα H. — 385 ἑανὸν HL. — 387 ἢ δὲ C et man. rec. γρ. ἠδὲ, cf. ad Ε 736. — 388 θωρήσετο G. θωρήξατο Townl. — 390 δάμνῃσι AD. — 391 τοῖσι τε D. ὀβριμοπάτρη A. ὀμβριμοπάτρη CG Mor. Barocc. Vrat. b. — 392 θοᾶς (?) Mor. ἐπεμαίετο EG. ἄρ CDGL. ἀρ A. ἄρ᾽ omitt. E. — 393 μῦκον H. — 394 ταῖς G.

A. c. 377 νῶιν Zenodotus. — 378 Ἀρίσταρχος προφανέντε, ὡς πληγέντε κεραυνῷ (455) δυϊκῶς· ὁ δὲ Ζηνόδοτος γηθήσει προφανείσας ἰδὼν ἐς δοῦπον ἀκόντων Didymus. προφανείσα δὲ γράφει Ἀρίσταρχος δυϊκῶς, ὁ δὲ Ἡρωδιανὸς προφανείσας βούλεται, συστέλλων Δωρικῶς τὸ ᾱ. lectio unica vera est προφανέντε, nam ut praetermittam digammum neglectum, neque a substantivis generis feminini formae dualis in ᾱ Homero sunt usitatae, neque usquam apud poetam ᾱς in accusativo plur. primae declinationis corripitur, ut apud Hesiodum, Pindarum, Theocritum. — 385—387 ἀθετοῦνται στίχοι τρεῖς Aristonicus. ἠθέτει δὲ καὶ Ἀριστοφάνης· Ζηνόδοτος δὲ οὐδὲ ἔγραφεν Didymus, conf. ad Ε 734. — 389 λάζετο: λάζυτο Ptolemaeus Oroandae. — 390, 391 ἀθετοῦνται Aristonicus. asterisci: ὀρθῶς Ε 746, 747. — 390 δάμνησι Dionysius Sidonius: δάμνῃσι Aristarchus.

ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ᾽ ἐπιθεῖναι.
τῇ ῥα δι᾽ αὐτάων κεντρηνεκέας ἔχον ἵππους.
Ζεὺς δὲ πατὴρ Ἴδηθεν ἐπεὶ ἴδε, χώσατ᾽ ἄρ᾽ αἰνῶς,
Ἶριν δ᾽ ὤτρυνε χρυσόπτερον ἀγγελέουσαν·
βάσκ᾽ ἴθι Ἶρι ταχεῖα, πάλιν τρέπε, μὴ δ᾽ ἔα ἄντην
ἔρχεσθ᾽· οὐ γὰρ καλὰ συνοισόμεθα πτόλεμον δέ.
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
γυιώσω μέν σφωιν ὑφ᾽ ἅρμασιν ὠκέας ἵππους,
αὐτὰς δ᾽ ἐκ δίφρου βαλέω κατά θ᾽ ἅρματα ἄξω·
οὐδέ κεν ἐς δεκάτους περιτελλομένους ἐνιαυτοὺς
ἕλκε᾽ ἀπαλθήσεσθον, ἅ κεν μάρπτῃσι κεραυνός·
ὄφρ᾽ εἰδῇ γλαυκῶπις, ὅτ᾽ ἂν ᾧ πατρὶ μάχηται.
Ἥρῃ δ᾽ οὔ τι τόσον νεμεσίζομαι οὐδὲ χολοῦμαι·
αἰεὶ γάρ μοι ἔωθεν ἐνικλᾶν ὅττί κεν εἴπω.
ὣς ἔφατ᾽, ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα,
βῆ δ᾽ ἐξ Ἰδαίων ὀρέων ἐπὶ μακρὸν Ὄλυμπον.
πρώτῃσιν δὲ πύλῃσι πολυπτύχου Οὐλύμποιο
ἀντομένη κατέρυκε, Διὸς δέ σφ᾽ ἔννεπε μῦθον·
πῇ μέματον; τί σφῶιν ἐνὶ φρεσὶ μαίνεται ἦτορ;
οὐκ ἐάᾳ Κρονίδης ἐπαμυνέμεν Ἀργείοισιν.

V. l. 396 ῥὰ CDGL. κεντρηνεκέας A. — 397 εἶδε G. ἂρ DGL. ἀρ A. — 398 ὤτρϋνεν H. — 399 μὴ δ᾽ ACGHL. — 400 πτόλεμον δέ A. πόλεμόνδε DE. πόλεμονδε G. — 401 τόδε καὶ G. ὡς καὶ AS Cant. γρ. τὸ δὲ καὶ τετελεσμένον ἔσται A. — 402 μὲν σφῶϊν EGL Eust. 641, 24. ἐφ᾽ ἅρματος Et. Gud. 78, 39. — 403 κατα δ᾽ L. κατὰ δ᾽ Vrat. b. κατα θ᾽ D. ἅρματ᾽ EG. — 405 ἀπαλθήσεσθαι S. — 406 ὄφρα ἴδῃ Rhet. Gr. III, 204, 27. ὅταν CD Rhet. Gr. III, 204, 27; 223, 4. — 407 τόσσον G. — 408 ἐνικλᾷν G Zonar. Lex. 644. Cram. An. Ox. II, 363, 24. ὅ, τι G. ὅτι Cram. An. Ox. II, 363, 24. κεν εἴπω L: νοήσω ACDEGLS Et. Mg. 306, 49. Cram. An. Ox. II, 364, 24. Schol. Υ 370. — 409 ὡς A. ἔφατ᾽: φάτο L. ὦρτο δ᾽ G. ἶρις D. ἀελλόπος A. ἀελλόπους G. — 410 omitt. A in textu C 1. man. δ᾽ ἐξ: δὲ κατ᾽ ACDEGHLS. ἰδέων G. ἐπὶ: libri ἐς. — 411 πρώτῃσι DEH. πολυπτύχου A. — 412 δέ σφιν Townl. ἔνεπε G. — 413 πῇ AEH: ceteri πῆ. μαίματον D. σφῶϊ G. — 414 ἐᾶ D. ἀργείοισι D.

A. c. 402 μέν σφωιν Herodianus. conf. Jo. Alex. 24, 7. Apoll. de Pron. 116 C; 141 B; de Synt. 167, 19. — 405 ἀπαλθήσονται altera Aristarchi. — 406—408 asterisci: οὐκ ὀρθῶς 420—422. — 408 ἀρίσταρχος ὅττι κεν εἴπω Didymus. — 410 δ᾽ ἐξ Aristarchus, conf. Aristonicum ad Λ 196 ὅτι νῦν γραπτέον κατ᾽ Ἰδαίων ὀρέων. ὅταν δὲ ἀπὸ τῆς Ἴδης ἐπὶ τὸν Ὄλυμπον „βῆ δ᾽ ἐξ Ἰδαίων ὀρέων ἐπὶ μακρὸν Ὄλυμπον" ὡς ἀπὸ ἴσου ἐπ᾽ ἴσον.

ὧδε γὰρ ἠπείληcε Κρόνου πάϊc, ᾗ τελέει περ·
γυιώcειν μὲν cφῶιν ὑφ' ἅρμαcιν ὠκέαc ἵππουc,
αὐτὰc δ' ἐκ δίφρου βαλέειν κατά θ' ἅρματα ἄξειν·
οὐδέ κεν ἐc δεκάτουc περιτελλομένουc ἐνιαυτοὺc
ἕλκε' ἀπαλθήcεcθον, ἅ κεν μάρπτῃcι κεραυνόc·
ὄφρ' εἰδῇc γλαυκῶπι, ὅτ' ἂν cῷ πατρὶ μάχηαι.
Ἥρῃ δ' οὔ τι τόcον νεμεcίζεται οὐδὲ χολοῦται·
αἰεὶ γάρ οἱ ἔωθεν ἐνικλᾶν ὅττί κεν εἴπῃ.
ἀλλὰ cύ γ' αἰνοτάτη, κύον ἀδεέc, εἰ ἐτεόν γε
τολμήcειc Διὸc ἄντα πελώριον ἔγχοc ἀεῖραι.
ἡ μὲν ἄρ' ὣc εἰποῦc' ἀπέβη πόδαc ὠκέα Ἶριc,
αὐτὰρ Ἀθηναίην Ἥρη πρὸc μῦθον ἔειπεν·
ὢ πόποι, αἰγιόχοιο Διὸc τέκοc, οὐκέτ' ἐγώ γε
νῶι ἐῶ Διὸc ἄντα βροτῶν ἕνεκα πτολεμίζειν.
τῶν ἄλλοc μὲν ἀποφθίcθω, ἄλλοc δὲ βιώτω,
ὅc κε τύχῃ· κεῖνοc δὲ τὰ ἃ φρονέων ἐνὶ θυμῷ
Τρωcί τε καὶ Δαναοῖcι δικαζέτω, ὡc ἐπιεικέc.
ὣc ἄρα φωνήcαcα πάλιν τρέπε μώνυχαc ἵππουc.
τῇcιν δ' Ὧραι μὲν λῦcαν καλλίτριχαc ἵππουc·
καὶ τοὺc μὲν κατέδηcαν ἐπ' ἀμβροcίῃcι κάπῃcιν,
ἅρματα δ' ἔκλιναν πρὸc ἐνώπια παμφανόωντα·
αὐταὶ δὲ χρυcέοιcιν ἐπὶ κλιcμοῖcι καθῖζον

V. ι. 415 omitt. Townl. et substituit versum 401. πάϊc Vrat. b. Mosc. 2: παῖc ACDGHL. ᾗ: εἰ ACDEGHLS. post hunc G Mor. ὧδε γὰρ ἐξερέει τόδε καὶ τετελεcμένον ἔcται. — 416 γυιώcει L Apoll. de Synt. 167, 16; sed idem de Pron. 24 A γυιώcειν. — 417 δίφροιο L. κατα DL. ἅρματ' G. — 419 ἀπαλθήcεcθαι S Cant. — 420 γλαυκῶπι ACDGHLS Lips. Townl.: γλαυκῶπιc Mor. (?) Vrat. a. Mosc. 3. ὅταν CG. cῷ: ᾧ G Mor. — 422 εἴωθεν ἐνικλᾶν G. νοήcῃ ADHS. νοήcει CG Vrat. b. κεν εἴπῃ L. — 423 ἀλλὰ coὶ L Vrat. b. coί γ' S. κύων ἀδεὲc G. ἀδδεὲc ACDEHL. — 425 ἂρ DGL. ἀρ ὡc A. ἶριc D. — 426 προc CD. — 427 ὦ A. — 428 νῶϊν CHS Ven. B. νῶι τ' L. νῶ D. πολεμίζειν DE. — 429 ἀποφθείcθω AE. βιῴτο Mor. — 431 τρῳcὶ L. — 432 φωνήcαcα ἐπέτρεπε L. τράπε CG Barocc. Mor. — 433 τῇcι G Lips. δ' omitt. D. — 434 ἀβροcίῃcι L. ἀμβροcίοιcι D. κάπῃcι GH. — 435 ἔγκλιναν Rhet. Gr. III, 203, 30. προcενώπια AGL. προενώπια (?) Mor. — 436 κάθιζον ACDGL. καθίζοντο H.

A. c. 415 ἀρίcταρχοc διὰ τοῦ η̅ ᾗ τελέει περ Didymus. — 420—422 ἀθετοῦνται. asterisci: ὀρθῶc 406—408. γλαυκῶπι dedi ex libris melioribus, conf. ε 87 Ἑρμεία χρυcόρραπι εἰλήλουθαc, H. T. 395. — 423, 424 ἀθετοῦνται Aristonicus. — 423 οὕτωc cύ διὰ τοῦ υ̅, τὸ δὲ ἀδεὲc δι' ἑνὸc δ̅ ὁ ἀρίcταρχοc Didymus. ἀδδεὲc Nicias, conf. H. T. 178. — 428 οὕτωc νῶϊ χωρὶc τοῦ ν̅ Didymus. ὅτι τινὲc γρ. cὺν τῷ ν̅ κακῶc Aristonicus. an Zenodotus? conf. 377.

μίγδ' ἄλλοιcι θεοῖcι, φίλον τετιημέναι ἦτορ.
Ζεὺc δὲ πατὴρ Ἴδηθεν ἐύτροχον ἅρμα καὶ ἵππουc
Οὔλυμπον δὲ δίωκε, θεῶν δ' ἐξίκετο θώκουc.
τῷ δὲ καὶ ἵππουc μὲν λῦcε κλυτὸc ἐννοcίγαιοc,
ἅρματα δ' ἂμ βωμοῖcι τίθει κατὰ λῖτα πετάccαc·
αὐτὸc δὲ χρύcειον ἐπὶ θρόνον εὐρύοπα Ζεὺc
ἕζετο, τῷ δ' ὑπὸ ποccὶ μέγαc πελεμίζετ' Ὄλυμποc.
αἳ δ' οἶαι Διὸc ἀμφὶc Ἀθηναίη τε καὶ Ἥρη
ἥcθην, οὐδέ τί μιν προcεφώνεον οὐδ' ἐρέοντο·
αὐτὰρ ὃ ἔγνω ᾗcιν ἐνὶ φρεcὶ φώνηcέν τε·
τίφθ' οὕτω τετίηcθον Ἀθηναίη τε καὶ Ἥρη;
οὐ μέν θην κάμετόν γε μάχῃ ἔνι κυδιανείρῃ
ὀλλῦcαι Τρῶαc, τοῖcιν κότον αἰνὸν ἔθεcθε.
πάντωc, οἷον ἐμόν γε μένοc καὶ χεῖρεc ἄαπτοι,
οὐκ ἄν με τρέψειαν ὅcοι θεοί εἰc' ἐν Ὀλύμπῳ.
cφῶιν δὲ πρίν περ τρόμοc ἔλλαβε φαίδιμα γυῖα,
πρὶν πόλεμόν τ' ἰδέειν πολέμοιό τε μέρμερα ἔργα.
ὧδε γὰρ ἐξερέω, τὸ δέ κεν τετελεcμένον ἦεν·
οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων, πληγέντε κεραυνῷ,
ἂψ ἐc Ὄλυμπον ἵκεcθον, ἵν' ἀθανάτων ἕδοc ἐcτίν.

V. ι. 438 εὔτροχον DG. — 439 οὔλυμπον δὲ A. οὔλυμπόνδ' ἐδίωκε CEG οὔλυμπον δ' ἐδίωκε H. ἐξείκετο H. — 440 λῦcεν AEHL. ἔλυcε G. ἐνοcίγαιοc G. — 441 ἀμβωμοῖcι ACDEGL Et Mg. 217, 53. Et. Gud. 118, 15. Apoll. Lex. 53, 22. Cram. An. Par. IV, 8, 22. ἀνβωμοῖcϊ H. ἅρμα δ' ἅμα βωμοῖcι Schol. Ζ 15. κατα ACDH. λῖνα L. πετάcαc DEG Apoll. Lex. 53, 22. Et. Mg. 568, 2. — 442 χρύcεον DL. ἐπι A. — 443 πολεμίζετ' GL. — 444 αἵδ' CDGL. τὲ καὶ C. — 445 οὐδέ τι ADGHL. μὶν G. — 446 ὃ ACDGHL. ἐνι A. — 448 μέν θην ACDEHLS Cant. Townl. μὲν δὴ G e glossa, conf. Eust. 722, 51 οὐ μέν θην ἤγουν οὐ μὲν δή. κάμετόν ACDEGHL Schol. Ν 620. ἕνι A: ἐνι D. ἐνὶ CEGHL. μάχην ἀνὰ κυδιάνειραν Eust. 1726, 26. — 449 τρῷαc L. τοῖcι D. — 451 εἶc' CDL. — 452 cφῶϊ G. ὑμῶν E. ἔλαβε G. — 453 τ' ἰδέειν: τε ἰδεῖν E. — 454 ὧδε δὲ ἐξερέω H. τὸ δέ κεν: καί κεν L. τὸ δέ κεν τετελεcμένον ἦεν AS Cant. τὸ δὲ καὶ τετελεcμένον ἔcται CD(τόδε)G(τόδε)H. καί κεν τετελεcμένον ἔπλεν Townl. ἐν ἄλλῳ καί κεν τετελεcμένον ἔπλεν A. — 456 ἐc omitt. G. ἵκεcθε Cant. ἵκεcθαι S, quod perinde est. ἐcτί D.

A. c. 441 οὕτωc ἀρίcταρχοc βωμοῖcι. ἐν τοῖc διογένουc ἀμβώνεccι Didymus. Chrysippus ἀμβωμοῖcι, ὑφέν, Aristarchus ἂμ βωμοῖcι, conf. Cram. An. Par. IV, 8, 22. Et. Mg. 81, 15. H. T. 189. — 448 μέν θην: ἔcτι δὲ καὶ ἑτεροίαc ἐκδόcεωc γραφὴ ὑποδύcκολοc καθ' Ἡρακλείδην αὕτη· οὐ μέντον κάμετόν γε, ἀντὶ τοῦ οὐ μέντοι Eust. 722, 58. ἰcτέον ὅτι τὸ „οὐ μὲν θὴν κάμετόν γε“ „οὐ μέν τον“ γράφουcί τινεc Ἀργολικῶc τε καὶ Κρητικῶc Cram. An. Par. III, 42, 17. conf. Eust. 1726, 26. Osann. Quaest. Hom. IV, 20. κάμετόν: καμέτην Zenodotus. — 449 τοῖcιν: ἀρίcταρχοc τοῖον κότον, καὶ ἔχει τινὰ ἔμφαcιν Didymus.

ὣϲ ἔφαθ', αἳ δ' ἐπέμυξαν Ἀθηναίη τε καὶ Ἥρη·
πληϲίαι αἵ γ' ἥϲθην, κακὰ δὲ Τρώεϲϲι μεδέϲθην.
ἤ τοι Ἀθηναίη ἀκέων ἦν οὐδέ τι εἶπε,
ϲκυζομένη Διὶ πατρί, χόλοϲ δέ μιν ἄγριοϲ ᾕρει·
Ἥρῃ δ' οὐκ ἔχαδε ϲτῆθοϲ χόλον, ἀλλὰ προϲηύδα·
αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπεϲ.
εὖ νυ καὶ ἡμεῖϲ ἴδμεν, ὅ τοι ϲθένοϲ οὐκ ἀλαπαδνόν·
ἀλλ' ἔμπηϲ Δαναῶν ὀλοφυρόμεθ' αἰχμητάων,
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήϲαντεϲ ὄλωνται.
[ἀλλ' ἤ τοι πολέμου μὲν ἀφεξόμεθ', εἰ ϲὺ κελεύειϲ·
βουλὴν δ' Ἀργείοιϲ ὑποθηϲόμεθ', ἥ τιϲ ὀνήϲει,
ὡϲ μὴ πάντεϲ ὄλωνται ὀδυϲϲαμένοιο τεοῖο.]
τὴν δ' ἀπαμειβόμενοϲ προϲέφη νεφεληγερέτα Ζεύϲ·
ἠοῦϲ δὴ καὶ μᾶλλον ὑπερμενέα Κρονίωνα
ὄψεαι, αἴ κ' ἐθέλῃϲθα, βοῶπιϲ πότνια Ἥρη,
ὀλλύντ' Ἀργείων πουλὺν ϲτρατὸν αἰχμητάων·
οὐ γὰρ πρὶν πολέμου ἀποπαύϲεται ὄβριμοϲ Ἕκτωρ,
πρὶν ὄρθαι παρὰ ναῦφι ποδώκεα Πηλείωνα
ἤματι τῷ, ὅτ' ἂν οἳ μὲν ἐπὶ πρυμνῇϲι μάχωνται,
ϲτείνει ἐν αἰνοτάτῳ, περὶ Πατρόκλοιο θανόντοϲ.
ὣϲ γὰρ θέϲφατόν ἐϲτι· ϲέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω
χωομένηϲ, οὐδ' εἴ κε τὰ νείατα πείραθ' ἵκηαι
γαίηϲ καὶ πόντοιο, ἵν' Ἰαπετόϲ τε Κρόνοϲ τε
ἥμενοι οὔτ' αὐγῇϲ Ὑπερίονοϲ ἠελίοιο

V. ι. 457 ὡϲ A. αἵδ' CDL. τὲ καὶ A. — 458 omitt. C 1. man. Lips. ἥϲθην D. τρώεϲϲι L. — 459 ἤτοι ἀκέουϲ' ἦν ἀθηναίη H. εἶπε ACEGH. — 461 οὐ κέχαδε Eust. 723, 46, sed 723, 39 οὐκ ἔχαδε, conf. Δ 24. προϲηῦδα D. — 463 ὅ τοι: ὅτι L. ἀλαπαδνόν: ἐπιεικτόν CDEGLS. γρ. οὐκ ἐπιεικτὸν A. — 465 post hunc G Barocc. ἀνδρὸϲ ἑνὸϲ ῥιπῇ· ὁ δὲ μαίνεται οὐκέτ' (G οὐκ) ἀνεκτῶϲ, qui legitur 355. — 466—468 omitt. ACD 1. man. ELS Lips. Townl. 1. man. Vrat. b.: habent D in marg. man. rec. GH. — 466 ὡϲ ϲὺ κελεύειϲ Harl. — 470 ἠοῦϲ μὲν δὴ καὶ G. — 471 κε θέληϲθα H. ἐν ἄλλῳ ἦν ἐθέληιϲθα A, conf. Ι 359. βοῶπιϲ: βοῶπι CS Lips. Townl. Vrat. b. non male. — 472 πολὺν C. — 473 ὄμβριμοϲ CDG Mor. Barocc. — 474 ὄρθαι AE Townl. Vrat. A. Et. Mg. 631, 5. Zonar. Lex. 1470. ὦρθαι CDGHS. ὄρϲαι L. — 475 ὅταν CDGHL. οἳ μὲν C. ἐπὶ: παρὰ D. πρύμνοιϲι S: ceteri πρύμνῃϲι. — 476 περι A. θανόντοϲ ADGHL Barocc. Mor. Vrat. b. in marg. πεϲόντοϲ CS. γρ. πεϲόντοϲ A. — 477 ὡϲ A. — 478 ἵκοιαι G. — 480 αὐγαῖϲ ὑπερήονοϲ L.

A. c. 463—465 asterisci: κακῶϲ 32—34. — 470 ἠοῦϲ: ἄαϲ Zenodotus. — 475, 476 ἀθετοῦνται ϲτίχοι δύο Aristonicus.

τέρποντ' οὔτ' ἀνέμοιϲι, βαθὺϲ δέ τε Τάρταροϲ ἀμφίϲ.
οὐδ' ἢν ἔνθ' ἀφίκηαι ἀλωμένη, οὐ ϲεῦ ἐγώ γε
ϲκυζομένηϲ ἀλέγω, ἐπεὶ οὐ ϲέο κύντερον ἄλλο.
ὣϲ φάτο, τὸν δ' οὔ τι προϲέφη λευκώλενοϲ Ἥρη.
ἐν δ' ἔπεϲ' Ὠκεανῷ λαμπρὸν φάοϲ ἠελίοιο,
ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν.
Τρωϲὶν μέν ῥ' ἀέκουϲιν ἔδυ φάοϲ, αὐτὰρ Ἀχαιοῖϲ
ἀϲπαϲίη τρίλλιϲτοϲ ἐπήλυθε νὺξ ἐρεβεννή.
Τρώων αὖτ' ἀγορὴν ποιήϲατο φαίδιμοϲ Ἕκτωρ,
νόϲφι νεῶν ἀγαγὼν ποταμῷ ἔπι δινήεντι,
ἐν καθαρῷ, ὅθι δὴ νεκύων διεφαίνετο χῶροϲ.
ἐξ ἵππων δ' ἀποβάντεϲ ἐπὶ χθόνα μῦθον ἄκουον,
τόν ῥ' Ἕκτωρ ἀγόρευε διίφιλοϲ· ἐν δ' ἄρα χειρὶ
ἔγχοϲ ἔχ' ἑνδεκάπηχυ· πάροιθε δὲ λάμπετο δουρὸϲ
αἰχμὴ χαλκείη, περὶ δὲ χρύϲεοϲ θέε πόρκηϲ,
τῷ ὅ γ' ἐρειϲάμενοϲ ἔπεα Τρώεϲϲι μετηύδα.
κέκλυτέ μευ Τρῶεϲ καὶ Δάρδανοι ἠδ' ἐπίκουροι·
νῦν ἐφάμην νῆάϲ τ' ὀλέϲαϲ καὶ πάνταϲ Ἀχαιοὺϲ
ἂψ ἀπονοϲτήϲειν προτὶ Ἴλιον ἠνεμόεϲϲαν·
ἀλλὰ πρὶν κνέφαϲ ἦλθε, τὸ νῦν ἐϲάωϲε μάλιϲτα
Ἀργείουϲ καὶ νῆαϲ ἐπὶ ῥηγμῖνι θαλάϲϲηϲ.
ἀλλ' ἤ τοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ
δόρπά τ' ἐφοπλιϲόμεϲθα· ἀτὰρ καλλίτριχαϲ ἵππουϲ

V. ι. 481 βαθὺϲ: πολὺϲ CG. — 482 οὔ ϲευ CEH. οὔ ϲ' D. οὔτ' εὖ ἔγωγε L. — 484 ὡϲ A. — 485 ἐν δὲ πέϲ' Schol. Ω 366. — 486 ἔπι A. — 487 τρῳϲὶν L. τρωϲὶ DEG. μέν ῥ': μὲν E. ἀέκουϲιν A. — 488 τρίλϊϲτοϲ C. τρίλληϲτοϲ D. τριφίλητοϲ Schol. Theocr. XV, 86. ἐρεβενή DH. — 489 τρῴων L. αὖτ' GHL Townl.: δ' αὖτ' ACDES. — 390 ἔπι Apoll. de Synt. 308, 27: ἐπὶ ACDEGL. ἐνὶ H Vrat. c. — 492 δ' omitt. E. — 493 ῥ' omitt. G. διῒ φίλοϲ ACDEGHL. — 494 εἶχ' H. ἔχεν δεκάπηχυ Schol. Β 67. ἑνδεκάπηχυ A. ἐνδεκάπηχυ DG. — 495 περι D. — 496 τρώεϲϲι μετηύδα ACG. πτερόεντα προϲηύδα HL. πτερόεντ' ἀγόρευε DS Cant. Vrat. b. A. γρ. ἔπεα πτερόεντ' ἀγόρευε A. — 497 τρῷεϲ L. ἦδ' D. — 499 προτὶ ACDHL: ποτὶ EGS. — 503 δόρπά τ' C. ἐφοπλιϲόμεϲθα ACDEHS Lips. Cant. Townl. Vrat. A. ἐφοπλιϲόμεθα Vrat. b. ἐφοπλιϲώμεθα G. ἐφοπλιϲόμεϲθ' L. ἐφοπλιζόμεϲθ' Vrat. c. ἀτὰρ ACDS Cant. Lips. Townl. Vrat. A. αὐτὰρ EGHL Mor.

A. c. 493—496 Ζηνόδοτοϲ περιγράφει. ὁ δὲ Ἀρίϲταρχοϲ οἰκειότερον ἐνταῦθα κεῖϲθαι λέγει Aristonicus. — 494 ἔχ' ἑνδεκάπηχυ, conf. ad Ζ 319. — 501 ἐπὶ ῥηγμῖνι θαλάϲϲηϲ; ἐπεὶ Διὸϲ ἐτράπετο φρήν Zenodotus, conf. Ariston. ad Κ 45. — 503 ἐφοπλιϲόμεϲθα: ὅτι Ζηνόδοτοϲ γρ. ἐφοπλίζεϲθον. ϲυγχεῖ δὲ τὸ δυϊκόν Aristonicus. de hiatu conf. ad Δ 542.

λύϲαθ' ὑπ' ἐξ ὀχέων, παρὰ δέ ϲφιϲι βάλλετ' ἐδωδήν·
ἐκ πόλιοϲ δ' ἄξεϲθε βόαϲ καὶ ἴφια μῆλα
καρπαλίμωϲ, οἶνον δὲ μελίφρονα οἰνίζεϲθε,
ϲῖτόν τ' ἐκ μεγάρων, ἐπὶ δὲ ξύλα πολλὰ λέγεϲθε,
ὥϲ κεν παννύχιοι μέϲφ' ἠοῦϲ ἠριγενείηϲ
καίωμεν πυρὰ πολλά, ϲέλαϲ δ' εἰϲ οὐρανὸν ἵκῃ,
μή πωϲ καὶ διὰ νύκτα κάρη κομόωντεϲ Ἀχαιοὶ
φεύγειν ὁρμήϲωνται ἐπ' εὐρέα νῶτα θαλάϲϲηϲ.
μὴ μὰν ἀϲπουδί γε νεῶν ἐπιβαῖεν ἕκηλοι,
ἀλλ' ὥϲ τιϲ τούτων γε βέλοϲ καὶ οἴκοθι πέϲϲῃ,
βλήμενοϲ ἢ ἰῷ ἢ ἔγχεϊ ὀξυόεντι
νηὸϲ ἐπιθρῴϲκων, ἵνα τιϲ ϲτυγέῃϲι καὶ ἄλλοϲ
Τρωϲὶν ἐφ' ἱπποδάμοιϲι φέρειν πολύδακρυν ἄρηα.
κήρυκεϲ δ' ἀνὰ ἄϲτυ διίφιλοι ἀγγελλόντων
παῖδαϲ πρωθήβαϲ πολιοκροτάφουϲ τε γέρονταϲ
λέξαϲθαι περὶ ἄϲτυ θεοδμήτων ἐπὶ πύργων.
θηλύτεραι δὲ γυναῖκεϲ ἐνὶ μεγάροιϲιν ἑκάϲτη
πῦρ μέγα καιόντων· φυλακὴ δέ τιϲ ἔμπεδοϲ ἔϲτω,
μὴ λόχοϲ εἰϲέλθῃϲι πόλιν λαῶν ἀπεόντων.
ὧδ' ἔϲτω Τρῶεϲ μεγαλήτορεϲ, ὡϲ ἀγορεύω·
μῦθοϲ δ', ὃϲ μὲν νῦν ὑγιήϲ, εἰρημένοϲ ἔϲτω·
τὸν δ' ἠοῦϲ Τρώεϲϲι μεθ' ἱπποδάμοιϲ ἀγορεύϲω.

V. L. 504 λύϲαϲθ' Townl. ὑπ' ἐξ CDEGH. ἐξ L. ὑπ' ἐξοχέων A. — 505 πόλεωϲ G Barocc. ἄξεϲθε L: ἄξαϲθε ACDEH Schol. Κ 167. ἄξατε G. — 507 ϲῖτον δ' D Schol. Κ 167, ι 166. ἐπι A. — 509 ἥκει (οι) C. ἵκει Lips. ἥκῃ Schol. Κ 418. — 510 κάρη κομόωντεϲ AH: ceteri καρηκομόωντεϲ. — 511 ὁρμήϲωνται ACDEGL: ὁρμήϲονται S Cant. Mor. ὁρμήϲωϲϊν H. — 512 ἀϲπουδεί Ambros. CDE bis LS Apoll. Lex. 45, 20. ἀϲπουδῆ Suidas I, 1, 803, 9. ἐπι βαῖεν A. — 513 τούτων γε: τούτων τε Cram. Epim. 448, 33 et οἴκοθι πέμπει. ΠΕϹϹΗΙ Ambros. παίϲη L. πέϲϲῃι (ο) A. πέϲϲοι Schol. Ξ 439. — 515 νηῶν H. ἐπιθρώϲκων A Ambr. DEGH. γρ. ἐπιθρώϲκων C man. rec. ἀποθρώϲκων CL Cant. γρ. νηὸϲ ἀποθρώϲκων A. ἀπὸ θρώϲκων S. ἱνά L. ἵνα τῖϲ C. — 516 τρωϲὶν L. — 517 διῒ φίλοι ACDEGHL Cram. Epim. 397, 33. — 518 πρωθήβουϲ H Zonar. Lex. 426. ceteri πρωθήβαϲ cum Et. Mg. 228, 11. πολιοκροτάφουϲ A. — 519 περὶ Ambr. CDEGHLS. προτι A et γρ. περὶ ἄϲτυ. — 520 ἐνὶμμεγαροιϲϊν C. ἐνι A. — 523 τρῷεϲ L. — 524 μῦθον G ex corr. ὃϲ: ὡϲ L. νῦν μὲν Vrat. b. et in marg. γρ. μὲν νῦν. — 525 τρῴεϲϲι L. ἀγορεύω G.

A. c. 513 τούτων: Παρμενίϲκοϲ ἐν τῷ α' πρὸϲ Κράτητα ὡϲ Ἀριϲτάρχειον γραφὴν προφέρεται κείνων Didymus. πέϲϲῃ: αἱ Ἀριϲτοφάνουϲ πέϲϲοι Didymus. — 524, 525 ἀθετοῦνται δύο ϲτίχοι Aristonicus.

εὔχομαι ἐλπόμενοϲ Διί τ' ἄλλοιϲίν τε θεοῖϲιν
ἐξελάαν ἐνθένδε κύναϲ κηρεϲϲιφορήτουϲ,
οὓϲ κῆρεϲ φορέουϲι μελαινάων ἐπὶ νηῶν.
ἀλλ' ἤ τοι ἐπὶ νυκτὶ φυλάξομεν ἡμέαϲ αὐτούϲ,
πρῶϊ δ' ὑπηοῖοι ϲὺν τεύχεϲι θωρηχθέντεϲ
νηυϲὶν ἔπι γλαφυρῇϲιν ἐγείρομεν ὀξὺν ἄρηα.
εἴϲομαι, ἤ κέ μ' ὁ Τυδεΐδηϲ κρατερὸϲ Διομήδηϲ
πὰρ νηῶν πρὸϲ τεῖχοϲ ἀπώϲεται, ἦ κεν ἐγὼ τὸν
χαλκῷ δηώϲαϲ ἔναρα βροτόεντα φέρωμαι.
αὔριον ἣν ἀρετὴν διαείϲεται, εἴ κ' ἐμὸν ἔγχοϲ
μείνῃ ἐπερχόμενον· ἀλλ' ἐν πρώτοιϲιν, ὀίω,
κείϲεται οὐτηθείϲ, πολέεϲ δ' ἀμφ' αὐτὸν ἑταῖροι,
ἠελίου ἀνιόντοϲ ἐϲ αὔριον. εἰ γὰρ ἐγὼν ὣϲ
εἴην ἀθάνατοϲ καὶ ἀγήρωϲ ἤματα πάντα,
τιοίμην δ' ὡϲ τίετ' Ἀθηναίη καὶ Ἀπόλλων,
ὡϲ νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοιϲιν.
ὣϲ Ἕκτωρ ἀγόρευ', ἐπὶ δὲ Τρῶεϲ κελάδηϲαν·

V. L. 526 ἔλπομαι εὐχόμενοϲ L Schol. Θ 498, Ξ 45 (Aristonicus). Cram. An. Par. III, 45, 12. Pseudoplut. 132, 23. ἄλλοιϲί DGH. θεοῖϲι D. — 527 ἐνθάδε G. κηρεϲϲιφορήτουϲ AC. κηρεϲιφορήτουϲ G. κήρεϲϲι φορητοὺϲ L. — 529 γρ. ἐπινύκτα A. φυλάξωμεν G. ἡμᾶϲ G. — 530 ὑπ' ἠοῖοι DE Cram. Epim. 293, 31; 312, 12. Et. Gud. 411, 25. ὑπ' ἠοῖο Cram. Epim. 158, 3. ὑπ' ἠοίῃ Apoll. de Adv. 573, 8. ὑπ' ἠοῖ οἱ A. ὑπ' ἠοί C. ὑπ' ἠοῖ GHL Vrat. b. c. A. Et. Mg. 607, 22; 692, 13. Et. Gud. 195, 42. ϲυν A. — 531 ἐπὶ ACDGHL. — 532 * ἤ κέ μ': εἴ κέ μ' AH. εἴ κε μ' G Cant. εἴ κ' ἔμ' S. εἴ κε με τυδείδηϲ L. αἴ κέ μ' C Schol. Μ 118. Apoll. Lex. 62, 29. Bekk. Anecd. 1289. αἴ κε μ' DE Zonar. Lex. 74. — 533 ἤ κεν: libri ἥ κεν. H εἴ κεν. G Mor. αἴ κεν. — 534 δηϊώϲαϲ HS Lips. Townl. φέρωμαι: ἐν ἄλλῳ φεροίμην A. — 535 αἴ κ' DES. αἴ κεν G. εἴκ' (α) A. — 536 ἀλλ' ἐνὶ D. — 538 ἐϲαύριον C. εἰ AH: αἲ CDEGLS. ὡϲ E. — 539 ἀγήρωϲ AGHL Mor.: ἀγήραοϲ CDES Eust. 750, 20. ἥματα D. — 540 δ' omitt. D. — 541 ἦδε A: ceteri ἥδε. κακὰ G Mor. — 542 ὡϲ A. ὣϲ δ' L. ἀγόρευεν L. ἐπι D. τρῷεϲ L.

A. c. 526 οὕτωϲ ἡ γραφὴ εὔχομαι ἐλπόμενοϲ, οὐ τὸ ἐναντίον Didymus. ἔλπομαι εὐχόμενοϲ Zenodotus. — 527 κηρεϲϲιφορήτουϲ Aristarchus ϲυνθέτωϲ, ut παϲιμέλουϲα, ἐγχεϲίμωροι. — 528 ἀθετεῖται Aristonicus. ὁ δὲ Ζηνόδοτοϲ οὐδὲ ἔγραφεν αὐτόν Didymus. — 530 ὑπηοῖοι, conf. Ϲ 277, 303. χθιζὸν ὑπηοῖον δ 656. ϲτίβη ὑπηοίη ρ 25. substantivum ἠοίη legitur δ 447. — 535—537 ὅτι ἢ τούτουϲ δεῖ τοὺϲ τρεῖϲ ϲτίχουϲ μένειν, οἷϲ τὸ ἀντίϲιγμα (ͻ) παράκειται, ἢ τοὺϲ ἑξῆϲ τρεῖϲ, οἷϲ αἱ ϲτιγμαὶ (.) παράκεινται. ἐγκρίνει δὲ μᾶλλον Ἀρίϲταρχοϲ τοὺϲ δευτέρουϲ, ὁ δὲ Ζηνόδοτοϲ τοὺϲ πρώτουϲ τρεῖϲ οὐδὲ ἔγραφεν Aristonicus. — 538 οὕτωϲ διὰ τοῦ εἰ τὸ εἰ γὰρ ἐγὼν ὣϲ, καὶ τὸ ἀγήρωϲ διὰ τοῦ ω̄ Didymus, conf. H. T. 177.

οἳ δ' ἵππους μὲν λῦϲαν ὑπὸ ζυγοῦ ἱδρώοντας,
δῆϲαν δ' ἱμάντεϲϲι παρ' ἅρμαϲιν οἷϲιν ἕκαϲτοϲ·
ἐκ πόλιοϲ δ' ἄξοντο βόαϲ καὶ ἴφια μῆλα
καρπαλίμωϲ, οἶνον δὲ μελίφρονα οἰνίζοντο
ϲῖτόν τ' ἐκ μεγάρων, ἐπὶ δὲ ξύλα πολλὰ λέγοντο.
[ἕρδον δ' ἀθανάτοιϲι τεληέϲϲαϲ ἑκατόμβαϲ.]
κνίϲην δ' ἐκ πεδίου ἄνεμοι φέρον οὐρανὸν εἴϲω
[ἡδεῖαν· τῆϲ δ' οὔ τι θεοὶ μάκαρεϲ δατέοντο,
οὐδ' ἔθελον· μάλα γάρ ϲφιν ἀπήχθετο Ἴλιοϲ ἱρὴ
καὶ Πρίαμοϲ καὶ λαὸϲ ἐυμμελίω Πριάμοιο].
οἳ δὲ μέγα φρονέοντεϲ ἐπὶ πτολέμοιο γεφύραϲ
εἵατο παννύχιοι, πυρὰ δέ ϲφιϲι καίετο πολλά.
ὡϲ δ' ὅτ' ἐν οὐρανῷ ἄϲτρα φαεινὴν ἀμφὶ ϲελήνην
φαίνετ' ἀριπρεπέα, ὅτε τ' ἔπλετο νήνεμοϲ αἰθήρ·
ἔκ τ' ἔφανεν πᾶϲαι ϲκοπιαὶ καὶ πρώονεϲ ἄκροι
καὶ νάπαι· οὐρανόθεν δ' ἄρ' ὑπερράγη ἄϲπετοϲ αἰθήρ,
πάντα δέ τ' εἴδεται ἄϲτρα, γέγηθε δέ τε φρένα ποιμήν·
τόϲϲα μεϲηγὺ νεῶν ἠδὲ Ξάνθοιο ῥοάων
Τρώων καιόντων πυρὰ φαίνετο Ἰλιόθι πρό.
χίλι' ἄρ' ἐν πεδίῳ πυρὰ καίετο, πὰρ δὲ ἑκάϲτῳ

V. ι. 543 οἳ δ' D. οἵδ' CGL. λύϲαν D. ὑπὸ : ἀπὸ L. ζυγὸν H. — 545 ἄξαντο ACDEGHL Schol. Ι 88. — 547 ἐπι D. — 548 abest ab omnibus libris. — 549 κνίϲην AD 1. man.: κνίϲϲην CD 2. man. EGHL Schol. Φ 363. — 550—552 omittunt omnes. inseruit Barnesius cum v. 548. ex Platonis Alcib. II, 149 D. — 553 οἳ δὲ C. ἐπὶ: ἀνὰ Schol. Ι 88. γεφύραϲ ADGH Barocc. Mor. Schol. Ι 88: γεφύρῃ CLS. γρ. γεφύρῃ A. γεφύρῃ ἢ γεφύραιϲ Eust. 728, 62. γεφύρῃ ἢ καὶ κατὰ γραφὴν ἄλλην ἐπὶ γεφύραιϲ Eust. 729, 3. — 554 εἴατο H. παρὰ δέ ϲφιϲι καίετο πυρά GH. — 555 ὧϲ δ' G. ἀμφι A. — 556 ὅτ' ἔπλετο G. — 557 ἔφανεν ADG Cant. 1. man. Mor. Harl. Townl. 1. man.: ἔφανον CEH. — 557, 558 omitt. L. — 558 οὐρανόθε||| C post ras. ἂρ DEG. ἀρ A. — 559 δὲ εἴδεται G. γέγηθέ τε H. — 560 γρ. καὶ τοῖα μεϲηγὺ καὶ ὡϲ τὰ μεϲηγὺ A. μεϲϲηγὺ L. μεϲηγὺϲ G. — 561 τρῴων CL. — 562 ἂρ EGL. ἀρ A. δέ ἑ ἑκάϲτῳ H.

A. c. 543 λῦϲαν Aristarchus, conf. Didym. ad δ 39. — 555 τινὲϲ δέ, ὡϲ ἐν τοῖϲ Ἀπίωνοϲ καὶ Ἡροδώρου φέρεται, διχοτομήϲαντεϲ (τὴν ϲελήνην) ἐν τῷ φαεινὴν τὸ μὲν φάει παρώξυναν, τὸ δὲ νὴν περιέϲπαϲαν, εἰπόντεϲ τὴν τῷ „φάει νὴν“, ὅ ἐϲτι νέην, ἤγουν ἄρτι φωτίζεϲθαι ἀρξαμένην Eust. 729, 25. — 557, 558 ἀθετεῖται, καὶ ὁ ἑξῆϲ δὲ ϲυναθετεῖται αὐτῷ Aristonicus. οὐκ ἐφέροντο δὲ οὐδὲ παρὰ Ζηνοδότῳ. ἠθέτει δὲ καὶ Ἀριϲτοφάνηϲ Didymus. asterisci: ὀρθῶϲ Π 299, 300. de scriptura ἔφανεν conf. H. U. 288 sq. — 562 χίλι': μύρι' Zenodotus, conf. Schol. Θ 56.

εἵατο πεντήκοντα ϲέλαι πυρὸϲ αἰθομένοιο.
ἵπποι δὲ κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύραϲ,
ἑϲταότεϲ παρ' ὄχεϲφιν, ἐύθρονον ἠῶ μίμνον.

ΙΛΙΑΔΟϹ Ι.

Ὣϲ οἱ μὲν Τρῶεϲ φυλακὰϲ ἔχον· αὐτὰρ Ἀχαιοὺϲ
θεϲπεϲίη ἔχε φύζα, φόβου κρυόεντοϲ ἑταίρη,
πένθεϊ δ' ἀτλήτῳ βεβολήατο πάντεϲ ἄριϲτοι.
ὡϲ δ' ἄνεμοι δύο πόντον ὀρίνετον ἰχθυόεντα,
βορέηϲ καὶ ζέφυροϲ, τώ τε Θρῄκηθεν ἄητον,
ἐλθόντ' ἐξαπίνηϲ· ἄμυδιϲ δέ τε κῦμα κελαινὸν
κορθύεται, πολλὸν δὲ παρὲξ ἅλα φῦκοϲ ἔχευεν·
ὣϲ ἐδαΐζετο θυμὸϲ ἐνὶ ϲτήθεϲϲιν Ἀχαιῶν.
Ἀτρεΐδηϲ δ' ἄχεϊ μεγάλῳ βεβολημένοϲ ἦτορ
φοίτα κηρύκεϲϲι λιγυφθόγγοιϲι κελεύων
κλήδην εἰϲ ἀγορὴν κικλήϲκειν ἄνδρα ἕκαϲτον,

V. ι. 563 εἵατο H. ϲέλαι A. ϲέλᾳ EGS Cant. Mor. Barocc. Lips. Vrat. A. ϲέλα CDL Harl. ϲέλαϲ H. — 564 ἵπποιϲι L. — 565 ἠῶ D.

A. c. 563 ϲέλαι: ϲέλαϊ δὲ γραπτέον, οὐ ϲέλαϲ Schol. BL. τὸ ἑκάϲτῳ ϲυναπτέον τῷ ϲέλαϊ, ἵν' ᾖ παρ' ἑκάϲτῳ ϲέλαϊ Cram. An. Par. III, 16, 34, conf. 172, 16. de scriptura ϲέλαι conf. H. T. 297.

V. ι. 1 Ὡϲ A. τρῷεϲ L. — 2 ΘΕϹΠΕϹΙΗΙ Ambros. — 3 βεβουλήατο S. — 4 ἄνεμοι libri. — 5 βορέηϲ A Ambros. CDEHL Strabo I, 28; 29. Apoll. Lex. 12, 1. Schol. Π 765. Schol. Theocr. VII, 111. Eust. 554, 46. Rhet. Gr. III, 100, 12; 202, 27: βορέαϲ G Barocc. Mor. Βορρᾶϲ Rhet. Gr. III, 211, 4. τε: τ' ἐκ Cram. Epim. 47, 3; 87, 28. — 7 πάρεξ C. παρεξ D. πάρεξον ἅλα H. ἔχευεν A Ambros. Townl. Cram. Epim. 379, 17. ἔχευε Strabo I, 53. Schol. μ 276: ἔχευαν CDEGHLS Heynii omnes praeter Townleianum. Et. Mg. 652, 47. Apoll. Lex. 165, 17. Schol. Ω 434, μ 443. — 8 ὡϲ A. ἐνι A. — 9 βεβολημένοϲ: βεβλημένοϲ GS.

A. c. 3 ὅτι ἔνιοι βεβλήατο, καὶ Ζηνόδοτοϲ οὕτωϲ Aristonicus, conf. 9. — 4 [ἡ] ἀριϲτοφάνειοϲ ἀνέμω δυϊκῶϲ Didymus. — 5 βορέηϲ primam in arsi producit, ut τό ῥα Π 228; τὰ περὶ Φ 35[illegible]; ὃϲ ἔτληϲ Χ 236; τό οἱ Χ 307; διὰ Γ 357, Δ 135; ἐπεὶ Χ 379, Ψ 2. — 6 ἄμυδιϲ Aristarchus, Alexio, Ptolem. Ascalonita: ἅμυδιϲ Nicias, Pamphilus, conf. πάντ' ἄμυδιϲ Μ 385, μ 413; οἵ τ' ἄμυδιϲ Ν 336. — 7 παρὲξ: πάρεξ Tyrannio, conf. H. T. 333. ἔχευεν: διχῶϲ καὶ διὰ τοῦ $\overline{\alpha}$ Didymus.

μὴ δὲ βοᾶν· αὐτὸς δὲ μετὰ πρώτοιcι πονεῖτο.
ἵζον δ' εἰν ἀγορῇ τετιηότες· ἂν δ' Ἀγαμέμνων
ἵcτατο δάκρυ χέων ὥc τε κρήνη μελάνυδρος,
ἥ τε κατ' αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ·
ὣc ὃ βαρὺ cτενάχων ἔπε' Ἀργείοιcι μετηύδα·
ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
Ζεύc με μέγα Κρονίδης ἄτῃ ἐνέδηcε βαρείῃ,
cχέτλιος, ὃc τότε μέν μοι ὑπέcχετο καὶ κατένευcεν
Ἴλιον ἐκπέρcαντ' εὐτείχεον ἀπονέεcθαι,
νῦν δὲ κακὴν ἀπάτην βουλεύcατο, καί με κελεύει
δυcκλέα Ἄργος ἱκέcθαι, ἐπεὶ πολὺν ὤλεcα λαόν.
οὕτω που Διὶ μέλλει ὑπερμενέι φίλον εἶναι,
ὃc δὴ πολλάων πολίων κατέλυcε κάρηνα
ἠδ' ἔτι καὶ λύcει· τοῦ γὰρ κράτος ἐcτὶ μέγιcτον.
ἀλλ' ἄγεθ', ὡc ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·
φεύγωμεν cὺν νηυcὶ φίλην ἐc πατρίδα γαῖαν·
οὐ γὰρ ἔτι Τροίην αἱρήcομεν εὐρυάγυιαν.
ὣc ἔφαθ', οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο cιωπῇ.
δὴν δ' ἄνεῳ ἦcαν τετιηότες υἷες Ἀχαιῶν·
ὀψὲ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸc Διομήδης·
Ἀτρείδη, cοὶ πρῶτα μαχήcομαι ἀφραδέοντι,

V. L. 12 μὴ δὲ CDGHL Vrat. b. c. βοᾶν G. μετα A. — 13 ἵζον CGH. ἶζον A. ἕζον δὲ ἐν Schol. Ι 9. τετιηκότες G. ἀν ACG. — 14 δακρυχέων omnes. ὡc ὅτε κρήνη G. — 15 αἰγίλιπος A. πέτρας G. χέεν Et. Mg. 281, 14. — 16 ὡc A. ὃ ACDGL. βαρυcτενάχων CDEGHL. μετηῦδα D. — 18 μέγα: μέγας S Et. Mg. 163, 48. Et. Gud. 230, 10. ἐνέδυcε Mor. Barocc. — 19 ὃc πρὶν A Ambr. CDGHLS. — 21 κακὴν ἄτην C 1. man. — 22 δυcκλέᾶ A. — 26 ἐγὼ ACDGHLS. — 28 εὐρυάγειαν L. — 29 ὡc A. οἳ δ' D. οἵδ' CH. — 30 ἄνεῳ AE bis GH Et. Gud. 48, 5: ἄνεω CDL Cram. Ep. 15, 17. τετιηκότες G. — 32 μαχέccομαι Pseudoplut. 149, 37.

A. c. 14 ὥc τε κρήνη μελάνυδρος: Zenodotus δὲ μετ' Ἀργείοιcιν ἔειπεν vel μετὰ δ' Ἀργείοιcιν ἔειπεν, omissis 15 et 16. — 17 ita Aristarchus, πρὸc γὰρ τοὺc ἀρίcτους, οὐ πρὸc τὸ πλῆθος ὁ λόγος Aristonicus, conf. Schol. Β 110. — 18 ἀρίcταρχος cὺν τῷ c̄ μέγας Didymus, cf. ad Β 111. — 19 ἀρίcταρχος ὃc τότε μέν μοι Didymus, alii πρὶν ut Β 112. — 23—25 ἀθετοῦνται Aristonicus. παρὰ Ζηνοδότῳ οὐκ ἐφέροντο, καὶ ἀριcτοφάνης δὲ ἠθέτει Didymus. asterisci: ὀρθῶc Β 116—118. — 23—31 Ζηνόδοτος ἦρκε, τὴν δὲ cυνέπειαν οὕτωc ποιεῖ· „δυcκλέα Ἄργος ἱκέcθαι [ἐπεὶ πολὺν ὤλεcα λαόν·] ἤτοι ὅγ' ὣc εἰπὼν κατ' ἄρ' ἕζετο θυμὸν ἀχεύων. τοῖcι δ' ἀνιcτάμενος μετέφη (Cod. προcέφη) κρατερὸc Διομήδης“ Aristonicus. — 32 ἀρίcταρχος διὰ τοῦ η̄ μαχήcομαι Didymus.

ἣ θέμις ἐcτὶν ἄναξ ἀγορῇ· cὺ δὲ μή τι χολωθῇc.
ἀλκὴν μέν μοι πρῶτον ὀνείδιcας ἐν Δαναοῖcι,
φὰc ἔμεν ἀπτόλεμον καὶ ἀνάλκιδα· ταῦτα δὲ πάντα
ἴcαc' Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες.
cοὶ δὲ διάνδιχα δῶκε Κρόνου πάιc ἀγκυλομήτεω·
cκήπτρῳ μέν τοι δῶκε τετιμῆcθαι περὶ πάντων,
ἀλκὴν δ' οὔ τοι δῶκεν, ὅ τε κράτος ἐcτὶ μέγιcτον.
δαιμόνι', οὕτω που μάλα ἔλπεαι υἷαc Ἀχαιῶν
ἀπτολέμους τ' ἔμεναι καὶ ἀνάλκιδας ὡc ἀγορεύειc;
εἰ δέ τοι αὐτῷ θυμὸc ἐπέccυται ὥc τε νέεcθαι,
ἔρχεο· πάρ τοι ὁδόc, νῆες δέ τοι ἄγχι θαλάccης
ἑcτᾶc', αἵ τοι ἕποντο Μυκήνηθεν μάλα πολλαί.
ἀλλ' ἄλλοι μενέουcι κάρη κομόωντες Ἀχαιοί,
εἰc ὅ κέ περ Τροίην διαπέρcομεν. εἰ δὲ καὶ αὐτοί,
φευγόντων cὺν νηυcὶ φίλην ἐc πατρίδα γαῖαν·
νῶι δ', ἐγὼ Cθένελός τε, μαχηcόμεθ', εἰc ὅ κε τέκμωρ
Ἰλίου εὕρωμεν· cὺν γὰρ θεῷ εἰλήλουθμεν.
ὣc ἔφαθ', οἳ δ' ἄρα πάντες ἐπίαχον υἷες Ἀχαιῶν
μῦθον ἀγαccάμενοι Διομήδεος ἱπποδάμοιο.
τοῖcι δ' ἀνιcτάμενος μετεφώνεεν ἱππότα Νέcτωρ·

V. L. 33 ἢ Apoll. de Adv. 559, 8 et 14. Cram. An. Par. III, 301, 17. ἡ AD Apoll. Lex. 87, 1. ᾗ CGHLS ἧ E Cram. Ep. 192, 14. Pseudoplut. 149, 37. χολώcηc L. — 34 ἀκμὴν μὲν L. δαναοῖcι ACDEGH. — 35 ἔμεν' EG Mor. Cant. Barocc. Mosc. 3. — 36 ἴcαcιν G. οἱ μὲν νέοι D. — 37 διάνδιχ' ἔδωκε DL. παῖc libri. — 38 cκήπτρῳι (ον) A. cκήπτρῳ (ρον) S. cκῆπτρον Schol. Δ 3. Rhet. Gr. III, 219, 28. πέρι L. — 39 οὔ τοι: οὔτι ES Lips. 1. man. Vrat. b. c. δῶκε DH. ὅ, τε A: ὅτι GH. — 42 δέ τοι αὐτῷ AC DGHS Et. Mg. 355, 49. δέ τι (ο) L. δέ τι E. — 43 δέ τι E. — 44 omitt. Townl. 1. man. αἵ cοι E 734, 27. ἕπονται L. — 45 ἀλλά μοι μενέουcϊ C. ἀλλ' ἄλλοι μὲν μενεουcι G. κάρη κομόωντες AH: ceteri καρηκομόωντες. — 46 εἰcόκε τροίην εὔπυργον ἕλωμεν· εἰ δὲ καὶ αὐτοὶ G Mor. Barocc. — 47 cυν A. νηυcὶ φίλαιc εἰc Rhet. Gr. III, 157, 12. — 48 νῶϊ δ' ἐγὼ libri cum Apoll. de Pron. 23 C. Schol. Ε 219 (Herodianus), I, 77: αὐτὰρ ἐγὼ Schol. Δ 407. — 50 ὡc A. οἵδ' CGL. — 52 τοῖcι δὲ καὶ μετέειπε γερήνιος A in marg.

A. c. 33 ἄναξ ἀγορῇ· cὺ: ἄναξ· ἀγορῇ cὺ Seleucus. — 36 οὕτωc ἀρίcταρχος ἠμὲν νέοι ἠδὲ γέροντες· γράφεcθαι δὲ φηcὶ καὶ ἡγήτορες ἠδὲ μέδοντες (ita Zenodotus teste Aristonico) Didymus. — 42 δέ τοι scribendum est cum omnibus libris, neque enim ante neque post αὐτῷ opus est forma cοί, conf. Ζ 272, Ι 249, ζ 35, λ 134, 371, χ 345, H. U. 136 sqq. — 43 ἄγχι θαλάccηc: nonnulli ἀμφιέλιccαι teste Aristonico. — 44 ἀθετεῖται Aristonicus.

Τυδείδη, περὶ μὲν πολέμῳ ἔνι καρτερός ἐϲϲι,
καὶ βουλῇ μετὰ πάνταϲ ὁμήλικαϲ ἔπλευ ἄριϲτοϲ·
οὔ τίϲ τοι τὸν μῦθον ὀνόϲϲεται, ὅϲϲοι Ἀχαιοί,
οὐδὲ πάλιν ἐρέει· ἀτὰρ οὐ τέλοϲ ἵκεο μύθων.
ἦ μὴν καὶ νέοϲ ἐϲϲί, ἐμὸϲ δέ κε καὶ πάιϲ εἴηϲ
ὁπλότατοϲ γενεῆφιν· ἀτὰρ πεπνυμένα βάζειϲ
Ἀργείων βαϲιλῆαϲ, ἐπεὶ κατὰ μοῖραν ἔειπεϲ.
ἀλλ' ἄγ' ἐγών, ὃϲ ϲεῖο γεραίτεροϲ εὔχομαι εἶναι,
ἐξείπω καὶ πάντα διίξομαι· οὐδέ κέ τίϲ μοι
μῦθον ἀτιμήϲει, οὐδὲ κρείων Ἀγαμέμνων.
ἀφρήτωρ ἀθέμιϲτοϲ ἀνέϲτιόϲ ἐϲτιν ἐκεῖνοϲ,
ὃϲ πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντοϲ.
ἀλλ' ἦ τοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ
δόρπά τ' ἐφοπλιϲόμεϲθα· φυλακτῆρεϲ δὲ ἕκαϲτοι
λεξάϲθων παρὰ τάφρον ὀρυκτὴν τείχεοϲ ἐκτόϲ.
κούροιϲιν μὲν ταῦτ' ἐπιτέλλομαι· αὐτὰρ ἔπειτα
Ἀτρείδη, ϲὺ μὲν ἄρχε· ϲὺ γὰρ βαϲιλεύτατόϲ ἐϲϲι.
δαίνυ δαῖτα γέρουϲιν· ἔοικέ τοι, οὔ τοι ἀεικέϲ.
πλεῖαί τοι οἴνου κλιϲίαι, τὸν νῆεϲ Ἀχαιῶν
ἠμάτιαι Θρήκηθεν ἐπ' εὐρέα πόντον ἄγουϲι·
πᾶϲά τοι ἔϲθ' ὑποδεξίη, πολέεϲϲι δ' ἀνάϲϲειϲ.
πολλῶν δ' ἀγρομένων τῷ πείϲεαι, ὅϲ κεν ἀρίϲτην
βουλὴν βουλεύϲῃ· μάλα δὲ χρεὼ πάνταϲ Ἀχαιοὺϲ

V. ι. 53 περὶ ACDHL Schol. Ξ 212. πέρι EG. ἐνὶ CEGL. ἒν A. ἐν H. ἐγκάρτεροϲ Schol. Vind. 133. ad Ξ 212. κρατερόϲ EGL. — 54 μετα A. ἔπλεϲ L. — 55 οὔτίϲ τοι ADEH Et. Mg. 648, 21. οὔτιϲ ϲοι G. ἀχαιῶν [οι] L. — 57 καὶ post κε omitt. DG. κε omitt. L. — 58 ὁπλότατοϲ AHL: ὁπλότεροϲ CDEGS. γρ. ὁπλότεροϲ A. γενεῆφιν ACDE. — 59 ἔειπαϲ G. — 61 οὐδέ κε τίϲ ACDEGHL. — 62 ἀτιμήϲει [αι] C, αι man. rec. — 64 ἐρᾶται H. ὀκριόεντοϲ S Cant. Lips. 1. man. — 65 μὲν νῦν Townl. — 66 δόρπά τ' ACG. ἐφοπλιϲόμεθα G. — 67 omitt. Townl. παρὰ: γρ. καὶ περιτάφρον A. περὶ S Cant. ἐκτόϲ: ἐντόϲ Barocc. Mor. — 68 κούροιϲι E. — 69 ἄρχευ G. βαϲιλεύτατοϲ ἐϲϲί DL. — 70 οὔ τοι: οὔτι CG Mor. Mosc. 3. — 72 ἡμάτιαι DH. ἄγουϲι ACEGH. — 73 τοι ἔϲθ' ACDGHL. ϲοι ἐϲτὶν E. ὑποδεξείη A. — 75 βουλεύϲει S Cant. Mor. Vrat. b. Schol. Β 371. βουλεύϲοι L. χρεὼν L.

A. c. 57 διὰ τοῦ ε̅ αἱ ἀριϲτάρχου ἦ μὲν καὶ νέοϲ Didymus. — 66 φυλακτῆρεϲ: Ἀρίϲταρχοϲ διὰ τοῦ α̅ φυλακτῆραϲ, τοὺϲ φύλακαϲ Schol. LV. — 73 ὑποδεξείη Herodianus. ἀρίϲταρχοϲ πόλεϲιν γὰρ ἀνάϲϲειϲ Didymus.

ἐϲθλῆϲ καὶ πυκινῆϲ, ὅτι δήιοι ἐγγύθι νηῶν
καίουϲιν πυρὰ πολλά· τίϲ ἂν τάδε γηθήϲειε;
νὺξ δ' ἥδ' ἠὲ διαρραίϲει ϲτρατὸν ἠὲ ϲαώϲει.
ὣϲ ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο.
ἐκ δὲ φυλακτῆρεϲ ϲὺν τεύχεϲιν ἐϲϲεύοντο
ἀμφί τε Νεϲτορίδην Θραϲυμήδεα, ποιμένα λαῶν,
ἠδ' ἀμφ' Ἀϲκάλαφον καὶ Ἰάλμενον, υἷαϲ Ἄρηοϲ,
ἀμφί τε Μηριόνην Ἀφαρῆά τε Δηίπυρόν τε,
ἠδ' ἀμφὶ Κρείοντοϲ υἱόν, Λυκομήδεα δῖον.
ἕπτ' ἔϲαν ἡγεμόνεϲ φυλάκων, ἑκατὸν δὲ ἑκάϲτῳ
κοῦροι ἅμα ϲτεῖχον δολίχ' ἔγχεα χερϲὶν ἔχοντεϲ·
κὰδ δὲ μέϲον τάφρου καὶ τείχεοϲ ἷζον ἰόντεϲ·
ἔνθα δὲ πῦρ κήαντο, τίθεντο δὲ δόρπα ἕκαϲτοϲ.
Ἀτρείδηϲ δὲ γέρονταϲ ἀολλέαϲ ἦγεν Ἀχαιῶν
ἐϲ κλιϲίην, παρὰ δέ ϲφι τίθει μενοεικέα δαῖτα.
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖραϲ ἴαλλον.
αὐτὰρ ἐπεὶ πόϲιοϲ καὶ ἐδητύοϲ ἐξ ἔρον ἕντο,
τοῖϲ ὁ γέρων πάμπρωτοϲ ὑφαίνειν ἤρχετο μῆτιν,
Νέϲτωρ, οὗ καὶ πρόϲθεν ἀρίϲτη φαίνετο βουλή·
ὅ ϲφιν ἐὺ φρονέων ἀγορήϲατο καὶ μετέειπεν·
Ἀτρείδη κύδιϲτε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
ἐν ϲοὶ μὲν λήξω, ϲέο δ' ἄρξομαι, οὕνεκα πολλῶν
λαῶν ἐϲϲι ἄναξ, καί τοι Ζεὺϲ ἐγγυάλιξε

V. ι. 76 πικυνῆϲ G. ὅτι [ε] S. — 77 καίουϲι CDEG. γηθήϲειε ACEGHL Schol. Κ 204. — 78 ἦδ' A: ceteri ἥδ'. ἠὲ ϲαώϲει ἠὲ διαρραίϲει ϲτρατόν L. — 79 ὥϲ A. οἵδ' CGL. ἠδὲ πίθοντο G: ceteri ἠδ' ἐπίθοντο. — 80 ϲυν A. τεύχεϲϲιν DG. — 86 ἅμ' ἔϲτειχον AELS Pseudoplut. 156, 23. ἅμ' ἔϲτιχον CDGH. — 87 καδδὲ [η] ACDGHL. ἵζον CG. ἶζον A. — 88 κήαντο Schol. Ι 77. κήαντο G. κείαντο L. κείαντο ACDEH Vrat. b. A 1. man. Lips. διὰ διφθόγγου δὲ καὶ νῦν τὸ κείαντο παρὰ τοῖϲ παλαιοῖϲ ἀντιγράφοιϲ Eust. 737, 14. δόρπα EL: δόρπον ACDGHS. — 90 ϲφιν G. ϲφϊϲϊ C. — 91 οἳ δ' D. οἵδ' CGL. — 92 ἐδυτῆοϲ L. ἐξέρον D. ἕντο DG. ἕντο L. — 95 ὅ, ϲφιν AC. ὅϲ ϲφιν GL. εὖ φρονέων CGHLS. ἐϋφρονέων AD. — 97 εἵνεκα L. — 98 λαῶν ἐϲϲὶ ACDEGHL. nullus ἐϲϲὶν. καί ϲοι E. ἐγγυάλιξε ACGH.

A. c. 76 οὕτωϲ γρ. ὅτι δήιοι Didymus. — 78 διαρραίϲει: δι' ἑνὸϲ ρ̄ αἱ ἀριϲτάρχου Didymus. — 86 ἰακῶϲ τὸ ϲτεῖχον αἱ ἀριϲτάρχου, ἅμα ϲτεῖχον Didymus. — 88 ἀρίϲταρχοϲ μετὰ τοῦ α̅ δόρπα Didymus. τίθεντο δὲ δαῖτα θάλειαν Zenodotus. — 89 ἀρίϲταρχοϲ ἀριϲτέαϲ ἦγεν ἀχαιῶν et ἀρίϲταρχοϲ γέρονταϲ ἀριϲτῆαϲ (sic) Schol. A ex Didymo. forma ἀριϲτέαϲ Pindarus quoque usus est Isthm. VII, 55. — 95 ὅ ϲφιν, non ὅϲ ϲφιν, Aristarchus.

cκῆπτρόν τ' ἠδὲ θέμιcτας, ἵνά cφιcι βουλεύηcθα.
τῶ cε χρὴ περὶ μὲν φάcθαι ἔποc ἠδ' ἐπακοῦcαι,
κρηῆναι δὲ καὶ ἄλλῳ, ὅτ' ἄν τινα θυμὸc ἀνώγῃ
εἰπεῖν εἰc ἀγαθόν· céo δ' ἕξεται ὅττί κεν ἄρχῃ.
αὐτὰρ ἐγὼν ἐρέω ὥc μοι δοκεῖ εἶναι ἄριcτα.
οὐ γάρ τιc νόον ἄλλοc ἀμείνονα τοῦδε νοήcει,
οἷον ἐγὼ νοέω, ἠμὲν πάλαι ἠδ' ἔτι καὶ νῦν,
ἐξ ἔτι τοῦ, ὅτε, διογενέc, Βριcηΐδα κούρην
χωομένου Ἀχιλῆοc ἔβηc κλιcίηθεν ἀπούραc
οὔ τι καθ' ἡμέτερόν γε νόον. μάλα γάρ τοι ἐγώ γε
πόλλ' ἀπεμυθεόμην· cὺ δὲ cῷ μεγαλήτορι θυμῷ
εἴξαc ἄνδρα φέριcτον, ὃν ἀθάνατοί περ ἔτιcαν,
ἠτίμηcαc· ἑλὼν γὰρ ἔχειc γέραc. ἀλλ' ἔτι καὶ νῦν
φραζώμεcθ', ὥc κέν μιν ἀρεccάμενοι πεπίθωμεν
δώροιcίν τ' ἀγανοῖcιν ἔπεccί τε μειλιχίοιcι.
τὸν δ' αὖτε προcέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
ὦ γέρον, οὔ τι ψεῦδοc ἐμὰc ἄταc κατέλεξαc.
ἀαcάμην, οὐδ' αὐτὸc ἀναίνομαι. ἀντί νυ πολλῶν
λαῶν ἐcτιν ἀνήρ, ὅν τε Ζεὺc κῆρι φιλήcῃ·
ὡc νῦν τοῦτον ἔτιcε, δάμαccε δὲ λαὸν Ἀχαιῶν.

V. ι. 99 ἠδὲ: ἠὲ S. ἵνά cφιcι ACD: vulgo ἵνα cφίcι. — 100 τῶ ACGHL. τῶι D. cὲ E. πέρι EGHL. περι A. φᾶcθαι ACGHL. φάcθαι E, utrumque D. ἠδ' ἀκοῦcαι G. γρ. ἠδ' ὑποθέcθαι C man. rec. — 101 κρηιῆιναι C. ὅτ' ἄν AH Schol. Ψ 305. ὅτάν CDGL. ὅταν E Cram. An. Par. III, 235, 18. θυμὸν L. ἀνώγει Vrat. b. ἀνώγοι Cram. An. Par. III, 235, 18. — 102 ὅττί A. — 104 ἄλλοc: ἄλλον CH et Harl. pro var. lect. καὶ ἄλλον A in marg. — 106 ἐξέτι libri. διογενὲc CE. διογενεῦc[ἐc] D. διογενεῦc AHLS Cant. Vrat. A. διογενοῦc G Vrat. b. γρ. δϊογενευc C man. rec. γράφεται καὶ ὅτε διογενεῦc Eust. 738, 45. — 107 ἀχιλλῆοc GH. — 109 ἀπεμυθεόμην libri: γρ. δὲ καὶ ἐπεμυθεόμην Hesych. I, 233. — 112 ἀρεccάμενοι[ο] A. πεπίθωμεν D. πεπίθοιμεν[ω] A. πεπίθοιμεν CEGHLS. — 113 δώροιcί G. μειλιχίοιcι CEGH. — 115 ψευδῶc G, est glossa, conf. Schol. A τὸ γὰρ ψεῦδοc ἀντὶ τοῦ ψευδῶc. — 116 ἀντί γε πολλῶν G. — 117 ἐcτιν AD: ceteri ἐcτὶν. φιλήcῃ ADEH: φιλήcει CG Barocc. Mor. Vrat. b. 1. man. Suidas I, 1, 478, 1. φιλήcῃ[ει] L. — 118 ἔτιcεν ὄλεccε et γρ. ἔτιcε δάμαccε δὲ λαὸν ἀχαιῶν A. δάμαcε δὲ πολὺν λαὸν ἀχαιῶν G.

A. c. 99 ἵνά cφιcι veteres, conf. H. T. 413. — 100 φάcθαι: φᾶcθαι, conf. H. T. 373. — 106 διογενεῦc: περιcπωμένωc ἀναγνῶμεν· cυναίρεcιν γὰρ ἔπαθε τοῦ διογενέοc Schol. AD. — 109 οὕτωc ἀρίcταρχοc ἀπεμυθεόμην Didymus. alii ἐπεμυθεόμην, conf. Apoll. Lex. 38, 7. — 112 ἀρίcταρχοc πεπίθωμεν. ἔcτι γὰρ πίθωμεν Didymus.

ἀλλ' ἐπεὶ ἀαcάμην φρεcὶ λευγαλέῃcι πιθήcαc,
ἂψ ἐθέλω ἀρέcαι δόμεναί τ' ἀπερείcι' ἄποινα.
ὑμῖν δ' ἐν πάντεccι περικλυτὰ δῶρ' ὀνομήνω,
ἕπτ' ἀπύρουc τρίποδαc, δέκα δὲ χρυcοῖο τάλαντα,
αἴθωναc δὲ λέβηταc ἐείκοcι, δώδεκα δ' ἵππουc
πηγοὺc ἀθλοφόρουc, οἳ ἀέθλια ποccὶν ἄροντο.
οὔ κεν ἀλήιοc εἴη ἀνήρ, ᾧ τόccα γένοιτο,
οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυcοῖο,
ὅccά μοι ἠνείκαντο ἀέθλια μώνυχεc ἵπποι.
δώcω δ' ἑπτὰ γυναῖκαc ἀμύμονα ἔργα ἰδυίαc,
Λεcβίδαc, ἅc, ὅτε Λέcβον ἐυκτιμένην ἕλεν αὐτόc,
ἐξελόμην, αἳ κάλλει ἐνίκων φῦλα γυναικῶν.
τὰc μέν οἱ δώcω, μετὰ δ' ἔccεται ἣν τότ' ἀπηύρων,
κούρη Βριcῆοc· ἐπὶ δὲ μέγαν ὅρκον ὀμοῦμαι
μή ποτε τῆc εὐνῆc ἐπιβήμεναι ἠδὲ μιγῆναι,
ἣ θέμιc ἀνθρώπων πέλει, ἀνδρῶν ἠδὲ γυναικῶν.
ταῦτα μὲν αὐτίκα πάντα παρέccεται· εἰ δέ κεν αὖτε
ἄcτυ μέγα Πριάμοιο θεοὶ δώωc' ἀλαπάξαι,
νῆα ἅλιc χρυcοῦ καὶ χαλκοῦ νηηcάcθω

V. ι. 19 λευγαλέοιcι G Cant. Mor. — 120 ἀπειρέcι' G. — 122 ἑπτ'' A, ut 85. — 124 ἀθλοφόρουc A. ποccὶν ἄγοντο L. ποcὶν EG 1. man. — 127 ὅccά μοι ACD 2. man. H. μοι omitt. D 1. man. ὅcc' ἐμοὶ L. ἠνέγκαντο GL Barocc. Mor. Cant. — 128 ἀμύμονα ACDEH. ἀμύμον' G. ἀμύμοναc LS. * ἔργα ἰδυίαc: ἔργ' εἰδυίαc ACDE(ἔργα)GH(ἔργα)L. — 129 εὐκτίμενον G. — 130 νίκων G. κάλλεϊ νίκων Mor. ἐνίκων πᾶcαν ἐπ' αἶαν D 1. man. et in marg. φῦλα γυναικῶν. — 131 μὲν οἱ D. μετα A. ἥν ποτ' Eust. 741, 35. Lips. — 132 κούρη: κούρην ADE 741, 4 et 36 GH. κόρην S. ἐπὶ δὲ E: καὶ ἐπι ACL. καὶ ἐπὶ DGHS Schol. T 175. — 133 τῆc, εὐνῆc ACGH. — 134 ἡ AD. ἣ CGHLS. ἦ E bis, conf. 1178, 58. — 136 θεὸc δῴη Eust. suo more. ἐξαλαπάξαι G Mor. Vrat. b. δῶc' ἐξαλαπάξαι Barocc. — 137 χαλκοῦ καὶ χρυcοῦ C Harl. Vrat. c. Mosc. 3.

A. c. 119 καὶ Ἀγαμέμνων δὲ λέγει που περὶ αὑτοῦ „ἀλλ' ἐπεὶ ἀαcάμην φρεcὶ λευγαλέῃcι πιθήcαc, ἢ οἴνῳ μεθύων, ἤ μ' ἔβλαψαν θεοὶ αὐτοί", εἰc τὴν αὐτὴν τιθεὶc πλάcτιγγα τὴν μέθην τῇ μανίᾳ (οὕτω δὲ τὰ ἔπη ταῦτα προηνέγκατο Διοcκουρίδηc ὁ Ἰcοκράτουc μαθητήc) Athenaeus I, 11. ὡc δὲ καὶ Ἀγαμέμνων ἀάcατο οἴνῳ μεθύων κατὰ τὸν Διοcκουρίδην Eust. 1198, 27. hunc versum Eustath. 1176, 11 post T 137 collocavit. — 128 ἀρίcταρχοc μετὰ τοῦ c̄ ἀμύμοναc Didymus, conf. Schol. 270. Eust. 740, 60. fallitur Aristonicus Aristarcho ἀμύμονα tribuens cum Schol. V ἀμύμονα: οὕτωc Ἀρίcταρχοc, Ζηνόδοτοc δὲ ἀμύμοναc. — 130 ἐξελόμην Aristarchus: Zenodotus ἐξ ἑλόμην, conf. Schol. 131, T 246. — 132 ἀρίcταρχοc κούρη βριcῆοc ἐπὶ δὲ μέγαν ὅρκον ὀμοῦμαι Didymus, conf. Eust. 741, 36. Schol. I 274.

εἰϲελθών, ὅτε κεν δατεώμεθα ληίδ' Ἀχαιοί,
Τρωιάδαϲ δὲ γυναῖκαϲ ἐείκοϲιν αὐτὸϲ ἑλέϲθω,
αἵ κε μετ' Ἀργείην Ἑλένην κάλλιϲται ἔωϲιν.
εἰ δέ κεν Ἄργοϲ ἱκοίμεθ' Ἀχαιικόν, οὖθαρ ἀρούρηϲ,
γαμβρόϲ κέν μοι ἔοι· τίϲω δέ μιν ἶϲον Ὀρέϲτῃ,
ὅϲ μοι τηλύγετοϲ τρέφεται θαλίῃ ἔνι πολλῇ.
τρεῖϲ δέ μοί εἰϲι θύγατρεϲ ἐνὶ μεγάρῳ εὐπήκτῳ,
Χρυϲόθεμιϲ καὶ Λαοδίκη καὶ Ἰφιάναϲϲα·
τάων ἥν κ' ἐθέλῃϲι φίλην ἀνάεδνον ἀγέϲθω
πρὸϲ οἶκον Πηλῆοϲ· ἐγὼ δ' ἐπὶ μείλια δώϲω
πολλὰ μάλ', ὅϲϲ' οὔ πώ τιϲ ἑῇ ἐπέδωκε θυγατρί.
ἑπτὰ δέ οἱ δώϲω εὖ ναιόμενα πτολίεθρα,
Καρδαμύλην Ἐνόπην τε καὶ Ἱρὴν ποιήεϲϲαν,
Φηράϲ τε ζαθέαϲ ἠδ' Ἄνθειαν βαθύλειμον,
καλήν τ' Αἴπειαν καὶ Πήδαϲον ἀμπελόεϲϲαν.
πᾶϲαι δ' ἐγγὺϲ ἁλόϲ, νέαται Πύλου ἠμαθόεντοϲ·
ἐν δ' ἄνδρεϲ ναίουϲι πολύρρηνεϲ πολυβοῦται,
οἵ κέ ἑ δωτίνῃϲι θεὸν ὣϲ τιμήϲουϲι,

V. ι. 138 κέν τε δατεώμεθα S. ἀχαιῶν H. — 139 δὲ omitt. L. — 140 αἴ τε S Cant. — 141 ἀχαιϊκὸν ADHL 2. man. Strabo VIII, 369: ἀχαϊκὸν CEGL 1. man. S. τὸ δὲ Ἀχαιϊκὸν διὰ διφθόγγου ὁ ποιητὴϲ γράφει ἐν τῇ προπαραληγούϲῃ· τὸ γὰρ διὰ τοῦ ᾱ Ἀχαϊκὸν τῶν ὑϲτέρων ἐϲτί Eust. 742, 15. — 142 ἔῃ Eust. 741, 55; 742, 26. — 143 ἐνι AD. ἐνὶ CEGL Et. Mg. 441, 54. — 144 δέ μοι εἰϲὶ ACDEGHL. θυγατέρεϲ C Lips. ἐνι AD. ἐνὶμμεγάρω C. ἐνιμμεγάρῳ S. ἐϋπήκτῳ CDEHS: εὐπήκτῳ AGL. — 145 καὶ Λαοδίκη: καὶ Ἤλεκτρα Eust. 1483, 29. — 146 κ' omitt. G. κε θέλῃϲι D Townl. Vrat. b. — 147 ἐπὶ μείλια Schol. X 51. Et. Mg. 582, 31. Apoll. Lex. 110, 20. Schol. Apoll. Rhod. III, 146: ἐπιμείλια CDEG HLS. ἐπιμείλια A. — 148 μάλλ' D. ὅϲα L. — 149 εὖ ναιόμενα ACEG. εὐναιόμενα L. — 150 καρδαμίλην GL. ἰρὴν EL. ἴρὴν A. εἰ δὲ καὶ βαρύνεται ἡ πόλιϲ Ἶρα λεγομένη κατὰ πολλὰ τῶν ἀντιγράφων, οὐκ ἀνάγκη ζητεῖν Eust. 743, 20. — 152 ἔπειαν G. — 153 νέαται: κέαται H ex corr. γρ. καὶ νάεται A. — 154 ἔνθ' G Barocc. πολύρριν (οι) L post ras. πολύρρηνεϲ ceteri. — 155 κέ, ἑ AH. καί ἑ L. οἳ καὶ ἓ G. ὡϲ A. τιμήϲουϲι ACDEGH.

A. c. 140 ἡ διπλῆ ὅτι ἔνιοι ὑποτάϲϲουϲι „τὴν γὰρ ἀπ' αὖτιϲ ἐγὼ δώϲω ξανθῷ Μενελάῳ“ Aristonicus. — 144 ἐϋπήκτῳ, conf. H. U. 85. — 147 ἐπὶ μείλια Alexio et Apollodorus: ἐπιμείλια Aristarchus, conf. Philem. Gramm. 182, 206. Eust. 742, 60. — 150 Aristarchus Ἱρήν: alii Ἴρην. — 153 Aristarchus νέαται (ἀντὶ τοῦ νέονται): Apollonius κέαται. ὁ δὲ Νικάνωρ ὄνομά φηϲι τὸ νέαται, ὡϲ „τηλοῦ ἐπ' Ἀλφειοῦ, νεάτη Πύλου ἠμαθόεντοϲ“ (Λ 712) Schol. L. — 154 διὰ τοῦ ἑτέρου ρ̄ τὸ πολύρρηνεϲ αἱ ἀριϲτάρχου Didymus. — 155 ἀρίϲταρχοϲ τιμήϲονται Didymus, conf. 297.

καί οἱ ὑπὸ ϲκήπτρῳ λιπαρὰϲ τελέουϲι θέμιϲταϲ.
ταῦτά κέ οἱ τελέϲαιμι μεταλήξαντι χόλοιο.
δμηθήτω· Ἀίδηϲ τοι ἀμείλιχοϲ ἠδ' ἀδάμαϲτοϲ·
τοὔνεκα καί τε βροτοῖϲι θεῶν ἔχθιϲτοϲ ἁπάντων.
καί μοι ὑποϲτήτω, ὅϲϲον βαϲιλεύτερόϲ εἰμι
ἠδ' ὅϲϲον γενεῇ προγενέϲτεροϲ εὔχομαι εἶναι.
τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιοϲ ἱππότα Νέϲτωρ·
Ἀτρείδη κύδιϲτε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
δῶρα μὲν οὐκέτ' ὀνοϲτὰ διδοῖϲ Ἀχιλῆι ἄνακτι·
ἀλλ' ἄγετε κλητοὺϲ ὀτρύνομεν, οἵ κε τάχιϲτα
ἔλθωϲ' ἐϲ κλιϲίην Πηληιάδεω Ἀχιλῆοϲ.
εἰ δ' ἄγε, τοὺϲ ἂν ἐγὼ ἐπιόψομαι, οἳ δὲ πιθέϲθων.
Φοῖνιξ μὲν πρώτιϲτα διίφιλοϲ ἡγηϲάϲθω,
αὐτὰρ ἔπειτ' Αἴαϲ τε μέγαϲ καὶ δῖοϲ Ὀδυϲϲεύϲ·
κηρύκων δ' Ὀδίοϲ τε καὶ Εὐρυβάτηϲ ἅμ' ἑπέϲθων.
φέρτε δὲ χερϲὶν ὕδωρ, εὐφημῆϲαί τε κέλεϲθε,
ὄφρα Διὶ Κρονίδῃ ἀρηϲόμεθ', αἴ κ' ἐλεήϲῃ.
ὣϲ φάτο, τοῖϲι δὲ πᾶϲιν ἑαδότα μῦθον ἔειπεν.
αὐτίκα κήρυκεϲ μὲν ὕδωρ ἐπὶ χεῖραϲ ἔχευαν,
κοῦροι δὲ κρητῆραϲ ἐπεϲτέψαντο ποτοῖο,
νώμηϲαν δ' ἄρα πᾶϲιν ἐπαρξάμενοι δεπάεϲϲιν.
αὐτὰρ ἐπεὶ ϲπεῖϲάν τε πίον θ' ὅϲον ἤθελε θυμόϲ,

V. ι. 156 ὑπο AD. — 157 καί οἱ C 1. man. DGHL Barocc. Mor. μεταλήξαντι DEGL Lips. Townl. Vrat. b. μεταλάξαντϊ H. μεταλλήξαντι AC. — 158 ἀμείλικτοϲ G. — 159 καί γε G. καί τι Mor. — 164 οὐκ ἔτ' E. ἀχιλλῆϊ G. — 165 κλητοὺϲ AC post ras. DEH: κλειτοὺϲ C 1. man. GLS Cant. Barocc. Mor. Vrat. b. c. A. Mosc. 3. ὀτρύνωμεν D. — 166 ἀχιλλῆοϲ G. — 167 ἐγὼ ADGHL Et. Mg. 362, 36: ἐγὼν CE. οἳ δὲ A. οἵδε HS. τοὶ δὲ CL. γρ. οἵδε C man. rec. — 168 πρῶτα H. διῒ φίλοϲ ACDEGHL. — 169 ἔπειτα D. μέγαϲ τε G. — 170 ὀδίοϲ AC. ὅδιόϲ L. ὀδῖοϲ DGH. ἑπέϲθω D. — 171 δὲ κέλεϲθε CDL. γε κέλεϲθε G. — 172 κρονίδηι (ωνι) D, ωνι man. rec. ἀρεϲϲάμεθ' H. ἐλεήϲει (οι) L. — 173 ὡϲ A. ἑαδότα DHL. — 176 δεπάεϲϲι D 1. man. — 177 ϲπείϲαν τε· πίον θ' L: ceteri ϲπεῖϲαν τ' ἔπιόν θ' cum Athenaeo V, 180 et Schol. Ι 222.

A. c. 157 μεταλήξαντι Aristarchus, conf. Schol. 299. — 158 δμηθήτω: καμφθήτω Aristophanes cum Zenodoto. — 159 φηϲὶν ὁ Ἀρίϲταρχοϲ ὅτι ἔνιοι ὑποτάϲϲουϲι τούτῳ „οὕνεκ' ἐπεί κε λάβῃϲι πέλωρ ἔχει, οὐδ' ἀνίηϲιν“, οὐκ εἶναι δὲ ἀναγκαῖον. — 164 διδοῖϲ Aristarchus, ὡϲ ὀρθοῖϲ. — 167 ἀρίϲταρχοϲ ἐγώ, ἄλλοι δὲ ἐγών Didymus. οἳ δὲ Herodianus: alii οἵδε. — 170 ἑπέϲθων ἀντὶ τοῦ ἑπέϲθωϲαν. γρ. δὲ καὶ χωρὶϲ τοῦ ν̄ Schol. A. — 177 γράφεται ϲπεῖϲάν τε πίον θ' Schol. A. ita Aristarchus, conf. H. T. 424; H. U. 99.

ὡρμῶντ' ἐκ κλιςίης Ἀγαμέμνονος Ἀτρεΐδαο.
τοῖςι δὲ πόλλ' ἐπέτελλε Γερήνιος ἱππότα Νέςτωρ,
δενδίλλων ἐς ἕκαςτον, Ὀδυςςῆι δὲ μάλιςτα,
πειρᾶν ὡς πεπίθοιεν ἀμύμονα Πηλείωνα.
τὼ δὲ βάτην παρὰ θῖνα πολυφλοίςβοιο θαλάςςης
πολλὰ μάλ' εὐχομένω γαιηόχῳ ἐννοςιγαίῳ
ῥηιδίως πεπιθεῖν μεγάλας φρένας Αἰακίδαο.
Μυρμιδόνων δ' ἐπί τε κλιςίας καὶ νῆας ἱκέςθην·
τὸν δ' εὗρον φρένα τερπόμενον φόρμιγγι λιγείῃ,
καλῇ δαιδαλέῃ, ἐπὶ δ' ἀργύρεον ζυγὸν ἦεν·
τὴν ἄρετ' ἐξ ἐνάρων πόλιν Ἠετίωνος ὀλέςςας·
τῇ ὅ γε θυμὸν ἔτερπεν, ἄειδε δ' ἄρα κλέα ἀνδρῶν.
Πάτροκλος δέ οἱ οἶος ἐναντίος ἧςτο ςιωπῇ,
δέγμενος Αἰακίδην, ὁπότε λήξειεν ἀείδων.
τὼ δὲ βάτην προτέρω, ἡγεῖτο δὲ δῖος Ὀδυςςεύς,
ςτὰν δὲ πρόςθ' αὐτοῖο· ταφὼν δ' ἀνόρουςεν Ἀχιλλεὺς
αὐτῇ ςὺν φόρμιγγι, λιπὼν ἕδος ἔνθα θάαςςεν.
ὣς δ' αὔτως Πάτροκλος, ἐπεὶ ἴδε φῶτας, ἀνέςτη.
τὼ καὶ δεικνύμενος προςέφη πόδας ὠκὺς Ἀχιλλεύς·
χαίρετον· ἦ φίλοι ἄνδρες ἱκάνετον, ἦ τι μάλα χρεώ,
οἵ μοι ςκυζομένῳ περ Ἀχαιῶν φίλτατοί ἐςτον.
ὣς ἄρα φωνήςας προτέρω ἄγε δῖος Ἀχιλλεύς.

V. l. 180 ὀδυςῆϊ D. — 181 πειρᾷν G. πεπείθοιεν D. — 182 τώδε H. πολυφλοίςβοιο A. — 183 εὐχομένωι D. ἐνοςιγαίῳ G. — 184 αἰγιόχοιο (ακίδαο) D. — 185 μυρμηδόνων G. ἵκοντο CG Barocc. Mor. Harl. Townl. γρ. ἵκοντο A. — 187 καλλῆι L. ἐπι D. ἀργύρεος ζυγὸς E Schol. Β 293: ceteri ἀργύρεον ζυγὸν cum Plut. de Musica 40. Et. Mg. 412, 7. Et. Gud. 474, 38. Zonar. Lex. 961. περὶ δ' Plutarchus l. l. ἐπί τ' Schol. Β 293. — 188 ολέςας G. — 190 ἐναντίον S Townl. — 191 δέγμενος: γρ. καὶ δέχμενος (Cod. δεχόμενος) διὰ τοῦ χ̄. ὁπόταν S. ἀείδειν H. — 192 τώδε H. — 193 ςτᾶν H. ἀχιλεύς C. — 194 θάηςκεν S. θάαςκεν Vrat. b. man. rec. ἔνθα κάθητο G Mor. Barocc. e glossa conf. Apoll. Lex. 85, 26 θάαςςεν: ἐκάθητο. Et. Mg. 441, 4. — 195 ὡς A. αὕτως EGHL. αύτως A. — 196 τὼ: γρ. καὶ τοὺς A. — 197 ὦ φίλοι L. — 198 παρ' ἀχαιῶν L Schol. Α 138. φιλτάτω AG Mor. φέρτεροί Bekk. An. 1144. — 199 ὡς A. ἀχϊλεύς C.

A. c. 184 πεπιθεῖν: περιςπαςτέον Herodianus. — 191 δέγμενος: δέχμενος, conf. ad Θ 296. — 192 δίχα τοῦ ῑ δὲ τὸ προτέρω Schol. V, conf. H. U. 186. — 197 παρμενίςκος προφέρεται (sc. ὡς Ἀριςτάρχειον) ἱκάνετον ἡμέτερον δὲ Didymus. — 198 καὶ ἐνθάδε τινὲς δυϊκῶς φιλτάτω Schol. A.

εἷςεν δ' ἐν κλιςμοῖςι τάπηςί τε ποφφυρέοιςιν·
αἶψα δὲ Πάτροκλον προςεφώνεεν ἐγγὺς ἐόντα·
μείζονα δὴ κρητῆρα Μενοιτίου υἱὲ καθίςτα·
ζωρότερον δὲ κέραιε, δέπας δ' ἔντυνον ἑκάςτῳ·
οἱ γὰρ φίλτατοι ἄνδρες ἐμῷ ὑπέαςι μελάθρῳ.
ὣς φάτο, Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ' ἑταίρῳ.
αὐτὰρ ὅ γε κρεῖον μέγα κάββαλεν ἐν πυρὸς αὐγῇ,
ἐν δ' ἄρα νῶτον ἔθηκ' ὄιος καὶ πίονος αἰγός,
ἐν δὲ ςυὸς ςιάλοιο ῥάχιν τεθαλυῖαν ἀλοιφῇ.
τῷ δ' ἔχεν Αὐτομέδων, τάμνεν δ' ἄρα δῖος Ἀχιλλεύς.
καὶ τὰ μὲν εὖ μίςτυλλε καὶ ἀμφ' ὀβελοῖςιν ἔπειρε,
πῦρ δὲ Μενοιτιάδης δαῖεν μέγα, ἰςόθεος φώς.
αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐκάη καὶ φλὸξ ἐμαράνθη,
ἀνθρακιὴν ςτορέςας ὀβελοὺς ἐφύπερθε τάνυςςε,
πάςςε δ' ἁλὸς θείοιο κρατευτάων ἐπαείρας.
αὐτὰρ ἐπεί ῥ' ὤπτηςε καὶ εἰν ἐλεοῖςιν ἔχευε,
Πάτροκλος μὲν ςῖτον ἑλὼν ἐπένειμε τραπέζῃ
καλοῖς ἐν κανέοιςιν, ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.
αὐτὸς δ' ἀντίον ἷζεν Ὀδυςςῆος θείοιο
τοίχου τοῦ ἑτέροιο, θεοῖςι δὲ θῦςαι ἀνώγει

V. l. 200 εἶςε G. κλειςμοῖςι A. πορφυρέοιςι A. — 202 δὲ: τε ES Cant. κέραιε AD 1. man. EGL Lips. Mor. Townl. Aristot. Poet. 25. Schol. Ο 317: κέραιρε CD ex corr. HS Et. Mg. 414, 30; 504, 36. Athenaeus X, 423, conf. I, 10. utrumque Eust. 1398, 1. ἰςτέον δὲ ὅτι τῶν τινὰ ἀντιγράφων τὸ κέραιε κέραιρε φαςίν, ὀλίγα μέντοι καὶ οὐδὲ τὰ ἀκριβέςτερα Eust. 746, 48. — 204 οἳ L. ὑπέαςι: ὑπίαςι Mor. Barocc. — 205 ὡς A. φᾶτο D 2. man. — 206 ὃ κρεῖον C. κάμβαλεν HS Apoll. Lex. 103, 35. — 209 ἔςχεν H. τάμνε EG Schol. Π 747. τέμνεν L. ἀχϊλεύς C. — 210 ἔπειρε ACEG. — 211 δαῖε E. — 212 κατα HL. — 213 ἀθρακιὴν H. ἐφύπερθεν L. ἐφ' ὕπερθε C. ἐφύπερθ' ἐτάνυςςε Townl. τάνυςςε AC DEH. τάνυςε G. — 214 πάςςε δ' ἄρ' ἁλὸς H. — 215 εἰς ἐλεοῖςιν L. ἐλεοῖςιν G Et. Mg. 298, 35. εἰλέοιςιν S. ἔχευεν ADGH Apoll. Lex. 66, 9. ἔχευε CS. ἔχευαν Et. Mg. 298, 35. ἔθηκεν L Athenaeus IV, 173. ἔθηκεν ἢ ἔχευε Eust. ἐν ἄλλῳ ἔθηκεν A. — 217 αὐτὰρ G. ἀχϊλεύς C. — 218 ἀντίος L. ἵζεν C. — 219 θεοῖςι δὲ et θεοῖς ἰδὲ Eust. 749, 23.

A. c. 203 οὕτως κέραιε χωρὶς τοῦ ρ̄ (sc. Aristarchus). μέμνηται καὶ ἡρωδιανός Schol. A. κέραιε δίχα τοῦ ρ̄ Ἀριςτοφάνης (corrige Ἀρίςταρχος) Schol. L. — 210 διὰ τοῦ ἑτέρου λ̄ τὸ μίςτυλε Schol. LV, conf. H. T. 389. — 212 ut hic Aristarchus. ἔν τιςι γράφεται „αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο, παύςατο δὲ φλόξ Schol. A. μεταγράφουςιν οὕτως „αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο παύςατο δὲ φλόξ Eust. 748, 41. ἔνιοι δὲ γράφουςιν „αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐμαρήνατο, παύςατο δὲ φλόξ Schol. LV. — 214 ἐπαείρας: ἀρίςταρχος ἀπαείρας, ἀπὸ τῶν κρατευτάων ἄρας Didymus.

Πάτροκλον, ὃν ἑταῖρον· ὃ δ' ἐν πυρὶ βάλλε θυηλάς.
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
νεῦς' Αἴας Φοίνικι. νόηςε δὲ δῖος Ὀδυςςεύς,
πληςάμενος δ' οἴνοιο δέπας δείδεκτ' Ἀχιλῆα·
χαῖρ' Ἀχιλεῦ· δαιτὸς μὲν ἐίςης οὐκ ἐπιδευεῖς
ἠμὲν ἐνὶ κλιςίῃ Ἀγαμέμνονος Ἀτρεΐδαο
ἠδὲ καὶ ἐνθάδε νῦν· πάρα γὰρ μενοεικέα πολλὰ
δαίνυςθ'· ἀλλ' οὐ δαιτὸς ἐπηράτου ἔργα μέμηλεν,
ἀλλὰ λίην μέγα πῆμα διοτρεφὲς εἰςορόωντες
δείδιμεν· ἐν δοιῇ δὲ ςαωςέμεν ἢ ἀπολέςθαι
νῆας ἐυςςέλμους, εἰ μὴ cύ γε δύςεαι ἀλκήν.
ἐγγὺς γὰρ νηῶν καὶ τείχεος αὖλιν ἔθεντο
Τρῶες ὑπέρθυμοι τηλεκλειτοί τ' ἐπίκουροι,
κηάμενοι πυρὰ πολλὰ κατὰ ςτρατόν, οὐδ' ἔτι φαςὶ
ςχήςεςθ', ἀλλ' ἐν νηυςὶ μελαίνῃςιν πεςέεςθαι.
Ζεὺς δέ ςφι Κρονίδης ἐνδέξια ςήματα φαίνων
ἀςτράπτει· Ἕκτωρ δὲ μέγα ςθένεϊ βλεμεαίνων
μαίνεται ἐκπάγλως, πίςυνος Διί, οὐδέ τι τίει
ἀνέρας οὐδὲ θεούς· κρατερὴ δέ ἑ λύςςα δέδυκεν.

V. L. 220 ὃ δ' D. ὅδ' CGL. βάλε C. — 221 omitt. D in textu, habet in marg. man. rec. οἵδ' CGHL. — 222 ἕντο GH. ἑντο DL. — 224 δ' omitt. Schol. Δ 4. ἀχϊλῆϊ H. post hunc S τόνδε (em. τὸν καὶ) φωνήςας ἔπεα πτερόεντα προςηύδα. H καί μιν φωνήςας ἔπεα πτερόεντα προςηύδα. — 225 ἀχιλλεῦ GH. ἐΐςςης G. ἐπιδευῆς A et γρ. εἶς. — 226 ἠμὲν: εἰμὲν Eust. diserte. ἐνι AD. — 229 διοτροφὲς H. — 230 ἀπολέςθαι (cc supra) L. — 231 ἐϋςέλμους CDEGH. — 232 αὔλην G. — 233 τρῷες L. τηλέκλητοί HL. τηλεκλῆτοί (ει supra) C. — 234 κηάμενοι E 749, 43: κηάμενοι GL. κειάμενοι AC DE 36, 13; 750, 15 H Lips. Townl. Et. Mg. 485, 12. Schol. K 418, ξ 425. κατα A. οὐδ' ἔτι AC: οὐδέ τι DEGHLS. φαςὶ ACDE. φαςὶ omitt. H. — 235 ςχήςεςθαι DG. μελαίνῃςι DEGHL. — 236 ςφι D: ςφιν ACGHLS. — 238 πιςινὸς G. — 239 ἓ G.

A. c. 220 θυηλάς Herodianus, ὀξυτόνως. — 222 ἐξ ἔρον ἕντο: ἄμεινον εἶχεν ἄν, φηςὶν ὁ Ἀρίςταρχος, εἰ ἐγέγραπτο „ἂψ ἐπάςαντο“. ἀλλ' ὅμως ὑπὸ περιττῆς εὐλαβείας οὐδὲν μετέθηκεν, ἐν πολλοῖς οὕτως εὑρὼν φερομένην τὴν γραφήν Didymus. — 225 ἐπιδευεῖς: Ἀρίςταρχος δὲ χωρὶς τοῦ c̄ Didymus (ἐπιδεύει vel potius ἐπιδεύῃ). nonnulli ἐπιδευεῖς et ἦμεν pro ἠμὲν teste Aristonico. — 230 ςαωςέμεν, conf. Schol. I 681. Bekk. 2. ex coni. ςόας ἔμεν, coll. [A 117,] Θ 246, O 502. — 236 ςφι (Aristarchus?): ςφιν, conf. Schol. V τὸ δὲ ςφι δίχα τοῦ ν̄, H. T. 392; H. U. 24; Δ 166, Λ 734, N 713, ξ 86, ο 524. Aristarchus ἐνδέξια: ἐν δεξιᾷ Ptolem. Ascalonita, conf. Schol. H 184, ρ 365.

ἀρᾶται δὲ τάχιςτα φανήμεναι ἠῶ δῖαν·
ςτεῦται γὰρ νηῶν ἀποκόψειν ἄκρα κόρυμβα
αὐτάς τ' ἐμπρήςειν μαλεροῦ πυρός, αὐτὰρ Ἀχαιοὺς
δῃώςειν παρὰ τῇςιν ὀρινομένους ὑπὸ καπνοῦ.
ταῦτ' αἰνῶς δείδοικα κατὰ φρένα, μή οἱ ἀπειλὰς
ἐκτελέςωςι θεοί, ἡμῖν δὲ δὴ αἴςιμον εἴη
φθίςθαι ἐνὶ Τροίῃ ἑκὰς Ἄργεος ἱπποβότοιο.
ἀλλ' ἄνα, εἰ μέμονάς γε καὶ ὀψέ περ υἷας Ἀχαιῶν
τειρομένους ἐρύεςθαι ὑπὸ Τρώων ὀρυμαγδοῦ.
αὐτῷ τοι μετόπιςθ' ἄχος ἔςςεται, οὐδέ τι μῆχος
ῥεχθέντος κακοῦ ἔςτ' ἄκος εὑρεῖν· ἀλλὰ πολὺ πρὶν
φράζευ ὅπως Δαναοῖςιν ἀλεξήςεις κακὸν ἦμαρ.
ὦ πέπον, ἦ μὲν cοί γε πατὴρ ἐπετέλλετο Πηλεὺς
ἤματι τῷ, ὅτε ς' ἐκ Φθίης Ἀγαμέμνονι πέμπε·
τέκνον ἐμόν, κάρτος μὲν Ἀθηναίη τε καὶ Ἥρη
δώςους' αἴ κ' ἐθέλωςι, cὺ δὲ μεγαλήτορα θυμὸν
ἴςχειν ἐν ςτήθεςςι· φιλοφροςύνη γὰρ ἀμείνων·
ληγέμεναι δ' ἔριδος κακομηχάνου, ὄφρά ςε μᾶλλον
τίως' Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες.
ὣς ἐπέτελλ' ὁ γέρων, cὺ δὲ λήθεαι. ἀλλ' ἔτι καὶ νῦν
παύε', ἔα δὲ χόλον θυμαλγέα· cοὶ δ' Ἀγαμέμνων

V. L. 241 κόψειν L, omisso ἀπο. — 242 μαλεροῦ (ω̑ supra) πυρὸς (ϊ supra) S. — 243 δηϊώςειν C Townl. δηιῶςιν D. ὀρυνομένους G. ἀτυζομένους ἢ ὀρινομένους E. ὕπο A. καπνῷ E. — 244 δέδοικα H. κατα AD. φρένας DL. — 245 libri εἴη, non εἴῃ. — 246 φθίςθαι ACE 749, 52: φθεῖςθαι DE 750, 44 G. φθέςθαι H. φθίςςεςθ' ἐν τροίηι L, φθίςεςθ 1. man. ἐνι D. ἱπποβάτοιο H. — 248 ὑπὸ: ὑπ' ἐκ Vrat. b. 2. man. ὀρυγμαδοῦ GH. ὀρυ|||μαδοῦ C post ras. — 249 αὐτῷ τοι ACDE bis GHLS Apoll. de Pron. 147 C; de Synt. 138, 7. Eust. 769, 51. μῆχος: μῆχαρ Schol. Pind. Ol. II, 31. — 250 τε κακοῦ ἄκος εὑρεῖν S Cant. κακοῦ οὔτ' ἄκος Schol. Pind. Ol. II, 31. πολλὺ G. — 251 ἀλεξήςῃς AE bis GS Mor. Cant. ἀλεξήςεις (η supra) L. ἀλεξήςαις H. ἧμαρ DG. — 252 ὦ πόποι Vrat. A. ἐπετέλετο D. — 253 ἤματι DG. πέμπε ACDEGH. — 254 κράτος EL. — 255 αἴ κε θέλωςι DGL Townl. δὲ cὸν μεγαλήτορα H. — 256 ἐνὶ GL. ἐνι D. ςτήθεςφιν L. — 257 ὄφρά ςε C. — 258 τίως' ACDEGHLS Cant. Mor. Harl. Vrat. b. c. A. Mosc. 3. ἠμὲν: οἱ μὲν D Vrat. b. 1. man. — 259 ὡς A. λήθε' L. — 260 παύεο DGE Mor. Barocc. παύε' (ο supra) A. παῦε (ου supra) Lips. παῦε HL.

A. c. 242 ἐμπρήςειν: ἀρίςταρχος ἐμπλήςειν Didymus. — 246 φθίςθαι: φθεῖςθαι, conf. H. T. 375. — 249 αὐτῷ τοι scribendum est cum Apollonio, ut χ 345, conf. H. U. 142.

ἄξια δῶρα δίδωcι μεταλήξαντι χόλοιο.
εἰ δέ, cὺ μέν μευ ἄκουcον, ἐγὼ δέ κέ τοι καταλέξω,
ὅccά τοι ἐν κλιcίῃcιν ὑπέcχετο δῶρ' Ἀγαμέμνων,
ἕπτ' ἀπύρουc τρίποδαc, δέκα δὲ χρυcοῖο τάλαντα,
αἴθωναc δὲ λέβηταc ἐείκοcι, δώδεκα δ' ἵππουc
πηγοὺc ἀθλοφόρουc, οἳ ἀέθλια ποccὶν ἄροντο.
οὔ κεν ἀλήιοc εἴη ἀνήρ, ᾧ τόccα γένοιτο,
οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυcοῖο,
ὅcc' Ἀγαμέμνονοc-ἵπποι ἀέθλια ποccὶν ἄροντο.
δώcει δ' ἑπτὰ γυναῖκαc ἀμύμονα ἔργα ἰδυίαc,
Λεcβίδαc, ἃc, ὅτε Λέcβον ἐυκτιμένην ἕλεc αὐτόc,
ἐξέλεθ', αἳ τότε κάλλει ἐνίκων φῦλα γυναικῶν.
τὰc μέν τοι δώcει, μετὰ δ' ἔccεται ἣν τότ' ἀπηύρα,
κούρη Βριcῆοc· ἐπὶ δὲ μέγαν ὅρκον ὀμεῖται
μή ποτε τῆc εὐνῆc ἐπιβήμεναι ἠδὲ μιγῆναι,
ἣ θέμιc ἐcτὶν ἄναξ ἤτ' ἀνδρῶν ἤτε γυναικῶν.
ταῦτα μὲν αὐτίκα πάντα παρέccεται· εἰ δέ κεν αὖτε
ἄcτυ μέγα Πριάμοιο θεοὶ δώωc' ἀλαπάξαι,
νῆα ἅλιc χρυcοῦ καὶ χαλκοῦ νηήcαcθαι
εἰcελθών, ὅτε κεν δατεώμεθα ληίδ' Ἀχαιοί,
Τρωιάδαc δὲ γυναῖκαc ἐείκοcιν αὐτὸc ἑλέcθαι,
αἵ κε μετ' Ἀργείην Ἑλένην κάλλιcται ἔωcιν.
εἰ δέ κεν Ἄργοc ἱκοίμεθ' Ἀχαιικόν, οὖθαρ ἀρούρηc,
γαμβρόc κέν οἱ ἔοιc· τίcει δέ cε ἶcον Ὀρέcτῃ,

V. ι. 261 μεταλλήξαντι ACEGH: μεταλήξαντι DL. Vrat. b. Townl. — 262 δέ κε τοι A. — 263 ὅccά τοι CDH. ἐν: ἐνὶ C. ὑπέcχατο C. — 264 ἑπτ* A. ἑπτὰ G. — 265 ἐείκοcιν G. — 266 ἀθλοφόρουc A. — 267—269 omitt. Townl. — 267 ἀμύμοναc AC suprascr. man. rec. DHLS. ἔργ' εἰδυίαc ACDG(ἔργα)HL. — 271 εὐκτίμενον G. ἕλεν L. — 272 ἐξέλεθ' A. φύλα D. — 273 μετα A. ἀπηῦρα D. ἀπηῦρεν G ex corr. L. ἀπηῦρε S Townl. ἀπηύρων Mosc. 3. — 274 κούρην CDGHS. καὶ ἐπὶ AGHLS. καὶ ἐπι CD. — 275 τῆc, εὐνῆc G. ἐπιβῆναι Vrat. b. — 276 ή A Schol. Θ 111. η D. ἢ Lips. Townl. ἧ CGHLS. ἦτ' ἀνδρῶν ἦτε C. καὶ ἀνδρῶν G. ἤτ' omitt. L. — 278 ἀλαπᾶξαι D. — 281 ἑλέcθω Cant. Lips. Mosc. 3. — 283 ἀχαϊκόν GL 1. man. S. εἶθαρ D. 1. man. — 284 ἔηc S. ἔῃc Cant. τίcοι H. ἴcον D.

A. c. 270 ἀμύμονα: οὕτωc ἀρίcταρχοc μετὰ τοῦ c̄ ἀμύμοναc Didymus, conf. 128. — 272 ἐξ ἕλεθ' Zenodotus, conf. 130. — 274 ἀρίcταρχοc γράφει κούρη (Cod. κουρηc) βριcῆοc (Cod. βρηcηοῦc) ἐπὶ δὲ μέγαν ὅρκον Didymus, conf. 132. — 276 ἣ θέμιc, conf. H. U. 183. — 279 νηήcαcθαι Aristarchus.

ὅc οἱ τηλύγετοc τρέφεται θαλίῃ ἔνι πολλῇ.
τρεῖc δέ οἵ εἰcι θύγατρεc ἐνὶ μεγάρῳ εὐπήκτῳ,
Χρυcόθεμιc καὶ Λαοδίκη καὶ Ἰφιάναccα·
τάων ἥν κ' ἐθέληcθα φίλην ἀνάεδνον ἄγεcθαι
πρὸc οἶκον Πηλῆοc· ὁ δ' αὖτ' ἐπὶ μείλια δώcει
πολλὰ μάλ', ὅcc' οὔ πώ τιc ἑῇ ἐπέδωκε θυγατρί.
ἑπτὰ δέ τοι δώcει εὖ ναιόμενα πτολίεθρα,
Καρδαμύλην Ἐνόπην τε καὶ Ἱρὴν ποιήεccαν,
Φηράc τε ζαθέαc ἠδ' Ἄνθειαν βαθύλειμον,
καλήν τ' Αἴπειαν καὶ Πήδαcον ἀμπελόεccαν.
πᾶcαι δ' ἐγγὺc ἁλόc, νέαται Πύλου ἠμαθόεντοc·
ἐν δ' ἄνδρεc ναίουcι πολύρηνεc πολυβοῦται,
οἵ κέ cε δωτίνῃcι θεὸν ὣc τιμήcουcι,
καί τοι ὑπὸ cκήπτρῳ λιπαρὰc τελέουcι θέμιcταc.
ταῦτά κέ τοι τελέcειε μεταλήξαντι χόλοιο.
εἰ δέ τοι Ἀτρείδηc μὲν ἀπήχθετο κηρόθι μᾶλλον,
αὐτὸc καὶ τοῦ δῶρα, cὺ δ' ἄλλουc περ Παναχαιοὺc
τειρομένουc ἐλέαιρε κατὰ cτρατόν, οἵ cε θεὸν ὣc
τίcουc'· ἦ γάρ κέ cφι μάλα μέγα κῦδοc ἄροιο.
νῦν γάρ χ' Ἕκτορ' ἕλοιc, ἐπεὶ ἂν μάλα τοι cχεδὸν ἔλθοι
λύccαν ἔχων ὀλοήν, ἐπεὶ οὔ τινά φηcιν ὁμοῖον
οἷ ἔμεναι Δαναῶν, οὓc ἐνθάδε νῆεc ἔνεικαν.

V. ι. 285 ἐνι AD. ἐνὶ CGHL. — 286 δέ οἱ εἰcι ADL. δέ οἱ εἰcὶν C. θυγατέρεc CGH. ἐνὶμμεγάρωι C. ἐνι AD. ἐϋπήκτῳ CDHLS. εὐπήκτῳ AG. — 289 ὃ δ' D. ὅδ' CGH. ἠδ' L. ἐπιμείλια ACDGHLS. — 291 δέ οἱ δώcει H Townl. εὖ, ναιόμενα A. εὖ ναιόμενα CG. εὐναιόμενα L. — 292 καρδαμίλην L. ἰρὴν L. ϊρὴν A. — 294 ἔπειαν G. — 295 κέαται H, ut videtur ex corr. ναίεται Barocc. — 296 ναίουcιν H. πολύρρηνεc A. πολύρηνεc Townl. πολύρριν(οι) L, ut 154. — 297 ὡc AD. τιμήcουcι CDGH. τιμήcωcι A. — 298 ὕπο AH. — 299 καί τοι D. μεταλήξαντι DGL Townl. — 301 αὐτὸc τε καὶ L. παναχαιοὺc AC. — 302 κατα ADH. ὡc A. — 303 τίcουcιν ἢ καί cφι G. καί cφι Cant. — 304 ἔλθοι ADGH Mor. Barocc. Townl. Vrat. b. ἔλθῃ CEL. — 305 ἔχοντ' HL. οὔτινα φηcὶν ACDGHL. — 306 οἱ G. ἔμμεναι E, idem Townl. omisso οἷ.

A. c. 289 Aristarchus ἐπιμείλια, conf. 147. — 292 Ἱρὴν Herodianus cum Aristarcho, conf. 150. — 296 πολύρηνεc Aristarchus, conf. 154. — 297 Aristarchus τιμήcονται, conf. 155, non τιμήcωνται ut in Cod. A scriptum est τιμήcωνται ὡc ἐλεύcωνται, nam ἐλεύcωνται nihil est. — 299 διὰ τοῦ ἑτέρου λ̄ μεταλλήξαντι αἱ ἀριcτάρχου Didymus. recte Bekkerus τὸ ante μεταλλήξαντι inseruit.

τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
χρὴ μὲν δὴ τὸν μῦθον ἀπηλεγέως ἀποειπεῖν,
ᾗ περ δὴ φρονέω τε καὶ ὡς τετελεσμένον ἔσται,
ὡς μή μοι τρύζητε παρήμενοι ἄλλοθεν ἄλλος.
ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀίδαο πύλῃσιν,
ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ.
αὐτὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα·
οὔτ' ἐμέ γ' Ἀτρείδην Ἀγαμέμνονα πεισέμεν οἴω
οὔτ' ἄλλους Δαναούς, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν
μάρνασθαι δηίοισιν ἐπ' ἀνδράσι νωλεμὲς αἰεί.
ἴση μοῖρα μένοντι, καὶ εἰ μάλα τις πολεμίζοι·
ἐν δὲ ἰῇ τιμῇ ἠμὲν κακὸς ἠδὲ καὶ ἐσθλός·
κάτθαν' ὁμῶς ὅ τ' ἀεργὸς ἀνὴρ ὅ τε πολλὰ ἐοργώς.
οὐδέ τί μοι περίκειται, ἐπεὶ πάθον ἄλγεα θυμῷ,
αἰεὶ ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν.
ὡς δ' ὄρνις ἀπτῆσι νεοσσοῖσι προφέρῃσι

V. L. 309 δὴ omitt. D. ἀποειπεῖν C. — 310 φρονέω GH Lips.: κρανέω ACDL Harl. Townl. Vrat. b. Cram. Epim. 192, 24. An. Par. III, 301, 27. κρανέω ἢ φρονέω, διχῶς γὰρ γράφεται Eust. 751, 5. γρ. φρονέω C 2. man. ὥσπερ δὴ κρανέω τε καὶ ὡς τελέεσθαι ὀίω Plato Hipp. min. 365 A. ἔσται: ἐστί D. — 311 τρύζοιτε E. τροίζητε D. παρήμενος A Townl. γρ. παρήμενοι A. — 312 μοι ἐκεῖνος G. — 313 κεύθει EGS Mor. Barocc. Vrat. b. A. Mosc. 3. Schol. α 1. Suidas I, 1, 236, 18; I, 2, 571, 6. κεύφῃ H. εἴπῃ libri cum Plat. Hipp. min. 365 A; 370 A. Schol. A 120, α 1. Bekk. Anecd. 82, 2; 379, 12. Bachm. Anecd. I, 70, 14: βάζει Eust., unde Bothius βάζῃ recepit. — 314 ἐρέω ὡς καὶ τετελεσμένον ἔσται CGL Mor. Barocc. Harl. Lips. Townl. Vrat. b. Plato Hipp. min. 365 A. ἐν ἄλλῳ ὡς καὶ τετελεσμένον ἔσται A. — 315 ἐμέ γ' L. οὔτε μέ γ' CDEH. γρ. οὔτ' ἐμέ γ' C man. rec.: vulgo οὔτ' ἔμεγ'. ὀΐω CDHL. — 316 ἦεν: ἐστὶν Schol. Plat. Rep. 468 C. — 317 δηΐοισι μετ' ADHS et libri Heynii: δηΐοισιν ἐπ' CEGL. — 318 ἴσῃ AD Townl. μοίραι A. πολεμίζει DEL Schol. Plat. Rep. 468 C. πολεμίζῃ (ο supra) A. — 320 ὅ, τ' CG. ὅ, τε ACG. — 321 οὐδέ τΐ μοι CDGH. περίκειται A. — 322 αἰεὶ ACDEGHL: recentiores αἰέν, quod in nullo codice fertur. — 323 ἀπτῆσι DL. προφέρῃσι ACDEGH Cram. An. Ox. III, 99, 14.

A. c. 310 ἀρίσταρχος ᾗ περ δὴ φρονέω (Cod. φρονίων) Didymus. — 317 ἀρίσταρχος ἐπανδράσι Didymus. — 321 περίκειται Herodianus: περὶ κεῖται Ptolem. Ascalonita. — 322 euphoniae causa scripsi cum libris αἰεὶ ἐμὴν, non αἰέν. eadem de causa A 520, α 341, ν 255 non αἰὲν ἐν, αἰὲν ἐνὶ scribendum est, sed cum omnibus libris αἰεί, quod primus Bekkerus sustulit. οὕτως ἀρίσταρχος πολεμίζειν κατὰ τὸ ἀπαρέμφατον Didymus. de alia scriptura nihil tradiderunt veteres.

μάστακ', ἐπεί κε λάβῃσι, κακῶς δ' ἄρα οἱ πέλει αὐτῇ,
ὣς καὶ ἐγὼ πολλὰς μὲν ἀύπνους νύκτας ἴαυον,
ἤματα δ' αἱματόεντα διέπρησσον πολεμίζων,
ἀνδράσι μαρνάμενος ὀάρων ἕνεκα σφετεράων.
δώδεκα δὴ σὺν νηυσὶ πόλεις ἀλάπαξ' ἀνθρώπων,
πεζὸς δ' ἕνδεκά φημι κατὰ Τροίην ἐρίβωλον·
τάων ἐκ πασέων κειμήλια πολλὰ καὶ ἐσθλὰ
ἐξελόμην, καὶ πάντα φέρων Ἀγαμέμνονι δόσκον
Ἀτρείδῃ· ὃ δ' ὄπισθε μένων παρὰ νηυσὶ θοῇσι
δεξάμενος διὰ παῦρα δασάσκετο, πολλὰ δ' ἔχεσκεν.
ἄλλα δ' ἀριστήεσσι δίδου γέρα καὶ βασιλεῦσι·
τοῖσι μὲν ἔμπεδα κεῖται, ἐμεῦ δ' ἀπὸ μούνου Ἀχαιῶν
εἵλετ', ἔχει δ' ἄλοχον θυμαρέα· τῇ παριαύων
τερπέσθω. τί δὲ δεῖ πολεμιζέμεναι Τρώεσσιν
Ἀργείους; τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείρας
Ἀτρείδης; ἦ οὐχ Ἑλένης ἕνεκ' ἠυκόμοιο;
ἦ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων
Ἀτρεΐδαι; ἐπεὶ ὅς τις ἀνὴρ ἀγαθὸς καὶ ἐχέφρων,
τὴν αὐτοῦ φιλέει καὶ κήδεται, ὡς καὶ ἐγὼ τὴν

V. L. 324 ἐπήν κε λάβῃσι Cram. An. Ox. III, 99, 15. δ' ἄρα οἱ EL. δ' ἄρα οἷ G. δέ τε οἱ ACDH Lips. Harl. Vrat. b. 2. man. δέ τέ οἱ Athenaeus IX, 373. Plutarchus de Amore prolis 2. — 325 μὲν καὶ L. μὲν νύκτας ἀΰπνους D. — 326 ἥματα DG. διέπρησον CG. — 328 δὴ σὺν ACDE 753, 20 GHL Strabo XIII, 584. Schol. A 163, Φ 550. δὲ ξὺν Schol. Υ 89. δὴ ξὺν Eust. 754, 30. μὲν σὺν Max. Tyr. Diss. V, 8. γὰρ σὺν Rhet. Gr. III, 167, 3. Plutarchus de Se ipsum citra invid. laud. 6. ἀλάπαξ' ἀνδρῶν G. — 329 ἔνδεκα φημὶ L. — 331 δῶσκον S. δώσκον Cant. — 332 ὃ δ' D. ὅδ' CGHL. θοῇσι ACDGH. — 333 δια CDGHL. παῦρα διδάσκετο H. ἔχεσκε G. — 334 βασιλεῦσι CDEGH. — 335 ἀπο A. μόνου EG. — 336 θυμαρέα (η supra) L. τῇ περ ἰαύων G Mor. τηπεριαύων L. — 337 τί δε δὴ H. τρῴεσσιν L. — 339 ἢ ACEGL Townl. Rhet. Gr. III, 124, 9: ἦ DH Et. Mg. 414, 56. Et. Gud. 233, 44. Io. Alexandr. 42, 10. Apoll. Lex. 81, 29. Cram. An. Par. III, 125, 34; 302, 2. Schol. A 219. Cram. Epim. 193, 1. — 340 ἢ AH Apoll. Lex. 81, 29. Schol. A 219. Cram. An. Par. III, 125, 34. Et. Mg. 414, 57; 415, 11: ἦ CDEGL Rhet. Gr. III, 115, 16. Apoll. Lex. 163, 6. Cram. An. Par. III, 302, 3. μόνοι EG. — 342 αὐτοῦ: ἑαυτοῦ L.

A. c. 324 ἀρίσταρχος κακῶς δ' ἀραοι(sic). Didymus. conf. alterum scholium Didymi διὰ τοῦ ἄρα γράφουσιν αἱ Ἀριστάρχου κακῶς δ' ἄρα οἱ. αἱ δὲ εἰκαιότεραι κακῶς δέ τέ οἱ. recentiores perperam δ' ἄρα οἷ, conf. H. U. 141. — 327 ὀάρων Aristarchus. alii ὀρέων vel ὠρέων. — 336 εἷλετ', ἔχει δ': alii εἵλετ' ἔχειν, quod placuit Herodiano. θυμαρέα Herodianus, non θυμηρέα. — 339 ἦ Herodianus Il. Prosod. A 219. — 340 ἦ Herodianus Il. Pros. A 219. — 342 αὐτοῦ Apollon. de Pron. 101 B; de Synt. 141, 5: αὐτοῦ Ptolemaeus Ascalonita.

ἐκ θυμοῦ φίλεον δουρικτήτην περ ἐοῦϲαν.
νῦν δ' ἐπεὶ ἐκ χειρῶν γέραϲ εἵλετο καί μ' ἀπάτηϲε,
μή μευ πειράτω εὖ εἰδότοϲ· οὐδέ με πείϲει.
ἀλλ' Ὀδυϲεῦ ϲὺν ϲοί τε καὶ ἄλλοιϲιν βαϲιλεῦϲι
φραζέϲθω νήεϲϲιν ἀλεξέμεναι δήιον πῦρ.
ἦ μὲν δὴ μάλα πολλὰ πονήϲατο νόϲφιν ἐμεῖο,
καὶ δὴ τεῖχοϲ ἔδειμε, καὶ ἤλαϲε τάφρον ἐπ' αὐτῷ
εὐρεῖαν, μεγάλην, ἐν δὲ ϲκόλοπαϲ κατέπηξεν·
ἀλλ' οὐδ' ὧϲ δύναται ϲθένοϲ Ἕκτοροϲ ἀνδροφόνοιο
ἴϲχειν. ὄφρα δ' ἐγὼ μετ' Ἀχαιοῖϲιν πολέμιζον,
οὐκ ἐθέλεϲκε μάχην ἀπὸ τείχεοϲ ὀρνύμεν Ἕκτωρ,
ἀλλ' ὅϲον ἐϲ Ϲκαιάϲ τε πύλαϲ καὶ φηγὸν ἵκανεν·
ἔνθά ποτ' οἶον ἔμιμνε, μόγιϲ δέ μευ ἔκφυγεν ὁρμήν.
νῦν δ' ἐπεὶ οὐκ ἐθέλω πολεμιζέμεν Ἕκτορι δίῳ,
αὔριον ἱρὰ Διὶ ῥέξαϲ καὶ πᾶϲι θεοῖϲι,
νηήϲαϲ εὖ νῆαϲ, ἐπὴν ἅλα δὲ προερύϲϲω,
ὄψεαι, ἢν ἐθέληϲθα καὶ αἴ κέν τοι τὰ μεμήλῃ,
ἦρι μάλ' Ἑλλήϲποντον ἐπ' ἰχθυόεντα πλεούϲαϲ
νῆαϲ ἐμάϲ, ἐν δ' ἄνδραϲ ἐρεϲϲέμεναι μεμαῶταϲ·
εἰ δέ κεν εὐπλοίην δώῃ κλυτὸϲ ἐννοϲίγαιοϲ,
ἤματί κε τριτάτῳ Φθίην ἐρίβωλον ἱκοίμην.
ἔϲτι δέ μοι μάλα πολλά, τὰ κάλλιπον ἐνθάδε ἔρρων·
ἄλλον δ' ἐνθένδε χρυϲὸν καὶ χαλκὸν ἐρυθρὸν
ἠδὲ γυναῖκαϲ ἐυζώνουϲ πολιόν τε ϲίδηρον

V. ι. 343 δουρικτητήν A. δορικτήτην GS. δορυκτήτην C. — 344 ἀπάτηϲε ACDGH. — 346 ὀδυϲϲεῦ DEGH. ἄλλοιϲι DGH. βαϲιλεῦϲι ACD GH. — 348 ἢ μὲν Schol. Ι 167. ἐμοῖο Cant. — 349 ἐπαυτῶι A. — 351 ὡϲ A, ceteri ὧϲ. ἀνδροφόνοιο: ἱπποδάμοιο D Harl. — 352 ὄφρ' ἐγὼ C. ἀχαιοῖϲι DG. — 353 ἄπο A. — 354 ὅϲον S et supra ὅτε. ἵκοιτο S Cant. — 355 ἔνθά ποτ' ACDG. — 356 οὐ θέλω G. πολεμιζέμεν ADHL: πολεμίζειν CEGS Schol. Ι 651. γρ. πολεμίζειν A. — 357 ἱρὰϲ G. θεοῖϲι ACDGH. — 358 ἅλα δὲ D: ceteri ἅλαδε. — 359 αἴ κ' ἐθέληϲθα L Plato Hipp. min. 370 B. Rhet. Gr. III, 141, 16. αἴ κεν τοι G. μεμήλει L Cant. μεμήλῃ (ει) S. μεμήλοι Vrat. b. — 360 ἑλήϲποντον G. — 362 εἰ δέ κεν: εἴ περ E. εὐπλοΐην CDEH, quod Heynius et Bekkerus receperunt. δώῃ GH: δώῃ ACES. δώιηι D. — 363 ἤματι D 2. man. * κε: κεν ADEGHLS Plato Hipp. min. 370 B. Crit. 44 B. κ' ἐν C. φθίην δ' D. — 364 κάλιπον D. — 365 χαλκὸν καὶ χρυϲὸν C. — 366 εὐζώνουϲ GH.

A. c. 343 δουρικτήτην Herodianus (cum Aristarcho?) conf. Schol. Π 123. — 349 ἤλαϲε τάφρον ἐπ' αὐτῷ: ἀρίϲταρχοϲ καὶ ἤλαϲεν ἔκτοθι τάφρον Didymus. — 350 ἐν: περὶ Aristarchus.

ἄξομαι, ἅϲϲ' ἔλαχόν γε· γέραϲ δέ μοι, ὅϲ περ ἔδωκεν,
αὖτιϲ ἐφυβρίζων ἕλετο κρείων Ἀγαμέμνων
Ἀτρείδηϲ. τῷ πάντ' ἀγορευέμεν, ὡϲ ἐπιτέλλω,
ἀμφαδόν, ὄφρα καὶ ἄλλοι ἐπιϲκύζωνται Ἀχαιοί,
εἴ τινά που Δαναῶν ἔτι ἔλπεται ἐξαπατήϲειν,
αἰὲν ἀναιδείην ἐπιειμένοϲ· οὐδ' ἂν ἐμοί γε
τετλαίη κύνεόϲ περ ἐὼν εἰϲ ὦπα ἰδέϲθαι·
οὐδέ τί οἱ βουλὰϲ ϲυμφράϲϲομαι, οὐδὲ μὲν ἔργον.
ἐκ γὰρ δή μ' ἀπάτηϲε καὶ ἤλιτεν· οὐδ' ἂν ἔτ' αὖτιϲ
ἐξαπάφοιτ' ἐπέεϲϲιν· ἅλιϲ δέ οἱ. ἀλλὰ ἕκηλοϲ
ἐρρέτω· ἐκ γάρ εὑ φρέναϲ εἵλετο μητίετα Ζεύϲ.
ἐχθρὰ δέ μοι τοῦ δῶρα, τίω δέ μιν ἐν καρὸϲ αἴϲῃ.
οὐδ' εἴ μοι δεκάκιϲ τε καὶ εἰκοϲάκιϲ τόϲα δοίη
ὅϲϲα τέ οἱ νῦν ἔϲτι, καὶ εἴ ποθεν ἄλλα γένοιτο,
οὐδ' ὅϲ' ἐϲ Ὀρχομενὸν ποτινίϲϲεται, οὐδ' ὅϲα Θήβαϲ
Αἰγυπτίαϲ, ὅθι πλεῖϲτα δόμοιϲ ἐν κτήματα κεῖται,

V. ι. 367 ἔλαχόν τε G Barocc. γε omitt. D. γρ. ἅϲϲα λέλογχα (Cod. λελοχ) A. ὅϲπερ AD 2. man. HL: ὥϲπερ CD 1. man. E Harl. Townl. ὅπερ GS Vrat. b. A. — 368 αὖθιϲ C. — 369 ἀγορεύειν E. — 370 ἀμφανδὸν L. ἐπιϲκύζονται DGL Cant. Mor. Townl. — 372 οὐδ': οὐκ E. — 373 τετλαίῃ G. εἰϲῶπα D. — 374 οὐδέ τι CD. οὐδ' ἔτι A. ϲυμφράϲομαι GL 1. man. οὐδεμὲν A. οὐδέμεν G. — 375 αὖθιϲ CL. — 376 ἐξεπάφοιτ' G. — 377 γάρ ἑϋ A. γὰρ εὖ CLS Cant. Harl. Lips. 1. man. Vrat. b. γὰρ ἕο Lips. ex corr. Vrat. A. γάρ οἱ DE bis GH. διπλῆ δὲ ἐνταῦθα γραφή· ἐκ γάρ οἱ φρέναϲ εἵλετο καὶ ἐκ γὰρ εὖ Eust. 757, 14. μητιέτα L. — 378 ἐν καρὸϲ: ὅτι τινὲϲ ἓν μέροϲ λόγου ἀκούϲαντεϲ καὶ προπαροξύναντεϲ „ἔγκαροϲ“ ἔγραψαν καὶ τὸν φθεῖρα ἀπέδωκαν Eust. 757, 26. ἄλλοι δὲ γράφουϲι μὲν καὶ αὐτοὶ προπαροξυτόνωϲ „ἔγκαροϲ“ καὶ κλίνουϲιν ἔγκαρ ἔγκαροϲ Eust. 757, 35. — 379 τόϲϲα D. δοίῃ G. — 380 ἐϲτι ADG: ceteri ἐϲτί. — 381 ἠδ' ὅϲ' ACDGH Harl. Lips. οὐδ' ὅϲ' E Strabo IX, 414. Pausanias IX, 38, 8. Schol. λ 459. οὐδ' ὅϲα ἐϲ L. ὅϲα ὀρχομενὸν C. ποτινίϲϲεται A. ποτινίϲϲεται C post ras. H Pausanias IX, 38, 8. Strabo IX, 414. Et. Mg. 685, 21. ποτινείϲεται DE Harl. Townl. Schol. λ 459. Eust. 1288, 58. ποτινήϲεται GL. τὸ δὲ ποτινείϲϲεται ὅτι διφορεῖται κατὰ τὴν γραφὴν τῷ τε λόγῳ τῶν διὰ τοῦ ιϲϲω ῥημάτων, καὶ ὡϲ ἀπὸ τοῦ νέω νείῳ, τὸ πορεύομαι, ἐν ἄλλοιϲ ῥηθήϲεται Eust. 758, 3, conf. H. T. 316 sq. ἠδ' ὅϲα ACDGHL Harl. Lips. οὐδ' ὅϲα E Strabo IX, 414; XVII, 815. Diodorus I, 45. γρ. οὐδ' ὅϲ' ἐρχομενον καὶ οὐδ' ὅϲα θήβαϲ A. — 382 ὅθι: γρ. καὶ ᾗ ἀντὶ τοῦ ὅθι A, conf. δ 229. δόμοιϲ ἐκτήματα D. ἓν A. ἐνϊ C. ἐνὶ Cant. Strabo XVII, 815. ἔνι Diodorus I, 45.

A. c. 377 γάρ εὑ, conf. H. U. 144.

αἵ θ' ἑκατόμπυλοί εἰϲι, διηκόϲιοι δ' ἀν' ἑκάϲταϲ
ἀνέρεϲ ἐξοιχνεῦϲι ϲὺν ἵπποιϲιν καὶ ὄχεϲφιν·
οὐδ' εἴ μοι τόϲα δοίη ὅϲα ψάμαθόϲ τε κόνιϲ τε,
οὐδέ κεν ὧϲ ἔτι θυμὸν ἐμὸν πείϲει Ἀγαμέμνων,
πρίν γ' ἀπὸ πᾶϲαν ἐμοὶ δόμεναι θυμαλγέα λώβην.
κούρην δ' οὐ γαμέω Ἀγαμέμνονοϲ Ἀτρεΐδαο,
οὐδ' εἰ χρυϲείῃ Ἀφροδίτῃ κάλλοϲ ἐρίζοι,
ἔργα δ' Ἀθηναίῃ γλαυκώπιδι ἰϲοφαρίζοι·
οὐδέ μιν ὧϲ γαμέω· ὁ δ' Ἀχαιῶν ἄλλον ἑλέϲθω,
ὅϲ τίϲ οἵ τ' ἐπέοικε καὶ ὃϲ βαϲιλεύτερόϲ ἐϲτιν.
ἢν γὰρ δή με ϲόωϲι θεοὶ καὶ οἴκαδ' ἵκωμαι,
Πηλεύϲ θήν μοι ἔπειτα γυναῖκα γαμέϲϲεται αὐτόϲ.
πολλαὶ Ἀχαιίδεϲ εἰϲὶν ἀν' Ἑλλάδα τε Φθίην τε
κοῦραι ἀριϲτήων, οἵ τε πτολίεθρα ῥύονται·
τάων ἥν κ' ἐθέλωμι φίλην ποιήϲομ' ἄκοιτιν.
ἔνθα δέ μοι μάλα πολλὸν ἐπέϲϲυτο θυμὸϲ ἀγήνωρ
γήμαντι μνήϲτην ἄλοχον, εἰκυῖαν ἄκοιτιν,

V. ι. 383 ἑκατόμπυλοί A. ἑκατοντάπυλαι L. ἂν AE. ἀνὰ D. ἐν L. ἑκάϲταϲ AC: ἑκάϲτην EH Diodorus I, 45. Strabo XVII, 815. ἀνεκάϲτην S. ἑκάϲτῃ DGL Lips. Mor. Mosc. 3. — 384 ἐξιχνεῦϲι G. ἵπποιϲι EL. ἵπποιϲ G. ὄχεϲφι E. — 385 ψάμαθόϲ τε κόνιϲ τε: ψεύδονται ὄνειροι Schol. Theocr. IX, 16. — 386 ὡϲ AD: ceteri ὧϲ· πείϲει ACDE 758, 35 GHL: πείϲῃ E 757, 58 S Cant. recentiores πείϲει'. — 387 ἄπο CDGHL. — 389 χρυϲῇ E. — 390 omitt. Vrat. b. — 391 ὡϲ AD: ceteri ὧϲ. ὁ δ' D. ὅδ' CGHL. ἑλέϲθω: ἐρέϲθω G Mor. — 392 ὅϲτιϲ οἵ τ' D Cram. Epim. 326, 25: ὅϲτιϲ οἷ τ' ACEGHL Apoll. de Synt. 145, 8. Schol. Ι 399. ὅϲτιϲ οἵ γ' Pseudoplut. 119, 17. — 393 ϲάωϲι Schol. Π 252. — 394 πηλεὺϲ δή μοι ES Cant. γαμήϲεται L. — 395 πολλαὶ δ' D. ἀχαϊάδεϲ C. ἀχαιϊάδεϲ G. ἀνελλάδα D. ἑλλάδά τε C. — 397 omitt. Townl. 1. man. ἐθέλωμι Apoll. de Coni. 516, 12: ἐθέλοιμι ACDGHLS. — 398, 399 omitt. Mosc. 3. — 398 ἐνθάδε Et. Mg. 9, 45. ἐπέϲϲυται L. ἐπέϲυτο G 1. man. — 399 γήμαντα Mor.

A. c. 383 ἀρίϲταρχοϲ ἑκάϲταϲ, ἄλλοι δὲ ἑκάϲτην Didymus. ἀνὰ ἑκάϲταϲ, οὕτω γὰρ πληθυντικῶϲ καὶ οὐχὶ ἑκάϲτην ἑνικῶϲ πολλοὶ γράφουϲι τῶν παλαιῶν, παραϲημειούμενοι ὡϲ οὐδέποτε πύλην ἑνικῶϲ λέγει ὁ ποιητήϲ, ἀλλὰ πύλαϲ Eust. 758, 10. — 386 πείϲει magis convenit Achilli irato quam πείϲει', quam scripturam primus Wolfius induxit, quem recentiores praeter Bothium et Spitznerum sunt secuti, conf. G. Herm. Opusc. IV, 44. Bekk. Hom. Bl. 42. — 392 ὅϲτιϲ οἷ Herodianus cum Apollonio. de scriptura ὅϲ τίϲ οἵ τ' conf. H. U. 144. — 393 ϲόωϲι Herodianus cum Ptolem. Ascalonita. ϲοῶϲι Tyrannio. ϲάωϲι Apio. — 394 γαμέϲϲεται: ἀρίϲταρχοϲ γυναῖκά γε μάϲϲεται Didymus. — 397 ἀρίϲταρχοϲ ἐθέλωμι (Cod. ἐθέλωμαι) Didymus. — 399 οὕτωϲ ἀρίϲταρχοϲ κατὰ δοτικήν, ἄλλοι δὲ γήμαντα Didymus.

κτήμαϲι τέρπεϲθαι, τὰ γέρων ἐκτήϲατο Πηλεύϲ·
οὐ γὰρ ἐμοὶ ψυχῆϲ ἀντάξιον οὐδ' ὅϲα φαϲὶν
Ἴλιον ἐκτῆϲθαι, εὖ ναιόμενον πτολίεθρον,
τὸ πρὶν ἐπ' εἰρήνηϲ, πρὶν ἐλθεῖν υἷαϲ Ἀχαιῶν,
οὐδ' ὅϲα λάινοϲ οὐδὸϲ ἀφήτοροϲ ἐντὸϲ ἐέργει,
Φοίβου Ἀπόλλωνοϲ, Πυθοῖ ἔνι πετρηέϲϲῃ.
ληιϲτοὶ μὲν γάρ τε βόεϲ καὶ ἴφια μῆλα,
κτητοὶ δὲ τρίποδέϲ τε καὶ ἵππων ξανθὰ κάρηνα·
ἀνδρὸϲ δὲ ψυχὴ πάλιν ἐλθεῖν οὔτε λεϊϲτὴ
οὔθ' ἑλετή, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκοϲ ὀδόντων.
μήτηρ γάρ τέ μέ φηϲι, θεὰ Θέτιϲ ἀργυρόπεζα,
διχθαδίαϲ κῆραϲ φερέμεν θανάτοιο τέλοϲ δέ.
εἰ μέν κ' αὖθι μένων Τρώων πόλιν ἀμφιμάχωμαι,
ὤλετο μέν μοι νόϲτοϲ, ἀτὰρ κλέοϲ ἄφθιτον ἔϲται·
εἰ δέ κεν οἴκαδ' ἵκωμι φίλην ἐϲ πατρίδα γαῖαν,
ὤλετό μοι κλέοϲ ἐϲθλόν, ἐπὶ δηρὸν δέ μοι αἰὼν
ἔϲϲεται, οὐδέ κέ μ' ὦκα τέλοϲ θανάτοιο κιχείη.
καὶ δ' ἂν τοῖϲ ἄλλοιϲιν ἐγὼ παραμυθηϲαίμην
οἴκαδ' ἀποπλείειν, ἐπεὶ οὐκέτι δήετε τέκμωρ
Ἰλίου αἰπεινῆϲ· μάλα γάρ ἑθεν εὐρύοπα Ζεὺϲ
χεῖρα ἑὴν ὑπερέϲχε, τεθαρϲήκαϲι δὲ λαοί.
ἀλλ' ὑμεῖϲ μὲν ἰόντεϲ ἀριϲτήεϲϲιν Ἀχαιῶν
ἀγγελίην ἀπόφαϲθε, τὸ γὰρ γέραϲ ἐϲτὶ γερόντων,
ὄφρ' ἄλλην φράζωνται ἐνὶ φρεϲὶ μῆτιν ἀμείνω,

V. ι. 401 ἐμοὶ ACDHS: ἐμῆϲ EGL Barocc. Mor. Eust. 1039, 45. — 402 εὖ ναιόμενον ACEG. εὐναιόμενον L. — 405 ἔνι AE Schol. Ε 422: ἐνὶ CDGHL. — 406 γάρ τοι G. — 407 κτητοί τε H Stobaeus Floril. 118, 2, omisso τε. κτητοὶ δέ τε D. — 408 δὲ ψυχή: δὲ ἀρετὴ Maxim. Tyr. Diss. XXVIII, 6. — 410 τέ με φηϲὶ ACDGHL. τέ μέ φηϲι Schol. α 34. τ' ἐμέ φηϲι S. — 411 τέλοϲ δὲ D. κῆραϲ: μοίραϲ Schol. Π 687. — 412 μένω Lips. τρώων L. ἀμφιμάχομαι D. — 413 αὐτὰρ G. — 414 ἵκωμι A: ἵκωμαι CDEGHLS. — 415 ὤλετο μέν μοι G. ὤλετο μὲν Rom. ἐπι ADHL. — 416 οὐδέ κε μ' ADEL. οὐδέ κ' ἐμ' Cant. κιχείῃ AG. — 418 ἀποπλεῖν G. δείετε C et suprascr. man. rec. γρ. ή. — 419 γὰρ ἔθεν CG. γὰρ ἕθεν D. — 420 τεθαρρήκαϲι S Cant. — 423 φράζονται Mosc. 3. ἐνι D.

A. c. 401 ἐμοί: ἐνίουϲ φηϲὶν ὁ ἀρίϲταρχοϲ γρ. ἐμῆϲ ψυχῆϲ οὐκ εὖ Didymus. — 405 Φοίβου: γρ. Ζηνόδοτοϲ νηοῦ ἀπόλλωνοϲ Schol. A. — 414 ἵκωμι, conf. H. U. 250. — 416 ἀθετεῖται Aristonicus. οὐδὲ παρὰ Ζηνοδότῳ ἐφέρετο Didymus.

ἤ κέ cφιν νῆάς τε cόῳ καὶ λαὸν Ἀχαιῶν
νηυcὶν ἔπι γλαφυρῇc, ἐπεὶ οὔ cφιcιν ἦδέ γ' ἑτοίμη,
ἣν νῦν ἐφράccαντο ἐμεῦ ἀπομηνίcαντοc.
Φοῖνιξ δ' αὖθι παρ' ἄμμι μένων κατακοιμηθήτω,
ὄφρά μοι ἐν νήεccι φίλην ἐc πατρίδ' ἕπηται
αὔριον, ἢν ἐθέλῃcιν· ἀνάγκῃ δ' οὔ τί μιν ἄξω.
ὣc ἔφαθ', οἱ δ' ἄρα πάντεc ἀκὴν ἐγένοντο cιωπῇ
μῦθον ἀγαccάμενοι· μάλα γὰρ κρατερῶc ἀπέειπεν.
ὀψὲ δὲ δὴ μετέειπε γέρων ἱππηλάτα Φοῖνιξ
δάκρυ' ἀναπρήcαc· περὶ γὰρ δίε νηυcὶν Ἀχαιῶν·
εἰ μὲν δὴ νόcτον γε μετὰ φρεcὶ φαίδιμ' Ἀχιλλεῦ
βάλλεαι, οὐδέ τι πάμπαν ἀμύνειν νηυcὶ θοῇcι
πῦρ ἐθέλειc ἀίδηλον, ἐπεὶ χόλοc ἔμπεcε θυμῷ,
πῶc ἂν ἔπειτ' ἀπὸ cεῖο φίλον τέκοc αὖθι λιποίμην
οἶοc; cοὶ δέ μ' ἔπεμπε γέρων ἱππηλάτα Πηλεὺc
ἤματι τῷ, ὅτε c' ἐκ Φθίηc Ἀγαμέμνονι πέμπε
νήπιον, οὔ πω εἰδόθ' ὁμοιίου πολέμοιο
οὐδ' ἀγορέων, ἵνα τ' ἄνδρεc ἀριπρεπέεc τελέθουcι.
τοὔνεκά με προέηκε διδαcκέμεναι τάδε πάντα,
μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ἔργων.
ὣc ἂν ἔπειτ' ἀπὸ cεῖο φίλον τέκοc οὐκ ἐθέλοιμι
λείπεcθ', οὐδ' εἴ κέν μοι ὑποcταίη θεὸc αὐτὸc

V. ι. 424 ἦ καί cφι G Mor. cφι Cant. cόω A. cόοι L. cόῃ CDEGHS Eust. 758, 52. — 425 ἐπὶ ACDGHL. γλαφυρῆcιν DL. ἦδέ γ' A. ἦδέ γ' CH. — 426 ἐφράcαντο DG. ἀπομηνίcαντοc A. — 427 φοίνιξ DL. δ' ἄμμι παρ' αὖθι μένων Harl. παράμμι D. — 428 ὄφρά μοι ACDG. ἕποιτο D. — 429 οὔ τί μιν E 761, 13. — 430 ὣc A. οἵδ' CGL. ἀκῆν G. — 431 ἀγαcάμενοι D. ἀπέειπε D. ἀπόειπεν G. ἀπέ προcέειπεν H. — 432 φοίνιξ DL. — 433 δάκρυ' ACD 2. man. GLS Schol. Θ 182. Hesych. III, 371: δάκρυ D 1. man. H Apoll. Lex. 134, 29. Schol. Π 3. δάκρυα E, conf. β 81. ἀναπρήcαc A. ἀναπλήcαc G. περὶ AD Zonar. Lex. 483. Etym. Or. 50, 6: πέρι EGL. περῒ CH. δῖε C. δίε, νηυcὶν AD. — 434 νόcτόν γε AH. μετα AD. — 435 βάλεαι D Vrat. b. βούλεαι G Mor. Barocc. οὐδ' ἔτι A, conf. 374. θοῇcι ACDEGHL. — 437 ἀπο A. — 438 cοὶ δ' ἔμ' H. — 439 ἤματι D. ὅτι E 761, 64. φθίαc G. πέμπε ACDEH. — 440 πτολέμοιο GH. — 441 ἀγορέων ACDEH: ἀγοράων GL. τελέθουcι ACEGH. τελέθωcι D. — 442 προέηκε A. — 443 μύθων δὴ G. μύθων τὲ C. ἔμμεναι DH. — 444 ὦc AH. πῶc L. ἀπο A. οὐκεθέλοιμι D.

A. c. 424 cόῳ, conf. ad 681. — 426 ἀπομηνίcαντοc Herodianus cum Alexione et Ptolem Ascalonita.

γῆραc ἀποξύcαc θήcειν νέον ἡβώοντα,
οἷον ὅτε πρῶτον λίπον Ἑλλάδα καλλιγύναικα,
φεύγων νείκεα πατρὸc Ἀμύντοροc Ὀρμενίδαο,
ὅc μοι παλλακίδοc περιχώcατο καλλικόμοιο,
τὴν αὐτὸc φιλέεcκεν, ἀτιμάζεcκε δ' ἄκοιτιν,
μητέρ' ἐμήν· ἡ δ' αἰὲν ἐμὲ λιccέcκετο γούνων
παλλακίδι προμιγῆναι, ἵν' ἐχθήρειε γέροντα.
τῇ πιθόμην καὶ ἔρεξα· πατὴρ δ' ἐμὸc αὐτίκ' ὀιcθεὶc
πολλὰ κατηρᾶτο, cτυγερὰc δ' ἐπεκέκλετ' ἐρινῦc,
μή ποτε γούναcιν οἷcιν ἐφέccεcθαι φίλον υἱὸν
ἐξ ἐμέθεν γεγαῶτα· θεοὶ δ' ἐτέλειον ἐπαράc,
Ζεύc τε καταχθόνιοc καὶ ἐπαινὴ Περcεφόνεια.
[τὸν μὲν ἐγὼ βούλευcα κατακτάμεν ὀξέι χαλκῷ·
ἀλλά τιc ἀθανάτων παῦcεν χόλον, ὅc ῥ' ἐνὶ θυμῷ
δήμου θῆκε φάτιν καὶ ὀνείδεα πόλλ' ἀνθρώπων,
ὡc μὴ πατροφόνοc μετ' Ἀχαιοῖcιν καλεοίμην.]
ἔνθ' ἐμοὶ οὐκέτι πάμπαν ἐρητύετ' ἐν φρεcὶ θυμὸc

V. ι. 446 ἀποξήcαc S. θήcει νέον G. — 447 καλλιγύναικα A. — 448 ὀρμενίδαο D. — 449 περὶ, χώcατο A. περίχώcατο L. πέρι χώcατο ES. ceteri περιχώcατο cum Lips. Mosc. 3. — 451 ἦδ' CGHL. ἐμὲ: ἐμῶν S Cant. ἐμεῦ Lips. 1. man. α λιccέcκετο A. — 452 ἐχθήρειε C. — 453 ἔρξα G. ὀϊθεὶc L. — 454 ἐρινῦc AD: ἐριννῦc CEGHL. — 455 ἐφέcεcθαι G 1. man. ἐφέcθαι Mor. ἐφέccαcθαι H. ἐφέcαcθαι D. ἐφέζεcθαι CE Harl. — 456 ἐξέμεθεν D. θεὸc δ' ἐτέλειεν E. δὲ τέλειον H. ἐπ ἀρὰc A. ἐπ' ἀράc DL. — 457 ἐπαινὴ: αἰπεινὴ DG. φ περcεφόνεια A. — 458—461 omittunt libri omnes cum Eustathio. — 459, 460 laudat Plutarchus Coriol. 32 ἀλλά τιc ἀθανάτων τρέψεν φρέναc, ὅc γ' ἐνὶ θυμῷ δήμου θῆκε φάτιν, idem de Adulatore et amico 33 versum 461 ὡc μὴ πατροφόνοc μετ' Ἀχαιοῖcιν καλεοίμην. — 462 ἔνθ' ἐμοὶ ADEHL: ἔνθά μοι CS. ἔνθα μοι Mor. Cant. Harl. Townl. Mosc. 3. γρ. ἐνθά μοι A. ἔνθεν μοι G.

A. c. 446 ἡβώοντα: οὕτωc διὰ τοῦ ω̅ καὶ ο̅ αἱ ἀριcτάρχου Didymus. — 447 οἷον: τοῖον Zenodotus. Ἑλλάδα καλλιγύναικα: Ὀρμένιον πολύμηλον Demetrius Scepsius apud Strabonem IX, 439 et Eust. 762, 36; vel Ὀρμένιον πολύπυρον teste Eust. 332, 6. — 449 περιχώcατο Alexio, καὶ οὕτωc μᾶλλον ἐπεκράτηcεν ἡ παράδοcιc: alii πέρι χώcατο, conf. H. T. 338 sq. — 453 τῇ: τῇ οὐ Aristodemus Nysaeus cum Sosiphane, conf. Eust. 763, 9. — 455 γούναcιν οἷcιν: ὅτι τινὲc γράφουcιν ἐμοῖcιν Aristonicus. οὕτωc διὰ τοῦ ε̅ ἐφέccεcθαι Didymus. — 456 Herodianus ἐπαράc et ἐπ' ἀράc. — 457 ἐπαινὴ: οἱ δὲ γράφουcι „καὶ ἐπ' αὐτῷ Περcεφόνεια“ Schol. LV. — 458—461 laudat Plutarchus de Audiendis poetis 8, qui addit ὁ μὲν οὖν Ἀρίcταρχοc ἐξεῖλε ταῦτα τὰ ἔπη φοβηθείc. quos si Aristarchus removisset, in editionibus antearistarcheis et in κοιναῖc scripti fuissent; sed neque Aristonico nec Didymo hi versus cogniti fuerant, unde patet de Aristarcho Plutarchum hariolari.

πατρὸς χωομένοιο κατὰ μέγαρα στρωφᾶσθαι.
ἦ μὲν πολλὰ ἔται καὶ ἀνεψιοὶ ἀμφὶς ἐόντες
αὐτοῦ λισσόμενοι κατερήτυον ἐν μεγάροισι,
πολλὰ δὲ ἴφια μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς
ἔσφαζον, πολλοὶ δὲ σύες θαλέθοντες ἀλοιφῇ
εὑόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο,
πολλὸν δ' ἐκ κεράμων μέθυ πίνετο τοῖο γέροντος.
εἰνάνυχες δέ μοι ἀμφ' αὐτῷ παρὰ νύκτας ἴαυον·
οἳ μὲν ἀμειβόμενοι φυλακὰς ἔχον, οὐδέ ποτ' ἔσβη
πῦρ, ἕτερον μὲν ὑπ' αἰθούσῃ εὐερκέος αὐλῆς,
ἄλλο δ' ἐνὶ προδόμῳ πρόσθεν θαλάμοιο θυράων.
ἀλλ' ὅτε δὴ δεκάτη μοι ἐπήλυθε νὺξ ἐρεβεννή,
καὶ τότ' ἐγὼ θαλάμοιο θύρας πυκινῶς ἀραρυίας
ῥήξας ἐξῆλθον, καὶ ὑπέρθορον ἑρκίον αὐλῆς,
ῥεῖα, λαθὼν φύλακάς τ' ἄνδρας δμῳάς τε γυναῖκας.
φεῦγον ἔπειτ' ἀπάνευθε δι' Ἑλλάδος εὐρυχόροιο,
Φθίην δ' ἐξικόμην ἐριβώλακα, μητέρα μήλων,
ἐς Πηλῆα ἄναχθ'· ὃ δέ με πρόφρων ὑπέδεκτο,
καί μ' ἐφίλησ' ὡς εἴ τε πατὴρ ὃν παῖδα φιλήσῃ,
μοῦνον τηλύγετον, πολλοῖσιν ἐπὶ κτεάτεσσι,
καί μ' ἀφνειὸν ἔθηκε, πολὺν δέ μοι ὤπασε λαόν·

V. L. 463 κατα AD. ἐνταῦθα σημείωσαι ὡς, εἴ περ κατά τινα τῶν ἀντιγράφων γράφεται „κατὰ μέγαρα στροφάασθαι“ διὰ μικροῦ $\overline{ο}$, ἔχοι ἂν μεγάλην ἀπορίαν καὶ δύσλυτον ἡ τοιαύτη γραφή Eust. 764, 2. — 464 πολλὰ: πολλοὶ Et. Mg. 386, 46. ἔται G. ἀμφὶς ἐόντες: ἐν ἄλλῳ ἐγγὺς ἐόντες A. — 465 μεγάροισι ACDEGH. — 466 εἰλίποδας EGL. — 469 πολὺ δὲ ἐκ G. πολλῶν δ' ἐκ S Apoll. Lex. 98, 5. — 470 εἰνάνυχες (ν supra scr.) C. παρὰ: περὶ G Mor. — 471 οἳ μὲν C. εἶχον C. — 472 ὑπαιθούσσηι A. ἐν αἰθούσῃ L. ὑπ' αἰθούσης Schol. A 120. Et. Mg. 32, 47. ἐν ἄλλῳ ἐν αἰθούσσῃ A. εὐεργέος Schol. A 120. — 473 ἐνι D. ἐπὶ Schol. E 137. — 474 omitt. D in textu, habet in marg. man. rec. scriptum. — 476 ἕρκιον EGL. — 477 τ' omitt. D. δμωιάς A. δμῶας G. — 478 φεύγων E bis G. φεῦγον δ' C. εὐρυχώροιο D 1. man. G. — 479 μήλων: θηρῶν Harl. — 480 πηλῆ' ἄνακτα G. ἄνακτα (χθ' supra scr.) A. γρ. ἐς πηλῆα ἄναχθ' A. — 481 μ' ἐφίλησ' ACS. μ' ἐφίλησε G Mor. Harl. Townl. Vrat. b. Apollon. de Synt. 122, 5. μ' ἐφίλησεν de Synt. 125, 3. με φίλησεν de Pron. 50 C. Bekk. Anecd. 1145. με φίλησέ τ' E. με φίλησ' DHL. ὡς εἴτε DE: ceteri ὡσείτε. φιλήσῃ AE: φιλήσει CDGHLS Cant. Mor. Barocc. Vrat. A. — 482 πολλοῖς G. ἐπι A. κτεάτεσσι CGH.

A. c. 464 Διονύσιος ὁ Θρᾷξ ἐν τῷ πρὸς Κράτητά φησι γεγραμμένου „ἀντιόωντες“ μεταθεῖναι τὸν Ἀρίσταρχον „ἀμφὶς ἐόντες“ Didymus. — 472 ὑπ': ἐν Aristarchus.

ναῖον δ' ἐσχατιὴν Φθίης Δολόπεσσιν ἀνάσσων.
καί σε τοσοῦτον ἔθηκα θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
ἐκ θυμοῦ φιλέων, ἐπεὶ οὐκ ἐθέλεσκες ἅμ' ἄλλῳ
οὔτ' ἐς δαῖτ' ἰέναι οὔτ' ἐν μεγάροισι πάσασθαι,
πρίν γ' ὅτε δή σ' ἐπ' ἐμοῖσιν ἐγὼ γούνεσσι καθίσσας
ὄψου τ' ἄσαιμι προταμὼν καὶ οἶνον ἐπισχών.
πολλάκι μοι κατέδευσας ἐπὶ στήθεσσι χιτῶνα
οἴνου ἀποβλύζων ἐν νηπιέῃ ἀλεγεινῇ.
ὣς ἐπὶ σοὶ μάλα πολλὰ πάθον καὶ πολλὰ μόγησα,
τὰ φρονέων, ὅ μοι οὔ τι θεοὶ γόνον ἐξετέλειον
ἐξ ἐμεῦ· ἀλλὰ σὲ παῖδα θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ
ποιεύμην, ἵνα μοί ποτ' ἀεικέα λοιγὸν ἀμύνῃς.
ἀλλ' Ἀχιλεῦ δάμασον θυμὸν μέγαν· οὐδέ τί σε χρὴ
νηλεὲς ἦτορ ἔχειν· στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί,
τῶν περ καὶ μείζων ἀρετὴ τιμή τε βίη τε.
καὶ μὲν τοὺς θυέεσσι καὶ εὐχωλῇς ἀγανῇσι
λοιβῇ τε κνίσῃ τε παρατρωπῶσ' ἄνθρωποι
λισσόμενοι, ὅτε κέν τις ὑπερβήῃ καὶ ἁμάρτῃ.
καὶ γάρ τε λιταί εἰσι Διὸς κοῦραι μεγάλοιο,
χωλαί τε ῥυσαί τε παραβλῶπές τ' ὀφθαλμώ,
αἵ ῥά τε καὶ μετόπισθ' ἄτης ἀλέγουσι κιοῦσαι.

V. L. 488 γούνεσσι A Townl. γούνασσι C. γούνασι (σ supra scr.) D. γούνασι EGH LS Eust. 1283, 36. καθίσας EG Eust. 1283, 36. — 489 ὄψου τ': ὄψου ACDHLS Cant. Townl. Vrat. b. — 490 πολλάκις L. ἐπὶ: ἐνὶ S Cant. στήθεσφι L. — 492 ὡς A. πολλὰ πάθον LS Cant. ceteri πόλλ' ἔπαθον. πόλλ' ἐμόγησα libri. — 493 θεὸς γόνον ἐξετέλειεν E. ἐξετέλεσσαν GL Mor. — 494 ἀλλὰ σὲ ACDE: ἀλλά σε GHL. ἀχϊλεῦ CH. — 495 ἵνά μοι L. ἀμύνοις E 767, 30; sed 765, 42 ἀμύνῃς. — 496 ἀχιλλεῦ G. οὐδέ τι σε χρὴ CDEGHL. — 497 τρεπτοὶ L Cram. An. Par. III, 385, 7. — 498 omittit Plato Rep. II, 364 D. — 499 καὶ τοὺς μὲν θυσίαισι Plato Rep. II, 364 D. εὐχωλαῖσιν ἀγαναῖσι G. εὐχωλῇσ' A. ἀγανῇσι ACDEH. — 500 κνίσσῃ CEGHL. ἐν ἄλλῳ λοίβης τε κνίσης τε A. παρατρωπῶσιν G. — 501 ὑπερβήῃ ADEG. ὑπερβήηι C. ὑπερβῖῃ H. ὑπερβείῃ καὶ ἁμάρτοι L. — 502 τοι λιταί L. τε omitt. G. λιταὶ εἰσὶ κοῦραι διὸς μεγάλοιο H. — 503 ῥυσσαί CEHLS. ὀφθαλμὼ CL. ὀφθαλμῷ HS. ὀφθαλμοὺς G. ὀφθαλμῶν AD Townl. Vrat. b, libri longe praestantissimi, cum Et. Mg. 641, 42. ὀφθαλμῶν ἢ ὀφθαλμὼ Eust. 768, 5 et 17. τὸ δὲ παραβλῶπες ὀφθαλμώ, ἤγουν ὀφθαλμούς, τέτριπται μὲν πλέον τοῦ ὀφθαλμῶν Eust. 768, 46. — 504 μετόπισθεν LS.

A. c. 488 οὕτως διὰ τοῦ $\overline{ε}$ γούνεσσι, ἔχει μέντοι λόγον καὶ ἡ διὰ τοῦ ἄλφα Didymus. — 492 ἀρίσταρχος πολλὰ πάθον καὶ πολλὰ μόγησα Didymus. — 494 ἀλλὰ σὲ Herodianus. — 503 παραβλῶπες Herodianus, προπερισπωμένως.

ἡ δ' ἄτη cθεναρή τε καὶ ἀρτίπος, οὕνεκα πάcας
πολλὸν ὑπεκπροθέει, φθάνει δέ τε πᾶcαν ἐπ' αἶαν
βλάπτουc' ἀνθρώπους· αἱ δ' ἐξακέονται ὀπίccω.
ὃc μέν τ' αἰδέcεται κούρας Διὸc ἆccον ἰούcας,
τὸν δὲ μέγ' ὤνηcαν καί τ' ἔκλυον εὐξαμένοιο·
ὃc δέ κ' ἀνήνηται καί τε cτερεῶc ἀποείπῃ,
λίccονται δ' ἄρα ταί γε Δία Κρονίωνα κιοῦcαι
τῷ ἄτην ἅμ' ἕπεcθαι, ἵνα βλαφθεὶc ἀποτίcῃ.
ἀλλ' Ἀχιλεῦ πόρε καὶ cὺ Διὸc κούρῃcιν ἕπεcθαι
τιμήν, ἥ τ' ἄλλων περ ἐπιγνάμπτει νόον ἐcθλῶν.
εἰ μὲν γὰρ μὴ δῶρα φέροι, τὰ δ' ὄπιcθ' ὀνομάζοι
Ἀτρείδηc, ἀλλ' αἰὲν ἐπιζαφελῶc χαλεπαίνοι,
οὐκ ἂν ἐγώ γέ cε μῆνιν ἀποῤῥίψαντα κελοίμην
Ἀργείοιcιν ἀμυνέμεναι χατέουcί περ ἔμπηc·
νῦν δ' ἅμα τ' αὐτίκα πολλὰ διδοῖ, τὰ δ' ὄπιcθεν ὑπέcτη,
ἄνδρας δὲ λίccεcθαι ἐπιπροέηκεν ἀρίcτους
κρινάμενοc κατὰ λαὸν Ἀχαιικόν, οἵ τε cοὶ αὐτῷ
φίλτατοι Ἀργείων· τῶν μὴ cύ γε μῦθον ἐλέγξῃc
μηδὲ πόδαc· πρὶν δ' οὔ τι νεμεccητὸν κεχολῶcθαι.
οὕτω καὶ τῶν πρόcθεν ἐπευθόμεθα κλέα ἀνδρῶν
ἡρώων, ὅτε κέν τιν' ἐπιζάφελοc χόλοc ἵκοι·
δωρητοί τε πέλοντο παράῤῥητοί τ' ἐπέεccι.
μέμνημαι τόδε ἔργον ἐγὼ πάλαι, οὔ τι νέον γε,

V. ι. 505 ἀρτίπουc CDGH. — 506 ἐπαῖαν D. — 507 αἳ δ' AD. αἵδ' CGL. ταὶ δ' Vrat. b. ὀπίcω E. — 508 ἆccov ACDEGHL. — 509 τόνδε CGHL. κέ τ' ἔκλυον D. εὐξαμένοιο ACDEGS et Heynii libri: εὐχομένοιο HL. — 510 δc δ' ἀνήνηται L. ἀνήνηται ACE bis. καὶ ἐκcτερεῶc G. — 511 δὴ ἄρα E. κίουcαι G. — 512 ἀποτίνῃ L. γρ. ἀποτίνηι A. — 513 ἀχιλλεῦ G. κούραιcιν L. — 514 περ omitt. G. ἐπιγνάπται DG Mor. Cant. Harl. Vrat. b. νόον: φρέναc E. — 515 γὰρ δὴ μὴ D. φέροι: διδοῖ Schol. I 164 ὀνομάζει G. — 516 ἐπι ζαφελῶc L. χαλεπαίνῃ G Barocc. — 519 ἅμ' αὐτίκα H Cant. ἅμ' αὐτίκ' S. ὄπιcθ' G Mor. ὄπιcθ' ὀνομάζει S Cant. Barocc. (?) — 520 ἄνδρε et ἀρίcτω G post ras. ἄνδραc τε S Cant. δ' ἐλίc-cεcθαι Vrat. b. ἐπι προέηκεν A. ἐπὶ cὲ προέηκεν G. — 521 ἀχαϊκὸν CGH. οἵτε cοι D. οἵ τέ cοι H. — 522 τῶν γε μὴ H. — 523 μὴ δὲ CDHL. νεμεcητὸν G. — 524 τῷ πρόcθεν G. — 525 κέν τιc L. ἥκοι Apoll. Lex. 73, 9. — 526 τ' ἐπέλοντο CEGLS Mor. Aristoteles Rhet. III, 9. παραρητοί DH. ἐπέεccι ACGH. — 527 νέον τε Vrat. A.

A. c. 506 φθάνει: ὅτι Ζηνόδοτοc γρ. φθανέει Aristonicus, conf. Schol. Φ 562. — 509 εὐξαμένοιο: ἀρίcταρχοc εὐχομένοιο Didymus. dedi ex libris fere omnibus εὐξαμένοιο, quod Homero est usitatum, conf. A 382, 453, Π 236, 531, φ 211. — 516 ἐπιζαφελῶc Herodianus.

ὡc ἦν· ἐν δ' ὑμῖν ἐρέω πάντεccι φίλοιcι.
Κουρῆτέc τ' ἐμάχοντο καὶ Αἰτωλοὶ μενεχάρμαι
ἀμφὶ πόλιν Καλυδῶνα καὶ ἀλλήλουc ἐνάριζον,
Αἰτωλοὶ μὲν ἀμυνόμενοι Καλυδῶνοc ἐραννῆc,
Κουρῆτεc δὲ διαπραθέειν μεμαῶτεc ἄρηι.
καὶ γὰρ τοῖcι κακὸν χρυcόθρονοc Ἄρτεμιc ὦρcε
χωcαμένη ὅ οἱ οὔ τι θαλύcια γουνῷ ἀλωῆc
Οἰνεὺc ῥέξ'· ἄλλοι δὲ θεοὶ δαίνυνθ' ἑκατόμβαc,
οἴῃ δ' οὐκ ἔῤῥεξε Διὸc κούρῃ μεγάλοιο,
ἢ λάθετ' ἢ οὐκ ἐνόηcεν· ἀάcατο δὲ μέγα θυμῷ.
ἡ δὲ χολωcαμένη δῖον γένοc ἰοχέαιρα
ὦρcεν ἔπι χλούνην cῦν ἄγριον ἀργιόδοντα,
ὃc κακὰ πόλλ' ἔρδεcκεν ἔθων Οἰνῆοc ἀλωήν·
πολλὰ δ' ὅ γε προθέλυμνα χαμαὶ βάλε δένδρεα μακρὰ
αὐτῇcιν ῥίζῃcι καὶ αὐτοῖc ἄνθεcι μήλων.
τὸν δ' υἱὸc Οἰνῆοc ἀπέκτεινεν Μελέαγροc,
πολλέων ἐκ πολίων θηρήτοραc ἄνδραc ἀγείραc
καὶ κύναc· οὐ μὲν γάρ κε δάμη παύροιcι βροτοῖcι·
τόccοc ἔην, πολλοὺc δὲ πυρῆc ἐπέβης' ἀλεγεινῆc.
ἡ δ' ἀμφ' αὐτῷ θῆκε πολὺν κέλαθον καὶ ἀυτήν,
ἀμφὶ cυὸc κεφαλῇ καὶ δέρματι λαχνήεντι,

V. ι. 528 φίλοιcι ACDEGH Rhet. Gr. III, 104, 14; 224, 9. — 529 τ' ἐμάχοντο libri cum Apoll. Lex. 103, 15. Et. Mg. 534, 14. Schol. Є 9. Eust. 282, 7. Strab. VIII, 340; X, 463 et 466. Rhet. Gr. III, 104, 14; 224, 9: τε μάχοντο Eust. 305, 31. — 531 ἐρα[illegible]νῆc C. ἐρατεινῆc C 1. man. (?) G. — 533 τοῖc G. ὦρcε ACDGHL. — 534 χωομένη H. ὅ, οἱ C. ἀλωιῆc A. ἀλωιῆc C. ἀλωῆc G, cf. 540. — 535 ῥέξ' H: ἔρξ' D Harl. Vrat. b. ἔρ(ε)ξ' A. ἔρξ' L. [illegible]ρεξ' C. ἔρεξ' C 1. man. G. — 537 ἀάccατο CL. δὲ: γὰρ L. — 538 ἢ δὲ C. — 539 ἔπι A: ἐπι CL. ἐπὶ DEGH. χλοῦ-νϊν C. θρέψεν ἐπὶ χλούνην cῦν ἄγριον οὐδὲ ἐῴκει θηρί γε cιτοφάγῳ, ἀλλὰ ῥίῳ ὑλήεντι Aristoteles Histor. animal. VI, 28. τὸ δὲ ὦρcε καὶ ἑξῆc εὕρηται παρὰ τῷ γεωγράφῳ „θρέψεν ἐπὶ χλούνην cῦν·" παρ' ᾧ καὶ cτίχοc εὕρηται οὗτοc ἐπηγμένοc· „οὐδὲ ἐῴκει θηρί γε cιτοφάγῳ ἀλλὰ ῥίῳ ὑλήεντι" Eust. 772, 46, conf. ι 190, 191. — 540 ἔρδεcκεν E 733, 23 L. ἀλωιὴν C, utroque spiritu. ἀλῳὴν Eust. 1240, 14. ἀλῳὴν Suidas I, 1, 242, 18. — 541 δένδρεα: δούρατα Max. Tyr. Diss. I, 3. — 542 αὐτῇcι DEG Et. Mg. 584, 10. Apoll. Lex. 112, 20. Schol. Θ 24. αὐτῇ cοι ῥίζοιcι Et. Gud. 385, 56. αὐτοῖcιν ἄνθεcι L. — 544 πολλῶν E. — 545 κε δάμη ADE 773, 58 H. γὰρ ἐδάμη E 770, 27. vulgo κ' ἐδάμη. βροτοῖcι ACDE GH. — 546 τόccov Cant. πυρῆc ἐπέθηκ' L. — 547 ἥδ' CHL. ἔθηκε E bis.

A. c. 534 ἀλῳῆc, conf. H. U. 212. — 537 ἢ λάθετ' ἢ οὐκ: ἐκλάθετ' οὐδ' Zenodotus. — 540 ἔρδεcκεν: ἔῤῥεζεν Ammonius, non ἔῤῥεξεν (Schol. L.)

Κουρήτων τε μεϲηγὺ καὶ Αἰτωλῶν μεγαθύμων.
ὄφρα μὲν οὖν Μελέαγροϲ ἀρηΐφιλοϲ πολέμιζε,
τόφρα δὲ Κουρήτεϲϲι κακῶϲ ἦν, οὐδὲ δύναντο
τείχεοϲ ἔκτοϲθεν μίμνειν πολέεϲ περ ἐόντεϲ·
ἀλλ' ὅτε δὴ Μελέαγρον ἔδυ χόλοϲ, ὅϲ τε καὶ ἄλλων
οἰδάνει ἐν ϲτήθεϲϲι νόον πύκα περ φρονεόντων,
ἤ τοι ὃ μητρὶ φίλῃ Ἀλθαίῃ χωόμενοϲ κῆρ
κεῖτο παρὰ μνηϲτῇ ἀλόχῳ, καλῇ Κλεοπάτρῃ,
κούρῃ Μαρπήϲϲηϲ καλλιϲφύρου Εὐηνίνηϲ
Ἴδεώ θ', ὃϲ κάρτιϲτοϲ ἐπιχθονίων γένετ' ἀνδρῶν
τῶν τότε, καί ῥα ἄνακτοϲ ἐναντίον εἵλετο τόξον
Φοίβου Ἀπόλλωνοϲ καλλιϲφύρου εἵνεκα νύμφηϲ·
τὴν δὲ τότ' ἐν μεγάροιϲι πατὴρ καὶ πότνια μήτηρ
Ἀλκυόνην καλέεϲκον ἐπώνυμον, οὕνεκ' ἄρ' αὐτῆϲ
μήτηρ ἀλκυόνοϲ πολυπενθέοϲ οἶτον ἔχουϲα
κλαῖ', ὅτε μιν ἑκάεργοϲ ἀνήρπαϲε Φοῖβοϲ Ἀπόλλων.
τῇ ὅ γε παρκατέλεκτο χόλον θυμαλγέα πέϲϲων,
ἐξ ἀρέων μητρὸϲ κεχολωμένοϲ, ἥ ῥα θεοῖϲι
πόλλ' ἀχέουϲ' ἠρᾶτο καϲιγνήτοιο φόνοιο,
πολλὰ δὲ καὶ γαῖαν πολυφόρβην χερϲὶν ἀλοία
κικλήϲκουϲ' Ἀίδην καὶ ἐπαινὴν Περϲεφόνειαν,
πρόχνυ καθεζομένη, δεύοντο δὲ δάκρυϲι κόλποι,

V. L. 549 κουρήτων τε AC. — 550 ἀρηΐφιλοϲ A. πολέμιζε ACDEHL. πτολέμιζε G. — 551 τόφρα μὲν D. οὐδὲ δύναντο CE bis HS Cant. Townl. οὐδὲ ἐδύναντο G. οὐδ' ἐδύναντο ADL. — 552 ἔκτοϲθε DE. — 554 οἰδαίνει G. ϲτήθεϲφι Apoll. Lex. 119, 24. — 555 ὃ ACDGHL. — 556 παρα A. — 557 μαρπήϲϲηϲ ACDH Lips. Harl. Vrat. b. μαρπήϲηϲ Townl. μαρπίϲϲηϲ EGLS. — 558 ἴδεω τε H. ὃϲ κάλλιϲτοϲ HL. ἐπὶ χθονίων D. τράφεν ἀνδρῶν H. — 559 καὶ ῥὰ DG. ῥ' ἄνακτοϲ Lips. τόξων G, ut videtur ex corr. — 562 ἂρ DEL. αὐτῇ ἢ αὐτῆϲ E. — 563 ἁλκυόνοϲ A. οἶτον: οἶκτον H. — 564 κλαῖεν ὅ μιν L. ἀφήρπαϲε A et γρ. ἀνήρπαϲε. — 566 ἐξαρέων AD. ἢ ῥὰ DGL. θεοῖϲι ACDEGHL. — 568 πολυφέρβην Schol. λ 423. — 569 ἐπαινὴν: αἰπεινὴν D Vrat. A, conf. 457. ἐπαινετὴν G c glossa. περϲεφόνειαν (φ suprascr.) A. — 570 καθιζομένη S. κόλπῳ (οι suprascr.) S.

A. c. 551 οὐδὲ δύναντο: οὐδ' ἐθέλεϲκον Aristophanes. — 558 ὁ δ' Ἀντίμαχοϲ τὰ Ὁμήρου κλέπτων παραδιορθοῖ. Ὁμήρου γὰρ εἰπόντοϲ „Ἴδεώ τ', ὃϲ κάρτιϲτοϲ ἐπιχθονίων γένετ' ἀνδρῶν" Ἀντίμαχοϲ λέγει „Ἴδεώ θ', ὃϲ κάρτιϲτοϲ ἐπιχθονίων ἦν ἀνδρῶν" Eusebius Praepar. Evang. X, 3, 20. — 564 ὅτε: οὕτωϲ Ζηνόδοτοϲ χρονικῶϲ et ἀρίϲταρχοϲ κλαῖε ὅ μιν Didymus. — 567 Aristarchus καϲιγνήτοιο: alii καϲιγνητοῖο.

παιδὶ δόμεν θάνατον· τῆϲ δ' ἠεροφοῖτιϲ ἐρινὺϲ
ἔκλυεν ἐξ ἐρέβεϲφιν ἀμείλιχον ἦτορ ἔχουϲα·
τῶν δὲ τάχ' ἀμφὶ πύλαϲ ὅμαδοϲ καὶ δοῦποϲ ὀρώρει
πύργων βαλλομένων· τὸν δὲ λίϲϲοντο γέροντεϲ
Αἰτωλῶν, πέμπον δὲ θεῶν ἱερῆαϲ ἀρίϲτουϲ,
ἐξελθεῖν καὶ ἀμῦναι, ὑποϲχόμενοι μέγα δῶρον·
ὁππόθι πιότατον πεδίον Καλυδῶνοϲ ἐραννῆϲ,
ἔνθά μιν ἤνωγον τέμενοϲ περικαλλὲϲ ἑλέϲθαι
πεντηκοντόγυον, τὸ μὲν ἥμιϲυ οἰνοπέδοιο,
ἥμιϲυ δὲ ψιλὴν ἄροϲιν πεδίοιο ταμέϲθαι.
πολλὰ δέ μιν λιτάνευε γέρων ἱππηλάτα Οἰνεὺϲ
οὐδοῦ ἐπεμβεβαὼϲ ὑψηρεφέοϲ θαλάμοιο,
ϲείων κολλητὰϲ ϲανίδαϲ, γουνούμενοϲ υἱόν·
πολλὰ δὲ τόν γε καϲίγνηται καὶ πότνια μήτηρ
ἐλλίϲϲονθ'· ὃ δὲ μᾶλλον ἀναίνετο· πολλὰ δ' ἑταῖροι,
οἵ οἱ κεδνότατοι καὶ φίλτατοι ἦϲαν ἁπάντων·
ἀλλ' οὐδ' ὣϲ τοῦ θυμὸν ἐνὶ ϲτήθεϲϲιν ἔπειθον,
πρίν γ' ὅτε δὴ θάλαμοϲ πύκ' ἐβάλλετο, τοὶ δ' ἐπὶ πύργων
βαῖνον Κουρῆτεϲ καὶ ἐνέπρηθον μέγα ἄϲτυ.
καὶ τότε δὴ Μελέαγρον ἐΰζωνοϲ παράκοιτιϲ
λίϲϲετ' ὀδυρομένη, καί οἱ κατέλεξεν ἅπαντα

V. L. 571 ἠεροφοίτηϲ G. ἱεροφοῖτιϲ H. ἐρινὺϲ D post ras. H. ἐριννὺϲ CEG. ἐρῖνῦϲ A. ἐριννῦϲ L. — 572 ἐρέβευϲφιν ACDEGHLS et Heynii omnes. ἀμείλικτον CD. — 573 τῶνδε G. ἀμφι A. ὅμαδοϲ G. — 574 δὲ λίϲϲοντο ACS Cant. Harl. Lips. δ' ἐλίϲϲοντο DEH. δ' ἐλίϲοντο GL. — 576 ἀμύναι C. ὑπιϲχόμενοι Et. Mg. 783, 51, conf. ο 463. — 577 ἐρα||||||νῆϲ C. ἐρανῆϲ D. — 578 ἔνθά μιν ACDL. ἀνώγεον G. περικαλὲϲ D. — 579 πεντηκοντόγυον A. πεντηκοντόγυιον D. οἰνοπέδιον Apoll. Lex. 153, 28. — 582 ἐπ" ἐμβεβαὼϲ A. ἐπεμβεβαὼϲ ἢ ὑπερβεβαὼϲ E. ὑψηρεφέοϲ A. ὑψιρεφέοϲ C. — 584 τόνγε ACDEH Harl. Lips. Mosc. 3. τόνδε HLS Schol. K 167. καϲιγνήτη Schol. K 167. — 585 ἐλλίϲονθ' D. ἐλίϲϲονθ' CHLS Lips. Harl. Schol. K 167. ἐλίϲϲοντο E. ὃ δὲ C. — 586 οἵ, οἱ AC. οἵ οἱ κήδιϲτοι L, conf. κ 225. — 587 ὥϲ A: ceteri ὣϲ. ἐνι D. — 588 πύκ' ἐβάλλετο ACDEL Harl. Townl. Vrat. b. A: vulgo πύκα βάλλετο. H πῦρ ἐβάλλετο. πύργῳ ἢ ἐπὶ πύργων Eust. 770, 36; 777, 2. — 590 εὔζωνοϲ H.

A. c. 574 οὕτωϲ Ἀρίϲταρχοϲ δὲ λίϲϲοντο (Cod. δ' ἐλίϲϲοντο) δι' ἑνὸϲ λ̄ Didymus. — 580 ψιλὴν: διὰ τοῦ ϲ̄, ψιλῆϲ γῆϲ. οὕτωϲ αἱ Ἀριϲτάρχου. δῆλον δὲ ὅτι ἐλλείπει ἡ εἰϲ, ἵν' ᾖ εἰϲ ἄροϲιν Didymus. — 584 καϲίγνηται Aristarchus: alii καϲίγνητοι.

κῆδε', ὅc' ἀνθρώποιcι πέλει τῶν ἄcτυ ἁλώῃ·
ἄνδραc μὲν κτείνουcι, πόλιν δέ τε πῦρ ἀμαθύνει,
τέκνα δέ τ' ἄλλοι ἄγουcι βαθυζώνουc τε γυναῖκαc.
τοῦ δ' ὠρίνετο θυμὸc ἀκούοντοc κακὰ ἔργα,
βῆ δ' ἰέναι, χροῒ δ' ἔντε' ἐδύcετο παμφανόωντα.
ὣc ὃ μὲν Αἰτωλοῖcιν ἀπήμυνεν κακὸν ἦμαρ
εἴξαc ᾧ θυμῷ· τῷ δ' οὐκέτι δῶρα τέλεccαν
πολλά τε καὶ χαρίεντα, κακὸν δ' ἤμυνε καὶ αὔτωc.
ἀλλὰ cὺ μή τοι ταῦτα νόει φρεcί, μηδέ cε δαίμων
ἐνταῦθα τρέψειε, φίλοc· χαλεπὸν δέ κεν εἴη
νηυcὶν καιομένῃcιν ἀμυνέμεν· ἀλλ' ἐπὶ δώροιc
ἔρχεο· ἶcον γάρ cε θεῷ τίcουcιν Ἀχαιοί·
εἰ δέ κ' ἄτερ δώρων πόλεμον φθιcήνορα δύῃc,
οὐκέθ' ὁμῶc τιμῆc ἔcεαι πόλεμόν περ ἀλαλκών.
τὸν δ' ἀπαμειβόμενοc προcέφη πόδαc ὠκὺc Ἀχιλλεύc·
Φοῖνιξ, ἄττα γεραιέ, διοτρεφέc, οὔ τί με ταύτηc
χρεὼ τιμῆc· φρονέω δὲ τετιμῆcθαι Διὸc αἴcῃ,
ἥ μ' ἕξει παρὰ νηυcὶ κορωνίcιν, εἰc ὅ κ' ἀυτμὴ
ἐν cτήθεccι μένῃ καί μοι φίλα γούνατ' ὀρώρῃ.
ἄλλο δέ τοι ἐρέω, cὺ δ' ἐνὶ φρεcὶ βάλλεο cῇcι·

V. ι. 592 κήδεα ὅcc' G. ἁλώῃ G. ἁλώηι A. ἁλῴη E bis, idem 1047, 18; 1268, 27. ἁλώη HL. ἀλώη CD. ὅccα κάκ' ἀνθρώποιcι πέλει τῶν ἄcτυ ἁλῴη Aristot. Rhet. I, 7. — 593 ἄνδραc μὲν κτείνουcι: λαοὶ μὲν φθινύθουcι Aristot. Rhet. I, 7, conf. Z 327. — 594 τὲ C. — 595 ὠρύνετο G. ὠρνύετο S. — 596 ἐδύcετο CD Schol. N 191. ἐδύcε^{α}το A. ἐδύcατο GLS. ἐδύccατο EH. — 597 ὡc A. ὃ μὲν C. ἀπήμυνε DEGH. — 598 δῶρα τέλεcαν E: ceteri δῶρ' ἐτέλεccαν. — 599 ἄμυνε L. αὕτωc AE bis L Mor. οὕτωc H. — 600 μή μοι E. μὴ δέ cε ACDGHL. — 601 χαλεπὸν ADH: κάκιον CEGLS. γρ. κάκιον A. — 602 νηυcὶ DEGH. ἐπι A. δώροιc ACD EGS: δώρων HL. — 603 ἶcον D. — 604 δοίηc D 1. man. δύοιc Townl. — 605 τιμῆc ACDGHS. ἔccεαι G. ἀλαλκῶν D. ἀνάλκων Lips. Vrat. A. — 606 ἀχιλεύc C. — 607 φοίνιξ DL. διοτροφὲc GH. οὔτε με L. — 608 διὸc μοίρᾳ G Mor. Barocc. e glossa. — 609 παρα A. κορωνῇcιν G. εἰc ὅκ' A. εἰcόκεν DE. ceteri εἰcόκ'. — 610 μένει D Vrat. c. μένει^{οι} L. καί με H. ὀρώρει D. Vrat. b. 2. man. ὀρώροι HL. ὀρώιρηι A. — 611 ἐνι AD. cῇcι ACGH.

A. c. 594 δέ τ' ἄλλοι: ὅτι Ζηνόδοτοc γράφει „τέκνα δὲ δήϊοι (δῆοι?) ἄγουcι Aristonicus. — 602 δώροιc: ἀρίcταρχοc ἐπὶ δώρων, ὅ ἐcτι μετὰ δώρων Didymus. — 605 Aristarchus et Chaeris τιμῆc: alii τιμῆc pro τιμήειc. scripsi cum Aristarcho et libris τιμῆc, sed ita, ut non pro genitivo nominis τιμή habeam, sed pro nominativo adiectivi τιμήειc, quod si contrahitur non habet ἰῶτα προcγεγραμμένον, conf. H. U. 221.

μή μοι cύγχει θυμὸν ὀδυρόμενοc καὶ ἀχεύων,
Ἀτρείδῃ ἥρωι φέρων χάριν· οὐδέ τί cε χρὴ
τὸν φιλέειν, ἵνα μή μοι ἀπέχθηαι φιλέοντι.
καλόν τοι cὺν ἐμοὶ τὸν κήδειν, ὅc κ' ἐμὲ κήδῃ.
ἶcον ἐμοὶ βαcίλευε καὶ ἥμιcυ μείρεο τιμῆc.
οὗτοι δ' ἀγγελέουcι, cὺ δ' αὐτόθι λέξεο μίμνων
εὐνῇ ἔνι μαλακῇ· ἅμα δ' ἠοῖ φαινομένηφι
φραccόμεθ' ἤ κε νεώμεθ' ἐφ' ἡμέτερ', ἦ κε μένωμεν.
ἦ, καὶ Πατρόκλῳ ὅ γ' ἐπ' ὀφρύcι νεῦcε cιωπῇ
Φοίνικι cτορέcαι πυκινὸν λέχοc, ὄφρα τάχιcτα
ἐκ κλιcίηc νόcτοιο μεδοίατο. τοῖcι δ' ἄρ' Αἴαc
ἀντίθεοc Τελαμωνιάδηc μετὰ μῦθον ἔειπε·
διογενὲc Λαερτιάδη, πολυμήχαν' Ὀδυccεῦ,
ἴομεν· οὐ γάρ μοι δοκέει μύθοιο τελευτὴ
τῇδέ γ' ὁδῷ κρανέεcθαι· ἀπαγγεῖλαι δὲ τάχιcτα
χρὴ μῦθον Δαναοῖcι καὶ οὐκ ἀγαθόν περ ἐόντα,
οἵ που νῦν ἕαται ποτιδέγμενοι. αὐτὰρ Ἀχιλλεὺc
ἄγριον ἐν cτήθεccι θέτο μεγαλήτορα θυμόν,
cχέτλιοc, οὐδὲ μετατρέπεται φιλότητοc ἑταίρων
τῆc, ᾗ μιν παρὰ νηυcὶν ἐτίομεν ἔξοχον ἄλλων,
νηλήc· καὶ μέν τίc τε καcιγνήτοιο φονῆοc
ποινὴν ἢ οὗ παιδὸc ἐδέξατο τεθνηῶτοc·

V. ι. 612 cύγχῃ Townl. ὀδυρόμενοc καὶ ἀχεύων (ita libri omnes) ἢ καὶ ἄλλωc μή μοι cύγχει θυμὸν ἐνὶ cτήθεccιν ἀχεύων Eust. 778, 12. — 613 οὐδέ τι cε χρὴ ACDGHL. — 614 ἀπέχθηιαι D. ἀπέχθῃ G. — 615 ὅc κέ με AES Cant. Vrat. b. Et. Mg. 509, 29. Apoll. Lex. 98, 29. ὃc κε με G. ὃc κέ με CH. ὡc κέ με L. κήδει DHS Cant. Vrat. b. 1. man. Et. Mg. 509, 29. Apoll. Lex. 98, 29. κήδει^{η} L. — 618 ἔνι Schol. A 436. ἐνι AD. ἐνὶ CDGHL Zonar. Lex. 909. Et. Mg. 393, 54. δ' omitt. H. φαινομένηφι ADL: φαινομένῃφι CEGH. — 619 ἠὲ μένωμεν G Cant. Mor. ή^{κ}||||ὲ μένωμεν A. — 622 ἂρ DGL. ἀρ A. — 623 μετα ACL. ἔειπε A. — 625 τελευτὴν S. — 626 τῇ δέ θ' ὁδῷ G. τῆιδ' ὁδῶι C. — 627 post hunc εἰπέμεν ἀτρείδῃc ἀγαμέμνονι καὶ μενελάῳ G(ἀτρείδῃ)S Cant. Barocc. Mor. Vrat. A, conf. H 373. — 628 ἕαται AD. εἴαται C. προτιδέγμενοι D. ἀχιλεύc C. — 631 ἥν μιν L. — 632 νηλίc G. καί κέν τίc Schol. Ω 694. φονῆοc^{οιο} A. φόνοιο CDE bis GHLS. — 633 τεθνηῶτοc L Vrat. b. τεθνει^{ηι}ῶτοc A. τεθνειῶτοc CDEGHS Schol. Soph. El. 210. Suidas II, 2, 537, 12.

A. c. 612 ἀρίcταρχοc ἐνὶ cτήθεccιν ἀχεύων Didymus. ὀδυρόμενοc κινυρίζων Zenodotus. — 614 μή μοι: μὴ μοὶ Ptolemaeus Ascalonita. — 632 τίc τε: ἀρίcταρχοc διὰ τοῦ $\overline{γε}$ Didymus. φονῆοc Aristarchus, non φόνοιο, ut 567. — 633 τεθνειῶτοc: διὰ τοῦ $\overline{η}$ αἱ ἀριcτάρχου Didymus.

καί ῥ' ὃ μὲν ἐν δήμῳ μένει αὐτοῦ πόλλ' ἀποτίσας,
τοῦ δέ τ' ἐρητύεται κραδίη καὶ θυμὸς ἀγήνωρ
ποινὴν δεξαμένῳ. σοὶ δ' ἄληκτόν τε κακόν τε
θυμὸν ἐνὶ στήθεσσι θεοὶ θέσαν εἵνεκα κούρης
οἴης. νῦν δέ τοι ἑπτὰ παρίσχομεν ἔξοχ' ἀρίστας,
ἄλλά τε πόλλ' ἐπὶ τῇσι· σὺ δ' ἵλαον ἔνθεο θυμόν,
αἴδεσσαι δὲ μέλαθρον· ὑπωρόφιοι δέ τοί εἰμεν
πληθύος ἐκ Δαναῶν, μέμαμεν δέ τοι ἔξοχον ἄλλων
κήδιστοί τ' ἔμεναι καὶ φίλτατοι, ὅσσοι Ἀχαιοί.
τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Αἶαν διογενές, Τελαμώνιε, κοίρανε λαῶν,
πάντά τί μοι κατὰ θυμὸν ἐείσω μυθήσασθαι·
ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ, ὁππότ' ἐκείνων
μνήσομαι, ὥς μ' ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν
Ἀτρείδης, ὡς εἴ τιν' ἀτίμητον μετανάστην.
ἀλλ' ὑμεῖς ἔρχεσθε καὶ ἀγγελίην ἀπόφασθε·
οὐ γὰρ πρὶν πολέμοιο μεδήσομαι αἱματόεντος,
πρίν γ' υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον,
Μυρμιδόνων ἐπί τε κλισίας καὶ νῆας ἱκέσθαι
κτείνοντ' Ἀργείους, κατά τε σμῦξαι πυρὶ νῆας.

V. l. 634 ὃ μὲν C. ἀλλ' ὁ μὲν Schol. Soph. El. 210. — 635 τοῦ δέ τ': τοῦδ' ἔτ' GL. τοῦδ' D. — 636 δεξαμένῳ AC 1. man. D 1. man. H Schol. Soph. El. 210: vulgo δεξαμένου. ἄληκτόν CDGH. — 637 ἐνι AD. ἐν E. οὕνεκα C. — 638 παρέσχομεν L. — 639 ἄλλά τε ACH. ἐπι A. τοῖσι L. ἶλαον A. — 640 αἴδεσθαι S. ὑπορόφιοι G. δέ τοι εἰμὲν ACDEL. δέ τοι εἶμεν H. δέ τοι ἐσμὲν G. — 642 κήδεστοι Vrat. A. κύδιστοι Schol. ε[η] 310. κύδιστοι Lips. ὅσοι D. — 644 κοίραν' ἀχαιῶν G Mor. — 645 πάντα δή μοι H. ἐείσω ACDGHS Cant. Mor. Barocc. Townl. Lips. Vrat. b. c. A. Mosc. 3. Plato Cratyl. 428 C: ἐείσαο E bis L. — 646 κραδίηι A. ὁππότ' ἐκείνων ADHL Et. Mg. 824, 32. ὁππότε κείνων CE Cant. Harl. ὁππότ' ἐκείνου G Mor. Pseudoplut. 136, 19. — 647 ὥς μ' libri: ὅς μ' Et. Mg. 160, 36. Et. Gud. 87, 29. Pseudoplut. 136, 19. ἔρεξεν: ἔθηκε Et. Gud. 582, 19. — 648 ὡς εἴ D: ceteri ὡσεί. — 653 σμύξαι ACE bis Et. Gud. 266, 47. Schol. Λ 666. σμίξαι G. σμῦξαι DH Plato Hipp. min. 371 C. Schol. Apoll. Rhod. III, 762. Cram. An. Ox. II, 447, 22. καὶ ἐπισμύξαι Schol. γ 195. ἀργείους τε κατασμύξαι L. γρ. ὅτι καὶ κατά τε φλέξαι A.

A. c. 636 δεξαμένῳ, conf. Κ 187, Ξ 139, ψ 205. — 639 οὕτως ἐπὶ τῇσι ἐν ἁπάσαις Didymus. — 641 ὅτι Ζηνόδοτος γράφει ἀθρόοι ἐκ Δαναῶν Aristonicus. — 645 ἐείσω: ἔν τισι τῶν ὑπομνημάτων διῃρημένως ἐείσαο Didymus, conf. ἐπεφράσω Φ 410, ἐκρέμω Ο 18, 21, ἐκτήσω ω 193. — 653 οὕτως σμύξαι Ἀρίσταρχος· οἶδε [δὲ] καὶ τὴν φλέξαι γραφήν Didymus.

ἀμφὶ δέ τοι τῇ 'μῇ κλισίῃ καὶ νηὶ μελαίνῃ
Ἕκτορα καὶ μεμαῶτα μάχης σχήσεσθαι ὀίω.
ὣς ἔφαθ', οἳ δὲ ἕκαστος ἑλὼν δέπας ἀμφικύπελλον
σπείσαντες παρὰ νῆας ἴσαν πάλιν· ἦρχε δ' Ὀδυσσεύς.
Πάτροκλος δ' ἑτάροισιν ἰδὲ δμῳῇσι κέλευσε
Φοίνικι στορέσαι πυκινὸν λέχος ὅττι τάχιστα.
αἳ δ' ἐπιπειθόμεναι στόρεσαν λέχος ὡς ἐκέλευσε,
κώεά τε ῥῆγός τε λίνοιό τε λεπτὸν ἄωτον.
ἔνθ' ὁ γέρων κατέλεκτο καὶ ἠῶ δῖαν ἔμιμνεν.
αὐτὰρ Ἀχιλλεὺς εὗδε μυχῷ κλισίης εὐπήκτου·
τῷ δ' ἄρα παρκατέλεκτο γυνή, τὴν Λεσβόθεν ἦγε,
Φόρβαντος θυγάτηρ, Διομήδη καλλιπάρηος.
Πάτροκλος δ' ἑτέρωθεν ἐλέξατο· πὰρ δ' ἄρα καὶ τῷ
Ἶφις ἐύζωνος, τήν οἱ πόρε δῖος Ἀχιλλεὺς
Σκῦρον ἑλὼν αἰπεῖαν, Ἐνυῆος πτολίεθρον.
οἳ δ' ὅτε δὴ κλισίῃσιν ἐν Ἀτρείδαο γένοντο,
τοὺς μὲν ἄρα χρυσέοισι κυπέλλοις υἷες Ἀχαιῶν
δειδέχατ' ἄλλοθεν ἄλλος ἀνασταδὸν ἔκ τ' ἐρέοντο·
πρῶτος δ' ἐξερέεινεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
εἴπ' ἄγε μ' ὦ πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν,
ἤ ῥ' ἐθέλει νήεσσιν ἀλεξέμεναι δήιον πῦρ,
ἦ ἀπέειπε, χόλος δ' ἔτ' ἔχει μεγαλήτορα θυμόν;
τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·

V. l. 654 ἀμφι D. δέ τοι: δέ μιν Plato Hipp. min. 371 C. τῇ 'μῆι A. τῆ μῆι D. τῇ 'μῇ CEG Plato Hipp. min. 371 C. Cram. An. Par. III, 380, 22. τῆ 'μῆ L. τῇ μῇ S. τὴμῇ Apoll. de Synt. 126, 19. τὴμῇ Et. Mg. 757, 25. Schol. Ν 817. τημῇ Zonar. Lex. 1728. τ' ἡμῇ H. — 655 μάχη, σχήσεσθαι L. σχήσασθαι G. — 656 ὡς A. οἳ δὲ C. οἵδ' GL. — 658 ἠδὲ H δμωιῆισι A. δμωῖσι L. κέλευσε ACG. κέλευε E. ceteri κέλευσεν. — 659, 660 omitt. G et pro his in margine habet στίχος φοίνικϊ στορέσαι πυκινὸν λέχος ὡς ἐκέλευσε. — 660 αἳ δ' D. αἵδ' CL. ὧς S. ἐκέλευσε ACDH. ἐκέλευεν et ἐκέλευε E. ἐκέλευε Vrat. A. — 662 δίαν DH. ἔμιμνε H. — 663 ἀχϊλεὺς C. ἐϋπήκτου CGH: εὐπήκτου ADEL. — 664 ἦγε ACEGH. — 665 καλλιπάρῃος EHL: ceteri καλλιπάρηος. — 666 παρ C. — 667 εὔζωνος GHL. τὴν οἷ G. ἀχϊλεύς C. — 668 σκύρρον L. — 669 οἳ δ' CHL. κλισίῃσιν CG. κλισίῃς HL. κλισίην AD, conf. Η 313. — 673 εἶπ' CD. εἰπ'' A. ὀδυσσεῦ DGH. — 674 ἐθέλῃ Vrat. b. ἀλεξέμεναι ACDGH Harl. Townl. Vrat. b. A. ἀμυνέμεναι ELS. — 675 δ' ἔτ' AEG: δέ τ' CDHL. — 676 προσέειπεν D.

A. c. 654 τῇ ἐμῇ, conf. H. U. 287. — 657 σπείσαντες: ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου λείψαντες, καὶ ἐν πολλαῖς τῶν ἀρχαίων Didymus. — 660 ὡς ἐκέλευσε: Ζηνόδοτος ἐγκονέουσαι Schol. L. — 664 Zenodotus τῷ δὲ γυνὴ παρέλεκτο Κάειρ', ἣν Λεσβόθεν ἦγε.

Ἀτρείδη κύδιϲτε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
κεῖνόϲ γ' οὐκ ἐθέλει ϲβέϲϲαι χόλον, ἀλλ' ἔτι μᾶλλον
πιμπλάνεται μένεοϲ, ϲὲ δ' ἀναίνεται ἠδὲ ϲὰ δῶρα.
αὐτόν ϲε φράζεϲθαι ἐν Ἀργείοιϲιν ἄνωγεν,
ὅππωϲ κεν νῆάϲ τε ϲόῳϲ καὶ λαὸν Ἀχαιῶν.
αὐτὸϲ δ' ἠπείληϲεν ἅμ' ἠοῖ φαινομένηφι
νῆαϲ ἐυϲϲέλμουϲ ἅλα δ' ἑλκέμεν ἀμφιελίϲϲαϲ.
καὶ δ' ἂν τοῖϲ ἄλλοιϲιν ἔφη παραμυθήϲαϲθαι
οἴκαδ' ἀποπλείειν, ἐπεὶ οὐκέτι δήετε τέκμωρ
Ἰλίου αἰπεινῆϲ· μάλα γάρ ἑθεν εὐρύοπα Ζεὺϲ
χεῖρα ἑὴν ὑπερέϲχε, τεθαρϲήκαϲι δὲ λαοί.
ὣϲ ἔφατ'· εἰϲὶ καὶ οἵδε τάδ' εἰπέμεν, οἵ μοι ἕποντο,
Αἴαϲ καὶ κήρυκε δύω, πεπνυμένω ἄμφω.
Φοῖνιξ δ' αὖθ' ὁ γέρων κατελέξατο· ὣϲ γὰρ ἀνώγει,
ὄφρά οἱ ἐν νήεϲϲι φίλην ἐϲ πατρίδ' ἕπηται
αὔριον, ἢν ἐθέληϲιν· ἀνάγκῃ δ' οὔ τί μιν ἄξει.
ὣϲ ἔφαθ', οἳ δ' ἄρα πάντεϲ ἀκὴν ἐγένοντο ϲιωπῇ
μῦθον ἀγαϲϲάμενοι· μάλα γὰρ κρατερῶϲ ἀγόρευϲε.
δὴν δ' ἄνεῳ ἦϲαν τετιηότεϲ υἷεϲ Ἀχαιῶν·
ὀψὲ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸϲ Διομήδηϲ·
Ἀτρείδη κύδιϲτε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,

V. ι. 678 οὐ θέλει G. ϲβέϲαι CDEGH. — 680 αὐτόν ϲε CDLS Apoll. de Synt. 138, 8: αὐτὸν ϲὲ AGH. — 681 ϲόῳϲ: ϲόηϲ AH Cant. Lips. Townl. Vrat. a. b. A. ϲόηϲ CLS. ϲώιηιϲ D 1. man. ϲώηιϲ D 2. man. ϲόοιϲ Vrat. c. Mosc. 3. ϲώϲῃϲ G Mor. Barocc. — 682 φαινομένηφι ADL. φαινομένηφι CEGH. — 683 ἐϋϲέλμουϲ CDEGH. ἑλξέμεν L. — 685 δήεται DH. — 686 γὰρ ἔθεν CDGHL. — 688 ὡϲ A. γρ. εἶϲι C man. rec. οἶδε A. εἰϲὶ δὲ οἵδε Lips. — 689 κήρυκεϲ H. — 690 φοίνιξ D. παρελέξατο G. ὡϲ A. — 691 ὄφρά οἱ ACDHL. ὄφρα οἳ G. — 692 οὔτι μὴν D. μὶν G. — 693 ὡϲ A. οἳ δ' L. οἵδ' CG. — 694 ἀγόρευϲε AH. ἀγόρευϲεν DEL. ἀγόρευε C Harl. Vrat. A. ἀπέειπε G Cant. Barocc. Mor. ἀπόειπεν S. — 695 ἄνεῳ AEGLS Et. Mg. 266, 9.

A. c. 680 αὐτόν ϲε Herodianus cum Apollonio: αὐτὸν ϲὲ Ptolemaeus Ascalonita. — 681 Ἀρίϲταρχοϲ ϲοῷϲ καὶ ϲαῷϲ Didymus, conf. Herod. ad Ι 393. — 688–692 ἀθετοῦνται Aristonicus. τούτουϲ τοὺϲ ϲτίχουϲ Ἀριϲτοφάνηϲ ἠθέτει, Ζηνόδοτοϲ τὸν αὔριον (692) μόνον Didymus. — 694 Ζηνόδοτοϲ μὲν οὐ γράφει, Ἀρίϲταρχοϲ δὲ ἀθετεῖ Schol. A. Ζηνόδοτοϲ δὲ τὸν ϲτίχον οὐκ ἔγραφεν, Ἀριϲτοφάνηϲ δὲ ἠθέτει Didymus. ἀγαϲϲάμενοι: γράφεται καὶ φραϲϲάμενοι, conf. Schol. Θ 29. — 698 μή: διὰ τοῦ $\overline{\delta}$ οὕτωϲ ἀρίϲταρχοϲ μηδ' ὄφελεϲ Didymus.

μὴ ὄφελεϲ λίϲϲεϲθαι ἀμύμονα Πηλείωνα,
μυρία δῶρα διδούϲ· ὃ δ' ἀγήνωρ ἐϲτὶ καὶ ἄλλωϲ·
νῦν αὖ μιν πολὺ μᾶλλον ἀγηνορίῃϲιν ἐνῆκαϲ.
ἀλλ' ἤ τοι κεῖνον μὲν ἐάϲομεν, ἤ κεν ἴῃϲιν,
ἤ κε μένῃ· τότε δ' αὖτε μαχήϲεται, ὁππότε κέν μιν
θυμὸϲ ἐνὶ ϲτήθεϲϲιν ἀνώγῃ καὶ θεὸϲ ὄρϲῃ.
ἀλλ' ἄγεθ', ὡϲ ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντεϲ·
νῦν μὲν κοιμήϲαϲθε τεταρπόμενοι φίλον ἦτορ
ϲίτου καὶ οἴνοιο· τὸ γὰρ μένοϲ ἐϲτὶ καὶ ἀλκή·
αὐτὰρ ἐπεί κε φανῇ καλὴ ῥοδοδάκτυλοϲ ἠώϲ,
καρπαλίμωϲ πρὸ νεῶν ἐχέμεν λαόν τε καὶ ἵππουϲ
ὀτρύνων, καὶ δ' αὐτὸϲ ἐνὶ πρώτοιϲι μάχεϲθαι.
ὣϲ ἔφαθ', οἳ δ' ἄρα πάντεϲ ἐπήνηϲαν βαϲιλῆεϲ,
μῦθον ἀγαϲϲάμενοι Διομήδεοϲ ἱπποδάμοιο.
καὶ τότε δὴ ϲπείϲαντεϲ ἔβαν κλιϲίην δὲ ἕκαϲτοϲ,
ἔνθα δὲ κοιμήϲαντο καὶ ὕπνου δῶρον ἕλοντο.

ΙΛΙΑΔΟϹ Κ.

Ἄλλοι μὲν παρὰ νηυϲὶν ἀριϲτῆεϲ Παναχαιῶν
εὗδον παννύχιοι, μαλακῷ δεδμημένοι ὕπνῳ·

V. ι. 698 μὴ ὄφελεϲ AEHLS Schol. Aristoph. Nub. 41. Schol. Eurip. Med. 1. Et. Mg. 586, 18. Et. Gud. 390, 18. Zonar. Lex. 1490. Schol. Ι 63, Π 25, 74, 76. Apoll. Lex. 7, 17. Cram. An. Ox. II, 431, 5. μὴ ὤφελεϲ D Eust. 1046, 17. μὴ δ' ὄφελεϲ C. μηδ' ὄφελεϲ G. ἀμύμονα Πηλείωνα: ἀμύμονοϲ Αἰακίδαο Schol. Aristoph. Nub. 41. — 699 ὃ δ' D. ὅδ' GHL. ἄλλωϲ: γρ. καὶ αὔτωϲ A. — 703 ἐνὶ D. ϲτήθεϲϲιν ἀνώγῃ: ἀνώγει Townl. Vrat. c. Mosc. 3. ϲτήθεϲϲιν ὀρίνῃ E. ϲτήθεϲϲι κελεύοι L. — 704 ἐγὼ CD GHLS et Heynii omnes. — 707 ῥοδοδάκτυλοϲ A. ἠώϲ D. — 708 προ AD. — 709 ἐνι AD. ἐν C. — 710 ὡϲ A. οἵδ' CGHL. ἐπήνηϲαν ACEL Harl. Vrat. b. ἐπήνεϲαν DGHS. — 712 κλιϲίην δὲ D. κλιϲίηνδ' E. κλιϲίηθεν C et man. rec. γρ. κλιϲίηνδε. — 713 ἔνθαδε D. ἐνθάδε G.

A. c. 700 ἐνῆκαϲ: ἔν τιϲι τῶν ὑπομνημάτων διὰ τοῦ $\overline{\alpha}$ ἀνῆκαϲ Didymus.

V. ι. 1 ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρεϲ [ἱπποκορυϲταὶ] Aristoteles Poet. 25. παναχαιῶν A.

A. c. Φαϲὶ τὴν ῥαψῳδίαν ὑφ' Ὁμήρου ἰδίᾳ τετάχθαι καὶ μὴ εἶναι μέροϲ Ἰλιάδοϲ, ὑπὸ δὲ Πειϲιϲτράτου τετάχθαι εἰϲ τὴν ποίηϲιν Schol. V. φαϲὶ δὲ οἱ παλαιοὶ τὴν ῥαψῳδίαν ταύτην ὑφ' Ὁμήρου ἰδίᾳ τετάχθαι καὶ μὴ ἐγκαταλεγῆναι τοῖϲ μέρεϲι τῆϲ Ἰλιάδοϲ, ὑπὸ δὲ Πειϲιϲτράτου τετάχθαι εἰϲ τὴν ποίηϲιν Eust. 785, 41. conf. H. T. 12. — 1 ἄλλοι: ὤλλοι Zenodotus, conf. ad Β 1.

ἀλλ᾽ οὐκ Ἀτρείδην Ἀγαμέμνονα, ποιμένα λαῶν,
ὕπνοϲ ἔχε γλυκερόϲ, πολλὰ φρεϲὶν ὁρμαίνοντα.
ὡϲ δ᾽ ὅτ᾽ ἂν ἀϲτράπτῃ πόϲιϲ Ἥρηϲ ἠυκόμοιο,
τεύχων ἢ πολὺν ὄμβρον ἀθέϲφατον ἠὲ χάλαζαν
ἢ νιφετόν, ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούραϲ,
ἠέ ποθι πτολέμοιο μέγα ϲτόμα πευκεδανοῖο,
ὣϲ πυκίν᾽ ἐν ϲτήθεϲϲιν ἀνεϲτενάχιζ᾽ Ἀγαμέμνων
νειόθεν ἐκ κραδίηϲ, τρομέοντο δέ οἱ φρένεϲ ἐντόϲ.
ἤ τοι ὅτ᾽ ἐϲ πεδίον τὸ Τρωικὸν ἀθρήϲειε,
θαύμαζεν πυρὰ πολλά, τὰ καίετο Ἰλιόθι πρό,
αὐλῶν ϲυρίγγων τ᾽ ἐνοπὴν ὅμαδόν τ᾽ ἀνθρώπων.
αὐτὰρ ὅτ᾽ ἐϲ νῆάϲ τε ἴδοι καὶ λαὸν Ἀχαιῶν,
πολλὰϲ ἐκ κεφαλῆϲ προθελύμνουϲ ἕλκετο χαίταϲ
ὑψόθ᾽ ἐόντι Διί, μέγα δ᾽ ἔϲτενε κυδάλιμον κῆρ.
ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίϲτη φαίνετο βουλή,
Νέϲτορ᾽ ἔπι πρῶτον Νηλήιον ἐλθέμεν ἀνδρῶν,
εἴ τινά οἱ ϲὺν μῆτιν ἀμύμονα τεκτήναιτο,
ἥ τιϲ ἀλεξίκακοϲ πᾶϲιν Δαναοῖϲι γένοιτο.
ὀρθωθεὶϲ δ᾽ ἔνδυνε περὶ ϲτήθεϲϲι χιτῶνα,
ποϲϲὶ δ᾽ ὑπὸ λιπαροῖϲιν ἐδήϲατο καλὰ πέδιλα,
ἀμφὶ δ᾽ ἔπειτα δαφοινὸν ἑέϲϲατο δέρμα λέοντοϲ,
αἴθωνοϲ μεγάλοιο, ποδηνεκέϲ· εἵλετο δ᾽ ἔγχοϲ.
ὣϲ δ᾽ αὔτωϲ Μενέλαον ἔχε τρόμοϲ, οὐδὲ γὰρ αὐτῷ

V. ι. 5 ὅταν CEGL Schol. Λ 4. ἀϲτράπτει Schol. Λ 4. ἥραϲ H. — 7 ὅτε πέρ τε χιὼν: πολλὰϲ δὲ χιὼν Schol. Aristoph. Nub. 261. — 8 πόθι A. — 9 ὡϲ A. ἐνὶ L. ἀνεϲτενάχιζ᾽ ACDGHLS Cant. Harl. Mor. Townl. Vrat. b. Rhet. Gr. III, 106, 22: ἀνεϲτονάχιζ᾽ E. — 10 νεόθεν C 1. man. κραδίαϲ G. — 11 ἀθρήϲειε CDEHL. — 12 θαύμαζε G Schol. Κ 408. τὰ καίοντ᾽ Cant. — 13 ϲυρίγγων θ᾽ ὅμαδον Aristot. Poet. 25. ἐνοπῆϲ, ὁμάδου τ᾽ Max. Tyr. Diss. I, 3. ἐνοπῇ id. XXVIII, 2. — 14 νῆαϲ τ᾽ ἀπίδοι D. τ᾽ εἴδοι L. — 15 πολλὰϲ δ᾽ Vrat. b. — 17 ἧδε A. κατα D. — 18 ἐπι D. ἐπὶ ACGHL. — 19 ϲυν S. ϲυμμῆτιν CDHL Townl. ἀμείνονα C et man. rec. γρ. ἀμύμονα. τεκτήναιτο C. — 20 ἀλεξίκακοϲ A. πᾶϲι DG. — 21 δ᾽ ἔντυνε L. περι A. — 22 ὑπὸ ACDGH Barocc. Mor. Harl. ὑπαὶ ELS. ἐδύϲατο Cant. πέδηλα G. πέδιλλα L. — 23 ἀμφι D. ἑέϲϲατο CDH. ἕϲϲατο GLS Barocc. — 25 ὡϲ A. ὡϲαύτωϲ H. αὔτωϲ C ex corr. EGL Schol. Κ 10. αὐτῷ: αὖ, τῶι A. αὖ τῷ G.

A. c. 10 τρομέοντο: Zenodotus φοβέοντο, conf. Ariston. ad Κ 25. — 18 Pamphilus ἔπι: ἐπὶ Ptolem. Ascalonita. — 19 ϲὺν μῆτιν: εἰϲὶν οἳ ἀνέγνωϲαν καθ᾽ ἓν μέροϲ λόγου (ϲυμμῆτιν), ὡϲ εὔμητιν, κακῶϲ Schol. A. — 25 αὐτῷ Tyrannio: αὖ τῷ Ptolem. Ascalonita, Herodiano utrumque probante.

ὕπνοϲ ἐπὶ βλεφάροιϲιν ἐφίζανε, μή τι πάθοιεν
Ἀργεῖοι, τοὶ δὴ ἕθεν εἵνεκα πουλὺν ἐφ᾽ ὑγρὴν
ἤλυθον ἐϲ Τροίην πόλεμον θραϲὺν ὁρμαίνοντεϲ.
παρδαλέῃ μὲν πρῶτα μετάφρενον εὐρὺ κάλυψε
ποικίλῃ, αὐτὰρ ἐπὶ ϲτεφάνην κεφαλῆφιν ἀείραϲ
θήκατο χαλκείην, δόρυ δ᾽ εἵλετο χειρὶ παχείῃ.
βῆ δ᾽ ἴμεν ἀνϲτήϲων ὃν ἀδελφεόν, ὃϲ μέγα πάντων
Ἀργείων ἤναϲϲε, θεὸϲ δ᾽ ὣϲ τίετο δήμῳ.
τὸν δ᾽ εὗρ᾽ ἀμφ᾽ ὤμοιϲι τιθήμενον ἔντεα καλὰ
νηὶ πάρα πρυμνῇ· τῷ δ᾽ ἀϲπάϲιοϲ γένετ᾽ ἐλθών.
τὸν πρότεροϲ προϲέειπε βοὴν ἀγαθὸϲ Μενέλαοϲ·
τίφθ᾽ οὕτωϲ ἠθεῖε κορύϲϲεαι; ἦ τιν᾽ ἑταίρων
ὀτρυνέειϲ Τρώεϲϲιν ἐπίϲκοπον; ἀλλὰ μάλ᾽ αἰνῶϲ
δείδω μὴ οὔ τίϲ τοι ὑπόϲχηται τόδε ἔργον,
ἄνδραϲ δυϲμενέαϲ ϲκοπιαζέμεν οἶοϲ ἐπελθὼν
νύκτα δι᾽ ἀμβροϲίην· μάλα τιϲ θραϲυκάρδιοϲ ἔϲται.
τὸν δ᾽ ἀπαμειβόμενοϲ προϲέφη κρείων Ἀγαμέμνων·
χρεὼ βουλῆϲ ἐμὲ καὶ ϲέ, διοτρεφὲϲ ὦ Μενέλαε,
κερδαλέηϲ, ἥ τίϲ κεν ἐρύϲϲεται ἠδὲ ϲαώϲει
Ἀργείουϲ καὶ νῆαϲ, ἐπεὶ Διὸϲ ἐτράπετο φρήν.
Ἑκτορέοιϲ ἄρα μᾶλλον ἐπὶ φρένα θῆχ᾽ ἱεροῖϲιν.
οὐ γάρ πω ἰδόμην, οὐδ᾽ ἔκλυον αὐδήϲαντοϲ,
ἄνδρ᾽ ἕνα τοϲϲάδε μέρμερ᾽ ἐπ᾽ ἤματι μητίϲαϲθαι,

V. ι. 26 ἐφίζανεν L. ἔπιπτεν Schol. Α 194, Ξ 304. — 27 δή ἕθεν A. πουλλὴν ἐφυγρὴν G. πολλὴν C 1. man. (?) D. — 29 κάλυψε ACDEGH. — 30 κεφαλῆφιν ACEGH. — 31 θείκατο G. — 33 ἄναϲϲε G. ὡϲ AD. — 34 τιθείμενον G. τιθέμενον Mor. — 35 παρα A. παρὰ CDEGHL. — 37 ἤ G. ἤ τίν᾽ DL. — 38 ὀτρυνέειϲ: ὀτρύνειϲ ACDGHLS. τρῴεϲϲιν L. ἐπίϲκοπον τρώεϲϲιν D. — 39 οὔ τίϲ E: ceteri οὔτιϲ. μήποτε οὔτιϲ Eust. 798, 60. — 40 ἀνδράϲι δυϲμενέεϲϲι D. — 41 μάλα τοι H. μάλα κεν E. μάλα ἂν Eust. 798, 61. ἔϲται: εἴη DE bis Eust. 798, 61. ἔϲται (supra: ειη) A et in marg. γρ. ἔϲτιν. — 43 διοτροφὲϲ GH. — 44 ἤ τίϲ κεν A. εἴ τίϲ κεν Schol. Ι 393. ἐρύϲεται E Schol. Ι 393. — 46 ἐπιφρένα θῆκ D. — 48 τόϲϲα δὲ H. ἐπ᾽ ἤματι ACDEHL: ἐν ἤματι GS Cant. Lips. Mor. Vrat. A. Mosc. 3.

A. c. 32 οὕτωϲ ἀρίϲταρχοϲ διὰ τοῦ ν̅ ἀνϲτήϲων Didymus, conf. H. T. 394. — 38 διῄρηκεν ἀρίϲταρχοϲ ὀτρυνέειϲ Didymus. Aristarchus ἐπίϲκοπον (ὡϲ κατάϲκοπον): Nicias ἔπι ϲκοπόν. alii ἐπιϲκοπόν. — 41 ὁ Ἰξίων ἐϲτί γράφει Schol. V. δημήτριοϲ ἰξίων ἐν ἄλλῳ θραϲυκαρδ Schol. A. — 46 θῆχ᾽: ἔν τιϲι τῶν ὑπομνημάτων εἷχ᾽ ἱεροῖϲιν Didymus. — 48 ἀρίϲταρχοϲ ενήματι Didymus.

ὅϲϲ᾽ Ἕκτωρ ἔρρεξε διίφιλοϲ υἷαϲ Ἀχαιῶν,
αὔτωϲ, οὔτε θεᾶϲ υἱὸϲ φίλοϲ οὔτε θεοῖο.
ἔργα δ᾽ ἔρεξ᾽, ὅϲα φημὶ μεληϲέμεν Ἀργείοιϲι
δηθά τε καὶ δολιχόν· τόϲα γὰρ κακὰ μήϲατ᾽ Ἀχαιούϲ.
ἀλλ᾽ ἴθι νῦν Αἴαντα καὶ Ἰδομενῆα κάλεϲϲον
ῥίμφα θέων παρὰ νῆαϲ· ἐγὼ δ᾽ ἐπὶ Νέϲτορα δῖον
εἶμι, καὶ ὀτρυνέω ἀνϲτήμεναι, αἴ κ᾽ ἐθέλῃϲιν
ἐλθεῖν ἐϲ φυλάκων ἱερὸν τέλοϲ ἠδ᾽ ἐπιτεῖλαι.
κείνῳ γάρ κε μάλιϲτα πιθοίατο· τοῖο γὰρ υἱὸϲ
ϲημαίνει φυλάκεϲϲι καὶ Ἰδομενῆοϲ ὀπάων
Μηριόνηϲ· τοῖϲιν γὰρ ἐπετράπομέν γε μάλιϲτα.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα βοὴν ἀγαθὸϲ Μενέλαοϲ·
πῶϲ γάρ μοι μύθῳ ἐπιτέλλεαι ἠδὲ κελεύειϲ;
αὖθι μένω μετὰ τοῖϲι δεδεγμένοϲ εἰϲ ὅ κεν ἔλθῃϲ,
ἦε θέω μετὰ ϲ᾽ αὖτιϲ, ἐπὴν εὖ τοῖϲ ἐπιτείλω;
τὸν δ᾽ αὖτε προϲέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
αὖθι μένειν, μή πωϲ ἀβροτάξομεν ἀλλήλοιιν
ἐρχομένω· πολλαὶ γὰρ ἀνὰ ϲτρατόν εἰϲι κέλευθοι.
φθέγγεο δ᾽ ᾗ κεν ἴῃϲθα, καὶ ἐγρήγορθαι ἄνωχθι
πατρόθεν ἐκ γενεῆϲ ὀνομάζων ἄνδρα ἕκαϲτον,

V. l. 49 ἔρεξε DG. διῒ φίλοϲ ACDEGHL. — 50 αὔτωϲ EGH Schol. K 167. αὐτωϲ A. φίλοϲ υἱὸϲ G Barocc. — 51 ὅϲϲα G. ἀργείοιϲι ACD. — 52 κακὰ μητίϲατ᾽ L. — 53 Αἴαντε E. αἴαντα G ex corr. cum ceteris. — 54 παρὰ DGL Barocc. ἐπὶ ACHS. ἐπινέϲτορα A. — 55 αἴ κ᾽ ἐθέλῃϲιν EGLS. αἴ κε θέλῃϲιν C. αἴ κε πίθηται ADH. γρ. αἴ κ᾽ ἐθέλῃϲι A. — 56 ἢ δ᾽ D. — 57 κείνου ACDL: κείνῳ GH Heynius, qui κείνου in textu habet, κείνῳ non commemorat. πιθοίατο: [ϊ] πῦθοίατο H, conf. Wolf. Proleg. 34. — 59 τοῖϲι CDEG. γὰρ ἐτράπομέν γε G. — 61 γάρ [μοι] τοι H. μύθῳ [ον] S. — 62 μετα AD. παρὰ S Cant. — 63 μετὰ ϲ᾽ DG: μετά ϲ᾽ AC EHL. αὖθιϲ G. ἐπὴν αὐτοῖϲ G Mor. εὖ omitt. C in quo add. man. rec. αὖ. ἐπιτείλλω G. ἐπιτέλλω Barocc. — 65 ἀμβροτάξομεν H. ἀβροτάζομεν Schol. Apoll. Rhod. I, 1355. ἀλλήλοιϲιν GL. — 66 ἐρχόμενοι G, conf. E ἐρχομένω ἤγουν ἐρχόμενοι. ϲτρατὸν εἰϲὶ CDL. — 67 ἤ κε L. ἐγρηγόρθαι G. ἐγρήγορθε L. τὸ ἐγρήγορθαι τὰ πλείω τῶν ἀντιγράφων προπαροξύνουϲιν ὡϲ Αἰολικόν Eust. 790, 2. ἄνοχθϊ C.

A. c. 51, 52 ἀθετοῦνται Aristonicus. καὶ Ἀριϲτοφάνηϲ προηθέτει Didymus. — 53 ἀρίϲταρχοϲ δυϊκῶϲ αἴαντε Didymus. ὁ δὲ Τήλεφοϲ λέγει κακῶϲ εἰρηκέναι τὸν Δίθυμον Schol. A. — 54 ἀρίϲταρχοϲ παρὰ νῆαϲ Didymus. — 65 τὸ δὲ ἀβροτάξομεν ψιλωτέον Herodianus. — 67 ἐγρήγορθαι Herodianus, conf. Eust. 790, 5. Et. Mg. 312, 40. Cram. An. Par. III, 79, 4 et 9. Cram. An. Ox. IV, 421, 32. ἄνωχθι Herodianus.

πάνταϲ κυδαίνων· μηδὲ μεγαλίζεο θυμῷ,
ἀλλὰ καὶ αὐτοί περ πονεώμεθα· ὧδέ που ἄμμι
Ζεὺϲ ἐπὶ γεινομένοιϲιν ἵει κακότητα βαρεῖαν.
ὣϲ εἰπὼν ἀπέπεμπεν ἀδελφεὸν εὖ ἐπιτείλαϲ.
αὐτὰρ ὃ βῆ ῥ᾽ ἰέναι μετὰ Νέϲτορα, ποιμένα λαῶν·
τὸν δ᾽ εὗρεν παρά τε κλιϲίῃ καὶ νηὶ μελαίνῃ
εὐνῇ ἔνι μαλακῇ· παρὰ δ᾽ ἔντεα ποικίλ᾽ ἔκειτο,
ἀϲπὶϲ καὶ δύο δοῦρε φαεινή τε τρυφάλεια.
πὰρ δὲ ζωϲτὴρ κεῖτο παναίολοϲ, ᾧ ῥ᾽ ὁ γεραιὸϲ
ζώννυθ᾽, ὅτ᾽ ἐϲ πόλεμον φθιϲήνορα θωρήϲϲοιτο
λαὸν ἄγων, ἐπεὶ οὐ μὲν ἐπέτρεπε γήραϊ λυγρῷ.
ὀρθωθεὶϲ δ᾽ ἄρ᾽ ἐπ᾽ ἀγκῶνοϲ, κεφαλὴν ἐπαείραϲ,
Ἀτρείδην προϲέειπε καὶ ἐξερεείνετο μύθῳ·
τίϲ δ᾽ οὗτοϲ κατὰ νῆαϲ ἀνὰ ϲτρατὸν ἔρχεαι οἶοϲ
νύκτα δι᾽ ὀρφναίην, ὅτε θ᾽ εὕδουϲι βροτοὶ ἄλλοι;
ἠέ τιν᾽ οὐρήων διζήμενοϲ ἤ τιν᾽ ἑταίρων;
φθέγγεο, μὴ δ᾽ ἀκέων ἐπ᾽ ἔμ᾽ ἔρχεο· τίπτε δέ ϲε χρειώ;
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
ὦ Νέϲτορ Νηληιάδη, μέγα κῦδοϲ Ἀχαιῶν,
γνώϲεαι Ἀτρείδην Ἀγαμέμνονα, τὸν περὶ πάντων
Ζεὺϲ ἐνέηκε πόνοιϲι διαμπερέϲ, εἰϲ ὅ κ᾽ ἀυτμὴ
ἐν ϲτήθεϲϲι μένῃ καί μοι φίλα γούνατ᾽ ὀρώρῃ.

V. l. 69 μὴ δὲ CDGHL. — 70 ἄμμι ACDGL: vulgo ἄμμιν. ἡμῖν E bis, idem 791, 44. — 71 ἐπι ADGHLS. ἐπὶ CE. γεινομένοιϲιν ACE: γινομένοιϲιν DGS. γιγνομένοιϲιν HL. — 72 ἀπέπεμψεν L Lips. — 73 ὁ CD GHL. — 74 τόν ῥ᾽ Cant. εὗρε G. — 75 ἐνι AD. ἐνὶ CEHL. πὰρ δὲ G. παρ δ᾽ S. ποικίλ᾽ ἔκειτο ADEGH: ποικίλα κεῖτο CLS Cant. Harl. Vrat. b. 1. man. — 76 δοῦρα S Cant. τριφάλεια L. — 77 παρ D. παναίολοϲ A. — 78 ζώνυθ᾽ D Lips. Townl. ζώνυτο E. εἰϲ EH. θωρήϲοιτο D. — 79 οὔ μιν Townl. Schol. A 250. ἐπέτρεπε CEL Schol. A 250. ἐπέτρ[ε]απε A. ἐπέτραπε DGHS Mor. Harl. Vrat. b. Schol. Λ 636. — 80 ἆρ GL. ἀρ A. — 81 ἐξερέεινεν L. — 82 οὕτ[ο]ως Vrat. A. ἀνα AD. ἔρχεται DGL Mor. — 83 ὅτέ θ᾽ L. ὅτε γ᾽ G. εὕδουϲιν DH. — 84 οὐρίων C 1. man. — 85 μὴ δ᾽ ACDGHL. τίπτε ϲε χρειώ G. τίπτε δὲ χρειώ L. — 86 τὸν δ᾽ αὖτε προϲέειπεν Vrat. b. suprascr. — 88 γνώϲεαι ACDGHS Cant. Barocc. Mor. Harl. Vrat. b. pro var. lect. c. A. Mosc. 1. Apoll. de Pron. 31 A; de Synt. 73, 5. εἴϲεαι EL, addito in E τουτέϲτι γνώϲεαι, quod si minus bene esset firmatum, non dubitarem glossema dicere, conf. Hesych. II, 34 εἴϲεαι: γνώϲῃ. περι D. πέρι EGL. — 89 ἐνέεικε H. — 90 ϲτήθεϲι G.

A. c. 71 γεινομένοιϲιν, conf. X 477, Ψ 79, Ω 128, 210, δ 208, η 198. — 79 ἀρίϲταρχοϲ ἐπέτρεπε Didymus. — 84 ἀθετεῖται Aristonicus.

πλάζομαι ὧδ', ἐπεὶ οὔ μοι ἐπ' ὄμμαςι νήδυμος ὕπνος
ἱζάνει, ἀλλὰ μέλει πόλεμος καὶ κήδε' Ἀχαιῶν.
αἰνῶς γὰρ Δαναῶν περιδείδια, οὐδέ μοι ἦτορ
ἔμπεδον, ἀλλ' ἀλαλύκτημαι, κραδίη δέ μοι ἔξω
στηθέων ἐκθρῴσκει, τρομέει δ' ὑπὸ φαίδιμα γυῖα.
ἀλλ' εἴ τι δραίνεις, ἐπεὶ οὐδὲ σέ γ' ὕπνος ἱκάνει,
δεῦρ' ἐς τοὺς φύλακας καταβείομεν, ὄφρα ἴδωμεν,
μὴ τοὶ μὲν καμάτῳ ἀδηκότες ἠδὲ καὶ ὕπνῳ
κοιμήσωνται, ἀτὰρ φυλακῆς ἐπὶ πάγχυ λάθωνται.
δυσμενέες δ' ἄνδρες σχεδὸν εἵαται· οὐδέ τι ἴδμεν,
μή πως καὶ διὰ νύκτα μενοινήσωσι μάχεσθαι.
τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
οὔ θην Ἕκτορι πάντα νοήματα μητίετα Ζεὺς
ἐκτελέει, ὅσα πού νυν ἐέλπεται· ἀλλά μιν οἴω
κήδεσι μοχθήσειν καὶ πλείοσιν, εἴ κεν Ἀχιλλεὺς
ἐκ χόλου ἀργαλέοιο μεταστρέψῃ φίλον ἦτορ.
σοὶ δὲ μάλ' ἕψομ' ἐγώ· ποτὶ δ' αὖ καὶ ἐγείρομεν ἄλλους,
ἠμὲν Τυδείδην δουρὶ κλυτὸν ἠδ' Ὀδυσῆα
ἠδ' Αἴαντα ταχὺν καὶ Φυλέος ἄλκιμον υἱόν.
ἀλλ' εἴ τις καὶ τοῦσδε μετοιχόμενος καλέσειεν,
ἀντίθεόν τ' Αἴαντα καὶ Ἰδομενῆα ἄνακτα·
τῶν γὰρ νῆες ἔασιν ἑκαστάτω, οὐδὲ μάλ' ἐγγύς.

V. l. 91 ὄμμασι, νήδυμος A. — 93 πέρὶ δείδια A. πέρι δείδια CE bis GHLS Athenaeus XV, 688. περιδείδια D. — 94 ἀλαλύκτημαι A. ἀλύκτημαι GH 1. man. L. — 95 ἐκθρώισκει A. ὑπο ADL. ὕπο E Athen. XV, 688. — 96 εἴ τοι G. οὐδέ σε γ' L. — 97 εἰς ADGH. καταβήομεν A. μεταβείομεν Townl. εἴδωμεν D. — 98 ἀδηκότες A. ἀδδηκότες ES Schol. μ 281. — 99 κοιμήσονται S Cant. Mosc. 3. ἐπιπάγχυ ADGHL Mor. — 100 εἵαται C. ἴσμεν L. — 104 οὔ θην: οὐ δὴ E. μητιέτα L. — 105 ἐκτελέσει DS. που νῦν CDE 791, 54 GHS Mor. Harl. Cant. Mosc. 3. ἔλπεται GH 1. man. Mor. Harl. Cant. Mosc. 3. νυν ἐέλ(δ)πεται A. νυν ἐέλπεται E 792, 15 L Schol. Φ 428. ὀΐω CDGHL. — 106 ἀχϊλεὺς C. — 107 μεταστρέφῃ L. — 108 ποτι AD. προτὶ CL. — 109 δουρὶ κλυτὸν A. ὀδυσσῆα D. — 111 ἀλλ' ἄγε τις E 792, 45. τοῦσδε A. καλέσειε D. — 112 τ' omitt. L. — 113 ἑκαστάτωι A. καὶ οὐ μάλ' L.

A. c. 93 περιδείδια: πιθανώτερόν πώς ἐστιν ἀναστρέφειν· δύναται δὲ καὶ τὸ ἕτερον Herodianus, conf. H. T. 338 sq. — 95 ἐκ θρώσκει Nicias et ὕπο. — 97 καταβείομεν, conf. H. U. 151. — 98 ἀδηκότες Aristarchus, conf. H. T. 179. ἠδὲ καί: ἠδέι Zenodotus. — 111 τοῦσδε, non τούσδε, veteres.

ἀλλὰ φίλον περ ἐόντα καὶ αἰδοῖον Μενέλαον
νεικέσω, εἴ πέρ μοι νεμεσήσεαι, οὐδ' ἐπικεύσω,
ὡς εὕδει, σοὶ δ' οἴῳ ἐπέτρεψεν πονέεσθαι.
νῦν ὄφελεν κατὰ πάντας ἀριστῆας πονέεσθαι
λισσόμενος· χρειὼ γὰρ ἱκάνεται οὐκέτ' ἀνεκτός.
τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
ὦ γέρον, ἄλλοτε μέν σε καὶ αἰτιάασθαι ἄνωγα·
πολλάκι γὰρ μεθιεῖ τε καὶ οὐκ ἐθέλει πονέεσθαι,
οὔτ' ὄκνῳ εἴκων οὔτ' ἀφραδίῃσι νόοιο,
ἀλλ' ἐμέ τ' εἰσορόων καὶ ἐμὴν ποτιδέγμενος ὁρμήν.
νῦν δ' ἐμέο πρότερος μάλ' ἐπέγρετο καί μοι ἐπέστη·
τὸν μὲν ἐγὼ προέηκα καλήμεναι οὓς σὺ μεταλλᾷς.
ἀλλ' ἴομεν· κείνους δὲ κιχησόμεθα πρὸ πυλάων
ἐν φυλάκεσσ', ἵνα γάρ σφιν ἐπέφραδον ἠγερέθεσθαι.
τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
οὕτως οὔ τίς οἱ νεμεσήσεται οὐδ' ἀπιθήσει
Ἀργείων, ὅτε κέν τιν' ἐποτρύνῃ καὶ ἀνώγῃ.
ὣς εἰπὼν ἔνδυνε περὶ στήθεσσι χιτῶνα,
ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,
ἀμφὶ δ' ἄρα χλαῖναν περονήσατο φοινικόεσσαν,
διπλῆν, ἐκταδίην, οὔλη δ' ἐπενήνοθε λάχνη.
εἵλετο δ' ἄλκιμον ἔγχος ἀκαχμένον ὀξέϊ χαλκῷ,
βῆ δ' ἰέναι κατὰ νῆας Ἀχαιῶν χαλκοχιτώνων.
πρῶτον ἔπειτ' Ὀδυσῆα, Διὶ μῆτιν ἀτάλαντον,

V. l. 115 νεικέω H. εἴ πέρ μοι ACDE. νεμεσήσεαι: νεμεσήσεται G Mor. γρ. νεμεσήσεται A. — 116 ἐπέτρεψε G. — 118 ἀνεκτή C et man. rec. γρ. καὶ ἀνεκτός, conf. Λ 610. — 120 αἰτιάσασθαι Barocc. — 121 μεθίει ACDEGHL, conf. Eust. 793, 40. — 124 μάλ': μέγ' Et. Mg. 574, 31. — 126 δὴ (κι)χησόμεθα D. προ A. — 127 ἠγερέεσθαι ACDEGHLS Apoll. Lex. 91, 11. Et. Mg. 471, 8. Et. Gud. 278, 52. Cram. An. Par. III, 374, 12. — 129 οὔτίς, οἱ A. οὔτίς οἱ DH. οὔτις τοι L. οὔτῖς σοι C et man. rec. γρ. οἱ. οὔτις σοι Townl. — 131 ἐνέδυνε S. ἔδυνε L. στήθεσι G. — 132 ὑπο A. ὑπαὶ LS. ὑπὸ C et man. rec. γρ. αι. ἐδύσατο H Cant. πέδηλα G. πέδιλλα L. — 133 ἀμφι A. — 134 ἐπενήνετο L. — 136 χαλκοχιτώνων A. — 137 ἔπειθ' C. ὀδυσσῆα G.

A. c. 115 εἴ περ Aristarchus: alii εἰ καί. — 124 ὁ Ἰξίων μέγ' ἐπέγρετο, καὶ μήποτε ἡ Ἀριστάρχειος οὕτως εἶχεν Didymus. — 127 σφιν: μιν Zenodotus. διὰ τοῦ θ αἱ ἀριστάρχου ἠγερέθεσθαι (Cod. ἠγερεσθαι). — 129 ἔξω τοῦ τ οὔτις, οἱ Didymus. — 130 διὰ τοῦ ε ἐποτρύνει καὶ ἀνώγει Schol. A. — 134 Aristarchus, Alexio, Ptolem. Ascalonita οὔλη: οὐλὴ Nicias.

ἐξ ὕπνου ἀνέγειρε Γερήνιος ἱππότα Νέστωρ
φθεγξάμενος· τὸν δ' αἶψα περὶ φρένας ἤλυθ' ἰωή,
ἐκ δ' ἦλθε κλισίης καί σφεας πρὸς μῦθον ἔειπε·
τίφθ' οὕτω κατὰ νῆας ἀνὰ στρατὸν οἶοι ἀλᾶσθε
νύκτα δι' ἀμβροσίην, ὅ τι δὴ χρειὼ τόσον ἵκει;
τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
μὴ νεμέσα· τοῖον γὰρ ἄχος βεβίηκεν Ἀχαιούς.
ἀλλ' ἕπευ, ὄφρα καὶ ἄλλον ἐγείρομεν, ὅν τ' ἐπέοικε
βουλὰς βουλεύειν, ἢ φευγέμεν ἠὲ μάχεσθαι.
ὣς φάθ', ὁ δὲ κλισίην δὲ κιὼν πολύμητις Ὀδυσσεὺς
ποικίλον ἀμφ' ὤμοισι σάκος θέτο, βῆ δὲ μετ' αὐτούς.
βὰν δ' ἐπὶ Τυδείδην Διομήδεα· τὸν δὲ κίχανον
ἐκτὸς ἀπὸ κλισίης σὺν τεύχεσιν· ἀμφὶ δ' ἑταῖροι
εὗδον, ὑπὸ κρασὶν δ' ἔχον ἀσπίδας· ἔγχεα δέ σφιν
ὄρθ' ἐπὶ σαυρωτῆρος ἐλήλατο, τῆλε δὲ χαλκὸς
λάμφ' ὥς τε στεροπὴ πατρὸς Διός. αὐτὰρ ὅ γ' ἥρως
εὗδ', ὑπὸ δ' ἔστρωτο ῥινὸν βοὸς ἀγραύλοιο,
αὐτὰρ ὑπὸ κράτεσφι τάπης τετάνυστο φαεινός.
τὸν παρστὰς ἀνέγειρε Γερήνιος ἱππότα Νέστωρ,
λὰξ ποδὶ κινήσας, ὤτρυνε τε νείκεσέ τ' ἄντην·
ἔγρεο Τυδέος υἱέ· τί πάννυχον ὕπνον ἀωτεῖς;
οὐκ ἀίεις, ὡς Τρῶες ἐπὶ θρῳσμῷ πεδίοιο

V. l. 139 περι D. — 140 καὶ σφέας GL. ἔειπε ACDGH. — 141 οὕτω ἐπὶ A. οὕτως ἐπὶ DH Vrat. b. 2. man. γρ. κατανήας A. κατὰ νῆα κατὰ Lips. ἀλᾶσθαι G. ἀλάασθε L, omisso οἶοι. — 142 διαμβροσίην D. γρ. καὶ ὀρφναίην A. ὅ, τι[ε] S. ἥκει L. ἵκοι Barocc. Mor. — 145 Ἀχαιοῖς Zonar. Lex. 385. — 146 ἕπε' Townl., ceteri ἕπευ. ἐπεγείρομεν L. ἐπέοικε ACD HL. ἐπέεικε G. ὃν ἐπέοικε E. — 148 ὡς A. ἔφαθ' G. ὃ δὲ C. κλισίην δε A. κλισίην γε D. — 150 * δὲ κίχανον: libri δ' ἐκίχανον. — 151 ἀμφι D. — 152 κρασὶ G. σφι D. — 154 ὥς τ' ἀστεροπὴ DS Cant. ὡς ἀστεροπὴ L, conf. Λ 66, 184. διὸς πατρὸς D. — 155 εὗδεν ὑπὸ[αι] δ' L. ῥινὸς Schol. ε 426; Λ 731. — 156 ὕπο AD. ἐπὶ Schol. ε 281. τάπις G. — 157 πὰρ στὰς AG Mor. παραστὰς DL. — 158 ὄτρυνέ L. — 159 ἔγρεο CELS: ὄρσεο ADGH Vrat. b. Eust. 519, 32 διὸ καὶ ὁ Νέστωρ τῷ Διομήδει κειμένῳ που φησίν· „ἔγρεο μή τίς τοι (καθ)εύδοντι μεταφρένῳ ἐν δόρυ πήξῃ", quem versum laudat Diog. Laert. VI, 2, 6 (μήτις σοι εὕδοντι κτλ.), conf. Θ 95. — 160 τρῷες L.

A. c. 146 ἀρίσταρχος χωρὶς τοῦ ῡ ἀλλ' ἕπε' ὄφρα Didymus. — 153 σαυρωτῆρος: σαυρωτῆρας Aristophanes. — 158 asteriscus: κακῶς ο 45. — 159 διχῶς ἀρίσταρχος ἔγρεο καὶ ὄρσεο Didymus. — 160 θρῳσμῷ Apollonius Archibii: θρωσμῷ χωρὶς τοῦ ἰῶτα Didymus, conf. H. U. 217.

εἵαται ἄγχι νεῶν, ὀλίγος δ' ἔτι χῶρος ἐρύκει;
ὣς φάθ', ὁ δ' ἐξ ὕπνοιο μάλα κραιπνῶς ἀνόρουσε,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
σχέτλιός ἐσσι γεραιέ· σὺ μὲν πόνου οὔ ποτε λήγεις.
οὔ νυ καὶ ἄλλοι ἔασι νεώτεροι υἷες Ἀχαιῶν,
οἵ κεν ἔπειτα ἕκαστον ἐγείρειαν βασιλήων
πάντῃ ἐποιχόμενοι; σὺ δ' ἀμήχανός ἐσσι γεραιέ.
τὸν δ' αὖτε προσέειπε Γερήνιος ἱππότα Νέστωρ·
ναὶ δὴ ταῦτά γε πάντα φίλος κατὰ μοῖραν ἔειπες.
εἰσὶν μέν μοι παῖδες ἀμύμονες, εἰσὶ δὲ λαοί,
καὶ πολέες, τῶν κέν τις ἐποιχόμενος καλέσειεν·
ἀλλὰ μάλα μεγάλη χρειὼ βεβίηκεν Ἀχαιούς.
νῦν γὰρ δὴ πάντεσσιν ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς
ἢ μάλα λυγρὸς ὄλεθρος Ἀχαιοῖς, ἠὲ βιῶναι.
ἀλλ' ἴθι νῦν Αἴαντα ταχὺν καὶ Φυλέος υἱὸν
ἄνστησον, σὺ γάρ ἐσσι νεώτερος, εἴ μ' ἐλεαίρεις.
ὣς φάθ', ὁ δ' ἀμφ' ὤμοισιν ἐέσσατο δέρμα λέοντος
αἴθωνος μεγάλοιο ποδηνεκές, εἵλετο δ' ἔγχος.
βῆ δ' ἰέναι, τοὺς δ' ἔνθεν ἀναστήσας ἄγεν ἥρως.
οἱ δ' ὅτε δὴ φυλάκεσσιν ἐν ἀγρομένοισιν ἔμιχθεν,
οὐδὲ μὲν εὕδοντας φυλάκων ἡγήτορας εὗρον,
ἀλλ' ἐγρηγορτὶ σὺν τεύχεσιν εἵατο πάντες.
ὡς δὲ κύνες περὶ μῆλα δυσωρήσωσιν ἐν αὐλῇ
θηρὸς ἀκούσαντες κρατερόφρονος, ὅς τε καθ' ὕλην

V. l. 161 εἴαται ACH. εἴατ' D. δ' ἔτι: δέ τι CDG. δέ τις Vrat. c. Mosc. 3. δέ τε E Vrat. b. ἐρύκοι Harl. Vrat. c. — 162 ὡς A. ἔφαθ' ὅδ' G. ὃ δ' CL. ὕπνου E. μάλα σφοδρῶς C. ἀνόρουσε ACDGL. ἀνόρουε H. — 163 προσηῦδα D. — 164 σχέτλιος ἐσσὶ CL Et. Mg. 740, 30. — 166 βασιλείων D. — 167 πάντη AE: ceteri πάντῃ. ἀμήχανος ἐσσὶ GL Et. Gud. 602, 3. — 168 αὖτε προσέειπε: ἐν ἄλλῳ ἠμείβετ' ἔπειτα A. — 169 πάντα γέρων Barocc. κατα A. ἔειπας CG. — 170 εἰσὶ DEG 1. man. H. δὲ: καὶ D. — 176 γὰρ ἐσσὶ DG. εἴ με ἐλείρεις G. — 177 ὡς A. ἔφαθ' ὅδ' G. ὃ δ' CDL. ὤμοισιν C. ἐέσσατο CDHL. ἐέσατο G Barocc. — 180 οἵδ' CGL. ἐναγρομένοισιν E. ἀγρομένοισιν ἔμιχθεν ADHLS Cant. Harl. Vrat. A. ἀγρομένοισι γένοντο CG. — 182 εἵατο D. — 183 περι A. δυσωρήσονται A. δυσωρήσονται CDEGLS Et. Mg. 292, 50. — 184 ὥστε D.

A. c. 161 δ' ἔτι: ἀρίσταρχος ὀλίγος δέ τε. γρ. δὲ καὶ ὀλίγος δ' ἀπο χῶρος ἐέργει Didymus. — 169 φίλος: τέκος Aristophanes. — 176 οὕτως διὰ τοῦ ν̄ ἄνστησον αἱ Ἀριστάρχου Didymus. — 183 δυσωρήσωσιν ex Apoll. Lex. 60, 26 receperunt viri docti.

ἔρχηται δι' ὄρεϲφι· πολὺϲ δ' ὀρυμαγδὸϲ ἐπ' αὐτῷ
ἀνδρῶν ἠδὲ κυνῶν· ἀπό τέ ϲφιϲιν ὕπνοϲ ὄλωλεν·
ὣϲ τῶν νήδυμοϲ ὕπνοϲ ἀπὸ βλεφάροιιν ὀλώλει
νύκτα φυλαϲϲομένοιϲι κακήν· πεδίον δὲ γὰρ αἰεὶ
τετράφαθ', ὁππότ' ἐπὶ Τρώων ἀίοιεν ἰόντων.
τοὺϲ δ' ὁ γέρων γήθηϲεν ἰδὼν θάρϲυνέ τε μύθῳ
[καί ϲφεαϲ φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα]·
οὕτω νῦν φίλα τέκνα φυλάϲϲετε· μηδέ τιν' ὕπνοϲ
αἱρείτω, μὴ χάρμα γενώμεθα δυϲμενέεϲϲιν.
ὣϲ εἰπὼν τάφροιο διέϲϲυτο· τοὶ δ' ἅμ' ἕποντο
Ἀργείων βαϲιλῆεϲ, ὅϲοι κεκλήατο βουλήν.
τοῖϲ δ' ἅμα Μηριόνηϲ καὶ Νέϲτοροϲ ἀγλαὸϲ υἱὸϲ
ἤιϲαν· αὐτοὶ γὰρ κάλεον ϲυμμητιάαϲθαι.
τάφρον δ' ἐκδιαβάντεϲ ὀρυκτὴν ἑδριόωντο
ἐν καθαρῷ, ὅθι δὴ νεκύων διεφαίνετο χῶροϲ
πιπτόντων, ὅθεν αὖτιϲ ἀπετράπετ' ὄβριμοϲ Ἕκτωρ
ὀλλὺϲ Ἀργείουϲ, ὅτε δὴ περὶ νὺξ ἐκάλυψεν.
ἔνθα καθεζόμενοι ἔπε' ἀλλήλοιϲι πίφαυϲκον.
τοῖϲι δὲ μύθων ἦρχε Γερήνιοϲ ἱππότα Νέϲτωρ·
ὦ φίλοι, οὐκ ἂν δή τιϲ ἀνὴρ πεπίθοιθ' ἑῷ αὐτοῦ
θυμῷ τολμήεντι μετὰ Τρῶαϲ μεγαθύμουϲ
ἐλθεῖν; εἴ τινά που δηίων ἕλοι ἐϲχατόωντα,
ἤ τινά που καὶ φῆμιν ἐνὶ Τρώεϲϲι πύθοιτο,
ἅϲϲά τε μητιόωϲι μετὰ ϲφίϲιν, ἢ μεμάαϲιν
αὖθι μένειν παρὰ νηυϲὶν ἀπόπροθεν, ἦε πόλιν δὲ

V. l. 185 ἔρχεται D. διόρεϲφιν D. ὀρυγμαδὸϲ CGH. ἐπαυτῶι A. ὑπ' αὐτῶι D. ὀρώρει ὑπ' αὐτοῦ H. — 186 ἀπο A. τε ϲφίϲιν GL. τέ ϲφϊν CD. ὀλώλει Bekk. Anecd. 1146. — 187 ὡϲ A. τῶν, νήδυμοϲ G. ἀπο D. βλεφάρων G. ὄλωλε Eust. 1073, 58. — 188 φυλαϲϲομένοιϲι: φυλαϲϲομένων γε G. πεδίον δὲ A. πεδίον γὰρ DGH. — 189 τέτραφθ' Lips. Townl. ἐπι D. τρῴων L. — 191 omitt. AD in t. L Harl. Townl.: habent CD 2. man. in marg. GHS. καὶ ϲφέαϲ G. — 192 μὴ δέ CHL. — 196 τοῖϲι δ' D. — 197 ϲυμμητιάαϲθαι A. — 200 αὖθιϲ CH. ἐπετράπετ' C. ὄμβριμοϲ CGH Mor. Barocc. — 201 περι ACD. — 202 ἀλλήλοιϲιν ἐπίφαυϲκον L. πίφαϲκον G. πέφαϲκον H. — 203 δὲ μύθων ἦρχε: ἐν ἄλλῳ δὲ καὶ μετέειπε A. — 204 πεπίθοι G. αὐτῷ L. — 205 μετα A. τρῷαϲ L. — 206 εἴη τινά που H. — 207 εἴ τινά Harl. Cant. Townl. Et. Mg. 791, 39. φήμην CGH 1. man. Vrat. b. c. γρ. φήμην Townl. ἐνι AD. τρῴεϲϲι L. — 208 ἅϲϲά τε ACDGH. μετα D. — 209 παρα A. πόλιν δὲ A.

A. c. 187 νήδυμοϲ Aristarchus ϲὺν τῷ ν̄. — 208—210 asterisci: κακῶϲ 409—411.

ἂψ ἀναχωρήϲουϲιν, ἐπεὶ δαμάϲαντό γ' Ἀχαιούϲ.
ταῦτά κε πάντα πύθοιτο καὶ ἂψ εἰϲ ἡμέαϲ ἔλθοι
ἀϲκηθήϲ· μέγα κέν οἱ ὑπουράνιον κλέοϲ εἴη
πάνταϲ ἐπ' ἀνθρώπουϲ, καί οἱ δόϲιϲ ἔϲϲεται ἐϲθλή.
ὅϲϲοι γὰρ νήεϲϲιν ἐπικρατέουϲιν ἄριϲτοι,
τῶν πάντων οἱ ἕκαϲτοϲ ὄιν δώϲουϲι μέλαιναν,
θῆλυν ὑπόρηνον· τῇ μὲν κτέραϲ οὐδὲν ὁμοῖον,
αἰεὶ δ' ἐν δαίτῃϲι καὶ εἰλαπίνῃϲι παρέϲται.
ὣϲ ἔφαθ', οἳ δ' ἄρα πάντεϲ ἀκὴν ἐγένοντο ϲιωπῇ·
τοῖϲι δὲ καὶ μετέειπε βοὴν ἀγαθὸϲ Διομήδηϲ·
Νέϲτορ, ἔμ' ὀτρύνει κραδίη καὶ θυμὸϲ ἀγήνωρ
ἀνδρῶν δυϲμενέων δῦναι ϲτρατὸν ἐγγὺϲ ἐόντων,
Τρώων· ἀλλ' εἴ τίϲ μοι ἀνὴρ ἅμ' ἕποιτο καὶ ἄλλοϲ,
μᾶλλον θαλπωρὴ καὶ θαρϲαλεώτερον ἔϲται.
ϲύν τε δύ' ἐρχομένω, καί τε πρὸ ὃ τοῦ ἐνόηϲεν,
ὅππωϲ κέρδοϲ ἔῃ· μοῦνοϲ δ' εἴ πέρ τε νοήϲῃ,
ἀλλά τέ οἱ βράϲϲων τε νόοϲ, λεπτὴ δέ τε μῆτιϲ.
ὣϲ ἔφαθ', οἳ δ' ἔθελον Διομήδεϊ πολλοὶ ἕπεϲθαι.
ἠθελέτην Αἴαντε δύω, θεράποντεϲ Ἄρηοϲ,
ἤθελε Μηριόνηϲ, μάλα δ' ἤθελε Νέϲτοροϲ υἱόϲ,
ἤθελε δ' Ἀτρείδηϲ δουρὶ κλειτὸϲ Μενέλαοϲ,
ἤθελε δ' ὁ τλήμων Ὀδυϲεὺϲ καταδῦναι ὅμιλον
Τρώων· αἰεὶ γάρ οἱ ἐνὶ φρεϲὶ θυμὸϲ ἐτόλμα.
τοῖϲι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Τυδείδη Διόμηδεϲ, ἐμῷ κεχαριϲμένε θυμῷ,

V. l. 210 γ' omitt. G. — 211 ταῦτά κε CDE. ταῦτά τε (κ supra) A. ταῦτά τε Ambr. GHL (τὲ) Cant. Barocc. Mor. Townl. Vrat. b. in litura. — 212 ΕΙΗΙ Ambros. — 217 δ' omitt. E. — 218 ὡϲ A. οἵδ' GL. — 221 δύναι H. ἐόντων CDEGH Harl. Vrat. b. ἐόντων (α supra) AS. ἐόντα L. — 222 τρῴων CL. εἴ τιϲ μοι CGHL. — 223 θαρϲαλεώτεροϲ ἐϲτὶν L. ἔϲτι Barocc. Mor. — 224 ϲὺν δὲ Schol. Γ 211. ἐρχομένω (ν supra) G. καί τοι L. ὃ ACDGHL. — 225 κέρδιον εἴη G Mor. εἴη DL. εἴ πέρ τε ACEH. εἴπέρ τι L. εἴπερ τὶ G. νοήϲει C. νοήϲοι L. — 226 τε omitt. L. — 227 ὡϲ A. οἵδ' CGHL. ordo in G est 227, 229, 230, 228, 231. — 228 θεράποντε GL. — 230 omitt. S Mosc. 3. δουρὶ κλειτὸϲ (υ supra) A. δουρικλυτὸϲ CG. δουρυκλυτὸϲ DG. ceteri δουρικλειτὸϲ. — 231 ὀδυϲϲεὺϲ DEGS. καταδῦναι: δῦναι S. — 232 τρῴων L. ἀεὶ GL. γὰρ ἐνὶ S. — 233 καὶ omitt. HS.

A. c. 216 ὑπόῤῥηνον δὲ γράφει διὰ τοῦ ἑτέρου ρ̄ Schol V. — 224 ἐρχομένω Aristarchus: alii ἐρχομένων.

τὸν μὲν δὴ ἕταρόν γ' αἱρήcεαι, ὅν κ' ἐθέληcθα,
φαινομένων τὸν ἄριcτον, ἐπεὶ μεμάαcί γε πολλοί.
μὴ δὲ cύ γ' αἰδόμενοc cῇcι φρεcὶ τὸν μὲν ἀρείω
καλλείπειν, cὺ δὲ χείρον' ὀπάccεαι αἰδοῖ εἴκων,
ἐc γενεὴν ὁρόων, μὴ δ' εἰ βαcιλεύτερόc ἐcτιν.
ὣc ἔφατ', ἔδειcεν δὲ περὶ ξανθῷ Μενελάῳ.
τοῖc δ' αὖτιc μετέειπε βοὴν ἀγαθὸc Διομήδηc·
εἰ μὲν δὴ ἕταρόν γε κελεύετέ μ' αὐτὸν ἑλέcθαι,
πῶc ἂν ἔπειτ' Ὀδυcῆοc ἐγὼ θείοιο λαθοίμην,
οὗ περὶ μὲν πρόφρων κραδίη καὶ θυμὸc ἀγήνωρ
ἐν πάντεccι πόνοιcι, φιλεῖ δέ ἑ Παλλὰc Ἀθήνη.
τούτου γ' ἑcπομένοιο καὶ ἐκ πυρὸc αἰθομένοιο
ἄμφω νοcτήcαιμεν, ἐπεὶ περίοιδε νοῆcαι.
τὸν δ' αὖτε προcέειπε πολύτλαc δῖοc Ὀδυccεύc·
Τυδεΐδη, μήτ' ἄρ με μάλ' αἴνεε μήτέ τι νείκει·
εἰδόcι γάρ τοι ταῦτα μετ' Ἀργείοιc ἀγορεύειc.
ἀλλ' ἴομεν· μάλα γὰρ νὺξ ἄνεται, ἐγγύθι δ' ἠώc,
ἄcτρα δὲ δὴ προβέβηκε, παρῴχωκεν δὲ πλέων νὺξ

V. L. 235 τὸν: τῶν HS Cant. γρ. τῶν C man. rec. — 236 γε πάντεc H. — 237 μὴ δὲ ACDGHL. — 238 ὀπάζεαι H, c man. rec. — 239 μὴ δ' CDGHL. βαcιλεύτατόc H Mor. Barocc. ἐcτιν: εἴη L. — 240 ὡc A. ἔδδειcε E bis. — 241 τοῖcι δ' D. αὖθιc C. προcέειπε L. — 242 ἔμ' αὐτὸν Townl., ceteri κελεύετέ μ' αὐτὸν cum Apollon. de Pron. 57 C. — 243 ὀδυccῆοc DGH. — 244 περὶ ACD Schol. B 831: πέρι EGHL. μέν γε πρόφρων G. — 246 τοῦδ' G 1. man. τούτου 2. man. omisso γ'. — 247 περίοιδε A. περίειδε G. — 249 μή τάρ με D. αἴνεαι D. μήτέ τι ACDHL Apoll. de Synt. 296, 16. Schol. Θ 4. μή τε γε νείκει G. — 250 γὰρ τοιαῦτα H. ἀγορεύοιc H. — 251 εἴομεν G. ἄνυται G. — 252 παρῴχηκεν ACEH Hesychius I, 306. Schol. α 58. Aristoteles Poet. 25. παρῴχηκε DGL Schol. I 71. Bekk. Anecd. 1249. Cram. Epim. 375, 12. Rhet. Gr. III, 103, 1. πλέων DE 802, 7 G 2. man. HL Aristot. Poet. 25. Schol. α 58: πλέω AC E 802, 20 G 1. man. S Cant. Lips. Mor. Harl. Vrat. b. 1. man. Hesych. III, 344. Schol. I 71. Cram. Epim. 375, 12. πλέον Porphyrius, Rhet. Gr. III, 103, 1. πλεονύξ Bekk. Anecd. 1249. τὸ δὲ πλέω εἰ μὲν δίχα τοῦ ν γράφεται δηλοῖ ἂν ὡc ἡ νὺξ κατὰ πλέω μοῖραν τῶν δύο παρῆλθεν, εἰ δὲ μετὰ τοῦ ν γράφεται, λέγει ἂν ὅτι παρῴχετο πλέων νὺξ τῶν δύο μοιρῶν.

A. c. 240 ἀθετεῖται Aristonicus. οὐδὲ ἐν τῇ Ζηνοδότου δὲ ἦν Didymus. — 242 κελεύετέ μ' Aristarchus, Ptolem. Ascalonita, Herodianus Il. Pros. I 680: κελεύετ' ἔμ' Alexio. — 246 γ' ἑcπομένοιο Aristarchus: γε cπομένοιο Ptolem. Ascalonita. — 247 περίοιδε Aristarchus: alii περὶ vel πέρι οἶδε. — 252 ἀρίcταρχοc παρῴιχωκεν Didymus. οὕτωc καὶ Δωρόθεοc ἐν τριακοcτῷ πρώτῳ τῆc Ἀττικῆc λέξεωc ἀξιοῖ γράφειν, τὴν μὲν πρώτην διὰ τῆc οι διφθόγγου, τὴν δὲ δευτέραν διὰ τοῦ ω, παροίχωκεν, ἀποτεινόμενοc πολλὰ πρὸc Ἀριcτόνικον καὶ Τρύφωνα

τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται.
ὣc εἰπόνθ' ὅπλοιcιν ἔνι δεινοῖcιν ἐδύτην.
Τυδεΐδῃ μὲν δῶκε μενεπτόλεμοc Θραcυμήδηc
φάcγανον ἄμφηκεc, τὸ δ' ἑὸν παρὰ νηὶ λέλειπτο,
καὶ cάκοc· ἀμφὶ δέ οἱ κυνέην κεφαλῆφιν ἔθηκε
ταυρείην, ἄφαλόν τε καὶ ἄλλοφον, ἥ τε καταῖτυξ
κέκληται, ῥύεται δὲ κάρη θαλερῶν αἰζηῶν.
Μηριόνηc δ' Ὀδυcῆι δίδου βιὸν ἠδὲ φαρέτρην
καὶ ξίφοc· ἀμφὶ δέ οἱ κυνέην κεφαλῆφιν ἔθηκε,
ῥινοῦ ποιητήν· πολέcιν δ' ἔντοcθεν ἱμᾶcιν
ἐντέτατο cτερεῶc· ἔκτοcθε δὲ λευκοὶ ὀδόντεc
ἀργιόδοντοc ὑὸc θαμέεc ἔχον ἔνθα καὶ ἔνθα
εὖ καὶ ἐπιcταμένωc· μέccῃ δ' ἐνὶ πῖλοc ἀρήρει.
τήν ῥά ποτ' ἐξ Ἐλεῶνοc Ἀμύντοροc Ὀρμενίδαο
ἐξέλετ' Αὐτόλυκοc πυκινὸν δόμον ἀντιτορήcαc·
Cκάνδειαν δ' ἄρα δῶκε Κυθηρίῳ Ἀμφιδάμαντι·
Ἀμφιδάμαc δὲ Μόλῳ δῶκε ξεινήιον εἶναι,
αὐτὰρ ὃ Μηριόνῃ δῶκεν ᾧ παιδὶ φορῆναι·
δὴ τότ' Ὀδυccῆοc πύκαcεν κάρη ἀμφιτεθεῖcα.
τὼ δ' ἐπεὶ οὖν ὅπλοιcιν ἔνι δεινοῖcιν ἐδύτην,

V. L. 253 δ' ἔτι: δέ τι L. δέ τοι H. — 254 ἐνι D. ἐνὶ EGH Eust. 1168, 62. — 255 ἔδωκε EG. — 256 ἄμφικεc G. νηῒ ACDEGHLS Cant. Mor. Harl. Townl. Vrat. b. olim vulgo νηυcὶ. — 257 ἀμφι D. κεφαλῆφιν ACEG. ἔθηκε ACDEGH. — 258 ἄλοφον CDE bis GL Et. Mg. 175, 1.
λοφον
Apoll. Lex. 96, 23. ἄφαλον H. καταίτυξ DL. — 259 κάρην GH ex corr. man. rec. — 260 ὀδυccῆϊ DG. — 261 ἀμφι DH. κεφαλῆφιν AEG. ἔθηκε ACDEGH. — 262 πόλεcι EG. δ' ἔνδοθεν G. — 263 ἔκτοcθεν G Vrat. b. c. — 264 ἀργειόδοντοc C 1. man. ἀγριόδοντοc G. — 265 μέcῃ H. ἐνι DL. πῆλοc C. — 266 ῥα C. τὴν ἄρα τ' ἐξ Zonar. Lex. 687. — 268 cκανδείᾳ δ' G. τινὰ δὲ τῶν νεωτέρων ἀντιγράφων καὶ οὐ πάνυ ἀκριβῶν Cκανδείᾳ γράφουcιν ἀντὶ τοῦ ἐν Cκανδείᾳ Eust. 804, 32. — 269 ξυνήϊον G. — 270 ὃ ACDGHL. — 271 πύκαcε E. κάρην GH ex corr. man. rec. — 272 τῶι D. ἐνὶ ACGH. ἐνι D.

ἄλλωc γράφονταc, ἐπιδείξαc τὸ οἴχωκεν Ἰακόν· οὕτωc δὲ καὶ Ἀπολλώνιοc ὁ τεχνικὸc οἶδε τὴν γραφήν Herodianus. Variant libri inter οἴχωκε et ᾤχωκε Aeschyl. Pers. 13; Soph. Ai. 896; Herod. I, 189; IV, 127, 166; VIII, 72, 108, 126; de scriptura ᾤχηκα nihil est traditum.

A. c. 253 ἀθετεῖται Aristonicus. Ζηνόδοτοc οὐδὲ (Cod. δὲ) ἔγραφεν. Ἀριcτοφάνηc ἠθέτει Didymus. — 258 ἄλλοφον: Ἀρίcταρχοc ἄλοφον Didymus. — 266 Ἐλεῶνοc: Ἑλεῶνοc Ptolem. Ascalonita. ἄλλοι δὲ γράφουcιν ἐξ Ἑλεῶνοc Strabo IX, 439. — 268 Aristarchus Cκάνδειανδ' ut Λ 21 πεύθετο γὰρ Κύπρον δέ, conf. Ariston. ad h. l. et Λ 21.

βάν ῥ' ἰέναι, λιπέτην δὲ κατ' αὐτόθι πάνταc ἀρίcτουc.
τοῖcι δὲ δεξιὸν ἧκεν ἐρῳδιὸν ἐγγὺc ὁδοῖο
Παλλὰc Ἀθηναίη· τοὶ δ' οὐκ ἴδον ὀφθαλμοῖcι
νύκτα δι' ὀρφναίην, ἀλλὰ κλάγξαντοc ἄκουcαν.
χαῖρε δὲ τῷ ὄρνιθ' Ὀδυcεύc, ἠρᾶτο δ' Ἀθήνῃ·
κλῦθί μευ αἰγιόχοιο Διὸc τέκοc, ἥ τέ μοι αἰεὶ
ἐν πάντεccι πόνοιcι παρίcταcαι, οὐδέ cε λήθω
κινύμενοc· νῦν αὖτε μάλιcτά με φῖλαι Ἀθήνη,
δὸc δὲ πάλιν ἐπὶ νῆαc ἐυκλεῖαc ἀφικέcθαι,
ῥέξανταc μέγα ἔργον, ὅ κε Τρώεccι μελήcει.
δεύτεροc αὖτ' ἠρᾶτο βοὴν ἀγαθὸc Διομήδηc·
κέκλυθι νῦν καὶ ἐμεῖο Διὸc τέκοc, ἀτρυτώνη·
cπεῖό μοι, ὡc ὅτε πατρὶ ἅμ' ἕcπεο Τυδέι δίῳ
ἐc Θήβαc, ὅτε τε πρὸ Ἀχαιῶν ἄγγελοc ᾔει.
τοὺc δ' ἄρ' ἐπ' Ἀcωπῷ λίπε χαλκοχίτωναc Ἀχαιούc,
αὐτὰρ ὃ μειλίχιον μῦθον φέρε Καδμείοιcι
κεῖc'· ἀτὰρ ἂψ ἀπιὼν μάλα μέρμερα μήcατο ἔργα
cὺν coὶ δῖα θεά, ὅτε οἱ πρόφραccα παρέcτηc.

V. ι. 273 βᾶν H. παρ' αὐτόθι G. — 274 ἐρωιδϊὸν C. — 275 εἶδον GL. ὀφθαλμοῖcι ACDGH. — 276 διορφναίην D. — 277 ὄρνιθι Eust. 12, 29; 514, 21. τὸ δὲ χαῖρε δὲ τῷ ὄρνιθι Ὀδυccεὺc οἱ μὲν κατ' ἔκθλιψιν γράφουcι χαῖρε δὲ τῷ ὄρνιθ' Ὀδυcεὺc, οἱ δὲ παλαιοὶ ἐντελῶc γράψαντεc παράγουcιν αὐτὸ εἰc ἔνδειξιν cυνιζήcεωc δύο βραχειῶν cυλλαβῶν τῆc θι καὶ τῆc ο εἰc μίαν βραχεῖαν Eust. 805, 18. ὀδυccεὺc CDG. — 278 κλῦθί μοι CDH Schol. Soph. Ai. 1. κλῦθί μοι (ευ) A. ἦτέ μοι ACHL. ἠτέ μοι D. — 280 κιννύμενοc L. νῦν δ' D. φῖλαι A. φίλαι DE Lips. φίλε' CGHL Cant. Mor. Harl. Townl. Vrat. b. c. A. Mosc. 3. τὸ δὲ φίλαι κατὰ πολλὰ τῶν παλαιῶν ἀντιγράφων ὡc ἀπὸ τοῦ φίλημι ῥήματοc, πολλὰ μέντοι τῶν ἀντιγράφων ψιλογραφοῦcιν αὐτὸ ἀπὸ τοῦ φίλεε κατὰ ἔκθλιψιν, νῦν αὖτε μάλιcτά με φίλε' Ἀθήνη Eust. 805, 30, conf. ad Ε 117. — 281 ἐϋκλεῖᾶc A. ἐϋκλείαc CHL Et. Mg. 392, 20. Zonar. Lex. 908. εὐκλείαc DEG. ἐφικέcθαι A. — 382 κεν ACDEGHL. τρῴεccι L. μελήcῃ C. μελήcει (οι) L. — 284 κλύθι H. ἐμοῖο L Mor. — 286 τε omitt. DGL Lips. ἄγγελοc ἦλθε D. — 287 ἂρ DEGL. ἀρ A. ἀccωπῶ CL. χαλκοχίτωναc A. — 288 δ ACDGHL. καδμείοιcι ACGH. — 289 αὐτὰρ DG. ἂψ λιπὼν L. — 290 δία D. ὅτέ οἱ CHL Et. Mg. 691, 41. προφράcα D Townl. Vrat. c.

A. c. 273 κατ' αὐτόθι Herodianus, non καταυτόθι vel κάτ' αὐτόθι. — 274 ἐρῳδιὸν Herodianus, conf. H. U. 215. — 275 Παλλὰc: Ζώπυροc δὲ ἀντὶ τοῦ Παλλὰc „πελλὸν" γράφει. τρία γάρ φηcι γένη ἐρωδιῶν, πελλόc, πύγαργοc, καὶ τρίτοc ὁ ἀφροδίcιοc Eust. 804, 62, similia Schol. LV. — 277 ἐκ πλήρουc ὄρνιθι Schol. V, conf. H. U. 126. — 278 κλῦθί μοι, conf. ad Ε 115. — 281 ἐϋκλεῖαc Aristarchus, conf. H. U. 156.

ὡc νῦν μοι ἐθέλουcα παρίcταco καί με φύλαccε.
coὶ δ' αὖ ἐγὼ ῥέξω βοῦν ἦνιν εὐρυμέτωπον,
ἀδμήτην, ἣν οὔ πω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ·
τήν τοι ἐγὼ ῥέξω, χρυcὸν κέραcιν περιχεύαc.
ὣc ἔφαν εὐχόμενοι, τῶν δ' ἔκλυε Παλλὰc Ἀθήνη.
οἳ δ' ἐπεὶ ἠρήcαντο Διὸc κούρῃ μεγάλοιο,
βάν ῥ' ἴμεν ὥc τε λέοντε δύω διὰ νύκτα μέλαιναν,
ἂμ φόνον, ἂν νέκυαc διά τ' ἔντεα καὶ μέλαν αἷμα.
οὐδὲ μὲν οὐδὲ Τρῶαc ἀγήνοραc εἴαc' Ἕκτωρ
εὕδειν, ἀλλ' ἅμυδιc κικλήcκετο πάνταc ἀρίcτουc,
ὅccοι ἔcαν Τρώων ἡγήτορεc ἠδὲ μέδοντεc·
τοὺc ὅ γε cυγκαλέcαc πυκινὴν ἠρτύνετο βουλήν·
τίc κέν μοι τόδε ἔργον ὑποcχόμενοc τελέcειε
δώρῳ ἔπι μεγάλῳ; μιcθὸc δέ οἱ ἄρκιοc ἔcται.
δώcω γὰρ δίφρόν τε δύω τ' ἐριαύχεναc ἵππουc,
οἵ κεν ἄριcτοι ἔωcι θοῇc ἐπὶ νηυcὶν Ἀχαιῶν,
ὅc τίc κε τλαίη, οἷ τ' αὐτῷ κῦδοc ἄροιτο,
νηῶν ὠκυπόρων cχεδὸν ἐλθέμεν ἔκ τε πυθέcθαι,
ἠὲ φυλάccονται νῆεc θοαὶ ὡc τὸ πάροc περ,
ἦ ἤδη χείρεccιν ὑφ' ἡμετέρῃcι δαμέντεc

V. ι. 291 ὡc A. — 292 δ' ἄρ' ἐγὼ Vrat. b. ἦνιν E. — 293 ἀδμῆτιν L. ἣν ACDGHL Schol. Arat. 132. Apoll. Lex. 9, 20: τὴν S Cant. Schol. Β 293, Ζ 201. οὔ πω: οὔ πώ τιc Schol. Β 293. οὔπω τιc Apoll. Lex. 9, 20. — 294 κέραcι DGH. περιχεύcαc GH Cant. Townl. — 295 ὡc A. — 296 οἳ δ' D. οἵδ' CGL. ἐπεὶ οὖν ἠρήcαντο L. — 297 βᾶν ῥ' H. — 298 ἀμφόνον ἀννέκυαc ACDEH. ἀμφόνον Schol. Θ 441. Cram. An. Par. IV, 8, 28. ἂν φόνον E 810, 11; 860, 50 L. ἀν φόνον G. ἂν νέκυαc E 810, 11 L Schol. Θ 441. ἀννέκυάc τε G. διά τ': ἀνά τ' Eust. 25, 19; 82, 42. — 299 τρῷαc L. εἴαc' AD Vrat. b. εἴαcεν CE bis GHLS. — 300 ἄμυδιc G. κικλήιcκετο A. — 301 ὅccοι ἔαcι τρώων D. τρῴων L. — 303 τελέcειε CEGL. τελεέccει Schol. Κ 204. — 304 ἐπὶ CDEGHL. — 305 γάρ οἱ L. δίφρόν τε C. — 306 ἄριcτοι ἔωcι G Barocc. Mor. ἄριcτοι ἔαcι L. ἀριcτεύωcι ACDHS. ἀριcτεύουcιν E 808, 26. ἀριcτεύωcιν ἢ ἄριcτοι ἔωcι E 806, 19. ἔπι A. — 307 ὅc τίc C. κε AL: κεν CDEGHS. τλαίῃ AG. οἵ τ' AD. — 308 ὠκυπόρων: ὠκυπόδων L. ἐλθέμεν E 806, 20: ἐλθεῖν E 806, 36; 807, 22. — 309 τοπάροc GHL.

A. c. 291 Zenodotus et Aristarchus παρίcταο: alii παρίcταco. με φύλαccε: πόρε κῦδοc Zenodotus. — 292 ἦνιν Ptolemaeus Oroandae: ἤνιν Tyrannio. — 398 ἂμ φόνον: δύο μέρη λόγου εἰcίν· ἀνὰ φόνον γάρ Et. Mg. 93, 27. — 306 οἵ κεν ἄριcτοι ἔωcι θοῇc ἐπὶ νηυcὶν Ἀχαιῶν Aristarchus. αὐτοὺc οἳ φορέουcιν ἀμύμονα Πηλείωνα Zenodotus. καλοὺc οἳ φορέουcιν α. Π. Aristophanes. — 307 οἷ Herodianus. — 310—312 asterisci: κακῶc 397—399.

φύξιν βουλεύουσι μετὰ σφίσιν, οὐδ' ἐθέλουσι
νύκτα φυλασσέμεναι, καμάτῳ ἀδηκότες αἰνῷ.
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
ἦν δέ τις ἐν Τρώεσσι Δόλων, Εὐμήδεος υἱός,
κήρυκος θείοιο, πολύχρυσος, πολύχαλκος·
ὃς δή τοι εἶδος μὲν ἔην κακός, ἀλλὰ ποδώκης·
αὐτὰρ ὃ μοῦνος ἔην μετὰ πέντε κασιγνήτῃσιν.
ὅς ῥα τότε Τρωσίν τε καὶ Ἕκτορι μῦθον ἔειπεν·
Ἕκτορ, ἔμ' ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ
νηῶν ὠκυπόρων σχεδὸν ἐλθέμεν ἔκ τε πυθέσθαι.
ἀλλ' ἄγε μοι τὸ σκῆπτρον ἀνάσχεο, καί μοι ὄμοσσον
ἦ μὲν τοὺς ἵππους τε καὶ ἅρματα ποικίλα χαλκῷ
δωσέμεν, οἳ φορέουσιν ἀμύμονα Πηλείωνα.
σοὶ δ' ἐγὼ οὐχ ἅλιος σκοπὸς ἔσσομαι οὐδ' ἀπὸ δόξης.
τόφρα γὰρ ἐς στρατὸν εἶμι διαμπερές, ὄφρ' ἂν ἵκωμαι
νῆ' Ἀγαμεμνονέην, ὅθι που μέλλουσιν ἄριστοι
βουλὰς βουλεύειν, ἢ φευγέμεν ἠὲ μάχεσθαι.
ὣς φάθ', ὃ δ' ἐν χερσὶ σκῆπτρον λάβε καί οἱ ὄμοσσεν·
ἴστω νῦν Ζεὺς αὐτός, ἐρίγδουπος πόσις Ἥρης,
μὴ μὲν τοῖς ἵπποισιν ἀνὴρ ἐποχήσεται ἄλλος
Τρώων, ἀλλὰ σέ φημι διαμπερὲς ἀγλαϊεῖσθαι.
ὣς φάτο καί ῥ' ἐπίορκον ἐπώμοσε, τὸν δ' ὀρόθυνεν.

V. L. 311 βουλεύονται G. μετα A. οὐδ' ἐθέλουσι ACEGH. οὐδὲ θέλουσιν D Cant. οὐδὲ θέλουσι S. — 312 ἀδηκότες ACDGH Lips. Townl. Vrat. b. ἀδδηκότες ELS. — 313 ὥς A. οἳ δ' L. οἵδ' CG. — 314 τρῴεσσι L. — 316 δ' ἤτοι Et. Mg. 484, 43. ποδώκυς G. ποδῶκυς Barocc. Mor. Cant. ποδώκης^{ϋς} L. — 317 ὃ ACDGHL. μετα A. κασιγνήτῃσι D. — 318 ὃς ῥὰ CDL. τρωσί G. τρῳσὶν L. — 321 ἀλλά μοι L. ἀλλ' ἄγέ μοι H. ὄμωσον L. — 322 ἠμὲν DL Schol. A 77. μὴ μὲν τοὺς Suidas II, 2, 1181, 2. ἵππους τὲ A. — 323 γράφεται καὶ ποδώκεα καὶ ἀμύμονα A. — 324 οὐχ' E 808, 33. ἔσομαι G 1. man. Apoll. Lex. 60, 15. ἄπο GS. ἀπο A. — 325 εἰς H. — 328 ὥς A. ὃς L. ἔφαθ' GL. ὅδ' CGL. ὤμοσσεν G. — 329 αὐτὸς Ζεὺς D. — 331 τρῴων ἀλλά σε φημὶ L. ἀλλὰ σέ φημι EH. ἀλλὰ σὲ φημὶ ACDG. — 332 ὥς A. ἐπίορκον A. ἐπὶ ὅρκον Vrat. b. ἐπεὶ ὅρκον H. ἐπώμοσε: ἀπώμοσε CE 806, 36 GLS. ἀπώμοσσεν D. ἀπώμοσε (^{ἐ}) H. γρ. ἐπ C man. rec. ὤμοσεν Schol. Γ 276. ὀρόθυνε G.

A. c. 317 κασιγνήτῃσιν Aristarchus: Zenodotus κασιγνήτοισι. — 321 οὕτως ἀνάσχεο διὰ τοῦ ō αἱ ἀριστάρχου Didymus. — 324 ἐν δὲ τῷ οὐχ' ἅλιος σκοπὸς ἔσσομαι γράφουσιν οἱ περὶ Ἡρόδωρον ὅτι εὕρομεν ἐν πολλοῖς εἰς τὸ χ̄ ἀπόστοφον Eust. 809, 4. — 332 οὕτως διὰ τοῦ ε̄ τὸ ἐπώμοσεν αἱ ἀριστάρχου Didymus.

αὐτίκα δ' ἀμφ' ὤμοισιν ἐβάλλετο καμπύλα τόξα,
ἕσσατο δ' ἔκτοσθεν ῥινὸν πολιοῖο λύκοιο,
κρατὶ δ' ἐπὶ κτιδέην κυνέην, ἕλε δ' ὀξὺν ἄκοντα,
βῆ δ' ἰέναι προτὶ νῆας ἀπὸ στρατοῦ. οὐδ' ἄρ' ἔμελλεν
ἐλθὼν ἐκ νηῶν ἂψ Ἕκτορι μῦθον ἀποίσειν.
ἀλλ' ὅτε δή ῥ' ἵππων τε καὶ ἀνδρῶν κάλλιφ' ὅμιλον,
βῆ ῥ' ἀν' ὁδὸν μεμαώς· τὸν δὲ φράσατο προσιόντα
διογενὴς Ὀδυσεύς, Διομήδεα δὲ προσέειπεν·
οὗτός τις Διόμηδες ἀπὸ στρατοῦ ἔρχεται ἀνήρ,
οὐκ οἶδ' ἢ νήεσσιν ἐπίσκοπος ἡμετέρῃσιν,
ἤ τινα συλήσων νεκύων κατατεθνηώτων.
ἀλλ' ἐῶμέν μιν πρῶτα παρεξελθεῖν πεδίοιο
τυτθόν· ἔπειτα δέ κ' αὐτὸν ἐπαΐξαντες ἕλοιμεν
καρπαλίμως· εἰ δ' ἄμμε παραφθήῃσι πόδεσσιν,
αἰεί μιν ἐπὶ νῆας ἀπὸ στρατόφι προτιειλεῖν,
ἔγχει ἐπαΐσσων, μή πως προτὶ ἄστυ ἀλύξῃ.

V. L. 333 ᾤμοισιν C. ὤμοισι βάλλετο G. — 334 εἴσατο Cram. Ep. 162, 18. εἴσατο id. 382, 7. ἔκτοσθε DE. ἔκτοσθι L. — 335 ἐπὶ, κτιδέην AC. ἐπὶ κτιδέην EGS Apoll. Lex. 105, 19. Schol. Nicandr. Ther. 196. ἐπι κτιδέην D. ἐπ' ἰκτιδέην HL Cant. Lips. Harl. Vrat. A. — 336 προτὶ A: ποτὶ CGLS. ποτι D. ἐπὶ H Vrat. c. ἀπο A. ἆρ DGL. ἀρ A. — 338 ῥ' omitt. E. κάλιφ' DG. ὅμιλλον G. — 339 ἂν E. ἀνοδὸν D. τόνδε L. δ' ἐφράσατο CDGS Harl. Et. Mg. 799, 25. — 340 ὀδυσσεὺς DG. — 341 οὗτός τοι ACDEGHLS Cram. Epim. 414, 1 et 18. Ammon. de Diff. s. v. οὗτος. Eust. 1409, 29. — 342 ἢ (^{ει}) A. — 343 ἤ τινὰ CDL. κατατεθνηώτων L Lips. 1. man. Vrat. b. 2. man. κατατεθνειώτων ACDE bis GHS. — 344 παρ" εξελθεῖν A. παρὲξ-ἐλθεῖν Eust. 810, 42. — 345 δεκαὐτὸν D. ἕλοιμεν (^{ω}) A. — 346 παραφθαίῃσι AE. παραφθαίῃσι DGH. παραφθάνῃσι L. — 347 ἐπὶ: ποτὶ A. προτὶ CDH. προτὶ ἢ ποτὶ E 810, 18 et 48. στρατόφιν ACDEH LS. στρατόσφιν G. προτιειλεῖν ACDEGL. ποτιειλεῖν HS. — 348 ἔγχεϊ AG. ἐπ' ἀΐσσων L. προτὶ ACDEHL: ποτὶ GS. ἀλίξῃ G.

A. c. 334 πολιοῖο: οὐκ ἀγνοοῦμεν τὴν ἀκριβῆ γραφήν „πελιοῖο“ Cram. Epim. 344, 4. conf. Et. Mg. 680, 21 πολιοὶ λύκοι: γράφονται καὶ πελειοί (sic), πυῤῥοὶ ἢ μέλανες· ὡς παρὰ τῷ ποιητῇ Ἰλιάδος Κ (334) „ῥινὸν πολιοῖο λύκοιο“. — 335 ἐπὶ: ἔπι Ptolem. Ascalonita. κτιδέην Aristarchus, non ἰκτιδέην. — 341 ἀρίσταρχος οὗτός τις. ὡμολόγουν καὶ αἱ πλείους Didymus, conf. Schol. Κ 477. — 343 ἀρίσταρχος [κατα]τεθνηώτων Didymus. asteriscus: οὐκ ὀρθῶς 387. — 346 οὕτως σχεδὸν αἱ πᾶσαι Didymus. in codice lemma non est, sed pertinere videtur ad παραφθαίῃσι, cui iota adscriptum non debetur. quod si coniunctivus est, scribendum est παραφθήῃσι, ita Thiersch. Gr. § 223 e. — 347 ἀρίσταρχος ἐπινῆας Didymus.

ὣς ἄρα φωνήςαντε παρὲξ ὁδοῦ ἐν νεκύεςςι
κλινθήτην· ὃ δ' ἄρ' ὦκα παρέδραμεν ἀφραδίῃςιν.
ἀλλ' ὅτε δή ῥ' ἀπέην ὅςςόν τ' ἐπὶ οὖρα πέλονται
ἡμιόνων, αἳ γάρ τε βοῶν προφερέςτεραί εἰςιν
ἑλκέμεναι νειοῖο βαθείης πηκτὸν ἄροτρον,
τὼ μὲν ἐπεδραμέτην, ὃ δ' ἄρ' ἔςτη δοῦπον ἀκούςας·
ἔλπετο γὰρ κατὰ θυμὸν ἀποςτρέψοντας ἑταίρους
ἐκ Τρώων ἰέναι, πάλιν Ἕκτορος ὀτρύναντος.
ἀλλ' ὅτε δή ῥ' ἄπεςαν δουρηνεκὲς ἢ καὶ ἔλαςςον,
γνῶ ῥ' ἄνδρας δηίους, λαιψηρὰ δὲ γούνατ' ἐνώμα
φευγέμεναι· τοὶ δ' αἶψα διώκειν ὁρμήθηςαν.
ὡς δ' ὅτε καρχαρόδοντε δύω κύνε, εἰδότε θήρης,
ἢ κεμάδ' ἠὲ λαγωὸν ἐπείγετον ἐμμενὲς αἰεὶ
χῶρον ἀν' ὑλήενθ', ὃ δέ τε προθέῃςι μεμηκώς,
ὣς τὸν Τυδείδης ἠδ' ὁ πτολίπορθος Ὀδυςςεὺς
λαοῦ ἀποτμήξαντε διώκετον ἐμμενὲς αἰεί.
ἀλλ' ὅτε δὴ τάχ' ἔμελλε μιγήςεςθαι φυλάκεςςι
φεύγων ἐς νῆας, τότε δὴ μένος ἔμβαλ' Ἀθήνη
Τυδείδῃ, ἵνα μή τις Ἀχαιῶν χαλκοχιτώνων
φθαίη ἐπευξάμενος βαλέειν, ὃ δὲ δεύτερος ἔλθοι.

V. l. 349 ὡς A. παρ" ἐξ A. πάρεξ CGL Et. Gud. 374, 13. παρεξ D. νεκύεςςι ACDGH. — 350 ὅδ' CGL. ἂρ ACDEG. — 351 ὅςςόν τ' C Et. Mg. 642, 36. ὅςον τ' DG. ἐπὶ, οὖρα A. ἐπὶ οὖρα E 811, 6. ἐπιοὖρα D 1. man. ἐπίουρα CD 2. man. GHLS Et. Mg. 642, 36. Schol. θ 124. οὖρα ἢ προπαροξυτόνως ἐπίουρα Eust. 811, 10. πέλονται: φέρονται C. — 352 αἳ ACDEGL. — 354 ἐπεδραμέτην CE bis: ἐπιδραμέτην ADGHLS Apoll. Lex. 72, 31, conf. Ψ 418, 433, 447. δδ' D. ὅδ' CGHS. ἂρ ADGL. — 355 κατα D. ἀποςτρέψαντας G. — 356 τρώων L. — 358 ῥ' omitt. G. γνῶ δ' ἄρα δηΐους S. λαιψηρά τε G Barocc. αἰψηρὰ δὲ Apoll. Lex. 17, 19. — 359 αἶψα: γρ. καὶ ὦκα A. ὁρμήθηςαν AH: ὡρμήθηςαν CDEGLS. — 360 καρχαρόδοντε A. κύνες D. κύνε, οἵ τ' ἐπὶ θήρης Pseudoplut. 123, 19. — 362 ἀνυλήενθ' D. μεμηλώς Vrat. c. Mosc. 3. μεμυκώς Mor. — 363 ὡς A. ἠδ' ὁ ACDH Cant. Harl. Lips. Vrat. b. A: ἠδὲ GL, conf. Β 278. — 365 μιγήςαςθαι G. φυλάκεςςι ACDGH. — 366 ἔβαλ' S. — 367 χαλκοχιτώνων A. — 368 φθαίῃ ADG. ὃ δὲ C. ἔλθοι DGH Cant. Barocc. Mor. ἔλθῃ ACE bis LS.

A. c. 349 ὣς ἄρα φωνήςαντε παρέξ Aristarchus. ἐν μέντοι τῇ Ἀριςτοφάνους καὶ ἄλλαις ἑτέρως ἐφέρετο· „ὡς ἔφατ', οὐδ' ἀπίθηςε βοὴν ἀγαθὸς Διομήδης· ἐλθόντες δ' ἑκάτερθε παρὲξ ὁδοῦ ἐν νεκύεςςι κλινθήτην Didymus. — 354 ἀρίςταρχος ἐπεδραμέτην Didymus. — 359 τὸ ὁρμήθηςαν Ἰακῶς Didymus. — 362 ὁ τε ςύνδεςμος οὐκ ἦν ἐν ταῖς ἀριςτάρχου Didymus. scripsit igitur Aristarchus ὑλήεντα, ὃ δὲ προθέῃςι.

δουρὶ δ' ἐπαΐςςων προςέφη κρατερὸς Διομήδης·
ἢὲ μέν', ἠέ ςε δουρὶ κιχήςομαι, οὐδέ ςέ φημι
δηρὸν ἐμῆς ἀπὸ χειρὸς ἀλύξειν αἰπὺν ὄλεθρον.
ἦ ῥα, καὶ ἔγχος ἀφῆκεν, ἑκὼν δ' ἡμάρτανε φωτός.
δεξιτερὸν δ' ὑπὲρ ὦμον ἐύξου δουρὸς ἀκωκὴ
ἐν γαίῃ ἐπάγη· ὃ δ' ἄρ' ἔςτη τάρβηςέν τε
βαμβαίνων, ἄραβος δὲ διὰ ςτόμα γίγνετ' ὀδόντων,
χλωρὸς ὑπὸ δείους. τὼ δ' ἀςθμαίνοντε κιχήτην,
χειρῶν δ' ἁψάςθην· ὃ δὲ δακρύςας ἔπος ηὔδα·
ζωγρεῖτ', αὐτὰρ ἐγὼν ἐμὲ λύςομαι· ἔςτι γὰρ ἔνδον
χαλκός τε χρυςός τε πολύκμητός τε ςίδηρος,
τῶν κ' ὔμμιν χαρίςαιτο πατὴρ ἀπερείςι' ἄποινα,
εἴ κεν ἐμὲ ζωὸν πεπύθοιτ' ἐπὶ νηυςὶν Ἀχαιῶν.
τὸν δ' ἀπαμειβόμενος προςέφη πολύμητις Ὀδυςςεύς·
θάρςει, μηδέ τί τοι θάνατος καταθύμιος ἔςτω·
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
πῇ δὴ οὕτως ἐπὶ νῆας ἀπὸ ςτρατοῦ ἔρχεαι οἶος
νύκτα δι' ὀρφναίην, ὅτε θ' εὕδουςι βροτοὶ ἄλλοι;
ἤ τινα ςυλήςων νεκύων κατατεθνηώτων;
ἦ ς' Ἕκτωρ προέηκε διαςκοπιᾶςθαι ἕκαςτα
νῆας ἔπι γλαφυράς; ἦ ς' αὐτὸν θυμὸς ἀνῆκε;
τὸν δ' ἠμείβετ' ἔπειτα Δόλων, ὑπὸ δ' ἔτρεμε γυῖα·

V. l. 370 ἢ μένε G. οὐ δέ ςε φημὶ ACGHL. οὐδέ ε φημὶ D. — 371 ἀπὸ (υ superscr.) A. — 372 ἢ ῥὰ CDHL. ἀφῆκεν (ε superscr.) A. — 373 ἐΰξου AGS Cant. Vrat. b. εὔξου Et. Mg. 394, 44. ἐϋξόου CDEHL Schol. Κ 357. — 374 ὅδ' CGHL. ὁδὰρ D. ἂρ EGL. ἀρ A. — 375 γίνετ' ACDEGHL Et. Mg. 187, 30. — 376 * ὑπὸ: ὑπαὶ ACEGHL. ὑπ' αἰδείους D. — 377 ἀψάςθην omnes, non ἠψάςθην, conf. Β 171, Ο 127, Ψ 666. ὃ L. ηὖδα D. — 379 πολύκμητός A. — 380 χ' ὔμμιν DG Mor. Townl. Vrat. b. χ' ὑμῖν H. ὧν ὑμῖν E. — 383 μηδέ τι τοι ACDG. μὴ δέ τι τοι HL. ςοι E. — 384 κατάλεξον: γρ. ἀγόρευςον L. — 385 πῇ AEH: ceteri πη. ποῖ Harl. γρ. ποῖ C. τίφθ' S Cant. γρ. ποῦ A. δὴ Eust. 810, 30: ceteri δ'. — 386 διορφναίην D. γρ. ἀμβροςίην Vrat. b. ὅτε γ' G. ὅτε Lips. omisso θ'. — 387 ἢ L: ceteri ἤ. ἢ τινὰ D. κατατεθνειώτων DS. κατατεθνειότων G. κατατεθνηώτων (ει superscr.) H. — 388 ἦ: libri ἤ. ἢ ς' D. — 389 νῆας ἀνα D. ἐπι A. ἐπὶ CGHL. * ἦ ς': ἤ ς' ACH. ἢ ςὲ αὐτὸν E. ἢ ςαυτὸν DGL. θυμὸν ἀνώγει L. ἀνῆκε ACGH. — 390 ὑπο ACL. δὲ τρέμε Schol. Η 216.

A. c. 373 ἐύξου: ἐϋξοῦ Ptolem. Ascalonita. — 376 ὑπὸ, conf. H. U. 47, Ε 817, Ν 224, Ο 4, ε 52, ι 236, 396. — 387 ὅτι ἐκ τῶν ἐπάνω (343) μετάκειται Aristonicus. ἠθέτει καὶ Ἀριςτοφάνης Didymus. οὕτως ἀρίςταρχος, ἄλλοι δὲ κατατεθνειώτων Didymus.

πολλῇςίν μ' ἄτηςι παρὲκ νόον ἤγαγεν Ἕκτωρ,
ὅς μοι Πηλείωνος ἀγαυοῦ μώνυχας ἵππους
δωςέμεναι κατένευςε καὶ ἅρματα ποικίλα χαλκῷ·
ἠνώγει δέ μ' ἰόντα θοὴν διὰ νύκτα μέλαιναν
ἀνδρῶν δυςμενέων σχεδὸν ἐλθέμεν, ἔκ τε πυθέςθαι,
ἠὲ φυλάςςονται νῆες θοαὶ ὡς τὸ πάρος περ,
ἢ ἤδη χείρεςςιν ὑφ' ἡμετέρηςι δαμέντες
φύξιν βουλεύουςι μετὰ ςφίςιν, οὐδ' ἐθέλουςι
νύκτα φυλαςςέμεναι καμάτῳ ἀδηκότες αἰνῷ.
τὸν δ' ἐπιμειδήςας προςέφη πολύμητις Ὀδυςςεύς·
ἦ ῥά νύ τοι μεγάλων δώρων ἐπεμαίετο θυμός,
ἵππων Αἰακίδαο δαΐφρονος· οἳ δ' ἀλεγεινοὶ
ἀνδράςι γε θνητοῖςι δαμήμεναι ἠδ' ὀχέεςθαι,
ἄλλῳ γ' ἢ Ἀχιλῆι, τὸν ἀθανάτη τέκε μήτηρ.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
ποῦ νῦν δεῦρο κιὼν λίπες Ἕκτορα, ποιμένα λαῶν;
ποῦ δέ οἱ ἔντεα κεῖται ἀρήια, ποῦ δέ οἱ ἵπποι;
πῶς δαὶ τῶν ἄλλων Τρώων φυλακαί τε καὶ εὐναί;

V. L. 391 πολλῇςί E. ἄτηιςιν D. παρεκνόον ACD post ras. HL. — 392 πηλείονος G. — 393 χαλκῷ omitt. H. — 398 βουλεύουςι GL Mor. Harl. γρ. βουλεύουςι C man. rec. βουλεύοιτε ACDH. ἐθέλουςι G Mor. Harl. ἐθέλουςιν L. γρ. οὐδ' ἐθέλουςι C man. rec. ἐθέλοιτε ACDH. ἐν ἄλλῳ φύξιν βουλεύουςι μετὰ ςφίςιν οὐδ' ἐθέλουςι A. — 399 ἀδηκότες A. ἀδδηκότες LS. vulgo ἀδηκότες cum CDGH Lips. Townl. Vrat. b. — 400 δ' omitt. L — 402 οἳ δ' D. οἵδ' CGHL. — 404 ἄλλῳ ἢ DG. ἀχιλλῆϊ G. ὃν E. — 408 πῶς δαὶ AHL Apoll. de Synt. 6, 9; 77, 9. Ammon. de Diff. s. v. δαί. Bekk. Anecd. 971, 11; 1178. Apoll. Lex. 56, 27. Et. Gud. 132, 47. πῶς δὲ DG Cram. Anecd. Par. III, 13, 17; 284, 28. πῶς δέ τε H suprascr. πῶς δ' αἱ CE.

A. c. 391 ἀριςτοφάνης ἤπαφεν ἕκτωρ Didymus. — 397—399 παρὰ Ἀριςτοφάνει ἠθετοῦντο, ἐν δὲ ταῖς Ἀριςτάρχου ἐγέγραπτο εἰ ἤδη Didymus. οὕτως γραπτέον βουλεύουςι καὶ [ἐ]θέλουςι, τὸ γὰρ ςφίςιν ἐν τῷ περί τινών ἐςτι λόγῳ, ἀντὶ τοῦ αὐτοῖς, ᾧ ἀκόλουθα δεῖ εἶναι τὰ ῥήματα Aristonicus. τῶν παρακειμένων ὀβελῶν οὐκ ἔςτιν αἰτίαν εὑρεῖν διὰ τῶν Ἀριςταρχείων ὑπομνημάτων. Ἀμμώνιος δὲ ὁ Ἀριςτάρχειος πρῶτον μὲν ςτιγμαῖς φηςὶ τὸν Ἀρίςταρχον παραςημειώςαςθαι, εἶτα δὲ καὶ τέλειον ἐξελεῖν, τάχα διὰ τὸ ἐπὶ δευτέρου προςώπου τὸ ςφίςι τετάχθαι καὶ ἄνωθεν (310—312) μετενηνέχθαι Schol. A. haec primo adspectu inter se videntur pugnare, cuius discrepantiae causam fuisse puto diversitatem utriusque recensionis Aristarchi, qui in posteriore hos versus damnavit, in priore βουλεύουςι et ἐθέλουςι scripsit, eosque punctis notavit, quibus ostenderet, se dubitare an genuini essent. — 408 δαὶ Aristarchus, conf. H. T. 220. ὅτι ςύνδεςμος ὁ καῑ (sic) [δ] καὶ οὐκ ἄρθρον Aristonicus.

ἅςςά τε μητιόωςι μετὰ ςφίςιν, ἢ μεμάαςιν
αὖθι μένειν παρὰ νηυςὶν ἀπόπροθεν, ἦε πόλιν δὲ
ἂψ ἀναχωρήςουςιν, ἐπεὶ δαμάςαντό γ' Ἀχαιούς.
τὸν δ' αὖτε προςέειπε Δόλων, Εὐμήδεος υἱός·
τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως καταλέξω.
Ἕκτωρ μὲν μετὰ τοῖςιν, ὅςοι βουληφόροι εἰςί,
βουλὰς βουλεύει θείου παρὰ ςήματι Ἴλου,
νόςφιν ἀπὸ φλοίςβου· φυλακὰς δ', ἃς εἴρεαι, ἥρως,
οὔ τις κεκριμένη ῥύεται ςτρατὸν οὐδὲ φυλάςςει.
ὅςςαι γὰρ Τρώων πυρὸς ἐςχάραι, οἷςιν ἀνάγκη,
οἳ δ' ἐγρηγόρθαςι φυλαςςέμεναί τε κέλονται
ἀλλήλοις. ἀτὰρ αὖτε πολύκλητοι ἐπίκουροι
εὕδουςι· Τρωςὶν γὰρ ἐπιτραπέουςι φυλάςςειν·
οὐ γάρ ςφιν παῖδες ςχεδὸν εἴαται οὐδὲ γυναῖκες.
τὸν δ' ἀπαμειβόμενος προςέφη πολύμητις Ὀδυςςεύς·
πῶς γὰρ νῦν Τρώεςςι μεμιγμένοι ἱπποδάμοιςιν
εὕδους', ἦ ἀπάνευθε; δίειπέ μοι, ὄφρα δαείω.
τὸν δ' ἠμείβετ' ἔπειτα Δόλων, Εὐμήδεος υἱός·
τοιγὰρ ἐγὼ καὶ ταῦτα μάλ' ἀτρεκέως καταλέξω.
πρὸς μὲν ἁλὸς Κᾶρες καὶ Παίονες ἀγκυλότοξοι
καὶ Λέλεγες καὶ Καύκωνες δῖοί τε Πελαςγοί.
πρὸς Θύμβρης δ' ἔλαχον Λύκιοι Μυςοί τ' ἀγέρωχοι
καὶ Φρύγες ἱππόμαχοι καὶ Μῄονες ἱπποκορυςταί.

V. L. 409 ἅςςά τε ACDHL. ἅςςά τε Et. Mg. 167, 36. ἅςςα τε Eust. 813, 36. μετα D. μεμάαςι D. — 410 πόλιν δὲ AD. — 413 τοὶ γὰρ ACGH. ἐγὼ ςοὶ L. ἐγώ ςοι Harl. ἐγὼ δὴ G. καταλέξω: ἀγορεύςω D Townl. — 414 εἰςὶ DG. — 415 ςήματι: ςήματος Schol. Λ 166. — 416 ἀπο A. ἤρεαι G. — 418 ὅςςαι μὲν CGHL Barocc. Mor. Cant. Harl. Lips. Vrat. A. ὅς-
γὰρ μὲν
ςαι γὰρ DE bis. Zonar. Lex. 880. μὲν A. γὰρ S. τρώων L. — 419 οἵδ' C. οἵ γ' G Barocc. οἵ τ' L Vrat. b. — 420 πολύκλητοί τ' ἐπίκουροι AGHS Cant. Mor. Harl. — 421 εὕδουςιν ADH. τρωςὶ DEG. τρῳςὶ L. — 422 ςφι DG. είαται D. — 423 προςέβη L. πολύμητις A. — 424 γὰρ δὴ H
νῦν
Harl. γὰρ δὴ A. τ' ἂρ νῦν Lips. Mosc. 3. τρῴεςςι L. ἱπποδάμοιςι D. — 425 εὕδουςιν G. ἦ A: ceteri ἤ. — 427 τοὶ γὰρ DGH Barocc. ἐγώ τοι AHS Barocc. ἐγὼ δὴ G. ἀτρακέως G. ἀγορεύςω D. — 428 ἀργυρότοξοι Cram. An. Ox. II, 458, 12. — 430 μυςςοί D. — 431 ἱππόμαχοι L: ceteri ἱππόδαμοι. μηϊόνες DH.

A. c. 409—411 ἀθετοῦνται Aristonicus. asterisci: ὀρθῶς 208—210. — 413 οὕτως ἀρίςταρχος, ἄλλοι δὲ ἀγορεύςω Didymus. — 424 νῦν Nicanor. — 425 ἦ Herodianus. — 427 καὶ ταῦτα Schol. BL. — 431 ἀρίςταρχος ἱππόμαχοι Didymus.

ἀλλὰ τί ἦ ἐμὲ ταῦτα διεξερέεcθε ἕκαcτα;
εἰ γὰρ δὴ μέματον Τρώων καταδῦναι ὅμιλον,
Θρήικες οἵδ' ἀπάνευθε νεήλυδες, ἔcχατοι ἄλλων·
ἐν δέ cφιν Ῥῆcoc βαcιλεύc, πάιc Ἠϊονῆοc.
τοῦ δὴ καλλίcτουc ἵππουc ἴδον ἠδὲ μεγίcτουc·
λευκότεροι χιόνοc, θείειν δ' ἀνέμοιcιν ὁμοῖοι.
ἅρμα δέ οἱ χρυcῷ τε καὶ ἀργύρῳ εὖ ἤcκηται·
τεύχεα δὲ χρύcεια πελώρια, θαῦμα ἰδέcθαι,
ἤλυθ' ἔχων· τὰ μὲν οὔ τι καταθνητοῖcιν ἔοικεν
ἄνδρεccιν φορέειν, ἀλλ' ἀθανάτοιcι θεοῖcιν.
ἀλλ' ἐμὲ μὲν νῦν νηυcὶ πελάccετον ὠκυπόροιcιν,
ἠέ με δήcαντεc λίπετ' αὐτόθι νηλέι δεcμῷ,
ὄφρά κεν ἔλθητον καὶ πειρηθῆτον ἐμεῖο,
ἠὲ κατ' αἶcαν ἔειπον ἐν ὑμῖν, ἦε καὶ οὐκί.
τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προcέφη κρατερὸc Διομήδηc·
μὴ δή μοι φύξίν γε Δόλων ἐμβάλλεο θυμῷ,
ἐcθλά περ ἀγγείλαc, ἐπεὶ ἵκεο χεῖραc ἐc ἁμάc.
εἰ μὲν γάρ κέ cε νῦν ἀπολύcομεν ἠὲ μεθῶμεν,
ἦ τε καὶ ὕcτερον εἶcθα θοὰc ἐπὶ νῆαc Ἀχαιῶν
ἠὲ διοπτεύcων ἢ ἐναντίβιον πολεμίξων·
εἰ δέ κ' ἐμῆc ὑπὸ χερcὶ δαμεὶc ἀπὸ θυμὸν ὀλέccηc,

V. L. 432 τί ἦ Et. Mg. 415, 20. τί ἤ με Schol. A 219. τίη γέ με G. τίη μεῦ H. τίη μὲ διεξερέεcθαι ταῦτα ἕκαcτα Mor. Barocc. διεξερέεcθαι Apoll. Lex. 82, 2. παρεξερέεcθαι Schol. A 219. Et. Mg. 415, 20. — 433 τρῴων L. — 434 οἶδ' A. νεήλιδεc L. — 435 cφι D Schol. Eurip. Rhes. 393. πάιc E: παῖc ACDGHLS. — 437 ὅμοιοι G. — 438 ἅρματα δὲ χρυcῷ HL Lips. τὲ A. — 440 κατὰ θνητοῖcιν AEHL. — 441 ἄνδρεccι DEGH. — 442 μὲν omitt. Lips. Mosc. 3. νῦν omitt. Cant. ἐμὲ μὲν νηυcὶν πελάccετον Vrat. A. πελάccατον Mosc. 3. ὠκυπόροιcι D. — 443 ἠέ, με A. ἢ ἐμὲ D ex corr. H. — 444 ὄφρά κεν ACH. πειραθῆτον H. ἐμοῖο S. — 445 ἦ ῥα AGS Cant. Mor. Harl. Lips. Townl. Vrat. b. A. ἦ ρὰ C. ἦ ῥὰ H. ἤ ῥα D. ἠὲ EL. οὐκί: οὐχὶ G. — 446 ἆρ DG. ἀρ A. — 447 φύξίν γε A. — 448 ἁμάc C: ἀμὰc ADE 819, 19 ἐμὰc GHL (om. ἐc) Townl. in ras. χεῖραc ἐμεῖο ἢ μᾶλλον χεῖραc ἐc ἀμὰc Eust. 817, 36. — 449 καί cε CD. ἀπολύcομαι ἠὲ μεθῶμαι G. ἀπολύcομαι Barocc. — 450 εἴ τε Apoll. Lex. 64, 33. ἦτε D. ἦcθα H 1. man. L. γρ. ἤιcθα H. — 451 διοπτεύcῶν[ειν] S. διοπτεύcειν Vrat. b. 1. man. ἀντίβιον E. πτολεμίξων D. πτολεμίξῶν[ειν] S. πτολεμίζων H. πολεμίζειν L. πολεμίξων ACEG Cant. Harl. Vrat. A. — 452 ὕπο A. δαμεὶc ACDEGHLS. τυπεὶc A sup. γρ. τυπεὶc Vrat. b. ἄπο CDH. ὀλέccα[η]c H.

A. c. 445 ἀρίcταρχοc ἠὲ κατ' αἶcαν Didymus. οὐκί, non οὐχί, Aristarchus conf. H. T. 328. — 449 ἀπολύcομεν Schol. V. μεθῶμεν, conf. B 299 δαῶμεν, X 381 πειρηθῶμεν. — 452 ἀρίcταρχοc ὀλέccαιc Didymus.

οὐκέτ' ἔπειτα cὺ πῆμά ποτ' ἔccεαι Ἀργείοιcιν.
ἦ, καὶ ὃ μέν μιν ἔμελλε γενείου χειρὶ παχείῃ
ἁψάμενοc λίccεcθαι, ὃ δ' αὐχένα μέccον ἔλαccε
φαcγάνῳ ἀΐξαc, ἀπὸ δ' ἄμφω κέρcε τένοντε·
φθεγγομένου δ' ἄρα τοῦ γε κάρη κονίῃcιν ἐμίχθη.
τοῦ δ' ἀπὸ μὲν κτιδέην κυνέην κεφαλῆφιν ἕλοντο
καὶ λυκέην καὶ τόξα παλίντονα καὶ δόρυ μακρόν·
καὶ τά γ' Ἀθηναίῃ ληίτιδι δῖοc Ὀδυccεὺc
ὑψόc' ἀνέcχεθε χειρὶ καὶ εὐχόμενοc ἔποc ηὔδα·
χαῖρε θεὰ τοῖcδεccι· cὲ γὰρ πρώτην ἐν Ὀλύμπῳ
πάντων ἀθανάτων ἐπιβωcόμεθ'· ἀλλὰ καὶ αὖτιc
πέμψον ἐπὶ Θρῃκῶν ἀνδρῶν ἵππουc τε καὶ εὐνάc.
ὣc ἄρ' ἐφώνηcεν, καὶ ἀπὸ ἕθεν ὑψόc' ἀείραc
θῆκεν ἀνὰ μυρίκην· δέελον δ' ἐπὶ cῆμά τ' ἔθηκε,
cυμμάρψαc δόνακαc μυρίκηc τ' ἐριθηλέαc ὄζουc,
μὴ λάθοι αὖτιc ἰόντε θοὴν διὰ νύκτα μέλαιναν.
τὼ δὲ βάτην προτέρω διά τ' ἔντεα καὶ μέλαν αἷμα,
αἶψα δ' ἐπὶ Θρῃκῶν ἀνδρῶν τέλοc ἷξον ἰόντεc.
οἳ δ' εὗδον καμάτῳ ἀδηκότεc, ἔντεα δέ cφι
καλὰ παρ' αὐτοῖcι χθονὶ κέκλιτο, εὖ κατὰ κόcμον,

V. L. 454 ὃ μὲν μοι L. — 455 ὅδ' CGHL. ἔλαccε ACEG. — 456 ἄπο D. — 457 φθεγγομέν[η]||| H. φθεγγομένη Aristoteles de Part. animal. III, 10. γράφεται φθεγγομένη Eust. 818, 4. Schol. L. τοῦδε Macrob. Sat. V, 13, 2. — 458 κεφαλῆφιν CEG. — 459 λυκίην G. — 460 τάδ' L. — 461 ὑψόθ' H. ἀνέcχε S. — 462 τοῖcδεccι ACDEL. τοῖcδέccι H. τοῖcδεcι Bekk. Anecd. 863, 1. τοῖc, δή γε cὲ G. — 463 ἐπιβωcόμεθ' ADHL. ἐπιβωcόμεθα E 818, 15 et 44 G. ἐπιβ[δ]ωcόμεθ' S. ἐπιδωcόμεθ' C, add. βω man. rec. ἐπιδωcόμεθ' Ven. B Lips. 1. man. αὖθϊc C. — 464 θρῃϊκῶν H. ἵππουc τε: ἐν ἄλλῳ ἄγυρίν τε A. τὲ H. — 465 ὡc A. ἆρ G. ἄπο A. — 466 ἀνα D. δῆλον Cant. ἐπι A. cῆμ' ἔθηκεν L. ἔθηκε ACDEH. ἔχευαν Bekk. An. 797, 12. — 468 αὖθϊc C. — 470 θρῃϊκῶν H. ἷξον CEHL Et. Mg. 750, 38. Apoll. Lex. 151, 2: ἶξον A. ἵξον D Et. Gud. 524, 47. ἦξαν G. ἷξαν Cant. — 471 οἳ δ' D. οἵδ' CGHL. ἀδηκότεc ACDGH Barocc. Townl. Vrat. b. ἀδδηκότεc ELS. cφι CDG Schol. K 153. — 472 αὐτοῖcιν E.

A. c. 457 φθεγγομένου, conf. H. T. 28. — 463 ἀρίcταρχοc ἐπιδωcόμεθα, ἵν' ἢ δώροιc τιμήcομεν Didymus. ἐπιβωcόμεθα, εἰc βοήθειαν ἐπικαλεcόμεθα. γράφεται καὶ ἐπιδωcόμεθα, ἵν' ἢ δώροιc τιμήcομεν Et. Mg. 357, 52, conf. Apoll. Lex. 73, 1 et 2. βώcομαι est forma Ionica, qua Herodotus saepissime, Homerus α 378, β 143 usus est. — 465 διήλλαττον αἱ ἀριcτάρχου ὑψόcε καὶ ὑψοῦ Didymus. — 466 cὺν τῷ ν̄ μυρίκην Didymus. δέελον Aristarchus.

τριστοιχί· παρὰ δέ σφιν ἑκάστῳ δίζυγες ἵπποι.
Ῥῆσος δ' ἐν μέσῳ εὗδε, παρ' αὐτῷ δ' ὠκέες ἵπποι
ἐξ ἐπιδιφριάδος πυμάτης ἱμᾶσι δέδεντο.
τὸν δ' Ὀδυσεὺς προπάροιθεν ἰδὼν Διομήδεϊ δεῖξεν·
οὗτός τοι Διόμηδες ἀνήρ, οὗτοι δέ τοι ἵπποι,
οὓς νῶιν πίφαυσκε Δόλων, ὃν ἐπέφνομεν ἡμεῖς.
ἀλλ' ἄγε δὴ πρόφερε κρατερὸν μένος· οὐδέ τί σε χρὴ
ἑστάμεναι μέλεον σὺν τεύχεσιν, ἀλλὰ λύ' ἵππους·
ἠὲ σύ γ' ἄνδρας ἔναιρε, μελήσουσιν δ' ἐμοὶ ἵπποι.
ὣς φάτο, τῷ δ' ἔμπνευσε μένος γλαυκῶπις Ἀθήνη,
κτεῖνε δ' ἐπιστροφάδην, τῶν δὲ στόνος ὤρνυτ' ἀεικὴς
ἄορι θεινομένων, ἐρυθαίνετο δ' αἵματι γαῖα.
ὡς δὲ λέων μήλοισιν ἀσημάντοισιν ἐπελθών,
αἴγεσιν ἢ ὀΐεσσι, κακὰ φρονέων ἐνορούσῃ,
ὣς μὲν Θρήικας ἄνδρας ἐπῴχετο Τυδέος υἱός,
ὄφρα δυώδεκ' ἔπεφνεν. ἀτὰρ πολύμητις Ὀδυσσεύς,
ὅν τινα Τυδεΐδης ἄορι πλήξειε παραστάς,
τὸν δ' Ὀδυσεὺς μετόπισθε λαβὼν ποδὸς ἐξερύσασκε,
τὰ φρονέων κατὰ θυμόν, ὅπως καλλίτριχες ἵπποι
ῥεῖα διέλθοιεν μηδὲ τρομεοίατο θυμῷ
νεκροῖς ἀμβαίνοντες· ἀήθεσσον γὰρ ἔτ' αὐτῶν.
ἀλλ' ὅτε δὴ βασιλῆα κιχήσατο Τυδέος υἱός,
τὸν τρεισκαιδέκατον μελιηδέα θυμὸν ἀπηύρα

V. ι. 473 τριστοιχί DL Vrat. b. τριστοιχεί ACEGH. τριστοιχὶ [ει] S. παρα D. — 474 μέσσῳ εὕδεσκε G Mor. — 475 ἐξ επιδιφριάδος A. — 476 τοὺς [ον] S. τοὺς Cant. ὀδυσσεὺς DGH 1. man. ἰδὼν προπάροιθεν G. διομήδεα A. — 478 νῶϊ DE Schol. Κ 447. πίφασκε GH Vrat. b. πέφνομεν S. — 479 οὐδέ τι σε ACDGHL. χρὴ omitt. H. — 480 συν AD. — 481 ἠὲ σὺ δ' L. ἢ σύγε E bis. μελήσουσι CDEG. δ' ἐμοὶ A Harl. δέ μοι CDEG HLS, conf. Ε 228. — 482 ὡς A. — 484 ἐρυθαίνετο: φοινίσσετο Schol. Aristoph. Pac. 302. Suidas II, 2, 1563, 16. — 486 ἐνορούσοι G Vrat. A. Mosc. 3. ἐνορούσει CL. — 487 ὡς A. — 488 δυώδεκ' G. αὐτὰρ H. — 490 ὀδυσσεὺς DG. ἐξερύσασκε ACDEG. — 491 κατα D. καλῖτρΐχες H. — 492 μὴ δὲ CDGH. — 493 ἀήθεσσον AEL Schol. Ε 231. ἀέθεσσον D. ἀήθεσσον [αν] C. ἀήθεσσαν GH Harl. αὐτόν Schol. Ε 231. — 495 τρισκαιδέκατον AGH. ἀπηῦρα D.

A. c. 475 ἐξ Herodianus: alii ἔξ. — 477 οὗτός τοι Aristarchus. — 478 οὓς Aristarchus, alii ὅν. — 489 πλήξειε: οὕτως ἀρίσταρχος, ἄλλοι δὲ πλήξασκε Didymus. — 495 τρεισκαιδέκατον Schol. A. ἀντὶ τοῦ τρεισκαιδεκατ (sic) A in margine, conf. H. T. 229.

ἀσθμαίνοντα· κακὸν γὰρ ὄναρ κεφαλῆφιν ἐπέστη
τὴν νύκτ', Οἰνείδαο πάις, διὰ μῆτιν Ἀθήνης.
τόφρα δ' ἄρ' ὁ τλήμων Ὀδυσεὺς λύε μώνυχας ἵππους,
σὺν δ' ἤειρεν ἱμᾶσι καὶ ἐξήλαυνεν ὁμίλου
τόξῳ ἐπιπλήσσων, ἐπεὶ οὐ μάστιγα φαεινὴν
ποικίλου ἐκ δίφροιο νοήσατο χερσὶν ἑλέσθαι·
ῥοίζησεν δ' ἄρα πιφαύσκων Διομήδεϊ δίῳ.
αὐτὰρ ὃ μερμήριζε μένων ὅτι κύντατον ἔρδοι,
ἢ ὅ γε δίφρον ἑλών, ὅθι ποικίλα τεύχε' ἔκειτο,
ῥυμοῦ ἐξερύοι ἢ ἐκφέροι ὑψόσ' ἀείρας,
ἦ ἔτι τῶν πλεόνων Θρῃκῶν ἀπὸ θυμὸν ἕλοιτο.
εἷος ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα, τόφρα δ' Ἀθήνη
ἐγγύθεν ἱσταμένη προσέφη Διομήδεα δῖον·
νόστου δὴ μνῆσαι μεγαθύμου Τυδέος υἱὲ
νῆας ἔπι γλαφυράς, μὴ καὶ πεφοβημένος ἔλθῃς,
μή πού τις καὶ Τρῶας ἐγείρῃσιν θεὸς ἄλλος.
ὣς φάθ', ὃ δὲ ξυνέηκε θεᾶς ὄπα φωνησάσης,
καρπαλίμως δ' ἵππων ἐπεβήσετο· κόψε δ' Ὀδυσσεὺς
τόξῳ· τοὶ δ' ἐπέτοντο θοὰς ἐπὶ νῆας Ἀχαιῶν.
οὐδ' ἀλαὸς σκοπιὴν εἶχ' ἀργυρότοξος Ἀπόλλων,
ὡς ἴδ' Ἀθηναίην μετὰ Τυδέος υἱὸν ἕπουσαν·

V. ι. 496 κεφαλῆφιν ACEG. — 497 οἰνίδαο D. — 498 ἄρ DEG. ἀρ A. ὀδυσσεὺς DH. — 499 συν D. ἤιειρεν A. εἴηρεν L. — 501 ποικίλην G. — 502 ῥοίζησε EG Bekk. Anecd. 771, 17. ῥοίζεσκεν Barocc. πιφάσκων GH Bekk. An. 771, 17. — 503 ὃ CDGHL. μερμήριξε A. ὅ, τι G. κύντατον ACGHL Barocc. Mor. Townl. Vrat. b. A. Mosc. 3. κύντερον DES. ἕρδοι GL. — 504 τεύχεα κεῖτο L. — 505 ἢ A: ceteri ἤ. ὑφοῦ L. — 506 ἢ ὅγε τῶν C. θρηκῶν ἀνδρῶν D. ἀπο CDL. — 507 * εἷος: libri ἕως. ὃ [η] ACDGHL. κατα D. τόφρ' ἀθήνη L. — 508 προσεφώνει C. — 510 ἐπι AD. ἐπὶ CEGHL. μή κεν L. ἔλθῃς et ἔλθοις D eadem manu. — 511 μή που τις ACDGHL. τρῶας L. ἐγείρῃσι DE bis GH. — 512 ὡς A. ὃ δὲ C. θεᾶς προφωνησάσης S. — 513 ἐπεβήσετο ACHLS Cant. Harl. Vrat. b. A. Mosc. 3. ἐπεβήσατο DE ter G. κόψε ACDEGHL Cant. Mor. Harl. Vrat. b. — 515 ἀλαὸς σκοπιὴν A: ἀλαοσκοπιὴν CDE ter GL Et. Mg. 57, 10. ἀλαο[ν]σκοπιὴν H. vulgo ἀλαοσκοπίην. ἔχεν Mosc. 3.

A. c. 497 ἀθετεῖται Aristonicus. οὔτε ἐν Ζηνοδότῳ (scribendum ἐν τῇ Ζηνοδότου vel παρὰ Ζηνοδότῳ) οὔτε ἐν τῇ Ἀριστοφάνους ἐφέρετο Didymus. — 505 διχῶς ὑψοῦ καὶ ὑψόσε Didymus, conf. 465. — 513 οὕτως ἀρίσταρχος, ἄλλοι δὲ ἐπεβήσατο Didymus. κόψε primus restituit Spitznerus cum libris fere omnibus: vulgo κόπτε, quod in libris meis non inveni. — 515 ἀλαὸς σκοπιὴν Aristarchus: ἀλαὸν σκοπιὴν Zenodotus, conf. H. T. 184.

τῇ κοτέων Τρώων κατεδύcετο πουλὺν ὅμιλον,
ὦρcεν δὲ Θρηκῶν βουληφόρον Ἱπποκόωντα,
Ῥήcου ἀνεψιὸν ἐcθλόν. ὃ δ᾽ ἐξ ὕπνου ἀνορούcας,
ὡc ἴδε χῶρον ἐρῆμον, ὅθ᾽ ἕcταcαν ὠκέες ἵπποι,
ἄνδράc τ᾽ ἀcπαίροντας ἐν ἀργαλέῃcι φονῇcιν,
ᾤμωξέν τ᾽ ἄρ᾽ ἔπειτα φίλον τ᾽ ὀνόμηνεν ἑταῖρον.
Τρώων δὲ κλαγγή τε καὶ ἄcπετος ὦρτο κυδοιμὸc
θυνόντων ἄμυδιc· θηεῦντο δὲ μέρμερα ἔργα,
ὅcc᾽ ἄνδρες ῥέξαντες ἔβαν κοίλας ἐπὶ νῆας.
οἳ δ᾽ ὅτε δὴ ῥ᾽ ἵκανον ὅθι cκοπὸν Ἕκτορος ἔκταν,
ἔνθ᾽ Ὀδυcεὺc μὲν ἔρυξε διίφιλος ὠκέας ἵππους,
Τυδείδης δὲ χαμᾶζε θορὼν ἔναρα βροτόεντα
ἐν χείρεcc᾽ Ὀδυcῆι τίθει, ἐπεβήcετο δ᾽ ἵππων.
μάcτιξεν δ᾽ ἵππους, τὼ δ᾽ οὐκ ἀέκοντε πετέcθην
[νῆας ἔπι γλαφυράc· τῇ γὰρ φίλον ἔπλετο θυμῷ].
Νέcτωρ δὲ πρῶτος κτύπον ἄιε φώνηcέν τε·
ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
ψεύcομαι, ἦ ἔτυμον ἐρέω; κέλεται δέ με θυμός.
ἵππων μ᾽ ὠκυπόδων ἀμφὶ κτύπος οὔατα βάλλει.
αἲ γὰρ δὴ Ὀδυcεύc τε καὶ ὁ κρατερὸc Διομήδηc
ὧδ᾽ ἄφαρ ἐκ Τρώων ἐλαcαίατο μώνυχας ἵππους.
ἀλλ᾽ αἰνῶc δείδοικα κατὰ φρένα, μή τι πάθωcιν
Ἀργείων ὤριcτοι ὑπὸ Τρώων ὀρυμαγδοῦ.

V. ʟ. 517 τρῴων L. κατεδύcατο GS. κατεδύccετο L. πολὺν D. — 518 ὦρcε GL. — 519 ὃ δ᾽ L. ὅδ᾽ C. — 520 ἔρημον Lips. Townl. Mosc. 3. ἔcταcαν A. — 521 ἄνδράc τ᾽ A. ἀcπέροντας G. ἀργαλέοιcι Cant. φόνηcι D. — 522 ἆρ DEGL. ἀρ A. ὀνόμηνεν H. ὀνόμινεν D. — 523 τρῴων L. — 526 οἳ δ᾽ D. οἵδ᾽ CGHL. ἵκοντο G Barocc. — 527 ὀδυccεὺc DG. ἔρυκε Vrat. b. διῒ φίλος ACDGHL. — 528 χαμᾶζε ADE: χαμάζε CGHL. — 529 ὀδυccῆϊ G. ἐν ἄλλῳ ὀδυcῆϊ δίδου A. ὀδυccῆος ἐτίθει S. ἐπεβήcετο ACGHL Barocc. Lips. Vrat. b. A. Mosc. 3. ἐπεβήcατο D ex corr. — 530 μάcτιζεν L. δ᾽ ἵππους ACGH: δ᾽ ὀδυcεὺc L Barocc. Mor. Townl. δ᾽ ὀδυccεὺc G. ἐν ἄλλῳ μάcτιξεν δ᾽ ὀδυccεύc A. * ἀέκοντε: libri ἄκοντε. — 531 omitt. AC Townl.: habent DEGHLS. ἐπὶ H. — 534 ἔτυμόν τοϊ ἐρέω A. ἔτυμόν τοι GH Mor. Barocc. — 535 μ᾽ omitt. L. ἀμφι D. — 536 γὰρ ὀδύccεύc τε D. ὀδυccεύc G. — 537 ὧδ᾽: ὡc δ᾽ Et. Mg. 175, 20. Apoll. Lex. 48, 20. τρῴων L. — 538 κατα AD. πάθειεν (οι supra ει) L. — 539 οἱ ἄριcτοι libri. ὑπο A. τρῴων L. ὀρυγμαδοῦ C 1. man. GH.

A. c. 522 Zenodotus ante 520 collocavit. — 534 παρὰ Ζηνοδότῳ δὲ οὐκ ἦν ὁ cτίχος Schol. V. — 538 ἀρίcταρχος δείδοικα μεταφρεcὶ Didymus, conf. δ 825. retinui κατὰ φρένα, ut A 555, Ι 244, ω 353. — 539 ἀρίcταρχος ἀργείων ὤριcτοι καὶ ἄνευ τοῦ ῑ Didymus, conf. H. U. 202 sq.

οὔ πω πᾶν εἴρητο ἔπος, ὅτ᾽ ἄρ᾽ ἤλυθον αὐτοί.
καί ῥ᾽ οἱ μὲν κατέβηcαν ἐπὶ χθόνα, τοὶ δὲ χαρέντες
δεξιῇ ἠcπάζοντο ἔπεccί τε μειλιχίοιcι.
πρῶτος δ᾽ ἐξερέεινε Γερήνιος ἱππότα Νέcτωρ·
εἴπ᾽ ἄγε μ᾽ πολύαιν᾽ Ὀδυcεῦ, μέγα κῦδος Ἀχαιῶν,
ὅππωc τοῦcδ᾽ ἵππους λάβετον· καταδύντες ὅμιλον
Τρώων; ἦ τίς cφωε πόρεν θεὸc ἀντιβολήcας;
αἰνῶc ἀκτίνεccιν ἐοικότες ἠελίοιο.
αἰεὶ μὲν Τρώεcc᾽ ἐπιμίcγομαι, οὐδέ τί φημι
μιμνάζειν παρὰ νηυcὶ γέρων περ ἐὼν πολεμιcτήc·
ἀλλ᾽ οὔ πω τοίους ἵππους ἴδον οὐδὲ νόηcα.
ἀλλά τιν᾽ ὔμμ᾽ ὀίω δόμεναι θεὸν ἀντιάcαντα·
ἀμφοτέρω γὰρ cφῶι φιλεῖ νεφεληγερέτα Ζεὺc
κούρη τ᾽ αἰγιόχοιο Διός, γλαυκῶπιc Ἀθήνη.
τὸν δ᾽ ἀπαμειβόμενος προcέφη πολύμητις Ὀδυccεύc·
ὦ Νέcτορ Νηληιάδη, μέγα κῦδος Ἀχαιῶν,
ῥεῖα θεός γ᾽ ἐθέλων καὶ ἀμείνονας, ἠέ περ οἵδε,
ἵππους δωρήcαιτ᾽, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰcιν.
ἵπποι δ᾽ οἵδε γεραιὲ νεήλυδες, οὒc ἐρεείνειc,
Θρηίκιοι· τὸν δέ cφιν ἄνακτ᾽ ἀγαθὸc Διομήδηc
ἔκτανε, πὰρ δ᾽ ἑτάρους δυοκαίδεκα πάντας ἀρίcτους.

V. ʟ. 540 ἆρ᾽ ADEGL. — 541 ἐπι D. — 542 δεξιῇc S Cant. Vrat. b. A. Mosc. 3. δεξίῃ τ᾽ et δεξίῃ Eust. 823, 6. μειλιχίοιcι ACDGH. — 544 εἶπ᾽ L. εἴπ᾽ A. ὀδυccεῦ DEG. — 545 ὅπωc (π supra) C. τοῦcδ᾽ A. τοὺc D. καταδύντε S Cant. καταδύντ᾽ ἐc L. — 546 τρῴων L. ἤ τϊ H. τί cφῶε C 1. man. D. cφῶε GHL. ὑμῖν, i. e. cφῶι Eust. 823, 10. cφῶε, πόρεν A. πόρε G. — 547 ἐοικότας (εc supra) S. — 548 οὐδέ τι φημὶ ACDEGL. οὐδ᾽ ἔτι φημὶ H. — 549 παρα A. — 550 τοιούcδ᾽ G. τοιούτους L. * οὐδὲ νόηcα: libri οὐδ᾽ ἐνόηcα. — 551 ὔμμ᾽ DG. οἴω D. θεῶν L. — 552 γάρ cφωε S. γὰρ cφῶε DL. νεφεληγερέτα A. — 556 γε θέλων CDS Cant. Lips. Townl. οἶδε A. — 557 ΔΩΡΗϹЄΤ᾽ Ambros. δωρήcετ᾽ L. δωρήcεται Townl. δωρήcαιτο H. δωρήcοιτο E. ἐπεὶ ἣ A. ἐπειῆ E: vulgo ἐπειή. πολυφέρτεροί εἰcι D. πολυφέρτερός ἐcτιν S. πολὺ φέρτερός ἐcτιν Cant. — 558 οἶδε AD. οἵγε L. — 559 θρήκιοι S. ἄνακτα L. — 560 παρ CD. παρ᾽ ἑταίρους G. δυοκαίδεκα AGH. δυωκαίδεκα L.

A. c. 545 λάβετον: λαβέτην Zenodotus. — 546 οὕτωc cφωε διὰ τοῦ ε̄ καὶ πόρεν ἰακῶc. οὕτωc καὶ ἀρίcταρχος καὶ ἡρωδιανόc Schol. A. ὅτι Ζηνόδοτος γράφει cφῶϊ Aristonicus. cφῶε Ixion, conf. Apoll. de Pron. 114 A. alii cφω ἔπορεν. — 548 ἐπιμίcγομαι: ὁ Ἰξίων ἀναμίcγομαι Schol. V.

τὸν τρειϲκαιδέκατον ϲκοπὸν εἵλομεν ἐγγύθι νηῶν,
τόν ῥα διοπτῆρα ϲτρατοῦ ἔμμεναι ἡμετέροιο
Ἕκτωρ τε προέηκε καὶ ἄλλοι Τρῶεϲ ἀγαυοί.
ὣϲ εἰπὼν τάφροιο διήλαϲε μώνυχαϲ ἵππουϲ
καγχαλόων· ἅμα δ' ἄλλοι ἴϲαν χαίροντεϲ Ἀχαιοί.
οἳ δ' ὅτε Τυδείδεω κλιϲίην εὔτυκτον ἵκοντο,
ἵππουϲ μὲν κατέδηϲαν ἐυτμήτοιϲιν ἱμᾶϲι
φάτνῃ ἐφ' ἱππείῃ, ὅθι περ Διομήδεοϲ ἵπποι
ἕϲταϲαν ὠκύποδεϲ μελιηδέα πυρὸν ἔδοντεϲ.
νηὶ δ' ἐνὶ πρυμνῇ ἔναρα βροτόεντα Δόλωνοϲ
θῆκ' Ὀδυϲεύϲ, ὄφρ' ἱρὸν ἑτοιμαϲϲαίατ' Ἀθήνῃ.
αὐτοὶ δ' ἱδρῶ πολλὸν ἀπενίζοντο θαλάϲϲῃ
ἐϲβάντεϲ κνήμαϲ τε ἰδὲ λόφον ἀμφί τε μηρούϲ.
αὐτὰρ ἐπεί ϲφιν κῦμα θαλάϲϲηϲ ἱδρῶ πολλὸν
νίψεν ἀπὸ χρωτὸϲ καὶ ἀνέψυχθεν φίλον ἦτορ,
ἔϲ ῥ' ἀϲαμίνθουϲ βάντεϲ ἐυξέϲταϲ λούϲαντο.
τὼ δὲ λοεϲϲαμένω καὶ ἀλειψαμένω λίπ' ἐλαίῳ
δείπνῳ ἐφιζανέτην, ἀπὸ δὲ κρητῆροϲ Ἀθήνῃ
πλείου ἀφυϲϲόμενοι λεῖβον μελιηδέα οἶνον.

ΙΛΙΑΔΟϹ Λ.

Ἠὼϲ δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο
ὤρνυθ', ἵν' ἀθανάτοιϲι φόωϲ φέροι ἠδὲ βροτοῖϲι·

V. L. 561 τριϲκαιδέκατον AGL. — 562 τὸν ῥὰ CL. — 563 τὲ H. τε omitt. G. τρῷεϲ L. — 565 ἦϲαν C. — 566 οἵδ' CGL. ὅτε δὴ H. τυδείδαο G. ἐύτυκτον C. ἐΰτϋκτον H. — 567 ἱμᾶϲι A Ambr. CEGH. — 569 ἑϲταϲαν AD. ἔϲταϲαν GL. — 570 ἐνι AD. ἐν S. — 571 θῆχ' ὀδυϲεὺϲ C. ὀδυϲϲεὺϲ DG. ἱερὸν G Lips. ἑτοιμαϲαίατ' CD. ἑτοιμαϲαίατο E. — 573 τε ἰδὲ ACDEH Apoll. Lex. 109, 4. τε ἠδὲ G. τ' ἠδὲ Et. Mg. 570, 3. Cram. Epim. 172, 7. τε ἰδ' αὖ λόφουϲ L. τε ἰδ' αὖ λόφον Harl. — 574 ϲφι G. — 575 ἄπο A. ἀνέψυχεν L. ἀνέψυχε Townl. ἀνέψυχθε GH. — 576 εὐξέϲταϲ D. ἐϋξέϲτουϲ S. — 577 τώδε G. — 579 ἀφυϲϲόμενοι A Harl. ceteri ἀφυϲϲάμενοι.

A. c. 561 τινὲϲ γράφουϲι τὸν τετρακαιδέκατον ϲκοπὸν εἵλομεν Aristonicus. — 579 οὕτωϲ ἀρίϲταρχοϲ· ἄλλοι δὲ ἀφυϲϲάμενοι Didymus, conf. ad Γ 295.

V. L. 2 ὄρνυθ' Townl. φέρῃ EL ex em. Lips. Harl. βροτοῖϲι ACDGH.

Ζεὺϲ δ' Ἔριδα προΐαλλε θοὰϲ ἐπὶ νῆαϲ Ἀχαιῶν
ἀργαλέην, πολέμοιο τέραϲ μετὰ χερϲὶν ἔχουϲαν.
ϲτῆ δ' ἐπ' Ὀδυϲϲῆοϲ μεγακήτεϊ νηὶ μελαίνῃ,
ἥ ῥ' ἐν μεϲϲάτῳ ἔϲκε γεγωνέμεν ἀμφοτέρωϲε,
ἠμὲν ἐπ' Αἴαντοϲ κλιϲίαϲ Τελαμωνιάδαο
ἠδ' ἐπ' Ἀχιλλῆοϲ, τοί ῥ' ἔϲχατα νῆαϲ ἐίϲαϲ
εἴρυϲαν ἠνορέῃ πίϲυνοι καὶ κάρτεϊ χειρῶν.
ἔνθα ϲτᾶϲ' ἤυϲε θεὰ μέγα τε δεινόν τε
ὄρθι', Ἀχαιοῖϲιν δὲ μέγα ϲθένοϲ ἔμβαλ' ἑκάϲτῳ
καρδίῃ, ἄληκτον πολεμίζειν ἠδὲ μάχεϲθαι.
τοῖϲι δ' ἄφαρ πόλεμοϲ γλυκίων γένετ' ἠὲ νέεϲθαι
ἐν νηυϲὶ γλαφυρῇϲι φίλην ἐϲ πατρίδα γαῖαν.
Ἀτρείδηϲ δ' ἐβόηϲεν ἰδὲ ζώννυϲθαι ἄνωγεν
Ἀργείουϲ· ἐν δ' αὐτὸϲ ἐδύϲετο νώροπα χαλκόν.
κνημῖδαϲ μὲν πρῶτα περὶ κνήμηϲιν ἔθηκε
καλάϲ, ἀργυρέοιϲιν ἐπιϲφυρίοιϲ ἀραρυίαϲ·
δεύτερον αὖ θώρηκα περὶ ϲτήθεϲϲιν ἔδυνε,
τόν ποτέ οἱ Κινύρηϲ δῶκε ξεινήιον εἶναι.
πεύθετο γὰρ Κύπρον δὲ μέγα κλέοϲ, οὕνεκ' Ἀχαιοὶ
ἐϲ Τροίην νήεϲϲιν ἀναπλεύϲεϲθαι ἔμελλον·
τοὔνεκά οἱ τὸν δῶκε χαριζόμενοϲ βαϲιλῆι.
τοῦ δ' ἤ τοι δέκα οἶμοι ἔϲαν μέλανοϲ κυάνοιο,
δώδεκα δὲ χρυϲοῖο καὶ εἴκοϲι καϲϲιτέροιο·
κυάνεοι δὲ δράκοντεϲ ὀρωρέχατο προτὶ δειρὴν
τρεῖϲ ἑκάτερθ', ἴριϲϲιν ἐοικότεϲ, ἅϲ τε Κρονίων

V. L. 3 ἔπι A. — 4 μετα A. — 8 ἀχϊλῆοϲ C. τοί ῥ': οἳ E. ἔϲχατοι L. — 10 μέγά τε C. — 11 ἀχαιοῖϲι CDE Schol. Aristoph. Acharn. 16. — 12 κραδίῃ CDH. ἄληκτον CD Lips. — 15 ἠδὲ G. ἐβόηϲ' ἠδὲ Barocc. ζώνυϲθαι CDE 827, 7. — 16 ἐδύϲατο ACDE bis G. ἐδύϲϲατο HL. ἐδύϲετο Cant. ἐνδύϲατο νώροπα χαλκὸν (ῷ) S. — 17 κνημίδαϲ CGH. πρῶτον G. περι A. ἔθηκε ACGH. — 18 ἐπὶ ϲφυρίοιϲ DH. ἐπιϲφυρέοιϲιν L. — 19 θώρακα G. περι D. ἔδυνε ACDGH. — 20 Κινύραϲ Schol. Pind. Nem. VIII, 28. — 21 κύπρον δὲ AD. — 22 ἀναπλεύϲαϲθαι C Cant. Schol. A 105. — 24 δή τοι HL Harl. δῆτα Et. Mg. 618, 1. οἶμοι C. — 26 προτι AD. ποτὶ CEHS. — 27 ἑκάτερθεν S. ἑκάτερθι[εν] L. ἴριϲιν DEH. ἴρεϲϲιν Hesych. II, 369. Apoll. Lex. 92, 29. Townl.

A. c. 13, 14 ἀθετοῦνται Aristonicus. asterisci: ὀρθῶϲ B 453, 454. καὶ παρὰ Ἀριϲτοφάνει δὲ ἠθετοῦντο, παρὰ Ζηνοδότῳ δὲ οὐδὲ ἦϲαν Didymus. — 26 ἐν τῇ Ἀριϲτοφάνουϲ ϲμερδαλέοι δὲ δράκοντεϲ ἐλειχμῶντο Didymus. — 27 Ζηνόδοτοϲ ἐρίδεϲϲιν Schol. A.

ἐν νέφεϊ ϲτήριξε, τέραϲ μερόπων ἀνθρώπων.
ἀμφὶ δ' ἄρ' ὤμοιϲιν βάλετο ξίφοϲ· ἐν δέ οἱ ἧλοι
χρύϲειοι πάμφαινον, ἀτὰρ περὶ κουλεὸν ἦεν
ἀργύρεον, χρυϲέοιϲιν ἀορτήρεϲϲιν ἀρηρόϲ.
ἂν δ' ἕλετ' ἀμφιβρότην πολυδαίδαλον ἀϲπίδα θοῦριν,
καλήν, ἣν πέρι μὲν κύκλοι δέκα χάλκεοι ἦϲαν,
ἐν δέ οἱ ὀμφαλοὶ ἦϲαν ἐείκοϲι καϲϲιτέροιο
λευκοί, ἐν δὲ μέϲοιϲιν ἔην μέλανοϲ κυάνοιο.
τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοϲυρῶπιϲ ἐϲτεφάνωτο
δεινὸν δερκομένη, περὶ δὲ Δεῖμόϲ τε Φόβοϲ τε.
τῆϲ δ' ἐξ ἀργύρεοϲ τελαμὼν ἦν· αὐτὰρ ἐπ' αὐτοῦ
κυάνεοϲ ἐλέλικτο δράκων, κεφαλαὶ δέ οἱ ἦϲαν
τρεῖϲ ἀμφιϲτρεφέεϲ, ἑνὸϲ αὐχένοϲ ἐκπεφυυῖαι.
κρατὶ δ' ἐπ' ἀμφίφαλον κυνέην θέτο τετραφάληρον
ἵππουριν· δεινὸν δὲ λόφοϲ καθύπερθεν ἔνευεν.
εἵλετο δ' ἄλκιμα δοῦρε δύω, κεκορυθμένα χαλκῷ,
ὀξέα· τῆλε δὲ χαλκὸϲ ἀπ' αὐτόφιν οὐρανὸν εἴϲω
λάμπ'· ἐπὶ δ' ἐγδούπηϲαν Ἀθηναίη τε καὶ Ἥρη,
τιμῶϲαι βαϲιλῆα πολυχρύϲοιο Μυκήνηϲ.
    ἡνιόχῳ μὲν ἔπειτα ἑῷ ἐπέτελλεν ἕκαϲτοϲ
ἵππουϲ εὖ κατὰ κόϲμον ἐρυκέμεν αὖθ' ἐπὶ τάφρῳ,
αὐτοὶ δὲ πρυλέεϲ ϲὺν τεύχεϲι θωρηχθέντεϲ
ῥώοντ'· ἄϲβεϲτοϲ δὲ βοὴ γένετ' ἠῶθι πρό.

V. l. 28 νέφεϲι Vrat. b. Schol. Γ 121. ϲτήριξεν D. — 29 ἀμφι D. ἄρ DGL. ἀρ A. ὤμοιϲι D. ἧλοι L. ἧλοι A. — 30 χρύϲεοι D. αὐτὰρ H. — 32 ἀν DH. ἐν δ' CL. γρ. ἀν C man. rec. πολυδαίδαλον A. θούρην G. — 33 περὶ CDHL. — 35 ἓν A. ἔην: ἦν CL. — 36 ἐπι D. βλοϲϲυρῶπϊϲ C. ἐϲτεφάνωται Schol. Λ 40. — 38 ἐξ, non ἐξ' libri. ἐξαργύρεοϲ CD. αὐτοῦ ADG Mor. Barocc. αὐτῷ CEH ex corr. S Et. Mg. 328, 35. αὐτῶν L. — 40 ἀμφιϲτεφέεϲ CDHS. ἀμφιϲτεφέεϲ ἢ ἀμφιϲτρεφέεϲ E 829, 10. — 42 καθ' ὕπερθεν Vrat. b. — 43 δοῦρα E bis Vrat. A. — 44 ἀπ' αὐτόθι L. — 45 ἐπι D. δ' ἐγδούπηϲαν (ε supra) A. δὲ γδούπηϲαν DG. δ' ἐκδούπηϲαν CL Vrat. A. δ' ἐνδούπηϲαν Harl. — 48 κατα D. αὖτ' ἐπι A. τάφρον L. — 49 ϲυν A. τεύχεϲϲι G.

A. c. 28 οὕτωϲ ἰακῶϲ τὸ ϲτήριξε Didymus, alii igitur νέφει ἐϲτήριξε. — 33, 34 scribebatur πέρι .... ἦϲαν et περὶ ... ἦϲαν teste Herodiano. — 36 ἐπὶ Herodianus. — 38 αὐτοῦ: οὕτωϲ Ἀρίϲταρχοϲ. γράφεται δὲ καὶ ἐπ' αὐτῷ Didymus. — 40 οὕτωϲ αἱ Ἀριϲτάρχου ϲὺν τῷ ρ̄ ἀμφιϲτρέφεεϲ Didymus. — 45 ἐγδούπηϲαν Aristarchus.

φθὰν δὲ μέγ' ἱππήων ἐπὶ τάφρῳ κοϲμηθέντεϲ,
ἱππῆεϲ δ' ὀλίγον μετεκίαθον. ἐν δὲ κυδοιμὸν
ὦρϲε κακὸν Κρονίδηϲ, κατὰ δ' ὑψόθεν ἧκεν ἐέρϲαϲ
αἵματι μυδαλέαϲ ἐξ αἰθέροϲ, οὕνεκ' ἔμελλε
πολλὰϲ ἰφθίμουϲ κεφαλὰϲ Ἄϊδι προϊάψειν.
    Τρῶεϲ δ' αὖθ' ἑτέρωθεν ἐπὶ θρῳϲμῷ πεδίοιο,
Ἕκτορά τ' ἀμφὶ μέγαν καὶ ἀμύμονα Πουλυδάμαντα
Αἰνείαν θ', ὃϲ Τρωϲὶ θεὸϲ ὣϲ τίετο δήμῳ,
τρεῖϲ τ' Ἀντηνορίδαϲ, Πόλυβον καὶ Ἀγήνορα δῖον
ἠΐθεόν τ' Ἀκάμαντ', ἐπιείκελον ἀθανάτοιϲιν.
Ἕκτωρ δ' ἐν πρώτοιϲι φέρ' ἀϲπίδα πάντοϲ' ἐΐϲην.
οἷοϲ δ' ἐκ νεφέων ἀναφαίνεται οὔλιοϲ ἀϲτὴρ
παμφαίνων, τοτὲ δ' αὖτιϲ ἔδυ νέφεα ϲκιόεντα,
ὣϲ Ἕκτωρ ὁτὲ μέν τε μετὰ πρώτοιϲι φάνεϲκεν,
ἄλλοτε δ' ἐν πυμάτοιϲι κελεύων· πᾶϲ δ' ἄρα χαλκῷ
λάμφ' ὥϲ τε ϲτεροπὴ πατρὸϲ Διὸϲ αἰγιόχοιο.
    οἱ δ', ὥϲ τ' ἀμητῆρεϲ ἐναντίοι ἀλλήλοιϲιν
ὄγμον ἐλαύνωϲιν ἀνδρὸϲ μάκαροϲ κατ' ἄρουραν
πυρῶν ἢ κριθέων· τὰ δὲ δράγματα ταφρέα πίπτει·
ὣϲ Τρῶεϲ καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοιϲι θορόντεϲ

V. l. 51 μέγ' ADS Cant. Mor. Harl. Barocc. μεθ' CGHL Apoll. Lex. 162, 29. ἱππέων D. ἐπι A. — 52 μετεκείαθον DH. ἓν A. — 53 κατα C. ἐέρϲαϲ E. — 54 ἐξαιθέροϲ A. ἔμελλε ACDEGH. — 55 πολλὰϲ δ' Townl. προϊάμψειν S. — 56 τρῷεϲ L. θρωιϲμῶι A: ceteri θρωϲμῷ. — 57 πουλυδάμαντα L. πολυδάμαντα D. — 58 τρωϲὶ (ν supra) C. ὡϲ AD. ἐτίετο H. — 59 πόλυμον S. — 60 ἀθανάτοιϲι D. — 61 παντόϲ' ἐΐϲην ADGH Mor. Harl. παντόϲε ἴϲην CEL post ras. S. — 63 τότε Mor. Mosc. 3. ὅτε D. ποτὲ H. αὖθϊϲ C. ϲκοτόεντα Vrat. b. — 64 ὅτε E. τοτὲ CD 1. man. ποτὲ D 2. man. μέν τοι D. τε omitt. L. ὅτε μέν γε Vrat. A. φάνεϲκε D. — 66 ὥϲ τ' ἀϲτεροπή G. ὡϲ ἀϲτεροπὴ Mor. conf. Κ 154. — 67 οἵδ' CGHL. ὡϲ Rhet. Gr. III, 201, 26. — 68 ἐλαύνωϲιν: ἐλαύνουϲιν CDEL. ἐλαύνοντο Schol. Theocr. X, 2. κατάρουραν A. — 69 κριθῶν ACDEGHL cum ceteris et Schol. Τ 222. — 70 ὡϲ A. τρῷεϲ L.

A. c. 51 φθὰν Aristarchus. μέγ' Aristarchus et Herodianus: μεθ' Schol. V. — 55 οὕτωϲ ἀρίϲταρχοϲ κεφαλὰϲ ἐνθάδε Didymus, conf. Ariston. et not. ad Α 3. — 56 θρῳϲμῷ, conf. H. U. 217. — 62 οὔλιοϲ: alii αὔλιοϲ teste Aristonico, conf. Et. Mg. 641, 6. — 64 ὁτὲ Herodianus, Il. Prosod. Α 493. — 66 ὥϲ τε ϲτεροπή, conf. ad Κ 154. — 69 κριθέων scribendum est vel contra libros, nam genetivus primae declinationis non nisi praecedente iota in ῶν desinit. Eadem de causa corrigendae sunt librorum scripturae ϲῶν Ε 818; πρώτων Ο 656; ἀργεννῶν Ϲ 529; ῥιζῶν Φ 243. excipitur τῶν Κ 253, μ 64.

δήουν, οὐδ' ἕτεροι μνώοντ' ὀλοοῖο φόβοιο·
ἴcac δ' ὑcμίνη κεφαλὰc ἔχεν· οἳ δὲ λύκοι ὣc
θῦνον. Ἔριc δ' ἄρ' ἔχαιρε πολύcτονοc εἰcορόωcα·
οἴη γάρ ῥα θεῶν παρετύγχανε μαρναμένοιcιν,
οἱ δ' ἄλλοι οὔ cφιν πάρεcαν θεοί, ἀλλὰ ἕκηλοι
cφοῖcιν ἐνὶ μεγάροιcι καθείατοc, ἧχι ἑκάcτῳ
δώματα καλὰ τέτυκτο κατὰ πτύχαc Οὐλύμποιο.
πάντεc δ' ᾐτιόωντο κελαινεφέα Κρονίωνα,
οὕνεκ' ἄρα Τρώεccιν ἐβούλετο κῦδοc ὀρέξαι.
τῶν μὲν ἄρ' οὐκ ἀλέγιζε πατήρ· ὁ δὲ νόcφι λιαcθεὶc
τῶν ἄλλων ἀπάνευθε καθέζετο κύδεϊ γαίων,
εἰcορόων Τρώων τε πόλιν καὶ νῆαc Ἀχαιῶν
χαλκοῦ τε cτεροπήν, ὀλλύνταc τ' ὀλλυμένουc τε.
ὄφρα μὲν ἠὼc ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ,
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, πῖπτε δὲ λαόc·
ἦμοc δὲ δρυτόμοc περ ἀνὴρ ὡπλίccατο δεῖπνον
οὔρεοc ἐν βήccηcιν, ἐπεί τ' ἐκορέccατο χεῖραc
τάμνων δένδρεα μακρά, ἅδοc τέ μιν ἵκετο θυμόν,
cίτου τε γλυκεροῖο περὶ φρέναc ἵμεροc αἱρεῖ,
τῆμοc cφῇ ἀρετῇ Δαναοὶ ῥήξαντο φάλαγγαc

V. ι. 71 δηΐουν CDL. δήϊον οἱ δ' ἕτεροι Schol. Τ 222. οὐδέτεροι L. — 72 ὑcμίνῃ ACEGH Eust. 847, 53; 1181, 42. ἔχον CGHL. εἶχ[ον]εν S. εἶχον Eust. 832, 4; 847, 54. οἳ δὲ C. ὡc A. — 73 ἂρ E. ἂρ[α] A. ἄρα χαῖρε CL. εἰcορόωντα Mosc. 3. — 74 γὰρ ῥὰ L. παρετύγχανεν D. — 75 cφι D. — 76 cφοῖcιν ACDH Harl. Lips. Mosc. 3. ἐν cφοῖcιν μεγάροιc ἐκάθηντο E. οἷcιν GLS. γρ. οἷcιν A. ἐνι AD. καθήατο S. ἦιχι AD. ἔνθα E. — 77 κατα A. κατὰ cτίχαc D. ὀλύμποιο G. — 79 τρῴεccιν L. — 80 ἂρ CGL. ἀρ A. ἄρ D. ὃ δὲ C. — 81 ἀπάνευθ' ἐκαθέζετο H. — 82 τρῴων L. τε omitt. G. — 83 τ' ἀcτεροπὴν L. ὀλύνταc τ' ὀλυμένουc τε D. ὀλλύντ[ων]αc τ' ὀλλυμέν[ων]ουc τε S. — 85 πίπτε ACDEGHL. δε D. — 86 ὡπλίcατο DEG Schol. Θ 53. δεῖπνον ACDEHLS Cant. Harl. Townl. Mosc. 3. δόρπον G. — 87 ἐμβήcηιcιν D. ἐμ βήccηcιν Hesych. III, 242. βήcηcιν G 1. man. L Townl. ἐπεί γ' E. τε κορέccατο L. — 88 ἄδοc A: ceteri ἅδοc. τέ μιν εἵλετο Townl. θυμῷ L. — 89 cίτου τὲ ACH. περι A. — 90 φάλαγγα Plutarchus de Aud. poët. 6.

A. c. 72 οὕτωc ἀρίcταρχοc ἡ ὑcμίνη τὰc κεφαλὰc ἴcac εἶχεν Didymus. ἄλλοι δὲ ἴcac δ' ὑcμίνῃ κεφαλὰc ἔχον Schol. A. — 75 πάρεcαν Herodianus. — 76 ἀρίcταρχοc χωρὶc τοῦ ῑ τὸ ἦχι Didymus, conf. ad A 607. — 78—83 ἀθετοῦνται Aristonicus. τούτουc καὶ Ἀριcτοφάνηc ἠθέτει, παρὰ δὲ Ζηνοδότῳ οὐδὲ ἐγράφοντο Didymus. — 86 δεῖπνον: Zenodotus δόρπον. — 88 ἄδοc Herodianus cum Aristarcho, conf. H. T. 179. μάκρ' ἄδδοc Christ. griech. Lautlehre pg. 265.

κεκλόμενοι ἑτάροιcι κατὰ cτίχαc. ἐν δ' Ἀγαμέμνων
πρῶτοc ὄρουc', ἕλε δ' ἄνδρα Βιήνορα, ποιμένα λαῶν,
αὐτόν, ἔπειτα δ' ἑταῖρον Ὀιλῆα πλήξιππον.
ἤ τοι ὁ γ' ἐξ ἵππων κατεπάλμενοc ἀντίοc ἔcτη·
τὸν δ' ἰθὺc μεμαῶτα μετώπιον ὀξέι δουρὶ
νύξ', οὐδὲ cτεφάνη δόρυ οἱ cχέθε χαλκοβάρεια,
ἀλλὰ δι' αὐτῆc ἦλθε καὶ ὀcτέου, ἐγκέφαλοc δὲ
ἔνδον ἅπαc πεπάλακτο· δάμαccε δέ μιν μεμαῶτα.
καὶ τοὺc μὲν λίπεν αὖθι ἄναξ ἀνδρῶν Ἀγαμέμνων
cτήθεcι παμφαίνονταc, ἐπεὶ περίδυcε χιτῶναc·
αὐτὰρ ὁ βῆ ῥ' Ἶcόν τε καὶ Ἄντιφον ἐξεναρίξων,
υἷε δύω Πριάμοιο, νόθον καὶ γνήcιον, ἄμφω
εἰν ἑνὶ δίφρῳ ἐόντε· ὁ μὲν νόθοc ἡνιόχευεν,
Ἄντιφοc αὖ παρέβαcκε περικλυτόc· ὥ ποτ' Ἀχιλλεὺc
Ἴδηc ἐν κνημοῖcι δίδη μόcχοιcι λύγοιcι,
ποιμαίνοντ' ἐπ' ὄεccι λαβών, καὶ ἔλυcεν ἀποίνων.
δὴ τότε γ' Ἀτρείδηc εὐρὺ κρείων Ἀγαμέμνων
τὸν μὲν ὑπὲρ μαζοῖο κατὰ cτῆθοc βάλε δουρί,
Ἄντιφον αὖ παρὰ οὖc ἔλαcε ξίφει, ἐκ δ' ἔβαλ' ἵππων.
cπερχόμενοc δ' ἀπὸ τοῖιν ἐcύλα τεύχεα καλὰ

V. ι. 91 κατα D. ἐν CG Harl. Mor. ἐκ[ἐν] S. ἐκ D.[νύ] ἂν L. ἀν A. ἂν[ἐκ] H. γρ. ἐκ δ' ἀγαμέμνων A. — 94 ἀντίον G. — 96 ῥῆξ' H. δόρυ cχέθε C Apoll. Lex. 97, 13. δόρυ ἔcχεθε Townl. χαλκοβάρεια A. — 98 δάμαcε G 1. man. — 99 αὐτόθι L. — 100 περίδηcε L. περίδυcε A. — 101 ὃ CDG HL. ῥιcόν τε G. ἐξεναρίζων L. — 102 δύο D 2. man. τε καὶ H. — 103 ἐόντε L Eust. 502, 28. Schol. Δ 499. Et. Gud. 410, 31. ἐόνταc libri praeter L. — 104 οὗc ποτ' E. ὅν ποτ' Apoll. Lex. 169, 34. ἀχιλεὺc C. — 105 κνήμαιcι G. κνήμηcι Harl. λύγοιcι ACDEG Zonar. Lex. 481. Apoll. Lex. 169, 34. — 107 τῶν τότε S Cant. εὐρὺ κρείων A: ceteri εὐρυκρείων. — 108 κατα A. βάλεν χαλκήρεϊ δουρὶ D Vrat. b. A. — 109 παρ' L. ἔλαcεν D. — 110 ἀπο D.

A. c. ἀρίcταρχοc βιάνορα Didymus. — 94 ἀντίοc: ἀντίον Zenodotus et Aristophanes. — 97 ἐγκέφαλοc δέ: ὅτι Ἀπολλώνιοc ποιεῖ ἐγκέφαλον δέ, καὶ τὸν ἑξῆc ἀθετεῖ Aristonicus, conf. H. T. 56. — 100 περίδυcε χιτῶναc: ὅτι ἔν τιcι γράφεται ἐπεὶ κλυτὰ τεύχε' ἀπηύρα Aristonicus. — 101 βῆ ῥ' Ἶcον Aristarchus: βῆ Ἶcον Zenodotus. Βήριcον Posidippus, conf. Apoll. de Synt. 66, 5. ἀρίcταρχοc δὲ, Ἶcόν τε καὶ ἄντιφον γράφει G in margine. — 103 ἀριcτοφάνηc ἐόντε Didymus. — 104 ὥ: ὃν Zenodotus, conf. Ariston. ad 106 et 111. — 106 ὅτι τὸ πλῆρεc ποιμαίνοντε, Ζηνόδοτοc δὲ ἔοικε δέχεcθαι ποιμαίνοντα, καὶ γὰρ „ὅν ποτε“ γράφει Aristonicus.

γιγνώςκων· καὶ γάρ cφε πάρος παρὰ νηυcὶ θοῇcιν
εἶδεν, ὅτ' ἐξ Ἴδης ἄγαγεν πόδας ὠκὺς Ἀχιλλεύς.
ὡς δὲ λέων ἐλάφοιο ταχείης νήπια τέκνα
ῥηιδίως cυνέαξε λαβὼν κρατεροῖcιν ὀδοῦcιν,
ἐλθὼν εἰς εὐνήν, ἁπαλόν τέ cφ' ἦτορ ἀπηύρα·
ἡ δ' εἴ πέρ τε τύχῃcι μάλα cχεδόν, οὐ δύναταί cφι
χραιcμεῖν· αὐτὴν γάρ μιν ὑπὸ τρόμος αἰνὸς ἱκάνει·
καρπαλίμως δ' ἤιξε διὰ δρυμὰ πυκνὰ καὶ ὕλην
cπεύδους', ἱδρώουcα, κραταιοῦ θηρὸς ὑφ' ὁρμῆς·
ὡς ἄρα τοῖς οὔ τις δύνατο χραιcμῆcαι ὄλεθρον
Τρώων, ἀλλὰ καὶ αὐτοὶ ὑπ' Ἀργείοιcι φέβοντο.
αὐτὰρ ὁ Πείcανδρόν τε καὶ Ἱππόλοχον μενεχάρμην,
υἱέας Ἀντιμάχοιο δαΐφρονος, ὅς ῥα μάλιcτα
χρυcὸν Ἀλεξάνδροιο δεδεγμένος ἀγλαὰ δῶρα
οὐκ εἴαcχ' Ἑλένην δόμεναι ξανθῷ Μενελάῳ,
τοῦ περ δὴ δύο παῖδε λάβε κρείων Ἀγαμέμνων
εἰν ἑνὶ δίφρῳ ἐόντας, ὁμοῦ δ' ἔχον ὠκέας ἵππους·
ἐκ γάρ cφεας χειρῶν φύγον ἡνία cιγαλόεντα,
τὼ δὲ κυκηθήτην· ὁ δ' ἐναντίον ὦρτο λέων ὣς
Ἀτρείδης· τὼ δ' αὖτ' ἐκ δίφρου γουναζέcθην·
ζώγρει Ἀτρέος υἱέ, cὺ δ' ἄξια δέξαι ἄποινα·
πολλὰ δ' ἐν Ἀντιμάχοιο δόμοις κειμήλια κεῖται,
χαλκός τε χρυcός τε πολύκμητός τε cίδηρος,
τῶν κέν τοι χαρίcαιτο πατὴρ ἀπερείcι' ἄποινα,

V. L. 111 γιγνώςκων L: γινώςκων ACDGH. παρα A. θοῇcι D. — 112 ἀχῑλεύς C. — 115 ἀπηύρᾱ A. ἀπηῦρα D. — 116 ἣ δ' D. ἥδ' CG. εἴ πέρ DE. cφι AC. — 117 γὰρ μὲν G. ὕπο ACDH. ὑπότρομος G. — 119 κρατεροῦ CL. — 120 ὡς AD 1. man. ὧς ρα S. — 121 τρῴων L. — 122 ὃ ACDGHL. — 123 ὃς ῥὰ L. — 125 εἴαcχεν G. — 126 δὴ omitt. S. δύω GS. δύῳ (ο supra) H. παῖδ' ἔλαβε Vrat. b. τοῦπερ δὴ λάβε παῖδε δύο Lips. — 127 ἐόντας (ε supra) L. — 128 γὰρ cφέας L. γὰρ cφῷν G. γὰρ cφῶν Mosc. 3. φύγον libri mei. — 129 τώδε G. ὃ δ' D. ὅδ' CGHL. ὡς A. — 131 ἀτρέως G Barocc. Harl. — 132 ἐν Ἀντιμάχοιο δόμοις: ἐν ἀφνειοῦ πατρὸς D Mosc. 3. γράφεται ἐν ἀφνειοῦ πατρός Eust. 836, 26. — 133 πολύκμητός A. — 134 κέν τι Lips.

A. c. 116 ὅτι δύναται ἑκατέρως ἀναγινώςκεcθαι, καὶ κατὰ διαcτολὴν τύχῃcι, καὶ τετύχῃcι ὡς λελάχωcι Aristonicus. — 123 δαΐφρονος: Zenodotus κακόφρονος. — 125 εἴαcχ': εἴα? — 127 ἐόντας: ἐόντε conf. 103. — 128 φύγον: οὕτως ἀρίcταρχος, ἄλλοι δὲ φύγεν Didymus. — 129 οὕτως ἐναντίον Didymus, conf. H. T. 193. — 132 Ζηνόδοτος πολλὰ δ' ἐν ἀντιμάχοιο πατρός Didymus.

εἰ νῶι ζωοὺς πεπύθοιτ' ἐπὶ νηυcὶν Ἀχαιῶν.
ὣς τώ γε κλαίοντε προcαυδήτην βαcιλῆα
μειλιχίοις ἐπέεccιν· ἀμείλικτον δ' ὄπ' ἄκουcαν·
εἰ μὲν δὴ Ἀντιμάχοιο δαΐφρονος υἱέες ἐcτόν,
ὅς ποτ' ἐνὶ Τρώων ἀγορῇ Μενέλαον ἄνωγεν,
ἀγγελίην ἐλθόντα cὺν ἀντιθέῳ Ὀδυcῆι,
αὖθι κατακτεῖναι μὴ δ' ἐξέμεν ἂψ ἐς Ἀχαιούς,
νῦν μὲν δὴ τοῦ πατρὸς ἀεικέα τίcετε λώβην.
ἦ, καὶ Πείcανδρον μὲν ἀφ' ἵππων ὦcε χαμᾶζε
δουρὶ βαλὼν πρὸς cτῆθος· ὁ δ' ὕπτιος οὔδει ἐρείcθη.
Ἱππόλοχος δ' ἀπόρουcε, τὸν αὖ χαμαὶ ἐξενάριξε,
χεῖρας ἀπὸ ξίφεϊ τμήξας ἀπό τ' αὐχένα κόψας,
ὅλμον δ' ὣς ἔccευε κυλίνδεcθαι δι' ὁμίλου.
τοὺς μὲν ἔας'· ὁ δ' ὅθι πλεῖcται κλονέοντο φάλαγγες,
τῇ ῥ' ἐνόρους', ἅμα δ' ἄλλοι ἐυκνήμιδες Ἀχαιοί.
πεζοὶ μὲν πεζοὺς ὄλεκον φεύγοντας ἀνάγκῃ,
ἱππεῖς δ' ἱππῆας, ὑπὸ δέ cφιcιν ὦρτο κονίη
ἐκ πεδίου, τὴν ὦρcαν ἐρίγδουποι πόδες ἵππων,
χαλκῷ δηιόωντες. ἀτὰρ κρείων Ἀγαμέμνων
αἰὲν ἀποκτείνων ἕπετ', Ἀργείοιcι κελεύων.
ὡς δ' ὅτε πῦρ ἀίδηλον ἐν ἀξύλῳ ἐμπέcῃ ὕλῃ,
πάντῃ τ' εἰλυφόων ἄνεμος φέρει, οἱ δέ τε θάμνοι

V. L. 136 προcηυδάτην L deest augmentum hoc loco et X 90. προcηύδα, προcηύδων, μετηύδα nusquam augmento carent. — 139 ποτε ἐν E. ἐνι D. τρῴων L. — 140 ὀδυccῆϊ DGH. — 141 μὴ δ' ACDGHL Et. Mg. 347, 43. — 142 τίcεται D. — 143 ὦcε Eust. 835, 43. χαμᾶζε ADE: χαμάζε CGHL. — 144 ὃ δ' D. ὅδ' CGL. οὖδας ἔρειcεν L. — 145 ἐξενάριξε ACEG. — 146 ἀπο ACH. ἀπό τ' (δ' supra) A. — 147 ὄλμον DH. ὡς AD. κιλίνδεcθαι L. — 148 ὅδ' CGH. — 149 τῆ ῥα G. εὐκνήμιδες CDGHL. ἄλλοι ἀριcτῆες Παναχαιῶν Schol. Λ 167. — 151 ἱππεῖς δ': ἱππῆες δ' D Schol. AD ad Λ 153. ὕπο DGLS. δέ cφιν GL. — 152 τήν ῥ' H. ἐρίγδουποι A. — 153 δηϊόοντες G. αὐτὰρ H. — 155 ὥς δ' G. — 156 πάντῃ DE: ceteri πάντη. φέρει: φέροι Mosc. 3. γράφεται καὶ ἄνεμος cτρέφει Eust. 838, 2.

A. c. 135 ζωούς: Aristophanes ζωώ. — 138 δαΐφρονος: κακόφρονος Zenodotus, ut 123, teste Schol. V. — 142 τοῦ: οὗ Zenodotus. τινάς φηcιν Ἀρίcταρχος [γράφειν] cφοῦ πατρός, αὐτὸς δὲ τοῦ πατρός Schol. AV. — 144 ἀρίcταρχος οὖδας ἔρειcεν Didymus, non οὔδει ἐρείcθη ut Schol. V. — 146 τμήξας: ἀρίcταρχος πλήξας Didymus, conf. H. T. 341. — 151 ἱππῆες δ' ἱππῆας ὑπὸ cφίcι δ' Lehrsius Quaest. Ep. 242 ex coniectura. tum vero scribendum esset ὑπό cφιcι, non ὑπὸ cφίcι, quod idem est atque ὑφ' ἑαυτοῖς.

πρόῤῥιζοι πίπτουσιν ἐπειγόμενοι πυρὸς ὁρμῇ·
ὣς ἄρ' ὑπ' Ἀτρείδῃ Ἀγαμέμνονι πῖπτε κάρηνα
Τρώων φευγόντων, πολλοὶ δ' ἐριαύχενες ἵπποι
κείν' ὄχεα κροτάλιζον ἀνὰ πτολέμοιο γεφύρας,
ἡνιόχους ποθέοντες ἀμύμονας. οἳ δ' ἐπὶ γαίῃ
κείατο γύπεσσιν πολὺ φίλτεροι ἢ ἀλόχοισιν.
Ἕκτορα δ' ἐκ βελέων ὕπαγε Ζεὺς ἔκ τε κονίης
ἔκ τ' ἀνδροκτασίης ἔκ θ' αἵματος ἔκ τε κυδοιμοῦ·
Ἀτρείδης δ' ἕπετο σφεδανὸν Δαναοῖσι κελεύων.
οἳ δὲ παρ' Ἴλου σῆμα, παλαιοῦ Δαρδανίδαο,
μέσσον κὰπ πεδίον παρ' ἐρινεὸν ἐσσεύοντο
ἱέμενοι πόλιος· ὃ δὲ κεκληγὼς ἕπετ' αἰεὶ
Ἀτρείδης, λύθρῳ δὲ παλάσσετο χεῖρας ἀάπτους.
ἀλλ' ὅτε δὴ Σκαιάς τε πύλας καὶ φηγὸν ἵκοντο,
ἔνθ' ἄρα δὴ ἵσταντό καὶ ἀλλήλους ἀνέμιμνον.
οἳ δ' ἔτι κὰμ μέσσον πεδίον φοβέοντο βόες ὥς,
ἅς τε λέων ἐφόβησε μολὼν ἐν νυκτὸς ἀμολγῷ
πάσας· τῇ δέ τ' ἰῇ ἀναφαίνεται αἰπὺς ὄλεθρος·
τῆς δ' ἐξ αὐχέν' ἔαξε λαβὼν κρατεροῖσιν ὀδοῦσι
πρῶτον, ἔπειτα δέ θ' αἷμα καὶ ἔγκατα πάντα λαφύσσει·
ὣς τοὺς Ἀτρείδης ἔφεπε κρείων Ἀγαμέμνων
αἰὲν ἀποκτείνων τὸν ὀπίστατον· οἳ δὲ φέβοντο.
πολλοὶ δὲ πρηνεῖς τε καὶ ὕπτιοι ἔκπεσον ἵππων

V. l. 157 πρόριζοι D. — 158 ὡς A. ἂρ DL. ἀρ A. ἄρα G. ὑπατρείδηι A. ἐπ' ἀτρείδῃ L. πίπτε CDEGHL. — 160 κειν" A. κεῖν' C. κεινὰ G. ἀνα AD. — 161 οἳ δ' D. οἵδ' CGHL. — 162 γύπεσσι DEGL. — 166 οἳ δὲ C. παρίλου D. παρ' ἴλλου Harl. Vrat. A. Mosc. 3. — 167 καππεδίον ACDGHL. κὰπ πεδίον Strabo XIII, 593. Schol. K 415. — 168 ἱέμενοι DG. πόλεως ACDEGHLS. ὃ δὲ C. ἀεὶ G. — 169 δὲ παλάσσετο ACDGH Harl. Vrat. b. δ' ἐπαλάσσετο EL. — 170 τε omitt. G. ἵκοντο: ἵκανον H. — 171 ἄρα διΐσταντο G. καὶ omitt. L. — 172 οἵδ' CH. οἳ δέ τι L. καμμέσσον ADH. καμμέσον CGL. ὡς A. — 173 ἐκ νυκτὸς G. — 174 ἀναφαίνετ' G. — 175 δ' omitt. G. ὀδοῦσι ACDEG. — 177 ὡς A. — 178 οἳ C. δὲ φέβοντο CE 838, 42 HLS Townl. δὲ ἐφέβοντο G. δ' ἐφέβοντο ADE 838, 38. — 179 κάππεσον H.

A. c. 157 ἐπειγόμενοι Aristarchus. — 165 σφεδανὸν Aristarchus, non σφεδανῶν ut Φ 542, conf. H. T. 354. — 168 πόλιος correxit F. A. Wolfius, conf. Ε 791, Ζ 364, Θ 505, 545, Υ 52, Φ 540, 563, 567, 608, Χ 456, 464, Ω 329, ubi libri fere omnes πόλιος exhibent; sed Ε 744 in libris πόλεων legitur pro πόλιων. — 179, 180 ἀθετοῦνται ἀμφότεροι καὶ ἀστερίσκοι παράκεινται, ὅτι κατὰ τὴν Πατρόκλου ἀρίστειαν τάξιν ἔχουσι, νῦν δὲ οὔ Aristonicus. prior versus non legitur in Patroclia sed tantum posterior Π 699, qui in Cod. A asteriscum non habet adpictum, neque ex-

Ἀτρείδεω ὑπὸ χερσί· περὶ πρὸ γὰρ ἔγχεϊ θῦεν.
ἀλλ' ὅτε δὴ τάχ' ἔμελλεν ὑπὸ πτόλιν αἰπύ τε τεῖχος
ἵξεσθαι, τότε δή ῥα πατὴρ ἀνδρῶν τε θεῶν τε
Ἴδης ἐν κορυφῇσι καθέζετο πιδηέσσης,
οὐρανόθεν καταβάς· ἔχε δ' ἀστεροπὴν μετὰ χερσίν.
Ἶριν δ' ὤτρυνε χρυσόπτερον ἀγγελέουσαν·
βάσκ' ἴθι Ἶρι ταχεῖα, τὸν Ἕκτορι μῦθον ἐνίσπες.
ὄφρ' ἂν μέν κεν ὁρᾷ Ἀγαμέμνονα, ποιμένα λαῶν,
θύνοντ' ἐν προμάχοισιν, ἐναίροντα στίχας ἀνδρῶν,
τόφρ' ἀναχωρείτω, τὸν δ' ἄλλον λαὸν ἀνώχθω
μάρνασθαι δηίοισι κατὰ κρατερὴν ὑσμίνην.
αὐτὰρ ἐπεί κ' ἢ δουρὶ τυπεὶς ἢ βλήμενος ἰῷ
εἰς ἵππους ἅλεται, τότε οἱ κράτος ἐγγυαλίξω
κτείνειν, εἰς ὅ κε νῆας ἐυσσέλμους ἀφίκηται
δύῃ τ' ἠέλιος καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθῃ.
ὣς ἔφατ', οὐδ' ἀπίθησε ποδήνεμος ὠκέα Ἶρις,
βῆ δὲ κατ' Ἰδαίων ὀρέων εἰς Ἴλιον ἱρήν.
εὗρ' υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον,
ἑσταότ' ἔν θ' ἵπποισι καὶ ἅρμασι κολλητοῖσιν·
ἀγχοῦ δ' ἱσταμένη προσέφη πόδας ὠκέα Ἶρις·
Ἕκτορ, υἱὲ Πριάμοιο, Διὶ μῆτιν ἀτάλαντε,
Ζεύς με πατὴρ προέηκε τεῒν τάδε μυθήσασθαι.
ὄφρ' ἂν μέν κεν ὁρᾷς Ἀγαμέμνονα, ποιμένα λαῶν,

V. l. 180 ἀτρείδαο G. ὑπο A. περὶ πρὸ AEH. περὶ προ CD. πέρι πρὸ L. θῦιεν A. — 181 ἔμελλον CGH Lips. Harl. un. Vrat. man. rec. — 182 δὴ ῥὰ L. — 183 ἴδης ἐκ G. πηδηέσσης G. — 184 δὲ στεροπὴν CDE 839, 10 GHL. δὲ ᾱστεροπὴν A. — 185 ὤτρυνεν D. χρυσόπτερον A. — 186 ἐνίσπες A: ἔνισπε CDGHLS Schol. Aristoph. Av. 877. — 187 ὄφρα μέν HL. — 189 ἀναχωρήτω Townl. ἀνάχθω L. — 190 δηοισϊ H. κατα A. — 192 ἅλεται EGHL Et. Orionis 65, 1. ἅ|||λεται C. ἅλλεται Et. Mg. 59, 13; 307, 11. ἄλεται A Zonar. Lex. 593. ἀλεται D. τότέ οἱ CL. — 193 εἰσόκε libri. ἐϋσέλμους CDG. — 194 ἐπι ADH. ἔλθοι C Mosc. 3. — 195 ὡς A. — 198 κολλητοῖσι D. — 201 τεὴν D. — 202 ὄφρα μέν κεν ὁράᾳς Schol. A 225.

stat ad eum scholium Aristonici. Ζηνόδοτος οὐκ ἔγραφεν, Ἀριστοφάνης δὲ ἠθέτει τὸν „Ἀτρείδεω ὑπὸ χερσίν" Didymus. secundum Schol. V Aristophanes utrumque eiecit, Zenodotus neutrum, nisi forte scribendum est Ζηνόδοτος δὲ οὐ γράφει.

A. c. 184 ἀρίσταρχος μετὰ τοῦ ᾱ ἀστεροπήν Didymus, conf. K 154, Λ 66. — 186 βάσκ' ἴθι: βάσκιθι Tyrannio, conf. ad B 8. — 192 ἄλεται Herodianus.

θύνοντ' ἐν προμάχοισιν, ἐναίροντα cτίχας ἀνδρῶν,
τόφρ' ὑπόεικε μάχης, τὸν δ' ἄλλον λαὸν ἄνωχθι
μάρναcθαι δηίοιcι κατὰ κρατερὴν ὑcμίνην.
αὐτὰρ ἐπεί κ' ἢ δουρὶ τυπεὶc ἢ βλήμενοc ἰῷ
εἰc ἵππουc ἅλεται, τότε τοι κράτοc ἐγγυαλίξει
κτείνειν, εἰc ὅ κε νῆαc ἐυccέλμουc ἀφίκηαι
δύῃ τ' ἠέλιοc καὶ ἐπὶ κνέφαc ἱερὸν ἔλθῃ.
ἡ μὲν ἄρ' ὣc εἰποῦc' ἀπέβη πόδαc ὠκέα Ἶριc,
Ἕκτωρ δ' ἐξ ὀχέων cὺν τεύχεcιν ἆλτο χαμᾶζε,
πάλλων δ' ὀξέα δοῦρα κατὰ cτρατὸν ᾤχετο πάντῃ,
ὀτρύνων μαχέcαcθαι, ἔγειρε δὲ φύλοπιν αἰνήν.
οἱ δ' ἐλελίχθηcαν καὶ ἐναντίοι ἔcταν Ἀχαιῶν,
Ἀργεῖοι δ' ἑτέρωθεν ἐκαρτύναντο φάλαγγαc.
ἀρτύνθη δὲ μάχη, cτὰν δ' ἀντίοι· ἐν δ' Ἀγαμέμνων
πρῶτοc ὄρουc', ἔθελεν δὲ πολὺ προμάχεcθαι ἁπάντων.
ἔcπετε νῦν μοι μοῦcαι Ὀλύμπια δώματ' ἔχουcαι,
ὅc τιc δὴ πρῶτοc Ἀγαμέμνονοc ἀντίοc ἦλθεν
ἢ αὐτῶν Τρώων ἠὲ κλειτῶν ἐπικούρων.
Ἰφιδάμαc Ἀντηνορίδηc, ἠΰc τε μέγαc τε,
ὃc τράφη ἐν Θρήκῃ ἐριβώλακι, μητέρι μήλων·
Κιccῆc τόν γ' ἔθρεψε δόμοιc ἔνι τυτθὸν ἐόντα,
μητροπάτωρ, ὃc τίκτε Θεανὼ καλλιπάρῃον·
αὐτὰρ ἐπεί ῥ' ἥβηc ἐρικυδέοc ἵκετο μέτρον,
αὐτοῦ μιν κατέρυκε, δίδου δ' ὅ γε θυγατέρα ἥν·

V. l. 203 ἀναίροντα Lips. — 204 ἀπόεικε Vrat. A. — 205 δήοιcι H. κατα A. — 207 ἅλεται CGHL. ἄλεται A. ἀλεται D. τότε cοι C 2. man. GL Mor. Harl. Vrat. A. τότε οἱ C 1. man. Lips. Townl. ἐγγϋαλῖξω H. — 208 εἰcόκε libri. ἐϋcέλμουc DG. — 209 ἐπϊ CD. ἔλθοι C Mosc. 3. — 210 ἣ μὲν C. ἆρ DGL. ἀρ A. ὡc AD. εἰποῦcα G. ἀπεβήcατο μακρὸν ὄλυμπον G Barocc. Mor. — 211 ἐξοχέων D. ἆλτο C. ἄλτο Townl. χαμᾶζε ADE: χαμάζε CGHL. — 212 δοῦρε Harl. κατα D. πάντῃ AE: ceteri πάντη. — 213 μάχεcθαι S. μαχέεcθαι Harl. — 214 οἳ δ' DL. οἵδ' CH. — 216 cτᾶν δ' C. ἐν δ': ἐκ δ' CDHL Townl. Vrat. b. — 217 ἔθελε DEG 1. man. — 218 ἕcπετε H. — 219 ἀντίοc CDGH: ἀντίον E 839, 61 LS Cant. Vrat. b. man. sec. ἀντίοc A. — 220 τρῴων L. ἢ καὶ κλειτῶν G. ἠὲ κλητῶν Townl. — 222 ἐν: ἐνὶ L, conf. Β 661, Γ 201. — 223 κιccεὺc S. κιccὶc L. ἐνι D. ἐνῖ H. — 224 θεανῶ D. καλλιπάρῃον EHL: ceteri καλλιπάρηον. A καλλιπάρηον.

A. c. 215 ἑτέρωθεν: ἔν τιcιν καὶ αὐτοὶ Schol. A. — 219 ἀντίοc Zenodotus et Aristophanes: ἀντίον Aristarchus. — 222 μήλων: θηρῶν Zenodotus. — 223 Κιccῆc ὡc Ἑρμῆc Herodianus.

γήμαc δ' ἐκ θαλάμοιο μετὰ κλέοc ἵκετ' Ἀχαιῶν
cὺν δυοκαίδεκα νηυcὶ κορωνίcιν, αἵ οἱ ἕποντο.
τὰc μὲν ἔπειτ' ἐν Περκώτῃ λίπε νῆαc ἐίcαc,
αὐτὰρ ὁ πεζὸc ἐὼν εἰc Ἴλιον εἰληλούθει·
ὅc ῥα τότ' Ἀτρείδεω Ἀγαμέμνονοc ἀντίοc ἦλθεν.
οἱ δ' ὅτε δὴ cχεδὸν ἦcαν ἐπ' ἀλλήλοιcιν ἰόντεc,
Ἀτρείδηc μὲν ἅμαρτε, παραὶ δέ οἱ ἐτράπετ' ἔγχοc,
Ἰφιδάμαc δὲ κατὰ ζώνην, θώρηκοc ἔνερθε,
νύξ', ἐπὶ δ' αὐτὸc ἔρειcε βαρείῃ χειρὶ πιθήcαc·
οὐδ' ἔτορε ζωcτῆρα παναίολον, ἀλλὰ πολὺ πρὶν
ἀργύρῳ ἀντομένη μόλιβοc ὣc ἐτράπετ' αἰχμή.
καὶ τό γε χειρὶ λαβὼν εὐρὺ κρείων Ἀγαμέμνων
ἕλκ' ἐπὶ οἷ μεμαὼc ὥc τε λίc, ἐκ δ' ἄρα χειρὸc
cπάccατο· τὸν δ' ἄορι πλῆξ' αὐχένα, λῦcε δὲ γυῖα.
ὣc ὁ μὲν αὖθι πεcὼν κοιμήcατο χάλκεον ὕπνον
οἰκτρόc, ἀπὸ μνηcτῆc ἀλόχου, ἀcτοῖcιν ἀρήγων,
κουριδίηc, ἧc οὔ τι χάριν ἴδε, πολλὰ δ' ἔδωκε·
πρῶθ' ἑκατὸν βοῦc δῶκεν, ἔπειτα δὲ χίλι' ὑπέcτη,
αἶγαc ὁμοῦ καὶ ὄιc, τά οἱ ἄcπετα ποιμαίνοντο.
δὴ τότε γ' Ἀτρείδηc Ἀγαμέμνων ἐξενάριξε,
βῆ δὲ φέρων ἀν' ὅμιλον Ἀχαιῶν τεύχεα καλά.
τὸν δ' ὡc οὖν ἐνόηcε Κόων, ἀριδείκετοc ἀνδρῶν,
πρεcβυγενὴc Ἀντηνορίδηc, κρατερόν ῥά ἑ πένθοc
ὀφθαλμοὺc ἐκάλυψε καcιγνήτοιο πεcόντοc.
cτῆ δ' εὐρὰξ cὺν δουρὶ λαθὼν Ἀγαμέμνονα δῖον,

V. l. 227 μετα AL. — 228 δυοκαίδεκα ACG. — 230 ὁ ACDGHL. ἐὼν AH. — 231 ὃc ῥὰ DL. ἀντίοc A. ἦλθε D. — 232 οἵδ' CGHL. ἐπαλλήλοιcιν A. — 233 παρ D pro παραὶ. — 234 κατὰ θώνην L. θώρακοc G. ἔνερθε ACE Apoll. Lex. 81, 14. — 235 ἐπι D. ἔρειcε: ἔρυκε L. — 236 παναίολον A. — 237 μόλιβοc ACDEHL Apoll. Lex. 15, 13. μόλυβδοc G ex corr. Vrat. A. ὡc AD. — 238 τότε D 1. man., nunc τόγε. εὐρὺ κρείων A. — 239 ἐπί οἱ E 840, 64 H. ἐπι οἱ D. λῖc S. — 240 cπάcατο CDEG. — 241 ὡc AD 1. man. E. ὁ μὲν C. — 242 ἄπο CD 2. man. post ras. EGH. ἀλόχοιο C. — 243 χάριν οἶδε CH. ἔδωκε ACDEGH. — 244 ἔδωκεν G. — 245 ὄϊαc C. — 246 ἐξενάριξε ACG. — 247 ἀν A. ἀνόμιλον D. — 248 ἀριδείκετοc A. — 249 κρατερὸν ῥαοι H. ῥὰ ἔπενθοc G.

A. c. 230 διχῶc καὶ ἐών καὶ ἰών Didymus. — 239 οἷ Herodianus. Aristarchus λίc: λῖc Aeschrio, conf. Eust. 841, 23. — 251 εὐρὰξ Herodianus, conf. Eust. 842, 43.

νύξε δέ μιν κατὰ χεῖρα μέϲην, ἀγκῶνοϲ ἔνερθεν,
ἀντικρὺ δὲ διέϲχε φαεινοῦ δουρὸϲ ἀκωκή.
ῥίγηϲέν τ' ἄρ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
ἀλλ' οὐδ' ὣϲ ἀπέληγε μάχηϲ ἠδὲ πτολέμοιο,
ἀλλ' ἐπόρουϲε Κόωνι ἔχων ἀνεμοτρεφὲϲ ἔγχοϲ.
ἦ τοι ὃ Ἰφιδάμαντα καϲίγνητον καὶ ὄπατρον
ἕλκε ποδὸϲ μεμαώϲ, καὶ ἀΰτει πάνταϲ ἀρίϲτουϲ·
τὸν δ' ἕλκοντ' ἀν' ὅμιλον ὑπ' ἀϲπίδοϲ ὀμφαλοέϲϲηϲ
οὔτηϲε ξυϲτῷ χαλκήρεϊ, λῦϲε δὲ γυῖα·
τοῖο δ' ἐπ' Ἰφιδάμαντι κάρη ἀπέκοψε παραϲτάϲ.
ἔνθ' Ἀντήνοροϲ υἷεϲ ὑπ' Ἀτρείδῃ βαϲιλῆι
πότμον ἀναπλήϲαντεϲ ἔδυν δόμον Ἄϊδοϲ εἴϲω.
αὐτὰρ ὃ τῶν ἄλλων ἐπεπωλεῖτο ϲτίχαϲ ἀνδρῶν
ἔγχεΐ τ' ἄορί τε μεγάλοιϲί τε χερμαδίοιϲιν,
ὄφρά οἱ αἷμ' ἔτι θερμὸν ἀνήνοθεν ἐξ ὠτειλῆϲ.
αὐτὰρ ἐπεὶ τὸ μὲν ἕλκοϲ ἐτέρϲετο, παύϲατο δ' αἷμα,
ὀξεῖαι δ' ὀδύναι δῦνον μένοϲ Ἀτρεΐδαο.
ὡϲ δ' ὅτ' ἂν ὠδίνουϲαν ἔχῃ βέλοϲ ὀξὺ γυναῖκα,
δριμύ, τό τε προϊεῖϲι μογοϲτόκοι εἰλείθυιαι,
Ἥρηϲ θυγατέρεϲ πικρὰϲ ὠδῖναϲ ἔχουϲαι,
ὣϲ ὀξεῖ' ὀδύναι δῦνον μένοϲ Ἀτρεΐδαο.
ἐϲ δίφρον δ' ἀνόρουϲε, καὶ ἡνιόχῳ ἐπέτελλε
νηυϲὶν ἔπι γλαφυρῇϲιν ἐλαυνέμεν· ἤχθετο γὰρ κῆρ.
ἤυϲεν δὲ διαπρύϲιον Δαναοῖϲι γεγωνώϲ·

V. L. 252 κατα D. — 254 ῥίγηϲε E. τ' (δ' suprascr.) ἄρ' A. ἄρ DGL. — 255 οὐδὲ L. ὧϲ libri. πολέμοιο S. — 256 ἀνεμοτρεφὲϲ A. — 257 ὃ· ADGHL. ὃ omitt. C. — 258 μεμαὼϲ omitt. L. — 259 ἀνόμιλον AD. — 261 κάρη (ν suprascr.) G. — 262 ἔνθα G. ὑπατρείδηι A. — 263 ἔδυν ADEGH: ἔβαν CLS Cant. Lips. Townl. — 264 ὃ ACDGHL. — 265 ἔγχει H. χερμαδίοιϲι D. — 266 ὄφρά οἱ ACDHL Et. Mg. 106, 21. ἐξωτειλῆϲ A. — 267 ἐτέρϲατο G 2. man. — 268 ὀξεῖαι δ', non ὀξεῖαι, libri mei cum Cant. Mor. Harl. Townl. ὀδῦναι CD. — 269 ὅταν CDEHL Schol. Α 519, Θ 513. Schol. Pind. Ol. VIII, 111. Schol. Apoll. Rhod. I, 262. Plutarchus de Amore prolis 4. — — 270 τό, τε AH. τό τοι C. τό γε Harl. Vrat. A. προϊεῖϲαι D. προϊᾶϲι Plutarchus de Amore prolis 4. μογοϲτόκοι A. εἰλήθυιαι G. — 271 θυγατέραϲ D. — 272 ὀξεῖαι D. ὀδῦναι CD. — 273 ἐπέτελλε ACGH. — 274 ἔπι A. ἐπὶ CDEGHL. ἐλαύνειν AD. — 275 ἤϋϲε DG.

A. c. 257 ὄπατρον Herodianus, ψιλῶϲ, conf. Eust. 843, 9. — 263 ἔδυν Herodianus. — 270 Aristarchus μογοϲτόκοι: alii μογόϲτοκοι, conf. Eust. 843, 55.

ὦ φίλοι, Ἀργείων ἡγήτορεϲ ἠδὲ μέδοντεϲ,
ὑμεῖϲ μὲν νῦν νηυϲὶν ἀμύνετε ποντοπόροιϲι
φύλοπιν ἀργαλέην, ἐπεὶ οὐκ ἐμὲ μητίετα Ζεὺϲ
εἴαϲε Τρώεϲϲι πανημέριον πολεμίζειν.
ὣϲ ἔφαθ', ἡνίοχοϲ δ' ἵμαϲεν καλλίτριχαϲ ἵππουϲ
νῆαϲ ἔπι γλαφυράϲ· τὼ δ' οὐκ ἀέκοντε πετέϲθην·
ἄφρεον δὲ ϲτήθεα, ῥαίνοντο δὲ νέρθε κονίῃ,
τειρόμενον βαϲιλῆα μάχηϲ ἀπάνευθε φέροντεϲ.
Ἕκτωρ δ' ὡϲ ἐνόηϲ' Ἀγαμέμνονα νόϲφι κιόντα,
Τρωϲί τε καὶ Λυκίοιϲιν ἐκέκλετο μακρὸν ἀΰϲαϲ·
Τρῶεϲ καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
ἀνέρεϲ ἔϲτε, φίλοι, μνήϲαϲθε δὲ θούριδοϲ ἀλκῆϲ.
οἴχετ' ἀνὴρ ὤριϲτοϲ, ἐμοὶ δὲ μέγ' εὖχοϲ ἔδωκε
Ζεὺϲ Κρονίδηϲ. ἀλλ' ἰθὺϲ ἐλαύνετε μώνυχαϲ ἵππουϲ
ἰφθίμων Δαναῶν, ἵν' ὑπέρτερον εὖχοϲ ἄρηϲθε.
ὣϲ εἰπὼν ὤτρυνε μένοϲ καὶ θυμὸν ἑκάϲτου.
ὡϲ δ' ὅτε πού τιϲ θηρητὴρ κύναϲ ἀργιόδονταϲ
ϲεύῃ ἐπ' ἀγροτέρῳ ϲυῒ καπρίῳ ἠὲ λέοντι,
ὣϲ ἐπ' Ἀχαιοῖϲιν ϲεῦε Τρῶαϲ μεγαθύμουϲ
Ἕκτωρ Πριαμίδηϲ, βροτολοιγῷ ἶϲοϲ Ἄρηι.
αὐτὸϲ δ' ἐν πρώτοιϲι μέγα φρονέων ἐβεβήκει,
ἐν δ' ἔπεϲ' ὑϲμίνῃ ὑπεραέι ἶϲοϲ ἀέλλῃ,
ἥ τε καθαλλομένη ἰοειδέα πόντον ὀρίνει.
ἔνθα τίνα πρῶτον, τίνα δ' ὕϲτατον ἐξενάριξεν
Ἕκτωρ Πριαμίδηϲ, ὅτε οἱ Ζεὺϲ κῦδοϲ ἔδωκεν;
Ἀϲαῖον μὲν πρῶτα καὶ Αὐτόνοον καὶ Ὀπίτην

V. L. 277 νῦν omitt. D. ποντοπόροιϲι ACG. — 278 οὔ κε με μητιέτα L. — 279 τρώεϲϲι L. πανημέριον A. — 280 ὡϲ A. φάθ' D. ἵμαϲε EL. — 281 ἐπὶ ACDGHL. ἀέκοντε Harl. Lips.: ἄκοντε libri mei. — 282 δὲ, νέρθε A: δ' ἔνερθε HLS Cant. Townl. — 283 φέροντε S. — 284 ἐνόηϲεν L. — 285 τρωϲί L. — 286 τρῶεϲ L. — 287 ἔϲτε AD: ἐϲτὲ CGHL. — 288 ὤριϲτοϲ AH. μέγα G. ἔδωκε ACDEGH. — 290 ἄρηιϲθε D. — 291 ὡϲ A. — 292 ὅτέ H. ποῦ C. που DH. θηρατὴρ H. — 293 ϲεύει C. καπρίῳ (ω suprascr.) S. κάπρῳ Vrat. A. Mosc. 3. — 294 ὡϲ A. ἀχαιοῖϲι CEG. ϲεῦεν D. τρῶαϲ L. — 297 ὑπεραεῖ H. — 298 ἥ, τε A. καθ' ἀλλομένη D. — 300 ὅτέ οἱ CGH. πριαμίδηϲ βροτολοίγωι ἶϲοϲ ἄρηϊ A. — 301 ἀϲαῖον ACDEH Harl. Townl.: ἀϲϲαῖον GLS.

A. c. 290 ὑπέρτερον: ἀρίϲταρχοϲ ὑπέρτεροι Didymus. — 297 ὑπεραέϊ Herodianus. ὅτι ἔν τιϲι γράφεται ὑπὲρ οὔρεοϲ ἶϲοϲ ἀέλλῃ Aristonicus. — 301 Ἀϲαῖον Herodianus.

καὶ Δόλοπα Κλυτίδην καὶ Ὀφέλτιον ἠδ' Ἀγέλαον
Αἴςυμνόν τ' Ὦρόν τε καὶ Ἱππόνοον μενεχάρμην.
τοὺς ἄρ' ὅ γ' ἡγεμόνας Δαναῶν ἕλεν, αὐτὰρ ἔπειτα
πληθύν, ὡς ὁπότε νέφεα Ζέφυρος στυφελίξῃ
ἀργεςτᾶο νότοιο, βαθείῃ λαίλαπι τύπτων·
πολλὸν δὲ τρόφι κῦμα κυλίνδεται, ὑψόςε δ' ἄχνη
ςκίδναται ἐξ ἀνέμοιο πολυπλάγκτοιο ἰωῆς·
ὡς ἄρα πυκνὰ καρήαθ' ὑφ' Ἕκτορι δάμνατο λαῶν.
ἔνθά κε λοιγὸς ἔην καὶ ἀμήχανα ἔργα γένοντο,
καί νύ κεν ἐν νήεςςι πέςον φεύγοντες Ἀχαιοί,
εἰ μὴ Τυδείδῃ Διομήδεϊ κέκλετ' Ὀδυςςεύς·
Τυδείδη, τί παθόντε λελάςμεθα θούριδος ἀλκῆς;
ἀλλ' ἄγε δεῦρο πέπον παρ' ἔμ' ἵςταςο· δὴ γὰρ ἔλεγχος
ἔςςεται, εἴ κεν νῆας ἕλῃ κορυθαίολος Ἕκτωρ.
τὸν δ' ἀπαμειβόμενος προςέφη κρατερὸς Διομήδης·
ἦ τοι ἐγὼ μενέω καὶ τλήςομαι· ἀλλὰ μίνυνθα
ἡμέων ἔςςεται ἦδος, ἐπεὶ νεφεληγερέτα Ζεὺς
Τρωςὶν δὴ βόλεται δοῦναι κράτος ἠέ περ ἡμῖν.
ἦ, καὶ Θυμβραῖον μὲν ἀφ' ἵππων ὦςε χαμᾶζε
δουρὶ βαλὼν κατὰ μαζὸν ἀριςτερόν· αὐτὰρ Ὀδυςςεὺς
ἀντίθεον θεράποντα Μολίονα τοῖο ἄνακτος.
τοὺς μὲν ἔπειτ' εἴαςαν, ἐπεὶ πολέμου ἀπέπαυςαν·
τὼ δ' ἀν' ὅμιλον ἰόντε κυδοίμεον, ὡς ὅτε κάπρω

V. l. 304 τοῦς A. ἆρ D. ἀρ A. — 305 ὁπότ' ἂν νέφεα H. Ζέφυρος νέφεα LS Strabo I, 29. στυφελίξει CE 845, 55 et 59. στυφελίζει E 845, 51. — 306 ἀργέσταο L. ἀργεστάο Et. Mg. 136, 28. ceteri ἀργεστᾶο cum Apoll. Lex. 42, 26. Strab. I, 29. — 308 πολυπλάγκτοιο A. πολυπλάκτοιο DGH. — 309 κάρηνα L. δάμναντο L. λαῶν E 845, 56: ἀνδρῶν E 846, 28. — 310 ἔνθά κε ACDGHL. γένοιτο S. ἔργ' ἐγένοντο L. — 313 παθόντες D. — 314 δεῦρο omitt. C. παρ' ἐμ' A. παρὲμ' D. παρ' ἐμ' G. — 315 αἴ κε C. ἕλῃ νῆας E. ἕλοι L. κορυθαιόλος DE. — 318 ἡμῶν E. ἦδος D. εἶδος G. — 319 τρωςὶν L. τρωςὶ DE. τρωςί γε βούλεται G. βούλεται CDEG HLS Mor. Barocc. Harl. Townl. Lips. Vrat. b. A. — 320 χαμᾶζε AD. χαμάζε GHL. χάμᾶζε (sic) C ex corr. — 321 κατα A. — 323 εἴαςεν DH Lips. ἀπέπαυςεν DH. — 324 ἀν A. ἂν E. ἀνόμιλον D. κάπρῳ L.

A. c. 306 ἀργεςτᾶο Herodianus προπεριςπωμένως. — 314 ἵςταςο: ἵςταο Aristarchus cum Zenodoto, conf. H. T. 292. — 318 ἦδος Herodianus: ἥδος Trypho, conf. H. T. 270. — 319 βόλεται Aristarchus, conf. α 234.

ἐν κυςὶ θηρευτῇςι μέγα φρονέοντε πέςητον·
ὣς ὄλεκον Τρῶας πάλιν ὀρμένω· αὐτὰρ Ἀχαιοὶ
ἀςπαςίως φεύγοντες ἀνέπνεον Ἕκτορα δῖον.
ἔνθ' ἑλέτην δίφρόν τε καὶ ἀνέρε δήμου ἀρίςτω,
υἷε δύω Μέροπος Περκωςίου, ὃς περὶ πάντων
ᾔδεε μαντοςύνας, οὐδὲ οὓς παῖδας ἔαςκε
ςτείχειν ἐς πόλεμον φθιςήνορα· τὼ δέ οἱ οὔ τι
πειθέςθην· κῆρες γὰρ ἄγον μέλανος θανάτοιο.
τοὺς μὲν Τυδείδης δουρὶ κλειτὸς Διομήδης
θυμοῦ καὶ ψυχῆς κεκαδὼν κλυτὰ τεύχε' ἀπηύρα·
Ἱππόδαμον δ' Ὀδυςεὺς καὶ Ὑπείροχον ἐξενάριξεν.
ἔνθά ςφιν κατὰ ἶςα μάχην ἐτάνυςςε Κρονίων
ἐξ Ἴδης καθορῶν· τοὶ δ' ἀλλήλους ἐνάριζον.
ἦ τοι Τυδέος υἱὸς Ἀγάςτροφον οὔταςε δουρὶ
Παιονίδην ἥρωα κατ' ἰςχίον· οὐ γάρ οἱ ἵπποι
ἐγγὺς ἔςαν προφυγεῖν, ἀάςατο δὲ μέγα θυμῷ.
τοὺς μὲν γὰρ θεράπων ἀπάνευθ' ἔχεν, αὐτὰρ ὃ πεζὸς
θῦνε διὰ προμάχων, εἵως φίλον ὤλεςε θυμόν.
Ἕκτωρ δ' ὀξὺ νόηςε κατὰ ςτίχας, ὦρτο δ' ἐπ' αὐτοὺς
κεκληγώς· ἅμα δὲ Τρώων εἵποντο φάλαγγες.
τὸν δὲ ἰδὼν ῥίγηςε βοὴν ἀγαθὸς Διομήδης,
αἶψα δ' Ὀδυςςῆα προςεφώνεεν ἐγγὺς ἐόντα·

V. l. 325 θηρευτῆς L. πέςοιτον L. — 326 ὡς A. τρῷας L. παλινορμένω A. πάλιν ὀρμένω E 847, 6 et 22 S Vrat. b. A. — 329 πέρι GL. — 330 οἶδεν μαντοςύνας H. οὐδ' ἑοὺς ACDEGHL Harl. Townl. Vrat. A. Mosc. 3. οὐδὲ ἑοὺς Mor. Vrat. b. ἔαςκε ACDEGH. — 331 εἰς D. τώδε οἱ G. — 332 μέλανες G. — 333 δουρὶ, κλειτὸς A. δουρὶ κλυτὸς Vrat. b. δουρϊκλυτὸς CD. — 334 ἀπηῦρα D. — 335 ἱππόδαμόν A. ἱππόδομον D. ὀδυςςεὺς DGH. ἐξενάριξε L. — 336 ἔνθά ςφιν ACGHL. ἔνθά ςφι D. κατ' G. ἐτάνυςε DEGL. — 337 τοὶ δ': οἳ δ' LS. οἵδ' GH. — 339 οὐ γάρ οἱ ACDEGLS: οὐδέ οἱ H. ἐν ἄλλῳ οὐδὲ γὰρ ἵπποι A. — 340 ἦςαν C. πρὸ φυγὴν G. — 341 ἀπάνευθεν L. ὃ ACDGHL. — 342 δια A. οἷος φίλον H 1. man. — 344 τρῴων L. — 345 τόνδε G. ῥίγηςεν AD. ἐρίγηςε H. ἐρίγηρε S. ἰδὼν ἐνόηςε C Lips. Townl. γράφεται ἐνόηςε A. γράφουςί τινες ἰδὼν ἐνόηςε Eust. 848, 24, conf. Λ 599.

A. c. 325 διχῶς θηρευτῆρςι καὶ θηρευτῇςι Didymus, conf. M 41, H. T. 281. — 326 παλινορμένω Aristarchus et Hermappias: πάλιν ὀρμένω Tyrannio, cf. Et. Mg. 648, 33. — 330 οὐδὲ οὓς hic et B 831 scriptum est invitis libris, qui οὐδ' ἑοὺς exhibent; nam ε̄ in ἑούς nullo pacto produci potest, nihil autem obstat, quin ε̄ ante ϝούς in caesura semiseptenaria producatur. — 339 οὐ γάρ οἱ dedi ex libris optimis: recentiores digammi causa οὐδέ οἱ ex Bentlei coniectura, conf. ad B 665.

νῶιν δὴ τόδε πῆμα κυλίνδεται ὄβριμος Ἕκτωρ·
ἀλλ᾽ ἄγε δὴ cτέωμεν καὶ ἀλεξώμεcθα μένοντεc.
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόcκιον ἔγχοc,
καὶ βάλεν, οὐδ᾽ ἀφάμαρτε, τιτυcκόμενοc κεφαλῆφιν,
ἄκρην κὰκ κόρυθα· πλάγχθη δ᾽ ἀπὸ χαλκόφι χαλκόc,
οὐδ᾽ ἵκετο χρόα καλόν· ἐρύκακε γὰρ τρυφάλεια
τρίπτυχοc αὐλῶπιc, τήν οἱ πόρε Φοῖβοc Ἀπόλλων.
Ἕκτωρ δ᾽ ὦκ᾽ ἀπέλεθρον ἀνέδραμε, μίκτο δ᾽ ὁμίλῳ,
cτῆ δὲ γνὺξ ἐριπὼν καὶ ἐρείcατο χειρὶ παχείῃ
γαίηc· ἀμφὶ δὲ ὄccε κελαινὴ νὺξ ἐκάλυψεν.
ὄφρα δὲ Τυδείδηc μετὰ δούρατοc ᾤχετ᾽ ἐρωὴν
τῆλε διὰ προμάχων, ὅθι οἱ καταείcατο γαίηc,
τόφρ᾽ Ἕκτωρ ἔμπνυτο, καὶ ἂψ ἐc δίφρον ὀρούcαc
ἐξέλαc᾽ ἐc πληθύν, καὶ ἀλεύατο κῆρα μέλαιναν.
δουρὶ δ᾽ ἐπαΐccων προcέφη κρατεροc Διομήδηc·
ἐξ αὖ νῦν ἔφυγεc θάνατον κύον· ἦ τέ τοι ἄγχι
ἦλθε κακόν· νῦν αὖτέ c᾽ ἐρύcατο Φοῖβοc Ἀπόλλων,
ᾧ μέλλειc εὔχεcθαι ἰὼν ἐc δοῦπον ἀκόντων.
ἦ θήν c᾽ ἐξανύω γε καὶ ὕcτερον ἀντιβολήcαc,
εἴ πού τιc καὶ ἐμοί γε θεῶν ἐπιτάρροθόc ἐcτι.
νῦν αὖ τοὺc ἄλλουc ἐπιείcομαι, ὅν κε κιχείω.
ἦ, καὶ Παιονίδην δουρὶ κλυτὸν ἐξενάριξεν.
αὐτὰρ Ἀλέξανδροc, Ἑλένηc πόcιc ἠυκόμοιο,

V. L. 347 ὄμβριμοc CH. — 348 cτέωμεν ADGHLS Cant. Barocc. Mor. Lips. Et. Mg. 727, 28. cταίωμεν C Vrat. A. cτέομεν E bis Mosc. 3. ἀλεξώμεθα CDGH, conf. Χ 231. — 349 ἢ ῥὰ CDGHL. δολιχόcκιον A. — 350 κεφαλῆφι D. κεφαλῆφιν E ter. κεφαλῆιφι A. — 351 κακκόρυθα ACDGL. κάκκόρυθα H. ἀπο A. — 354 ὦκα πέλεθρον L. ἀπέλαθρον G. — 355 ἐρειπὼν C. — 356 ἀμφι D. — 357 δόρατοc C. — 358 δια A. καταεῖcατο A. γαίῃ C Schol. Μ 103. Hesych. II, 422. γαίη Lips. — 359 * ἔμπνυτο: libri ἄμπνυτο. — 362 ἢ τέ τοι D. ἤ τε τοί G. — 363 νῦν δ᾽ C. c᾽ omitt. L ἐρύcατο ACDEGHL: ἐρύccατο recentiores quidam cum Barnesio. — 366 εἴ που τιc ADHL. εἴ που τῖc C. ἤ πού τιc G. ἐμοί γε AC: ceteri ἔμοιγε. θεὸc E. ἐcτι ACDEGH. ἐcτίν L. ἐν ἄλλῳ ἐπιτάρροθοc εἴη A. — 367 δ᾽ αὖ D. — 368 δουρὶ κλυτὸν A. δουρικλειτὸν L. ἐξενάριζεν A: ceteri ἐξενάριξεν. — 369 ἠϋκόμοιο A.

A. c. 348 cτέωμεν, conf. H. U. 152. μένοντεc: μένοντε Zenodotus. — 356 obelus cum asterisco, ὀρθῶc E 309. προηθέτει Ἀριcτοφάνηc· Ζηνόδοτοc δὲ οὐδὲ ἔγραφεν Didymus. — 359 ἔμπνυτο, ni fallor, Aristarchus, conf. H. T. 290. — 363 ἐρύcατο, conf. ad Β 859. — 368 ἐξενάριξεν Zenodotus. ἀρίcταρχοc παρατατικῶc ἐξενάριζεν Didymus, conf. Ε 842.

Τυδείδῃ ἔπι τόξα τιταίνετο, ποιμένι λαῶν,
cτήλῃ κεκλιμένοc ἀνδροκμήτῳ ἐπὶ τύμβῳ
Ἴλου Δαρδανίδαο, παλαιοῦ δημογέροντοc.
ἤ τοι ὁ μὲν θώρηκα Ἀγαcτρόφου ἰφθίμοιο
αἴνυτ᾽ ἀπὸ cτήθεcφι παναίολον ἀcπίδα τ᾽ ὤμων
καὶ κόρυθα βριαρήν· ὁ δὲ τόξου πῆχυν ἄνελκε
καὶ βάλεν, οὐδ᾽ ἄρα μιν ἅλιον βέλοc ἔκφυγε χειρόc,
ταρcὸν δεξιτεροῖο ποδόc· διὰ δ᾽ ἀμπερὲc ἰὸc
ἐν γαίῃ κατέπηκτο. ὁ δὲ μάλα ἡδὺ γελάccαc
ἐκ λόχου ἀμπήδηcε καὶ εὐχόμενοc ἔποc ηὔδα·
βέβληαι, οὐδ᾽ ἅλιον βέλοc ἔκφυγεν· ὡc ὄφελόν τοι
νείατον ἐc κενεῶνα βαλὼν ἐκ θυμὸν ἑλέcθαι.
οὕτω κεν καὶ Τρῶεc ἀνέπνευcαν κακότητοc,
οἵ τέ cε πεφρίκαcι λέονθ᾽ ὡc μηκάδεc αἶγεc.
τὸν δ᾽ οὐ ταρβήcαc προcέφη κρατεροc Διομήδηc·
τοξότα, λωβητήρ, κέραι ἀγλαέ, παρθενοπῖπα,
εἰ μὲν δὴ ἀντίβιον cὺν τεύχεcι πειρηθείηc,
οὐκ ἄν τοι χραίcμῃcι βιὸc καὶ ταρφέεc ἰοί·
νῦν δέ μ᾽ ἐπιγράψαc ταρcὸν ποδὸc εὔχεαι αὔτωc.
οὐκ ἀλέγω, ὡc εἴ με γυνὴ βάλοι ἢ πάιc ἄφρων·

V. L. 370 ἔπι A. ἐπὶ CDGHL. — 371 ἀνδροκμήτωι A. ἔργωι C et man. rec. γρ. τύμβῳ. — 372 ἴλλου Cant. cum aliis. — 373 ὁ μὲν C. — 374 cτήθεcφιν G. ὦμον L. — 375 ὁ δὲ C. ἀνεῖλκε CDEGHS. ἀνεῖλκεν L. ἄνελκεν A. — 376 ἔκφυγε: ἔκπεcε L, conf. Β 266. — 377 διαμπερὲc GHL. — 378 ὁ δὲ C. μάλ᾽ L. γελάcαc D Barocc. — 379 λόχου τ᾽ G. ηὗδα D. — 380 βέβλη᾽ H. ὄφελόν γε Vrat. A. — 381 θυμὸν ὀλέccαι H. ὀλέcαι ἢ μᾶλλον ἑλέcθαι Eust. 850, 10. — 382 καὶ omitt. GL. τρῷεc L. — 383 οἵ τέ cε ACDEHL. — 385 κέραι A. κέρα DEGL Et. Mg. 504, 56. Cram. An. Ox. II, 382, 31. κέρᾳ H. καίρ C. κέρ᾽ Apoll. Lex. 98, 11. Eust. 401, 41. παρθενοπίπα DGL. ἕτεροι δὲ παρθενοπῖα γράφουcιν E 851, 57. — 388 νῦν δ᾽ ἐμ᾽ Mosc. 3. ταρcῷ Apoll. Lex. 55, 24. αύτωc A. αὔτωc GEH Bekk. An. 238, 27; 630, 30. Pseudoplut. 138, 30. οὕτωc Cram. An. Ox. III, 69, 19 (Cod. A αὔτωc). — 389 ὡc εἴ με ACDEHL Apoll. Lex. 22, 31. ὡcεί με G Et. Gud. 364, 6. βάλῃ Suidas I, 1, 196, 5.

A. c. 370 ἔπι Herodianus. — 375 ἀνεῖλκε Schol. BL: Aristarchus ἄνελκε, conf. H. T. 238. — 383 οἵ τε cὲ Alexio. — 385 cὺν τῷ ῑ ἔγραψάν τινεc τὸ κέραι, ἵνα ᾖ δοτική, ὁμοίωc τὸ δέπαι (κ 316) καὶ „γήραι ὕπο λιπαρῷ“ (λ 136). οὕτωc δὲ καὶ δοκεῖ ἐπικρατεῖν ἡ παράδοcιc, ὡc καὶ Ἀλεξίων ἀξιοῖ Herodianus. alii κέρα πληθυντικῶc, conf. Cram. An. Ox. II, 382, 29, H. U. 179. Aristarchum κέραι scripsisse colligo ex scholio Aristonici „ὅτι κέραι οὐ τῇ τριχὶ ψιλῶc, ἀλλ᾽ ἐμπλοκῆc τι γένοc. τὸ δὲ παρθενοπῖπα τινὲc παρθενοπῖα, παρθένοιc ἐοικώc Schol. A.

κωφὸν γὰρ βέλος ἀνδρὸς ἀνάλκιδος οὐτιδανοῖο.
ἦ τ' ἄλλως ὑπ' ἐμεῖο, καὶ εἴ κ' ὀλίγον περ ἐπαύρῃ,
ὀξὺ βέλος πέλεται, καὶ ἀκήριον ἄνδρα τίθησι·
τοῦ δὲ γυναικὸς μέν τ' ἀμφίδρυφοί εἰσι παρειαί,
παῖδές τ' ὀρφανικοί· ὁ δέ θ' αἵματι γαῖαν ἐρεύθων
πύθεται, οἰωνοὶ δὲ περὶ πλέες ἠὲ γυναῖκες.
ὣς φάτο, τοῦ δ' Ὀδυσεὺς δουρὶ κλυτὸς ἐγγύθεν ἐλθὼν
ἔστη πρόσθ'· ὁ δ' ὄπισθε καθεζόμενος βέλος ὠκὺ
ἐκ ποδὸς ἕλκ', ὀδύνη δὲ διὰ χροὸς ἦλθ' ἀλεγεινή.
ἐς δίφρον δ' ἀνόρουσε, καὶ ἡνιόχῳ ἐπέτελλε
νηυσὶν ἔπι γλαφυρῇσιν ἐλαυνέμεν· ἤχθετο γὰρ κῆρ.
οἰώθη δ' Ὀδυσεὺς δουρὶ κλυτός, οὐδέ τις αὐτῷ
Ἀργείων παρέμεινεν, ἐπεὶ φόβος ἔλλαβε πάντας·
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
ὤμοι ἐγώ, τί πάθω; μέγα μὲν κακόν, αἴ κε φέβωμαι
πληθὺν ταρβήσας· τὸ δὲ ῥίγιον, αἴ κεν ἁλώω
μοῦνος· τοὺς δ' ἄλλους Δαναοὺς ἐφόβησε Κρονίων.
ἀλλὰ τί ἤ μοι ταῦτα φίλος διελέξατο θυμός;
οἶδα γὰρ ὅττι κακοὶ μὲν ἀποίχονται πολέμοιο,
ὃς δέ κ' ἀριστεύῃσι μάχῃ ἔνι, τὸν δὲ μάλα χρεὼ
ἑστάμεναι κρατερῶς, ἤ τ' ἔβλητ' ἤ τ' ἔβαλ' ἄλλον.
εἶος ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
τόφρα δ' ἐπὶ Τρώων στίχες ἤλυθον ἀσπιστάων,

V. l. 391 ὑπεμεῖο A. ἐμοῖο GHS. ἐπαύροι L. — 392 ἄνδρα: αἶψα libri. τίθησι ACDEGHL. — 393 μέν τοι G. τ' omitt. EH. ἀμφίδρυφοι εἰσὶ GL. — 394 παῖδές τ' CDH Townl. παῖδες δ' (τ supra) A. ὅδ' αἵματι G. ὁ δὲ αἵματι E. ἐρέφθων L. — 395 περὶ, πλέες A. περιπλέες CDHL. — 396 ὡς A. ὀδυσσεὺς DG. δουρὶ κλυτὸς A. — 397 ὅδ' CGH. ὀξὺ ἢ ὠκὺ E 852, 43. — 398 * ἕλκ': εἷλκ' ACDGHLS. εἷλκεν E. — 399 ἐπέτελλε ACGHS. — 400 ἐπὶ ACDGHL. ἐλαύνειν HL. ἤχθετο γὰρ κῆρ: γρ. ὠκέας ἵππους A. — 401 ὀδυσσεὺς DG. δουρὶ κλυτὸς A. — 402 παρέμιμνε E. ἔλαβε DG. — 404 ᾤμοι ACDE bis G. μέγα μὲν (κεν supra) Harl. — 405 ἀλώω DL. — 407 τί ἤ Io. Alex. 42, 24. τί ἢ Cram. An. Par. III, 302, 23. τιή Eust. 1274, 61. libri τίη. — 408 ὅτι DG. — 409 ἔνι omitt. L. τὸν δὲ A: τόνδε CDEGHLS. χρειώ GL. — 410 ἤτε βάλ' D. — 411 * εἶος: ἕως ACDEGH 1. man. L Draco de Metr. 8, 15. εἵως H ex corr. ὁ ACDGHL. — 412 τρώων L.

A. c. 391 ἔν τισι γράφεται ἐπαύρω Schol. A. — 392 αἶψα: ἀρίσταρχος ἄνδρα τίθησι Didymus. — 395 περὶ πλέες Ptolemaeus Ascalonita et Alexio: περίπλεες Tyrannio. — 397 ἕλκ', conf. 357. — 404 ᾤμοι, conf. H. U. 188. — 409 τὸν δὲ Tyrannio, probante Herodiano: τόνδε Alexio, conf. H. T. 362.

ἔλσαν δ' ἐν μέσσοισι, μετὰ σφίσι πῆμα τιθέντες.
ὡς δ' ὅτε κάπριον ἀμφὶ κύνες θαλεροί τ' αἰζηοὶ
σεύωνται, ὁ δέ τ' εἶσι βαθείης ἐκ ξυλόχοιο
θήγων λευκὸν ὀδόντα μετὰ γναμπτῇσι γένυσσιν,
ἀμφὶ δέ τ' ἀΐσσονται, ὑπαὶ δέ τε κόμπος ὀδόντων
γίγνεται, οἳ δὲ μένουσιν ἄφαρ δεινόν περ ἐόντα,
ὥς ῥα τότ' ἀμφ' Ὀδυσῆα διίφιλον ἐσσεύοντο
Τρῶες. ὁ δὲ πρῶτον μὲν ἀμύμονα Δηιοπίτην
οὔτασεν ὦμον ὕπερθεν ἐπάλμενος ὀξέι δουρί,
αὐτὰρ ἔπειτα Θόωνα καὶ Ἔννομον ἐξενάριξε.
Χερσιδάμαντα δ' ἔπειτα, καθ' ἵππων ἀΐξαντα,
δουρὶ κατὰ πρότμησιν ὑπ' ἀσπίδος ὀμφαλοέσσης
νύξεν· ὁ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
τοὺς μὲν ἔασ', ὁ δ' ἄρ' Ἱππασίδην Χάροπ' οὔτασε δουρί,
αὐτοκασίγνητον εὐηγενέος Σώκοιο.
τῷ δ' ἐπαλεξήσων Σῶκος κίεν, ἰσόθεος φώς·
στῆ δὲ μάλ' ἐγγὺς ἰὼν καί μιν πρὸς μῦθον ἔειπεν·
ὦ Ὀδυσεῦ πολύαινε, δόλων ἆτ' ἠδὲ πόνοιο,
σήμερον ἢ δοιοῖσιν ἐπεύξεαι Ἱππασίδῃσι,
τοιώδ' ἄνδρε κατακτείνας καὶ τεύχε ἀπούρας,

V. l. 413 μετα D. μετά σφισι E bis H. — 414 ἀμφι D. — 415 σεύωνται ADELS Cant. Townl. Vrat. b.: σεύονται CGH. ὁ δέ τ' L. ὅδέ τ' H. ὅδε τ' G. — 416 γναμπτοῖσι CHL Mor. Harl. 1. man. Lips. γναπτοῖσι Barocc. γναπτῇσι Townl. γένυσιν E bis GL 1. man. γένυσι Apoll. Lex. 42, 24. — 417 ἀμφι D. ἀμφί τε ἀΐσσονται AGHL Barocc. ἀμφί τ' ἀΐσσονται CES. ἀίσσοντα L. — 418 γίγνεται GL: γίνεται ACDEH. — 419 ὣς ῥὰ DL. ὀδυσσῆϊ G. ὀδυσσῆα D. διῒ φίλον ACDEGHL. ἐσεύοντο L. — 420 τρῷες L. ὁ δὲ C. μὲν omitt. G. δηϊοπήτην G. διοπίδην L. — 421 ὕπερθε μετάλμενος HS Harl. Vrat. b. Mosc. 3. γρ. καὶ ὕπερθε μετάλμενος A. δουρί: γρ. χαλκῷ A. — 422 καὶ ὅρμενον C. ὅρμενον Harl. ἐξενάριξε CH. — 423 χερσιδάμαντα A. ἀΐξαντα AD: ἀΐσσοντα CHLS Barocc. Mor. Lips. Townl. Vrat. b. A. Mosc. 2. ἀΐσοντα G. γρ. καὶ ἀΐσσοντα A. — 424 κατα AD. — 425 νύξ' D. ὁ δ' D. ὅδ' CGHL. — 426 ὅδ' CGHL. ἂρ CDGL. ἀρ A. — 427 αὐτοκασίγνητον A. — 428 φῶς D. — 429 μάλα G. — 430 ὀδυσσεῦ EG. ὀδυσεὺς H. ἆτε EG. αὖτ' Mosc. 3. — 431 ἱππασίδῃσι ACE. γρ. ἱπασιδήϊν A. — 432 τοιῶδ' A.

A. c. 413 ἔλσαν Herodianus. idem μετὰ σφίσι. τιθέντες: δὲ ἔλσαν Zenodotus. — 421 οἳ δὲ ὕπερθε μετάλμενος Schol. BL. — 424 οὕτως ἀρίσταρχος δουρὶ κατα προτμηστιν (sic) Didymus. κατὰ πρόσμησιν διὰ τοῦ σ. ἔν τισι κεῖται τὸ τ (διὰ τοῦ τ?) Schol. V. — 427 εὐηγενέος: εὐηφενέος, conf. Schol. Ψ 81. — 432 τοιώδ', non τοιῶδ', Herodianus. ὅτι ἀκαίρως προσέρριπται τὸ ἡμιστίχιον „καὶ τεύχε' ἀπούρας" Aristonicus.

ἤ κεν ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσῃς.
ὣς εἰπὼν οὔτησε κατ' ἀσπίδα πάντοσ' ἐΐσην.
διὰ μὲν ἀσπίδος ἦλθε φαεινῆς ὄβριμον ἔγχος,
καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο,
πάντα δ' ἀπὸ πλευρῶν χρόα ἔργαθεν, οὐδέ τ' ἔασε
Παλλὰς Ἀθηναίη μιχθήμεναι ἔγκασι φωτός.
γνῶ δ' Ὀδυσεὺς ὅ οἱ οὔ τι τέλος κατακαίριον ἦλθεν,
ἂψ δ' ἀναχωρήσας Σῶκον πρὸς μῦθον ἔειπεν·
ἆ δείλ', ἦ μάλα δή σε κιχάνεται αἰπὺς ὄλεθρος.
ἦ τοι μὲν ἔμ' ἔπαυσας ἐπὶ Τρώεσσι μάχεσθαι.
σοὶ δ' ἐγὼ ἐνθάδε φημὶ φόνον καὶ κῆρα μέλαιναν
ἤματι τῷδ' ἔσσεσθαι, ἐμῷ δ' ὑπὸ δουρὶ δαμέντα
εὖχος ἐμοὶ δώσειν, ψυχὴν δ' Ἄϊδι κλυτοπώλῳ.
ἦ, καὶ ὃ μὲν φύγαδ' αὖτις ὑποστρέψας ἐβεβήκει,
τῷ δὲ μεταστρεφθέντι μεταφρένῳ ἐν δόρυ πῆξεν
ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσε.
δούπησεν δὲ πεσών· ὁ δ' ἐπεύξατο δῖος Ὀδυσσεύς·
ὦ Σῶχ', Ἱππάσου υἱὲ δαΐφρονος, ἱπποδάμοιο,
φθῆ σε τέλος θανάτοιο κιχήμενον, οὐδ' ὑπάλυξας.
ἆ δείλ', οὐ μὲν σοί γε πατὴρ καὶ πότνια μήτηρ

V. L. 433 ἢ A. ἣ CD. ὑπο CD. ὀλέσσεις DS Cant. — 434 ὡς A. οὔτασε L. πάντοσε, ἶσην AD. πάντοσε ἴσην L post ras. S. — 435 ὄμβριμον CH. — 436 δια A. ἠρήρϊστο H. — 437 χρό' ἐέργαθεν L. οὐδ' ἔτ' Lips. ἔασε AGH Lips. ἔασσε C. — 438 ἀθήνη G. — 439 ὀδυσσεὺς EG. ὅτϊ οὔτϊ C. τέλος A: ceteri βέλος. κατακαίριον ADHL Schol. Λ 451: ceteri κατὰ καίριον. ἤλθε D. — 441 ἆ δεῖλ' H. ὦ δεῖλ' L. — 442 μὲν ἔμ' ACGHLS Lips. Townl. Mosc. 2. 3. vulgo μέν ῥ' ἔμ' cum DE. τρῴεσσι L. — 443 ἐγὼν EG. — 444 ἤματι D. ἔσεσθαι EGL 1. man. δ' omitt. L. δαμέντι DG Lips. δαμέντε L. — 445 ἀίδῃ L. — 446 ὃ μὲν C. αὖθις C Schol. Π 697. — 448 ἔλασσε ACGH. ἔλασε E. — 449 δούπησε G 1. man. ὃ δ' D. ὅδ' CGHL. — 450 σῶκ' L. — 452 ἆ D. δεῖλ' CHL. δειλὲ E bis. δύσμορος, οὐδ' ἄρα τῷγε πατὴρ Plutarchus Consol. ad Apoll. 30.

A. c. 437 Zenodotus χρόα: χροὸς Aristarchus. — 439 βέλος Zenodotus. ἀρίσταρχος τέλος Didymus. αἱ Ἀριστάρχου οὕτως τέλος καὶ σχεδὸν ἅπασαι Schol. A. κατὰ καίριον Aristarchus cum Zenodoto. — 441 δείλ': δειλέ· οὕτως δὲ καὶ Ἀρίσταρχος ἔγραφεν ἐκ πλήρους, ὡς Δίδυμος μαρτυρεῖ Nicanor. περισπᾷ οὖν τὸ ἆ δείλε. ἐν δὲ τῇ Ὁμηρικῇ προσῳδίᾳ .... Schol. ap. Cram. An. Par. III, 177, 1. — 442 μὲν ἔμ': de productione brevis syllabae solita in semiternaria dixi in Annal. Gymn. Austr. 1871, pg. 502 sqq. conf. Η 77, Υ 243, φ 32. — 446 φύγαδε Herodianus. — 450 ἐκ πλήρους ἀρίσταρχος ὦ σῶκε (Cod. ὡς ὦκε) Didymus. — 451 Aristarchus τέλος: βέλος Zenodotus, conf. 439. — 452 δείλ': δειλέ Aristarchus, ut 441.

ὅσσε καθαιρήσουσι θανόντί περ, ἀλλ' οἰωνοὶ
ὠμησταὶ ἐρύουσι περὶ πτερὰ πυκνὰ βαλόντες.
αὐτὰρ ἔμ', εἴ κε θάνω, κτεριοῦσί γε δῖοι Ἀχαιοί.
ὣς εἰπὼν Σώκοιο δαΐφρονος ὄβριμον ἔγχος
ἔξω τε χροὸς ἕλκε καὶ ἀσπίδος ὀμφαλοέσσης·
αἷμα δέ οἱ σπασθέντος ἀνέσσυτο, κῆδε δὲ θυμόν.
Τρῶες δὲ μεγάθυμοι ὅπως ἴδον αἷμ' Ὀδυσῆος,
κεκλόμενοι καθ' ὅμιλον ἐπ' αὐτῷ πάντες ἔβησαν.
αὐτὰρ ὅ γ' ἐξοπίσω ἀνεχάζετο, αὖε δ' ἑταίρους.
τρὶς μὲν ἔπειτ' ἤυσεν, ὅσον κεφαλὴ χάδε φωτός,
τρὶς δ' ἄιεν ἰάχοντος ἀρηΐφιλος Μενέλαος.
αἶψα δ' ἄρ' Αἴαντα προσεφώνεεν ἐγγὺς ἐόντα·
Αἶαν διογενὲς Τελαμώνιε, κοίρανε λαῶν,
ἀμφί μ' Ὀδυσσῆος ταλασίφρονος ἵκετ' ἀυτή,
τῷ ἰκέλη, ὡς εἴ ἑ βιῴατο μοῦνον ἐόντα
Τρῶες, ἀποτμήξαντες ἐνὶ κρατερῇ ὑσμίνῃ.
ἀλλ' ἴομεν καθ' ὅμιλον· ἀλεξέμεναι γὰρ ἄμεινον.
δείδω μή τι πάθῃσιν ἐνὶ Τρώεσσι μονωθείς,
ἐσθλὸς ἐών, μεγάλη δὲ ποθὴ Δαναοῖσι γένηται.

V. L. 453 θανόντί περ A. — 454 ἐρύουσι ACDEH 1. man. L. ἐρύουσιν Et. Mg. 822, 11: ἐρύσουσι GH ex corr. S Cant. Barocc. Mor. Harl. πυκνὰ: μακρὰ H. — 455 ἔμ' εἴ κε θάνω: ἐπεί κε θάνω Eust. cum libris. κτεριοῦσί με libri cum Bachm. Anecd II, 268, 18. — 456 ὡς A. ὄμβριμον CH. — 457 ἔξω τ' ἐκ χροὸς C. ἔξω δ' ἐκ Ven. B. ἕλκε L: εἷλκε ACDGHS. εἷλκεν E. — 459 τρῷες L. δὲ: δ' αὖ L Harl. Vrat. b. Mosc. 3. conf. Ε 27, Ν 737, ο 229. ὅπως ἴδον ADG Mor. et pro var. lect. Vrat. b. ὅταν ἴδον Barocc. ἐπεὶ ἴδον CEHLS. γρ. καὶ ἐπεὶ ἴδον A. ὀδυσσῆος DG. — 462 ὅσσον G. — 463 ἀρηΐφιλος A. — 464 ἆρ DG. ἀρ A. προσεφώνει E. — 466 ταλασίφρονος A. ἵκετο φωνὴ ACDEGS Cant. Lips. Mor. Barocc. Harl. Townl. Vrat. b. A. Mosc. 2. — 467 ἰκέλη CDGHL. ὡς, εἴ A. ὡς εἴ CEH Schol. Ξ 1, Π 22. ὡς εἰ D Et. Mg. 198, 50. ὦς εἴ L. ὡσεί G Et. Gud. 530, 7. βιῴσατο Vrat. b. Mosc. 3. — 468 τρῷες L. ἐνι AD. — 470 πάθῃισι A. πάθῃσι μετὰ GH Barocc. Harl. Townl. Mosc. 3. πάθῃσιν μετὰ Zonar. Lex. 483. γρ. μετὰ Τρώεσσι A. πάθῃσιν ἐνὶ Τρώεσσιν ἢ μετὰ Τρώεσσι E 856, 22. ἐνι AD. τρῴεσσι L.

A. c. 454 ὠμησταὶ Aristarchus: ὠμῆσται Tyrannio. ἐρύουσι Aristarchus: ἐρυοῦσι Alexio. hanc futuri formam poëtae solitam indocti librarii mutaverunt in ἐρύσουσι, conf. Ξ 422, Ο 351, Ρ 235, 396, Χ 67; τανύω φ 97, 127, 174; ἀνύω Δ 56, Λ 265. — 455 ἀρίσταρχος αὐτὰρ ἔμ' εἴ κε θάνω Didymus, conf. Herod. ad 454. — 457 ἀρίσταρχος ἕλκε Didymus. — 458 δέ οἱ Aristarchus: δὲ οὗ Zenodotus — 459 ὅπως ἴδον retinui cum libris optimis, conf. Μ 208, γ 373. magis usitatum est ἐπεὶ ἴδον, conf. Δ 217, Ε 27, Λ 745, Μ 83, Ο 279, Π 427, Σ 225, Χ 236, β 155. — 466 ἀρίσταρχος ἵκετ' ἀϋτὴ Didymus, conf. Schol. V.

ὣc εἰπὼν ὃ μὲν ἦρχ', ὃ δ' ἅμ' ἕcπετο ἰcόθεοc φώc.
εὗρον ἔπειτ' Ὀδυcῆα διίφιλον· ἀμφὶ δ' ἄρ' αὐτὸν
Τρῶεc ἕπον ὡc εἴ τε δαφοινοὶ θῶεc ὄρεcφιν
ἀμφ' ἔλαφον κεραὸν βεβλημένον, ὅν τ' ἔβαλ' ἀνὴρ
ἰῷ ἀπὸ νευρῆc· τὸν μέν τ' ἤλυξε πόδεccι
φεύγων, ὄφρ' αἷμα λιαρὸν καὶ γούνατ' ὀρωρῃ·
αὐτὰρ ἐπεὶ δὴ τόν γε δαμάccεται ὠκὺc ὀϊcτόc,
ὠμοφάγοι μιν θῶεc ἐν οὔρεcι δαρδάπτουcιν
ἐν νέμεϊ cκιερῷ· ἐπί τε λῖν ἤγαγε δαίμων
cίντην· θῶεc μέν τε διέτρεcαν, αὐτὰρ ὃ δάπτει.
ὥc ῥα τότ' ἀμφ' Ὀδυcῆα δαΐφρονα ποικιλομήτην
Τρῶεc ἕπον πολλοί τε καὶ ἄλκιμοι, αὐτὰρ ὅ γ' ἥρωc
ἀΐccων ᾧ ἔγχει ἀμύνετο νηλεὲc ἦμαρ.
Αἴαc δ' ἐγγύθεν ἦλθε φέρων cάκοc ἠύτε πύργον,
cτῆ δὲ παρέξ· Τρῶεc δὲ διέτρεcαν ἄλλυδιc ἄλλοc.
ἤ τοι τὸν Μενέλαοc ἀρήιοc ἔξαγ' ὁμίλου
χειρὸc ἔχων, εἵωc θεράπων cχεδὸν ἤλαcεν ἵππουc.
Αἴαc δὲ Τρώεccιν ἐπάλμενοc εἷλε Δόρυκλον
Πριαμίδην, νόθον υἱόν, ἔπειτα δὲ Πάνδοκον οὖτα,
οὖτα δὲ Λύcανδρον καὶ Πύραcον ἠδὲ Πυλάρτην.
ὡc δ' ὁπότε πλήθων ποταμὸc πεδίον δὲ κάτειcι

V. l. 472 ὡc A. ὃ μὲν C. ὅδ' CGHL. φῶc D. — 473 εὗρεν H. ὀδυcῆα G. διῒ φίλον ACDEGHL. ἄρ DGL. ἀρ A. αὐτὸν [ωι] A. — 474 τρῷεc L. * ἕπον: libri ἕπονθ'. ὡc εἴ τε ADE: ceteri ὡcεί τε. δαφεινοὶ G. θῷεc GH. ὄρεcφι D. — 475 ἀμφέλαφον D. ὅν τ': ὅν ῥ' G Barocc. Mor. — 476 ἀπο A. ἀπὸννευρῆc L. πόδεccι ACDEGH. — 477 ὀρώρει D. — 478 ἐπειδὰν L. τόνδε H. πικρὸc ὀϊcτοc D. — 479 θῷεc GH. — 480 post τε add. man. rec. in G οἱ. λὶν L Apoll. Lex. 108, 31. λίν' Et. Mg. 567, 6. λῖν' H. ceteri λῖν cum Schol. Λ 239. Bekk. Anecd. 1231. — 481 θῷεc G. ὃ ACDGHL. — 482 ὧc ῥὰ DL. ὀδυccῆα G. ποικιλομήτιν G. ποικιλομῆτιν L 1. man. ποικιλόμητὶν Mosc. 3. — 483 τρῷεc L. ἕπον: ἕποντο DE Flor. Rom. πολλοί τ' ἄλκιμοι H. — 484 ἔγχεϊ ἀμύνεν (sic) D. — 485 ἦλθεν D. πῦργον G. post hunc add. in G Barocc. χάλκεον ἑπταβόειον, ὅ οἱ τύχιοc κάμε τεύχων, qui legitur Η 220. — 486 πὰρ' ἐξ A. τρῷεc L. τρῶεc δ' ἔτρεccαν H. — 488 χειρὸc ἑλὼν Townl — 489 τρῷεccιν L. — 490 οὗτα CDGL. — 491 οὗτα DGL. πύραccον καὶ πυλάρτην G. — 492 πεδίον δὲ D. πεδίον δε A. κάτειcι ACDEGHL.

A. c. 474 ἕπον dedi ex coniectura, ut 483 libri fere omnes exhibent, nam medio poëta non utitur, conf. H. S. pg. 108. de productione syllabae brevis in caesura semiternaria egi in Annal. Gymn. Austr. 1871, pg. 505. — 480 cκιερῷ: γλαφυρῷ Zenodotus. λῖν Herodianus: Aristarchus λὶν, conf. 239. — 492 κάτειcι: δίηται Zenodotus.

χειμάρρουc κατ' ὄρεcφιν, ὀπαζόμενοc Διὸc ὄμβρῳ,
πολλὰc δὲ δρῦc ἀζαλέαc, πολλὰc δέ τε πεύκαc
ἐcφέρεται, πολλὸν δέ τ' ἀφυcγετὸν εἰc ἅλα βάλλει,
ὣc ἔφεπε κλονέων πεδίον τότε φαίδιμοc Αἴαc,
δαΐζων ἵππουc τε καὶ ἀνέραc. οὐδέ πω Ἕκτωρ
πεύθετ', ἐπεί ῥα μάχηc ἐπ' ἀριcτερὰ μάρνατο πάcηc,
ὄχθαc πὰρ ποταμοῖο Cκαμάνδρου, τῇ ῥα μάλιcτα
ἀνδρῶν πῖπτε κάρηνα, βοὴ δ' ἄcβεcτοc ὀρώρει
Νέcτορά τ' ἀμφὶ μέγαν καὶ ἀρήιον Ἰδομενῆα.
Ἕκτωρ μὲν μετὰ τοῖcιν ὁμίλει μέρμερα ῥέζων
ἔγχεΐ θ' ἱπποcύνῃ τε, νέων δ' ἀλάπαζε φάλαγγαc·
οὐδ' ἄν πω χάζοντο κελεύθου δῖοι Ἀχαιοί,
εἰ μὴ Ἀλέξανδροc, Ἑλένηc πόcιc ἠυκόμοιο,
παῦcεν ἀριcτεύοντα Μαχάονα, ποιμένα λαῶν,
ἰῷ τριγλώχινι βαλὼν κατὰ δεξιὸν ὦμον,
τῷ ῥα περίδειcαν μένεα πνείοντεc Ἀχαιοί,
μή πώc μιν πολέμοιο μετακλινθέντοc ἕλοιεν.
αὐτίκα δ' Ἰδομενεὺc προcεφώνεε Νέcτορα δῖον·
ὦ Νέcτορ Νηληϊάδη, μέγα κῦδοc Ἀχαιῶν,
ἄγρει, cῶν ὀχέων ἐπιβήcεο, πὰρ δὲ Μαχάων
βαινέτω, ἐc νῆαc δὲ τάχιcτ' ἔχε μώνυχαc ἵππουc·
ἰητρὸc γὰρ ἀνὴρ πολλῶν ἀντάξιοc ἄλλων
ἰούc τ' ἐκτάμνειν ἐπί τ' ἤπια φάρμακα πάccειν.
ὣc ἔφατ', οὐδ' ἀπίθηcε Γερήνιοc ἱππότα Νέcτωρ.
αὐτίκα δ' ὧν ὀχέων ἐπεβήcετο, πὰρ δὲ Μαχάων

V. l. 493 κατόρεcφιν D. ὀπάζων Schol. Δ 487. — 495 δ' ἀφυcγετὸν C. — 496 ὡc A. — 497 πω δ' ἕκτωρ S. — 498 ἐπεὶ ῥὰ DL. ἐπαρϊcτερὰ H. — 499 παρ A. καμάνδρου L Harl. ῥὰ DGL. ἔνθα μάλιcτα E. — 500 πίπτε ACDEGHL. — 502 μετα A. — 503 ἔγχει θ' H. ἀλάπαζε G post ras. ἀλάπαδνε S. ἀλάπαξε φάλαγγα Et. Gud. 601, 21. — 504 πω: που L. — 506 μαχάονά τε G. — 507 κατα A. — 508 ῥὰ L. περίδειcαν L: ceteri περίδδειcαν. πνέοντεc G. — 509 μή πωc μιν ACDHL. μετακλινθέντο[ε]c A. μετακλιθέντοc CH Lips. cum aliis. — 512 παρ D. — 513 μενέτω S pro βαινέτω. τάχιcτα DG. — 514 ἰατρὸc Plato Symp. 214 B. — 516 ὡc A. — 517 ἐπεβήcατο GH. παρ CD.

A. c. 495 Aristarchus ἀφυcγετὸν: ἀφύcγετον Tyrannio. — 503 νέων pars maior grammaticorum: νεῶν Aristarchus, Alexio, Ptolemaeus Ascalonita. — 515 ἀθετεῖται Aristonicus. καὶ Ἀριcτοφάνηc προηθέτει· Ζηνόδοτοc δὲ οὐδὲ ἔγραφεν Didymus. laudant hunc versum Max. Tyr. Diss. X, 2. Stobaeus Floril. 102, 1. Pseudoplut. 157, 46.

βαῖν', Ἀσκληπιοῦ υἱός, ἀμύμονος ἰητῆρος·
μάστιξεν δ' ἵππους, τὼ δ' οὐκ ἀέκοντε πετέσθην
νῆας ἔπι γλαφυράς· τῇ γὰρ φίλον ἔπλετο θυμῷ.
Κεβριόνης δὲ Τρῶας ὀρινομένους ἐνόησεν
Ἕκτορι παρβεβαώς, καί μιν πρὸς μῦθον ἔειπεν·
"Ἕκτορ, νῶι μὲν ἐνθάδ' ὁμιλέομεν Δαναοῖσιν
ἐσχατιῇ πολέμοιο δυσηχέος· οἱ δὲ δὴ ἄλλοι
Τρῶες ὀρίνονται ἐπιμίξ, ἵπποι τε καὶ αὐτοί.
Αἴας δὲ κλονέει Τελαμώνιος· εὖ δέ μιν ἔγνων·
εὐρὺ γὰρ ἀμφ' ὤμοισιν ἔχει σάκος. ἀλλὰ καὶ ἡμεῖς
κεῖσ' ἵππους τε καὶ ἅρμ' ἰθύνομεν, ἔνθα μάλιστα
ἱππῆες πεζοί τε κακὴν ἔριδα προβαλόντες
ἀλλήλους ὀλέκουσι, βοὴ δ' ἄσβεστος ὄρωρεν.
ὣς ἄρα φωνήσας ἵμασεν καλλίτριχας ἵππους
μάστιγι λιγυρῇ· τοὶ δὲ πληγῆς ἀίοντες
ῥίμφ' ἔφερον θοὸν ἅρμα μετὰ Τρῶας καὶ Ἀχαιούς,
στείβοντες νέκυάς τε καὶ ἀσπίδας· αἵματι δ' ἄξων
νέρθεν ἅπας πεπάλακτο καὶ ἄντυγες αἱ περὶ δίφρον,
ἃς ἄρ' ἀφ' ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον
αἵ τ' ἀπ' ἐπισσώτρων. ὁ δὲ ἵετο δῦναι ὅμιλον
ἀνδρόμεον ῥῆξαί τε μετάλμενος· ἐν δὲ κυδοιμὸν
ἧκε κακὸν Δαναοῖσι, μίνυνθα δὲ χάζετο δουρός.
αὐτὰρ ὁ τῶν ἄλλων ἐπεπωλεῖτο στίχας ἀνδρῶν

V. L. 519 μάστιξε E bis G. ἵππους ACD: ἐλάαν E bis GHLS Cant. Barocc. Townl. Vrat. b. Mosc. 2. γρ. ἐλάαν A. ἀέκοντε Lips.: ἄκοντε libri mei. — 520 ἔπι A. ἐπὶ CDEGHL — 521 τρῷας L. ἐνόησε C. — — 523 δαναοῖσι DG. — 525 τρῷες L. ἐπιμὶξ D (sic). ἄλλοι C et suprascr. αὐτοί. — 528 κεῖθ' Lips. ἵππους τὲ AH. ἵππους καὶ ἅρμα L. ἅρματ' CGS Cant. Mor. Vrat. A. ἅρματα D. — 530 ὀρώρει D Lips. Townl. ὀρώρει (ε suprascr.) H. — 531 ὡς A. ἵμασε DEG. — 532 τοί: οἱ Schol. Pind. Pyth. III, 48. — 533 τρῷας L. — 535 αἳ περι A. παρὰ δίφρον Mor. — 536 ἂρ DG. ἀρ A. — 537 ἐπισώτρων GL. ἐπὶ σώτρων D. ὁ δὲ ἵετο C. — 538 ῥῆξαί τε (δ suprascr.) A. ἓν A. — 539 δ' ἐχάζετο H. — 540 ὃ ACDGHL. αὐτὰρ τῶν ἄλλων Plutarchus de Aud. poët. 6.

A. c. 528 κεῖσ': κεῖθ' Zenodotus. — 537 ἀπ' ἐπισσώτρων: οὕτως κατὰ συναλοιφὴν ἐν ταῖς Ἀριστάρχου Didymus, i. e. non ἀπὸ πισσώτρων vel ἀπ' ὀπισσώτρων, conf. Schol. A ad E 725 ἔν τισι γρ. ὀπίσσωτρα διὰ τοῦ ō, quam lectionem servant A Syr. Υ 394; D Ψ 505; A Ψ 519. „Quaeres: quomodo ergo alii legerunt? Scilicet ἐπισσοότρων" Heynius, male. — 538 οὕτως ἀρίσταρχος ῥῆξαι τε διὰ τοῦ τε̄ Didymus. — 539 ἀρίσταρχος δουρὶ κατὰ δοτικήν Didymus.

ἔγχεϊ τ' ἄορί τε μεγάλοισί τε χερμαδίοισιν,
Αἴαντος δ' ἀλέεινε μάχην Τελαμωνιάδαο.
[Ζεὺς γάρ οἱ νεμεσᾶθ', ὅτ' ἀμείνονι φωτὶ μάχοιτο.]
Ζεὺς δὲ πατὴρ Αἴανθ' ὑψίζυγος ἐν φόβον ὦρσε·
στῆ δὲ ταφών, ὄπιθεν δὲ σάκος βάλεν ἑπταβόειον,
τρέσσε δὲ παπτήνας ἐφ' ὁμίλου, θηρὶ ἐοικώς,
ἐντροπαλιζόμενος, ὀλίγον γόνυ γουνὸς ἀμείβων.
ὡς δ' αἴθωνα λέοντα βοῶν ἀπὸ μεσσαύλοιο
ἐσσεύαντο κύνες τε καὶ ἀνέρες ἀγροιῶται,
οἵ τέ μιν οὐκ εἰῶσι βοῶν ἐκ πῖαρ ἑλέσθαι
πάννυχοι ἐγρήσσοντες· ὁ δὲ κρειῶν ἐρατίζων
ἰθύει, ἀλλ' οὔ τι πρήσσει· θαμέες γὰρ ἄκοντες
ἀντίον ἀίσσουσι θρασειάων ἀπὸ χειρῶν,
καιόμεναί τε δεταί, τάς τε τρεῖ ἐσσυμενός περ·
ἠῶθεν δ' ἀπὸ νόσφιν ἔβη τετιηότι θυμῷ·
ὣς Αἴας τότ' ἀπὸ Τρώων τετιημένος ἦτορ
ἤιε, πόλλ' ἀέκων· περὶ γὰρ δίε νηυσὶν Ἀχαιῶν.
ὡς δ' ὅτ' ὄνος παρ' ἄρουραν ἰὼν ἐβιήσατο παῖδας
νωθής, ᾧ δὴ πολλὰ περὶ ῥόπαλ' ἀμφὶς ἐάγῃ,
κείρει τ' εἰσελθὼν βαθὺ λήιον· οἱ δέ τε παῖδες
τύπτουσιν ῥοπάλοισι· βίη δέ τε νηπίη αὐτῶν·

V. L. 544 omittunt libri: laudant Aristoteles Rhet. II, 9 (νεμέσασχ'). Plutarchus de Aud. Poët. 6, 14 (γάρ τοι νεμεσᾷ .... μάχοιο). Pseudoplut. 137, 35 (de Vita et poësi Homeri II, 132). — 544 αἴαντι EL. ὑψίζυγος A. ἐς φόβον G. ὦρσε ACEGH. — 545 ὄπισθεν G. ὄπισθε E. σάκος θέτο L. hunc versum omitt. H. — 546 τρέσε G. — 548 ἄπο A. μεσαύλοιο DG Apollon. Lex. 13, 27. — 549 ἐσσεύοντο ACDEGHLS. κῦνες GH. τὲ A. — 550 οἵ τέ μιν ACEH. οἱτέ μιν D. ceteri οἵτε μιν. πίαρ DG. — 551 παννύχιοι L. ἐγρήσοντες DL. ὃ δὲ C. — 552 πρήσει D. πράσσῃ G. — 553 ἀντίον CDGL Mor. Harl. Vrat. b. ἀντίοι AEHS, conf. P 662. — 555 ἀπὸ νόσφιν CDEL. ἀπὸ νόσφι G. vulgo ἀπονόσφι. — 556 ὡς A. τρώων L. — 557 ἀέκων A. πέρι L. δῖεν G. — 558 ὥς δ' G. — 559 νωθεῖς G. πέρι G. — 560 βαθυλήϊον D. — 561 τύπτουσι DEG. βίη δέ τε νηπίη GH.

A. c. 546 ἀριστοφάνης δι' ὅμιλον Didymus. — 548—557 Ζηνόδοτος ἀθετεῖ Aristonicus. — 549 οὕτως διὰ τοῦ ō ἐσσεύοντο Didymus, haud dubie falsus, nam Aristarchum fugere non potuit, in comparatione imperfecto locum non esse, sed aoristo. ad similem locum O 272, ubi libri mei omnes ἐσσεύοντο exhibent, idem Didymus adnotavit ἀρίσταρχος ἐσσεύαντο διὰ τοῦ ᾱ καὶ ἅπασαι, quem secutus et hoc loco ἐσσεύαντο scripsi, quod recentiores editores auctore G. Hermanno Opusc. II, 49 receperunt. — 551 κρειῶν Herodianus. — 553 ἀρίσταρχος διὰ τοῦ ν ἀντίον Didymus. — 555 ἀπὸ νόσφιν, conf. H. U. 88.

ϲπουδῇ τ' ἐξήλαϲϲαν, ἐπεί τ' ἐκορέϲϲατο φορβῆϲ·
ὣϲ τότ' ἔπειτ' Αἴαντα μέγαν, Τελαμώνιον υἱόν,
Τρῶεϲ ὑπέρθυμοι πολυηγερέεϲ τ' ἐπίκουροι
νύϲϲοντεϲ ξυϲτοῖϲι μέϲον ϲάκοϲ αἰὲν ἕποντο.
Αἴαϲ δ' ἄλλοτε μὲν μνηϲάϲκετο θούριδοϲ ἀλκῆϲ
αὖτιϲ ὑποϲτρεφθείϲ, καὶ ἐρητύϲαϲκε φάλαγγαϲ
Τρώων ἱπποδάμων· ὁτὲ δὲ τρωπάϲκετο φεύγειν.
πάνταϲ δὲ προέεργε θοὰϲ ἐπὶ νῆαϲ ὁδεύειν,
αὐτὸϲ δὲ Τρώων καὶ Ἀχαιῶν θῦνε μεϲηγὺ
ἱϲτάμενοϲ· τὰ δὲ δοῦρα θραϲειάων ἀπὸ χειρῶν
ἄλλα μὲν ἐν ϲάκεϊ μεγάλῳ πάγεν ὄρμενα πρόϲϲω,
πολλὰ δὲ καὶ μεϲϲηγύ, πάροϲ χρόα λευκὸν ἐπαυρεῖν,
ἐν γαίῃ ἵϲταντο, λιλαιόμενα χροὸϲ ἆϲαι.
τὸν δ' ὡϲ οὖν ἐνόηϲ' Εὐαίμονοϲ ἀγλαὸϲ υἱὸϲ
Εὐρύπυλοϲ πυκινοῖϲι βιαζόμενον βελέεϲϲι,
ϲτῆ ῥα παρ' αὐτὸν ἰών, καὶ ἀκόντιϲε δουρὶ φαεινῷ,
καὶ βάλε Φαυϲιάδην Ἀπιϲάονα, ποιμένα λαῶν,
ἧπαρ ὑπὸ πραπίδων, εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυϲεν.
Εὐρύπυλοϲ δ' ἐπόρουϲε καὶ αἴνυτο τεύχε' ἀπ' ὤμων.
τὸν δ' ὡϲ οὖν ἐνόηϲεν Ἀλέξανδροϲ θεοειδὴϲ
τεύχε' ἀπαινύμενον Ἀπιϲάονοϲ, αὐτίκα τόξον
ἕλκετ' ἐπ' Εὐρυπύλῳ, καί μιν βάλε μηρὸν ὀιϲτῷ

V. l. 562 ϲπουδῇ τ' ACD(ϲπουδὴ)EGH et Heynii libri. ϲπουδῇ δ' L, ita Dindorf. Spitzner. ἐξήλαϲαν E. ἐξέλαϲϲαν G. ἐξήλαϲϲε D. ἐπί τε κορέϲϲατο D. ἐκορέϲατο E. — 563 ὥϲ A. — 564 τρῷεϲ L. πολυηγερέεϲ: τηλεκλειτοί A Ambr. DH.τηλεκλητοί GLS Cant. Mor. Townl. man. rec. τηλεκλ[η]εῖτοί C, conf. Ζ 111. — 565 ξΰϲτοῖϲϊν H. ξυϲτοῖϲ μέϲϲον L. — 567 αὖθιϲ CL Lips. ὑποϲτραφεὶϲ G. — 568 τρῴων L. ὅτε L. ὅτὲ C et D ex corr. man. rec., uterque ὅτε 1. man. φεύγειν ACDGLS. φεύγ[ων]ειν H. φεύγειν ἢ φεύγων E. φεύγων Townl. — 569 ἐπι A. — 570 τρῴων L. θύνε DH. — 571 ἀπο A. — 572 ὅρμενα CDGH. — 573 πολλά δε D. μεϲηγὺ CD. χρόα καλὸν Mosc. 3. Rhet. Gr. III, 246, 11, conf. Ο 316. — 575 ἐνόηϲεν CDHL. εὐδαίμονοϲ Lips. — 576 πυκνοῖϲι Cant. βελέεϲϲι ADGH. — 577 ῥὰ DGL. — 578 φαϲιάδην G Barocc. Townl. — 579 ὕπο AD. — 583 ἕλκετ' AGLS Cant. Vrat. A. εἷλκε τ' Vrat. b. Mosc. 3. εἷλκεν CDH. ἐν ἄλλῳ εἷλκεν ἐπευρυπύλωι A.

A. c. 562 ἐκορέϲϲατο Schol. V. — 564 ἀρίϲταρχοϲ πολυηγενέεϲ (sic) τ' ἐπίκουροι Didymus. recte Schol. V πολυηγερέεϲ, ἐκ πολλῶν ἀγερθέντεϲ. — 568 φεύγειν, conf. Μ 32 ποταμοὺϲ ἔτρεψε νέεϲθαι. δ 260 κραδίη τέτραπτο νέεϲθαι. — 583 ἕλκετ', conf. Α 194, 210 et τόξα τιταίνεϲθαι Ε 97, Λ 370, φ 259.

δεξιόν· ἐκλάϲθη δὲ δόναξ, ἐβάρυνε δὲ μηρόν.
ἂψ δ' ἑτάρων εἰϲ ἔθνοϲ ἐχάζετο κῆρ' ἀλεείνων,
ἤυϲεν δὲ διαπρύϲιον Δαναοῖϲι γεγωνώϲ·
ὦ φίλοι, Ἀργείων ἡγήτορεϲ ἠδὲ μέδοντεϲ,
ϲτῆτ' ἐλελιχθέντεϲ καὶ ἀμύνετε νηλεὲϲ ἦμαρ
Αἴανθ', ὃϲ βελέεϲϲι βιάζεται· οὐδέ ἕ φημι
φεύξεϲθ' ἐκ πολέμοιο δυϲηχέοϲ. ἀλλὰ μάλ' ἄντην
ἵϲταϲθ' ἀμφ' Αἴαντα μέγαν, Τελαμώνιον υἱόν.
ὣϲ ἔφατ' Εὐρύπυλοϲ βεβλημένοϲ· οἳ δὲ παρ' αὐτὸν
πληϲίοι ἔϲτηϲαν, ϲάκε' ὤμοιϲι κλίναντεϲ,
δούρατ' ἀναϲχόμενοι. τῶν δ' ἀντίοϲ ἤλυθεν Αἴαϲ,
ϲτῆ δὲ μεταϲτρεφθείϲ, ἐπεὶ ἵκετο ἔθνοϲ ἑταίρων.
ὣϲ οἳ μὲν μάρναντο δέμαϲ πυρὸϲ αἰθομένοιο·
Νέϲτορα δ' ἐκ πολέμοιο φέρον Νηλήιαι ἵπποι
ἱδρῶϲαι, ἦγον δὲ Μαχάονα, ποιμένα λαῶν.
τὸν δὲ ἰδὼν ἐνόηϲε ποδάρκηϲ δῖοϲ Ἀχιλλεύϲ·
ἑϲτήκει γὰρ ἐπὶ πρυμνῇ μεγακήτεϊ νηί,
εἰϲορόων πόνον αἰπὺν ἰῶκά τε δακρυόεϲϲαν.
αἶψα δ' ἑταῖρον ἑὸν Πατροκλῆα προϲέειπε
φθεγξάμενοϲ παρὰ νηόϲ· ὃ δὲ κλιϲίηθεν ἀκούϲαϲ
ἔκμολεν ἶϲοϲ Ἄρηι, κακοῦ δ' ἄρα οἱ πέλεν ἀρχή.
τὸν πρότεροϲ προϲέειπε Μενοιτίου ἄλκιμοϲ υἱόϲ·
τίπτέ με κικλήϲκειϲ Ἀχιλεῦ; τί δέ ϲε χρεὼ ἐμεῖο;
τὸν δ' ἀπαμειβόμενοϲ προϲέφη πόδαϲ ὠκὺϲ Ἀχιλλεύϲ·

V. l. 586 ἤϋϲε G et 2. man. δὴ pro δὲ. — 588 ἀμύνατε Harl. ἦμαρ D. — 589 Αἴαντι E. αἴανθ[τι]' A, conf. 544. οὐδέ ἑ φημὶ ACDEGHL. — 590 φεύξαϲθ' Lips. Mosc. 3. φεύξεϲθαι L. — 592 ὥϲ A. οἱ δὲ C. αὐτῶι D. — 593 ἑϲτηϲαν A. ἔϲτηϲαν CDEL. ἔϲτ[η]αϲαν G. ἔϲταϲαν Townl. Mosc. 3. Flor. ἔϲταϲαν H. ὤμοιϲι C. — 594 ἀντίοϲ libri mei. ἐν ἄλλῳ τῶν δὲ ϲχεδὸν ἤλυθεν αἴαϲ A. ἦλθεν C 1. man. — 595 μεταϲτραφθεὶϲ G. — 596 οἳ μὲν C. μάρνατο H. — 597 φέρων L. ΝΗΛΗΪΟΙ Ambros. νηλήϊοι L Townl. 1. man. — 600 εἰϲτήκει ACDEGHLS. πρύμνῃ libri. — 601 ἰῶκα τὲ L. — 602 προϲέειπε ACE Rhet. Gr. III, 203, 17. — 604 ἶϲοϲ D. ΑΡΧΗΙ Ambros. — 606 τίπτέ με ACHL. ἀχιλλεῦ DEG. πῆ δέ ϲε χρειὼ ἐμεῖο G. τί δέ τε E. τί δὲ χρειὼ L. ЄΜΟΙΟ Ambros. — 607 ἀχϊλεύϲ C. τὸν δ' ἠμείβετ' ἔπειτα ποδάρκηϲ δῖοϲ ἀχιλλεύϲ G Mor. Barocc.

A. c. 589 Αἴανθ' ὃϲ: Αἴαντοϲ Zenodotus. — 597 Νηλήιαι: alii Νηλήιον teste Schol. V. — 600 ἀρίϲταρχοϲ ἑϲτήκει Didymus. — 601 ὅτι τινὲϲ γράφουϲιν ἰῶ, εἶτα καταδακρυόεϲϲαν Aristonicus.

δὶε Μενοιτιάδη, τῷ ἐμῷ κεχαριcμένε θυμῷ,
νῦν ὀίω περὶ γούνατ' ἐμὰ cτήcεcθαι 'Αχαιοὺc
λιccομένουc· χρειὼ γὰρ ἱκάνεται οὐκέτ' ἀνεκτόc.
ἀλλ' ἴθι νῦν Πάτροκλε διίφιλε Νέcτορ' ἔρειο,
ὅν τινα τοῦτον ἄγει βεβλημένον ἐκ πολέμοιο.
ἤ τοι μὲν τά γ' ὄπιcθε Μαχάονι πάντα ἔοικε
τῷ 'Αcκληπιάδῃ, ἀτὰρ οὐκ ἴδον ὄμματα φωτόc·
ἵπποι γάρ με παρήϊξαν πρόccω μεμαυῖαι.
ὣc φάτο, Πάτροκλοc δὲ φίλῳ ἐπεπείθεθ' ἑταίρῳ,
βῆ δὲ θέειν παρά τε κλιcίαc καὶ νῆαc 'Αχαιῶν.
οἱ δ' ὅτε δὴ κλιcίην Νηληιάδεω ἀφίκοντο,
αὐτοὶ μέν ῥ' ἀπέβηcαν ἐπὶ χθόνα πουλυβότειραν,
ἵππουc δ' Εὐρυμέδων θεράπων λύε τοῖο γέροντοc
ἐξ ὀχέων· τοὶ δ' ἱδρῶ ἀπεψύχοντο χιτώνων
cτάντε ποτὶ πνοιὴν παρὰ θῖν' ἁλόc· αὐτὰρ ἔπειτα
ἐc κλιcίην ἐλθόντεc ἐπὶ κλιcμοῖcι καθῖζον.
τοῖcι δὲ τεῦχε κυκειῶ ἐϋπλόκαμοc 'Εκαμήδη,
τὴν ἄρετ' ἐκ Τενέδοιο γέρων, ὅτε πέρcεν 'Αχιλλεύc,
θυγατέρ' 'Αρcινόου μεγαλήτοροc, ἥν οἱ 'Αχαιοὶ
ἔξελον, οὕνεκα βουλῇ ἀριcτεύεcκεν ἁπάντων.
ἥ cφωιν πρῶτον μὲν ἐπιπροΐηλε τράπεζαν

V. L. 608 τῷ ἐμῷ GH: τῷ' μῷ CE Plutarchus de Aud. poët. 13. τῶ' μῶ AL. ΤΩΙ ΜΩΙ Ambros. τῶι μῶι D. τὠμῷ S Et. Mg. 657, 26. τὠμῷ Apoll. de Synt. 126, 18. — 609 οἴω CDEL. ΟΙΩΙ Ambros. — 610 ἀνεκτόc ADEHL: ἀνεκτή CG Vrat. b. man. sec. — 611 διῒ φίλε ACD GHL. ἔροιο Ammon. de Diff. s. v. ἐρωτᾶν. — 613 ὄπιcθεν G. ἔοικε AC DGH Schol. A 299. — 614 αὐτὰρ H. εἶδον CG. — 615 omitt. Townl. 1. man. παρήϊcαν S. πρόcω DG. — 616 ὡc A. — 617 θέειν: ἐν ἄλλῳ βῆ δ' ἰέναι A. νῆαc ἐΐcαc CH Lips. Ven. B. — 618 οἵδ' CGL. ἀλλ' ὅτε H. — 619 μέν ῥ': μὲν E. πολυβότειραν D. — 621 ἐξοχέων D. τοὶ δ' ACD Harl. Mosc. 3. οἳ δ' LS. οἵδ' H. οἱ δ' EG. — 622 cτᾶν δὲ CH. ποτι D. πνοιῆι C. πνοὴν E. — 623 κάθιζον CDGHL. — 624 κυκεῶ D. ἐϋπλόκαμοc A. εὐπλόκαμοc EGH. — 625 ὅτε πέρcεν CEL: ὅτ' ἔπερcεν ADGHS Harl. Mosc. 3. — 626 ἣν οἱ G. οἱ omitt. L. οἱ, ἀχαιοὶ A. — 628 cφωϊν ADH Apoll. Lex. 135, 14. cφῶϊν CEL Athenaeus XI, 492. cφῶϊ G.

A. c. 608 τῷ ἐμῷ: τῷ' μῷ, conf. H. U. 287. — 610 ἀνεκτόc Herodianus cum Aristarcho, conf. K 118. — 622 οὕτωc διὰ τοῦ τέ cτάν τε Didymus. τε δυϊκῶc Schol. V. lectio Aristarchea erat cτάν τε, aliorum cτὰν δέ, nam si cτάντε scripsisset δυϊκῶc, non opus erat illud adnotare, quum pluralem cτάντεc versus non admittat. — 625 ὅτε πέρcεν, conf. H. U. 86 sq. — 627 ἥ cφωϊν Herodianus.

καλὴν κυανόπεζαν ἐΰξοον, αὐτὰρ ἐπ' αὐτῆc
χάλκειον κάνεον, ἐπὶ δὲ κρόμυον, ποτῷ ὄψον,
ἠδὲ μέλι χλωρόν, παρὰ δ' ἀλφίτου ἱεροῦ ἀκτήν,
πὰρ δὲ δέπαc περικαλλέc, ὃ οἴκοθεν ἦγ' ὁ γεραιόc,
χρυcείοιc ἥλοιcι πεπαρμένον· οὔατα δ' αὐτοῦ
τέccαρ' ἔcαν, δοιαὶ δὲ πελειάδεc ἀμφὶc ἕκαcτον
χρύcειαι νεμέθοντο, δύω δ' ὑπὸ πυθμένεc ἦcαν.
ἄλλοc μὲν μογέων ἀποκινήcαcκε τραπέζηc
πλεῖον ἐόν, Νέcτωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν.
ἐν τῷ ῥά cφι κύκηcε γυνὴ εἰκυῖα θεῇcιν
οἴνῳ Πραμνείῳ, ἐπὶ δ' αἴγειον κνῆ τυρὸν
κνήcτι χαλκείῃ, ἐπὶ δ' ἄλφιτα λευκὰ πάλυνε,
πινέμεναι δὲ κέλευcεν, ἐπεί ῥ' ὥπλιccε κυκειῶ.
τὼ δ' ἐπεὶ οὖν πίνοντ' ἀφέτην πολυκαγκέα δίψαν,
μύθοιcιν τέρποντο πρὸc ἀλλήλουc ἐνέποντεc.
Πάτροκλοc δὲ θύρῃcιν ἐφίcτατο, ἰcόθεοc φώc.
τὸν δὲ ἰδὼν ὁ γεραιὸc ἀπὸ θρόνου ὦρτο φαεινοῦ,

V. L. 629 κυανόπεζαν A. ἐπαυτῆc A. αὐτῆc CDHL Lips. Athen. XI, 492. αὐτῇ EGS. γρ. ἐπ' αὐτῇ A. — 630 χάλκεον D. κυάνεον G. ἐπι D. — 631 ἠδὲ: πὰρ δὲ Apollon. Lex. 168, 12. οἱ μὲν ἀλφίτου ἱεροῦ γράφουcιν ἀκτήν, οἱ δὲ ἱερὸν ἀκτήν E 868, 29. — 632 παρ CD. γηραιὸc G. — 634 πελίαδεc D. ἀμφὶ CS. — 635 ὑποπυθμένεc CD 1. man. H Athenaeus XI, 492. ὕπο πυθμένεc Athen. XI, 491. ceteri ὑπὸ πυθμένεc cum Apoll. Lex. 161, 1. — 640 κνήcτι ACDE Athen. XI, 492. Suidas II, 1, 302, 17; 304, 20. Apoll. Lex. 101, 5. Et. Gud. 330, 33. Zonar. Lex. 1224. κνῆcτι L. κνήcτῃ G. κνήcτεϊ H. κνήcτει (cτι) S. κνήcτει Phot. Lex. 227. Suidas II, 1, 1043, 5. κνήcτεϊ Et. Mg. 522, 16. χαλκείῳ Et. Gud. 330, 33. ἐπι DH. λευκὰ πάλυνε CEGH Athenaeus XI, 492. λευκὰ πάλυνεν DL. γρ. λευκὰ πάλυνε A. λευκ" ἐπάλυνε A. hunc versum laudat Plato in Ione 538 C κνήcτι χαλκείῃ, παρὰ δὲ κρόμυον ποτῷ ὄψον. — 641 δὲ κέλευcεν L: vulgo δ' ἐκέλευcεν. δ' ἐκέλευεν H Athenaeus l. l. ὥπλιcε GES. κυκεῶ G. — 643 μύθοιcι DGL. — 645 τόνδε G. ἄπο H.

A. c. 632 διχῶc ἀρίcταρχοc ἦγ' (Cod. ειγ') ὁ γεραιὸc, καὶ εἶχ' ὁ γεραιόc Didymus. — 635 ὑπὸ πυθμένεc Alexio cum Aristarcho: alii ὑποπυθμένεc, quam scripturam defendit Athenaeus XI, 492 contra Dionysium Thracem, quem κατὰ διαίρεcιν ἀναγνῶναι tradidit, conf. Eust. 869, 5 sqq. — 636 ἄλλοc Ptolem. Ascalonita et Herodianus cum Aristarcho: alii ἄλλοc vel ὤλλοc, rursus alii ἀλλ' ὃc (de Machaone), quibus adversatur Athenaeus XI, 493. — 639 κνῆ: τινὲc τῶν 'Αριcταρχείων ἐκδόcεων „κνέε τυρόν" λέγουcι κατὰ διάλυcιν Eust. 872, 18. — 640 κνήcτι: τινὲc δὲ καὶ διὰ διφθόγγου γράφουcιν ἐκ τοῦ κνῆcτιc κνήcτεωc 'Αττικῶc Eust. 872, 1, male, conf. similes formas dativi Z 335, C 407, Ψ 315, 316, 318, 560, Ω 18, γ 381, λ 191, ν 299. — 641 κυκειῶ Herodianus

ἐc δ' ἄγε χειρὸc ἑλῶν, κατὰ δ' ἑδριάαcθαι ἄνωγε.
Πάτροκλοc δ' ἑτέρωθεν ἀναίνετο εἶπέ τε μῦθον·
οὐχ ἕδοc ἐcτὶ γεραιὲ διοτρεφέc, οὐδέ με πείcειc.
αἰδοῖοc νεμεcητὸc ὅ με προέηκε πυθέcθαι,
ὅν τινα τοῦτον ἄγειc βεβλημένον· ἀλλὰ καὶ αὐτὸc
γιγνώcκω, ὁρόω δὲ Μαχάονα, ποιμένα λαῶν.
νῦν δὲ ἔποc ἐρέων πάλιν ἄγγελοc εἶμ' Ἀχιλῆι.
εὖ δὲ cὺ οἶcθα γεραιὲ διοτρεφέc, οἷοc ἐκεῖνοc
δεινὸc ἀνήρ· τάχα κεν καὶ ἀναίτιον αἰτιόῳτο.
τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιοc ἱππότα Νέcτωρ·
τίπτέ τ' ἄρ' ὧδ' Ἀχιλεὺc ὀλοφύρεται υἷαc Ἀχαιῶν,
ὅccοι δὴ βέλεcιν βεβλήαται; οὐδέ τι οἶδε
πένθεοc, ὅccον ὄρωρε κατὰ cτρατόν· οἱ γὰρ ἄριcτοι
ἐν νηυcὶν κέαται βεβλημένοι οὐτάμενοί τε.
βέβληται μὲν ὁ Τυδεΐδηc, κρατερὸc Διομήδηc,
οὔταcται δ' Ὀδυcεὺc δουρὶ κλυτὸc ἠδ' Ἀγαμέμνων·
[βέβληται δὲ καὶ Εὐρύπυλοc κατὰ μηρὸν ὀϊcτῷ·]
τοῦτον δ' ἄλλον ἐγὼ νέον ἤγαγον ἐκ πολέμοιο
ἰῷ ἀπὸ νευρῆc βεβλημένον. αὐτὰρ Ἀχιλλεὺc
ἐcθλὸc ἐὼν Δαναῶν οὐ κήδεται οὐδ' ἐλεαίρει.
ἦ μένει εἰc ὅ κε δὴ νῆεc θοαὶ ἄγχι θαλάccηc
Ἀργείων ἀέκητι πυρὸc δηΐοιο θέρωνται,
αὐτοί τε κτεινώμεθ' ἐπιcχερώ; οὐ γὰρ ἐμὴ ἲc
ἔcθ' οἵη πάροc ἔcκεν ἐνὶ γναμπτοῖcι μέλεccιν.
εἴθ' ὧc ἡβώοιμι βίη τέ μοι ἔμπεδοc εἴη,

V. L. 646 κατα CDL. ἄνωγε ACE. — 647 εἶπε τὲ L. — 648 διοτροφὲc G 1. man. H. πείcηc Townl. — 649 προέηκε A. — 651 γιγνώcκω L: γινώcκω ACDGH. — 652 νῦν δ' GL. ἔποc ἐξερέων L. — 653 διοτροφὲc G 1. man. H. — 654 τάχά CD. ἀνήρ, οἷοc καὶ ἀναίτιον αἰτιάαcθαι Plutarchus de Adul. et amico 26. — 656 τίπτ' GL, omisso τ'. ἄρ CDGL. ἀρ A. τὰρ H. ὧιδ' D. ἀχιλλεὺc EGH. — 657 βέλεcι D. βελέεccι S. οὐ δέ τι A. οἶδε ACDH. — 658 πένθοc D. κατα D. — 659 νηυcὶ DE. — 661 οὔταται S. ὀδυccεὺc DEG. δουρὶ κλυτὸc unus A. — 662 omitt. ACDEHL Lips.: habent C in marg. man. rec. D in marg. 3. man. GS et si Heynio fides est habenda omnes libri eius praeter Lips. — 664 ἀχῖλεὺc C. — 666 ἢ CGL Townl. ἠ A. εἰcόκε omnes. — 667 δήοιο H. δηοῖο Mosc. 3. δηοῖο Lips. — 668 κτεινώμεθα G. ἐπὶ cχερὼ C. ἐπιcχερῷ G. ἐμοὶ ἶc G Barocc. Mor. — 669 γναπτοῖcι G et un. Vrat. μέλεccι D. — 670 ὡc A. τέ μοι ADEH Eust. 885, 33, conf. Ψ 629. vulgo δέ μοι ut H 157.

A. c. 650 ἄγειc Aristarchus. — 652 πάλιν ἄγγελοc Aristarchus, Alexio, Ptolemaeus Ascalonita: alii παλινάγγελοc. — 659 οὐτάμενοι Aristarchus: Pamphilus οὐταμένοι.

ὡc ὁπότ' Ἠλείοιcι καὶ ἡμῖν νεῖκοc ἐτύχθη
ἀμφὶ βοηλαcίῃ, ὅτ' ἐγὼ κτάνον Ἰτυμονῆα,
ἐcθλὸν Ὑπειροχίδην, ὃc ἐν Ἤλιδι ναιετάαcκε,
ῥύcι' ἐλαυνόμενοc. ὃ δ' ἀμύνων ᾗcι βόεccιν
ἔβλητ' ἐν πρώτοιcιν ἐμῆc ἀπὸ χειρὸc ἄκοντι,
κὰδ δ' ἔπεcεν, λαοὶ δὲ περίτρεcαν ἀγροιῶται.
ληΐδα δ' ἐκ πεδίου cυνελάccαμεν ἤλιθα πολλήν,
πεντήκοντα βοῶν ἀγέλαc, τόcα πώεα οἰῶν,
τόccα cυῶν cυβόcια, τόc' αἰπόλια πλατέ' αἰγῶν,
ἵππουc δὲ ξανθὰc ἑκατὸν καὶ πεντήκοντα,
πάcαc θηλείαc, πολλῇcι δὲ πῶλοι ὑπῆcαν.
καὶ τὰ μὲν ἠλαcάμεcθα Πύλον Νηλήιον εἴcω
ἐννύχιοι προτὶ ἄcτυ· γεγήθει δὲ φρένα Νηλεύc,
οὕνεκά μοι τύχε πολλὰ νέῳ πόλεμον δὲ κιόντι.
κήρυκεc δ' ἐλίγαινον ἅμ' ἠοῖ φαινομένηφι
τοὺc ἴμεν, οἷcι χρεῖοc ὀφείλετ' ἐν Ἤλιδι δίῃ·
οἱ δὲ cυναγρόμενοι Πυλίων ἡγήτορεc ἄνδρεc
δαίτρευον· πολέcιν γὰρ Ἐπειοὶ χρεῖοc ὄφειλον,
ὡc ἡμεῖc παῦροι κεκακωμένοι ἐν Πύλῳ ἦμεν.
ἐλθὼν γάρ ῥ' ἐκάκωcε βίη Ἡρακληείη

V. L. 672 ἀμφι D. βοηλαcίηc D Vrat. b. A. βοηλαcίηc (αν) S. — 673 ὑπεροχίδην C Lips. ναιετάαcκε ACEGH. — 674 ῥύcει H. ὅδ' CGHL. οἷcι Mor. — 675 ἀπο A. ὑπὸ L. — 676 καδδ' ACGHL. καδδέπεcεν D. ἔπεcε E. — 677 cυνελάcαμεν DG. — 678 τόccα G. μήλων L et γρ. οἰῶν. — 679 cυβόcια ACEGHS Apoll. Lex. 146, 7. Strabo VIII, 351. Zonar. Lex. 1688. Hesych. IV, 89. cυβώcια D. cυβόcεια L Townl., quod probat Thiersch. Gramm. § 147, 11. conf. Ξ 101. — 680 ἵππουc τε G. — 681 πολλαῖcι G. πωλῆιcι D. ὑπῆcαν: ὑπῆρχον L. — 182 ὡc τὰ E. ἠλαcάμεθα G. — 683 προτὶ ACDEG. πρὸ τὶ H. ποτὶ LS. γέγηθε DG. — 684 πόλεμον δὲ A. — 685 δὲ λίγαινον DES. φαινομένηφι AD. φαινομένηφι CEGH. — 686 χρέωc A. χρέοc DEG Mosc. 3. χρε[illegible]οc C. ὠφείλετ' D Mos. 3. ὠφείλετ' (ο) H. — 687 οἳ δὲ C. — 688 πολέcι EG. πολλεcῖν C. ὄφειλον ADHL: ὄφελλον CE Barocc. ὄφειλλον G. — 689 ὧc DEGHL. — 690 γάρ ῥ' ADE: γὰρ ἐκάκωcε CGHLS Lips. Cant. Ven. B. Vrat. b. A. Flor. Rom. βίη ἡρακληείη H.

A. c. 672 ἀρίcταρχοc ἑνικῶc βοηλαcίῃ Didymus. — 677 Aristarchus ληῖδα: λήιδα Menecrates. — 686 οὕτωc ἀρίcταρχοc χρεῶc (sic) Didymus. Ἀριcτοφάνηc δὲ χρεῖοc καὶ ὠφείλετο Schol. A. hoc falsum esse nemo non videt, nam χρεῖοc ὠφείλετ' versus non minus recusat, quam χρέωc ὀφείλετ', quod est in Cod. A. differt scriptura inter χρέωc ὠφείλετ' et χρεῖοc ὀφείλετ': illud est Aristarchi, hoc Aristophanis. — 688 ὄφειλον: οὕτωc ἀρίcταρχοc, ἄλλοι δὲ ὄφελλον Didymus. — 689 ὡc Aristarchus: alii ὥc, utrumque Nicanor, sed praefert ὡc. Πύλῳ: alii ἐν πόλει ἦμεν teste Schol. D. — 690 γάρ ῥ': γὰρ, conf. Β 39, Ξ 30, Ρ 403, ε 321, φ 32, Annal. Gymn. Austr. 1871, 506.

ἐς δ᾽ ἄγε χειρὸς ἑλών, κατὰ δ᾽ ἑδριάασθαι ἄνωγε.
Πάτροκλος δ᾽ ἑτέρωθεν ἀναίνετο εἶπέ τε μῦθον·
οὐχ ἕδος ἐστὶ γεραιὲ διοτρεφές, οὐδέ με πείσεις.
αἰδοῖος νεμεσητὸς ὅ με προέηκε πυθέσθαι,
ὅν τινα τοῦτον ἄγεις βεβλημένον· ἀλλὰ καὶ αὐτὸς
γιγνώσκω, ὁρόω δὲ Μαχάονα, ποιμένα λαῶν.
νῦν δὲ ἔπος ἐρέων πάλιν ἄγγελος εἶμ᾽ Ἀχιλῆι.
εὖ δὲ σὺ οἶσθα γεραιὲ διοτρεφές, οἷος ἐκεῖνος
δεινὸς ἀνήρ· τάχα κεν καὶ ἀναίτιον αἰτιόῳτο.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
τίπτέ τ᾽ ἄρ᾽ ὧδ᾽ Ἀχιλεὺς ὀλοφύρεται υἷας Ἀχαιῶν,
ὅσσοι δὴ βέλεσιν βεβλήαται; οὐδέ τι οἶδε
πένθεος, ὅσσον ὄρωρε κατὰ στρατόν· οἱ γὰρ ἄριστοι
ἐν νηυσὶν κέαται βεβλημένοι οὐτάμενοί τε.
βέβληται μὲν ὁ Τυδείδης, κρατερὸς Διομήδης,
οὔτασται δ᾽ Ὀδυσεὺς δουρὶ κλυτὸς ἠδ᾽ Ἀγαμέμνων·
[βέβληται δὲ καὶ Εὐρύπυλος κατὰ μηρὸν ὀιστῷ·]
τοῦτον δ᾽ ἄλλον ἐγὼ νέον ἤγαγον ἐκ πολέμοιο
ἰῷ ἀπὸ νευρῆς βεβλημένον. αὐτὰρ Ἀχιλλεὺς
ἐσθλὸς ἐὼν Δαναῶν οὐ κήδεται οὐδ᾽ ἐλεαίρει.
ἦ μένει εἰς ὅ κε δὴ νῆες θοαὶ ἄγχι θαλάσσης
Ἀργείων ἀέκητι πυρὸς δηίοιο θέρωνται,
αὐτοί τε κτεινώμεθ᾽ ἐπισχερώ; οὐ γὰρ ἐμὴ ἲς
ἔσθ᾽ οἵη πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν.
εἴθ᾽ ὣς ἡβώοιμι βίη τέ μοι ἔμπεδος εἴη,

V. ι. 646 κατα CDL. ἄνωγε ACE. — 647 εἶπε τὲ L. — 648 διοτροφὲς G 1. man. H. πείσῃς Townl. — 649 προέηκε A. — 651 γιγνώσκω L: γινώσκω ACDGH. — 652 νῦν δ᾽ GL. ἔπος ἐξερέων L. — 653 διοτροφὲς G 1. man. H. — 654 τάχά CD. ἀνήρ, οἷος καὶ ἀναίτιον αἰτιάασθαι Plutarchus de Adul. et amico 26. — 656 τίπτ᾽ GL, omisso τ᾽. ἄρ CDGL. ἀρ A. τὰρ H. ὧιδ᾽ D. ἀχιλλεὺς EGH. — 657 βέλεσι D. βελέεσσι S. οὐ δέ τι A. οἶδε ACDH. — 658 πένθος D. κατα D. — 659 νηυσὶ DE. — 661 οὔταται S. ὀδυσσεὺς DEG. δουρὶ κλυτὸς unus A. — 662 omitt. ACDEHL Lips.: habent C in marg. man. rec. D in marg. 3. man. GS et si Heynio fides est habenda omnes libri eius praeter Lips. — 664 ἀχϊλεὺς C. — 666 ἧ CGL Townl. ἡ A. εἰσόκε omnes. — 667 δῄοιο H. δῃοῖο Mosc. 3. δηοῖο Lips. — 668 κτεινώμεθα G. ἐπὶ σχερὼ C. ἐπισχερῷ G. ἐμοὶ ἶς G Barocc. Mor. — 669 γναπτοῖσι G et un. Vrat. μέλεσσι D. — 670 ὡς A. τέ μοι ADEH Eust. 885, 33, conf. Ψ 629. vulgo δέ μοι ut Η 157.

A. c. 650 ἄγεις Aristarchus. — 652 πάλιν ἄγγελος Aristarchus, Alexio, Ptolemaeus Ascalonita: alii παλινάγγελος. — 659 οὐτάμενοι Aristarchus: Pamphilus οὐταμένοι.

ὡς ὁπότ᾽ Ἠλείοισι καὶ ἡμῖν νεῖκος ἐτύχθη
ἀμφὶ βοηλασίῃ, ὅτ᾽ ἐγὼ κτάνον Ἰτυμονῆα,
ἐσθλὸν Ὑπειροχίδην, ὃς ἐν Ἤλιδι ναιετάασκε,
ῥύσι᾽ ἐλαυνόμενος. ὁ δ᾽ ἀμύνων ᾗσι βόεσσιν
ἔβλητ᾽ ἐν πρώτοισιν ἐμῆς ἀπὸ χειρὸς ἄκοντι,
κὰδ δ᾽ ἔπεσεν, λαοὶ δὲ περίτρεσαν ἀγροιῶται.
ληίδα δ᾽ ἐκ πεδίου συνελάσσαμεν ἤλιθα πολλήν,
πεντήκοντα βοῶν ἀγέλας, τόσα πώεα οἰῶν,
τόσσα συῶν συβόσια, τόσ᾽ αἰπόλια πλατέ᾽ αἰγῶν,
ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα,
πάσας θηλείας, πολλῇσι δὲ πῶλοι ὑπῆσαν.
καὶ τὰ μὲν ἠλασάμεσθα Πύλον Νηλήιον εἴσω
ἐννύχιοι προτὶ ἄστυ· γεγήθει δὲ φρένα Νηλεύς,
οὕνεκά μοι τύχε πολλὰ νέῳ πόλεμον δὲ κιόντι.
κήρυκες δ᾽ ἐλίγαινον ἅμ᾽ ἠοῖ φαινομένηφι
τοὺς ἴμεν, οἷσι χρεῖος ὀφείλετ᾽ ἐν Ἤλιδι δίῃ·
οἱ δὲ συναγρόμενοι Πυλίων ἡγήτορες ἄνδρες
δαίτρευον· πολέσιν γὰρ Ἐπειοὶ χρεῖος ὄφειλον,
ὡς ἡμεῖς παῦροι κεκακωμένοι ἐν Πύλῳ ἦμεν.
ἐλθὼν γάρ ῥ᾽ ἐκάκωσε βίη Ἡρακληείη

V. ι. 672 ἀμφι D. βοηλασίης D Vrat. b. A. βοηλασίῃς (superscr. αν) S. — 673 ὑπεροχίδην C Lips. ναιετάασκε ACEGH. — 674 ῥύσει H. ὅδ᾽ CGHL. οἷσι Mor. — 675 ἄπο A. ὑπὸ L. — 676 καδδ᾽ ACGHL. καδδέπεσεν D. ἔπεσε E. — 677 συνελάσαμεν DG. — 678 τόσσα G. μήλων L et γρ. οἰῶν. — 679 συβόσια ACEGHS Apoll. Lex. 146, 7. Strabo VIII, 351. Zonar. Lex. 1688. Hesych. IV, 89. συβώσια D. συβόσεια L Townl., quod probat Thiersch. Gramm. § 147, 11. conf. Ξ 101. — 680 ἵππους τε G. — 681 πολλαῖσι G. πωλῇσι D. ὑπῆσαν: ὑπῆρχον L. — 182 ὡς τὰ E. ἠλασάμεθα G. — 683 προτὶ ACDEG. πρὸ τὶ H. ποτὶ LS. γέγηθε DG. — 684 πόλεμον δὲ A. — 685 δὲ λίγαινον DES. φαινομένηφι AD. φαινομένῃφι CEGH. — 686 χρέως A. χρέος DEG Mosc. 3. χρε[illegible]ος C. ὠφείλετ᾽ D Mos. 3. ὠφείλετ᾽ (superscr. ο) H. — 687 οἳ δὲ C. — 688 πολέσι EG. πολλεσϊν C. ὄφειλον ADHL: ὄφελλον CE Barocc. ὄφειλλον G. — 689 ὣς DEGHL. — 690 γάρ ῥ᾽ ADE: γὰρ ἐκάκωσε CGHLS Lips. Cant. Ven. B. Vrat. b. A. Flor. Rom. βίῃ ἡρακληείῃ H.

A. c. 672 ἀρίσταρχος ἑνικῶς βοηλασίῃ Didymus. — 677 Aristarchus ληῖδα: λήιδα Menecrates. — 686 οὕτως ἀρίσταρχος χρεῶς (sic) Didymus. Ἀριστοφάνης δὲ χρεῖος καὶ ὠφείλετο Schol. A. hoc falsum esse nemo non videt, nam χρεῖος ὠφείλετ᾽ versus non minus recusat, quam χρέως ὀφείλετ᾽, quod est in Cod. A. differt scriptura inter χρέως ὠφείλετ᾽ et χρεῖος ὀφείλετ᾽: illud est Aristarchi, hoc Aristophanis. — 688 ὄφειλον: οὕτως ἀρίσταρχος, ἄλλοι δὲ ὄφελλον Didymus. — 689 ὡς Aristarchus: alii ὥς, utrumque Nicanor, sed praefert ὡς. Πύλῳ: alii ἐν πόλει ἦμεν teste Schol. D. — 690 γάρ ῥ᾽: γὰρ, conf. Β 39, Ξ 30, Ρ 403, ε 321, φ 32, Annal. Gymn. Austr. 1871, 506.

τῶν προτέρων ἐτέων, κατὰ δ' ἔκταθεν ὅϲϲοι ἄριϲτοι.
δώδεκα γὰρ Νηλῆοϲ ἀμύμονοϲ υἱέεϲ ἦμεν·
τῶν οἶοϲ λιπόμην, οἱ δ' ἄλλοι πάντεϲ ὄλοντο.
ταῦθ' ὑπερηφανέοντεϲ Ἐπειοὶ χαλκοχίτωνεϲ,
ἡμέαϲ ὑβρίζοντεϲ, ἀτάϲθαλα μηχανόωντο.
ἐκ δ' ὁ γέρων ἀγέλην τε βοῶν καὶ πῶυ μέγ' οἰῶν
εἵλετο κρινάμενοϲ τριηκόϲι' ἠδὲ νομῆαϲ.
καὶ γὰρ τῷ χρεῖοϲ μέγ' ὀφείλετ' ἐν Ἤλιδι δίῃ,
τέϲϲαρεϲ ἀθλοφόροι ἵπποι αὐτοῖϲιν ὄχεϲφιν
ἐλθόντεϲ μετ' ἄεθλα. περὶ τρίποδοϲ γὰρ ἔμελλον
θεύϲεϲθαι· τοὺϲ δ' αὖθι ἄναξ ἀνδρῶν Αὐγείαϲ
κάϲχεθε, τὸν δ' ἐλατῆρ' ἀφίει ἀκαχήμενον ἵππων.
τῶν ὁ γέρων ἐπέων κεχολωμένοϲ ἠδὲ καὶ ἔργων
ἐξέλετ' ἄϲπετα πολλά· τὰ δ' ἄλλ' ἐϲ δῆμον ἔδωκε
δαιτρεύειν, μή τίϲ οἱ ἀτεμβόμενοϲ κίοι ἴϲηϲ.
ἡμεῖϲ μὲν τὰ ἕκαϲτα διείπομεν, ἀμφί τε ἄϲτυ
ἔρδομεν ἱρὰ θεοῖϲ· οἳ δὲ τρίτῳ ἤματι πάντεϲ
ἦλθον ὁμῶϲ αὐτοί τε πολεῖϲ καὶ μώνυχεϲ ἵπποι
πανϲυδίῃ· μετὰ δέ ϲφι Μολίονε θωρήϲϲοντο
παῖδ' ἔτ' ἐόντ', οὔ πω μάλα εἰδότε θούριδοϲ ἀλκῆϲ.
ἔϲτι δέ τιϲ Θρυόεϲϲα πόλιϲ, αἰπεῖα κολώνη,
τηλοῦ ἐπ' Ἀλφειῷ, νεάτη Πύλου ἠμαθόεντοϲ·
τὴν ἀμφεϲτρατόωντο διαῤῥαῖϲαι μεμαῶτεϲ.

V. ι. 691 κατα CD. ἔκταθεν ACDGS. δὲ κτάθεν Harl. ἐκτα(θ)νεν H. ἔκτανεν L Vrat. A. Rom. ἔκταθεν ἢ ἔκτανεν Eust. 874, 23; 879, 26. ὅϲοι D. — 692 ἀμύμονεϲ (οϲ) L. ἀμύμονεϲ H: ceteri ἀμύμονοϲ cum Cant. Barocc. Mor. Schol. λ 286. Schol. Apoll. Rhod. I, 152. υἷεϲ L Schol. λ 286. ὕεϲ H. — 694 χαλκοχίτωνεϲ A. — 695 ὑμέαϲ G. μηχανόωνται Schol. Κ 68. — 696 τὲ C. — 697 τριακόϲια G. — 698 τὸ χρεῖοϲ L. γαίῃ L et γρ. δῖῃ. — 700 μετάεθλα D. τρίποδαϲ S. — 702 κάχεϲθε H. ἀφίη G. — 704 ἔδωκε ACEGH. — 705 μή τίϲ οἱ AE: ceteri μήτιϲ οἱ. — 706 ἀμφὶ δὲ A Harl. ἀμφι δὲ D. ἄμφί τ' G. γρ. ἀμφί τε ἄϲτυ A. — 707 ἔρδομεν C 2. man. E bis. ἱερὰ EGH. θεοῖϲι D. οἳ δὲ C. — 709 παϲϲυδίῃ EGL: ceteri πανϲυδίῃ cum Cant. Lips. μετα D. μολίωνε CD. μολίον' ἐθωρήϲϲοντο Lips. — 710 ὄντ' L. — 711 ἔϲτι δέ τιϲ θρυόεϲϲα D. — 712 ἐπαλφειῶι D. ἀλφειοῦ G Barocc. Schol. Ι 153. νεάτη H. πυμάτη Strabo VIII, 349. — 713 ἀμφ' ἐϲτρατόωντο AH Vrat. b. διαῤῥέϲαι L.

A. c. 694 Ἐπειοί: ὅτε ἔν τιϲι γράφεται Ἀχαιοί Aristonicus. — 699 ὑποπτεύεται ὡϲ νόθον Schol. BLV ad Θ 185. — 705 μετάκειται ἐκ τῶν ἐν Ὀδυϲϲείᾳ (ι 42) λεγομένων Aristonicus. Ζηνόδοτοϲ οὐδὲ ἔγραφε Didymus. — 709 πανϲυδίῃ Aristarchus, conf. H. T. 394.

ἀλλ' ὅτε πᾶν πεδίον μετεκίαθον, ἄμμι δ' Ἀθήνη
ἄγγελοϲ ἦλθε θέουϲ' ἀπ' Ὀλύμπου θωρήϲϲεϲθαι
ἔννυχοϲ, οὐδ' ἀέκοντα Πύλον κάτα λαὸν ἄγειρεν,
ἀλλὰ μάλ' ἐϲϲυμένουϲ πολεμίζειν. οὐδέ με Νηλεὺϲ
εἴα θωρήϲϲεϲθαι, ἀπέκρυψεν δέ μοι ἵππουϲ·
οὐ γάρ πώ τί μ' ἔφη ἴδμεν πολεμήια ἔργα.
ἀλλὰ καὶ ὣϲ ἱππεῦϲι μετέπρεπον ἡμετέροιϲι,
καὶ πεζόϲ περ ἐών, ἐπεὶ ὣϲ ἄγε νεῖκοϲ Ἀθήνη.
ἔϲτι δέ τιϲ ποταμὸϲ Μινυήιοϲ εἰϲ ἅλα βάλλων
ἐγγύθεν Ἀρήνηϲ, ὅθι μείναμεν ἠῶ δῖαν
ἱππῆεϲ Πυλίων, τὰ δ' ἐπέῤῥεον ἔθνεα πεζῶν.
ἔνθεν πανϲυδίῃ ϲὺν τεύχεϲι θωρηχθέντεϲ
ἔνδιοι ἱκόμεϲθ' ἱερὸν ῥόον Ἀλφειοῖο.
ἔνθα Διὶ ῥέξαντεϲ ὑπερμενεῖ ἱερὰ καλά,
ταῦρον δ' Ἀλφειῷ, ταῦρον δὲ Ποϲειδάωνι,
αὐτὰρ Ἀθηναίῃ γλαυκώπιδι βοῦν ἀγελαίην,
δόρπον ἔπειθ' ἑλόμεϲθα κατὰ ϲτρατὸν ἐν τελέεϲϲι,
καὶ κατεκοιμήθημεν ἐν ἔντεϲιν οἷϲιν ἕκαϲτοϲ
ἀμφὶ ῥοὰϲ ποταμοῖο. ἀτὰρ μεγάθυμοι Ἐπειοὶ
ἀμφίϲταντο δὴ ἄϲτυ διαῤῥαῖϲαι μεμαῶτεϲ.
ἀλλά ϲφι προπάροιθε φάνη μέγα ἔργον ἄρηοϲ·
εὖτε γὰρ ἠέλιοϲ φαέθων ὑπερέϲχεθε γαίηϲ,
ϲυμφερόμεϲθα μάχῃ Διί τ' εὐχόμενοι καὶ Ἀθήνῃ.

V. ι. 715 ἀπολύμπου CD. θωρήϲεϲθαι GL 1. man. — 716 ἀέκοντα A. κατα DH. κατὰ GL. — 717 ἐϲϲυμένωϲ Cant. — 718 θωρήϲεϲθαι G. ἀπέκρυψε GL. — 719 πω CH. τι E. — 720 ὡϲ AD Io. Alexandr. 31, 34: ceteri ὣϲ. ἡμετέροιϲι ACDGH. — 721 ὣϲ Cram. Epim. 449, 15. — 722 μινύνιοϲ G. — 724 ἐπέρρεον ADGL Mor. Barocc ἐπέρρεεν CE bis HS Rhet. Gr. III, 232, 20. ἔθνεα πολλὰ Mor. Barocc. Cant. — 725 ἐνθάδε Mor. Barocc. ἔνθα γε παϲϲυδίῃ G. παϲϲυδίῃ EL. — 726 ἔνδειοι E. εὔδειοι L. — 726, 727 ἔνδϊοι ῥέξαντεϲ ὑπερμένεϊ ἱερὰ καλὰ G. — 727 ὑπερμένε D. ὑπερμενέ' L. — 728 ταῦρόν τ' Townl. ποϲιδάωνι A. ποϲειδάονι G. — 729 ἀγελείην G Mor. Barocc. ἀγελείῃ Townl. — 730 ειλόμεϲθα D. ἑλόμεθα G. κατα D. τελέεϲϲι ACDEGH. — 731 ἐπ' ἔντεϲιν L. — 732 ἀμφι (ἐ) D. — 733 δὴ A. δι' ἄϲτυ L Townl. Vrat. b. διαρραῖϲαι AD Harl. διαπραθέειν CEGHLS. γρ. διαπραθέειν A. — 734 ϲφι L: ϲφιν ACDEGH. προπάροιθε, φάνη C. — 735 ὑπερέϲχε G. — 736 ἐμφερόμεϲθα Vrat. A. μάχην L.

A. c. 714 ἀλλ' ὅτε: ἄλλο τε Bekker. (2) ex coniectura. — 720 ὣϲ Herodianus cum Aristarcho et Tyrannione, conf. Α 116, Γ 159, H. T. 380. — 730 δόρπον: δεῖπνον Zenodotus, conf. Λ 86. — 733 διαῤῥαῖϲαι reposui ex libris optimis, conf. 713.

ἀλλ' ὅτε δὴ Πυλίων καὶ Ἐπειῶν ἔπλετο νεῖκος,
πρῶτος ἐγὼν ἕλον ἄνδρα, κόμιcca δὲ μώνυχας ἵππους,
Μούλιον αἰχμητήν· γαμβρὸς δ' ἦν Αὐγείαο,
πρεcβυτάτην δὲ θύγατρ' εἶχε ξανθὴν Ἀγαμήδην,
ἣ τόcα φάρμακα ἤδη, ὅcα τρέφει εὐρεῖα χθών.
τὸν μὲν ἐγὼ προcιόντα βάλον χαλκήρεϊ δουρί,
ἤριπε δ' ἐν κονίῃcιν· ἐγὼ δ' ἐc δίφρον ὀρούcας
cτῆν ῥα μετὰ προμάχοιcιν. ἀτὰρ μεγάθυμοι Ἐπειοὶ
ἔτρεcαν ἄλλυδιc ἄλλοc, ἐπεὶ ἴδον ἄνδρα πεcόντα
ἡγεμόν' ἱππήων, ὃc ἀριcτεύεcκε μάχεcθαι.
αὐτὰρ ἐγὼν ἐνόρουcα κελαινῇ λαίλαπι ἶcοc,
πεντήκοντα δ' ἕλον δίφρουc, δύο δ' ἀμφὶc ἕκαcτον
φῶτεc ὀδὰξ ἕλον οὖδαc ἐμῷ ὑπὸ δουρὶ δαμέντεc.
καί νύ κεν Ἀκτορίωνε Μολίονε παῖδ' ἀλάπαξα,
εἰ μή cφωε πατὴρ εὐρὺ κρείων ἐνοcίχθων
ἐκ πολέμου ἐcάωcε καλύψαc ἠέρι πολλῇ.
ἔνθα Ζεὺc Πυλίοιcι μέγα κράτοc ἐγγυάλιξε·
τόφρα γὰρ οὖν ἑπόμεcθα διὰ cπιδέοc πεδίοιο
κτείνοντέc τ' αὐτοὺc ἀνά τ' ἔντεα καλὰ λέγοντεc,
ὄφρ' ἐπὶ Βουπραcίου πολυπύρου βήcαμεν ἵππουc
πέτρηc τ' Ὠλενίηc, καὶ Ἀλιcίου ἔνθα κολώνη

V. l. 738 πρῶτον Barocc. κόμιcα E. — 740 θυγατέρ' H. ἔχε D. — — 741 ᾔδη ADE. ἤδη GL. ᾔδει CS Cant. Vrat. b. ἤδει H. εἶδεν Schol. Theocr. II, 16. ὅcca G. — 744 cτὴν DG. ῥὰ D. αὐτὰρ G. μεγάθυμοι ἵπποι L. ἀχαιοί Mor. — 746 ἱππέων G. — 747 ἐγὼ G. ἐνόρουcα DH: ἐπόρουcα ACEGLS Cant. Barocc. Mor. Harl. Vrat. b. A. Flor. — 749 φύντεc pro φῶτεc L. ὑπο A. — 750 μολίωνε CGL. — 751 μὴ cφῶε DGHL. εὐρὺ κρείων A. — 753 ἐγγυάλιξε ACDEG. — 754 διὰ, cπιδέοc A. διὰ cπιδέοc C 1. man. Apoll. Lex. 144, 3: δι' ἀcπιδέοc C man. rec. DEGHLS Et. Gud. 85, 26. — 755 κτείνοντεc αὐτοὺc D. — 756 ὄφρα G. μέcφ' ἐπὶ Strabo VIII, 342. — 757 ὠλένηc L. ἀλιcίου AD: ἀλειcίου CDGLS Cant. Mor. Barocc. Harl. Lips. Townl. Vrat. b. A. Strabo VIII, 342; 352. Eust. 304, 32. Et. Mg. 61, 39. ἀλῆ[ει]cίου H. ἀληcίου E Steph. Byz. 72, 17. conf. B 617, ubi libri omnes ἀλειcίου.

A. c. 737 ὅτι τινὲc καὶ Ἀχαιῶν γράφουcιν Aristonicus, conf. 694. — 747 ἐνόρουcα dedi pro ἐπόρουcα, conf. 91, 149, 216. — 751 cφῶι Zenodotus? conf. A 8, K 546, H. T. 356 sq. — 754 διὰ cπιδέοc Zenodotus, Amerias, Herodianus (ἡρωδιανὸc διὰ cπιδέοc Schol. A): δι' ἀcπιδέοc Aristarchus, Crates, Ptolem. Ascalonita. utrumque probavit Alexio. conf. Et. Mg. 271, 8. Eust. 882, 53. Hesych. I, 302. — 757 Ἀλιcίου Aristarchus. ἡ δὲ γραφὴ τῆc προπαραληγούcηc τοῦ Ἀληcίου διφορεῖται· ὁ μὲν γὰρ τὰ ἐθνικὰ γράψαc κατὰ cτοιχεῖον (Steph. Byz. 72, 17) διὰ τοῦ η οἶδεν αὐτήν· ὁ δὲ ἐτυμολόγοc (Et. Mg. 61, 37) διὰ διφθόγγου Eust. 883, 6.

κέκληται, ὅθεν αὖτιc ἀπέτραπε λαὸν Ἀθήνη.
ἔνθ' ἄνδρα κτείναc πύματον λίπον· αὐτὰρ Ἀχαιοὶ
ἂψ ἀπὸ Βουπραcίοιο Πύλον δ' ἔχον ὠκέαc ἵππουc·
πάντεc δ' εὐχετόωντο θεῶν Διὶ Νέcτορί τ' ἀνδρῶν.
ὣc ἔον, εἴποτ' ἔον γε μετ' ἀνδράcιν. αὐτὰρ Ἀχιλλεὺc
οἶοc τῆc ἀρετῆc ἀπονήcεται· ἦ τέ μιν οἴω
πολλὰ μετακλαύcεcθαι, ἐπεί κ' ἀπὸ λαὸc ὄληται.
ὦ πέπον, ἦ μὲν coí γε Μενοίτιοc ὧδ' ἐπέτελλεν
ἤματι τῷ, ὅτε c' ἐκ Φθίηc Ἀγαμέμνονι πέμπε.
νῶι δέ τ' ἔνδον ἐόντεc, ἐγὼ καὶ δῖοc Ὀδυccεύc,
πάντα μάλ' ἐν μεγάροιc ἠκούομεν ὡc ἐπέτελλε.
Πηλῆοc δ' ἱκόμεcθα δόμουc εὖ ναιετάονταc
λαὸν ἀγείροντεc κατ' Ἀχαιΐδα πουλυβότειραν.
ἔνθα δ' ἔπειθ' ἥρωα Μενοίτιον εὕρομεν ἔνδον
ἠδὲ cέ, πὰρ δ' Ἀχιλῆα. γέρων δ' ἱππηλάτα Πηλεὺc
πίονα μηρί' ἔκαιε βοὸc Διὶ τερπικεραύνῳ
αὐλῆc ἐν χόρτῳ· ἔχε δὲ χρύcειον ἄλειcον
cπένδων αἴθοπα οἶνον ἐπ' αἰθομένοιc ἱεροῖcι.
cφῶι μὲν ἀμφὶ βοὸc ἕπετον κρέα, νῶι δ' ἔπειτα

V. l. 758 κέκλιται H Et. Mg. 61, 39 cum glossa ὅπου ἡ κολώνη παράκειται. αὖθιc CH. — 759 ἔνθα δὲ L. — 760 ἂψ ἐπὶ L. βουπραcίου[ιο] C. — 761 πάντωc δ' H. — 762 ὡc ἔην G Mor. εἴποτ' ἔην γε ACDE bis GH Suidas I, 2, 749, 15. Et. Mg. 317, 55(?). ἀχϊλεὺc C. — 763 εὖ[η] τέ μιν H. ὀΐω DGL. — 764 μετακλαύcαcθαι H Lips. ἀπο CDHL. — 765 ὠιδ' ἐπέτελλε D. — 766 πέμπε ACDEGH. — 767 νῶϊν H. δὲ ἔνδον ACE. δ' ἔνδον DGHL. — 768 πάντα κάλ' L. ἐπέτελλε AGH. ὡc ἐκέλευε C. — 769 εὖ ναιετάονταc ACDGHL. — 770 ἀγείροντεc ACDEGH Townl. Vrat. b. Schol. Θ 2. ἐγείροντεc L. ἀγείραντεc edit. veteres praeter Rom. πουλυβότειραν A. πολυβότειραν D. πουλυβότειραν ἢ καλλιγύναικα E 875, 52. ἐν ἄλλῳ καλλιγύναικα A. — 772 παρ C. ἀχιλλῆα G. — 773 ἔκηε ACDE GLS. ἔκῃε H. ἔκηεν Schol. X 66. βοῶν G Mor. Barocc. — 774, 775 omitt. H in textu. — 775 ἱεροῖcι ACDG. — 776 ἀμφι D. βοῶν G Barocc.

A. c. 762 εἴ ποτ' ἔον γε recte Buttmannus Ampl. Gramm. I. pg. 530* ex L et Lips. revocavit, eumque secuti sunt recentiores. — 763 τῆc: antiqua scriptura videtur fuisse ἧc, conf. P 25 ἧc ἥβηc ἀπόνητο. Bekk. 2 ϝῆc. — 767 νῶι Aristarchus. δέ τ' ἔνδον in libris meis non reperi; quare Heynio fidem non habeo, qui ex libris suis variam scripturam non affert nisi δὲ ἔνδον ex Veneto utroque. δέ τ' ἔνδον editum est inde a Florentina, idque retinui, nam hiatus δὲ ἔνδον excusari non potest. — 767—785 ἀθετοῦνται Aristonicus. ἠθετοῦντο καὶ παρὰ Ἀριcτοφάνει Didymus. — 773 ἀρίcταρχοc μηρία καῖε Didymus.

στῆμεν ἐνὶ προθύροισι· ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεύς,
ἐς δ' ἄγε χειρὸς ἑλών, κατὰ δ' ἑδριάασθαι ἄνωγε,
ξείνιά τ' εὖ παρέθηκεν, ἅ τε ξείνοις θέμις ἐστίν.
αὐτὰρ ἐπεὶ τάρπημεν ἐδητύος ἠδὲ ποτῆτος,
ἦρχον ἐγὼ μύθοιο κελεύων ὔμμ' ἅμ' ἕπεσθαι·
σφὼ δὲ μάλ' ἠθέλετον, τὼ δ' ἄμφω πόλλ' ἐπέτελλον.
Πηλεὺς μὲν ᾧ παιδὶ γέρων ἐπέτελλ' Ἀχιλῆι
αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων·
σοὶ δ' αὖθ' ὧδ' ἐπέτελλε Μενοίτιος, Ἄκτορος υἱός·
τέκνον ἐμόν, γενεῇ μὲν ὑπέρτερός ἐστιν Ἀχιλλεύς,
πρεσβύτερος δὲ σύ ἐσσι· βίῃ δ' ὅ γε πολλὸν ἀμείνων.
ἀλλ' εὖ οἱ φάσθαι πυκινὸν ἔπος ἠδ' ὑποθέσθαι,
καί οἱ σημαίνειν· ὃ δὲ πείσεται εἰς ἀγαθόν περ.
ὣς ἐπέτελλ' ὁ γέρων, σὺ δὲ λήθεαι. ἀλλ' ἔτι καὶ νῦν
ταῦτ' εἴποις Ἀχιλῆι δαΐφρονι, αἴ κε πίθηται.
τίς δ' οἶδ', εἴ κέν οἱ σὺν δαίμονι θυμὸν ὀρίναις
παρειπών; ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου.
εἰ δέ τινα φρεσὶν ᾗσι θεοπροπίην ἀλεείνει,
καί τινά οἱ πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ,
ἀλλὰ σέ περ προέτω, ἅμα δ' ἄλλος λαὸς ἑπέσθω
Μυρμιδόνων, αἴ κέν τι φόως Δαναοῖσι γένηαι·
καί τοι τεύχεα καλὰ δότω πόλεμον δὲ φέρεσθαι,
αἴ κέ σε τῷ ἴσκοντες ἀπόσχωνται πολέμοιο
Τρῶες, ἀναπνεύσωσι δ' ἀρήιοι υἷες Ἀχαιῶν

V. L. 777 ἐνι D. προθύρῃσι Vrat. b. ἀχϊλεύς C. — 778 κατα CDHL. ἐδριάασθαι DG. ἄνωγε CDEH. — 779 τε pro τ' εὖ E. — 780 τάρπωμεν L. — 781 μύθοισι D. ὕμμ' DH. ὔμ' G: ἅμ': ἄμμιν E 884, 9. — 782 σφῶ δε D. σφῶϊ δὲ G. τὼ: οἱ E. ἐπέτελον D. — 783 ἀχιλλῆϊ G. — 785 σοὶ δὲ ὁ πατὴρ ἐπέτελλε E 875, 58. αὖ L Mor. ὧιδ' A. — 786 ὑπέρτερός: ὑπέρτατός Et. Mg. 225, 34; 228, 16. Zonar. Lex. 427. ἀχιλεύς C. — 787 σὺ ἐσσὶ GL. — 788 εὖ οἳ D, gravis 2. man. φᾶσθαι ACDH. ἦδ' D ex corr. man. rec. ἠδ' ὑποθέσθαι ἢ ἠδ' ἐπακοῦσαι E. — 789 δ δὲ C. — 790 ὡς D 1. man. — 791 ἀχιλλῆϊ G. — 792 κεν C. συν D. ὀρίνεις H. — 795 παρ D. ὑπέφραδε L. — 796 σὲ μὲν S Cant. — 797 κέν τοι C. ἦν που τί φόος G. ἤν πού τι Barocc. φάος Eust. 1060, 45. γένηται G Mor. γένοισθε ἢ γένηαι E. γένοιο Eust. 1060, 45; 1128, 55. — 798 πόλεμον δὲ AD. — 799 τῷ γ' Schol. Γ 166. εἴσκοντες Lips. τῶι ἴσκοντες D 1. man., nunc τῷ ἐΐσκοντες ex corr. ἀπόσχονται D. — 800, 801 omitt. L.

A. c. 782 ζηνόδοτος ἠθελέτην Aristonicus. — 794, 795 Ζηνόδοτος περιέγραψεν Aristonicus. — 799 ἴσκοντες Zenodotus, Alexio, Herodianus: εἴσκοντες Aristarchus, vid. Et. Mg. 272, 13.

τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο.
ῥεῖα δέ κ' ἀκμῆτες κεκμηότας ἄνδρας ἀυτῇ
ὤσαισθε προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.
ὣς φάτο, τῷ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε,
βῆ δὲ θέειν παρὰ νῆας ἐπ' Αἰακίδην Ἀχιλῆα.
ἀλλ' ὅτε δὴ κατὰ νῆας Ὀδυσσῆος θείοιο
ἷξε θέων Πάτροκλος, ἵνά σφ' ἀγορή τε θέμις τε
ἤην, τῇ δὴ καί σφι θεῶν ἐτετεύχατο βωμοί,
ἔνθά οἱ Εὐρύπυλος βεβλημένος ἀντεβόλησε,
διογενὴς Εὐαιμονίδης, κατὰ μηρὸν ὀιστῷ,
σκάζων ἐκ πολέμου· κατὰ δὲ νότιος ῥέεν ἱδρὼς
ὤμων καὶ κεφαλῆς, ἀπὸ δ' ἕλκεος ἀργαλέοιο
αἷμα μέλαν κελάρυζε· νόος γε μὲν ἔμπεδος ἦεν.
τὸν δὲ ἰδὼν ᾤκτειρε Μενοιτίου ἄλκιμος υἱός,
καί ῥ' ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα·
ἆ δειλοί, Δαναῶν ἡγήτορες ἠδὲ μέδοντες,
ὣς ἄρ' ἐμέλλετε τῆλε φίλων καὶ πατρίδος αἴης
ἄσειν ἐν Τροίῃ ταχέας κύνας ἀργέτι δημῷ.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ διοτρεφὲς Εὐρύπυλ' ἥρως,
ἤ ῥ' ἔτι που σχήσουσι πελώριον Ἕκτορ' Ἀχαιοί,
ἦ ἤδη φθίσονται ὑπ' αὐτοῦ δουρὶ δαμέντες.
τὸν δ' αὖτ' Εὐρύπυλος βεβλημένος ἀντίον ηὔδα·
οὐκέτι διογενὲς Πατρόκλεις ἄλκαρ Ἀχαιῶν
ἔσσεται, ἀλλ' ἐν νηυσὶ μελαίνῃσιν πεσέονται.
οἱ μὲν γὰρ δὴ πάντες, ὅσοι πάρος ἦσαν ἄριστοι,

V. L. 801 ὀλίγη δέ τις G. ἀνάπαυσις Lips. — 802 ῥεῖα δ' ἂν L. κεκμηῶτας A. κεκμηκότας G. — 803 ὤσεσθε CGS Mor. Barocc. Harl. Lips. Vrat. b. A. ὤσεσθαι H. προτιάστυ D. πρὸ τὶ H. ποτὶ S. — 804 ὡς A. ἐνι A. ὄρινε ACH. ὄρυνε G. — 805 βῆδε D. ἐπὶ νῆας Townl. ἀχιλλῆα G. — 806 ὀδυσῆος D. — 807 ἷξε D. ἶξε A. ἧξε G. ἱνά σφ' ACHL Bekk. An. 1154: vulgo ἵνα σφ'. — 808 ἤην: εἶεν G Barocc. εἴῃν H. βωμὸς G. — 809 ἔνθά οἱ ACDL. ἀντεβόλησε ACG Townl. — 810 κατα A. — 811 κατα A. κατὰ δὴ G 2. man. — 813 γέ μιν D. — 814 ἄλκιμος: γρ. ἀγλαός Vrat. b. — 815 προσηῦδα D. — 816 ἃ D. ὢ G Mor. Barocc. — 817 ὡς AE. ἆρ DL Apoll. Lex. 67, 14. ἀρ A. — 818 ἄσσειν Barocc. ἐνὶ L. ἀργέτῃ L. ἀργέτι δημῷ: γρ. ἠδ' οἰωνούς A. — 819 διοτροφὲς GH. — 820 ἦ ῥ' ACDEH. ἤ ῥά τι ποὺ G. — 821 ἦ A: ceteri ἢ. — 822 βεβλημένος AD EGHS Mor. Barocc. Vrat. b. πεπνυμένος CL. ἐν ἄλλῳ πεπνυμένος A. ηὖδα D. — 824 μελαίνῃσι DG. — 825 ὅσοι πάντες ἦσαν H.

A. c. 802, 803 ἀθετοῦνται καὶ ἀστερίσκοι παράκεινται Aristonicus. ὀρθῶς Π 44, 45, ubi vid. Schol. — 807 ἱνά σφ', conf. H. T. 413.

ἐν νηυςὶν κέαται βεβλημένοι οὐτάμενοί τε
χερςὶν ὕπο Τρώων· τῶν δὲ cθένος ὄρνυται αἰέν.
ἀλλ᾽ ἐμὲ μὲν cὺ cάωcον ἄγων ἐπὶ νῆα μέλαιναν,
μηροῦ δ᾽ ἔκταμ᾽ ὀϊcτόν, ἀπ᾽ αὐτοῦ δ᾽ αἷμα κελαινὸν
νίζ᾽ ὕδατι λιαρῷ, ἐπὶ δ᾽ ἤπια φάρμακα πάccε,
ἐcθλά, τά cε προτί φαcιν ᾽Αχιλλῆοc δεδιδάχθαι,
ὃν Χείρων ἐδίδαξε, δικαιότατοc Κενταύρων.
ἰητροὶ μὲν γὰρ Ποδαλείριοc ἠδὲ Μαχάων,
τὸν μὲν ἐνὶ κλιcίηcιν ὀίομαι ἕλκοc ἔχοντα,
χρηίζοντα καὶ αὐτὸν ἀμύμονοc ἰητῆροc,
κεῖcθαι· ὁ δ᾽ ἐν πεδίῳ Τρώων μένει ὀξὺν ἄρηα.
τὸν δ᾽ αὖτε προcέειπε Μενοιτίου ἄλκιμοc υἱόc·
πῶc τ᾽ ἄρ᾽ ἔοι τάδε ἔργα; τί ῥέξομεν Εὐρύπυλ᾽ ἥρωc;
ἔρχομαι, ὄφρ᾽ ᾽Αχιλῆι δαΐφρονι μῦθον ἐνίcπω,
ὃν Νέcτωρ ἐπέτελλε Γερήνιοc, οὖροc ᾽Αχαιῶν·
ἀλλ᾽ οὐδ᾽ ὧc περ cεῖο μεθήcω τειρομένοιο.
ἦ, καὶ ὑπὸ cτέρνοιο λαβὼν ἄγε ποιμένα λαῶν
ἐc κλιcίην· θεράπων δὲ ἰδὼν ὑπέχευε βοείαc.
ἔνθά μιν ἐκτανύcαc ἐκ μηροῦ τάμνε μαχαίρῃ
ὀξὺ βέλοc περιπευκέc, ἀπ᾽ αὐτοῦ δ᾽ αἷμα κελαινὸν
νίζ᾽ ὕδατι λιαρῷ, ἐπὶ δὲ ῥίζαν βάλε πικρὴν
χερcὶ διατρίψαc, ὀδυνήφατον, ἥ οἱ ἁπάcαc
ἔcχ᾽ ὀδύναc· τὸ μὲν ἕλκοc ἐτέρcετο, παύcατο δ᾽ αἷμα.

V. L. 826 νηυcὶ D. — 827 ὑπὸ DEL. τρώων L. ὄρνυτ᾽ G. ὤρνυται L. αἰὲν ACDEGHL cum libris Heynii. — 828 ἐπινῆαc ἀχαιῶν D. — 829 μηροῦ τ᾽ L. — 830 χλιαρῷ Lips. 2. man. Vrat. A. ἐπι DL. ἐπὶ δὲ G. — 831 προτι D. φαcὶν CDE 886, 58 GHL. — 832 δικαιότεροc G Mor. Barocc. — 833 ἰατρὸc Et. Mg. 678, 24. γὰρ omitt. G. ἠδὲ: καὶ G. — 834 ἐνι D. ἐν L. — 836 ὁ δ᾽ D. ὅδ᾽ CGHL. τρώων L. — 838 πῶc τάρ A. πῶc τ᾽ ἆρ CDGL. πῶc ἆρ E. πῶc κεν Cram. Epim. 367, 29. Schol. Ω 22. — 839 ὄφρ᾽ omitt. L. ἐνίcπων L. ἐνίψω Cram. Ep. 141, 27. — 840 ἐπέτελε D. — 842 ὑπο L. — 843 ἐν κλϊcΐῃ H. — 844 ἔνθά μιν CD HL. μὶν G. μαχαίρῃ omitt. H. — 845 περιπευκὲc A. — 846 χλιαρῷ Cant. Lips. Vrat. A. — 847 ὀδυνήφατον A.

A. c. 831 δεδιδάχθαι: Ζηνόδοτοc δεδάαcθαι Didymus. — 832 δικαιότατοc Aristarchus. — 838 ἔοι: Ζηνόδοτοc διὰ τοῦ η̄ ἔην Didymus. — 841 cεῖο μεθήcω: Ζηνόδοτοc δὲ ἀμελήcω· ποιητικώτερον δὲ τὸ ἕτερον Didymus. cεῖ᾽, quod Bekkerus ante ἀμελήcω inseruit, non est in codice, nec poëta eo est usus, sed cεῦ, conf. ad Ζ 454.

ΙΛΙΑΔΟC Μ.

῝Ωc ὁ μὲν ἐν κλιcίῃcι Μενοιτίου ἄλκιμοc υἱὸc
ἰᾶτ᾽ Εὐρύπυλον βεβλημένον· οἱ δὲ μάχοντο
᾽Αργεῖοι καὶ Τρῶεc ὁμιλαδόν. οὐδ᾽ ἄρ᾽ ἔμελλε
τάφροc ἔτι cχήcειν Δαναῶν καὶ τεῖχοc ὕπερθεν
εὐρύ, τὸ ποιήcαντο νεῶν ὕπερ, ἀμφὶ δὲ τάφρον
ἤλαcαν, οὐδὲ θεοῖcι δόcαν κλειτὰc ἑκατόμβαc,
ὄφρά cφιν νῆάc τε θοὰc καὶ ληίδα πολλὴν
ἐντὸc ἔχον ῥύοιτο· θεῶν δ᾽ ἀέκητι τέτυκτο
ἀθανάτων· τὸ καὶ οὔ τι πολὺν χρόνον ἔμπεδον ἦεν.
ὄφρα μὲν ῞Εκτωρ ζωὸc ἔην καὶ μήνι᾽ ᾽Αχιλλεὺc
καὶ Πριάμοιο ἄνακτοc ἀπόρθητοc πόλιc ἔπλε,
τόφρα δὲ καὶ μέγα τεῖχοc ᾽Αχαιῶν ἔμπεδον ἦεν.
αὐτὰρ ἐπεὶ κατὰ μὲν Τρώων θάνον ὅccοι ἄριcτοι,
πολλοὶ δ᾽ ᾽Αργείων οἱ μὲν δάμεν, οἱ δὲ λίποντο,
πέρθετο δὲ Πριάμοιο πόλιc δεκάτῳ ἐνιαυτῷ,
᾽Αργεῖοι δ᾽ ἐν νηυcὶ φίλην ἐc πατρίδ᾽ ἔβηcαν,
δὴ τότε μητιόωντο Ποcειδάων καὶ ᾽Απόλλων
τεῖχοc ἀμαλδῦναι, ποταμῶν μένοc εἰcαγαγόντεc,
ὅccοι ἀπ᾽ ᾽Ιδαίων ὀρέων ἅλα δὲ προρέουcι,

V. L. 1 ὁ μὲν C. κλιcίῃ G. — 2 οἱ L. οἵδ᾽ CH. δὲ μάχοντο AGS Harl. Mosc. 2. ceteri δ᾽ ἐμάχοντο cum Ambrosiano. — 3 τρῶεc L. ἆρ DEGL. ἀρ A. ΑΡ᾽ Ambros. ἔμελλε A Ambr. CDEGH. — 5 ἀμφι D. ΑΜΦΙΤΕ Ambros. 1. man., nunc ΔΕ. — 7 ὄφρά ACDGH. cφι DG. — 8 ἔχων H. — 9 τῶ καὶ C Vrat. b. A. Flor. τό κεν Townl. τὸ καὶ ADG HLS Cant. Barocc. Mor. Lips. Harl. Mosc. 2. Apollon. de Synt. 289, 8; de Adverb. 613, 25. Apoll. Lex. 153, 29. — 10 ἀχϊλεὺc C. — 11 ἔπλε A Ambr. CS. ἔπλεν EH Rhet. Gr. III, 103, 20. ἔπλευ DG. ἦεν L. — 12 δε C. μέγα omitt. G. — 13 κατα C 1. man. τρώων L. ὅcοι D. — 14 οἵδ᾽ D. οἵδ᾽ CHL. δὲ λίποντο AES Lips. Mosc. 2. Rhet. Gr. III, 103, 23. ceteri δ᾽ ἐλίποντο cum Ambrosiano et Schol. Ο 2. — 16 ἐc πατρίδα γαῖαν ἔβηcαν D. — 17 τότε δηριόωντο Et. Mg. 266, 40. τότ᾽ ἐδηριόωντο Zonar. Lex. 500. libri τότε μητιόωντο cum Apoll. de Coni. 524, 1. ποcιδάων A. — 18 εἰcάγοντεc G. — 19 ἅλα δὲ AD. προρέουcι ACEGH: προρέουcιν Ambr. DL Schol. in Plat. Euthyphr. 3 C.

A. c. 11 οὕτωc ἀρίcταρχοc ἔπλε Didymus, quod Bekkerus mutavit in ἔπλεν, fortasse deceptus Scholio V ᾽Αρίcταρχοc ἔπλεν cὺν τῷ ν̄ ἐκ τοῦ ἔπελεν cυγκοπὴν δεχόμενοc. Ζηνόδοτοc ἔπλε. ἀποκοπὴ τοῦ ἔπλετο, cuius fides est nulla. etiam Nicanor laudat ἔπλε. de ν̄ paragogico conf. H. U. 162.

ἐν νηυςὶν κέαται βεβλημένοι οὐτάμενοί τε
χερςὶν ὕπο Τρώων· τῶν δὲ cθένος ὄρνυται αἰέν.
ἀλλ' ἐμὲ μὲν cὺ cάωcον ἄγων ἐπὶ νῆα μέλαιναν,
μηροῦ δ' ἔκταμ' ὀιςτόν, ἀπ' αὐτοῦ δ' αἷμα κελαινὸν
νίζ' ὕδατι λιαρῷ, ἐπὶ δ' ἤπια φάρμακα πάccε,
ἐcθλά, τά cε προτί φαcιν 'Αχιλλῆοc δεδιδάχθαι,
ὃν Χείρων ἐδίδαξε, δικαιότατοc Κενταύρων.
ἰητροὶ μὲν γὰρ Ποδαλείριοc ἠδὲ Μαχάων,
τὸν μὲν ἐνὶ κλιςίηςιν ὀίομαι ἕλκοc ἔχοντα,
χρηίζοντα καὶ αὐτὸν ἀμύμονοc ἰητῆροc,
κεῖcθαι· ὁ δ' ἐν πεδίῳ Τρώων μένει ὀξὺν ἄρηα.
τὸν δ' αὖτε προcέειπε Μενοιτίου ἄλκιμοc υἱόc·
πῶc τ' ἄρ' ἔοι τάδε ἔργα; τί ῥέξομεν Εὐρύπυλ' ἥρωc;
ἔρχομαι, ὄφρ' 'Αχιλῆι δαΐφρονι μῦθον ἐνίcπω,
ὃν Νέcτωρ ἐπέτελλε Γερήνιοc, οὖροc 'Αχαιῶν·
ἀλλ' οὐδ' ὥc περ cεῖο μεθήcω τειρομένοιο.
ἦ, καὶ ὑπὸ cτέρνοιο λαβὼν ἄγε ποιμένα λαῶν
ἐc κλιςίην· θεράπων δὲ ἰδὼν ὑπέχευε βοείαc.
ἔνθά μιν ἐκτανύcαc ἐκ μηροῦ τάμνε μαχαίρῃ
ὀξὺ βέλοc περιπευκέc, ἀπ' αὐτοῦ δ' αἷμα κελαινὸν
νίζ' ὕδατι λιαρῷ, ἐπὶ δὲ ῥίζαν βάλε πικρὴν
χερcὶ διατρίψαc, ὀδυνήφατον, ἥ οἱ ἁπάcαc
ἔcχ' ὀδύναc· τὸ μὲν ἕλκοc ἐτέρcετο, παύcατο δ' αἷμα.

V. ι. 826 νηυcὶ D. — 827 ὑπὸ DEL. τρῴων L. ὄρνυτ' G. ὤρνυται L. αἰὲν ACDEGHL cum libris Heynii. — 828 ἐπινῆαc ἀχαιῶν D. — 829 μηροῦ τ' L. — 830 χλιαρῷ Lips. 2. man. Vrat. A. ἐπι DL. ἐπὶ δὲ G. — 831 προτι D. φαcὶν CDE 886, 58 GHL. — 832 δικαιότεροc G Mor. Barocc. — 833 ἰατρὸc Et. Mg. 678, 24. γὰρ omitt. G. ἠδὲ: καὶ G. — 834 ἐνι D. ἐν L. — 836 ὁ δ' D. ὅδ' CGHL. τρῴων L. — 838 πῶc τάρ A. πῶc τ' ἄρ CDGL. πῶc ἄρ E. πῶc κεν Cram. Epim. 367, 29. Schol. Ω 22. — 839 ὄφρ' omitt. L. ἐνίcπων L. ἐνίψω Cram. Ep. 141, 27. — 840 ἐπέτελε D. — 842 ὑπο L. — 843 ἐν κλϊcΐῃ H. — 844 ἔνθά μιν CDHL. μὶν G. μαχαίρῃ omitt. H. — 845 περιπευκὲc A. — 846 χλιαρῷ Cant. Lips. Vrat. A. — 847 ὀδυνήφατον A.

A. c. 831 δεδιδάχθαι: Ζηνόδοτοc δεδάαcθαι Didymus. — 832 δικαιότατοc Aristarchus. — 838 ἔοι: Ζηνόδοτοc διὰ τοῦ η ἔην Didymus. — 841 cεῖο μεθήcω: Ζηνόδοτοc δὲ ἀμελήcω· ποιητικώτερον δὲ τὸ ἕτερον Didymus. cεῖ', quod Bekkerus ante ἀμελήcω inseruit, non est in codice, nec poëta eo est usus, sed cεῦ, conf. ad Z 454.

ΙΛΙΑΔΟϹ Μ.

Ὣc ὁ μὲν ἐν κλιςίῃcι Μενοιτίου ἄλκιμοc υἱὸc
ἰᾶτ' Εὐρύπυλον βεβλημένον· οἱ δὲ μάχοντο
'Αργεῖοι καὶ Τρῶεc ὁμιλαδόν. οὐδ' ἄρ' ἔμελλε
τάφροc ἔτι cχήcειν Δαναῶν καὶ τεῖχοc ὕπερθεν
εὐρύ, τὸ ποιήcαντο νεῶν ὕπερ, ἀμφὶ δὲ τάφρον
ἤλαcαν, οὐδὲ θεοῖcι δόcαν κλειτὰc ἑκατόμβαc,
ὄφρά cφιν νῆάc τε θοὰc καὶ ληίδα πολλὴν
ἐντὸc ἔχον ῥύοιτο· θεῶν δ' ἀέκητι τέτυκτο
ἀθανάτων· τὸ καὶ οὔ τι πολὺν χρόνον ἔμπεδον ἦεν.
ὄφρα μὲν Ἕκτωρ ζωὸc ἔην καὶ μήνι' 'Αχιλλεὺc
καὶ Πριάμοιο ἄνακτοc ἀπόρθητοc πόλιc ἔπλε,
τόφρα δὲ καὶ μέγα τεῖχοc 'Αχαιῶν ἔμπεδον ἦεν.
αὐτὰρ ἐπεὶ κατὰ μὲν Τρώων θάνον ὅccοι ἄριcτοι,
πολλοὶ δ' 'Αργείων οἱ μὲν δάμεν, οἱ δὲ λίποντο,
πέρθετο δὲ Πριάμοιο πόλιc δεκάτῳ ἐνιαυτῷ,
'Αργεῖοι δ' ἐν νηυcὶ φίλην ἐc πατρίδ' ἔβηcαν,
δὴ τότε μητιόωντο Ποcειδάων καὶ 'Απόλλων
τεῖχοc ἀμαλδῦναι, ποταμῶν μένοc εἰcαγαγόντεc,
ὅccοι ἀπ' Ἰδαίων ὀρέων ἅλα δὲ προρέουcι,

V. ι. 1 ὁ μὲν C. κλιcίῃ G. — 2 οἳ L. οἵδ' CH. δὲ μάχοντο AGS Harl. Mosc. 2. ceteri δ' ἐμάχοντο cum Ambrosiano. — 3 τρῷεc L. ἆρ DEGL. ἀρ A. ΑΡ' Ambros. ἔμελλε A Ambr. CDEGH. — 5 ἀμφι D. ΑΜΦΙΤΕ Ambros. 1. man., nunc ΔΕ. — 7 ὄφρά ACDGH. cφι DG. — 8 ἔχῶν H. — 9 τῶ καὶ C Vrat. b. A. Flor. τό κεν Townl. τὸ καὶ ADG HLS Cant. Barocc. Mor. Lips. Harl. Mosc. 2. Apollon. de Synt. 289, 8; de Adverb. 613, 25. Apoll. Lex. 153, 29. — 10 ἀχϊλεὺc C. — 11 ἔπλε A Ambr. CS. ἔπλεν EH Rhet. Gr. III, 103, 20. ἔπλευ DG. ἦεν L. — 12 δε C. μέγα omitt. G. — 13 κατα C 1. man. τρῴων L. ὅcοι D. — 14 οἷδ' D. οἵδ' CHL. δὲ λίποντο AES Lips. Mosc. 2. Rhet. Gr. III, 103, 23. ceteri δ' ἐλίποντο cum Ambrosiano et Schol. O 2. — 16 ἐc πατρίδα γαῖαν ἔβηcαν D. — 17 τότε δηριόωντο Et. Mg. 266, 40. τότ' ἐδηριόωντο Zonar. Lex. 500. libri τότε μητιόωντο cum Apoll. de Coni. 524, 1. ποcιδάων A. — 18 εἰcάγοντεc G. — 19 ἅλα δὲ AD. προρέουcι ACEGH: προρέουcιν Ambr. DL Schol. in Plat. Euthyphr. 3 C.

A. c. 11 οὕτωc ἀρίcταρχοc ἔπλε Didymus, quod Bekkerus mutavit in ἔπλεν, fortasse deceptus Scholio V 'Αρίcταρχοc ἔπλεν cὺν τῷ ν ἐκ τοῦ ἔπελεν cυγκοπὴν δεχόμενοc. Ζηνόδοτοc ἔπλε. ἀποκοπὴ τοῦ ἔπλετο, cuius fides est nulla. etiam Nicanor laudat ἔπλε. de ν paragogico conf. H. U. 162.

Ῥῆcóc θ' Ἑπτάπορόc τε Κάρηcóc τε Ῥοδίοc τε
Γρήνικόc τε καὶ Αἴcηποc δῖóc τε Cκάμανδροc
καὶ Cιμόειc, ὅθι πολλὰ βοάγρια καὶ τρυφάλειαι
κάππεcον ἐν κονίῃcι καὶ ἡμιθέων γένοc ἀνδρῶν·
τῶν πάντων ὁμόcε cτόματ' ἔτραπε Φοῖβοc Ἀπόλλων,
ἐννῆμαρ δ' ἐc τεῖχοc ἵει ῥόον· ὗε δ' ἄρα Ζεὺc
cυνεχέc, ὄφρά κε θᾶccov ἁλίπλοα τείχεα θείη.
αὐτὸc δ' ἐννοcίγαιοc ἔχων χείρεccι τρίαιναν
ἡγεῖτ', ἐκ δ' ἄρα πάντα θεμείλια κύμαcι πέμπε
φιτρῶν καὶ λάων, τὰ θέcαν μογέοντεc Ἀχαιοί,
λεῖα δ' ἐποίηcεν παρ' ἀγάῤῥοον Ἑλλήcποντον,
αὖτιc δ' ἠιόνα μεγάλην ψαμάθοιcι κάλυψε,
τεῖχοc ἀμαλδύναc· ποταμοὺc δ' ἔτρεψε νέεcθαι
κὰρ ῥόον, ᾗ περ πρόcθεν ἵεν καλλίῤῥοον ὕδωρ.
ὣc ἄρ' ἔμελλον ὄπιcθε Ποcειδάων καὶ Ἀπόλλων
θηcέμεναι· τότε δ' ἀμφὶ μάχη ἐνοπή τε δεδήει
τεῖχοc ἐΰδμητον, κανάχιζε δὲ δούρατα πύργων
βαλλόμεν'. Ἀργεῖοι δὲ Διὸc μάcτιγα δαμέντεc
νηυcὶν ἔπι γλαφυρῇcιν ἐελμένοι ἰcχανόωντο,
Ἕκτορα δειδιότεc, κρατερὸν μήcτωρα φόβοιο.

V. ι. 20 θ' omitt. L. κάρηccóc D. ῥόδιóc CDHL. — 21 κάμανδροc GL Mor. Barocc. — 25 ἵει G. ἱει D. ὕε G. — 26 cυννεχὲc A Harl. Schol. M 12. ὄφρά κε ACH. — 28 θεμέλια G. πέμπε ACDEGHL. — 30 ἐποίηcε C 1. man. EG. ἐποίηcαν Vrat. b. 1. man. ἐλήcποντον G. — 31 αὖθιc C. κάλυψε AGH. — 32 ἔcτρεψε Schol. M 33. — 33 κὰρ ῥόον EH: καῤῥόον A. καρρόον CDG Apoll. Lex. 95, 28. καῤῥόον L Harl. Lips. Mosc. 2. Et. Mg. 467, 22. ἵεν GH. ἱεν D. ἵη A. γρ. καὶ ἵεν A. καλλίροον C Lips. — 34 ὡc A. ἂρ DE bis L. ἔμελλεν H. ποcιδάων A. — 35 ἀμφι DHL. δεδήει E ter H. — 36 εὔδμητον G. — 38 ἐπὶ ACDEGHL. γλαφυρῇcι G. ἐελμένοι ADH 1. man. S. Apoll. Lex. 62, 31: ἐεργμένοι CE 891, 27 GH sup. Barocc. Mor. Harl. Vrat. in litura. ἐεργμένοι ἢ ἐελμένοι E 891, 24 et 29. — 39 δειδιότεc κρατερὸν. μήcτωρα A.

A. c. 20 Aristarchus Κάρηcοc: Καρηcóc Tyrannio, conf. Eust. 890, 2. τὸ Κάρηcοc ἓν ἔχει τὸ c̄ Herodianus. Ῥοδίοc Herodianus, conf. Eust. 890, 7. — 25 ἐννῆμαρ: ἓν δ' ἦμαρ Callistratus teste Schol. B. τὸ δὲ ἐννῆμαρ τινὲc δι' ἑνὸc γράφουcι νῦ καὶ δαcύνουcιν ὧν καὶ ὁ Μαλλώτηc Κράτηc ἐcτίν Eust. 890, 35. — 26 cυνεχὲc: ἀρίcταρχοc καὶ ἀριcτοφάνηc διὰ τοῦ ἑτέρου ν̄ Didymus. — 30 οὕτωc ἀρίcταρχοc ἐποίηcεν Didymus. — 33 variat scriptura inter ἵεν, ἴεν et ἵει, conf. Herod. ad h. l., qui ἵει praefert, ἵεν vero reicit. vide Et. Mg. 467, 22. Eust. 891, 13. ἡ κοινὴ ἵει ἐcτίν Herodianus. — 34 ἄρ' ἔμελλον: Ζηνόδοτοc γράφει ὣc ἤμελλον ὄπιcθε Aristonicus.

αὐτὰρ ὅ γ' ὡc τὸ πρόcθεν ἐμάρνατο ἶcοc ἀέλλῃ.
ὡc δ' ὅτ' ἂν ἔν τε κύνεccι καὶ ἀνδράcι θηρευτῇcι
κάπριοc ἠὲ λέων cτρέφεται cθένεϊ βλεμεαίνων·
οἱ δέ τε πυργηδὸν cφέαc αὐτοὺc ἀρτύναντεc
ἀντίοι ἵcτανται καὶ ἀκοντίζουcι θαμειὰc
αἰχμὰc ἐκ χειρῶν· τοῦ δ' οὔ ποτε κυδάλιμον κῆρ
ταρβεῖ οὐδὲ φοβεῖται, ἀγηνορίη δέ μιν ἔκτα·
ταρφέα δὲ cτρέφεται cτίχαc ἀνδρῶν πειρητίζων·
ὅππῃ τ' ἰθύcῃ, τῇ τ' εἴκουcι cτίχεc ἀνδρῶν·
ὣc Ἕκτωρ ἀν' ὅμιλον ἰὼν ἐλλίccεθ' ἑταίρουc,
τάφρον ἐποτρύνων διαβαινέμεν. οὐδέ οἱ ἵπποι
τόλμων ὠκύποδεc, μάλα δὲ χρεμέτιζον ἐπ' ἄκρῳ
χείλει ἐφεcταότεc· ἀπὸ γὰρ δειδίccετο τάφροc
εὐρεῖ', οὔτ' ἄρ' ὑπερθορέειν cχεδὸν οὔτε περῆcαι
ῥηιδίη· κρημνοὶ γὰρ ἐπηρεφέεc περὶ πᾶcαν
ἕcταcαν ἀμφοτέρωθεν, ὕπερθεν δὲ cκολόπεccιν
ὀξέcιν ἠρήρει, τοὺc ἕcταcαν υἷεc Ἀχαιῶν
πυκνοὺc καὶ μεγάλουc, δηίων ἀνδρῶν ἀλεωρήν.
ἔνθ' οὔ κεν ῥέα ἵπποc ἐΰτροχον ἅρμα τιταίνων
ἐcβαίη, πεζοὶ δὲ μενοίνεον εἰ τελέουcι.

V. ι. 40 τοπρόcθεν HL. τὸ πρῶτον C. μάρνατο S. ἴcοc D. — 41 ὅταν CEHL. θηρευτῆcι ACDEGH. — 42 κάπροc G. — 43 ἀρτύναντac G. — 44 ἀντίοι libri. ἀντίοι ἢ ἀντίον E 891, 43. — 46 ἀγηνορίῃ S. — 47 omittit H in textu, habet in marg. man. rec. ταρφέά C. τάρφεά Apoll. Lex. 7, 22. — 48 ὅπῃ AE: ceteri ὅππῃ· ἰθύcει CDEL. ἰθύcει S. — 49 ὡc A. ἐλίccεθ' CL Cant. Mor. ἐλίcεθ' Townl. ἐλίςεθ' G. ἑλίccεθ' H. — 50 διαβαίνειν E. διαβήμεναι Townl. οὐ δὲ A. — 51 χραιμέτιζον C. δ' ἐχρεμέτϊζον H. — 52 χείλει ἑcταότεc L. χείλεϊ ἢ διcυλλάβωc χείλει ἑcταότεc καὶ ἄλλωc δὲ χείλει ἐφεcταότεc E 892, 26. ἐφεcταῶτεc Townl. ἀπο CH. ἄπο L. — 53 ἂρ EGL. ἀρ A. τ' ἄρ' et man. rec. γρ. γὰρ C., οὐ γὰρ Townl. — 54 ἐπϊρρεφέεc G Barocc. Mor. Cant. Harl. — 55 ἕcταcαν G. ὕπερθε CDG Townl. — 56 ἠρήρειcτ' οὓc ἕcταcαν Pseudoplut. 156, 44. ἔcταcαν H. — 58 εὔτροχον G. ἐΰξοον Vrat. A. ἐύξοον ἢ ἐύτροχον E. — 59 ἐcβαίῃ H. τελέουcι ACGH. ἢ τελέουcι Vrat. A.

A. c. 40 ἐμάρνατο: ἀριcτοφάνηc ἐμαίνετο Didymus. — 41 ἔν τιcι θηρευτῆρcι Schol. A, conf. ad Λ 325. — 44 ἀντίοι: γρ. ἀντίον, οὕτωc γὰρ ἀρίcταρχοc Didymus. — 46 ἀγηνορίη: οὕτωc χωρὶc τοῦ ῑ ἀρίcταρχοc, ὃc γρ. ἡ ἀγηνορία Didymus. — 49 ἐλλίccεθ' et εἱλίccεθ' Nicanor. τὸ δὲ ἐλίccετο ἀμφεβλήθη· τινὲc μὲν γὰρ ἐδάcυναν, νοοῦντεc αὐτὸ ἀντὶ τοῦ εἱλίccετο, ἐcτρέφετο, τινὲc δὲ ἐψίλωcαν Eust. 892, 23. — 54 ἀριcτοφάνηc διαπαcαν (sic) Didymus. — 55 ἕcταcαν Aristarchus, Ptolemaeus Ascalonita, Herodianus, δαcέωc. iidem v. 56 ἕcταcαν, ψιλῶc, conf. Et. Mg. 382, 21. — 59 ἐcβαίη: καββαίη Zenodotus et Aristophanes.

δὴ τότε Πουλυδάμας θραςὺν Ἕκτορα εἶπε παραςτάς·
Ἕκτόρ τ' ἠδ' ἄλλοι Τρώων ἀγοὶ ἠδ' ἐπικούρων,
ἀφραδέως διὰ τάφρον ἐλαύνομεν ὠκέας ἵππους.
ἡ δὲ μάλ' ἀργαλέη περάαν· ςκόλοπες γὰρ ἐν αὐτῇ
ὀξέες ἑςτᾶςι, προτὶ δ' αὐτοὺς τεῖχος Ἀχαιῶν.
ἔνθ' οὔ πως ἔςτιν καταβήμεναι οὐδὲ μάχεςθαι
ἱππεῦςι· ςτεῖνος γάρ, ὅθι τρώςεςθαι ὀΐω.
εἰ μὲν γὰρ τοὺς πάγχυ κακὰ φρονέων ἀλαπάζει
Ζεὺς ὑψιβρεμέτης, Τρώεςςι δὲ ἵετ' ἀρήγειν,
ἦ τ' ἂν ἐγώ γ' ἐθέλοιμι καὶ αὐτίκα τοῦτο γενέςθαι,
νωνύμνους ἀπολέςθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς·
εἰ δέ χ' ὑποςτρέψωςι, παλίωξις δὲ γένηται
ἐκ νηῶν, καὶ τάφρῳ ἐνιπλήξωμεν ὀρυκτῇ,
οὐκέτ' ἔπειτ' ὀΐω οὐδ' ἄγγελον ἀπονέεςθαι
ἄψορρον προτὶ ἄςτυ ἑλιχθέντων ὑπ' Ἀχαιῶν.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες.
ἵππους μὲν θεράποντες ἐρυκόντων ἐπὶ τάφρῳ,
αὐτοὶ δὲ πρυλέες ςὺν τεύχεςι θωρηχθέντες
Ἕκτορι πάντες ἑπώμεθ' ἀολλέες· αὐτὰρ Ἀχαιοὶ
οὐ μενέους', εἰ δή ςφιν ὀλέθρου πείρατ' ἐφῆπται.

V. ι. 61 τ' omitt. D. ἦδ' A. τρῴων L. ἐπικούρω[οι]ν A. — 62 διά: γρ. περὶ A. ἐλαύνομεν ὠκέας ἵππους, ἢ κατά τινας, οὐ μέντοι καλῶς, ἐλαύνετε μώνυχας ἵππους E 892, 55. — 63 ἢ δὲ C. περάαν G. ἐναυτῆι A. ἀν' αὐτὴν C. — 64 ἑςτᾶςι DG: ceteri ἑςτᾶςιν. προτὶ D Schol. V. ποτὶ A. περὶ CGHLS Cant. Lips. Mor. Townl. Vrat. b. Flor. — 65 οὔπω G Barocc. ἐςτὶν ACL. ἐςτὶ G ἐςτι D. — 66 ἱππεῦςιν DH. — 67 εἰ μὲν γὰρ δὴ ACDEGHL. εἰ μὲν δὴ S. πάγχι L. ἀλαπάξει L. — 68 τριῴεςςι L. δὲ ἵετ' L: δὲ βούλετ' ACDEGHS. βούλετο νίκην ἢ μάλιςτα Τρώεςςι δὲ βούλετ' ἀρήγειν Eust. 893, 5. — 69 ἤτ' D. ἐγὼν Bachm. Anecd. II, 142, 6. ἔγωγε θέλοιμι L. — 70 νωνύμνους AH Apoll. Lex. 117, 20: νωνύμους CDGLS. νωνύμους ἢ νωνύμνους E. — 71 παλίωξις A. δὲ: τὲ G. — 72 ἐνιπλήξομεν H. — 73 οὐκ ἔτ' E. οἴω CDH. — 74 πρὸ τὶ H. ἑλιχθέντων ACGL. ελιχθέντων D. — 75 ἐγὼ ACDEGHLS cum libris Heynii. — 76 τάφρον G Barocc. — 78 ἀολέες D.

A. c. 64 ἑςτᾶςι προτὶ, conf. Φ 532 ἔλθωςι προτὶ, Χ 217 Ἀχαιοῖςι προτὶ, Κ 347 ςτρατόφι(ν) προτιειλεῖν, H. U. 254 sq. — 66 ἱππεῦςι: ἱππῆας Aristophanes cum Zenodoto. — 67 ἀριςτοφάνης εἰ μὲν γὰρ τοὺς πάγχυ Didymus, pro Ἀριςτοφάνης habet Schol. V Ἀρίςταρχος. — 68 βούλετ': ἵετ' (sic) ἀρήγειν οὕτως πᾶςαι Didymus, de πᾶςαι conf. H. T. 138 sqq. — 70 νωνύμνους, conf. H. U. 274. — 77 Ζηνόδοτος διὰ τοῦ τ τὼς ἂν ἐγὼ εἴπω Didymus. — 79 Ζηνόδοτος καὶ ἀριςτοφάνης πεῖραρ ἑνικῶς Didymus.

ὣς φάτο Πουλυδάμας, ἅδε δ' Ἕκτορι μῦθος ἀπήμων,
αὐτίκα δ' ἐξ ὀχέων ςὺν τεύχεςιν ἆλτο χαμᾶζε.
οὐδὲ μὲν ἄλλοι Τρῶες ἐφ' ἵππων ἠγερέθοντο,
ἀλλ' ἀπὸ πάντες ὄρουςαν, ἐπεὶ ἴδον Ἕκτορα δῖον.
ἡνιόχῳ μὲν ἔπειτα ἑῷ ἐπέτελλεν ἕκαςτος
ἵππους εὖ κατὰ κόςμον ἐρυκέμεν αὖθ' ἐπὶ τάφρῳ·
οἱ δὲ διαςτάντες, ςφέας αὐτοὺς ἀρτύναντες,
πένταχα κοςμηθέντες ἅμ' ἡγεμόνεςςιν ἕποντο.
οἳ μὲν ἅμ' Ἕκτορ' ἴςαν καὶ ἀμύμονι Πουλυδάμαντι,
οἳ πλεῖςτοι καὶ ἄριςτοι ἔςαν, μέμαςαν δὲ μάλιςτα
τεῖχος ῥηξάμενοι κοίλῃς ἐπὶ νηυςὶ μάχεςθαι.
καί ςφιν Κεβριόνης τρίτος εἵπετο· πὰρ δ' ἄρ' ὄχεςφιν
ἄλλον Κεβριόναο χερείονα κάλλιπεν Ἕκτωρ.
τῶν δ' ἑτέρων Πάρις ἦρχε καὶ Ἀλκάθοος καὶ Ἀγήνωρ,
τῶν δὲ τρίτων Ἕλενος καὶ Δηΐφοβος θεοειδής,
υἷε δύω Πριάμοιο· τρίτος δ' ἦν Ἄςιος ἥρως,
Ἄςιος Ὑρτακίδης, ὃν Ἀρίςβηθεν φέρον ἵπποι
αἴθωνες μεγάλοι, ποταμοῦ ἄπο Ϲελλήεντος.
τῶν δὲ τετάρτων ἦρχεν ἐὺς πάις Ἀγχίςαο,
Αἰνείας, ἅμα τῷ γε δύω Ἀντήνορος υἷε,
Ἀρχέλοχός τ' Ἀκάμας τε, μάχης εὖ εἰδότε πάςης.
Ϲαρπηδὼν δ' ἡγήςατ' ἀγακλειτῶν ἐπικούρων,
πρὸς δ' ἕλετο Γλαῦκον καὶ ἀρήιον Ἀςτεροπαῖον·
οἳ γάρ οἱ εἴςαντο διακριδὸν εἶναι ἄριςτοι

V. ι. 80 ὡς A. ἅδε CDE 893, 30 et 47. — 81 ἐξοχέων AD. ἅλτο D. χαμᾶζε ADE: χαμάζε CGHL. — 82 τρῷες L. — 83 ἀπο D. ἄπο G. ἀπο-[π]βάντες L. ἀποβάντες H. — 85 αὖτ' H. ἐπιτάφρωι A. τάφρον L. — 86 ἀρτύναντο L. — 87 ἕποντο: ἕκαςτοι L. γρ. ἕκαςτος A. — 88 οἳ μὲν C. ἕκτορ[ι]' A. — 90 τεῖχός τε ῥήξειν καὶ ἐνιπρήςειν (ἐμπρήςειν G Barocc.) πυρὶ νῆας GS Cant. Mor. Barocc. Harl. Vrat. A. fragm. Mosc. ἐν ἄλλῳ τεῖχος ῥηξάμενοι κοιλῆις ἐπὶ νηυςὶ μάχεςθαι A ut in textu. — 91 παρ DH. ἆρ G. ἀρ A. — 94 ἕλενος H. — 95 δύο CD, conf. H. U. 46. τρίτος: τρίτατος DG. πριάμου τρίτατος Barocc. Mor. Vrat. b. — 96 τὸν C. — 97 ἄπο AG Io. Alexandr. 26, 30: ἀπὸ CDHL. — 98 παῖς H. — 99 τῷ γε: τώδε H. — 101 ἡγεῖτο L: ceteri ἡγήςατ', D ἡγήςατο. ἀγακλυτῶν Draco de Metr. 10, 23. — 102 προς CD. — 103 οἳ γὰρ DG. οἳ γάρ CHL.

A. c. 85 αὖθ': τὸ ὅλον αὖτε ἐπιτάφρω Schol. A. τινὲς αὖθι Schol. V. — 87 ἕποντο: alii ἕκαςτοι teste Nicanore. — 101 ἡγεῖτο defendit Ahrens. de hiatus Homerici legitimis quibusdam generibus pg. 24, conf. 88, 91, 93, 98.

τῶν ἄλλων μετά γ' αὐτόν· ὃ δ' ἔπρεπε καὶ διὰ πάντων.
οἳ δ' ἐπεὶ ἀλλήλους ἄραρον τυκτῇςι βόεςςι,
βάν ῥ' ἰθὺς Δαναῶν λελιημένοι, οὐδ' ἔτ' ἔφαντο
cχήcεcθ', ἀλλ' ἐν νηυςὶ μελαίνῃςιν πεςέεςθαι.
ἔνθ' ἄλλοι Τρῶες τηλεκλειτοί τ' ἐπίκουροι
βουλῇ Πουλυδάμαντος ἀμωμήτοιο πίθοντο·
ἀλλ' οὐχ' Ὑρτακίδης ἔθελ' Ἄσιος, ὄρχαμος ἀνδρῶν,
αὖθι λιπεῖν ἵππους τε καὶ ἡνίοχον θεράποντα,
ἀλλὰ cὺν αὐτοῖςιν πέλαςεν νήεςςι θοῇςι,
νήπιος, οὐδ' ἄρ' ἔμελλε κακὰς ὑπὸ κῆρας ἀλύξας,
ἵπποιςιν καὶ ὄχεςφιν ἀγαλλόμενος, παρὰ νηῶν
ἂψ ἀπονοςτήςειν προτὶ Ἴλιον ἠνεμόεςςαν·
πρόςθεν γάρ μιν μοῖρα δυςώνυμος ἀμφεκάλυψεν
ἔγχεϊ Ἰδομενῆος, ἀγαυοῦ Δευκαλίδαο.
εἴςατο γὰρ νηῶν ἐπ' ἀριςτερά, τῇ περ Ἀχαιοὶ
ἐκ πεδίου νίςςοντο cὺν ἵπποιςιν καὶ ὄχεςφι·
τῇ ῥ' ἵππους τε καὶ ἅρμα διήλαςεν, οὐδὲ πύλῃςιν
εὗρ' ἐπικεκλιμένας cανίδας καὶ μακρὸν ὀχῆα,
ἀλλ' ἀναπεπταμένας ἔχον ἀνέρες, εἴ τιν' ἑταίρων
ἐκ πολέμου φεύγοντα cαώςειαν μετὰ νῆας.
τῇ ῥ' ἰθὺς φρονέων ἵππους ἔχε, τοὶ δ' ἅμ' ἕποντο
ὀξέα κεκλήγοντες· ἔφαντο γὰρ οὐκέτ' Ἀχαιοὺς

V. L. 104 μετὰ δ' H. μετ' αὐτὸν G. ὃ δ' DL. ὅδ' CGH. δια A. — 105 οἳ δ' D. οἵδ' CGHL. πυκτῇςι G. βόεςςὶ ACDGH. — 106 οὐδέ τ' ἔφαντο ACDGHLS cum libris Heynii. οὐ γὰρ ἔφαντο E. — 107 cχήcεcθαι DG. μελαίνῃςι DEG. — 108 ἄλλοι πάντες D. τρῷες L. τηλεκλειτοί AC DG 1. man. H. Townl. 1. man. Vrat. b. τηλεκλητοί G 2. man. L. τελεκλ[η]εῖτοί S. — 111 ἵππον Cant. — 112 αὐτοῖςι DG. πέλαςςεν G. νηυςὶ D. θοῇςι ACDGH. — 113 ἂρ CDEGL. ὑπο AGHL. — 114 ἵπποιςι DEL. ὄχεςφι D. — 115 ἐπινοςτήςειν L. προτι D. πρὸ τὶ H. ποτὶ GS. — 116 πρόςθε D. δυςώνυμον A. — 117 ἔγχει C 1. man. DH. δευκαλίονος G. δευκαλίωνος Mor. Barocc. — 118 ὅπου Ἀχαιοὶ E. — 119 νείςοντο D Harl. Lips. Townl. Vrat. A. Fragm. Mosc. νί[ει]cοντο C. νί[ει]ςςοντο H. νίςοντο Vrat. b. ἵπποιςι DEG. ὄχεςφι CDG. — 120 τὲ H. ἅρματα DG. — 121 ἐπικεκλιςμένας G. — 122 ἑτάρων G. — 123 cαώςειαν G. μετα A. — 124 ἔχεν οἵδ' L. — 125 κεκλήγοντες ACDEHS: κεκληγότες GL Townl. ἔφατο H.

A. c. 106 οὐδ' ἔτ' Barnesius correxit, conf. Indic. ad editionem meam Odysseae pg. 347. — 119 νίςςοντο, conf. H. T. 316 sq. — 125 κεκλήγοντες Herodianus. videntur fuisse qui κεκληγῶτες scriberent conf. Did. ad Π 430 κεκλήγοντες: κεκληγῶτες ἐν τῇ ἑτέρᾳ τῶν Ἀριςτάρχου. ξ 30 κεκληγῶτες καὶ κεκλήγοντες διχῶς αἱ Ἀριςταρχειοι. Herod. ad μ 256 ἐὰν διὰ τοῦ ω̄ προπεριςπᾶται, ἐὰν δὲ διὰ τῶν ν̄τ̄, ὡς λέγοντας.

cχήcεcθ', ἀλλ' ἐν νηυςὶ μελαίνῃςιν πεςέεςθαι,
νήπιοι, ἐν δὲ πύλῃςι δύ' ἀνέρας εὗρον ἀρίςτους,
υἷας ὑπερθύμους Λαπιθάων αἰχμητάων,
τὸν μὲν Πειριθόου υἷα, κρατερὸν Πολυποίτην,
τὸν δὲ Λεοντῆα, βροτολοιγῷ ἶςον Ἄρηι.
τὼ μὲν ἄρα προπάροιθε πυλάων ὑψηλάων
ἕςταςαν ὡς ὅτε τε δρύες οὔρεςιν ὑψικάρηνοι,
αἵ τ' ἄνεμον μίμνουςι καὶ ὑετὸν ἤματα πάντα,
ῥίζῃςιν μεγάλῃςι διηνεκέεςς' ἀραρυῖαι·
ὣς ἄρα τὼ χείρεςςι πεποιθότες ἠδὲ βίηφι
μίμνον ἐπερχόμενον μέγαν Ἄςιον οὐδὲ φέβοντο.
οἳ δ' ἰθὺς πρὸς τεῖχος ἐύδμητον βόας αὔας
ὑψός' ἀναςχόμενοι ἔκιον μεγάλῳ ἀλαλητῷ
Ἄςιον ἀμφὶ ἄνακτα καὶ Ἰαμενὸν καὶ Ὀρέςτην
Ἀςιάδην τ' Ἀδάμαντα Θόωνά τε Οἰνόμαόν τε.
οἳ δ' ἦ τοι εἵως μὲν ἐυκνήμιδας Ἀχαιοὺς
ὄρνυον ἔνδον ἐόντες ἀμύνεςθαι περὶ νηῶν·

V. L. 126 μελαίνῃςι DG Schol. Ο 56. — 128 υἱέας G. — 129 υἱέα Townl. — 131 πυλάων CDEHLS: θυράων AG. γρ. καὶ πυλάων A. — 132 ἔςταςαν EGL. ὡς ὅτε δρύες (L δρῦες) ἐν GL Mor. τε omitt. C post ras. Lips. τοι pro τε Vrat. b. A. ὑψικάρηνοι A. — 133 ἤματα DG. ἤματα πάντα A. — 134 ῥίζῃςι DEG. διηνεκέες' G. διηνεκέες Mor. Cant. — 135 ὡς A. τὼ: τοὶ E. βίηφι ADHL. βίῃφι CEG. — 136 οὐδὲ φέβοντο ACE 896, 6 LS Townl. Lips. Eton. (?) fragm. Mosc. Schol. Ν 389. — 137 οἳ δ' D. οἵδ' CGHL. εὐθὺς Rhet. Gr. III, 237, 7. εὔδμητον GH. — 138 omitt. H in textu, habet in marg. man. rec. ὕψος L. — 139 ἀμφιάνακτα D. καὶ post ἄνακτα omitt. L. — 140 ἀδάμαντα ACDGHS Cant. Mor. Barocc. Harl. fragm. Mosc. Vrat. b. Flor. ἀκάμαντα L. — 141 οἵδ' CGH. οἳ δὴ τοι L. οἱ δή τοι D Harl. Townl. fragm. Mosc. ἕως E. [τε]ἕως H. εὐκνήμιδας DGH. ΕΥΚΝΗΜΕΙΔΑC Ambros. ἐϋκνήμιδ[ε]ας ἀχαιο[ι]ὺς C. — 143 ὄρνυον ADLS Schol. Μ 127 ΟΡΝΥΟΝ Ambros.: ὤρνυον CEGH Barocc. Townl. ἐόντας L Barocc. Cant. Vrat. A. Flor. ΕΟΝΤΑC Ambros. ἐόντ[εc]ας S. ἀμύναςθαι E.

A. c. 127, 128 ἀνέρας . . . . ἀρίςτους, υἷας ὑπερθύμους: ἀνέρε . . . . ἀρίςτω, υἷε ὑπερθύμω Zenodotus et Aristophanes. — 130 τινὲς ἐπάγουςι τῷ ἶςον Ἄρηϊ „υἱὸν ὑπερθύμοιο Κορωνοῦ Καινείδαο“ (= Β 746) Schol. V. — 131—153 Ἡφαιςτίων δὲ διπλῆν τὴν γραφὴν εἶναι ἔφη, καὶ δεῖν περιγράφειν ἢ τοὺς ι´ ςτίχους (131—140) τοὺς ἀπὸ τοῦ „τὼ μὲν ἄρα προπάροιθε“ μέχρι τοῦ „Ἀςιάδην τ' Ἀδάμαντα“, ἢ τοὺς ιγ´ (141—153) τοὺς ἀπὸ τοῦ „οἱ δ' ἤτοι εἵως μὲν“ μέχρι τοῦ „λαοῖςι καθύπερθε“ Porphyrius. — 137 αὔας Ptolem. Ascalonita et Herodianus: αὐάς Nicias. — 138 ἔκιον: κιέτην Aristophanes cum Zenodoto, conf. Schol. 127. — 139 Ἰαμενὸν Aristarchus ψιλῶς. Ptolem. Ascalonita inter Ἰαμενὸν et Ἱαμενόν haesitat, conf. Et. Mg. 463, 31 et Herodianum ad 193, qui assentitur Aristarcho. — 142 οὕτως ἀρίςταρχος ἐόντες κατὰ τὴν εὐθεῖαν Didymus.

αὐτὰρ ἐπεὶ δὴ τεῖχος ἐπεσσυμένους ἐνόησαν
Τρῶας, ἀτὰρ Δαναῶν γένετο ἰαχή τε φόβος τε,
ἐκ δὲ τὼ ἀΐξαντε πυλάων πρόσθε μαχέσθην,
ἀγροτέροισι σύεσσιν ἐοικότε τώ τ' ἐν ὄρεσσιν
ἀνδρῶν ἠδὲ κυνῶν δέχαται κολοσυρτὸν ἰόντα,
δοχμώ τ' ἀΐσσοντε περὶ σφίσιν ἄγνυτον ὕλην,
πρυμνὴν ἐκτάμνοντες, ὑπαὶ δέ τε κόμπος ὀδόντων
γίγνεται, εἰς ὅ κέ τίς τε βαλὼν ἐκ θυμὸν ἕληται·
ὣς τῶν κόμπει χαλκὸς ἐπὶ στήθεσσι φαεινὸς
ἄντην βαλλομένων· μάλα γὰρ κρατερῶς ἐμάχοντο
λαοῖσιν καθύπερθε πεποιθότες ἠδὲ βίηφιν.
οἳ δ' ἄρα χερμαδίοισιν ἐυδμήτων ἀπὸ πύργων
βάλλον ἀμυνόμενοι σφῶν τ' αὐτῶν καὶ κλισιάων
νηῶν τ' ὠκυπόρων. νιφάδες δ' ὥς πῖπτον ἔραζε,
ἅς τ' ἄνεμος ζαὴς νέφεα σκιόεντα δονήσας
ταρφειὰς κατέχευεν ἐπὶ χθονὶ πουλυβοτείρῃ·
ὣς τῶν ἐκ χειρῶν βέλεα ῥέον, ἠμὲν Ἀχαιῶν
ἠδὲ καὶ ἐκ Τρώων· κόρυθες δ' ἀμφ' αὖον ἀύτευν
βαλλόμεναι μυλάκεσσι καὶ ἀσπίδες ὀμφαλόεσσαι.
δή ῥα τότ' ᾤμωξέν τε καὶ ὣ πεπλήγετο μηρὼ

V. L. 144 τρῷας L. αὐτὰρ G γένετ' CDL. φόβος: πόνος L. — 145 ΤΩΙ Ambr. πρόσθεν G. ἀΐξαντε: ὁρμήσαντε? Eust. 896, 25. — 146 ἐοικότες DHS Townl. Vrat. b. A. τώ τ': οἵ τ' H Townl. ὄρεσσι DH. — 147 ΔЄΧЄΤΑΙ Ambros. δεδέχαται H. δέχατο .... ἐόντα Zonar. Lex. 1229. — 148 δοχμῷ L. περι τέ σφισιν D. περὶ δέ σφισι Townl. in C man. rec. add. δὲ post περί. — 149 ἐκτάμνοντε CH Lips. post ras. ὕπαι D. — 150 γίγνεται L. ΓΙΓΝЄΤΑΙ Ambr. γίνεται ADEGH Draco de Metr. 28, 15. τε omitt. L. ἐκ E 896, 33: ἀπὸ E 896, 36. ἕλοιτο Barocc. — 151 ὡς AD 1. man. ἐπὶ: ἐνὶ L. στήθεσφι D. — 153 λαοῖσι DE. καθῦπερθε A. καθύπερθεν G. βίηφι ADH. βίῃφι CEG. — 154 οἵδ' CGHL. εὐδμήτων DH. — 155 σφῶν δ' D. — 156 ὧς E. πῖπτον A Schol. M 278: πίπτον CDEGHL. — 158 πολυβοτείρῃ D. — 159 ὡς AD 1. man. — 160 τρῴων L. κόρυθος^ε A. ἀμφ' αὐτὸν L. αὗον D. ἀΰτεον H. ἀΰτευν ἤγουν ἀΰτεον E 897, 15. — 161 βαλλόμεναι^ων A. — 162 δὴ ῥὰ CDHL. ᾤμωξέ τε G. καὶ ἐπεπλήγετο L. ᾧ ... μηρῷ C ex corr. man. rec. D Townl., conf. O 113, 397, ν 198.

A. c. 144 φόβος Aristarchus. — 147 οὕτως ἐν ἁπάσαις δέχαται Didymus. — 148 δοχμώ Herodianus. — 153 λαοῖσιν: λάεσσιν Zenodotus. τὸ δὲ βίηφι χωρὶς τοῦ ῑ ἐστιν Schol. V, conf. H. U. 185. — 157 ζαής Ptol. Ascalonita et Herodianus cum Aristarcho, vide Herod. ad μ 313: alii ζάης. — 158 Aristarchus et Ptolem. Ascalonita ταρφειάς: ταρφείας Dionysius Thrax, conf. Herod. ad T 355, A 52. — 159 οὕτως διὰ τοῦ ō ῥέον. ὁμηρικὸν τὸ σχῆμα Didymus. alii ῥέεν, conf. Schol. N 617. — 160 ἀμφ' αὖον Herodianus. — 161 ἀρίσταρχος βαλλομένων ἄλλοι δὲ βαλλόμεναι Didymus. βαλλόμεναι: οὕτω Ζηνόδοτος Schol. V.

Ἄσιος Ὑρτακίδης, καὶ ἀλαστήσας ἔπος ηὔδα·
Ζεῦ πάτερ, ἦ ῥά νυ καὶ σὺ φιλοψευδὴς ἐτέτυξο
πάγχυ μάλ'· οὐ γὰρ ἐγώ γ' ἐφάμην ἥρωας Ἀχαιοὺς
σχήσειν ἡμέτερόν γε μένος καὶ χεῖρας ἀάπτους.
οἳ δ', ὥς τε σφῆκες μέσον αἰόλοι ἠὲ μέλισσαι
οἰκία ποιήσωνται ὁδῷ ἔπι παιπαλοέσσῃ,
οὐδ' ἀπολείπουσιν κοῖλον δόμον, ἀλλὰ μένοντες
ἄνδρας θηρητῆρας ἀμύνονται περὶ τέκνων,
ὣς οἵ γ' οὐκ ἐθέλουσι πυλάων καὶ δύ' ἐόντε
χάσσασθαι, πρίν γ' ἠὲ κατακτάμεν ἠὲ ἁλῶναι.
ὣς ἔφατ', οὐδὲ Διὸς πεῖθε φρένα ταῦτ' ἀγορεύων·
Ἕκτορι γάρ οἱ θυμὸς ἐβούλετο κῦδος ὀρέξαι.
ἄλλοι δ' ἀμφ' ἄλλῃσι μάχην ἐμάχοντο πύλῃσιν.
ἀργαλέον δέ με ταῦτα θεὸν ὣς πάντ' ἀγορεῦσαι.
πάντῃ γὰρ περὶ τεῖχος ὀρώρει θεσπιδαὲς πῦρ
λάινον· Ἀργεῖοι δὲ καὶ ἀχνύμενοί περ ἀνάγκῃ
νηῶν ἠμύνοντο· θεοὶ δ' ἀκαχείατο θυμὸν
πάντες, ὅσοι Δαναοῖσι μάχης ἐπιτάρροθοι ἦσαν.
σὺν δ' ἔβαλον Λαπίθαι πόλεμον καὶ δηιοτῆτα.
ἔνθ' αὖ Πειριθόου υἱός, κρατερὸς Πολυποίτης,
δουρὶ βάλεν Δάμασον κυνέης διὰ χαλκοπαρῄου·
οὐδ' ἄρα χαλκείη κόρυς ἔσχεθεν, ἀλλὰ διὰ πρὸ
αἰχμὴ χαλκείη ῥῆξ' ὀστέον, ἐγκέφαλος δὲ

V. L. 163 ηὖδα D. — 164 φιλοψευδὴς A. φιλοψευδής γ' S. — 166 ἡμέτερόν τε Townl. — 167 οἵδ' CGHL. — 168 ποιήσωνται AD Lips. 2. man. Vrat. b. 1. man. ποιήσονται CEGHLS Rhet. Gr. III, 158, 12. ἔπι AE: ἐπὶ CDGL Rhet. Gr. III, 158, 12. Et. Gud. 392, 25. ἐνὶ H. — 169 ἀπολείπουσι DEG. — 171 ὡς AD 1. man. οἵ γ': οἵδ' DL. ἐόντες DG Barocc. — 172 χάσασθαι DEG. ἠὲ κτάμεν D. κατακτάμεν' G. ἀλῶναι A. — 173 ὡς A. πεῖθεν H. πεῖσε L. πεῖθε G post ras. — 175 πύλῃσι G. — 176 δ' ἐμὲ L. ὡς AD. ἀγορεῦσαι^ειν A. — 177 πάντη AE: ceteri πάντῃ, ita Rhet. Gr. III, 218, 8; 238, 22. — 179 ἀκαχήατο LS Cant. Eton. 1. man. Fragm. Mosc. Vrat. b. A. θυμὸν libri mei cum Cant. Harl. Eton. Lips. Fragm. Mosc. Vrat. b. ἐν ἄλλῳ θυμῷ A. — 180 ὅσσοι G. — 181 συνδ' CD. — 183 βάλε G. χαλκοπαρήου A. χαλκοπαρείου G. — 184 διὰ πρὸ ADL: ceteri διαπρὸ. δι' αὐτῆς Townl. — 185 χαλκείη ACD: ἱεμένη L Barocc. Townl. ἱεμένη G. ἰαμένη H, conf. Υ 399 (O 543, Υ 280, Φ 70).

A. c. 171 Aristarchus οἵδ', alii οἵ γ'. — 175—181 ἀθετοῦνται Aristonicus. ἠθετοῦντο δὲ καὶ παρὰ Ἀριστοφάνει, παρὰ Ζηνοδότῳ δὲ οὐδὲ ἐγράφοντο Didymus, vid. Ariston. ad O 414.

ἔνδον ἅπαϲ πεπάλακτο· δάμαϲϲε δέ μιν μεμαῶτα.
αὐτὰρ ἔπειτα Πύλωνα καὶ Ὄρμενον ἐξενάριξεν·
υἱὸν δ' Ἀντιμάχοιο Λεοντεύϲ, ὄζοϲ Ἄρηοϲ,
Ἱππόμαχον βάλε δουρὶ κατὰ ζωϲτῆρα τυχήϲαϲ.
αὖτιϲ δ' ἐκ κολεοῖο ἐρυϲϲάμενοϲ ξίφοϲ ὀξὺ
Ἀντιφάτην μὲν πρῶτον, ἐπαΐξαϲ δι' ὁμίλου,
πλῆξ' αὐτοϲχεδίην· ὁ δ' ἄρ' ὕπτιοϲ οὔδει ἐρείϲθη·
αὐτὰρ ἔπειτα Μένωνα καὶ Ἰαμενὸν καὶ Ὀρέϲτην
πάνταϲ ἐπαϲϲυτέρουϲ πέλαϲε χθονὶ πουλυβοτείρῃ.
ὄφρ' οἳ τοὺϲ ἐνάριζον ἀπ' ἔντεα μαρμαίροντα,
τόφρ' οἳ Πουλυδάμαντι καὶ Ἕκτορι κοῦροι ἕποντο,
οἳ πλεῖϲτοι καὶ ἄριϲτοι ἔϲαν, μέμαϲαν δὲ μάλιϲτα
τεῖχόϲ τε ῥήξειν καὶ ἐνιπρήϲειν πυρὶ νῆαϲ,
οἵ ῥ' ἔτι μερμήριζον ἐφεϲταότεϲ παρὰ τάφρῳ.
ὄρνιϲ γάρ ϲφιν ἐπῆλθε περηϲέμεναι μεμαῶϲιν,
αἰετὸϲ ὑψιπέτηϲ ἐπ' ἀριϲτερὰ λαὸν ἐέργων,
φοινήεντα δράκοντα φέρων ὀνύχεϲϲι πέλωρον
ζωόν, ἔτ' ἀϲπαίροντα· καὶ οὔ πω λήθετο χάρμηϲ.
κόψε γὰρ αὐτὸν ἔχοντα κατὰ ϲτῆθοϲ παρὰ δειρὴν
ἰδνωθεὶϲ ὀπίϲω· ὁ δ' ἀπὸ ἕθεν ἧκε χαμᾶζε
ἀλγήϲαϲ ὀδύνῃϲι, μέϲῳ δ' ἐνὶ κάββαλλ' ὁμίλῳ,
αὐτὸϲ δὲ κλάγξαϲ πέτετο πνοιῇϲ ἀνέμοιο.
Τρῶεϲ δ' ἐρρίγηϲαν, ὅπωϲ ἴδον αἰόλον ὄφιν

V. L. 186 δάμηϲε G. μιν omitt. G. — 187 Πέλωρα Vrat. b. ὀρμενον C. ὁρμενον A. — 189 κατα A. — 190 αὖθιϲ C. ἐρυϲάμενοϲ D. — 191 διομίλου D. ὅμιλον H. — 192 ὅδ' CGHL. ἆρ ADGL. οὔδει ἐρείϲθη: οὖδαϲ ἔρειϲεν L. — 194 πέλαϲεν H. — 195 οἳ ACDGHL. ἐνάριξαν S. ἀπέντεα D. ὑπ' ἔντεα H. — 196 οἳ ACDGHL. — 197 omitt. A in textu. — 198 τε omitt. L. ῥῆξαι . . . . ἐνιπρῆϲαι D, ceteri ῥήξειν et ἐνιπρήϲειν cum Cant. Mor. Barocc. Harl. Lips. Fragm. Mosc. Vrat. b. A. — 199 ἑϲταότεϲ L. παρα A. περὶ H. τάφρον DH Townl. — 200 ἀπῆλθε G. μεμαῶϲι D. μεμαῷϲϊν G. — 204 γάρ αὐτον A Apoll. de Pron. 33 A; 41 C; 77 C. Plato Ion. 539 B. Bekk. Anecd. 1153. ἔχοντα omitt. G et τὸ post κατὰ add. — 205 ὃ δ' D. ὅδ' CGHL. ἀποέθεν A. χαμᾶζε ADE Apoll. de Pron. 97 C; de Adv. 599, 19: χαμάζε CGHL. — 206 ἐνι CD. ἐν S. ἐγκάββαλ' H Townl. Plato Ion. 539 C. κάμβαλ' CS Lips. Vrat. A. Flor. — 207 πέτετο: ἕπετο Plato l. l. πέτετο ποτὶ πνοιῇϲ G. — 208 τρῷεϲ L. ὅπωϲ: ἐπεὶ Draco de Metr. 6, 24. Bachm. Anecd. II, 185, 1. Villoison. Anecd. II, 86. ὄφιν: ὄπφιν S. ὄ|||φῖν Cant. ὄφιν (π supra) H.

A. c. 192 οὖδαϲ ἔρειϲεν Aristarchus, conf. Λ 144. — 193 Ἰαμενὸν Herodianus cum Aristarcho, conf. ad 139. — 201 Aristarchus ὑψιπέτηϲ, alii ὑψιπετῆϲ (ab ὑψιπετήειϲ Χ 308). — 204 γάρ αὐτον Herodianus cum Apollonio. — 205 ἰδνωθείϲ Alexio cum ceteris; ψιλῶϲ. — 208 ὄφιν:

κείμενον ἐν μέϲϲοιϲι, Διὸϲ τέραϲ αἰγιόχοιο.
δὴ τότε Πουλυδάμαϲ θραϲὺν Ἕκτορα εἶπε παραϲτάϲ·
"Ἕκτορ, ἀεὶ μέν πώϲ μοι ἐπιπλήϲϲειϲ ἀγορῇϲιν
ἐϲθλὰ φραζομένῳ, ἐπεὶ οὐδὲ μὲν οὐδὲ ἔοικε
δῆμον ἐόντα παρὲξ ἀγορευέμεν, οὔτ' ἐνὶ βουλῇ
οὔτε ποτ' ἐν πολέμῳ, ϲὸν δὲ κράτοϲ αἰὲν ἀέξειν·
νῦν αὖτ' ἐξερέω ὥϲ μοι δοκεῖ εἶναι ἄριϲτα.
μὴ ἴομεν Δαναοῖϲι μαχηϲόμενοι περὶ νηῶν.
ὧδε γὰρ ἐκτελέεϲθαι ὀίομαι, εἰ ἐτεόν γε
Τρωϲὶν ὅδ' ὄρνιϲ ἦλθε περηϲέμεναι μεμαῶϲι,
[αἰετὸϲ ὑψιπέτηϲ ἐπ' ἀριϲτερὰ λαὸν ἐέργων,]
φοινήεντα δράκοντα φέρων ὀνύχεϲϲι πέλωρον
ζωόν· ἄφαρ δ' ἀφέηκε, πάροϲ φίλα οἰκί' ἱκέϲθαι,
οὐδ' ἐτέλεϲϲε φέρων δόμεναι τεκέεϲϲιν ἑοῖϲιν.
ὣϲ ἡμεῖϲ, εἴ πέρ τε πύλαϲ καὶ τεῖχοϲ Ἀχαιῶν
ῥηξόμεθα ϲθένεϊ μεγάλῳ, εἴξωϲι δ' Ἀχαιοί,
οὐ κόϲμῳ παρὰ ναῦφιν ἐλευϲόμεθ' αὐτὰ κέλευθα·
πολλοὺϲ γὰρ Τρώων καταλείψομεν, οὕϲ κεν Ἀχαιοὶ
χαλκῷ δῃώϲωϲιν ἀμυνόμενοι περὶ νηῶν.
ὧδέ χ' ὑποκρίναιτο θεοπρόποϲ, ὃϲ ϲάφα θυμῷ
εἰδείη τεράων καί οἱ πειθοίατο λαοί.
τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προϲέφη κορυθαίολοϲ Ἕκτωρ·

V. L. 209 μέϲϲω H. — 211 πωϲ AC. — 212 ἔοικε ACEGH. — 213 πάρεξ DH. ἐνι AD. — 214 οὔτέ ποτ' ACGHL. ϲόνδε C. κράτοϲ: ἐν ἄλλῳ ϲὸν δὲ κλέοϲ A. — 215 νῦν αὖτ' ACDHL Lips., vulgo νῦν δ' αὖτ'. ἐρέω G. ἄριϲτον ἢ ἄριϲτα E. — 216 μαχηϲάμενοι D. — 218 τρῳϲὶν L. ὄρνιϲ ἐπῆλθε ACDEGHLS. μεμαῶϲι CD. — 219 omitt. A in textu CD in t. H in text. Lips. — 221 ἄφαρ δ' ἔηκε D. οἰκία G. οἰκι' οἰκέϲθαι D. — 222 οὐδὲ τέλεϲϲε S. — 223 ὡϲ AD 1. man. εἴπέρ τε ACDEGH: vulgo εἴπερ τε. — 224 εἴξουϲϊ C. — 225 ναῦφι L. ναῦϲφιν Barocc. αὐτοκέλευθ D. — 226 τρῴων L. — 227 δηϊώϲουϲιν G Lips. Flor. δηϊόϲουϲιν L. δηϊόϲωϲιν C. δηϊώϲωϲιν D. δηϊώϲωϲι Townl. Vrat. b. δῃώϲωϲιν H. δῃώϲωϲι Fragm. Mosc. Eton. — 228 ᾧδέ H. ὑπεκρίνετο G. ὑπεκρίνετο (αι supra) H. ὑποκρίνατο Eton. Fragm. Mosc. — 229 ΕΙΔΕΙΗΙ Ambros. ΠΕΠΙΘΟΙΑΤΟ Ambros. — 230 ἀρ D. ἀρ A. ἆρ CL. ἄρα G. κορυθαιόλοϲ A.

ἄλλοι δὲ ὄπφιν μετέγραψαν Eust. 900, 12, conf. 1577, 53; 1775, 35. ὄφιν Herodianus apud Villoison. Anecd. II, 86.

A. c. 211 Aristarchus ἐπιπλήϲϲειϲ διὰ τοῦ π̄: alii ἐνιπλήϲϲειϲ. — 218 ὄρνιϲ ἦλθε: χωρὶϲ τῆϲ προθέϲεωϲ αἱ ἀριϲτάρχου Didymus, conf. ὡϲ δ' ὄρνῑϲ ἀπτῆϲι Ι 323; ἔϲτι πόλῑϲ Ἐφύρη Ζ 152; Κιϲϲηῒϲ ἄλοχοϲ Ζ 299. — 230 τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προϲέφη Aristarchus: Zenodotus τὸν δ' ἠμείβετ' ἔπειτα μέγαϲ.

Πουλυδάμα, cὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις·
οἶcθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆcαι.
εἰ δ' ἐτεὸν δὴ τοῦτον ἀπὸ cπουδῆc ἀγορεύειc,
ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὤλεcαν αὐτοί,
ὃc κέλεαι Ζηνὸc μὲν ἐριγδούποιο λαθέcθαι
βουλέων, ἅc τέ μοι αὐτὸc ὑπέcχετο καὶ κατένευcε·
τύνη δ' οἰωνοῖcι τανυπτερύγεccι κελεύειc
πείθεcθαι, τῶν οὔ τι μετατρέπομ' οὐδ' ἀλεγίζω,
εἴτ' ἐπὶ δεξί' ἴωcι πρὸc ἠῶ τ' ἠέλιόν τε,
εἴτ' ἐπ' ἀριcτερὰ τοί γε ποτὶ ζόφον ἠερόεντα.
ἡμεῖc δὲ μεγάλοιο Διὸc πειθώμεθα βουλῇ,
ὃc πᾶcι θνητοῖcι καὶ ἀθανάτοιcιν ἀνάccει.
εἷc οἰωνὸc ἄριcτοc, ἀμύνεcθαι περὶ πάτρηc.
τίπτε cὺ δείδοικαc πόλεμον καὶ δηιοτῆτα;
εἴ περ γάρ τ' ἄλλοι γε περικτεινώμεθα πάντεc
νηυcὶν ἐπ' Ἀργείων, coὶ δ' οὐ δέοc ἔcτ' ἀπολέcθαι·
οὐ γάρ τοι κραδίη μενεδήιοc οὐδὲ μαχήμων.
εἰ δὲ cὺ δηιοτῆτοc ἀφέξεαι, ἠέ τιν' ἄλλον
παρφάμενοc ἐπέεccιν ἀποτρέψειc πολέμοιο,
αὐτίκ' ἐμῷ ὑπὸ δουρὶ τυπεὶc ἀπὸ θυμὸν ὀλέccειc.
ὣc ἄρα φωνήcαc ἡγήcατο, τοὶ δ' ἅμ' ἕποντο
ἠχῇ θεcπεcίῃ· ἐπὶ δὲ Ζεὺc τερπικέραυνοc
ὦρcεν ἀπ' Ἰδαίων ὀρέων ἀνέμοιο θύελλαν,
ἥ ῥ' ἰθὺc νηῶν κονίην φέρεν· αὐτὰρ Ἀχαιῶν
θέλγε νόον, Τρωcὶν δὲ καὶ Ἕκτορι κῦδοc ὄπαζε.

V. L. 231 οὐκέτι G. — 232 ΑΜΕΙΜΟΝΑ Ambr. ἀμύμονα S et in marg. ἀμείνονα. τοῦδε: τούτου L. — 234 ἐξάρα ACD. — 236 ἅc τέ AE GL. ἃc τέ CDH: vulgo ἅcτε. κατένευcε A Ambr. CEGH. — 238 μετὰ τρέπομ' A. μετατρέπομαι GL. — 239 ἐπιδέξι' Cant. Mor. ἠῶ τ' D. — 240 ἐπαριcτερὰ A. — 243 ἀμύναcθαι ES Rom. Bekk. Anecd. 1271. Schol. Eurip. Phoen. 902. — 245 γε omitt. H. περικτεινώμεθα ACDEGH Stob. Floril. VIII, 4. alii περὶ κτεινώμεθα. — 246 ἐπαργείων A. — 248 ἀφίξεαι D Cant. ἤ έτιν D. εἴ τέ τιν' C. — 249 ἀποcτρέψειc CDEGHLS Cant. Mor. Harl. Eton. Fragm. Mosc. Lips. ἀποτρέψηc Townl. πολέμοιο: πολεμίζειν H. — 250 ὑποδουρὶ A. ἀπὸ omitt. G. ἄπο AC. ὀλέcειc G. ὀλέccηc Eton. Lips. Fragm. Mosc. — 251 ὡc A. οἱ δ' E. — 252 τερπικέραυνοc A. — 253 ὦρcεν: ὦcεν G. θύελλα D. — 255 τρῳcὶν L. τρωcὶ CDEG Schol. Ε 334. ὄπαζε ACGH. ὄπαccεν (ζ) L. ὀπάζει Et. Mg. 627, 27. Schol. Ε 334.

A. c. 231 Πουλυδάμα Aristarchus: Zenodotus et Chamaeleo Πουλυδάμαν. — 246 παρὰ Ζηνοδότῳ νηυcὶν ὑπαργείων Didymus.

τοῦ περ δὴ τεράεccι πεποιθότεc ἠδὲ βίηφι
ῥήγνυcθαι μέγα τεῖχοc Ἀχαιῶν πειρήτιζον.
κρόccαc μὲν πύργων ἔρυον, καὶ ἔρειπον ἐπάλξειc,
cτήλαc τε προβλῆταc ἐμόχλεον, ἃc ἄρ' Ἀχαιοὶ
πρώταc ἐν γαίῃ θέcαν ἔμμεναι ἔχματα πύργων.
τὰc οἵ γ' αὐέρυον, ἔλποντο δὲ τεῖχοc Ἀχαιῶν
ῥήξειν. οὐδέ νύ πω Δαναοὶ χάζοντο κελεύθου,
ἀλλ' οἵ γε ῥινοῖcι βοῶν φράξαντεc ἐπάλξειc
βάλλον ἀπ' αὐτάων δηίουc ὑπὸ τεῖχοc ἰόνταc.
ἀμφοτέρω δ' Αἴαντε κελευτιόωντ' ἐπὶ πύργων
πάντοcε φοιτήτην, μένοc ὀτρύνοντεc Ἀχαιῶν.
ἄλλον μειλιχίοιc, ἄλλον cτερεοῖc ἐπέεccι
νείκεον, ὅν τινα πάγχυ μάχηc μεθιέντα ἴδοιεν·
ὦ φίλοι, Ἀργείων ὅc τ' ἔξοχοc ὅc τε μεcήειc
ὅc τε χερειότεροc, ἐπεὶ οὔ πω πάντεc ὁμοῖοι
ἀνέρεc ἐν πολέμῳ, νῦν ἔπλετο ἔργον ἅπαcι.
καὶ δ' αὐτοὶ τόδε που γιγνώcκετε. μή τιc ὀπίccω
τετράφθω ποτὶ νῆαc ὁμοκλητῆροc ἀκούcαc,
ἀλλὰ πρόccω ἵεcθε καὶ ἀλλήλοιcι κέλεcθε,
αἴ κε Ζεὺc δώῃcιν Ὀλύμπιοc ἀcτεροπητὴc
νεῖκοc ἀπωcαμένουc δηίουc προτὶ ἄcτυ δίεcθαι.
ὣc τώ γε προβοῶντε μάχην ὤτρυνον Ἀχαιῶν.

V. L. 256 βίηφι ACDGHL. βίῃφι E bis. — 258 ἔριπον ADH Lips. Townl. Vrat. b. 1. man. — 259 ἐμόχλευον GHS Apoll. Lex. 134, 33. ἀρ A. ἂρ DEL. — 261 αὐέρυον A. αὖ ἔρυον CDEGHLS. — 262 νυ CDH. — 263 οἵ γ' ἐν HLS Cant., conf. Η 474, Ν 406, H. U. pg. 60. — 264 αὐτέων G. ἰόνταc: ἐόνταc S Cant. — 265 κελευτιόων δ' ἐπὶ πύργῳ Schol. Ν 125. — 266 φοιτοίτην G Barocc. κατά τινα τῶν ἀντιγράφων διὰ διφθόγγου γράφεται φοιτείτην ὡc τὸ κομείτην (Θ 113). — 267 ἐπέεccι ACGH Rhet. Gr. II, 391, 7. — 269 μεccήειc G. — 271 ἅπαcι ACDEGH. — 272 γιγνώcκετε L: γινώcκετε ACDEGH. — 273 ποτὶ CHLS. ποτι A: vulgo προτὶ. ἀκούcαc AG Barocc. Harl. ἀκούων CDHLS Et. Mg. 625, 14. A . . . ΩΝ Syr. γρ. καὶ ἀκούων A. — 274 πρόcω LS Syr. ἴεcθε A. ἵεcθε CGHL. ἵεcθαι D. — 275 αἴ κεν D. δώιηcιν AD. ΔΩΗCΙΝ Syr. — 276 νῖκοc C Townl. Eton. Vrat. A. Fragm. Mosc. προτὶ ACG. πρὸ τὶ H. προτιάcτυ D. ποτὶ LS. — 277 ὡc A. τώ γε: οἵγε H. ὤτρυναν D. ἀχαιῶν οὺc S.

A. c. 276 ἀρίcταρχοc νῖκοc διὰ τοῦ ῑ Didymus. Ἡρωδιανὸc διὰ μόνου τοῦ ῑ Schol. BL. τὸ δίεcθαι ἡ παράδοcιc προπαροξύνει Herodianus, conf. Et. Mg. 273, 14. Zonar. Lex. 48. H. T. 226. — 277 κατ' ἔνια τῶν ὑπομνημάτων προβάοντε, οἷον προβαίνοντεc καὶ ἀμείβοντεc τόπον ἐκ τόπου. διχῶc οὖν Didymus.

τῶν δ', ὥς τε νιφάδες χιόνος πίπτωσι θαμειαὶ
ἤματι χειμερίῳ, ὅτε τ' ὤρετο μητίετα Ζεὺς
νιφέμεν, ἀνθρώποισι πιφαυσκόμενος τὰ ἃ κῆλα·
κοιμήσας δ' ἀνέμους χέει ἔμπεδον, ὄφρα καλύψῃ
ὑψηλῶν ὀρέων κορυφὰς καὶ πρώονας ἄκρους
καὶ πεδία λωτοῦντα καὶ ἀνδρῶν πίονα ἔργα,
καί τ' ἐφ' ἁλὸς πολιῆς κέχυται λιμέσιν τε καὶ ἀκταῖς,
κῦμα δέ μιν προσπλάζον ἐρύκεται· ἄλλά τε πάντα
εἴλυται καθύπερθ', ὅτ' ἐπιβρίσῃ Διὸς ὄμβρος·
ὣς τῶν ἀμφοτέρωσε λίθοι πωτῶντο θαμειαί,
αἱ μὲν ἄρ' ἐς Τρῶας, αἱ δ' ἐκ Τρώων ἐς Ἀχαιούς,
βαλλομένων· τὸ δὲ τεῖχος ὕπερ πᾶν δοῦπος ὀρώρει.
οὐδ' ἄν πω τότε γε Τρῶες καὶ φαίδιμος Ἕκτωρ
τείχεος ἐρρήξαντο πύλας καὶ μακρὸν ὀχῆα,
εἰ μὴ ἄρ' υἱὸν ἑὸν Σαρπηδόνα μητίετα Ζεὺς
ὦρσεν ἐπ' Ἀργείοισι, λέονθ' ὣς βουσὶν ἕλιξιν.
αὐτίκα δ' ἀσπίδα μὲν πρόσθ' ἔσχετο πάντοσ' ἐίσην,
καλὴν χαλκείην, ἐξήλατον, ἣν ἄρα χαλκεὺς
ἤλασεν, ἔντοσθεν δὲ βοείας ῥάψε θαμειὰς
χρυσείῃς ῥάβδοισι διηνεκέσιν περὶ κύκλον·
τὴν ἄρ' ὅ γε πρόσθε σχόμενος, δύο δοῦρε τινάσσων,

V. ι. 278 πίπτουσι D. πίπτωσιν ἔραζε Townl. — 279 ὅτέ H. μητιέτα L. — 280 πιφασκόμενος GH Mor. — 281 κοιμίσας CL Cant. Lips. κοιμίσσας Harl. ὄφρ' ἂν καλύψοι L. — 282 ἄκρας H. — 283 λωτεῦντα AC DEGHLS Syr. Apoll. Lex. 109, 21. Pseudopl. 106, 40. — 284 ἐφαλὸς D. πολιῆς omitt. D. λιμέσι E. — 285 ἄλλά τε ACHL. — 286 εἴλυται D 2. man. HL. εἰλῦται AD 1. man. εἰλῦται ἢ εἰλύαται E 904, 55, conf. 905, 25. εἰλύατο Vrat. b. 1. man. γρ. εἰλύαται A, ita CG. καθ' ὕπερθ' CD. ἔτ' D pro ὅτ'. ἐπιβρίσει CEH. — 287 ὡς AD 1. man. ἀμφοτέρωθε ἢ ἀμφοτέρωσε E. ποτῶντο G. — 288 αἳ μὲν C. ἂρ DEG. ἀρ A. εἰς τρῶας G. τρῷας L. αἳ δ' D. αἵδ' CGHL. τρῴων L. — 289 ὑπερ AD. ὑπὲρ CEGH. ὄρωρεν H. — 290 τρῷες L. — 291 ἐρήξαντο Lips. — 292 ἂρ DEGL. ἀρ A. ΑΡ' Syr. ἑὸν omitt. D. μητιέτα L. — 293 ἀργείοισιν D. ὡς AD 1. man. [ΕΛΙ]ΞΕΙΝ Syr. — 294 πρόσθεν σχέτο L. ἔχετο πάντοσε ἴσιν S. πάντοσε ἴσην DL. πάντοσε ἶσην A. — 295 χαλκείην: χρυσείην Vrat. b. A. ἐξήλατον S Cant. — 296 ἔλασεν H. ἔντοσθε CE bis. ἔραψε H. — 297 χρυσείοις D. χρυσείαις E. διηνεκέεσσι G. — 298 ἂρ DG. ἀρ A. δοῦρα G Mor.

A. c. 281 ἔμπεδον Aristarchus: ἄσπετον Massiliensis. — 283 λωτεῦντα: ἀρίσταρχος διὰ τοῦ ο̅ λωτοῦντα Didymus. οὕτως αἱ Ἀριστάρχου καὶ ἡ Μασσαλιωτική Schol. V, conf. Schol. L ἡ Μασσαλιωτικὴ ἔκδοσις λέγει λωτοῦντα. — 286 εἰλῦται vel εἴλυται Herodianus. — 295 ἐξήλατον Zenodotus et Nicanor: ἐξήλατον Aristarchus, conf. Eust. 905, 60 sqq. — 296 ἤλασεν: ἐξέλας' Zenodotus. — 297 Ptolem. Ascalonita et Herodianus περὶ κύκλον: alii περίκυκλον.

βῆ ῥ' ἴμεν ὥς τε λέων ὀρεσίτροφος, ὅς τ' ἐπιδευὴς
δηρὸν ἔῃ κρειῶν, κέλεται δέ ἑ θυμὸς ἀγήνωρ
μήλων πειρήσοντα καὶ ἐς πυκινὸν δόμον ἐλθεῖν.
εἴ περ γάρ χ' εὕρῃσι παρ' αὐτόφι βώτορας ἄνδρας
σὺν κυσὶ καὶ δούρεσσι φυλάσσοντας περὶ μῆλα,
οὔ ῥά τ' ἀπείρητος μέμονε σταθμοῖο δίεσθαι,
ἀλλ' ὅ γ' ἄρ' ἢ ἥρπαξε μετάλμενος, ἠὲ καὶ αὐτὸς
ἔβλητ' ἐν πρώτοισι θοῆς ἀπὸ χειρὸς ἄκοντι·
ὥς ῥα τότ' ἀντίθεον Σαρπηδόνα θυμὸς ἀνῆκε
τεῖχος ἐπαΐξαι διά τε ῥήξασθαι ἐπάλξεις.
αὐτίκα δὲ Γλαῦκον προσέφη, παῖδ' Ἱππολόχοιο·
Γλαῦκε, τί ἢ δὴ νῶι τετιμήμεσθα μάλιστα
ἕδρῃ τε κρέασίν τε ἰδὲ πλείοις δεπάεσσιν
ἐν Λυκίῃ, πάντες δὲ θεοὺς ὣς εἰσορόωσι;
καὶ τέμενος νεμόμεσθα μέγα Ξάνθοιο παρ' ὄχθας,
καλὸν φυταλιῆς καὶ ἀρούρης πυροφόροιο.
τῶ νῦν χρὴ Λυκίοισι μέτα πρώτοισιν ἐόντας
ἑστάμεν ἠδὲ μάχης καυστείρης ἀντιβολῆσαι,
ὄφρά τις ὧδ' εἴπῃ Λυκίων πύκα θωρηκτάων·
οὐ μὰν ἀκληεῖς Λυκίην κάτα κοιρανέουσιν

V. ι. 300 εἴῃ D. ἔῃν G. — 301 εἰς A. γρ. καὶ ἐς πυκινὸν A. — 302 γὰρ ἄν χ' εὕρῃσι G. παραυτόφι DE. παρ' αὐτὸν Lips. — 303 ἐν κυσὶ H. δούρεσι C 1. man. G. δούρασι E. περι AD. — 304 οὐρά D. ῥα C. μέμονεν H. — 305 ἀλλ' ὃ γὰρ DGH. ἀρ A. ἄρ' omitt. L. ὄγε ἢ E. ἥρπαζε D 1. man. S. — 306 ἄπο A. — 307 ὣς ῥὰ GL. ὡς ἄρα D. ἀνῆκε ACG Syr. — 308 ἐπαῗξαι Schol. Π 558: ἐπαΐξαι ACDEGL Syr. Eust. 900, 38. ἐπαΐξας H. — 310 τί, ἡ νῶϊ A. τι δὴ νῶϊ D. ΤΙΗΔΕΝΩΙ Syr. — 311 κρέασί τε ἠδὲ G. τε ἰδὲ ACDEHL Syr. ΔΕΠΑΕCCΙ Syr. — 312 ὡς A. εἰσορόωσι ACDEGH. ΕΙCΟΡΟΩCΙΝ Syr. — 313 παρόχθας D. — 314 καλλὸν D. πυρροφόροιο C. πυρϊφόροιο G. — 315 τῶ ACGHL Syr. τῷ DE. μετὰ CEGH. — 316 καϋστείρης ACGH. καυστηρῆς D. ἀϋστηρῆς S. ἀντιβολῆσαι A. — 317 ὄφρά τις ACDH. ᾧδ' H. λυκῖων ὧδ' εἴπῃ C. — 318 οὐ μὴν L Vrat. b. ἀκληεῖς ADHLS Cant. Harl. Lips. Townl. Eton. Fragm. Mosc. Vrat. b. Schol. Κ 167. ΑΚΛΗΕΙC Syr. ἀκλεεῖς CG. ἀκλειεῖς E 906, 27; 907, 49. διὰ τοῦ η̅ (ἀκληεῖς) πολλὰ τῶν ἀκριβῶν ἀντιγράφων ἔχει Eust. 907, 53. κάτα κοιρανέουσιν H: κατακοιρανέουσιν ACDEGL Schol. Κ 167. ΚΑΤΑΚΟΙΡΑΝΕΟΥCΑΝ Syr.

A. c. 303 τὸ δὲ δούρασι „δούρεσσι“ γράφουσιν οἱ ἀκριβέστεροι Eust. 906, 19. — 311 τε ἰδὲ, conf. ad Δ 147. — 318 οὕτως ακλεες αἱ ἀριστάρχου καὶ αἱ χαριέστεραι Didymus. ἀκλεες δὲ Ἀρίσταρχος κατὰ συγκοπὴν ὡς τὸ δυσκλέα (Β 115) Schol. A. scribendum est ἀκληεῖς ut ζαχρηεῖς Μ 347, 360.

ἡμέτεροι βαςιλῆες, ἔδουςί τε πίονα μῆλα
οἶνόν τ' ἔξαιτον μελιηδέα· ἀλλ' ἄρα καὶ ἲς
ἐςθλή, ἐπεὶ Λυκίοιςι μέτα πρώτοιςι μάχονται.
ὦ πέπον, εἰ μὲν γὰρ πόλεμον περὶ τόνδε φυγόντε
αἰεὶ δὴ μέλλοιμεν ἀγήρω τ' ἀθανάτω τε
ἔςςεςθ', οὔτέ κεν αὐτὸς ἐνὶ πρώτοιςι μαχοίμην
οὔτέ κε cὲ cτέλλοιμι μάχην ἐς κυδιάνειραν·
νῦν δ', ἔμπης γὰρ κῆρες ἐφεςτᾶςιν θανάτοιο
μυρίαι, ἃς οὐκ ἔςτι φυγεῖν βροτὸν οὐδ' ὑπαλύξαι,
ἴομεν, ἠέ τῳ εὖχος ὀρέξομεν, ἠέ τις ἡμῖν.
ὣς ἔφατ', οὐδὲ Γλαῦκος ἀπετράπετ' οὐδ' ἀπίθηςε.
τὼ δ' ἰθὺς βήτην Λυκίων μέγα ἔθνος ἄγοντε.
τοὺς δὲ ἰδὼν ῥίγης' υἱὸς Πετεῶο Μενεςθεύς·
τοῦ γὰρ δὴ πρὸς πύργον ἴςαν κακότητα φέροντες.
πάπτηνεν δ' ἀνὰ πύργον Ἀχαιῶν, εἴ τιν' ἴδοιτο
ἡγεμόνων, ὅς τίς οἱ ἀρὴν ἑτάροιςιν ἀμύναι·
ἐς δ' ἐνόης' Αἴαντε δύω, πολέμου ἀκορήτω,
ἑςταότας, Τεῦκρόν τε νέον κλιςίηθεν ἰόντα,
ἐγγύθεν· ἀλλ' οὔ πώς οἱ ἔην βώςαντι γεγωνεῖν·
τόςςος γὰρ κτύπος ἦεν, ἀυτὴ δ' οὐρανὸν ἷκε,
βαλλομένων ςακέων τε καὶ ἱπποκόμων τρυφαλειῶν
καὶ πυλέων· πᾶςαι γὰρ ἐπώχατο, τοὶ δὲ κατ' αὐτὰς

V. l. 319 ἔδουςι δὲ Townl. τε omitt. Syr. — 320 οἶνον δ' Vrat. A. — 321 μετα A. μετὰ CDEGHL Syr. — 322 περι, τόνδε S. φυγόντε ACH Harl. Lips. Eton. Fragm. Mosc. φυγόντες DEGLS Syr. Pseudoplut. 146, 55. Clem. Alexandr. Strom. VI, 2 § 21. — 324 οὔτέ κεν ACDGH. ἐνι AD. πρώτοιςι: προμάχοιςι S Cant. — 325 οὖτέ κε ACH. οὐτέ κε D. κέ ϲε EL Syr. μάχην ἀνὰ C. εἰς Clem. Alex. l. l. — 326 ἐφεςτᾶςι DGL. ἐφέςταςαν Vrat. A. — 327 βροτὸν φυγεῖν G. — 328 ἠέ τω δόξαν L. εἴ κε τῳ εὖχος Clem. Alexandr. — 329 ὡς A. ἔφατ'ο L. ἐπετράπετ' C. ἀπίθηςε ACG Syr. — 330 ἰθὺς: γρ. εὐθὺς Lips. ἰθὺς βλήτην G. ἄγοντες GL Barocc. — 331 τούςδε G. ῥίγηςεν C 1. man. Lips. ῥίγηςε G. — 333 πάπτηνεν C. πάπτηνε E. ἀνα AD. — 334 ὅςτίς οἱ ACD. εἴ τϊς οἱ H. ἀμύνει G Mor. Barocc. ἀμῦναι D. ἀμύνοιεν L. — 335 ἐνόηςε αἴαντας G. — 336 ἑςταότες L. — 337 οὔ πώς C. οὔπω G. βώςοντι L. — 338 τόςος E. τόςςον Apoll. Lex. 54, 3. ἷκε ACE. ἧκεν GL. ΙΚΕΝ Syr. ἷκεν DH. ἧκε Et. Mg. 171, 34. — 339 τριφαλειῶν L. — 340 πᾶςαι A Apoll. Lex. 75, 16. Et. Mg. 657, 25: πάςας CDEGHLS Syr. Barocc. Townl. Fragm. Mosc. Vrat. b. A. cum plerisque. πάςαις Harl. ἐπῴχατο AH Et. Mg. 368, 35; 657, 25. ἐπώχατο Harl. Apoll. Lex. 75, 16. ἐπῴχετο CDGS Syr. ἐπώχετο L Barocc. Fragm. Mosc. Vrat. A. ἐπῴχετο ἢ ἐπῴχατο E. τοίδε CG.

A. c. 330 οὕτως ἀρίςταρχος μέγα ἔθνος ἄγοντε δυϊκῶς Didymus. — 333 πύργον: τεῖχος Bekker. (2) ex coniectura. — 337 Aristarchus γεγωνεῖν: γεγώνειν Ptolem. Ascalonita, conf. H. T. 217. — 340 οὕτως ἀρίςταρχος πάςας γὰρ ἐπώχατο Didymus. τὸ δὲ ἐπῴχατο διὰ τοῦ ᾱ καὶ ςὺν τῷ ῑ (conf. Et. Mg. 368, 35), οἷον ἐπικεκλιμέναι ἦςαν, ἐπέκειντο. Ζηνόδοτος ἐπῴχετο Aristonicus. ἐὰν γράφεται ἐπῴχετο, τὸ πρὸ αὐτοῦ πάςας γραφέςθω, unde patet Aristarchum non πάςας sed πᾶςαι scripsisse, quod exhibet Venetus A. conf. Apoll. Lex. 75, 14. Et. Mg. 657, 25.

ἑςτάμενοι πειρῶντο βίῃ ῥήξαντες ἐςελθεῖν,
αἶψα δ' ἐπ' Αἴαντα προΐει κήρυκα Θοώτην·
ἔρχεο δῖε Θοῶτα, θέων Αἴαντα κάλεςςον,
ἀμφοτέρω μὲν μᾶλλον· ὃ γάρ κ' ὄχ' ἄριςτον ἁπάντων
εἴη, ἐπεὶ τάχα τῇδε τετεύξεται αἰπὺς ὄλεθρος.
ὧδε γὰρ ἔβριςαν Λυκίων ἀγοί, οἳ τὸ πάρος περ
ζαχρηεῖς τελέθουςι κατὰ κρατερὰς ὑςμίνας.
εἰ δέ ςφιν καὶ κεῖθι πόνος καὶ νεῖκος ὄρωρεν,
ἀλλά περ οἶος ἴτω Τελαμώνιος ἄλκιμος Αἴας,
καί οἱ Τεῦκρος ἅμ' ἑςπέςθω τόξων εὖ εἰδώς.
ὣς ἔφατ', οὐδ' ἄρα οἱ κῆρυξ ἀπίθηςεν ἀκούςας,
βῆ δὲ θέειν παρὰ τεῖχος Ἀχαιῶν χαλκοχιτώνων,
ςτῆ δὲ παρ' Αἰάντεςςι κιών, εἶθαρ δὲ προςηύδα·
Αἶαντ', Ἀργείων ἡγήτορε χαλκοχιτώνων,
ἠνώγει Πετεῶο διοτρεφέος φίλος υἱὸς
κεῖς' ἴμεν, ὄφρα πόνοιο μίνυνθά περ ἀντιάςητον,
ἀμφοτέρω μὲν μᾶλλον· ὃ γάρ κ' ὄχ' ἄριςτον ἁπάντων
εἴη, ἐπεὶ τάχα κεῖθι τετεύξεται αἰπὺς ὄλεθρος·
ὧδε γὰρ ἔβριςαν Λυκίων ἀγοί, οἳ τὸ πάρος περ

V. l. 341 εἰςελθεῖν H. — 342 ΑΙΑΝΤΕ Syr. — 343 αἴαντα ACDGHS Cant. Mor. Harl. Vrat. b. A. αἴαντε EL Syr. — 344 ὃ ACDGHL. γάρ χ' ἄριςτον G. — 345 τεύξεται D. — 346 τοπάρος H. τοπάρος L, accentu supra ο eraso. — 347 ζαχρειεῖς G. ξαχρῆς (ει supra) H. — 348 ςφι DG Syr. κακεῖθι DH Syr. κἀκεῖθι G. — 349 ἄλκιμος υἱος D. ἄλκιμος omitt. G. — 350 ἅμ' ἑπέςθω CDGS. ἅμα ςπέςθω H. ΑΜΑϹΠΕϹΘΩ Syr. — 351 ὡς A. κῆρυξ ACGH. κήρυξ DL Syr. — 352 δε D. θέων DG. παρὰ AD: κατὰ CGHS Syr. Cant. Harl. Townl. Eton. Fragm. Mosc. Schol. Μ 333. κατὰ λαὸν L. γρ. κατὰ τεῖχος A. — 353 ςτῆ δὲ παρ': ςτῆ δ' ἄρ ἐπ' E. τινὰ δὲ τῶν ἀντιγράφων κάλλιον ἔχουςι τὸ ςτῆ δὲ παρ' Αἰάντεςςι Eust. 905, 35. προςηῦδα D. — 355 διοτροφέος H. — 356 ἀντιάςητε G. — 347 ὃ ACDGHL. — 358 τεύξεται G. — 359 τοπάρος HL.

A. c. 342, 343 Αἴαντα: Αἴαντε Zenodotus. — 348 ἐκ πλήρους τὸν ςύνδεςμον καὶ κεῖθι (Aristarchus), Didymus. ὅτι Ζηνόδοτος γράφει εἰ δέ ςφιν κἀκεῖςε Aristonicus. — 350 ἀθετεῖται Aristonicus. καὶ Ἀριςτοφάνης ἠθέτει Didymus. — 359 ὧδε Aristarchus: Zenodotus κεῖςε.

ζαχρηεῖϲ τελέθουϲι κατὰ κρατερὰϲ ὑϲμίναϲ.
εἰ δὲ καὶ ἐνθάδε περ πόλεμοϲ καὶ νεῖκοϲ ὄρωρεν,
ἀλλά περ οἶοϲ ἴτω Τελαμώνιοϲ ἄλκιμοϲ Αἴαϲ,
καί οἱ Τεῦκροϲ ἅμ' ἑϲπέϲθω τόξων εὖ εἰδώϲ.
ὣϲ ἔφατ', οὐδ' ἀπίθηϲε μέγαϲ Τελαμώνιοϲ Αἴαϲ.
αὐτίκ' Ὀϊλιάδην ἔπεα πτερόεντα προϲηύδα·
Αἶαν, ϲφῶι μὲν αὖθι, ϲὺ καὶ κρατερὸϲ Λυκομήδηϲ
ἑϲταότεϲ Δαναοὺϲ ὀτρύνετον ἶφι μάχεϲθαι·
αὐτὰρ ἐγὼ κεῖϲ' εἶμι καὶ ἀντιόω πολέμοιο.
αἶψα δ' ἐλεύϲομαι αὖτιϲ, ἐπὴν εὖ τοῖϲ ἐπαμύνω.
ὣϲ ἄρα φωνήϲαϲ ἀπέβη Τελαμώνιοϲ Αἴαϲ,
καί οἱ Τεῦκροϲ ἅμ' ἤϊε καϲίγνητοϲ καὶ ὄπατροϲ·
τοῖϲ δ' ἅμα Πανδίων Τεύκρου φέρε καμπύλα τόξα.
εὖτε Μενεϲθῆοϲ μεγαθύμου πύργον ἵκοντο
τείχεοϲ ἐντὸϲ ἰόντεϲ, ἐπειγομένοιϲι δ' ἵκοντο,
οἳ δ' ἐπ' ἐπάλξειϲ βαῖνον ἐρεμνῇ λαίλαπι ἶϲοι,
ἴφθιμοι Λυκίων ἡγήτορεϲ ἠδὲ μέδοντεϲ·
ϲὺν δ' ἐβάλοντο μάχεϲθαι ἐναντίον, ὦρτο δ' ἀυτή.
Αἴαϲ δὲ πρῶτοϲ Τελαμώνιοϲ ἄνδρα κατέκτα,
Ϲαρπήδοντοϲ ἑταῖρον, Ἐπικλῆα μεγάθυμον,
μαρμάρῳ ὀκριόεντι βαλών, ὅ ῥα τείχεοϲ ἐντὸϲ
κεῖτο μέγαϲ παρ' ἔπαλξιν ὑπέρτατοϲ· οὐδέ κέ μιν ῥέα
χείρεϲϲ' ἀμφοτέρῃϲ ἔχοι ἀνήρ, οὐδὲ μάλ' ἡβῶν,

V. l. 360 ζαχρειεῖϲ G. κατα D. ΚΡΑΤΕΡΗΝ ΥϹΜΙΝΗΝ Syr. — 361 ΟΡΩΡΕ Syr. — 362 ἄλκιμοϲ omitt. G. — 363 ἅμα ἑπέϲθω CDGS. ΑΜΑ ϹΠΕϹΘΩ Syr. — 364 ὡϲ A. — 365 προϲηῦδα D. — 366 αὖθι omitt. H. ϲὺ καὶ: καὶ ὁ GH. — 368 κεῖθι εἶμι G. — 369 omitt. G Barocc. αὖθϊϲ CH. εὖ omitt. C in quo man. rec. substituit καὶ. ἐπιτείλω ἢ ἐπαμύνω E. — 371 ἤϊε A in marg. DGL. ΗΙΕ Syr. — 372 τοῖϲ δ' ἄρα H. πανδήων G. — 373 ΟΥΤΕ ΜΕΝΕϹΘΗ͂ΟϹ Syr. — 374 omitt. Syr. ἐελδομένοιϲι Townl. ἐπειγομένοιϲ δὲ ἵκοντο L. ἵκοντο: ἵκανον S Cant. Vrat. b. pro var. lect. — 375 οἳ δ' D. οἵδ' CGHL. — 377 ϲυν D. ἐβάλλοντο G. — 379 Ἐπικλῆα: Ὀϊκλῆα Apoll. Lex. 140, 20. — 380 ὀκρυόεντι L. ὃ ῥὰ L. ὃϲ ῥὰ G. ὅϲ ῥα D 2. man. — 381 οὐδέ κε μιν CH Syr. κε omitt. D. κεν G. ῥεῖα H. — 382 χείρεϲϲ' ἀμφοτέρῃϲ A in marg. CL. χείρεϲϲ' ἀμφοτέρῃϲιν H Townl. χείρεϲϲιν ἀμφοτέραιϲ E. χείρεϲϲιν ἀμφοτέροιϲιν D. χείρεϲιν ἀμφοτέρῃϲ

A. c. 360 ζαχρηεῖϲ Herodianus. — 363 ἀθετεῖται Aristonicus. — 365 Ὀϊλιάδην: ἄρ' Ἰλιάδην Zenodotus, conf. Ν 694, 712; Ξ 442; Ο 333. — 366 ϲφῶι: ϲφῶε Zenodotus. — 368 κεῖϲ': ὅτι Ζηνόδοτοϲ γράφει κεῖθι Aristonicus. — 371 εἴρηται (350, 362) ὅτι διεϲκεύαϲται Schol. A. — 372 ἀθετεῖται Schol. V. — 382 χείρεϲϲ' ἀμφοτέρῃϲ ἔχοι Aristarchus: „χειρί γε τῇ ἑτέρῃ ἔχοι“ αἱ κοινότεραι.

οἷοι νῦν βροτοί εἰϲ'· ὃ δ' ἄρ' ὑψόθεν ἔμβαλ' ἀείραϲ,
θλάϲϲε δὲ τετράφαλον κυνέην, ϲὺν δ' ὀϲτέ' ἄραξε
πάντ' ἄμυδιϲ κεφαλῆϲ· ὃ δ' ἄρ' ἀρνευτῆρι ἐοικὼϲ
κάππεϲ' ἀφ' ὑψηλοῦ πύργου, λίπε δ' ὀϲτέα θυμόϲ.
Τεῦκροϲ δὲ Γλαῦκον, κρατερὸν παῖδ' Ἱππολόχοιο,
ἰῷ ἐπεϲϲύμενον βάλε τείχεοϲ ὑψηλοῖο,
ᾗ ῥ' ἴδε γυμνωθέντα βραχίονα, παῦϲε δὲ χάρμηϲ.
ἂψ δ' ἀπὸ τείχεοϲ ἆλτο λαθών, ἵνα μή τιϲ Ἀχαιῶν
βλήμενον ἀθρήϲειε καὶ εὐχετόῳτ' ἐπέεϲϲι.
Ϲαρπήδοντι δ' ἄχοϲ γένετο Γλαύκου ἀπιόντοϲ,
αὐτίκ' ἐπεί τ' ἐνόηϲεν· ὅμωϲ δ' οὐ λήθετο χάρμηϲ,
ἀλλ' ὅ γε Θεϲτορίδην Ἀλκμάονα δουρὶ τυχήϲαϲ
νύξ', ἐκ δ' ἔϲπαϲεν ἔγχοϲ· ὃ δ' ἑϲπόμενοϲ πέϲε δουρὶ
πρηνήϲ, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
Ϲαρπηδὼν δ' ἄρ' ἔπαλξιν ἑλὼν χερϲὶ ϲτιβαρῇϲιν
ἕλχ', ἣ δ' ἕϲπετο πᾶϲα διαμπερέϲ, αὐτὰρ ὕπερθε
τεῖχοϲ ἐγυμνώθη, πολέεϲϲι δὲ θῆκε κέλευθον.
τὸν δ' Αἴαϲ καὶ Τεῦκροϲ ὁμαρτήϲανθ' ὃ μὲν ἰῷ
βεβλήκει τελαμῶνα περὶ ϲτήθεϲϲι φαεινὸν
ἀϲπίδοϲ ἀμφιβρότηϲ· ἀλλὰ Ζεὺϲ κῆραϲ ἄμυνε
παιδὸϲ ἑοῦ, μὴ νηυϲὶν ἔπι πρυμνῇϲι δαμείη·
Αἴαϲ δ' ἀϲπίδα νύξεν ἐπάλμενοϲ, οὐδὲ διὰ πρὸ

Lips. Eton. χειρί γε τῇ ἑτέρῃ AG Barocc. Mor. Fragm. Mosc. Vrat. b. A. Schol. Μ 449. ἔχοι A in marg. CGHL Lips. Townl. Eton. φέροι AH sup. Barocc. Mor. Fragm. Mosc. Vrat. b. A. χείρεϲϲιν ἀμφοτέραιϲ ἢ χειρί γε τῇ ἑτέρῃ ἔχοι τουτέϲτι κρατοίη ἢ φέροι Eust. 910, 11.

V. l. 383 τῶν οἳ νῦν βροτοί εἰϲι Pseudoplut. 115, 49. εἰϲι D 2. man. G. ὅδ' CGHL. ἂρ ADEGL. ἐν ἄλλῳ ὁ δέ μιν ῥέα πάλλε καὶ οἶοϲ A. — 384 θραῦϲε ἢ θλάϲϲε E. ἄραξε ACEGH Syr. — 385 ὃ δ' L. ὅδ' CGH. ἂρ DEG. ἀρ A. ἄρ' omitt. L Syr. — 386 ἀφ' ὑψηλοῦ: γρ. ἀπευεργέοϲ A. — 388 ἐϲϲύμενον S. — 389 ΒΡΑΧΕΙΟΝΑ Syr. — 390 δ' omitt. D. ἄλτο L. ἀλτο C. — 391 εὐχετόῳτο EG. ἐπέεϲϲι ACDEH Syr. — 395 νύξ' ἐν δ' H. ἔϲπαϲ' L. ὃ δ' DL. ὅδ' C. ἐπάλμενοϲ πέϲε G. δὲ ϲχόμενοϲ περὶ δουρί Hesych. IV, 120. βάλε δουρὶ Vrat. b. — 396 ἀμφι D. — 397 ἂρ ADGL. ϲτιβαρῇϲι L. — 398 ἥδ' CGL. ὕπερθε ACE Syr. — 399 ἐγυμνώθην D. δ' ἔθηκε H. — 401 ϲτήθεϲϲι CEHLS Syr. Cant. Lips. Fragm. Mosc. ϲτήθεϲφι ADG. — 402 ἄμυνε ACDEGH Syr. — 403 ἐπὶ ACDGHL Syr. πρύμνῃϲι libri. δαμείη AG. — 404 νύξε μετάλμενοϲ L. οὐδὲ CD 1. man. HL Harl. Fragm. Mosc. Vrat. b. ἠδὲ (ου) A. ἡ δὲ D ex corr. EGS. γρ. ἡ C sup. διαπρὸ libri.

A. c. 391 ἀθρήϲειε Herodianus, ψιλῶϲ. — 401 ϲτήθεϲϲι: ϲτήθεϲφι conf. Β 388, 544, Ε 452, 822, Μ 151, 425. — 404 οὕτωϲ οὐδὲ διὰ πρό αἱ Ἀριϲτάρχου. ἡ δὲ κοινὴ ἡ δὲ διὰ πρό Didymus.

ἤλυθεν ἐγχείῃ, ϲτυφέλιξε δέ μιν μεμαῶτα.
χώρηϲεν δ' ἄρα τυτθὸν ἐπάλξιοϲ· οὐδ' ὅ γε πάμπαν
χάζετ', ἐπεί οἱ θυμὸϲ ἐέλπετο κῦδοϲ ἀρέϲθαι.
κέκλετο δ' ἀντιθέοιϲιν ἑλιξάμενοϲ Λυκίοιϲιν·
ὦ Λύκιοι, τί τ' ἄρ' ὧδε μεθίετε θούριδοϲ ἀλκῆϲ;
ἀργαλέον δέ μοί ἐϲτι, καὶ ἰφθίμῳ περ ἐόντι,
μούνῳ ῥηξαμένῳ θέϲθαι παρὰ νηυϲὶ κέλευθον·
ἀλλ' ἐφομαρτεῖτε· πλεόνων δέ τοι ἔργον ἄμεινον.
ὣϲ ἔφαθ', οἱ δὲ ἄνακτοϲ ὑποδείϲαντεϲ ὁμοκλὴν
μᾶλλον ἐπέβριϲαν βουληφόρον ἀμφὶ ἄνακτα.
Ἀργεῖοι δ' ἑτέρωθεν ἐκαρτύναντο φάλαγγαϲ
τείχεοϲ ἔντοϲθεν, μέγα δέ ϲφιϲι φαίνετο ἔργον·
οὔτε γὰρ ἴφθιμοι Λύκιοι Δαναῶν ἐδύναντο
τεῖχοϲ ῥηξάμενοι θέϲθαι παρὰ νηυϲὶ κέλευθον,
οὔτέ ποτ' αἰχμηταὶ Δαναοὶ Λυκίουϲ ἐδύναντο
τείχεοϲ ἂψ ὤϲαϲθαι, ἐπεὶ τὰ πρῶτα πέλαϲθεν.
ἀλλ' ὥϲ τ' ἀμφ' οὔροιϲι δύ' ἀνέρε δηριάαϲθον,
μέτρ' ἐν χερϲὶν ἔχοντεϲ, ἐπιξύνῳ ἐν ἀρούρῃ,
ὥ τ' ὀλίγῳ ἐνὶ χώρῳ ἐρίζητον περὶ ἴϲηϲ,
ὣϲ ἄρα τοὺϲ διέεργον ἐπάλξιεϲ· οἱ δ' ὑπὲρ αὐτέων

V. L. 406 χώρηϲε EG. χώρηϲαν C 1. man. D Fragm. Mosc. 1. man. οὐδ' ὅ γε: οὐδέ γε G Mor. Barocc. — 407 ἐέλδετο C 2. man. GH Syr. Mor. Barocc. ἐέλδεται L. ἐέλπετο (δ supra π) A. ἔλπετο E. — 408 ἀντιθέοιϲι καθαπτόμενοϲ S Cant. Townl. ἐλιξάμενοϲ H. — 409 ἄρ DEGHL Barocc. Townl. ἀρ A. τίπτ' ἄρ Vrat. b. μεθείετε H Townl. — 410 δέ μοι ἐϲτὶ ACDEHL. — 411 παρα A. — 412 ἐφομαρτεῖτε EHL Syr. ἐφομαρτεῖτον ACDGS Mor. Barocc. Harl. Fragm. Mosc. Vrat. b. A. ἐφομαρτεῖτον (ε supra ο) Townl. δέ τοι: δέ τι S Cant. Mor. Barocc. δέ τ' G. — 413 ὡϲ A. οἳ δὲ C. ὑποδείϲαντεϲ L: ceteri ὑποδδείϲαντεϲ. — 414 ἐπέβρηϲαν D. βουληφόρον A. ἀμφιάνακτα D. — 416 ἔντοϲθε CD. ἔνδοθεν E. δέ ϲφι G. — 419 οὔτέ ποτ' ACGHL. — 420 ὤϲεϲθαι G Vrat. A. ταπρῶτα G. ΤΑΠΡΩ͂ΤΑ Syr. — 421 οἱ δ' ὤϲτ' Apoll. Lex. 125, 3. οὔροιϲιν H. — 422 ἐπιξύνωι A. — 423 ὥ τ': οἵ τ' Townl. ἐνι AD. ἐρίζετον DG Townl. ἴϲηϲ: νίκηϲ Apoll. Lex. 169, 33. — 424 ὡϲ AD 1. man. ἄρ S. οἳ δ' D. οἵδ' CGL. αὐτάων DL. post hunc insertus est in GL versus βάλλον ἀμυνόμενοι χαλκήρεϲιν ἐγχείῃϲιν, conglutinatus ex Μ 155 et Ϲ 534.

A. c. 407 ἐέλπετο Aristarchus: alii ἐέλδετο. — 412 ἀρίϲταρχοϲ ἐφαμαρτεῖτε, ἄλλοι δὲ ἐφομαρτεῖτον, ἄλλοι δὲ ἐφομαρτεῖτε Didymus, conf. ad Ψ 414 διχῶϲ ἀλλ' ἐφαμαρτεῖτον. — 420 οὕτωϲ πέλαϲθεν ἰακῶϲ Didymus. — 423 Ζηνόδοτοϲ ὥϲτ' ὀλίγῃ ἐνὶ χώρῃ Didymus.

δῄουν ἀλλήλων ἀμφὶ ϲτήθεϲϲι βοείαϲ
ἀϲπίδαϲ εὐκύκλουϲ λαιϲήϊά τε πτερόεντα.
πολλοὶ δ' οὐτάζοντο κατὰ χρόα νηλέϊ χαλκῷ,
ἠμὲν ὅτεῳ ϲτρεφθέντι μετάφρενα γυμνωθείη
μαρναμένων, πολλοὶ δὲ διαμπερὲϲ ἀϲπίδοϲ αὐτῆϲ.
πάντῃ δὴ πύργοι καὶ ἐπάλξιεϲ αἵματι φωτῶν
ἐρράδατ' ἀμφοτέρωθεν ἀπὸ Τρώων καὶ Ἀχαιῶν.
ἀλλ' οὐδ' ὣϲ ἐδύναντο φόβον ποιῆϲαι Ἀχαιῶν,
ἀλλ' ἔχον ὥϲ τε τάλαντα γυνὴ χερνῆτιϲ ἀληθήϲ,
ἥ τε ϲταθμὸν ἔχουϲα καὶ εἴριον ἀμφὶϲ ἀνέλκει
ἰϲάζουϲ', ἵνα παιϲὶν ἀεικέα μιϲθὸν ἄρηται·
ὣϲ μὲν τῶν ἐπὶ ἶϲα μάχη τέτατο πτόλεμόϲ τε,
πρίν γ' ὅτε δὴ Ζεὺϲ κῦδοϲ ὑπέρτερον Ἕκτορι δῶκε
Πριαμίδῃ, ὃϲ πρῶτοϲ ἐϲήλατο τεῖχοϲ Ἀχαιῶν.
ἤυϲεν δὲ διαπρύϲιον Τρώεϲϲι γεγωνώϲ·
ὄρνυϲθ' ἱππόδαμοι Τρῶεϲ, ῥήγνυϲθε δὲ τεῖχοϲ
Ἀργείων καὶ νηυϲὶν ἐνίετε θεϲπιδαὲϲ πῦρ.
ὣϲ φάτ' ἐποτρύνων, οἱ δ' οὔαϲι πάντεϲ ἄκουον,
ἴθυϲαν δ' ἐπὶ τεῖχοϲ ἀολλέεϲ. οἱ μὲν ἔπειτα
κροϲϲάων ἐπέβαινον ἀκαχμένα δούρατ' ἔχοντεϲ,
Ἕκτωρ δ' ἁρπάξαϲ λᾶαν φέρεν, ὅϲ ῥα πυλάων

V. L. 425 ΔΗΟΥΝ Syr. δηΐουν DH. δῄουν ἢ δηΐουν E, conf. Ε 452. ϲτήθεϲφι Vrat. A. — 426 ἐϋκύκλουϲ C. — 427 κατα D 1. man. — 428 ὅτεῳ: ὅτῳ A Ambr. CEGS Schol. Ο 449. ὅτω DHL Syr. γυμνωθέντι L. — 430 πάντῃ AEH Schol. Φ 20. πάντη Ambros. CDGL Syr. δὴ: δὲ G. δ' οἱ L. — 431 τρῴων L. — 432 omitt. Ambrosianus. ὣϲ: libri ὣϲ. A ὡϲ. — 433 ἔχεν Apoll. Lex. 149, 4. ὥϲ τε: ᾧτε Cram. Epim. 446, 23 et 28 diserte. ᾧτε Io. Alexandr. 32, 6 et Et. Mg. 825, 23 pro ὡϲείτε. χερνήτηϲ Apoll. Lex. ἀλῆτιϲ Apoll. Lex. 24, 9. — 434 εἰρίον D 2. man. E. — 435 ἄροιτο Rhet. Gr. II 295, 27. ἕληται Schol. Π 7. — 436 ὡϲ AD 1. man. ἐπι D. ἴϲα G. πόλεμοϲ Lips. Flor. — 437 δὴ omitt. C 1. man. ΥΠΕΡΤΑΤΟΝ Ambros. δῶκε A Ambr. CEGH Syr. — 438 ἐϲύλλατο L. — 439 ἤϋϲε DG. τρῴεϲϲι L. δαναοῖϲι H. — 440 τρῷεϲ L. ῥήγνυϲθέ τε L. — 441 ἐνεΐετε H. ἐνείετε Townl. — 442 ὡϲ A. ἔφατ' AE. οἳ δ' D. οἵδ' CGHL. — 443 οἳ μὲν C. — 445 λάαν DGH. ὃϲ ῥὰ DGL.

A. c. 428 Zenodotus ὅτεῳ: altera lectio ὅτῳ videtur Aristarcho deberi. — 430 Aristarchus δὴ: δ' ἢ Tyrannio. — 433 ᾧτε Herodianus teste Eustath. 117, 39. — 435 οὕτωϲ μετὰ τοῦ ν̄ ἀνεικέα, ἔξω νείκουϲ. ἄμεινον δέ φηϲιν (sc. Ἀρίϲταρχοϲ) ἀεικέα, τὸν εὐτελῆ. ἐν δὲ τῷ πρὸϲ τὸ Ξένωνοϲ παράδοξον προφέρεται ἀμεμφέα μιϲθόν Didymus. ἔν τιϲι μετὰ τοῦ ν̄ ἀνεικέα, ἔξω νείκουϲ Schol. A. — 444 ἀκαχμένα δούρατ' ἔχοντεϲ: ἐπεὶ θεοῦ ἔκλυον αὐδήν Zenodotus, conf. Ariston. ad 439 et 442.

ἑϲτήκει πρόϲθε, πρυμνὸϲ παχύϲ, αὐτὰρ ὕπερθεν
ὀξὺϲ ἔην· τὸν δ' οὔ κε δύ' ἀνέρε δήμου ἀρίϲτω
ῥηιδίωϲ ἐπ' ἄμαξαν ἀπ' οὔδεοϲ ὀχλίϲϲειαν,
οἷοι νῦν βροτοί εἰϲ'· ὃ δέ μιν ῥέα πάλλε καὶ οἶοϲ.
τόν οἱ ἐλαφρὸν ἔθηκε Κρόνου πάιϲ ἀγκυλομήτεω.
ὡϲ δ' ὅτε ποιμὴν ῥεῖα φέρει πόκον ἄρϲενοϲ οἰὸϲ
χειρὶ λαβὼν ἑτέρῃ, ὀλίγον τέ μιν ἄχθοϲ ἐπείγει,
ὣϲ Ἕκτωρ ἰθὺϲ ϲανίδων φέρε λᾶαν ἀείραϲ,
αἵ ῥα πύλαϲ εἴρυντο πύκα ϲτιβαρῶϲ ἀραρυίαϲ,
δικλίδαϲ ὑψηλάϲ· δοιοὶ δ' ἔντοϲθεν ὀχῆεϲ
εἶχον ἐπημοιβοί, μία δὲ κληὶϲ ἐπαρήρει.
ϲτῆ δὲ μάλ' ἐγγὺϲ ἰών, καὶ ἐρειϲάμενοϲ βάλε μέϲϲαϲ,
εὖ διαβάϲ, ἵνα μὴ οἱ ἀφαυρότερον βέλοϲ εἴη,
ῥῆξε δ' ἀπ' ἀμφοτέρουϲ θαιρούϲ· πέϲε δὲ λίθοϲ εἴϲω
βριθοϲύνῃ, μέγα δ' ἀμφὶ πύλαι μύκον, οὐδ' ἄρ' ὀχῆεϲ
ἐϲχεθέτην, ϲανίδεϲ δὲ διέτμαγεν ἄλλυδιϲ ἄλλη
λᾶοϲ ὑπὸ ῥιπῆϲ. ὃ δ' ἄρ' ἔϲθορε φαίδιμοϲ Ἕκτωρ
νυκτὶ θοῇ ἀτάλαντοϲ ὑπώπια· λάμπε δὲ χαλκῷ
ϲμερδαλέῳ, τὸν ἕεϲτο περὶ χροΐ, δοιὰ δὲ χερϲὶ

V. ʟ. 446 ἑϲτήκει CEHS Cant. Lips. Fragm. Mosc. Vrat. A: εἱϲτήκει ADGL. ΙϹΤΉΚΕΙ Syr. πρόϲθεν CEL. ὕπερθε D. — 447 κεν GL. δύω CG. — 448 ἐπάμαξαν D. ἐφ' ἅμαξαν CGL Mor. Vrat. b. ὀχλίϲειαν EL 1. man. S. ὀχλήϲειαν DG Mor. Barocc. — 449 τῶν οἳ νῦν βροτοί εἰϲι Pseudoplut. 115, 49. εἰϲι DG. ὁ G. — 450 θῆκε S Cant. πάιϲ: libri παῖϲ. — 451 δ' omitt. E. φέροι Townl. — 452 ὀλίγον τε CDEGHLS Syr. Cant. Mor. Harl. Fragm. Mosc. ὀλίγόν τε A. vulgo ὀλίγον δέ, cui scripturae fides est nulla. — 453 ὡϲ AD 1. man. — 454 αἳ ῥὰ G. ΡΑΤΕΠΥΛΑϹ Syr. — 455 ἔκτοϲθεν Townl. — 456 ἐπημοιβοὶ G. ΚΛΗΕΙϹ Syr. — 457 ἐν ἄλλῳ ϲτῆ δ' ἀρ ἐπουδὸν ἰὼν A. μέϲαϲ E. — 458 οἷ: libri οἱ. — 459 ἀπ' omitt. D. ἐπ' CG Syr. Vrat. b. 2. man. Eton. Fragm. Mosc. θηροὺϲ L. δὲ: δὴ G. δ' αὖ L. — 460 ἀμφι DH. ἄρ ADEGL. — 461 ϲχεθέτην G. δὲ omitt. Syr. διέτμαγον DG ex corr. HL Flor. ἄλλῃ E. — 462 ὑπὸ AD GH Syr. Et. Mg. 552, 57. Cram. An. Ox. III, 385, 11. Schol. Soph. Oed. Col. 195. Bekk. Anecd. 1181, 1219, 1259: ὑπαὶ CL Schol. Μ 12. Eust. 387, 21; 1447, 53. ὑπὸ ἢ ὑπαὶ E. ὅδ' CGHL. ἄρ DGL. ἀρ A. ἄρ' omitt. H Schol. Π 558. — 464 ἔεϲτο CDH. χερϲὶ ACG Syr.

A. c. 446 ἀρίϲταρχοϲ ἑϲτήκει χωρὶϲ τοῦ ῑ Didymus. — 450 καὶ Ἀριϲτοφάνηϲ ἠθέτει. Ζηνόδοτοϲ δὲ οὐδὲ ἔγραφεν Didymus. — 451 οὕτωϲ διὰ τοῦ ε̅ φέρει Didymus. — 458 μή οἷ scribendum est, non μή οἱ, propter reflexivam pronominis notionem, conf. H. U. 144 sq. — 462 λᾶοϲ Herodianus. ὑπὸ Herodianus: ὕπο Tyrannio. de ὑπαὶ conf. H. U. 62.

δοῦρ' ἔχεν. οὔ κέν τίϲ μιν ἐρύκακεν ἀντιβολήϲαϲ
νόϲφι θεῶν, ὅτ' ἐϲᾶλτο πύλαϲ· πυρὶ δ' ὄϲϲε δεδήει.
κέκλετο δὲ Τρώεϲϲιν ἑλιξάμενοϲ καθ' ὅμιλον
τεῖχοϲ ὑπερβαίνειν· τοὶ δ' ὀτρύνοντι πίθοντο·
αὐτίκα δ' οἳ μὲν τεῖχοϲ ὑπέρβαϲαν, οἳ δὲ κατ' αὐτὰϲ
ποιητὰϲ ἐϲέχυντο πύλαϲ. Δαναοὶ δὲ φόβηθεν
νῆαϲ ἀνὰ γλαφυράϲ, ὅμαδοϲ δ' ἀλίαϲτοϲ ἐτύχθη.

V. ʟ. 465 ΕΧΟΝ Syr. οὔ κεν τίϲ L. οὐκ ἄν τίϲ ACEGHS Syr. Schol. Ν 1. οὐκ ἂν D, accentus 2. man. ἐρυκάκοι libri cum Schol. Ν 1. ἐρυκάκῃ D. — 466 πέρι δ' ὄϲϲε L. περὶ δ' Cant. Vrat. b. pro var. lect. δεδήει DEH. ὀϲϲἐδεδήει G. — 467 τρώεϲϲι ἐλιξάμενοϲ L. — 468 ὀτρύνοντοϲ ἄκουϲαν Schol. Μ 12. — 469 οἳ μὲν C. οἳ δὲ C. — 470 ΔΕΦΟΒΗΘΕΝ Syr. δὲ φόβηθεν Townl. Fragm. Mosc. ceteri δ' ἐφόβηθεν. — 471 ἀνα AD.

A. c. 465 ἀρίϲταρχοϲ οὔ κέν τίϲ μιν ἐρύκακεν ἀντιβολήϲαϲ Didymus. — 468 οὕτωϲ διὰ τοῦ ο̅ ὀτρύνοντι Didymus. alii igitur ὀτρύναντι, conf. β 422, ι 488, 561, ξ 79, ο 217, 287.

οὐδὲ βαθυρρείταο μέγα σθένος ὠκεανοῖο·
ἐξ οὗ περ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα
καὶ πᾶσαι κρῆναι καὶ φρείατα μακρὰ νάουσιν·
ἀλλὰ καὶ ὃς δείδοικε διὸς μεγάλοιο κεραυνὸν·
δεινήν τε βροντήν· ὅτ' ἀπ' οὐρανόθεν σμαραγήσῃ·
ἦ ῥα· καὶ ἐκ κρημνοῖο ἐρύσσατο χάλκεον ἔγχος·
τὸν δὲ κατ' αὐτόθι λεῖπεν ἐπεὶ φίλον ἦτορ ἀπηύρα·
κείμενον ἐν ψαμάθοισι· δίαινε δέ μιν μέλαν ὕδωρ·
τὸν μὲν ἄρ' ἐγχέλυές τε καὶ ἰχθύες ἀμφεπένοντο·
δημὸν ἐρεπτόμενοι ἐπινεφρίδιον κείροντες·

Δηλονότι ὁ ὠκ(εανός)· ἢ ὁ ζεύς· πολλὰ πελάγη εἰσίν· ἀτλαντικόν· λιβυκόν· αἰγυπτιακόν· λιβυκόν· μυρτῷον· αἰγαῖον· παμφύλιον· ἰκάριον· αἰγαῖον· ἑλλήσποντος· μέλας κόλπος· ἄξεινος καὶ ἄλλα· ἐρυθρά·

Ἤμελλε ἀναθεὶς τοὺς ἐναντίον ἡ ἵππος προσθεὶς ἀθείνε· ἀντὶ τοῦ μακρὰς· νάουσι δὲ· τὸ ἀναπηγάζουσι·

χρ(?) εἰ ἐξ εἰαμενῆς ἐπὶ ἰχθύες ἐπὶ πόντου τὸ ὀξύτονον· οὕτω ἀπέβη μα

Specimen Codicis D. Λ 711 - 721.

ἔστι δέ τις θρυόεσσα πόλις αἰπεῖα κολώνη
τηλοῦ ἐπ' ἀλφειῷ· νεάτη πύλου ἠμαθόεντος·
τὴν ἀμφεστρατόωντο διαρραῖσαι μεμαῶτες·
ἀλλ' ὅτε πᾶν πεδίον μετεκίαθον· ἄμμι δ' ἀθήνη
ἄγγελος ἦλθε θέουσ' ἀπ' ὀλύμπου θωρήσσεσθαι, +
ἔννυχ' οὐδ' ἀέκοντα πύλον κάτα λαὸν ἄγειρεν·
ἀλλὰ μάλ' ἐσσυμένους πολεμίζειν· οὐδέ με νηλεὺς
εἴα θωρήσσεσθαι· ἀπέκρυψεν δέ μοι ἵππους·
οὐ γάρ πώ τί μ' ἔφη ἴδμεν πολεμήϊα ἔργα·
ἀλλὰ καὶ ὧς ἱππεῦσι μετέπρεπον ἡμετέροισι
καὶ πεζός περ ἐών· ἐπεὶ ὧς ἄγε νεῖκος ἀθήνη

HOMERI ILIAS

AD

FIDEM LIBRORUM OPTIMORUM

EDIDIT

I. LA ROCHE.

PARS POSTERIOR.

LIPSIAE,
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXXVI.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

ΙΛΙΑΔΟϹ Ν.

Ζεὺϲ δ' ἐπεὶ οὖν Τρῶάϲ τε καὶ Ἕκτορα νηυϲὶ πέλαϲϲε,
τοὺϲ μὲν ἔα παρὰ τῇϲι πόνον τ' ἐχέμεν καὶ ὀϊζὺν
νωλεμέωϲ, αὐτὸϲ δὲ πάλιν τρέπεν ὄϲϲε φαεινώ,
νόϲφιν ἐφ' ἱπποπόλων Θρῃκῶν καθορώμενοϲ αἶαν
Μυϲῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν
γλακτοφάγων, Ἀβίων τε, δικαιοτάτων ἀνθρώπων.
ἐϲ Τροίην δ' οὐ πάμπαν ἔτι τρέπεν ὄϲϲε φαεινώ·
οὐ γὰρ ὅ γ' ἀθανάτων τιν' ἐέλπετο ὃν κατὰ θυμὸν
ἐλθόντ' ἢ Τρώεϲϲιν ἀρηξέμεν ἢ Δαναοῖϲιν.
οὐδ' ἀλαὸϲ ϲκοπιὴν εἶχε κρείων ἐνοϲίχθων·
καὶ γὰρ ὁ θαυμάζων ἧϲτο πτόλεμόν τε μάχην τε
ὑψοῦ ἐπ' ἀκροτάτηϲ κορυφῆϲ Ϲάμου ὑληέϲϲηϲ

Varia lectio. 1 δ' om. E. τρῶιαϲ CL. τε om. G Barocc. πέλαϲϲε ACDEG: πέλαϲϲεν HL. πέλαϲε Lips. πέλαϲεν Flor. — 2 παρα A. — 3 τρέπε D. τρέψεν S. τράπεν Bachm. Anecd. II, 141, 7. φαεινῶι L. — 4 ἱπποπόλων AC. ἱππώλων G. καθόρώμενοϲ A. — 5 ἀγχϊμάχων H ex corr. Vrat. A. — 6 γλακτοφάγων A. γαλακτοφάγων L Lips. Barocc. τ' ἀβίων τε D. τὲ H. — 7 ἔτι om. D. 1. man. Lips. τράπεν G. φαεινῶι L. — 8 τινὰ ἔλπετο E Barocc. κατα A. — 9 τρώιεϲϲιν CL. ἀρηξέμεν AGH Harl. Lips.: ἀρηγέμεν CDLS. ἀρήξειν E suo more. γρ. καὶ ἀρήξειν A. — 10 ἀλαὸϲ ϲκοπιὴν A: vulgo ἀλαοϲκοπιὴν. ἀλαοϲκοπϊὴν C. εἶχεν L. — 11 ὁ ACDGHL Apoll. Soph. 86, 16. πόλεμόν EGL Cram. Ep. 204, 31.

Adnotatio critica. 2 παρὰ: Ζηνόδοτοϲ καὶ ἀριϲτοφάνηϲ περὶ τῇϲι· μήποτ' οὖν διχῶϲ Didymus. τινὲϲ πρὸϲ τῇϲι Schol. V. ἐχέμεν: Ζηνόδοτοϲ δὲ ὀχέμεν Sch. V. — 5 Μυϲῶν: Μοιϲῶν Posidonius apud Strab. VII, 296. ἀγαυῶν: alii Ἀγαυῶν teste Apoll. Soph. 3, 23; cf. Hesych. I, 15. — 6 Ἀβίων Aristarchus: alii ἀβίων cf. Apoll. Soph. 3, 17 et ἀβιῶν ibid. 3, 30. ἀρίϲταρχοϲ χωρὶϲ τοῦ τε̄ δικαιοτάτων ἀνθρώπων Didymus. alii δικαιοτάτων τ' ἀνθρώπων cf. Apoll. Soph. l. l. Et. Mg. 232, 48. Nicol. Damasc. apud Stob. Floril. V, 73. — 8 ἀριϲτοφάνηϲ διὰ τοῦ ε̄ οὐ γὰρ ἔτ' ἀθανάτων Didymus (an alii ὅ τ' pro ὅ γ'?). — 10 ἀλαὸϲ ϲκοπιὴν: Zenodotus ἀλαὸν ϲκοπιὴν, vid. K 515. — 12 ἀκροτάτηϲ κορυφῆϲ: ἀκροτάτηϲ κορυφῆϲ Aristophanes. Ϲάμου Aristarchus: alii Ϲάου teste Didymo.

Θρηικίης· ἔνθεν γὰρ ἐφαίνετο πᾶϲα μὲν Ἴδη,
φαίνετο δὲ Πριάμοιο πόλιϲ καὶ νῆεϲ Ἀχαιῶν.
ἔνθ᾿ ἄρ᾿ ὅ γ᾿ ἐξ ἁλὸϲ ἕζετ᾿ ἰών, ἐλέαιρε δ᾿ Ἀχαιοὺϲ
Τρωϲὶν δαμναμένουϲ, Διὶ δὲ κρατερῶϲ ἐνεμέϲϲα.
αὐτίκα δ᾿ ἐξ ὄρεοϲ κατεβήϲετο παιπαλόεντοϲ
κραιπνὰ ποϲὶ προβιβάϲ· τρέμε δ᾿ οὔρεα μακρὰ καὶ ὕλη
ποϲϲὶν ὑπ᾿ ἀθανάτοιϲι Ποϲειδάωνοϲ ἰόντοϲ.
τρὶϲ μὲν ὀρέξατ᾿ ἰών, τὸ δὲ τέτρατον ἵκετο τέκμωρ,
Αἰγάϲ· ἔνθα δέ οἱ κλυτὰ δώματα βένθεϲι λίμνηϲ,
χρύϲεα μαρμαίροντα τετεύχαται, ἄφθιτα αἰεί.
ἔνθ᾿ ἐλθὼν ὑπ᾿ ὄχεϲφι τιτύϲκετο χαλκόποδ᾿ ἵππω,
ὠκυπέτα, χρυϲέηϲιν ἐθείρηϲιν κομόωντε.
χρυϲὸν δ᾿ αὐτὸϲ ἔδυνε περὶ χροΐ· γέντο δ᾿ ἱμάϲθλην
χρυϲείην εὔτυκτον, ἑοῦ δ᾿ ἐπεβήϲετο δίφρου·
βῆ δ᾿ ἐλάαν ἐπὶ κύματ᾿· ἄταλλε δὲ κήτε᾿ ὑπ᾿ αὐτοῦ
πάντοθεν ἐκ κευθμῶν, οὐδ᾿ ἠγνοίηϲεν ἄνακτα·
γηθοϲύνη δὲ θάλαϲϲα διίϲτατο. τοὶ δὲ πέτοντο
ῥίμφα μάλ᾿, οὐδ᾿ ὑπένερθε διαίνετο χάλκεοϲ ἄξων·
τὸν δ᾿ ἐϲ Ἀχαιῶν νῆαϲ ἐΰϲκαρθμοι φέρον ἵπποι.
ἔϲτι δέ τι ϲπέοϲ εὐρὺ βαθείηϲ βένθεϲι λίμνηϲ,

V. L. 13 ἔνθεν μὲν G Barocc. ἐφαίνετο: φαίνετο L. — 15 ἄρ D. ἂρ G. — 16 τρωϲὶ DG Townl. τρωιϲὶν C. τρῳϲὶ δαμνηζομένουϲ L. — 17 κατεβήϲετο CDEHL Cant. Vrat. b. Lips. Flor.: κατεβήϲατο G. κατεβήϲετο A. παιπαλοέϲϲηϲ L. — 18 post hunc Rhet. Gr. I, 255, 11 add. καὶ κορυφαὶ Τρώων τε πόλιϲ καὶ νῆεϲ Ἀχαιῶν, qui legitur Υ 60. — 19 ποϲιδάωνοϲ A. — 20 τέταρτον C 1. man. DG Flor. Lips. Vrat. A. — 21 ἔνθα δέ ACDEGHLS et Heynii libri. ἔνθα τέ Strabo VIII, 386. — 23 ὑπόχεϲφι D. ἵππωι L. — 24 ὠκυπέται L. ὠκυπέταϲ E. χρυϲέοιϲιν G. ἐθείρηϲι D Lips. Vrat. A. κομόωνταϲ Eust. 918, 12. — 25 ἔνδυνε H Vrat. A. περι A. — 26 εὔτυκτον omnes praeter Rom. ἐπεβήϲατο G. — 27 ἐλάαν G. ἐπι A. ἄταλλεν κήτε᾿ L. αὐτοῦ ACDGHLS Cant. Mor. Harl. Lips. Townl. Vrat. Schol. Ξ 296: αὐτῷ E Flor. Rom. Max. Tyr. Diss. XXXII, 7. ἐν ἄλλῳ ὑπαυτῶ A. — 28 κευθμῶνοϲ L. ἠγνοίηϲεν CDEHL Rhet. Graec. I, 255, 14. ἠγνοίηϲαν G. ἠγνοίηϲεν A. — 29 γηθοϲύνῃ AEG Vrat. A ex corr. Rhet. Gr. II, 361, 12. Eust. 993, 19: γηθοϲύνη CDHL Vrat. A 1. man. Apoll. Soph. 54, 27. δὲ πέτοντο Rhet. Gr. I, 255, 14: libri δ᾿ ἐπέτοντο. — 30 ὕπερθεν D. — 31 τῶν δ᾿ D. ἐΰϲκαρθμοι A.

A. c. 21 δέ: recentiores τέ ex coni. G. Hermanni ad Hymn. in Ven. 59; sed conf. Ζ 245. 249. Θ 48. θ 363. — 28 ἀρίϲταρχοϲ ἠγνοίηϲαν, ἄλλοι δὲ ἠγνοίηϲεν Didymus. — 29 γηθοϲύνῃ: ὅτι χωρὶϲ τοῦ ῑ γραπτέον τὸ γηθοϲύνη· ἐϲτὶ γὰρ ἀρϲενικὸν γηθόϲυνοϲ Aristonicus. γηθοϲύνῃ Aristophanes et Herodianus. γηθόϲυν᾿ ἡ δὲ Herodicus.

μεϲϲηγὺϲ Τενέδοιο καὶ Ἴμβρου παιπαλοέϲϲηϲ·
ἔνθ᾿ ἵππουϲ ἔϲτηϲε Ποϲειδάων ἐνοϲίχθων
λύϲαϲ ἐξ ὀχέων, παρὰ δ᾿ ἀμβρόϲιον βάλεν εἶδαρ
ἔδμεναι· ἀμφὶ δὲ ποϲϲὶ πέδαϲ ἔβαλε χρυϲείαϲ,
ἀρρήκτουϲ ἀλύτουϲ, ὄφρ᾿ ἔμπεδον αὖθι μένοιεν
νοϲτήϲαντα ἄνακτα· ὁ δ᾿ ἐϲ ϲτρατὸν ᾤχετ᾿ Ἀχαιῶν.
Τρῶεϲ δὲ φλογὶ ἶϲοι ἀολλέεϲ ἠὲ θυέλλῃ
Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτεϲ ἕποντο,
ἄβρομοι αὐίαχοι· ἔλποντο δὲ νῆαϲ Ἀχαιῶν
αἱρήϲειν, κτενέειν δὲ παρ᾿ αὐτόφι πάνταϲ ἀρίϲτουϲ.
ἀλλὰ Ποϲειδάων γαιήοχοϲ ἐννοϲίγαιοϲ
Ἀργείουϲ ὤτρυνε βαθείηϲ ἐξ ἁλὸϲ ἐλθών,
εἰϲάμενοϲ Κάλχαντι δέμαϲ καὶ ἀτειρέα φωνήν·
Αἴαντε πρώτω προϲέφη, μεμαῶτε καὶ αὐτώ·
Αἴαντε, ϲφὼ μέν τε ϲαώϲετε λαὸν Ἀχαιῶν
ἀλκῆϲ μνηϲαμένω, μὴ δὲ κρυεροῖο φόβοιο.
ἄλλῃ μὲν γὰρ ἐγώ γ᾿ οὐ δείδια χεῖραϲ ἀάπτουϲ
Τρώων, οἳ μέγα τεῖχοϲ ὑπερκατέβηϲαν ὁμίλῳ·
ἕξουϲιν γὰρ πάνταϲ ἐϋκνήμιδεϲ Ἀχαιοί·
τῇ δὲ δὴ αἰνότατον περιδείδια, μή τι πάθωμεν,
ᾗ ῥ᾿ ὅ γ᾿ ὁ λυϲϲώδηϲ φλογὶ εἴκελοϲ ἡγεμονεύει,
Ἕκτωρ, ὃϲ Διὸϲ εὔχετ᾿ ἐριϲθενέοϲ πάιϲ εἶναι.
ϲφῶιν δ᾿ ὧδε θεῶν τιϲ ἐνὶ φρεϲὶ ποιήϲειεν,

V. L. 33 καὶ Ἴμβρου: Ϲάμοιό τε Schol. Β 634. — 34 ποϲιδάων A. — 35 ἐξοχέων D. παρα CL. — 36 ἔβαλλε C. — 37 ἀρήκτουϲ Lips — 38 ὃ δ᾿ D. ὅδ᾿ CGL. — 39 τρῶιεϲ CL. ἴϲοι D. ἠὲ: ἠδὲ GL Mor. Barocc. Vrat. b. d. — 41 αὐΐαχοι A. ἔλπονται Apoll. Soph. 3, 6. — 42 παραυτόφι D. παρ᾿ αὐτόθι C Flor. παραυτόθι Harl. Lips. Vrat. b. d. A. ΑΥΤΟΘΙ Pap. cf. H. T. 449. ἀχαιούϲ ADEL: ἀρίϲτουϲ CGH Vrat. d. Harl. γρ. ἀρίϲτουϲ A. — 43 ποϲιδάων A. ἐννοϲίγαιοϲ A. — 47 ϲφῶι G. μέν τε: μέν κε DH Apoll. Soph. 147, 13 (et ϲαώϲεται). ϲαώϲατε Lips. ϲαώϲετον D. — 48 μνηϲάμενοι E bis. μὴ δὲ ACDGHL: vulgo μηδὲ cum E. — 49 ἔγωγ᾿ libri. — 50 τρώιων CL. ὑπὲρ κατέβηϲαν Vrat. b. — 51 ἕξουϲι DEGH Lips. Vrat. A. πάνταϲ ACGHL Cant. Barocc. Lips. Vrat. d. πάντεϲ DS Townl.: vulgo ἅπανταϲ cum E. εὐκνήμιδεϲ DEG. — 52 τῆδε CH. τῆδε G. περὶ δείδια A. — 53 ὅγ᾿ A. ὅδ᾿ ὀλυϲϲώδηϲ L. εἴκελοϲ C. ἴκελοϲ ES Vrat. A. ἵκελοϲ G. — 55 τιϲ θεῶν ἐνι D.

A. c. 41 αὐίαχοι: αὐίαχοι Dionysius Thrax et Chrysippus Stoicus, conf. Herod. ad Λ 461. Ν 441. Ψ 327. — 51 ἕξουϲιν: ϲχήϲουϲιν Aristophanes.

αὐτώ θ᾽ ἑϲτάμεναι κρατερῶϲ καὶ ἀνωγέμεν ἄλλουϲ·
τῷ κε καὶ ἐϲϲύμενόν περ ἐρωήϲαιτ᾽ ἀπὸ νηῶν
ὠκυπόρων, εἰ καί μιν Ὀλύμπιοϲ αὐτὸϲ ἐγείρει.
ἦ, καὶ ϲκηπανίῳ γαιήοχοϲ ἐννοϲίγαιοϲ
ἀμφοτέρω κεκοπὼϲ πλῆϲεν μένεοϲ κρατεροῖο,
γυῖα δ᾽ ἔθηκεν ἐλαφρά, πόδαϲ καὶ χεῖραϲ ὕπερθεν.
αὐτὸϲ δ᾽ ὥϲ τ᾽ ἴρηξ ὠκύπτεροϲ ὦρτο πέτεϲθαι,
ὅϲ ῥά τ᾽ ἀπ᾽ αἰγίλιποϲ πέτρηϲ περιμήκεοϲ ἀρθεὶϲ
ὁρμήϲῃ πεδίοιο διώκειν ὄρνεον ἄλλο,
ὣϲ ἀπὸ τῶν ἤιξε Ποϲειδάων ἐνοϲίχθων.
τοῖιν δ᾽ ἔγνω πρόϲθεν Ὀιλῆοϲ ταχὺϲ Αἴαϲ,
αἶψα δ᾽ ἄρ᾽ Αἴαντα προϲέφη Τελαμώνιον υἱόν·
Αἶαν, ἐπεί τιϲ νῶι θεῶν, οἳ Ὄλυμπον ἔχουϲι,
μάντεϊ εἰδόμενοϲ κέλεται παρὰ νηυϲὶ μάχεϲθαι·
οὐδ᾽ ὅ γε Κάλχαϲ ἐϲτί, θεοπρόποϲ οἰωνιϲτήϲ·
ἴχνια γὰρ μετόπιϲθε ποδῶν ἠδὲ κνημάων
ῥεῖ᾽ ἔγνων ἀπιόντοϲ· ἀρίγνωτοι δὲ θεοί περ.
καὶ δ᾽ ἐμοὶ αὐτῷ θυμὸϲ ἐνὶ ϲτήθεϲϲι φίλοιϲι
μᾶλλον ἐφορμᾶται πολεμίζειν ἠδὲ μάχεϲθαι,
μαιμώωϲι δ᾽ ἔνερθε πόδεϲ καὶ χεῖρεϲ ὕπερθε.
τὸν δ᾽ ἀπαμειβόμενοϲ προϲέφη Τελαμώνιοϲ Αἴαϲ·
οὕτω νῦν καὶ ἐμοὶ περὶ δούρατι χεῖρεϲ ἄαπτοι
μαιμῶϲιν, καί μοι μένοϲ ὤρορε, νέρθε δὲ ποϲϲὶν

V. ι. 56 αὐτῶ D. — 57 τῶ ACDGHL: vulgo τῷ. ἐρωήϲετ᾽ H. 1. man. Vrat. A. ἐρωήϲητ᾽ G ex corr. — 58 εἴ κέν μιν C Vrat. b. 1. man.
κεν ηι
d. καί A. ἐγειρει A Townl. ἐγείρη C. — 59 ἐννοϲίγαιοϲ A. ἐνοϲίγαιοϲ G. — 60 κεκοφὼϲ S. πλῆϲε EG Lips. — 61 δὲ θῆκεν EG Mor. — 63 περιμήκεοϲ A. — 64 ὁρμήϲῃ AH Townl. Lips. Vrat. b. d.: ὁρμήϲει CDEGLS Apoll. de Synt. 289, 6. ὁρμῆϲαι Et. Mg. 631, 53. διώκειν omnes. — 65 ὡϲ AD 1. man. ποϲιδάων A. — 66 τοῖιν: τοίην D. τοῖον L p. ras. ὁ ἰλῆοϲ D. 2. man. — 67 ἀρ A. ἆρ DGL. — 68 νῶϊν L. ἔχουϲι ACDEGH: ἔχουϲιν L. — 69 μάντεϊ ACE 920, 55 G: μάντει E 920, 50 H Vrat. A. μάντῖ DL. — 70 θεοπρόποϲ A. θεοπρόπιοϲ H. — 71 γὰρ: δὲ Schol. Γ 396. κνιμάων D. — 73 δ᾽ ἐμοὶ ACEH: δέ μοι DGL. ἐνι A. φίλοιϲι ACDEGH: φίλοιϲιν L. — 74 πολεμίζειν omnes. — 75 ὕπερθε ACDGH: ὕπερθεν EL. — 77 νῦν καὶ: καὶ νῦν G. — 78 μαιμῶϲι DE. μαιμώωϲιν ἐμοὶ G. νέρθε ποδεϲϲιν A et in marg. νερθε δὲ ποϲϲὶν.

A. c. 59 διχῶϲ ἀρίϲταρχοϲ (cod. ἀριϲτοφ) καὶ κεκοφὼϲ καὶ κεκοπώϲ. ἐν δὲ τῇ χίᾳ καὶ ἀντιμάχου κεκοπών Didymus. — 61 asteriscus; οὐκ ὀρθῶϲ Ψ 772, vid. Ε 122. — 71 ἴχνια: γρ. καὶ ἴθματα. Ζηνόδοτοϲ δὲ καὶ ἀριϲτοφάνηϲ ἴχματα Didymus.

ἔϲϲυμαι ἀμφοτέροιϲι· μενοινώω δὲ καὶ οἶοϲ
Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτι μάχεϲθαι.
ὣϲ οἱ μὲν τοιαῦτα πρὸϲ ἀλλήλουϲ ἀγόρευον,
χάρμῃ γηθόϲυνοι, τήν ϲφιν θεὸϲ ἔμβαλε θυμῷ·
τόφρα δὲ τοὺϲ ὄπιθεν γαιήοχοϲ ὦρϲεν Ἀχαιούϲ,
οἳ παρὰ νηυϲὶ θοῇϲιν ἀνέψυχον φίλον ἦτορ.
τῶν ῥ᾽ ἅμα τ᾽ ἀργαλέῳ καμάτῳ φίλα γυῖα λέλυντο,
καί ϲφιν ἄχοϲ κατὰ θυμὸν ἐγίγνετο δερκομένοιϲι
Τρῶαϲ, τοὶ μέγα τεῖχοϲ ὑπερκατέβηϲαν ὁμίλῳ.
τοὺϲ οἵ γ᾽ εἰϲορόωντεϲ ὑπ᾽ ὀφρύϲι δάκρυα λεῖβον·
οὐ γὰρ ἔφαν φεύξεϲθαι ὑπ᾽ ἐκ κακοῦ. ἀλλ᾽ ἐνοϲίχθων
ῥεῖα μετειϲάμενοϲ κρατερὰϲ ὤτρυνε φάλαγγαϲ.
Τεῦκρον ἔπι πρῶτον καὶ Λήιτον ἦλθε κελεύων
Πηνέλεών θ᾽ ἥρωα Θόαντά τε Δηίπυρόν τε
Μηριόνην τε καὶ Ἀντίλοχον, μήϲτωραϲ ἀυτῆϲ·
τοὺϲ ὅ γ᾽ ἐποτρύνων ἔπεα πτερόεντα προϲηύδα·
αἰδὼϲ Ἀργεῖοι, κοῦροι νέοι· ὔμμιν ἐγώ γε
μαρναμένοιϲι πέποιθα ϲαωϲέμεναι νέαϲ ἁμάϲ·
εἰ δ᾽ ὑμεῖϲ πολέμοιο μεθήϲετε λευγαλέοιο,
νῦν δὴ εἴδεται ἦμαρ ὑπὸ Τρώεϲϲι δαμῆναι.
ὢ πόποι, ἦ μέγα θαῦμα τόδ᾽ ὀφθαλμοῖϲιν ὁρῶμαι,
δεινόν, ὃ οὔ ποτ᾽ ἐγώ γε τελευτήϲεϲθαι ἔφαϲκον,
Τρῶαϲ ἐφ᾽ ἡμετέραϲ ἰέναι νέαϲ, οἳ τὸ πάροϲ περ
φυζακινῇϲ ἐλάφοιϲιν ἐοίκεϲαν, αἵ τε καθ᾽ ὕλην
θώων παρδαλίων τε λύκων τ᾽ ἤια πέλονται

V. ι. 79 οἶοϲ: αὐτὸϲ L. — 81 ὡϲ A. — 82 ϲφι G. — 83 ὄπιϲθεν DG. ὄπιϲθε Vrat. A. — 85 ῥ᾽ om. E. — 86 κατα A. ἐγίγνετο L: ἐγίνετο ACDEH. ἐγένετο G. δερκομένοιϲι ACDEGH: δερκομένοιϲιν L. — 87 τρῶαϲ om. L. — 88 ὀφρῦϲι D. — 89 φεύξεϲθαι ACDEL: φεύξαϲθαι GH Barocc. Vrat. b. ὑπ᾽ ἐκ ADEGHH′L: ὑπεκ C. ὑπὲκ A. — 90 κρατερῶϲ H. —
β γ α
91 ἔπι CGL. ἐπι ADH. ἦλθε κελεύων καὶ λήϊτον D. — 92 δηΐπυλον Townl. δηΐπυτον Vrat. d. — 93 τὲ AGH′. μύϲτωραϲ G. — 95 ὔμμιν DGH′. ἔγωγε libri. — 96 ἁμάϲ ACEG Apoll. de Pron. 127 C. 142 B. Apoll. Soph. 27, 18. Et Mg. 79, 28: ἀμάϲ DHH′L Vrat. d. — 98 ὑπο A. τρῴεϲϲι L. — 101 τοπάροϲ AL. τοπάροϲ G. — 102 φυζακινοῖϲ Pseudopl. 137, 50. — 103 παρδαλίων CGHL Mor. Cant. Harl. Lips. Et. Mg. 410, 13. Phot. Lex. 52. Schol. β 289: πορδαλίων ADH′ 1. mau. Schol. ε 368. Apoll. Soph. 82, 33. 134, 5. Suidas II, 2, 103, 16. Hesych. II, 270.

A. c. 92 Πηνέλεων: διὰ τοῦ ō ἀριϲτοφάνηϲ Πηνέλεον Didymus. — 103 θώων Aristarchus, Diocles, Dionysius Thrax, Herodianus: θωῶν Pamphilus. παρδαλίων Aristarchus, cf. H. T. 331.

αὔτως ἠλάσκουσαι ἀνάλκιδες, οὐδ᾽ ἔπι χάρμη·
ὣς Τρῶες τὸ πρίν γε μένος καὶ χεῖρας Ἀχαιῶν
μίμνειν οὐκ ἐθέλεσκον ἐναντίον, οὐδ᾽ ἠβαιόν.
νῦν δὲ ἑκὰς πόλιος κοίλης ἐπὶ νηυσὶ μάχονται
ἡγεμόνος κακότητι μεθημοσύνῃσί τε λαῶν,
οἳ κείνῳ ἐρίσαντες ἀμυνέμεν οὐκ ἐθέλουσι
νηῶν ὠκυπόρων, ἀλλὰ κτείνονται ἀν᾽ αὐτάς.
ἀλλ᾽ εἰ δὴ καὶ πάμπαν ἐτήτυμον αἴτιός ἐστιν
ἥρως Ἀτρείδης, εὐρὺ κρείων Ἀγαμέμνων,
οὕνεκ᾽ ἀπητίμησε ποδώκεα Πηλεΐωνα,
ἡμέας γ᾽ οὔ πως ἔστι μεθιέμεναι πολέμοιο.
ἀλλ᾽ ἀκειώμεθα θᾶσσον· ἀκεσταί τοι φρένες ἐσθλῶν.
ὑμεῖς δ᾽ οὐκέτι καλὰ μεθίετε θούριδος ἀλκῆς
πάντες ἄριστοι ἐόντες ἀνὰ στρατόν. οὐδ᾽ ἂν ἐγώ γε
ἀνδρὶ μαχησαίμην, ὅς τις πολέμοιο μεθείη
λυγρὸς ἐών· ὑμῖν δὲ νεμεσσῶμαι περὶ κῆρι.
ὦ πέπονες, τάχα δή τι κακὸν ποιήσετε μεῖζον
τῇδε μεθημοσύνῃ· ἀλλ᾽ ἐν φρεσὶ θέσθε ἕκαστος
αἰδῶ καὶ νέμεσιν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν.
Ἕκτωρ δὴ παρὰ νηυσὶ βοὴν ἀγαθὸς πολεμίζει
καρτερός, ἔρρηξεν δὲ πύλας καὶ μακρὸν ὀχῆα.

V. ι. 104 αὔτως AEGH. ἐπὶ CDEHH'L. ἔπι A. χάρμη ACE. χαρμῆ H'. χάρμην H. χάρμης Barocc. — 105 ὡς AE. τρῷες L. τοπρίν G. — 107 δὲ ἑκὰς: δ᾽ ἕκαθεν ACDEGHH'LS et Heynii libri. ἐπι A. ναυσὶ L. — 108 μεθημοσύνῃσι: μεθημοσύνῃ GL. τὲ G. — 109 ἐρείσαντες G. ἐθέλουσι ACDEGHH'. — 110 ἂν A. — 111 ἐστι H. — 112 εὐρὺ κρείων A: ceteri εὐρυκρείων. — 113 οὕνεκα ἠτίμησε G. ἀπ᾽ ἠτίμησεν D. — 114 οὔπω G. ἐστὶ ACDEGHH'L. μεθηέμεναι G. μεθησέμεναι Vrat. A. — 115 θᾶττον G. ἀκεσταί τε H. — 116 οὐκ ἔτι D. καλλὰ G. μεθείετε H'. — 117 ἔγωγε libri. — 118 μαχεσσαίμην ACEGHH'LS et libri Heynii. Plutarchus de Adulat. et amico 33. μαχεσσέμην Lips. μαχεσαίμην D. μεθείη: μεθείει AC Townl. μεθίει GHL Mor. Cant. Harl. Vrat. b. 1. man. A μεθείῃ (ιει) H'. — 119 omitt. C. 1. man. habet in marg. man. rec. νεμεσῶμαι Lips. Et. Mg. 432, 33. περι AD. — 121 τῆι δὲ D. μεθιμοσύνη L. θέσθαι GL Barocc. — 122 αἰδὼ D. ὄρωρε H'. — 123 ἕκτωρ δὲ Cant. παρα A. — 124 κρατερὸς G. ἔρρηξε DGHL Barocc. Lips. Vrat. A. Schol. C 275.

A. c. 107 Ζηνόδοτος καὶ ἀριστοφάνης νῦν δὲ ἑκὰς πόλιος Didymus; Aristarchus igitur δ᾽ ἕκαθεν. — 115 τοι: ἔν τισι τῶν ὑπομνημάτων διὰ τοῦ τε ἀκεσταί τε Schol. A. — 118 μαχησαίμην, vid. H. T. 308.

ὣς ῥα κελευτιόων γαιήοχος ὦρσεν Ἀχαιούς.
ἀμφὶ δ᾽ ἄρ᾽ Αἴαντας δοιοὺς ἵσταντο φάλαγγες
καρτεραί, ἃς οὔτ᾽ ἄν κεν Ἄρης ὀνόσαιτο μετελθὼν
οὔτέ κ᾽ Ἀθηναίη λαοσσόος· οἱ γὰρ ἄριστοι
κρινθέντες Τρῶάς τε καὶ Ἕκτορα δῖον ἔμιμνον,
φράξαντες δόρυ δουρί, σάκος σάκεϊ προθελύμνῳ.
ἀσπὶς ἄρ᾽ ἀσπίδ᾽ ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ᾽ ἀνήρ·
ψαῦον δ᾽ ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
νευόντων· ὣς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν.
ἔγχεα δ᾽ ἐπτύσσοντο θρασειάων ἀπὸ χειρῶν
σειόμεν᾽· οἱ δ᾽ ἰθὺς φρόνεον, μέμασαν δὲ μάχεσθαι.
Τρῶες δὲ προὔτυψαν ἀολλέες, ἦρχε δ᾽ ἄρ᾽ Ἕκτωρ
ἀντικρὺ μεμαώς, ὀλοοίτροχος ὣς ἀπὸ πέτρης,
ὅν τε κατὰ στεφάνης ποταμὸς χειμάρροος ὤσῃ,
ῥήξας ἀσπέτῳ ὄμβρῳ ἀναιδέος ἔχματα πέτρης·
ὕψι δ᾽ ἀναθρῴσκων πέτεται, κτυπέει δέ θ᾽ ὑπ᾽ αὐτοῦ
ὕλη· ὃ δ᾽ ἀσφαλέως θέει ἔμπεδον, εἷος ἵκηται
ἰσόπεδον, τότε δ᾽ οὔ τι κυλίνδεται ἐσσύμενός περ·
ὣς Ἕκτωρ εἵως μὲν ἀπείλει μέχρι θαλάσσης

V. ι. 125 ὣς ῥὰ GH'L. ὥ ῥα H. ὦσεν Mor. — 126 ἀρ A. ἂρ DGHH'L. αἴαντε L. — 127 κραταιραὶ G. οὔτ᾽ ἄν κεν: οὔτε κεν S. οὐδέ κεν G. — 128 οὔτέ κ᾽ ACH'L. οἱ γὰρ H. — 129 κριθέντες CDGHH' Lips. Vrat. A. τρῷας L. τρῶας τὲ H. — 130 φράξαντε H. — 131 ἀσπὶς δ᾽ ἀσπίδ᾽ ἔρειδε Plutarchus Amat. 17, 10. ἂρ CGHH'. ἀρ A. κόρυς δὲ κόρυν G Plutarchus l. l. — 132 ψαῦόν θ᾽ Schol. K 258. φάλοισι ACEGHH' Schol. K 258. Rhet. Gr. II, 249, 12. — 133 πύκινοὶ L Vrat. A. — 134 δὲ πτύσσοντο AGS. δ᾽ ἐπτήσσοντο L. δ᾽ ἐπτύσσοντο CDEHH' Apoll. Soph. 75, 13. Et. Mg. 695, 17. Δ᾽ ΕΠΤΥϹϹΟΝΤΟ Syr. ἀπο A. — 135 οἳ δ᾽ D. οἵδ᾽ CGH'L. — 136 τρῷες L. ἂρ DEGHH'L ἀρ A. — 137 ὀλοοίτροχος A. ὀλοότροχος CGH'. ὀλοότροχος Barocc. Mor. ὀλοοίτρίχος L. ὡς AD GHH'L. πέτρου Schol. Λ 269. — 138 χειμάροσς H. ΧΕΙΜΆΡΡΟϹ Syr. χείμαῤῥος (ει) GL Vrat. A. ὤσει C Schol. Λ 269. Et. Mg. 726, 42. ὤσῃ L Vrat. b. — 140 ὕψι δ᾽ DEGHH'. ΥΨΙΔ᾽ Syr. ὕψι τ᾽ CLS Schol. Φ 126. ἀναθρώισκων A: ceteri ἀναθρώσκων. — 141 ΥΛΗΙ Syr. ὃ om. H. ὅδ᾽ CDGHL. * εἷος ἵκηται: εἵως ἵκηται C. ἕως ἵκηται AE 925, 32 L. ἕως ἂν ἵκηται et γρ. ὄφρ᾽ ἂν Lips. ὄφρ᾽ ἂν ἵκηται DE 924, 51 GHH'S Syr. εἰσόκεν ἔλθῃ Schol. Λ 269. — 143 ὡς A.

A. c. 132 ἱππόκομοι Herodianus προπαροξυτόνως. — 137 ὀλοοίτροχος Demetrius Gonypesus, Hermappias, Nicias, Aristeas, Aristonicus. ὀλοιτρόχος Comanus et Ptolemaeus Ascalonita, conf. Cram. A. P. III, 285, 25. Et Mg. 622, 39.

ῥέα διελεύcεcθαι κλιcίας καὶ νῆας Ἀχαιῶν
κτείνων· ἀλλ' ὅτε δὴ πυκινῇς ἐνέκυρcε φάλαγξι,
cτῆ ῥα μάλ' ἐγχριμφθείς. οἳ δ' ἀντίοι υἷες Ἀχαιῶν
νύccοντες ξίφεcίν τε καὶ ἔγχεcιν ἀμφιγύοιcιν
ὦcαν ἀπὸ cφείων· ὃ δὲ χαccάμενος πελεμίχθη.
ἤυcεν δὲ διαπρύcιον Τρώεccι γεγωνώς·
Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
παρμένετ'· οὔ τοι δηρὸν ἐμὲ cχήcουcιν Ἀχαιοί,
καὶ μάλα πυργηδὸν cφέας αὐτοὺς ἀρτύναντες,
ἀλλ', ὀίω, χάccονται ὑπ' ἔγχεος, εἰ ἐτεόν με
ὦρcε θεῶν ὤριcτος, ἐρίγδουπος πόcις Ἥρης.
ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάcτου.
Δηίφοβος δ' ἐν τοῖcι μέγα φρονέων ἐβεβήκει
Πριαμίδης, πρόcθεν δ' ἔχεν ἀcπίδα πάντοc' ἐίcην,
κοῦφα ποcὶ προβιβὰc καὶ ὑπαcπίδια προποδίζων.
Μηριόνης δ' αὐτοῖο τιτύcκετο δουρὶ φαεινῷ,
καὶ βάλεν, οὐδ' ἀφάμαρτε, κατ' ἀcπίδα πάντοc' ἐίcην
ταυρείην· τῆc δ' οὔ τι διήλαcεν, ἀλλὰ πολὺ πρὶν
ἐν καυλῷ ἐάγη δολιχὸν δόρυ· Δηίφοβος δὲ
ἀcπίδα ταυρείην cχέθ' ἀπὸ ἕο, δεῖcε δὲ θυμῷ
ἔγχος Μηριόναο δαΐφρονος· αὐτὰρ ὅ γ' ἥρως
ἂψ ἑτάρων εἰc ἔθνος ἐχάζετο, χώcατο δ' αἰνῶc

V. l. 144 ῥεῖα δ' ἐλεύcεcθαι ACDEGHH'LS Syr. — 145 δή: διὰ H. πυκιναῖc L. ἐνέκυρε H. φάλαγξι ACDGHH'L Syr. Vrat. A. Eust. 923, 43.: φάλαγξιν E. — 146 ῥὰ DGHL. ἐγχριφθεὶc H' Vrat. b. d. A. οἵδ' CGHH'L. — 147 ξίφεcῖ G Lips. — 148 ἀπο A. ὃ δὲ C. χαcάμενοc DGH Lips. πολεμίχθη GH'. — 149 ἤϋcε G. 1. man. H. δὲ omitt. L. τρώεcι H. τρῴεccι L. — 150 τρῷεc L. — 151 οὔ τοι: οὔ τι CEG Flor. Rom. — 153 ὀίω: οἴω DEHH'L. ΟΙΏ Syr. χάcονται D. ἐτεόν περ H'. — 154 ῞ὤριcτοc AE. ὤριcτοc Vrat. d. ἄριcτοc H. — 155 ὡc A. — 157 omitt. D in textu, habet in marg. man rec. ἔχεν: ἔcχεν G. πάντοcε, ἴcην A. πάντοcε ἴcην CD m. rec LS. ΠΑΝΤΟCΕΊCΗΝ Syr. — 158—160 omitt. H. — 158 ὑπαcπίδια ACE 925, 61; 961, 8. ὑπ' ἀcπίδια D Vrat. b. d. ὑπ' ἀcπίδα GL Lips. Flor. Apoll. Soph. 158, 1. — 159 δ' αὐτοῖο: δ' ἐν τοῖcι Apoll. Soph. 153, 10. — 160 καταcπίδα A. πάντοcε, ἴcην A. πάντοcε ἴcην CDLS. ΠΑΝΤΟCΕΊCΗΝ Syr. — 161 τῆc οὔτι Vrat. A. — 163 cχέτο G. ἀπο A. ἀπο (αι) L. — 165 ἄψ: ἈΨΔ' Syr.

A. c. 144 ῥέα διελεύcεcθαι: οὕτωc Ἀρίcταρχοc. οἱ δὲ ῥεῖα δ' ἐλεύcεcθαι Schol. V. conf. Didym. ad Υ 263 Ἀρίcταρχοc ἔξω τοῦ ῑ ῥέα. — 148 χαccάμενοc πελεμίχθη: ὅτι Ζηνόδοτοc γράφει ὃ δὲ χάccατο πολλὸν ὀπίccω Aristonicus.

ἀμφότερον, νίκης τε καὶ ἔγχεος, ὃ ξυνέαξε.
βῆ δ' ἰέναι παρά τε κλιcίας καὶ νῆας Ἀχαιῶν,
οἰcόμενος δόρυ μακρόν, ὅ οἱ κλιcίηφι λέλειπτο.
οἱ δ' ἄλλοι μάρναντο, βοὴ δ' ἄcβεcτος ὀρώρει.
Τεῦκρος δὲ πρῶτος Τελαμώνιος ἄνδρα κατέκτα,
Ἴμβριον αἰχμητήν, πολυίππου Μέντορος υἱόν.
ναῖε δὲ Πήδαιον, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν,
κούρην δὲ Πριάμοιο νόθην ἔχε, Μηδεcικάcτην·
αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἤλυθον ἀμφιέλιccαι,
ἂψ εἰc Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεccι,
ναῖε δὲ πὰρ Πριάμῳ· ὃ δέ μιν τίεν ἶcα τέκεccι.
τόν ῥ' υἱὸς Τελαμῶνος ὑπ' οὔατος ἔγχεϊ μακρῷ
νύξ', ἐκ δ' ἔcπαcεν ἔγχος· ὃ δ' αὖτ' ἔπεcεν μελίη ὥc,
ἥ τ' ὄρεος κορυφῇ ἕκαθεν περιφαινομένοιο
χαλκῷ ταμνομένη τέρενα χθονὶ φύλλα πελάccῃ·
ὣc πέcεν, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
Τεῦκρος δ' ὡρμήθη μεμαὼς ἀπὸ τεύχεα δῦcαι·
Ἕκτωρ δ' ὁρμηθέντος ἀκόντιcε δουρὶ φαεινῷ.
ἀλλ' ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
τυτθόν· ὃ δ' Ἀμφίμαχον, Κτεάτου υἷ' Ἀκτορίωνος,
νιccόμενον πόλεμον δὲ κατὰ cτῆθος βάλε δουρί.
δούπηcεν δὲ πεcών, ἀράβηcε δὲ τεύχε' ἐπ' αὐτῷ.

V. l. 166 τὲ H. ξυνέαξε ACDEGH. ΞΫΝΈΑΞΕ Syr. — 168 κλιcίηφι ACEG (Lips. Mor. Vrat. A). — 171 πολυῖππου A. — 172 ναῖε δέ: ὃc ναῖε C. πήδαcον Flor. ΫΙΑC Syr. — 173 μηδεcικάcτην A. μηδεκαcίcτην L. μηδεcικάτην Lips. — 174 νῆεc C. 1. man. G. — 175 ἄψ δ' Et. Mg. 184, 35. εἰc: ἐc E. τρώεccι ACDH Syr. τρῴεccιν L. — 176 παρ AD. τῖεν AC. τέκεccι ACDH Syr.: τέκεccιν EGL. — 177 τόν ῥ': τόν ῥα G. τὸν δ' Syr. Vrat. A. — 178 ὅδ' CGHL. αὖτ' ἔπεcεν: ἐν ἄλλῳ αἶψ' ἔπεcεν A. ἔπεcε G Lips. — 179 κορυφῇ ACEL: κορυφῆc DGHS Syr. Cant. Mor. Harl. Vrat. b. d. conf. Β 456. Π 634. — 180 ταμνομένη ACDEGHS Cant. Mor. Lips. Harl. Vrat. τεμνομένη L Syr. Flor. πελάccει C. — 181 ὡc A. ἀμφι D. βράχεν D. — 182 ὁρμήθη Lips. 1. man. ἀπο ACDHL. — 185 ὃ δ' L ὅδ' CDG. ΌΔ' Syr. υἷα L. — 186 νῑcόμενον AC. νιcόμενον Townl. Lips. Vrat. d. νειcόμενον D Syr. νϊccόμενον (ει) H (ει 2. man.). πόλεμον δὲ A: ceteri πόλεμόνδε. κατα A. — 187 ἐπαυτῶι A.

A. c. 166 ξυνέαξε: Ζηνόδοτοc ξυνέηξε, cf. Schol. Ν 257. — 168 ὅ οἱ: τινὲc ἅ οἱ ὡc „κῆτοc, ἃ μυρία βόcκει" (μ 97) Schol. V. — 172 ναῖε δέ: ὅτι Ζηνόδοτοc γράφει ὃc νάε Πήδαιον Aristonicus. — 179 κορυφῇ: οὕτωc ἀρίcταρχοc ἑνικῶc. ἄλλοι δὲ κορυφῆc Didymus.

ῥέα διελεύcεcθαι κλιcίαc καὶ νῆαc Ἀχαιῶν
κτείνων· ἀλλ᾽ ὅτε δὴ πυκινῇc ἐνέκυρcε φάλαγξι,
cτῆ ῥα μάλ᾽ ἐγχριμφθείc. οἳ δ᾽ ἀντίοι υἷεc Ἀχαιῶν
νύccοντεc ξίφεcίν τε καὶ ἔγχεcιν ἀμφιγύοιcιν
ὦcαν ἀπὸ cφείων· ὃ δὲ χαccάμενοc πελεμίχθη.
ἤυcεν δὲ διαπρύcιον Τρώεccι γεγωνώc·
Τρῶεc καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
παρμένετ᾽· οὔ τοι δηρὸν ἐμὲ cχήcουcιν Ἀχαιοί,
καὶ μάλα πυργηδὸν cφέαc αὐτοὺc ἀρτύναντεc,
ἀλλ᾽, ὀίω, χάccονται ὑπ᾽ ἔγχεοc, εἰ ἐτεόν με
ὦρcε θεῶν ὤριcτοc, ἐρίγδουποc πόcιc Ἥρηc.
ὣc εἰπὼν ὤτρυνε μένοc καὶ θυμὸν ἑκάcτου.
Δηίφοβοc δ᾽ ἐν τοῖcι μέγα φρονέων ἐβεβήκει
Πριαμίδηc, πρόcθεν δ᾽ ἔχεν ἀcπίδα πάντοc᾽ ἐίcην,
κοῦφα ποcὶ προβιβὰc καὶ ὑπαcπίδια προποδίζων.
Μηριόνηc δ᾽ αὐτοῖο τιτύcκετο δουρὶ φαεινῷ,
καὶ βάλεν, οὐδ᾽ ἀφάμαρτε, κατ᾽ ἀcπίδα πάντοc᾽ ἐίcην
ταυρείην· τῆc δ᾽ οὔ τι διήλαcεν, ἀλλὰ πολὺ πρὶν
ἐν καυλῷ ἐάγη δολιχὸν δόρυ· Δηίφοβοc δὲ
ἀcπίδα ταυρείην cχέθ᾽ ἀπὸ ἕο, δεῖcε δὲ θυμῷ
ἔγχοc Μηριόναο δαΐφρονοc· αὐτὰρ ὅ γ᾽ ἥρωc
ἂψ ἑτάρων εἰc ἔθνοc ἐχάζετο, χώcατο δ᾽ αἰνῶc

V. L. 144 ῥεῖα δ᾽ ἐλεύcεcθαι ACDEGHH'LS Syr. — 145 δή: διὰ H. πυκιναῖc L. ἐνέκυρε H. φάλαγξι ACDGHH'L Syr. Vrat. A. Eust. 923, 43.: φάλαγξιν E. — 146 ῥὰ DGHL. ἐγχριφθεὶc H' Vrat. b. d. A. οἴδ᾽ CGHH'L. — 147 ξίφεcῖ G Lips. — 148 ἀπο A. ὃ δὲ C. χαcάμενοc DGH Lips. πολεμίχθη GH'. — 149 ἤϋcε G. 1. man. H. δὲ omitt. L. τρώεcι H. τρώεcci L. — 150 τρῷεc L. — 151 οὔ τοι: οὔ τι CEG Flor. Rom. — 153 ὀίω: οἴω DEHH'L. ΟΙΩ Syr. χάcονται D. ἐτεόν περ H'. — 154 ὤριcτοc AE. ὤριcτοc Vrat. d. ἄριcτοc H. — 155 ὡc A. — 157 omitt. D in textu, habet in marg. man rec. ἔχεν: ἔcχεν G. πάντοcε, ἴcην A. πάντοcε ἴcην CD m. rec LS. ΠΑΝΤΟCΕΙCΗΝ Syr. — 158—160 omitt. H. — 158 ὑπαcπίδια ACE 925, 61; 961, 8. ὑπ᾽ ἀcπίδια D Vrat. b. d. ὑπ᾽ ἀcπίδα GL Lips. Flor. Apoll. Soph. 158, 1. — 159 δ᾽ αὐτοῖο: δ᾽ ἐν τοῖcι Apoll. Soph. 153, 10. — 160 καταcπίδα A. πάντοcε, ἴcην A. πάντοcε ἴcην CDLS. ΠΑΝΤΟCΕΙCΗΝ Syr. — 161 τῆc οὔτι Vrat. A. — 163 cχέτο G. ἀπο A. ἀπο (αἱ) L. — 165 ἂψ: ΑΨΔ᾽ Syr.

A. c. 144 ῥέα διελεύcεcθαι: οὕτωc Ἀρίcταρχοc. οἱ δὲ ῥεῖα δ᾽ ἐλεύcεcθαι Schol. V. conf. Didym. ad Υ 263 Ἀρίcταρχοc ἔξω τοῦ ῑ ῥέα. — 148 χαccάμενοc πελεμίχθη: ὅτι Ζηνόδοτοc γράφει ὃ δὲ χάccατο πολλὸν ὀπίccω Aristonicus.

ἀμφότερον, νίκηc τε καὶ ἔγχεοc, ὃ ξυνέαξε.
βῆ δ᾽ ἰέναι παρά τε κλιcίαc καὶ νῆαc Ἀχαιῶν,
οἰcόμενοc δόρυ μακρόν, ὅ οἱ κλιcίηφι λέλειπτο.
οἱ δ᾽ ἄλλοι μάρναντο, βοὴ δ᾽ ἄcβεcτοc ὀρώρει.
Τεῦκροc δὲ πρῶτοc Τελαμώνιοc ἄνδρα κατέκτα,
Ἴμβριον αἰχμητήν, πολυίππου Μέντοροc υἱόν.
ναῖε δὲ Πήδαιον, πρὶν ἐλθεῖν υἷαc Ἀχαιῶν,
κούρην δὲ Πριάμοιο νόθην ἔχε, Μηδεcικάcτην·
αὐτὰρ ἐπεὶ Δαναῶν νέεc ἤλυθον ἀμφιέλιccαι,
ἂψ εἰc Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεccι,
ναῖε δὲ πὰρ Πριάμῳ· ὃ δέ μιν τίεν ἶcα τέκεccι.
τόν ῥ᾽ υἱὸc Τελαμῶνοc ὑπ᾽ οὔατοc ἔγχεϊ μακρῷ
νύξ᾽, ἐκ δ᾽ ἔcπαcεν ἔγχοc· ὃ δ᾽ αὖτ᾽ ἔπεcεν μελίη ὥc,
ἥ τ᾽ ὄρεοc κορυφῇ ἕκαθεν περιφαινομένοιο
χαλκῷ ταμνομένη τέρενα χθονὶ φύλλα πελάccῃ·
ὣc πέcεν, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
Τεῦκροc δ᾽ ὡρμήθη μεμαὼc ἀπὸ τεύχεα δῦcαι·
Ἕκτωρ δ᾽ ὁρμηθέντοc ἀκόντιcε δουρὶ φαεινῷ.
ἀλλ᾽ ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχοc
τυτθόν· ὃ δ᾽ Ἀμφίμαχον, Κτεάτου υἷ᾽ Ἀκτορίωνοc,
νιccόμενον πόλεμον δὲ κατὰ cτῆθοc βάλε δουρί.
δούπηcεν δὲ πεcών, ἀράβηcε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.

V. L. 166 τὲ H. ξυνέαξε ACDEGH. ΞΥΝΕΑΞΕ Syr. — 168 κλιcίηφι ACEG (Lips. Mor. Vrat. A). — 171 πολυῖππου A. — 172 ναῖε δέ: ὃc ναῖε C. πήδαcον Flor. ΥΙΑC Syr. — 173 μηδεcικάcτην A. μηδεκαcίcτην L. μηδεcικάτην Lips. — 174 νῆεc C. 1. man. G. — 175 ἂψ δ᾽ Et. Mg. 184, 35. εἰc: ἐc E. τρώεccι ACDH Syr. τρῴεccιν L. — 176 παρ AD. τῖεν AC. τέκεccι ACDH Syr.: τέκεccιν EGL. — 177 τόν ῥ᾽: τόν ῥα G. τὸν δ᾽ Syr. Vrat. A. — 178 ὅδ᾽ CGHL. αὖτ᾽ ἔπεcεν: ἐν ἄλλῳ αἶψ᾽ ἔπεcεν A. ἔπεcε G Lips. — 179 κορυφῇ ACEL: κορυφῆc DGHS Syr. Cant. Mor. Harl. Vrat. b. d. conf. Β 456. Π 634. — 180 ταμνομένη ACDEGHS Cant. Mor. Lips. Harl. Vrat. τεμνομένη L Syr. Flor. πελάccει C. — 181 ὡc A. ἀμφι D. βράχεν D. — 182 ὁρμήθη Lips. 1. man. ἀπο ACDHL. — 185 ὃ δ᾽ L ὅδ᾽ CDG. ΟΔ᾽ Syr. υἷα L. — 186 νῑcόμενον AC. νιcόμενον Townl. Lips. Vrat. d. νειcόμενον D Syr. νϊccόμενον (ει) H (ει 2. man.). πόλεμον δὲ A: ceteri πόλεμόνδε. κατα A. — 187 ἐπαυτῶι A.

A. c. 166 ξυνέαξε: Ζηνόδοτοc ξυνέηξε, cf. Schol. Ν 257. — 168 ὅ οἱ: τινὲc ἅ οἱ ὡc „κῆτοc, ἃ μυρία βόcκει“ (μ 97) Schol. V. — 172 ναῖε δέ: ὅτι Ζηνόδοτοc γράφει ὃc νάε Πήδαιον Aristonicus. — 179 κορυφῇ: οὕτωc ἀρίcταρχοc ἑνικῶc. ἄλλοι δὲ κορυφῆc Didymus.

Ἕκτωρ δ᾿ ὡρμήθη κόρυθα κροτάφοις ἀραρυῖαν
κρατὸς ἀφαρπάξαι μεγαλήτορος Ἀμφιμάχοιο·
Αἴας δ᾿ ὁρμηθέντος ὀρέξατο δουρὶ φαεινῷ
Ἕκτορος· ἀλλ᾿ οὔ πῃ χροὸς εἴσατο, πᾶς δ᾿ ἄρα χαλκῷ
σμερδαλέῳ κεκάλυφθ᾿· ὃ δ᾿ ἄρ᾿ ἀσπίδος ὀμφαλὸν οὖτα,
ὦσε δέ μιν σθένεϊ μεγάλῳ· ὃ δὲ χάσσατ᾿ ὀπίσσω
νεκρῶν ἀμφοτέρων, τοὺς δ᾿ ἐξείρυσσαν Ἀχαιοί.
Ἀμφίμαχον μὲν ἄρα Στιχίος δῖός τε Μενεσθεύς,
ἀρχοὶ Ἀθηναίων, κόμισαν μετὰ λαὸν Ἀχαιῶν,
Ἴμβριον αὖτ᾿ Αἴαντε, μεμαότε θούριδος ἀλκῆς.
ὥς τε δύ᾿ αἶγα λέοντε κυνῶν ὕπο καρχαροδόντων
ἁρπάξαντε φέρητον ἀνὰ ῥωπήια πυκνά,
ὑψοῦ ὑπὲρ γαίης μετὰ γαμφηλῇσιν ἔχοντε,
ὥς ῥα τὸν ὑψοῦ ἔχοντε δύω Αἴαντε κορυστὰ
τεύχεα συλήτην· κεφαλὴν δ᾿ ἁπαλῆς ἀπὸ δειρῆς
κόψεν Ὀιλιάδης κεχολωμένος Ἀμφιμάχοιο,
ἧκε δέ μιν σφαιρηδὸν ἑλιξάμενος δι᾿ ὁμίλου·
Ἕκτορι δὲ προπάροιθε ποδῶν πέσεν ἐν κονίῃσι.
    καὶ τότε δὴ περὶ κῆρι Ποσειδάων ἐχολώθη
υἱωνοῖο πεσόντος ἐν αἰνῇ δηιοτῆτι,
βῆ δ᾿ ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν

V. l. 190 ὀρέξατο: ἀκόντισε S. γρ. ἀκόντισε Harl. Lips. — 191 οὔπῃι ADE. ceteri οὔπῃ. C οὔπω. — 192 κεκάλυπτο D (an κεκάλυπτο, ὃ δ᾿ ἀσπίδος?). ὃ δ᾿ D. ὅδ᾿ CGL. ἂρ DGL. ἀρ A. οὖτα C. — 193 ὅδ᾿ CG. δὲ, χάσσατ᾿ L. δ᾿ ἐχάσσατ᾿ ACEG 2. man. S. δ᾿ ἐχάσατ᾿ G 1. man. ὀπίσσωι A. — 194 ἐξείρυσαν GL Vrat. A. Flor. ἐξέρυσσαν H. — 195 στιχίος ACDHL. στυχίος G. στύχιος Barocc. Mor. δῖος τὲ H. — 196 μετα A. λαὸν: ἐν ἄλλῳ μετὰ ἔθνος A. — 197 μεμαῶτε CD Flor. Rom. — 198 ὕπο ACG. ὑπὸ DEHL. καρχαροδόντων A. — 199 ἀναρωπήϊα A. ἀνα ῥοπήϊα D. — 200 μετα A. γαμφϋλῇσιν L. ἜΧΟΝΤΕϹ Syr. ἔχοντες Cant. — 201 ὧς ῥὰ L. ὪϹ ΑΡΑ Syr. ἔχοντο A. δύω: δύ᾿ G Vrat. A. κορυσταὶ L. — 202 ὑπὸ δειρῆς Vrat. b. 2. man. — 203 ὁ ἰλιάδης D. Ὀϊληάδης E. — 204 ἑλιξάμενος C. ἑλιξόμενος L. — 205 κονίῃσι ACDGH: κονίῃσιν EL. — 206 ΠΕΡῚ ΚΗΡῚ Syr. ΠΟϹΙΔΑΩΝ Syr. ποσειδάων A, sed ceteris locis ποσιδάων. — 207 ἐν αἰνῇ δηϊοτῆτι: ΕΝῚ ΚΡΑΤΕΡῆΙ ΥϹΜΊΝΗΙ Syr.

A. c. 190 ὀρέξατο: τινὲς δὲ ἀκόντισε Schol. V. — 191 Aristarchus χρόος (διῃρημένως ἀντὶ τοῦ χρώς): χροὸς Herodianus et Aristarchus teste Alexione (itaque fortasse διχῶς). Zenodotus χρώς. — 198 αἶγα: αἶγε Zenodotus. — 203 κόψεν Ὀιλιάδης: κόψε γὰρ Ἰλιάδης Zenodotus, cf. H. T. 322.

ὀτρυνέων Δαναούς, Τρώεσσι δὲ κήδε᾿ ἔτευχεν.
Ἰδομενεὺς δ᾿ ἄρα οἱ δουρὶ κλυτὸς ἀντεβόλησεν
ἐρχόμενος παρ᾿ ἑταίρου, ὅ οἱ νέον ἐκ πολέμοιο
ἦλθε, κατ᾿ ἰγνύην βεβλημένος ὀξέι χαλκῷ.
τὸν μὲν ἑταῖροι ἔνεικαν, ὃ δ᾿ ἰητροῖς ἐπιτείλας
ἤιεν ἐς κλισίην· ἔτι γὰρ πολέμοιο μενοίνα
ἀντιάαν· τὸν δὲ προσέφη κρείων ἐνοσίχθων
εἰσάμενος φθογγὴν Ἀνδραίμονος υἷι Θόαντι,
ὃς πάσῃ Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι
Αἰτωλοῖσιν ἄνασσε, θεὸς δ᾿ ὣς τίετο δήμῳ·
    Ἰδομενεῦ, Κρητῶν βουληφόρε, ποῦ τοι ἀπειλαὶ
οἴχονται, τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν;
    τὸν δ᾿ αὖτ᾿ Ἰδομενεύς, Κρητῶν ἀγός, ἀντίον ηὔδα·
ὦ Θόαν, οὔ τις ἀνὴρ νῦν γ᾿ αἴτιος, ὅσσον ἐγώ γε
γιγνώσκω· πάντες γὰρ ἐπιστάμεθα πτολεμίζειν.
οὔτέ τινα δέος ἴσχει ἀκήριον οὔτέ τις ὄκνῳ
εἴκων ἀνδύεται πόλεμον κακόν· ἀλλά που οὕτω
μέλλει δὴ φίλον εἶναι ὑπερμενέι Κρονίωνι,
νωνύμνους ἀπολέσθαι ἀπ᾿ Ἄργεος ἐνθάδ᾿ Ἀχαιούς.
ἀλλὰ Θόαν, καὶ γὰρ τὸ πάρος μενεδήιος ἦσθα,

V. l. 209 ὀτρύνεον Lips. τρῴεσσι L. — 210 δουρὶ, κλυτὸς A: ceteri δουρικλυτὸς. — 212 βεβολημένος edd. vett. — 213 ὃ δ᾿ D. ὅδ᾿ CGHL. ἐπιστείλας L. — 214 ἐς κλισίην ACGHL Syr. Cant. Mor. Lips. Vrat. d. ἐκ κλισίης D. ἐκ (superscr. c) κλισίης (superscr. ν) S. — 215 ἀντιάᾳν G. — 216 φθογγὴν: φωνὴν GL Mor. Barocc. υἷι: ΥἹΕΙ Syr. — 218 ὡς AD. ἐτίετο G. add. D in marg. 3. man. H Cant. Townl. in marg. Lips. in marg. τῷ μιν ἐεισάμενος προσέφη κρείων ἐνοσίχθων. L τῷ μιν ἐεισάμενος ἔπεα πτερόεντα προσηύδα. — 220 τρῳσὶν L. — 221 ηὔδα D. — 222 ὦ Θόαν: ὦ πέπον D. νῦν γ᾿: νῦν ACDEHS Syr. Cant. Harl. Lips. Vrat. b. d. Eust. 904, 20. ἔγωγε libri. — 223 γιγνώσκω GL: γινώσκω ACDEH Syr. Eust. 904, 21. πτολεμίζειν AGHLS Syr. Mor. Barocc. πολεμίζειν CDE Eust. 904, 21. Vrat. A. — 224 οὔτέ τινα ACDGH Eust. 904, 21. ΟΥΤΈΤΙΝΑ Syr. οὔτέ τις ACDGHL Eust. 904, 21. — 225 ἀναδύεται D Lips. πτόλεμον G. ἀλλά πω S. οὕτω ACDEGHL Syr. — 226 μέλλει δἳ φίλον L. — 227 νωνύμνους AH Syr. Eust. 928, 60: νωνύμους CDE 928, 39 GLS Cant. Mor. Harl. υἷας ἀχαιῶν A et γρ. καὶ ἐνθάδ᾿ ἀχαιούς. — 228 τοπάρος G. τοπάρος DHL.

A. c. 222 ἀρίσταρχος μετὰ τοῦ γ̄ νῦν γ᾿ αἴτιος Didymus. νῦν δ᾿ αἴτιος Aristophanes teste Schol. V. — 224 οὔτέ: ἔν τισι τῶν ἀντιγράφων διὰ τοῦ δε̄, οὐδέ Schol. A. — 225 οὕτω διὰ τοῦ ν̄ ἀνδύεται αἱ ἀριστάρχου Didymus. τινὲς δὲ γράφουσιν ἀδδύεται Schol. V. cf. H. T. 294.

ὀτρύνειϲ δὲ καὶ ἄλλον, ὅθι μεθιέντα ἴδηαι·
τῶ νῦν μήτ᾽ ἀπόληγε κέλευέ τε φωτὶ ἑκάϲτῳ.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Ποϲειδάων ἐνοϲίχθων·
Ἰδομενεῦ, μὴ κεῖνοϲ ἀνὴρ ἔτι νοϲτήϲειεν
ἐκ Τροίηϲ, ἀλλ᾽ αὖθι κυνῶν μέλπηθρα γένοιτο,
ὅϲ τιϲ ἐπ᾽ ἤματι τῷδε ἑκὼν μεθίῃϲι μάχεϲθαι.
ἀλλ᾽ ἄγε τεύχεα δεῦρο λαβὼν ἴθι· ταῦτα δ᾽ ἅμα χρὴ
ϲπεύδειν, αἴ κ᾽ ὄφελόϲ τι γενώμεθα καὶ δύ᾽ ἐόντε.
ϲυμφερτὴ δ᾽ ἀρετὴ πέλει ἀνδρῶν καὶ μάλα λυγρῶν·
νῶι δὲ καί κ᾽ ἀγαθοῖϲιν ἐπιϲταίμεϲθα μάχεϲθαι.
ὣϲ εἰπὼν ὃ μὲν αὖτιϲ ἔβη θεὸϲ ἂμ πόνον ἀνδρῶν·
Ἰδομενεὺϲ δ᾽ ὅτε δὴ κλιϲίην εὔτυκτον ἵκανε,
δύϲετο τεύχεα καλὰ περὶ χροΐ, γέντο δὲ δοῦρε,
βῆ δ᾽ ἴμεν ἀϲτεροπῇ ἐναλίγκιοϲ, ἥν τε Κρονίων
χειρὶ λαβὼν ἐτίναξεν ἀπ᾽ αἰγλήεντοϲ Ὀλύμπου,
δεικνὺϲ ϲῆμα βροτοῖϲιν· ἀρίζηλοι δέ οἱ αὐγαί·
ὣϲ τοῦ χαλκὸϲ ἔλαμπε περὶ ϲτήθεϲϲι θέοντοϲ.
Μηριόνηϲ δ᾽ ἄρα οἱ θεράπων ἐὺϲ ἀντεβόληϲεν
ἐγγὺϲ ἔτι κλιϲίηϲ· μετὰ γὰρ δόρυ χάλκεον ἤει
οἰϲόμενοϲ· τὸν δὲ προϲέφη ϲθένοϲ Ἰδομενῆοϲ·
Μηριόνη, Μόλου υἱέ, πόδαϲ ταχύ, φίλταθ᾽ ἑταίρων,
τίπτ᾽ ἦλθεϲ πόλεμόν τε λιπὼν καὶ δηιοτῆτα;
ἠέ τι βέβληαι, βέλεοϲ δέ ϲε τείρει ἀκωκή,

V. ʟ. 229 ὀτρύνοιϲ Townl. ὅθι: ὅτε ACL Vrat. A. ὅθι τε Lips. — 230 τῶ ACDGHL. ΤΩ Syr. νῦν μήποτ᾽ G. κέλευε δὲ H Syr. — 231 ποϲιδάων A Syr. — 232 ἔτι νοϲτήϲειεν: ἐκνοϲτήϲειεν G. — 234 ἐπ᾽ ἤματι D. ΜΕΘΕΗϹΙ Syr. — 235 ΔΕΫΡΟΤΕΥΧΕΑ Syr. — 236 γενώμεθα: γενοίμεθα Cram. A. P. III, 334, 8. ἐόντε: ἐόντεϲ G Barocc. — 237 ϲυμφερτὴ: ἀφερτὴ Et. Mg. 176, 29 diserte. — 238 ΕΠΙϹΤΙΜΕϹΘΑ Syr. ἐπιϲταίμεθα H. ἐπιϲτάμεϲθα DL Lips. Vrat. A. ἐπιϲτάμεθα EGS. ἐπιϲτάμεθα πολεμίζειν Eust. 929, 22. — 239 ὥϲ A. ὃ μὲν C. αὖθϊϲ C. ἀμπόνον ACDEGHL Et. Mg. 85, 54. ἀν πόνον Lips. Vrat. b. — 240 ἐΰτυκτον C: ceteri εὔτυκτον. ἵκανε ACG Syr. — 241 δῦϲϲετο H Lips. Rom. — 242 βῆ ῥ᾽ Vrat. d. ἴμεν᾽ H. ἐναλίγγιοϲ G. — 245 ὥϲ AD 1. man. περι A. ϲθήθεϲφι G Barocc. Mor. Vrat. b. 2. man. conf. Β 388, 544. Ε 452, 722. Μ 151, 401, 425. — 247 ἤει: εἴη Lips. — 248 τόνδε G.

A. c. 229 γρ. καὶ ὅθι μεθιέντα Schol. A. Ζηνόδοτοϲ δὲ ὅτιϲ μεθίῃϲι πόνοιο Didymus. — 237 ϲυμφερτὴ δ᾽ ἀρετή: Ζηνόδοτοϲ ϲυμφερτὸϲ δὲ βίη Didymus. add. Schol. V καὶ Ἀριϲτοφάνηϲ. — 245 περί: Ζηνόδοτοϲ καὶ ἀριϲτοφάνηϲ ἐνιϲτήθεϲϲι Didymus. — 246 Aristarchus θεράπων ἐὺϲ: Ζηνόδοτοϲ καὶ ἀριϲτοφάνηϲ δουρι κλυτοϲ (sic) Didymus. alii θεραπωνεὺϲ.

ἠέ τευ ἀγγελίηϲ μετ᾽ ἔμ᾽ ἤλυθεϲ; οὐδέ τοι αὐτὸϲ
ἧϲθαι ἐνὶ κλιϲίῃϲι λιλαίομαι, ἀλλὰ μάχεϲθαι.
τὸν δ᾽ αὖ Μηριόνηϲ πεπνυμένοϲ ἀντίον ηὔδα·
[Ἰδομενεῦ, Κρητῶν βουληφόρε χαλκοχιτώνων,]
ἔρχομαι, εἴ τί τοι ἔγχοϲ ἐνὶ κλιϲίῃϲι λέλειπται,
οἰϲόμενοϲ· τό νυ γὰρ κατεάξαμεν, ὃ πρὶν ἔχεϲκον,
ἀϲπίδα Δηιφόβοιο βαλὼν ὑπερηνορέοντοϲ.
τὸν δ᾽ αὖτ᾽ Ἰδομενεύϲ, Κρητῶν ἀγόϲ, ἀντίον ηὔδα·
δούρατα δ᾽, αἴ κ᾽ ἐθέληϲθα, καὶ ἓν καὶ εἴκοϲι δήειϲ
ἑϲταότ᾽ ἐν κλιϲίῃ πρὸϲ ἐνώπια παμφανόωντα,
Τρώια, τὰ κταμένων ἀποαίνυμαι. οὐ γὰρ ὀίω
ἀνδρῶν δυϲμενέων ἑκὰϲ ἱϲτάμενοϲ πολεμίζειν.
τῶ μοι δούρατά τ᾽ ἔϲτι καὶ ἀϲπίδεϲ ὀμφαλόεϲϲαι,
καὶ κόρυθεϲ καὶ θώρηκεϲ λαμπρὸν γανόωντεϲ.
τὸν δ᾽ αὖ Μηριόνηϲ πεπνυμένοϲ ἀντίον ηὔδα·
καί τοι ἐμοὶ παρά τε κλιϲίῃ καὶ νηὶ μελαίνῃ
πόλλ᾽ ἔναρα Τρώων· ἀλλ᾽ οὐ ϲχεδόν ἐϲτιν ἑλέϲθαι.
οὐδὲ γὰρ οὐδ᾽ ἐμέ φημι λελαϲμένον ἔμμεναι ἀλκῆϲ,
ἀλλὰ μετὰ πρώτοιϲι μάχην ἀνὰ κυδιάνειραν
ἵϲταμαι, ὁππότε νεῖκοϲ ὀρώρηται πολέμοιο.
ἄλλόν πού τινα μᾶλλον Ἀχαιῶν χαλκοχιτώνων
λήθω μαρνάμενοϲ, ϲὲ δὲ ἴδμεναι αὐτὸν ὀίω.
τὸν δ᾽ αὖτ᾽ Ἰδομενεύϲ, Κρητῶν ἀγόϲ, ἀντίον ηὔδα·

V. ʟ. 252 μετ᾽ ἔμ᾽ G. μετεμ᾽ A. μετέμ᾽ L. μετ᾽ ἐμεῦ D. οὐδέ τοι ACDHL Cant. Townl. Vrat. b. d. Lips.: οὐδέ τι EG. — 253 ἐνι A. ἐν L Lips. κλιϲίῃ G. — 254 πεπνυμένοϲ: δουρικλυτὸϲ L. — 255 omitt. ACD Syr. Townl. in textu: habent C in marg. man rec. D in marg. 3. man. EGHLS Townl. in marg. ἔν τιϲι μετὰ τοῦτον φέρεται „Ἰδομενεῦ, Κρητῶν βουληφόρε χαλκοχιτώνων" Schol. V ad 254. — 256 εἴ τϊ τοι C. εἴ τί που Herodianus περὶ ϲχημάτων apud Villois. Anecd. Gr. II, 88. εἴ που τοι Herod. ap. Dindorf. 48, 1. ἐνι A. κλιϲίηφι L. — 258 δηϊφόβοιο A. — 259 ηὖδα D. — 260 ΔΟΥΡΑΤΑΤ᾽ Syr. δούρατά γ᾽ C. αἴ κε θέληιϲθα D Syr. Townl. δήειϲ GS. δήϲειϲ Cram. Ep. 122, 24. — 261 κλιϲίηϲ Harl. προϲενώπια AGL Syr. — 263 ἱϲτάμενοι L. — 264 τῶ ACDGHL Syr. ἐϲτι AH Syr. ἐϲτὶ C. δούρατ᾽ ἐϲτὶ G Flor. Rom. δοῦρα τάτ᾽ ἐϲτι D. — 266 ηὖδα D. add. D in marg. 3. man. ἰδομενεῦ κρητων βουληφορε χαλκοχιτώνων, conf. 255. — 268 τρῴων L. ἐϲτὶν L. — 269 ἐμὲ φημὶ ACDG. ἐμέ φημι EHL Apoll. de Pron. 52 B; 59 A. de Synt. 139, 22. — 270 ἀνα D. — 272 ποῦ CDH. — 274 τόνδ᾽ ἆρ G. ηὖδα D.

A. c. 257 κατεάξαμεν: Ζηνόδοτοϲ κατεήξαμεν, conf. 166.

οἶδ' ἀρετὴν οἷός ἐcci· τί cε χρὴ ταῦτα λέγεcθαι;
εἰ γὰρ νῦν παρὰ νηυcὶ λεγοίμεθα πάντες ἄριcτοι
ἐc λόχον, ἔνθα μάλιcτ' ἀρετὴ διαείδεται ἀνδρῶν,
ἔνθ' ὅ τε δειλὸc ἀνήρ, ὅc τ' ἄλκιμοc, ἐξεφαάνθη·
τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼc ἄλλυδιc ἄλλῃ,
οὐδέ οἱ ἀτρέμαc ἧcθαι ἐρητύετ' ἐν φρεcὶ θυμόc,
ἀλλὰ μετοκλάζει καὶ ἐπ' ἀμφοτέρουc πόδαc ἵζει,
ἐν δέ τέ οἱ κραδίη μεγάλα cτέρνοιcι πατάccει
κῆραc ὀιομένῳ, πάταγοc δέ τε γίγνετ' ὀδόντων·
τοῦ δ' ἀγαθοῦ οὔτ' ἂρ τρέπεται χρὼc οὔτέ τι λίην
ταρβεῖ, ἐπειδὰν πρῶτον ἐcίζηται λόχον ἀνδρῶν,
ἀρᾶται δὲ τάχιcτα μιγήμεναι ἐν δαῒ λυγρῇ·
οὐδέ κεν ἔνθα τεόν γε μένοc καὶ χεῖραc ὄνοιτο.
εἴ περ γάρ κε βλεῖο πονεύμενοc ἠὲ τυπείηc,
οὐκ ἂν ἐν αὐχέν' ὄπιcθε πέcοι βέλοc οὐδ' ἐνὶ νώτῳ,
ἀλλά κεν ἢ cτέρνων ἢ νηδύοc ἀντιάcειε
πρόccω ἱεμένοιο μετὰ προμάχων ὀαριcτύν.
ἀλλ' ἄγε, μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὣc
ἑcταότεc, μή πού τιc ὑπερφιάλωc νεμεcήcῃ.

V. L. 275 οἷοc ἐccì DG. οἷοc γ' ἐccì L. — 276 εἰ γὰρ δὴ H. εἰ δὴ γὰρ Vrat. d. παρα A. λεγώμεθα Et. Gud. 374, 10. — 277 διβείδεται S. ἀνδρῶν: ἀνδρόc Schol. A 227. — 278 ὅτ' ἄλκιμοc G. ὅτε ἄλκιμοc Et. Mg. 261, 32. ὥc τ' ἄλκιμοc Apoll. Soph. 56, 31. ἔνθ' ἄλκιμοc Lips. — 279 ἄλύδιc L Flor. ἄλλη C. ἄλλωc G. — 281 omitt. Pseudopl. 138, 40. ἐπαμφοτέρουc A. — 282 δέ τε οἱ CDGHL. — 283 δϊομένω (ου) H. γίγνετ L: γίνετ' ACDGH Pseudopl. 138, 40. Schol. Arist. Nub. 377. Stob. Floril. 51, 15. γίνεται E. — 284 οὔτέ τι ADGHL. — 285 ἐπειδὰν libri: recentiores ἐπὴν δὴ vel ἐπεί κεν ex coniectura. — 287 τεόν τε L. — 288 γάρ κε: γὰρ καὶ L Vrat. b. d. γάρ καὶ (ε) H. γὰρ βεβλεῖο Et. Mg. 200, 2. βλῆο C. βλῆc (em. βλῆο) Cr. Ep. 167, 4. — 289 οὔ κεν ἐν H. ἐν: ἐπ' Pseudopl. 157, 20. Stob. Flor. 7, 14. ὄπιcθεν C. ὄπιcθεν Lips. πέcῃ G. Barocc. ἐνὶ: ἐπὶ Stob. Flor. 7, 14. — 290 cτέρνων: cτέρνοιο G Cant. Mor. (an cτέρνου?). ἀντιάcειε ACEGH. — 291 πρόcω G. ἱεμένοιο CDH Vrat. b. d. μετα A. ὀαριcτήν G. — 292 ἀλλά γε D Harl. μὴ κέτι D. νήπιοι G. ὡc A. — 293 μή που τιc CDHL. μή πωc τιc E Rom.

A. c. 287 τεόν γε: οὕτω διὰ τοῦ γε cυνδέcμου αἱ ἀριcτάρχου Didymus. — 288 γάρ κε: Bekk. 2. γάρ τε ex coni. sed conf. εἴ περ γάρ κ' ἐθέλοιμεν Β 123. Θ 205. εἴ περ γάρ κ' Ὀδυcεὺc μενοινήcειε β 246. εἴ περ ἂν ἀείδοιεν Β 597. αἴ κέ περ ἡδὺ γένοιτο Η 387. ἤν περ γὰρ φύγῃ Χ 487. (Γ 25. Ε 224. 232. Λ 391. Μ 302). formam βλεῖο tuentur Schol. Ν 288. Cram. Ep. 91, 28. Et. Mg. 200, 1. Suidas I, 2, 213, 8. conf. Buttm. Gramm. ampl. II, pg. 126 et 274. — 289 οὐκ ἂν: οὕτωc ἀρίcταρχοc οὐκ ἂν διὰ τοῦ ᾱ, αἱ δὲ κοιναὶ οὔ κεν Didymus.

ἀλλὰ cύ γε κλιcίην δὲ κιὼν ἕλευ ὄβριμον ἔγχοc.
ὣc φάτο, Μηριόνηc δὲ θοῷ ἀτάλαντοc Ἄρηι
καρπαλίμωc κλιcίηθεν ἀνείλετο χάλκεον ἔγχοc,
βῆ δὲ μετ' Ἰδομενῆα μέγα πτολέμοιο μεμηλώc.
οἷοc δὲ βροτολοιγὸc Ἄρηc πόλεμον δὲ μέτειcι,
τῷ δὲ Φόβοc φίλοc υἱὸc ἅμα κρατερὸc καὶ ἀταρβὴc
ἕcπετο, ὅc τ' ἐφόβηcε ταλάφρονά περ πολεμιcτήν·
τὼ μὲν ἄρ' ἐκ Θρῄκηc Ἐφύρουc μέτα θωρήccεcθον,
ἠὲ μετὰ Φλεγύαc μεγαλήτοραc· οὐδ' ἄρα τώ γε
ἔκλυον ἀμφοτέρων, ἑτέροιcι δὲ κῦδοc ἔδωκαν·
τοῖοι Μηριόνηc τε καὶ Ἰδομενεύc, ἀγοὶ ἀνδρῶν,
ἤιcαν ἐc πόλεμον κεκορυθμένοι αἴθοπι χαλκῷ.
τὸν καὶ Μηριόνηc πρότεροc πρὸc μῦθον ἔειπε·
Δευκαλίδη, πῇ τ' ἂρ μέμοναc καταδῦναι ὅμιλον;
ἢ ἐπὶ δεξιόφιν παντὸc cτρατοῦ, ἢ ἀνὰ μέccουc,
ἢ ἐπ' ἀριcτερόφιν; ἐπεὶ οὔ ποθι ἔλπομαι οὕτω
δεύεcθαι πολέμοιο κάρη κομόωνταc Ἀχαιούc.
τὸν δ' αὖτ' Ἰδομενεύc, Κρητῶν ἀγόc, ἀντίον ηὔδα·
νηυcὶ μὲν ἐν μέccῃcιν ἀμύνειν εἰcὶ καὶ ἄλλοι,
Αἴαντέc τε δύω Τεῦκρόc θ', ὃc ἄριcτοc Ἀχαιῶν
τοξοcύνῃ, ἀγαθὸc δὲ καὶ ἐν cταδίῃ ὑcμίνῃ·
οἵ μιν ἄδην ἐλόωcι καὶ ἐccύμενον πολέμοιο,

V. L. 294 κλιcίην δὲ A: ceteri κλιcίηνδε. ὄβριμον: ὄμβριμον CHL. — 295 ὡc A. — 297 πολέμοιο G Lips. Flor. — 298 libri πόλεμόνδε. μέτειcι ACDEGH. — 301 ἄρ ADEGHL Apoll. Soph. 80, 12. ἐκ Θρῄκηc Ἐφύρουc: εἰc Ἐφύρουc πόλεμον Pausan. IX, 36, 2. μεταθωρήcceεcθον CD. μεταθωρήcεεcθον GHL. μέτα θωρήcεεcθον Apoll. Soph. 80, 12. μέτα θωρήccοντο Strabo IX, 442. — 302 μετα AL. — 303 ἀμφοτέρων: ἀμφοτέροιc L. — 304 τὲ καὶ CH. — 306 πρότερον S. προc D. ἔειπε ACGH. — 307 πῆ AEH: ceteri πῇ. τ' ἄρ: τὰρ D. — 308 ἦ: libri ἢ. ἐπι A. δεξιόφι Schol. B 233. Et. Mg. 500, 9. μέccον Flor. παντὸc cτρατοῦ — 309 οὕτω man. rec. addit. in H. — 309 ἔλπομ' D. οὕτω ADEGHL Apoll. Soph. 58, 1: vulgo οὕτωc. — 310 κάρη κομόωνταc solus A. — 311 ηὗδα D. — 312 μέcοιcιν G. — 313 δύο D. τεῦκροc ὃc G. — 314 δὲ om. L. — 315 ἄδην C (D 1. man.?). ἄδην (δ) D (spiritus et alterum δ 2. man.). ἐλόωcï C. ἐλόωcιν Lips.

A. c. 298 οὕτω μετὰ τῆc μετὰ προθέcεωc μέτειcι Schol. A. — 309 οὔ ποθι: τινὲc δὲ οὔ ποτε Schol. V. — 315 ἄδην: ἄδην, cf. H. T. 179. ἐλόωcι Aristarchus, conf. Aristonicum, qui explicat ἄδην ἐλόωcιν ἀντὶ τοῦ κορεcθῆναι αὐτὸν ποιήcουcιν. κατ' ἔνια τῶν ὑπομνημάτων οἵ μιν ἄδην ἄcουcι (cod. ἐάcουcι), ὅ ἐcτι κορέcουcιν. μαρτυρεῖ καὶ τὸ „ἄcειν ἐν Τροίῃ ταχέαc κύναc" (Λ 817). οὕτωc Ἀρίcταρχοc Didymus. ὅτι Ζηνόδοτοc ἀγνοήcαc τὸ cημαινόμενον πεποίηκε (μεταπεποίηκε?) καὶ ἐccύμενον πολεμίζειν Aristonicus.

[Ἕκτορα Πριαμίδην, καὶ εἰ μάλα καρτερός ἐστιν].
αἰπύ οἱ ἐσσεῖται, μάλα περ μεμαῶτι μάχεσθαι,
κείνων νικήσαντι μένος καὶ χεῖρας ἀάπτους
νῆας ἐνιπρῆσαι, ὅτε μὴ αὐτός γε Κρονίων
ἐμβάλοι αἰθόμενον δαλὸν νήεσσι θοῇσιν.
ἀνδρὶ δέ κ' οὐκ εἴξειε μέγας Τελαμώνιος Αἴας,
ὃς θνητός τ' εἴη καὶ ἔδοι Δημήτερος ἀκτήν,
χαλκῷ τε ῥηκτὸς μεγάλοισί τε χερμαδίοισιν.
οὐδ' ἂν Ἀχιλλῆι ῥηξήνορι χωρήσειεν
ἔν γ' αὐτοσταδίῃ· ποσὶ δ' οὔ πως ἔστιν ἐρίζειν.
νῶιν δ' ὧδ' ἐπ' ἀριστέρ' ἔχε στρατοῦ, ὄφρα τάχιστα
εἴδομεν ἠέ τῳ εὖχος ὀρέξομεν, ἦέ τις ἡμῖν.
ὣς φάτο, Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηι
ἦρχ' ἴμεν, ὄφρ' ἀφίκοντο κατὰ στρατόν, ᾗ μιν ἀνώγει.
οἳ δ' ὡς Ἰδομενῆα ἴδον φλογὶ εἴκελον ἀλκήν,
αὐτὸν καὶ θεράποντα, σὺν ἔντεσι δαιδαλέοισι,
κεκλόμενοι καθ' ὅμιλον ἐπ' αὐτῷ πάντες ἔβησαν.
τῶν δ' ὁμὸν ἵστατο νεῖκος ἐπὶ πρυμνῇσι νέεσσιν.
ὡς δ' ὅθ' ὑπὸ λιγέων ἀνέμων σπέρχωσιν ἄελλαι
ἤματι τῷ, ὅτε τε πλείστη κόνις ἀμφὶ κελεύθους,
οἵ τ' ἄμυδις κονίης μεγάλην ἱστᾶσιν ὀμίχλην,
ὣς ἄρα τῶν ὁμός' ἦλθε μάχη, μέμασαν δ' ἐνὶ θυμῷ
ἀλλήλους καθ' ὅμιλον ἐναιρέμεν ὀξέι χαλκῷ.

V. L. 316 omitt. ACD Townl.: habent D in marg. 3. man. EGHLS Townl. in marg. man. rec. — 319 ὅτι μὴ Lips. αὐτός γε: αὐτός τε H Vrat. d. — 321 εἴξει H. — 324 ἀχῖλῆϊ C. — 325 ἔν γ': ἔν τ' G. ἐν δ' H. αὐτοσταδίηι A. οὔπω G. ἐστὶν ACEGHL. ἐστιν D. — 326 ὧδ' om. L. ἐπαριστερ^ A. — 327 ἴδομεν D. — 328 ὡς A. — 329 ἀφίκοιτο L Harl. Lips. κατα A. στρατὸν om. L. — 330 οἳ δ' D. οἵδ' CGHL. ἴκελον H. — 331 συνέντεσι A. ἔντεσσι G. δαιδαλέοισι ACG. μαρμαίροντας H Vrat. d. σὺν τεύχεσι λευγαλέοισι Lips. ἐν ἄλλῳ ἐνέντεσι μαρμαίροντας A. — 333 ἐπι A. πρύμνῃσι, non πρυμνῇσι, libri. — 334 ὑπο A. ὑπαὶ L. — 335 ἤματι D. τε om. GL. — 336 ὀμίχλην ADL: ὁμίχλην CEGH, conf. A 359 (ὸν). — 337 ὡς D 1. man. ὁμός': ὁμῶς D. ὁμῶς L. ἐνι AD Syr.

A. c. 318 κείνων: οὕτως πληθυντικῶς αἱ Ἀριστάρχου Didymus. alii igitur κείνου, sc. Ajacis Telamonii. ἀάπτους: ἀρίσταρχος ἀέπτους, ἄλλοι δὲ ἀάπτους, sed conf. Herod. ad A 567 ἀάπτους: οὕτως δὲ καὶ Ἀρίσταρχος. ἐν δὲ ταῖς Ἀριστοφάνους γλώτταις διὰ τοῦ ε̄ ἐγέγραπτο ἀέπτους. H. T. 175. — 333 πρυμνῇσι vid. H. T. 346.

ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσι
μακρῆς, ἃς εἶχον ταμεσίχροας· ὄσσε δ' ἄμερδεν
αὐγὴ χαλκείη κορύθων ἄπο λαμπομενάων
θωρήκων τε νεοσμήκτων σακέων τε φαεινῶν
ἐρχομένων ἄμυδις. μάλα κε θρασυκάρδιος εἴη,
ὃς τότε γηθήσειεν ἰδὼν πόνον οὐδ' ἀκάχοιτο.
τὼ δ' ἀμφὶς φρονέοντε δύω Κρόνου υἷε κραταιὼ
ἀνδράσιν ἡρώεσσιν ἐτεύχετον ἄλγεα λυγρά.
Ζεὺς μέν ῥα Τρώεσσι καὶ Ἕκτορι βούλετο νίκην,
κυδαίνων Ἀχιλῆα πόδας ταχύν· οὐδέ τι πάμπαν
ἤθελε λαὸν ὀλέσθαι Ἀχαιικὸν Ἰλιόθι πρό,
ἀλλὰ Θέτιν κύδαινε καὶ υἱέα καρτερόθυμον.
Ἀργείους δὲ Ποσειδάων ὀρόθυνε μετελθών,
λάθρῃ ὑπεξαναδὺς πολιῆς ἁλός· ἤχθετο γάρ ῥα
Τρωσὶν δαμναμένους, Διὶ δὲ κρατερῶς ἐνεμέσσα.
ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος ἠδ' ἴα πάτρη,
ἀλλὰ Ζεὺς πρότερος γεγόνει καὶ πλείονα ᾔδη·
τῶ ῥα καὶ ἀμφαδίην μὲν ἀλεξέμεναι ἀλέεινεν,
λάθρῃ δ' αἰὲν ἔγειρε κατὰ στρατὸν ἀνδρὶ ἐοικώς.

V. L. 339 ἔφριξε EL Schol. Δ 282. Φ 126. φθισίβροτος GL Schol. Eurip. Phoen. 1105. ἐγχείῃσι ACEG: ἐγχείῃσιν DHL Syr. Schol. B 148. — 340 μακρῆς' H. ταμεσίχροας A. ἄμεργεν Schol. Ε 336. — 341 αὐγῆ χαλκείῃ L. ἀπολαμπομενάων ACDEGHL Mor. Schol. Ε 336. — 342 τὲ (bis) CH. — 343 μάλά κεν C. θρασυκάρδιος A. — 344 τότε: τόγε H. — 345 δύο D. κραταιὼ: κρατερὼ DG. — 346 ἡρώεσσιν ἐτεύχετον Schol. K. 364: ἡρώεσσι τετεύχετον ADL Cram. Ep. 397, 15. ἡρώεσσι τετεύχατον CEH Townl. τετεύχατο GS. ΗΡΏΕ . . . . ΕΑΛΥΓΡΆ Syr. ἐν ἄλλῳ ἡρώεσσιν ἐτευχετο[ν] A. — 347 μέν ῥα AC: ceteri μὲν ἄρα. τρῴεσσι L. νίκην: κῦδος Schol. A 5. — 348 ἀχιλλῆα G. οὐδέ τι AHL Vrat. d: ceteri οὐδ' ὅγε cum Schol. Θ 36. — 349 ὀλέσθαι: ὀλέσσαι CH. ἀχαϊκὸν E Lips. — 350 υἱέα est forma poëtae insolita neque Atticis cognita: passim ea utebantur poëtae Alexandrini, Callimachus h. in Cer. 80. epigr. 10, 3. Theocr. XIII, 8. Apoll. Rhod. II, 803. IV, 1493. — 351 ποσιδάων A. — 352 γὰρ ῥὰ L. γὰρ δὴ G. — 353 τρῳσὶν L. τρωσὶ DEG 1. man. Lips. Flor. Schol. Z 479. — 355 ἤδη ADE. ΗΔΗ Syr. ᾔδη HL. ᾔδει CG Mor. Barocc. Pseudopl. 131, 28. — 356 τῷ ACDGHL Syr. ῥὰ L. ἀμφαδίῃ AE 936, 55; 64. G. ἀμφαδίῃ CHS Lips. Vrat. d. ἀλέεινε ACDGL Syr. — 357 ΛΑΘΡΗ Syr. κατα A.

A. c. 346 ἐτεύχετον: τὰ πολλὰ τῶν ἀντιγράφων διὰ τοῦ ᾱ τετεύχατον Cram. Ep. 397, 16. conf. K 364. C 582. — 347 μέν ῥα: οὕτως ἀρίσταρχος. ἄλλοι δὲ Ζεὺς μὲν ἄρα Didymus. — 348 οὐδέ τι: ἀριστοφάνης οὐδ' ὅγε πάμπαν Didymus. — 350 ἀθετεῖται Aristonicus. — 356 ἀμφαδίην ut H 196. ε 120.

τοὶ δ' ἔριδοϲ κρατερῆϲ καὶ ὁμοιίου πολέμοιο
πεῖραρ ἐπαλλάξαντεϲ ἐπ' ἀμφοτέροιϲι τάνυϲϲαν,
ἄρρηκτόν τ' ἄλυτόν τε, τὸ πολλῶν γούνατ' ἔλυϲεν.
ἔνθα μεϲαιπόλιόϲ περ ἐών, Δαναοῖϲι κελεύϲαϲ,
Ἰδομενεὺϲ Τρώεϲϲι μετάλμενοϲ ἐν φόβον ὦρϲε.
πέφνε γὰρ Ὀθρυονῆα Καβηϲόθεν ἔνδον ἐόντα,
ὅϲ ῥα νέον πολέμοιο μετὰ κλέοϲ εἰληλούθει.
ἤτεε δὲ Πριάμοιο θυγατρῶν εἶδοϲ ἀρίϲτην,
Καϲϲάνδρην, ἀνάεδνον, ὑπέϲχετο δὲ μέγα ἔργον,
ἐκ Τροίηϲ ἀέκονταϲ ἀπωϲέμεν υἷαϲ Ἀχαιῶν.
τῷ δ' ὁ γέρων Πρίαμοϲ ὑπό τ' ἔϲχετο καὶ κατένευϲε
δωϲέμεναι· ὃ δὲ μάρναθ' ὑποϲχεϲίῃϲι πιθήϲαϲ.
Ἰδομενεὺϲ δ' αὐτοῖο τιτύϲκετο δουρὶ φαεινῷ,
καὶ βάλεν ὕψι βιβάντα τυχών· οὐδ' ἤρκεϲε θώρηξ
χάλκεοϲ, ὃν φορέεϲκε, μέϲῃ δ' ἐν γαϲτέρι πῆξε.
δούπηϲεν δὲ πεϲών· ὃ δ' ἐπεύξατο φώνηϲέν τε·
Ὀθρυονεῦ, περὶ δή ϲε βροτῶν αἰνίζομ' ἁπάντων,
εἰ ἐτεὸν δὴ πάντα τελευτήϲειϲ ὅϲ' ὑπέϲτηϲ
Δαρδανίδῃ Πριάμῳ· ὃ δ' ὑπέϲχετο θυγατέρα ἥν.

V. l. 358 τοὶ δ': οἳ δ' D. τὼ δ' L. ΕΙΔΕΡΙΔΟϹ Syr. πτολέμοιο DHS Lips. Flor. — 359 πεῖρα$\overset{\text{ρ}}{\text{ϲ}}$ Cant. — 360 τὸ: ὃ E. — 362 τρώεϲϲι L. μετάλμενοϲ libri mei, Cant. Mor. Harl. Lips. Vrat. d. ἐν ἄλλῳ τρώεϲϲιν ἐπάλμενοϲ A. ὦρϲε ACH Schol. Ε 153. — 363 πέφνε δ' ἄρ G. Καβήϲϲοθεν Steph. Byz. 344, 13. — 364 ὃϲ ῥὰ GL. πτολέμοιο Strabo XIII, 600. — 366 καϲάνδρην CE Lips. ὑπίϲχετο L. δέ: δὴ G ex corr. γὰρ H. — 367 ἀέκονταϲ A. — 368 ὑπό τ' ἔϲχετο: ὑπέϲχετο DEG Syr. (sine accentu) Rom. κατένευϲε ACEGH: κατένευϲεν DL Syr. — 369 πιθήϲαϲ: πεποιθὼϲ H Vrat. d. — 372 φορέεϲκεν D. γαϲτέρι τύψεν D. πῆξε ACEGH Syr. — 373 δούπηϲε G Flor. ὃ δ' D. ὅδ' CGHL. — 374 ΑΘΡΥΟΝΕΥ̃ Syr. περὶ ACH. περι D Syr. πέρι EGL Schol. Pind. Pyth. VIII, 56. Apoll. Soph. 14, 29. Et. Mg. 36, 12. Rhet. Gr. III, 92, 24. — 375 δὴ πάντα: δὴ ταῦτα Rhet. Gr. III, 92, 25. ὡϲ ὑπέϲτηϲ L Flor. — 376 ὃ δ' DL. ὅδ' CG.

A. c. 358 τοί: οὕτωϲ ἀριϲτοφάνηϲ (ἀρίϲταρχοϲ?) ἄλλοι δὲ οἱ δ' ἔριδοϲ Didymus. — 359 ἀμφοτέροιϲι et ἀλλήλοιϲι Aristarchus διχῶϲ. — 363 Καβηϲόθεν ἔνδον: Ἑκάβηϲ νόθον υἱὸν Argolica. alii ἐνδονέοντα, κεκινημένον. — 364 μετά: ἀριϲτοφάνηϲ κατὰ κλέοϲ Didymus. conf. Λ 227 μετὰ κλέοϲ ἵκετ' Ἀχαιῶν. Pind. Pyth. IV, 125 ἤλυθον κατὰ κλέοϲ. — 367 ἀπωϲέμεν (Zenodotus? Sch. V). ἀρίϲταρχοϲ ἀνωϲέμεν Didymus. — 371 Aristarchus βιβάντα. — 373 τινὲϲ δὲ κερτομέων ἔποϲ ηὔδα Sch. V. — 374 αἰνίζομ': φέρεται καὶ διὰ τοῦ ξ αἰνίξομαι, ἀντὶ τοῦ ἐπαινέϲομαι. Ζηνόδοτοϲ αἰνίϲϲομαι Didymus.

καί κέ τοι ἡμεῖϲ ταῦτά γ' ὑποϲχόμενοι τελέϲαιμεν,
δοῖμεν δ' Ἀτρείδαο θυγατρῶν εἶδοϲ ἀρίϲτην,
Ἄργεοϲ ἐξαγαγόντεϲ, ὀπυιέμεν, εἴ κε ϲὺν ἄμμιν
Ἰλίου ἐκπέρϲῃϲ εὖ ναιόμενον πτολίεθρον.
ἀλλ' ἕπευ, ὄφρ' ἐπὶ νηυϲὶ ϲυνώμεθα ποντοπόροιϲιν
ἀμφὶ γάμῳ, ἐπεὶ οὔ τοι ἐεδνωταὶ κακοί εἰμεν.
ὣϲ εἰπὼν ποδὸϲ ἕλκε κατὰ κρατερὴν ὑϲμίνην
ἥρωϲ Ἰδομενεύϲ. τῷ δ' Ἄϲιοϲ ἦλθεν ἀμύντωρ
πεζὸϲ πρόϲθ' ἵππων· τὼ δὲ πνείοντε κατ' ὤμων
αἰὲν ἔχ' ἡνίοχοϲ θεράπων· ὃ δὲ ἵετο θυμῷ
Ἰδομενῆα βαλεῖν· ὃ δέ μιν φθάμενοϲ βάλε δουρὶ
λαιμὸν ὑπ' ἀνθερεῶνα, διὰ πρὸ δὲ χαλκὸν ἔλαϲϲεν.
ἤριπε δ' ὡϲ ὅτε τιϲ δρῦϲ ἤριπεν ἢ ἀχερωίϲ,
ἠὲ πίτυϲ βλωθρή, τήν τ' οὔρεϲι τέκτονεϲ ἄνδρεϲ
ἐξέταμον πελέκεϲϲι νεήκεϲι νήιον εἶναι·
ὣϲ ὃ πρόϲθ' ἵππων καὶ δίφρου κεῖτο τανυϲθείϲ,
βεβρυχώϲ, κόνιοϲ δεδραγμένοϲ αἱματοέϲϲηϲ.
ἐκ δέ οἱ ἡνίοχοϲ πλήγη φρέναϲ, ἃϲ πάροϲ εἶχεν·
οὐδ' ὅ γ' ἐτόλμηϲεν, δηίων ὑπὸ χεῖραϲ ἀλύξαϲ,
ἂψ ἵππουϲ ϲτρέψαι, τὸν δ' Ἀντίλοχοϲ μενεχάρμηϲ
δουρὶ μέϲον περόνηϲε τυχών· οὐδ' ἤρκεϲε θώρηξ
χάλκεοϲ, ὃν φορέεϲκε, μέϲῃ δ' ἐν γαϲτέρι πῆξεν.

V. l. 377 ΤΑΥ̃ΤΥΠΟϹΧΟΜΕΝΟΙ Syr. τελευτήϲαιμεν G. — 379 ὀπυέμεν DG Vrat. A. εἴ κε: αἴ κε Vrat. d εἰϲόκε ϲὺν D. ἄμμϊ CDH Lips. — 380 εὖ ναιόμενον ACEHL: ceteri εὐναιόμενον. — 381 ἕπι A. ϲυνώμεθα: γρ. ϲυνθώμεθα G. ποντοπόροιϲι D. — 382 ἐεδνωταὶ AE Lips. εἰμεν: ἠμεν C. ἐϲμεν D. κακοὶ εἰμὲν E. — 383 ἕλκε: εἷλκε ACDEGHLS ..... ΚΕΚΑΤΑ Syr. κατὰ: δια A. διὰ C. γρ. κατὰ κρατερὴν A. — 384 ἄϲϲιοϲ Vrat. A. — 386 ἠνίοχοϲ G. ὅδε G. ἵετο A. ἵετο C. ἵετο D. — 388 ὑπανθερεῶνα H διὰ πρὸ D. δϊαπρο C Syr. ceteri διαπρὸ cum. Schol. Π 188. χαλκὸϲ L. ἔλαϲϲε H. — 389 ὡϲ, ὅϲ τε G et γρ. ὅτε τϊϲ. δρὺϲ CD. — 390 βλωθρὴν G post ras. et γρ. βλωθρή. τὴν δ' Lips. — 391 νείϊον (η superscr.) C. — 392 ὡϲ A. ὁ ACDGHL. — 395 ὅγε τόλμηϲεν GS. ΟΓΕΤΟΛΜΗϹΕΝ Syr. τόλμηϲε Lips. Vrat. A. — 396 ἥππουϲ G. — 398 ΜΕϹΗ Ambr. ἐν: ἐνὶ G Mor.

A. c. 381 ἕπευ: conf. Didym. ad Κ 146 ἀρίϲταρχοϲ χωρὶϲ τοῦ ῡ ἀλλ' ἕπε' ὄφρα. — 382 ἐεδνωταί (οὕτωϲ πᾶϲαι): ἐεδνῶται Tyrannio. — 383 οὕτωϲ ἀρίϲταρχοϲ ἕλκε Didymus. — 384 ἦλθεν ἀμύντωρ: ἀρίϲταρχοϲ ἦλθ' ἐπαμύντωρ Didymus, cf. Ξ 449. Ο 540. — 389 ἀχερωίϲ: alii ἀχελωίϲ teste Eust. 959, 1. — 390 οὔρεϲι τέκτονεϲ: οὐρεϲιτέκτονεϲ Nicias ὑφ' ἕν. — 391 νεήκεϲι (καὶ Ἀλεξίων): νεηκέϲι Ptolem. Ascalonita.

αὐτὰρ ὅ γ' ἀcθμαίνων εὐεργέος ἔκπεςε δίφρου,
ἵππους δ' Ἀντίλοχος, μεγαθύμου Νέςτορος υἱός,
ἐξέλαςε Τρώων μετ' ἐυκνήμιδας Ἀχαιούς.
Δηίφοβος δὲ μάλα cχεδὸν ἤλυθεν Ἰδομενῆος,
Ἀςίου ἀχνύμενος, καὶ ἀκόντιςε δουρὶ φαεινῷ.
ἀλλ' ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
Ἰδομενεύς· κρύφθη γὰρ ὑπ' ἀςπίδι πάντος' ἐίςῃ,
τὴν ἄρ' ὅ γε ῥινοῖςι βοῶν καὶ νώροπι χαλκῷ
δινωτὴν φορέεςκε, δύω κανόνεςς' ἀραρυῖαν·
τῇ ὕπο πᾶς ἐάλη, τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχος,
καρφαλέον δέ οἱ ἀςπὶς ἐπιθρέξαντος ἄυςεν
ἔγχεος· οὐδ' ἅλιόν ῥα βαρείης χειρὸς ἀφῆκεν,
ἀλλ' ἔβαλ' Ἱππαςίδην Ὑψήνορα, ποιμένα λαῶν,
ἧπαρ ὑπὸ πραπίδων, εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυςε.
Δηίφοβος δ' ἔκπαγλον ἐπεύξατο μακρὸν ἀύςας·
οὐ μὰν αὖτ' ἄτιτος κεῖτ' Ἄςιος, ἀλλά ἕ φημι
εἰς Ἄϊδός περ ἰόντα πυλάρταο κρατεροῖο
γηθήςειν κατὰ θυμόν, ἐπεί ῥά οἱ ὤπαςα πομπόν.
ὣς ἔφατ', Ἀργείοιςι δ' ἄχος γένετ' εὐξαμένοιο,
Ἀντιλόχῳ δὲ μάλιςτα δαΐφρονι θυμὸν ὄρινεν·
ἀλλ' οὐδ' ἀχνύμενός περ ἑοῦ ἀμέληςεν ἑταίρου,
ἀλλὰ θέων περίβη καί οἱ cάκος ἀμφεκάλυψε.
τὸν μὲν ἔπειθ' ὑποδύντε δύω ἐρίηρες ἑταῖροι,
Μηκιςτεύς, Ἐχίοιο πάις, καὶ δῖος Ἀλάςτωρ,

V. L. 399 ὅ γ': ὃ L. — 401 ἐξέλαςςε H. τρώιων CL. εὐκνήμιδας CDGHL. ΕΥΚΝΗΜΕΙΔΑΣ Ambr. — 404 ὃ μὲν C. — 405 πάντοςε, ἴςηι A. ΠΑΝΤΟΣΕ ΙΣΗΙ Ambros. πάντοςε ἴςῃ DGSL (ἴςην). ἀςπίδα D 1. man. — 406 ἂρ ADGH. ὅ γε CD Lips.: ὅγ' ἐν AGHLS et Heynii libri. Zon. Lex. 520. Draco de Metr. 80, 4. ΟΓ' ΕΝ ΡΙΝΟΙΣΙ Ambros. conf. ad M 263. — 408 τῇ: τὴν D. τῇ δ' ὕπο Vrat. d. ὑπο A. ὑπὸ DL. ἑάλη EGL: ceteri ἐάλη cum Scholl. Λ 192. Φ 536. ἐάληι A. τόδ' A. — 410 ἄλιον ῥὰ L. — 411 ἀλλὰ βάλ' D. ἔβαλλ' C. — 412 ἦπαρ A. ὑπο bis A. δ' omitt. L. δὲ γούνατ' S. ἔλυςε ACG: cet. ἔλυςεν. — 414 ἄτιτος A. ἀλλά ἕ φημὶ ACD EGHL. — 415 ἐόντα S. κρατεροῖο: κρυεροῖο Cant. — 416 κατα AD. 420 ἀμφεκάλυψε ACDG. ἀμφικάλυψε Vrat. d. — 421 ὑποδῦντε D. — 422 habet A in marg.

A. c. 399 ἀρίςταρχος χωρὶς τοῦ γε αὐτὰρ ὃ ἀςθμαίνων Didymus. — 407 κανόνεςς': ἐκ πλήρους αἱ ἀριςτάρχου κανόνεςςι Schol. A. conf. H. T. 396. — 415 [ὅτι] ἰόντα διὰ τοῦ ῑ αἱ ἀριςτάρχου Didymus. — 423 οὕτω διὰ τοῦ ε̄ αἱ ἀριςτάρχου cτεναχόντε, οὐ διὰ τοῦ ᾱ Didymus. cτεναχόντα Zenodotus.

νῆας ἔπι γλαφυρὰς φερέτην βαρέα cτενάχοντε.
Ἰδομενεὺς δ' οὐ λῆγε μένος μέγα, ἵετο δ' αἰεὶ
ἠέ τινα Τρώων ἐρεβεννῇ νυκτὶ καλύψαι,
ἢ αὐτὸς δουπῆςαι ἀμύνων λοιγὸν Ἀχαιοῖς.
ἔνθ' Αἰςυήταο διοτρεφέος φίλον υἱόν,
ἥρω' Ἀλκάθοον, γαμβρὸς δ' ἦν Ἀγχίςαο·
πρεςβυτάτην δ' ὤπυιε θυγατρῶν, Ἱπποδάμειαν,
τὴν περὶ κῆρι φίληςε πατὴρ καὶ πότνια μήτηρ
ἐν μεγάρῳ· πᾶςαν γὰρ ὁμηλικίην ἐκέκαςτο
κάλλεϊ καὶ ἔργοιςιν ἰδὲ φρεςί· τοὔνεκα καί μιν
γῆμεν ἀνὴρ ὤριςτος ἐνὶ Τροίῃ εὐρείῃ·
τὸν τόθ' ὑπ' Ἰδομενῆι Ποςειδάων ἐδάμαςςε
θέλξας ὄςςε φαεινά, πέδηςε δὲ φαίδιμα γυῖα·
οὔτε γὰρ ἐξοπίςω φυγέειν δύνατ' οὔτ' ἀλέαςθαι,
ἀλλ' ὥς τε cτήλην ἢ δένδρεον ὑψιπέτηλον
ἀτρέμας ἑςταότα cτῆθος μέςον οὔταςε δουρὶ
ἥρως Ἰδομενεύς, ῥῆξεν δέ οἱ ἀμφὶ χιτῶνα
χάλκεον, ὅς οἱ πρόςθεν ἀπὸ χροὸς ἤρκει ὄλεθρον·
δὴ τότε γ' αὖον ἄυςεν ἐρεικόμενος περὶ δουρί.
δούπηςεν δὲ πεςών, δόρυ δ' ἐν κραδίῃ ἐπεπήγει,
ἥ ῥά οἱ ἀςπαίρουςα καὶ οὐρίαχον πελέμιζεν

V. L. 423 ἔπι A. ἐπὶ CDHL. cτενάχοντε AE: cτενάχοντα CDGHLS Cant. Vrat. d. A. Flor. cτενάχοντες Lips. — 424 ἰδομενεῦς A Bekk. Anecd. 1204. 1236. 1241. Cram. A. O. III, 233, 31. (Et. Gud. 273, 30): ἰδομενεὺς CDEGHLS cum Schol. Φ 305. ἵετο ACD. — 425 τρῴων L. καλῦψαι H. — 426 ἀχαιῶν Mor. Barocc. — 429 ὤπυε DL. ἱπποδάμειαν A. — 430 περι D. — 432 κάλλει Schol. A 115. ἠδὲ S. τούνεκα A. — 433 ὤριςτος A. ὤριςτος EL. ὥριςτος H. ἐνι A. ἐν DG. τινὲς ἄλλους ὑποτάςςουςι „πρὶν Ἀντηνορίδας τραφέμεν καὶ Πανθόου υἷας, Πριαμίδας θ', οἳ Τρωςὶ μετέπρεπον ἱπποδάμοιςιν, εἷος (cod. ἕως) ἔθ' ἥβην εἶχεν, ὄφελλε δὲ κούριον ἄνθος Schol. V. conf. Eust. 940, 61. — 434 ποςιδάων A. ἐδάμαςςε ACDGH. — 435 φαεινὼ CH Vrat. d. A. Lips. Flor. Rom. — 436 ἐξοπίςῳ H. — 437 cτήλη D. δένδρον Lips. ὑψιπέτηλον A. — 439—441 omitt. L. — 439 ῥῆξε DE Lips. ἀμφι DH. — 440 ἀπο A. — 441 ἐρῑκόμενος A. ἐρικόμενος Vrat. d. Apoll. Soph. 76, 12. περι A. — 442 δούπηςε Lips. ᾿πεπήγει AC 1. man. ἐπεπήγη G. — 443 πελέμιζεν AD: πελέμιξεν CEGLS Cram. Ep. 392, 1. πελέμιξε Et. Mg. 722, 53. πολέμιξεν H.

A. c. 424 Ἰδομενεὺς: τινὲς περιςπῶςιν Schol. V. οἱ δὲ μένευς, ἀντὶ τοῦ μένους Schol. V. — 428 ἥρων τινὲς Ἀττικῶς Schol. V. — 443 πελέμιζεν: οὕτω διὰ του ζ̄ Ἀρίςταρχος καὶ Ἀριςτοφάνης. ἄλλοι δὲ πελέμιξεν διὰ τοῦ ξ̄ Didymus.

ἔγχεος· ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης·
Ἰδομενεὺς δ' ἔκπαγλον ἐπεύξατο μακρὸν ἀύσας·
Δηίφοβ', ἦ ἄρα δή τι ἐίσκομεν ἄξιον εἶναι
τρεῖς ἑνὸς ἀντὶ πεφάσθαι; ἐπεὶ σύ περ εὔχεαι οὕτως·
δαιμόνι', ἀλλὰ καὶ αὐτὸς ἐναντίον ἵστασ' ἐμεῖο,
ὄφρα ἴδῃ οἷος Ζηνὸς γόνος ἐνθάδ' ἱκάνω,
ὃς πρῶτον Μίνωα τέκε Κρήτῃ ἐπίουρον·
Μίνως δ' αὖ τέκεθ' υἱὸν ἀμύμονα Δευκαλίωνα,
Δευκαλίων δ' ἔμ' ἔτικτε πολέσσ' ἄνδρεσσιν ἄνακτα
Κρήτῃ ἐν εὐρείῃ· νῦν δ' ἐνθάδε νῆες ἔνεικαν
σοί τε κακὸν καὶ πατρὶ καὶ ἄλλοισι Τρώεσσιν.
ὣς φάτο, Δηίφοβος δὲ διάνδιχα μερμήριξεν,
ἤ τινά που Τρώων ἑταρίσσαιτο μεγαθύμων
ἂψ ἀναχωρήσας, ἦ πειρήσαιτο καὶ οἷος.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
βῆναι ἐπ' Αἰνείαν· τὸν δ' ὕστατον εὗρεν ὁμίλου
ἑσταότ'· αἰεὶ γὰρ Πριάμῳ ἐπεμήνιε δίῳ,
οὕνεκ' ἄρ' ἐσθλὸν ἐόντα μετ' ἀνδράσιν οὔ τι τίεσκεν.
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
Αἰνεία, Τρώων βουληφόρε, νῦν σε μάλα χρὴ
γαμβρῷ ἀμυνέμεναι, εἴ πέρ τί σε κῆδος ἱκάνει.

V. l. 444 ἐνθάδ' H. ὄμβριμος CH. — 446 δή τι: δή τοι L. δή τι σ' εἴσκομεν H Townl. Vrat. d. Flor. — 447 ἀντιπεφᾶσθαι ACD Vrat. A. Lips. ἀντιπεφῶσθαι G. ἀντιπεφάσθαι EL Eust. 938, 26. 1346, 4. 1348, 32. ἀντὶ πεφάσθαι H. Schol. Ω 213. οὕτως ACDHL Lips. Harl. Townl. Vrat. αὔτως S Eust. 938. 26. αὔτην G. — 448 ἐναντίον: ἐναντίος CE 938, 29. 941, 37. GHLS. γρ. καὶ ἐναντίος A. — 449 ἴδῃ L: ἴδῃς AEGH et Heynii libri cum Apoll. Soph. 55, 16. Et Mg. 238, 7. ἴδῃς CDS. — 450 τέκεν D Vrat. A. ἐπίουρον A. — 452 * ἔμ' ἔτικτε: δέ μ' ἔτικτε D man. rec. post ras. H Vrat. d. δ' ἐμὲ, τίκτε A. vulgo δ' ἐμὲ τίκτε cum CD 1. man. EGL. πολέεσσ' CGH Vrat. b. d. — 454 ἄλλοισϊν C. τρῴεσσιν L. — 455 ὡς A. — 456 ἤ: εἴ CHS Cant. Vrat. d. ἑταρίσαιτο D. ἑταρίσατο Lips. Vrat. A. — 457 πειρήσσαιτο H. — 458 ὡδε G. — 460 ἑσταότα D. — 461 ἆρ ADEGHL. — 462 προσηῦδα D. — 463 τρώιων CL. — 464 εἴ πέρ τι σε ACEHL. ἱκάνοι L.

A. c. 446 οὕτως ἀρίσταρχος δή τι εἴσκομεν χωρὶς τοῦ σ̄ Didymus. — 447 οὕτως: οὕτω διὰ τοῦ ō ἀρίσταρχος. Ζηνόδοτος διὰ τοῦ ᾱ Didymus conf. H. T. 209. — 449 ἀρίσταρχος χωρὶς τοῦ σ̄ ἴδῃ Didymus. — 450 ἐπίουρον Aristarchus, Zenodotus, Trypho, Ptol. Ascalonita, Herodianus: alii ἔπι οὖρον. conf. Apoll. Soph. 104, 7 οἱ μὲν κατ' ἀναστροφὴν ἀναγινώσκουσι καὶ περισπῶσι τὴν οὖρον. — 452 ἔμ' ἔτικτε, conf. Ζ 206. τ 181. — 456 ἀρίσταρχος ἤ τινα. ἄλλοι δὲ εἴ τινα Didymus.

ἀλλ' ἕπευ, Ἀλκαθόῳ ἐπαμύνομεν, ὅς σε πάρος γε
γαμβρὸς ἐὼν ἔθρεψε δόμοις ἔνι τυτθὸν ἐόντα·
τὸν δέ τοι Ἰδομενεὺς δουρὶ κλυτὸς ἐξενάριξεν.
ὣς φάτο, τῷ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε,
βῆ δὲ μετ' Ἰδομενῆα μέγα πτολέμοιο μεμηλώς.
ἀλλ' οὐκ Ἰδομενῆα φόβος λάβε τηλύγετον ὥς,
ἀλλ' ἔμεν', ὡς ὅτε τις σῦς οὔρεσιν ἀλκὶ πεποιθώς,
ὅς τε μένει κολοσυρτὸν ἐπερχόμενον πολὺν ἀνδρῶν
χώρῳ ἐν οἰοπόλῳ, φρίσσει δέ τε νῶτον ὕπερθεν·
ὀφθαλμὼ δ' ἄρα οἱ πυρὶ λάμπετον· αὐτὰρ ὀδόντας
θήγει, ἀλέξασθαι μεμαὼς κύνας ἠδὲ καὶ ἄνδρας·
ὣς μένεν Ἰδομενεὺς δουρὶ κλυτός, οὐδ' ὑπεχώρει,
Αἰνείαν ἐπιόντα βοηθόον· αὖε δ' ἑταίρους,
Ἀσκάλαφόν τ' ἐσορῶν Ἀφαρῆά τε Δηίπυρόν τε
Μηριόνην τε καὶ Ἀντίλοχον, μήστωρας ἀυτῆς·
τοὺς ὅ γ' ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα·
δεῦτε φίλοι, καί μ' οἴῳ ἀμύνετε· δείδια δ' αἰνῶς
Αἰνείαν ἐπιόντα πόδας ταχύν, ὅς μοι ἔπεισιν,
ὃς μάλα καρτερός ἐστι μάχῃ ἔνι φῶτας ἐναίρειν·
καὶ δ' ἔχει ἥβης ἄνθος, ὅ τε κράτος ἐστὶ μέγιστον.
εἰ γὰρ ὁμηλικίῃ γε γενοίμεθα τῷδ' ἐπὶ θυμῷ,
αἶψά κεν ἠὲ φέροιτο μέγα κράτος, ἠὲ φεροίμην.

V. l. 465 ἐπαμυνέμεν L. ἐπαμείνομεν S. πάρος γε ACDHLS Syr. Lips. Harl. Cant. Mor. Vrat. b. d. πάρος περ recentiores post Wolfium. — 466 ἔνι ACE; ἐνὶ GHL. ἐνι D. — 467 δουρὶ, κλυτὸς A. δουρὶ κλυτὸς G. — 468 ὡς A. ἐνι A. ὄρινε AC Syr. — 469 πολέμοιο Lips. — 470 ὡς A. — 471 ὡς ὅτε: ὥς τέ Eust. 942. 37. τῖς CL. — 473 οἰοπώλῳ Lips. — 474 ὀφθαλμῶι D. — 476 ὡς A. δουρὶ, κλυτὸς A. δουρῖ κλυτὸς H. — 477 βοηθόον A. βοηθόον CGL Barocc. Harl. Lips. Vrat. d. βοῇ θοὸν DHS. — 480 προσηῦδα D. — 481 μοι οἴῳ ἀμύνατε E. — 483 ἔνι ACEH. ἐνὶ G. ἐνι DL. — 484 καὶ δ': καί γ' Et. Gud. 234, 57. — 485 ὁμηλικίῃ CL Syr. Schol. Ε 153: ὁμηλικίῃ AEGH. ὁμηλικίην D. γε. γενοίμεθα A. γεγενοίμεθα E. γεγενήμεθα Vrat. d. ἐπὶ: ἐνὶ CEGHLS. Schol. Ε 153. ἐνι D. — 486 μέγα κλέος Harl. Lips. ΉΚΕ ΦΕΡΟΙΜΗΝ Syr. conf. Ι 702. Σ 308. Χ 246. 253. ξ 184. ο 300.

A. c. 465 ἕπευ, conf. 381. οὕτω σχεδὸν ἅπασαι ἐπαμύνωμεν (sic) Didymus. τινὲς ἐπαμῦναι Schol. V. πάρος γε, conf. Ρ 270. Χ 302 et Ο 256 ubi eadem lectionis varietas. — 480 ἐν πολλοῖς οὐ φέρεται Schol. V. — 485 ὁμηλικίῃ: Ζηνόδοτος δὲ ὁμηλικίην σὺν τῷ ν̄ ἔγραφεν Didymus. ἀρίσταρχος τῷδ' ἐπὶ θυμῷ Didymus et in altero scholio καὶ πᾶσαι οὕτως εἶχον, conf. π 99. ω 511.

ὣϲ ἔφαθ᾽, οἳ δ᾽ ἄρα πάντεϲ ἕνα φρεϲὶ θυμὸν ἔχοντεϲ
πληϲίοι ἔϲτηϲαν, ϲάκε᾽ ὤμοιϲι κλίναντεϲ.
Αἰνείαϲ δ᾽ ἑτέρωθεν ἐκέκλετο οἷϲ ἑτάροιϲι,
Δηίφοβόν τε Πάριν τ᾽ ἐϲορῶν καὶ ᾿Αγήνορα δῖον,
οἵ οἱ ἅμ᾽ ἡγεμόνεϲ Τρώων ἔϲαν· αὐτὰρ ἔπειτα
λαοὶ ἕπονθ᾽, ὡϲ εἴ τε μετὰ κτίλον ἕϲπετο μῆλα
πιόμεν᾽ ἐκ βοτάνηϲ· γάνυται δ᾽ ἄρα τε φρένα ποιμήν·
ὣϲ Αἰνείᾳ θυμὸϲ ἐνὶ ϲτήθεϲϲι γεγήθει,
ὡϲ ἴδε λαῶν ἔθνοϲ ἐπιϲπόμενον ἑοῖ αὐτῷ.
οἳ δ᾽ ἀμφ᾽ ᾿Αλκαθόῳ αὐτοϲχεδὸν ὡρμήθηϲαν
μακροῖϲι ξυϲτοῖϲι· περὶ ϲτήθεϲϲι δὲ χαλκὸϲ
ϲμερδαλέον κονάβιζε τιτυϲκομένων καθ᾽ ὅμιλον
ἀλλήλων· δύο δ᾽ ἄνδρεϲ ἀρήιοι ἔξοχον ἄλλων,
Αἰνείαϲ τε καὶ ᾿Ιδομενεύϲ, ἀτάλαντοι ῎Αρηι,
ἵεντ᾽ ἀλλήλων ταμέειν χρόα νηλέι χαλκῷ·
Αἰνείαϲ δὲ πρῶτοϲ ἀκόντιϲεν ᾿Ιδομενῆοϲ·
ἀλλ᾽ ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχοϲ,
αἰχμὴ δ᾽ Αἰνείαο κραδαινομένη κατὰ γαίηϲ
ᾤχετ᾽, ἐπεί ῥ᾽ ἅλιον ϲτιβαρῆϲ ἀπὸ χειρὸϲ ὄρουϲεν.
᾿Ιδομενεὺϲ δ᾽ ἄρα Οἰνόμαον βάλε γαϲτέρα μέϲϲην,
ῥῆξε δὲ θώρηκοϲ γύαλον, διὰ δ᾽ ἔντερα χαλκὸϲ
ἤφυϲ᾽· ὃ δ᾽ ἐν κονίηϲι πεϲὼν ἕλε γαῖαν ἀγοϲτῷ.
᾿Ιδομενεὺϲ δ᾽ ἐκ μὲν νέκυοϲ δολιχόϲκιον ἔγχοϲ
ἐϲπάϲατ᾽, οὐδ᾽ ἄρ᾽ ἔτ᾽ ἄλλα δυνήϲατο τεύχεα καλὰ
ὤμοιιν ἀφελέϲθαι· ἐπείγετο γὰρ βελέεϲϲιν.
οὐ γὰρ ἔτ᾽ ἔμπεδα γυῖα ποδῶν ἦν ὁρμηθέντι,

V. ʟ. 487 ὡϲ A. οἵδ᾽ CL. — 488 ἔϲταϲαν C Flor. — 489 ἑτάροιϲι ACG Syr. — 491 οἵ οἱ: ΤΟΊΟΙ Syr. τρῴων L. — 492 ὡϲεί libri. μετα A. ἕϲπεται D. ἕππετο H. — 493 δὲ ἄρα φρένα L. — 494 ὡϲ A. αἰνείαο S. ἐνι A. — 495 ἐπιϲπώμενον Apoll. Soph. 70, 18. — 496 οἳ δ᾽ D. οἵδ᾽ CL. — 497 περι ADH Syr. — 498 κονάβηϲε Cant. — 499 δύω D. ἔξοχον AGH Syr. Harl. Townl. Flor.: ἔξοχοι CDELS Lips. Rom. — 500 τὲ H. ἄρηοϲ L. — 501 ἵ̆εντ᾽ CD Vrat. b. ῖεντ᾽ A. — 503 ὃ μὲν C. ΌΜὲΝ Syr. — 504 κατα A. — 505 ἀπο AH. — 507 ῥῆξε δέ οἱ G Flor. Rom. δια CL. — 508 ἤφιϲ᾽ L. ὃ δ᾽ D. ὅδ᾽ CGHL. — 509 δολιχόϲκιον A. — 510 ἂρ ACDEGHL. — 512 οὐδ᾽ ἂρ ἔτ᾽ L. ὁρμηθῆναι Mor. Barocc.

A. c. 499 οὕτω διὰ τοῦ ν̄ ἔξοχον ἅπαϲαι Didymus. — 502 πρῶτοϲ: ἡ ᾿Αριϲτοφάνουϲ πρόϲθεν, καὶ μήποτε βέλτιον· πρότεροϲ γὰρ ἂν εἶπεν Didymus. — 510 ἄρ᾽ ἔτ᾽ ἄλλα: alii ἄρα τἆλλα teste Herodiano.

οὔτ᾽ ἄρ᾽ ἐπαΐξαι μεθ᾽ ἑὸν βέλοϲ οὔτ᾽ ἀλέαϲθαι.
τῷ ῥα καὶ ἐν ϲταδίῃ μὲν ἀμύνετο νηλεὲϲ ἦμαρ,
τρέϲϲαι δ᾽ οὐκέτι ῥίμφα πόδεϲ φέρον ἐκ πολέμοιο.
τοῦ δὲ βάδην ἀπιόντοϲ ἀκόντιϲε δουρὶ φαεινῷ
Δηίφοβοϲ· δὴ γάρ οἱ ἔχεν κότον ἐμμενὲϲ αἰεί.
ἀλλ᾽ ὅ γε καὶ τόθ᾽ ἅμαρτεν, ὃ δ᾽ ᾿Αϲκάλαφον βάλε δουρί,
υἱὸν ᾿Ενυαλίοιο· δι᾽ ὤμου δ᾽ ὄβριμον ἔγχοϲ
ἔϲχεν· ὃ δ᾽ ἐν κονίῃϲι πεϲὼν ἕλε γαῖαν ἀγοϲτῷ.
οὐδ᾽ ἄρα πώ τι πέπυϲτο βριήπυοϲ ὄβριμοϲ ῎Αρηϲ
υἷοϲ ἑοῖο πεϲόντοϲ ἐνὶ κρατερῇ ὑϲμίνῃ,
ἀλλ᾽ ὅ γ᾽ ἄρ᾽ ἄκρῳ ᾿Ολύμπῳ ὑπὸ χρυϲέοιϲι νέφεϲϲιν
ἧϲτο Διὸϲ βουλῇϲιν ἐελμένοϲ, ἔνθά περ ἄλλοι
ἀθάνατοι θεοὶ ἦϲαν ἐεργόμενοι πολέμοιο.
οἳ δ᾽ ἀμφ᾽ ᾿Αϲκαλάφῳ αὐτοϲχεδὸν ὡρμήθηϲαν·
Δηίφοβοϲ μὲν ἀπ᾽ ᾿Αϲκαλάφου πήληκα φαεινὴν
ἥρπαϲε, Μηριόνηϲ δὲ θοῷ ἀτάλαντοϲ ῎Αρηι
δουρὶ βραχίονα τύψεν ἐπάλμενοϲ, ἐκ δ᾽ ἄρα χειρὸϲ
αὐλῶπιϲ τρυφάλεια χαμαὶ βόμβηϲε πεϲοῦϲα.
Μηριόνηϲ δ᾽ ἐξαῦτιϲ ἐπάλμενοϲ αἰγυπιὸϲ ὣϲ
ἐξέρυϲε πρυμνοῖο βραχίονοϲ ὄβριμον ἔγχοϲ,
ἂψ δ᾽ ἑτάρων εἰϲ ἔθνοϲ ἐχάζετο. τὸν δὲ Πολίτηϲ,
αὐτοκαϲίγνητοϲ, περὶ μέϲϲῳ χεῖρε τιτήναϲ,
ἐξῆγεν πολέμοιο δυϲηχέοϲ, ὄφρ᾽ ἵκεθ᾽ ἵππουϲ
ὠκέαϲ, οἵ οἱ ὄπιϲθε μάχηϲ ἠδὲ πτολέμοιο
ἕϲταϲαν ἡνίοχόν τε καὶ ἅρματα ποικίλ᾽ ἔχοντεϲ·
οἳ τόν γε προτὶ ἄϲτυ φέρον βαρέα ϲτενάχοντα,
τειρόμενον· κατὰ δ᾽ αἷμα νεουτάτου ἔρρεε χειρόϲ.

V. ʟ. 513 ἂρ ACDEGL. ἐπαΐξαι ACDEGHL Syr. — 515 τῶ ACHL Syr.: τῷ DEG. ῥὰ HL. ἦμαρ D. — 515 ΤΡΕϹϹΕ Syr. τρέϲαι E. — 516 τοῦδε D. — 517 ἔχε C 1. man. D Lips. ЄΧЄ Syr. — 518 ὃ δ᾽ D. ὅδ᾽ CGL. — 519 ὄμβριμον C. — 520 ὃ δ᾽ D. ὅδ᾽ CHL. — 521 πω L. πῶ CG. ὄμβριμοϲ CD ex corr. 2. man. H. ὄμβριμοϲ L. — 522 ἐνι A. — 523 ὅγ᾽ ἂρ CG. ὁ γὰρ A Lips. ΟΓÀΡ Syr. ὃ γὰρ DHL, conf. Є 434. ὑπο AH. ЄΝÌ Syr. ἐπὶ Mor. χρυϲέοιϲ D. νέφεϲιν E. — 524 ἔνθά περ AC. ἐνθά περ DGL. — 526 οἳ δ᾽ D. οἵδ᾽ CGHL. ΑΛΚΑΘΌΩΙ Syr. conf. 496. — 527 ἀπαϲκαλάφου H. — 531 ἐξ αὖτιϲ D. ἐξαῦθιϲ C. αἰγϋπτϊὸϲ H. ὡϲ A. — 532 ὄμβριμον CH. — 534 περι H. μέϲϲω ACEH. „nusquam μέϲϲῳ legitur“ Heyne. — 535 ἐξῆγε CE Lips. Flor. — 536 οἱ om. D. — 537 ἔϲταϲαν L. ποικίλα χαλκῶ D et γρ. ἔχοντεϲ man. rec. — 538 πρὸ τὶ C. προϲτὶ G. — 539 κατα CHL. ἔρεε H. ἔρρει Vrat. A.

οἱ δ' ἄλλοι μάρναντο, βοὴ δ' ἄϲβεϲτοϲ ὀρώρει.
ἔνθ' Αἰνέαϲ Ἀφαρῆα Καλητορίδην ἐπορούϲαϲ
λαιμὸν τύψ', ἐπὶ οἷ τετραμμένον, ὀξέι δουρί·
ἐκλίνθη δ' ἑτέρωϲε κάρη, ἐπὶ δ' ἀϲπὶϲ ἑάφθη
καὶ κόρυϲ, ἀμφὶ δέ οἱ θάνατοϲ χύτο θυμοραϊϲτήϲ.
Ἀντίλοχοϲ δὲ Θόωνα μεταϲτρεφθέντα δοκεύϲαϲ
οὖταϲ' ἐπαΐξαϲ, ἀπὸ δὲ φλέβα πᾶϲαν ἔκερϲεν,
ἥ τ' ἀνὰ νῶτα θέουϲα διαμπερὲϲ αὐχέν' ἱκάνει·
τὴν ἀπὸ πᾶϲαν ἔκερϲεν· ὃ δ' ὕπτιοϲ ἐν κονίῃϲι
κάππεϲεν ἄμφω χεῖρε φίλοιϲ ἑτάροιϲι πετάϲϲαϲ.
Ἀντίλοχοϲ δ' ἐπόρουϲε, καὶ αἴνυτο τεύχε' ἀπ' ὤμων
παπταίνων· Τρῶεϲ δὲ περιϲταδὸν ἄλλοθεν ἄλλοϲ
οὔταζον ϲάκοϲ εὐρὺ παναίολον, οὐδὲ δύναντο
εἴϲω ἐπιγράψαι τέρενα χρόα νηλέι χαλκῷ
Ἀντιλόχου· περὶ γάρ ῥα Ποϲειδάων ἐνοϲίχθων
Νέϲτοροϲ υἱὸν ἔρυτο καὶ ἐν πολλοῖϲι βέλεϲϲιν.
οὐ μὲν γάρ ποτ' ἄνευ δηίων ἦν, ἀλλὰ κατ' αὐτοὺϲ
ϲτρωφᾶτ'· οὐδέ οἱ ἔγχοϲ ἔχ' ἀτρέμαϲ, ἀλλὰ μάλ' αἰεὶ
ϲειόμενον ἐλέλικτο· τιτύϲκετο δὲ φρεϲὶν ᾗϲιν
ἤ τευ ἀκοντίϲϲαι, ἠὲ ϲχεδὸν ὁρμηθῆναι.
ἀλλ' οὐ λῆθ' Ἀδάμαντα τιτυϲκόμενοϲ καθ' ὅμιλον,
Ἀϲιάδην, ὅ οἱ οὖτα μέϲον ϲάκοϲ ὀξέι χαλκῷ

V. l. 541 ἔνθ' αἰνέαϲ AC 1. man. L Lips.: ἔνθ' αἰνείαϲ C 2. man. DEHS Townl. Vrat. b. A. Rom. αἰνείαϲ δ' (omisso ἔνθ') G. — 542 ἐπι A. ἐπί οἱ DG. τεταρμενον H 1. man. ὀξέϊ δουρὶ χαλκῷ H. — 543 ἐάφθη DGHLS Vrat. A. Cram. Ep. 168, 24. Apoll. Soph. 61, 30. Et. Mg. 307, 27. Et. Or. 64, 5. Zonar. Lex. 593: ἑάφθη ACE Townl. Lips. Rom. Suidas I, 2. 73, 10. — 544 ἀμφῖ H. χῦτο D. — 545 μεταϲτραφέντα L. 546 ἄπο CHL. ceteri ἀπὸ cum Aristot. Hist. anim. III, 3. — 548 ἄπο HL. ὃ δ' D. ὅδ' CGHL. κονίηϲι ACEG. — 549 πετάϲαϲ CDEH Lips. — 550 δ' omitt. D. — 551 τρῷεϲ L. — 552 οὐδὲ δύναντο AEGS: οὐδ' ἐδύναντο CDHL Lips. Vrat. d. A. — 553 ἐπιγράψαι: ἐπιγνάψαι L. — 554 περὶ H. περι AC. πέρι DGL ῥα om. D. ποϲιδάων A. — 557 ἔχ' om. L. — 559 ἤ τεῦ H. ἀκοντίϲαι DEL Lips. Rom. Apoll. Soph. 153, 12. — 560 τιτυϲκόμενοϲ (ον supra) S. τιτυϲκόμενον L. — 561 ὅϲ οἱ ACDGHL: recentiores ὅ οἱ ex coni. οὗτα DH.

A. c. 541 ἔνθ' Αἰνέαϲ Herodianus cum Aristarcho: alii Αἰνείαϲ δ'. — 543 ἑάφθη Aristarchus, Trypho, Tyrannio, Herodianus: ἐάφθη Ammonius conf. Cram. Ep. 168, 15. H. T. 231. — 544 δέ οἱ: Π 514, 580 δέ μιν. — 546 ἀπὸ: Ζηνόδοτοϲ διὰ δὲ φλέβα Didymus. — 551 περιϲταδὸν: Ζηνόδοτοϲ καὶ ἀριϲτοφάνηϲ διὰ τοῦ ᾱ παραϲταδόν Didymus. — 561 ὅϲ οἱ: ὅ οἱ conf. α 300. γ 198. 308. ξ 3. φ 416. Ε 338. Ζ 90. Ν 211. ὅ οἱ Aristarchus α 300.

ἐγγύθεν ὁρμηθείϲ· ἀμενήνωϲεν δέ οἱ αἰχμὴν
κυανοχαῖτα Ποϲειδάων βιότοιο μεγήραϲ.
καὶ τὸ μὲν αὐτοῦ μεῖν' ὥϲ τε ϲκῶλοϲ πυρίκαυϲτοϲ
ἐν ϲάκει Ἀντιλόχοιο, τὸ δ' ἥμιϲυ κεῖτ' ἐπὶ γαίηϲ·
ἂψ δ' ἑτάρων εἰϲ ἔθνοϲ ἐχάζετο κῆρ' ἀλεείνων.
Μηριόνηϲ δ' ἀπιόντα μεταϲπόμενοϲ βάλε δουρὶ
αἰδοίων τε μεϲηγὺ καὶ ὀμφαλοῦ, ἔνθα μάλιϲτα
γίγνετ' ἄρηϲ ἀλεγεινὸϲ ὀιζυροῖϲι βροτοῖϲιν.
ἔνθά οἱ ἔγχοϲ ἔπηξεν· ὃ δ' ἑϲπόμενοϲ περὶ δουρὶ
ἤϲπαιρ' ὡϲ ὅτε βοῦϲ, τόν τ' οὔρεϲι βουκόλοι ἄνδρεϲ
ἰλλάϲιν οὐκ ἐθέλοντα βίῃ δήϲαντεϲ ἄγουϲιν·
ὣϲ ὁ τυπεὶϲ ἤϲπαιρε μίνυνθά περ, οὔ τι μάλα δήν,
ὄφρά οἱ ἐκ χροὸϲ ἔγχοϲ ἀνεϲπάϲατ' ἐγγύθεν ἐλθὼν
ἥρωϲ Μηριόνηϲ· τὸν δὲ ϲκότοϲ ὄϲϲε κάλυψε.
Δηίπυρον δ' Ἕλενοϲ ξίφεϊ ϲχεδὸν ἤλαϲε κόρϲην
Θρηικίῳ, μεγάλῳ, ἀπὸ δὲ τρυφάλειαν ἄραξεν.
ἡ μὲν ἀποπλαγχθεῖϲα χαμαὶ πέϲε, καί τιϲ Ἀχαιῶν
μαρναμένων μετὰ ποϲϲὶ κυλινδομένην ἐκόμιϲϲε·
τὸν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν.
Ἀτρείδην δ' ἄχοϲ εἷλε, βοὴν ἀγαθὸν Μενέλαον·
βῆ δ' ἐπαπειλήϲαϲ Ἑλένῳ ἥρωι ἄνακτι,
ὀξὺ δόρυ κραδάων· ὃ δὲ τόξου πῆχυν ἄνελκε.

V. l. 562 ἀμενήνωϲεν A. ἀμενήνωϲε CE. ἀμενοίνηϲεν L. — 563 ποϲιδάων A. μεγήραϲ C. — 564 ϲκῶλον πυρίκαυϲτον Apoll. Soph. 143, 3. — 565 ϲάκεϊ D. ἐπι A. γαίηϲ ADEG: γαίῃ CHL Lips. Vrat. d. — 566 ἀλεείνον (ω supra) G. add. D in marg. man sec. πάντοϲε παπταίνων μή τιϲ χρόα καλὸν ἐπαύρη, qui legitur 649. eundem add. Harl. in textu. — 568 τὲ C. μεϲϲηγὺ D Flor. Rom. — 569 γίγνετ' L: γίνετ' ACDEGH Schol. Soph. Ai. 253. Cram. Ep. 78, 4. Schol. B 381. Δ 461. Et. Mg. 440, 35. Apoll. Soph. 41, 12. γίνεται Zon. Lex. 289. βροτοῖϲι Lips. Vrat. A. Flor. — 570 ἔνθά οἱ ACDGHL. ὃ δ' D. ὅδ' CGL. δ' ἑϲπόμενοϲ ACDEGHL Et. Gud. 508, 2. Cram. Ep. 392, 3. δὲ ϲπόμενοϲ Schol. K 246. δὲ ϲχόμενοϲ Apoll. Soph. 148, 13. Hesych. IV, 120. ἐν ἄλλῳ ὁ δὲ ϲχόμενοϲ A. conf. M 395. — 572 ἰλλᾶϲιν D. ἰθλάϲιν L. δήϲαντεϲ: δαμάϲαντεϲ Lips. — 573 ὡϲ A. ὃ ACDHL. ἔϲπαιρε H. — 574 ὄφρά οἱ ACDGHL. ἐκ χειρὸϲ DL (χερὸϲ). ἀνέϲπατ' C. — 575 τόνδε D. ὅϲϲε κάλυψε ACE Townl. Vrat. b. d. καλύψεν D. ὅϲϲ' ἐκάλυψε GH. ἐκάλυψεν L. — 576 ξίφει H. κορϲὺν L. — 577 ἄπο DHL. — 578 ἡ μὲν C. ἀποπλαχθεῖϲα Lips. Vrat. A. πέϲεν D. — 579 μετα A κυλινδουμένην HL. ἐκόμιϲϲε ACDGHL. ἐκόμιϲε E. — 583 ὃ δὲ C. ἀνέλκε L. ἄνελκεν A. ἀνεῖλκε CDGH. ἀνεῖλκεν E.

A. c. 570 δ' ἑϲπόμενοϲ: τινὲϲ δὲ ϲχόμενοϲ ἀντὶ τοῦ ϲυνεχόμενοϲ Schol. BL.

τὼ δ' ἄρ' ὁμαρτήδην ὃ μὲν ἔγχεϊ ὀξυόεντι
ἵετ' ἀκοντίccαι, ὃ δ' ἀπὸ νευρῆφιν ὀιcτῷ.
Πριαμίδηc μὲν ἔπειτα κατὰ cτῆθοc βάλεν ἰῷ
θώρηκοc γύαλον, ἀπὸ δ' ἔπτατο πικρὸc ὀιcτόc.
ὡc δ' ὅτ' ἀπὸ πλατέοc πτυόφιν μεγάλην κατ' ἀλωὴν
θρῴcκωcιν κύαμοι μελανόχροεc ἢ ἐρέβινθοι
πνοιῇ ὕπο λιγυρῇ καὶ λικμητῆροc ἐρωῇ,
ὣc ἀπὸ θώρηκοc Μενελάου κυδαλίμοιο
πολλὸν ἀποπλαγχθεὶc ἑκὰc ἔπτατο πικρὸc ὀιcτόc.
Ἀτρείδηc δ' ἄρα χεῖρα, βοὴν ἀγαθὸc Μενέλαοc,
τὴν βάλεν, ᾗ ῥ' ἔχε τόξον ἐύξοον· ἐν δ' ἄρα τόξῳ
ἀντικρὺ διὰ χειρὸc ἐλήλατο χάλκεον ἔγχοc.
ἂψ δ' ἑτάρων εἰc ἔθνοc ἐχάζετο κῆρ' ἀλεείνων,
χεῖρα παρακρεμάcαc· τὸ δ' ἐφέλκετο μείλινον ἔγχοc.
καὶ τὸ μὲν ἐκ χειρὸc ἔρυcεν μεγάθυμοc Ἀγήνωρ,
αὐτὴν δὲ ξυνέδηcεν ἐυcτρεφεῖ οἰὸc ἀώτῳ,
cφενδόνῃ, ἣν ἄρα οἱ θεράπων ἔχε ποιμένι λαῶν.
Πείcανδροc δ' ἰθὺc Μενελάου κυδαλίμοιο
ἤιε· τὸν δ' ἄγε μοῖρα κακὴ θανάτοιο τέλοc δέ,
cοὶ Μενέλαε δαμῆναι ἐν αἰνῇ δηιοτῆτι.
οἳ δ' ὅτε δὴ cχεδὸν ἦcαν ἐπ' ἀλλήλοιcιν ἰόντεc,
Ἀτρείδηc μὲν ἅμαρτε, παραὶ δέ οἱ ἐτράπετ' ἔγχοc,
Πείcανδροc δὲ cάκοc Μενελάου κυδαλίμοιο
οὔταcεν, οὐδὲ διὰ πρὸ δυνήcατο χαλκὸν ἐλάccαι·

V. l. 584 ἂρ AGD. ὁμαρτήτην ACDEGHLS Hesych. I, 139. δ CG. — 585 ἵετ' DH Vrat. d. ἱετ' A. ἀκοντίcαι CEG Flor. Rom. δ δ' D. ὅδ' CGL. ἀπο A. ἀπαὶ L. νευρῆφιν CEGL. — 587 ἀπο CDH. δια δ' ἔπτατο L, conf. Ε 99. — 588 ἀπο A. ἀλωιὴν A. ἀλωὴν G. καθ' ἀλωὴν S. — 589 θρῴcκωcιν A. θρώcκωcιν DL. θρώcκωcι E Cant. Lips. Vrat. b. ex em. A. θρώcκουcιν H Athen. II, 54. θρῴcκουcι Cram. Epim. 203, 21. θρώcκουcι CG Flor. — 590 ὑπο A. ὑπὸ CDEGH. ὑπαὶ LS Cant. λυγρῇ Vrat. b. — 591 ὡc A. — 592 ἀποπλαχθεὶc Vrat. b. d. A. Lips. — 594 ᾗ: ἢ CGHS conf. Eust. 948, 54. τόξῳ: χαλκῷ H Vrat. d. — 595 δια A. — 597 χάλκεον ἔγχοc Vrat. A. Flor. — 598 ἔρυccε D. — 599 ἐΰcτρόφῳ ACEGHLS. εὐcτρόφωι D. — 602 τέλοc δὲ A. — 604 οἳ δ' D. οἵδ' CG HL. ἰόντε G. — 605 παραὶ: παρὰ GL Lips. Vrat. A. Flor. — 607 διὰ πρὸ G Schol. Β 382. Υ 265. δϊαπρο C. ceteri διαπρὸ. ἐλάcαι D.

A. c. 584 ἀρίcταρχοc ὁμαρτήδην ὡc τμήδην Didymus. — 588 ἀλῳὴν conf. H. U. 212. — 589 θρῴcκωcιν conf. H. U. 217. — 594 οὕτωc ἀρίcταρχοc ἧι ῥ' ἔχε Didymus. — 599 ἀρίcταρχοc ἐϋcτρεφεῖ ὡc ἀπὸ τοῦ ἐϋcτρεφέc Didymus, conf. Ν 716. Ο 463. φ 408.

ἔcχεθε γὰρ cάκοc εὐρύ, κατεκλάcθη δ' ἐνὶ καυλῷ
ἔγχοc· ὃ δὲ φρεcὶν ᾗcι χάρη καὶ ἐέλπετο νίκην.
Ἀτρείδηc δὲ ἐρυccάμενοc ξίφοc ἀργυρόηλον
ἆλτ' ἐπὶ Πειcάνδρῳ· ὃ δ' ὑπ' ἀcπίδοc εἵλετο καλὴν
ἀξίνην εὔχαλκον, ἐλαΐνῳ ἀμφὶ πελέκκῳ,
μακρῷ ἐυξέcτῳ· ἅμα δ' ἀλλήλων ἐφίκοντο.
ἤ τοι ὃ μὲν κόρυθοc φάλον ἤλαcεν ἱπποδαcείηc
ἄκρον ὑπὸ λόφον αὐτόν, ὃ δὲ προcιόντα μέτωπον
ῥινὸc ὕπερ πυμάτηc· λάκε δ' ὀcτέα, τὼ δέ οἱ ὄccε
πὰρ ποcὶν αἱματόεντα χαμαὶ πέcον ἐν κονίῃcιν.
ἰδνώθη δὲ πεcών· ὃ δὲ λὰξ ἐν cτήθεcι βαίνων
τεύχεά τ' ἐξενάριξε καὶ εὐχόμενοc ἔποc ηὔδα·
λείψετέ θην οὕτω γε νέαc Δαναῶν ταχυπώλων
Τρῶεc ὑπερφίαλοι, δεινῆc ἀκόρητοι ἀυτῆc.
ἄλληc μὲν λώβηc τε καὶ αἴcχεοc οὐκ ἐπιδευεῖc,
ἣν ἐμὲ λωβήcαcθε, κακαὶ κύνεc, οὐδέ τι θυμῷ
Ζηνὸc ἐριβρεμέτεω χαλεπὴν ἐδείcατε μῆνιν
ξεινίου, ὅc τέ ποτ' ὔμμι διαφθέρcει πόλιν αἰπήν.
οἵ μευ κουριδίην ἄλοχον καὶ κτήματα πολλὰ

V. l. 608 ἔcχεθε: ἔcχετο EHLS. γρ. ἔcχετο A. ἐνι A. — 609 ἐέλπετο AG: ἔλπετο CDEHL SMor. Vrat. A. Flor. fortasse recte. — 611 ἆλτ' C. δ δ' D. ὅδ' CHL. — 612 ἐΰχαλκον G: cet. εὔχαλκον. ἀμφι GL. πελέκωι CDL. πελέκκω[ει] S. — 613 εὐξέcτω L. ἐφίκοντο: ἀφίκοντο H Eust. 949, 60. — 614 ἤλαcεν om. C, in quo man. rec. δεινὸν ante φάλον inseruit. — 615 ὑπο A. ὑπαὶ GL. ὑπὲρ Apoll. Soph. 109, 5. Et. Mg. 570, 7. δ δὲ C. μέτοπον G. — 616 ὑπερ A. ὑπὲρ CDEHL Apoll. Soph. 139, 2. Et. Mg. 704, 25. τώδε G. — 617 παρ AD. αἱματόεντα libri mei cum Cant. Mor. Lips. Harl. Vratt. Flor.: αἱματόεντε R Eust. 950, 15. αἱματόεντα ἢ αἱματόεντε, γράφεται γὰρ ἀμφοτέρωc Eust. 950, 14. — 618 δ δὲ C. — 619 ἐξενάριξεν D. ἐξενάρηξε καὶ οἰχόμενοc G. ηὖδα D. — 620 λείψετε θὴν D. — 621 τρῷεc L. — 622 αἴcχαιοc G. — 623 λωβήcαcθαι[ε] G. κακαὶ ACDEGL: κακοὶ HS Mor. Vrat. A. conf. Ρ 127. 255. Ϲ 179. Ω 409. τ 372. υ 14. — 624 ἐδδείcατε libri. — 625 ὅc τέ CDHL. δc τέ E. ceteri ὅcτε. ποθ' ὔμμι DH Townl. πόλιν αὐτήν C Lips. γρ. αἰπήν Lips. — 626 κτήματα πολλά: ἐν ἄλλῳ καὶ κτήμαθ' ἅμ' αὐτῇ A.

A. c. 608 ἔcχεθε conf. Λ 96. Μ 184. Υ 398. — 609 καὶ ἐέλπετο: Ζηνόδοτοc μέγα δ' ἤλπετο νίκην Didymus. — 610 ξίφοc ἀργυρόηλον: χείρεccι μάχαιραν Zenodotus. — 613 ἐφίκοντο: οὕτωc ἀρίcταρχοc. ἄλλοι δὲ αφικεcθ (sic) ἀριcτοφάνηc αφικεcθ' (sic) Didymus. quid Aristophanes scripserit ἀφικέcθην an ἐφικέcθην, quod Schol. V exhibet, non liquet. — 617 δυϊκῶc τὸ αἱματόεντε Schol. BL. πέcον: οὕτω διὰ τοῦ ō ὁ πέcον Didymus. ita Aristarchus, conf. H. T. 384.

μάψ οἴχεcθ' ἀνάγοντες, ἐπεὶ φιλέεcθε παρ' αὐτῇ·
νῦν αὖτ' ἐν νηυcὶν μενεαίνετε ποντοπόροιcι
πῦρ ὀλοὸν βαλέειν, κτεῖναι δ' ἥρωας Ἀχαιούς.
ἀλλά ποθι cχήcεcθε, καὶ ἐccύμενοί περ, Ἄρηος.
Ζεῦ πάτερ, ἦ τέ cέ φαcι περὶ φρένας ἔμμεναι ἄλλων,
ἀνδρῶν ἠδὲ θεῶν· cέο δ' ἐκ τάδε πάντα πέλονται.
οἷον δὴ ἄνδρεccι χαρίζεαι ὑβριcτῇcι,
Τρωcίν, τῶν μένος αἰὲν ἀτάcθαλον, οὐδὲ δύνανται
φυλόπιδος κορέcαcθαι ὁμοιίου πολέμοιο.
πάντων μὲν κόρος ἐcτί, καὶ ὕπνου καὶ φιλότητος
μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο,
τῶν πέρ τις καὶ μᾶλλον ἐέλδεται ἐξ ἔρον εἶναι
ἢ πολέμου· Τρῶες δὲ μάχης ἀκόρητοι ἔαcιν.
ὣς εἰπὼν τὰ μὲν ἔντε' ἀπὸ χροὸς αἱματόεντα
cυλήcας ἑτάροιcι δίδου Μενέλαος ἀμύμων,
αὐτὸς δ' αὖτ' ἐξαῦτις ἰὼν προμάχοιcιν ἐμίχθη.
ἔνθά οἱ υἱὸς ἐπᾶλτο Πυλαιμένεος βαcιλῆος,
Ἁρπαλίων, ὅ ῥα πατρὶ φίλῳ ἕπετο πτολεμίξων
ἐς Τροίην, οὐδ' αὖτις ἀφίκετο πατρίδα γαῖαν·
ὅς ῥα τότ' Ἀτρεΐδαο μέcον cάκος οὔταcε δουρὶ
ἐγγύθεν, οὐδὲ διὰ πρὸ δυνήcατο χαλκὸν ἐλάccαι·

V. l. 627 παρ' [ε] A et in lemmate περ. παρ' αὐτῆς DS. — 628 νῦν δ' H Vrat. d. νηυcὶ DE Lips. Vrat. A. ποντοπόροιcι ACEG. — 630 cχήcεcθαι G. — 631 τέ cε φαcὶ ACDGHL. πέρι HL. φρένα L. — 633 ὑβριcτῇcι ACDEGH. ὑβριcτῆρcι Lips. — 634 τρωcὶν L. τρωcῖ CD. τῶν: ὧν E. — 635 κορέεcαcθαι καὶ DELS. ὁμοίοιο Vrat. A. πτολέμοιο DH, quod succurrit scripturae ὁμοιίοο. — 637 τὲ H. — 638 τῶν κεν [ητ] Lips. ὧν περ R. ἔξερον CDG. εἶναι CDGH. — 639 ἀκόρεcτοι L. — 640 ὡς A. ἔντεα G Flor. Rom. — 641 ἑτάροις ἐδίδου C. — 642 αὖ H. αὖτ' omitt. DL Townl. Vrat. A. ἐξαυθὶς C. — 643 ἔνθά οἱ ACDGL. ἔπαλτο S. πυλαιμένεος A. — 644 ὃς ῥὰ D. ὅς ῥα Flor. Rom. ἕcπετο ES Lips. πτολεμίξων Lips. adnotánte Heynio, sed Ernestius ex Lips. πολεμίζων affert, cui magis fidem habeo. πτολεμίζων ACDG. πολεμίζων EHLS Townl. γρ. πολεμίζειν Lips. — 645 αὐθὶς C. hunc versum omitt. Townl. 1. man. — 646 ἀτρείδεω Townl. — 647 διὰ προ G. δϊαπρο CD. ceteri διαπρὸ. ἐλάcαι D.

A. c. 627 οἴχεcθ' ἀνάγοντες: οἴχεcθον ἄγοντες Zenodotus. παρ': διχῶς αἱ ἀριcτάρχου καὶ διὰ τοῦ ε̄ (περ) Didymus. — 637 περιccὸν αὐτὸν εἶναι φαcί τινες Schol. AV. — 644 πτολεμίξων, conf. λ 493 ἕπετ' ἐς πόλεμον. variant libri inter πολεμίξω et πολεμίζω etiam B 328. K 451. O 179. Ω 667.

ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων,
πάντοcε παπταίνων, μή τις χρόα χαλκῷ ἐπαύρῃ.
Μηριόνης δ' ἀπιόντος ἵει χαλκήρε' ὀϊcτόν,
καί ῥ' ἔβαλε γλουτὸν κάτα δεξιόν· αὐτὰρ ὀϊcτὸς
ἀντικρὺ κατὰ κύcτιν ὑπ' ὀcτέον ἐξεπέρηcεν.
ἑζόμενος δὲ κατ' αὖθι, φίλων ἐν χερcὶν ἑταίρων
θυμὸν ἀποπνείων, ὥς τε cκώληξ ἐπὶ γαίῃ
κεῖτο ταθείς· ἐκ δ' αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν.
τὸν μὲν Παφλαγόνες μεγαλήτορες ἀμφεπένοντο,
ἐς δίφρον δ' ἀνέcαντες ἄγον προτὶ Ἴλιον ἱρὴν
ἀχνύμενοι· μετὰ δέ cφι πατὴρ κίε δάκρυα λείβων,
ποινὴ δ' οὔ τις παιδὸς ἐγίγνετο τεθνηῶτος.
τοῦ δὲ Πάρις μάλα θυμὸν ἀποκταμένοιο χολώθη·
ξεῖνος γάρ οἱ ἔην πολέcιν μετὰ Παφλαγόνεccι·
τοῦ ὅ γε χωόμενος προΐει χαλκήρε' ὀϊcτόν.
ἦν δέ τις Εὐχήνωρ, Πολυΐδου μάντιος υἱός,
ἀφνειός τ' ἀγαθός τε, Κορινθόθι οἰκία ναίων,
ὅς ῥ' εὖ εἰδὼς κῆρ' ὀλοὴν ἐπὶ νηὸς ἔβαινε.
πολλάκι γάρ οἱ ἔειπε γέρων ἀγαθὸς Πολύϊδος,
νούcῳ ὑπ' ἀργαλέῃ φθίcθαι οἷς ἐν μεγάροιcιν,

V. l. 648 χάζετο S. — 650 ἵει A. — 651 ἔβαλεν D Vrat. A. κατα AH. κατὰ DEL. — 652 κατα H. διὰ A. — 653 καταῦθι L. — 654 ἐπι A. — 657 δ' omitt. A. προτὶ ACDGHL: ποτὶ S. — 658 μετὰ: παρὰ [ηι] Schol. Ε 576. — 659 ἐγίγνετο L: ἐγίνετο ACDEGH. γίνετο S. τεθνειῶτος A. τεθνειῶτος CDGS. τεθνεῶτος H. — 660 τοῦδε D. — 661 πολέcι Lips. μετα D. παφλαγόνεccι ACD 2. man. G. μυρμιδόνεccιν D 1. man. conf. Π 240. — 662 χωόμενον G. — 663 πολυΐδου ACDEGHL et Heynii libri. Et. Mg. 400, 10. Cram. An. Par. I, 285, 6: πολυείδου S Syr. Schol. Pind. Ol. XIII, 78 et 81. Πολύιδος ὁ κατὰ τὴν γραφὴν τῆς παραληγούσης διφορούμενος Eust. 937. 49. conf. 953, 27. μάντεος L. — 665 ἔβαινε ACDEGH Syr. — 666 πολλάκις E. πολύϊδος ACDEGHL. ΠΟΛΥΕΙΔΟϹ Syr. πολυείδης S. — 667 φθῖcθαι A. φθεῖcθαι CH Vrat. b. d. ΦΘΙϹΘΑΙ Syr. cum ceteris.

A. c. 657 ἀνέcαντες: ἀναθέντες Apollon. Rhodius. ἀθετεῖται Schol. BL. — 658, 659 ἀθετοῦνται. εἰ δὲ μένοιεν οἱ cτίχοι οὗτοι, νοητέον ὁμωνυμίαν εἶναι Aristonicus. Ἀριcτοφάνης ἀθετεῖ Schol. V. ἔνιοι δὲ πιθανῶς μεταγράφουcι „μετὰ δ' οὔ cφι πατὴρ κίε“ Schol. AD. — 662 ἁπλοῦς ὁ cτίχος ἐcτὶ καὶ ἀποίκιλος Schol. BL. — 663 Πολυίδου: Πολύϊδος· οὕτως καὶ Ἀπολλώνιος ὁ τοῦ Ἀρχιβίου, καὶ ἔcτι, φηcί, πολυίδμων μάντις ὤν. οὕτως δὲ καὶ τὸ δρᾶμα ἐπιγράφεται ὑπὸ Ἀριcτοφάνους· μαρτυρεῖ δὲ καὶ Φιλόξενος, καὶ Σοφοκλῆς δ' ἐν Μάντεcι cυνέcτειλεν „ὁρῶ πρόχειρον Πολυΐδου τοῦ μάντεως“ καὶ πάλιν „οὐκ ἔcτιν εἰ μὴ Πολυίδῳ τῷ κοιράνῳ“. conf. Et. Mg. 681, 22. Et. Gud. 474, 24. Ε 148.

ἢ μετ' Ἀχαιῶν νηυϲὶν ὑπὸ Τρώεϲϲι δαμῆναι·
τῶ ῥ' ἅμα τ' ἀργαλέην θωὴν ἀλέεινεν Ἀχαιῶν
νοῦϲόν τε ϲτυγερήν, ἵνα μὴ πάθοι ἄλγεα θυμῷ.
τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατοϲ· ὦκα δὲ θυμὸϲ
ᾤχετ' ἀπὸ μελέων, ϲτυγερὸϲ δ' ἄρα μιν ϲκότοϲ εἷλεν.
ὣϲ οἳ μὲν μάρναντο δέμαϲ πυρὸϲ αἰθομένοιο·
Ἕκτωρ δ' οὐκ ἐπέπυϲτο διίφιλοϲ, οὐδέ τι ἤδη,
ὅττί ῥά οἱ νηῶν ἐπ' ἀριϲτερὰ δηιόωντο
λαοὶ ὑπ' Ἀργείων· τάχα δ' ἂν καὶ κῦδοϲ Ἀχαιῶν
ἔπλετο· τοῖοϲ γὰρ γαιήοχοϲ ἐννοϲίγαιοϲ
ὤτρυν' Ἀργείουϲ, πρὸϲ δὲ ϲθένει αὐτὸϲ ἄμυνεν·
ἀλλ' ἔχεν, ᾗ τὰ πρῶτα πύλαϲ καὶ τεῖχοϲ ἐϲᾶλτο,
ῥηξάμενοϲ Δαναῶν πυκινὰϲ ϲτίχαϲ ἀϲπιϲτάων,
ἔνθ' ἔϲαν Αἴαντόϲ τε νέεϲ καὶ Πρωτεϲιλάου
θῖν' ἔφ' ἁλὸϲ πολιῆϲ εἰρυμέναι· αὐτὰρ ὕπερθε
τεῖχοϲ ἐδέδμητο χθαμαλώτατον, ἔνθα μάλιϲτα
ζαχρηεῖϲ γίγνοντο μάχῃ αὐτοί τε καὶ ἵπποι.
ἔνθα δὲ Βοιωτοὶ καὶ Ἰάονεϲ ἑλκεχίτωνεϲ,
Λοκροὶ καὶ Φθῖοι καὶ φαιδιμόεντεϲ Ἐπειοὶ
ϲπουδῇ ἐπαΐϲϲοντα νεῶν ἔχον, οὐδὲ δύναντο
ὦϲαι ἀπὸ ϲφείων φλογὶ εἴκελον Ἕκτορα δῖον·
οἳ μὲν Ἀθηναίων προλελεγμένοι· ἐν δ' ἄρα τοῖϲιν
ἦρχ' υἱὸϲ Πετεῶο Μενεϲθεύϲ, οἳ δ' ἅμ' ἕποντο
Φείδαϲ τε Ϲτιχίοϲ τε Βίαϲ τ' ἐύϲ· αὐτὰρ Ἐπειῶν
Φυλείδηϲ τε Μέγηϲ Ἀμφίων τε Δρακίοϲ τε,

V. l. 668 ἠὲ μετ' D. ὑπο H. τρῴεϲϲι L. — 669 τῶ ACGHL Syr.: τῷ DE. θωιὴν AC. — 670 νοῦϲον τὲ C. πάθοι: πάθῃ E bis Lips. πάθη S. — 671 ὕπο A. — 672 ἄπο A. ἀπαὶ L. ϲτυγερὸν S. ἄρά G. — 673 ὡϲ A. οἳ μὲν C. — 674 διῒ φίλοϲ ACDHL. ΔΙΙΦΙΛΟϹ Syr. δὴ φίλοϲ G. ᾔδη ADH. ΗΔΗ Syr. ἤδη L. ᾔδει CG Cant. Vrat. b. 1. man. A. — 675 ἐπαριϲτερὰ A. — 678 ΠΡΟϹΘΕΝΕΙ Syr. — 679 ταπρῶτα C post ras. L. ἐϲᾶλτο G. ἐπᾶλτο Vrat. b. — 680 πυκνὰϲ Lips. Vrat. A. — 681 αἴαντοϲ νῆεϲ Vrat. d. πρωτεϲιλάου A. — 682 ὕπερθε ACDG Syr. — 683 δέδμητο Townl. — 684 ζαγρηεῖϲ G. γίγνοντο L: γίνοντο ACDGH Syr. ἐγίνοντο E. ΜΑΧΗϹ Syr. μάχαι S. — 685 ἑλκεχίτωνεϲ A. — 686 φθίοι ADG. Αἴπειοὶ E. — 687 οὐδὲ δύναντο ACEHLS Lips. ΟΥΔΕΔΥΝΑΝΤΟ Syr. vulgo οὐδ' ἐδύναντο. — 688 ἄπο AD. ἴκελον E. ἴκελον G. — 690 οἳ δ' D. οἵδ' CHL. — 691 ϲτιχίοϲ ACEH. ϲτιχῖοϲ D. ϲτίχϊόϲ L. ϲτίχόϲ τε G (sic). — 692 μέγηϲ τ' Vrat. A. δρακίοϲ ACDEH. δράκιόϲ GL.

A. c. 692 οὕτω μέγηϲ ἔξω τοῦ τε̄· οὐ γάρ ἐϲτι φυλείδηϲ Didymus. Zenodotum Μέγηϲ τ' scripsisse docemur ab Aristonico ad K 174.

πρὸ Φθίων δὲ Μέδων τε μενεπτόλεμόϲ τε Ποδάρκηϲ.
ἤ τοι ὃ μὲν νόθοϲ υἱὸϲ Ὀιλῆοϲ θείοιο
ἔϲκε Μέδων, Αἴαντοϲ ἀδελφεόϲ· αὐτὰρ ἔναιεν
ἐν Φυλάκῃ γαίηϲ ἄπο πατρίδοϲ, ἄνδρα κατακτάϲ,
γνωτὸν μητρυιῆϲ Ἐριώπιδοϲ, ἣν ἔχ' Ὀιλεύϲ·
αὐτὰρ ὁ Ἰφίκλοιο πάιϲ τοῦ Φυλακίδαο·
οἳ μὲν πρὸ Φθίων μεγαθύμων θωρηχθέντεϲ,
ναῦφιν ἀμυνόμενοι, μετὰ Βοιωτῶν ἐμάχοντο.
Αἴαϲ δ' οὐκέτι πάμπαν, Ὀιλῆοϲ ταχὺϲ υἱόϲ,
ἵϲτατ' ἀπ' Αἴαντοϲ Τελαμωνίου, οὐδ' ἠβαιόν,
ἀλλ' ὥϲ τ' ἐν νειῷ βόε οἴνοπε πηκτὸν ἄροτρον
ἶϲον θυμὸν ἔχοντε τιταίνετον· ἀμφὶ δ' ἄρά ϲφι
πρυμνοῖϲιν κεράεϲϲι πολὺϲ ἀνακηκίει ἱδρώϲ·
τὼ μέν τε ζυγὸν οἶον ἐύξοον ἀμφὶϲ ἐέργει
ἱεμένω κατὰ ὦλκα· τέμει δέ τε τέλϲον ἀρούρηϲ·
ὣϲ τὼ παρβεβαῶτε μάλ' ἕϲταϲαν ἀλλήλοιιν.
ἀλλ' ἤ τοι Τελαμωνιάδῃ πολλοί τε καὶ ἐϲθλοὶ
λαοὶ ἕπονθ' ἕταροι, οἵ οἱ ϲάκοϲ ἐξεδέχοντο,
ὁππότε μιν κάματόϲ τε καὶ ἱδρὼϲ γούναθ' ἵκοιτο.
οὐδ' ἄρ' Ὀιλιάδῃ μεγαλήτορι Λοκροὶ ἕποντο·
οὐ γάρ ϲφι ϲταδίῃ ὑϲμίνῃ μίμνε φίλον κῆρ·
οὐ γὰρ ἔχον κόρυθαϲ χαλκήρεαϲ ἱπποδαϲείαϲ,
οὐδ' ἔχον ἀϲπίδαϲ εὐκύκλουϲ καὶ μείλινα δοῦρα,

V. l. 693 προ AD. φθίων τε G. φθίων τὲ S. — 696 ἀπὸ ACH Syr. — 697 μητρυῆϲ D. — 698 ὃ CDGHL. ἐφίκλοιο G. — 699 οἳ μὲν C. προ AD. — 701 ταχὺϲ αἴαϲ D et man. rec. υἱόϲ. — 702 ἠδ' ἠβαιόν G. — 704 ἀμφι AD. ϲφι ACEH Syr. — 705 πρυμνοῖϲι D Lips. Vrat. A. πολὺϲ δ' HS. ἀνεκηκίει A. ἀνεκήκιεν HLS Syr. Vrat. b. d. ἀνακηκίη Mor. — 706 ζυγὸϲ οἶοϲ ἐΰξοοϲ Vrat. A. οἶον D. εὔξοον H. — 707 ἱεμένω H. ἱεμένων Schol. Apoll. Rhod. II, 396. καταῶλκα A. τέμει ACGH 1. man. Harl. Vrat. d.: τέμνει DEH ex corr. LS Syr. et Heynii libri cum Apoll. Soph. 170, 31. — 708 ὡϲ A. πὰρ βεβαῶτε E Rom. ἔϲταϲαν AEGL. ἀλλήλοιιν ACDE: ἀλλήλοιϲιν GHLS Syr. Harl. Vrat. d. — 709 libri ἤτοι. — 710 ἄλλοι ἕπονθ' HL. ΟΙΟΙ Syr. — 711 γοῦνα θ' G. ἵκητο E. — 712 αρ A. ἂρ EGHL. ἄρα νηληϊάδηι D (sic). — 713 ϲφι: ϲφιν CE 956, 19. H. οὐδ' ἄρ ϲφιν Harl. ϲταδίηϲ ὑϲμίνηϲ ἔργα μέμηλεν (corr. μεμήλει) Strabo X, 449. κῆρ: ΗΤΟΡ Syr. — 715 ἐϋκύκλουϲ C.

A. c. 702 ζηνόδοτοϲ χάζετ' ἀπ' αἴαντοϲ Didymus. — 705 χωρὶϲ τοῦ ν̄ ἀνεκηκίει (sic) καὶ διὰ τοῦ ῑ Didymus. πολὺϲ δ' ἀνακηκίει: χωρὶϲ τοῦ δὲ αἱ πᾶϲαι Schol. V. — 712 οὐδ' ἄρ' Ὀιλιάδῃ: ἀλλ' οὐκ Ἰλιάδῃ Zenodotus, conf. M 365. H. T. 322. — 713 οὕτωϲ ἀρίϲταρχοϲ χωρὶϲ τοῦ ν̄ ϲφι, ἀριϲτοφάνηϲ δὲ ϲὺν τῷ ν̄ Didymus.

ἀλλ' ἄρα τόξοιϲιν καὶ ἐυϲτρεφεῖ οἰὸϲ ἀώτῳ
Ἴλιον εἰϲ ἅμ' ἕποντο πεποιθότεϲ, οἷϲιν ἔπειτα
ταρφέα βάλλοντεϲ Τρώων ῥήγνυντο φάλαγγαϲ.
δή ῥα τόθ' οἳ μὲν πρόϲθε ϲὺν ἔντεϲι δαιδαλέοιϲι
μάρναντο Τρωϲίν τε καὶ Ἕκτορι χαλκοκορυϲτῇ,
οἳ δ' ὄπιθεν βάλλοντεϲ ἐλάνθανον· οὐδέ τι χάρμηϲ
Τρῶεϲ μιμνήϲκοντο· ϲυνεκλόνεον γὰρ ὀιϲτοί.
ἔνθά κε λευγαλέωϲ νηῶν ἄπο καὶ κλιϲιάων
Τρῶεϲ ἐχώρηϲαν προτὶ Ἴλιον ἠνεμόεϲϲαν,
εἰ μὴ Πουλυδάμαϲ θραϲὺν Ἕκτορα εἶπε παραϲτάϲ·
Ἕκτορ, ἀμήχανόϲ ἐϲϲι παραρρητοῖϲι πιθέϲθαι.
οὕνεκά τοι περὶ δῶκε θεὸϲ πολεμήια ἔργα,
τοὔνεκα καὶ βουλῇ ἐθέλειϲ περιίδμεναι ἄλλων.
ἀλλ' οὔ πωϲ ἅμα πάντα δυνήϲεαι αὐτὸϲ ἑλέϲθαι.
ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸϲ πολεμήια ἔργα·
[ἄλλῳ δ' ὀρχηϲτύν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν·]
ἄλλῳ δ' ἐν ϲτήθεϲϲι τιθεῖ νόον εὐρύοπα Ζεὺϲ
ἐϲθλόν, τοῦ δέ τε πολλοὶ ἐπαυρίϲκοντ' ἄνθρωποι,
καί τε πολέαϲ ἐϲάωϲε, μάλιϲτα δὲ καὐτὸϲ ἀνέγνω.

V. l. 716 τόξοιϲι E Strabo. ἐυϲτρεφεῖ: libri ἐυϲτρόφῳ cum Schol. Δ 90 et Strabone. εὐϲτρόφῳ HL, conf. 599. — 717 οἷϲι μάλιϲτα L Rom. — 718 τρῴων L. — 719 δὴ ῥὰ DL. δή ῥα τόθ' οἱ μὲν: οἱ μὲν γὰρ E. οἳ μὲν C. δαιδαλέοιϲι ACEG Syr. — 720 τρῳϲὶν L. τρωϲὶ D Lips. — 721 οἳ δ' DL. οἵδ' CH. ὄπιθε E. ὄπιϲθεν D Flor. ΟΥΔ' ΕΤΙ Syr. — 722 τρῷεϲ L. μημνίϲκοντο G. — 723 ἔνθά κε ACDGHL. ἄπο, καὶ G. ἄπο etiam ACHL Syr. ἀπο D. — 724 τρῷεϲ L. ποτὶ F. — 725 πουλϊδάμαϲ G. — 726 ἀμήχανοϲ ἐϲϲὶ L. παραρητοῖϲι G Syr. Towml. — 727 πέρι EGL. περϊ CDH. — 728 πέρι ἴδμεναι L. περὶ ἴδμεναι S. περιέμμεναι Mor. Barocc. περιέμμεναι ἢ περιίδμεναι E 956, 36. — 729 πάντα θεοὶ δόϲαν ἀνθρώποιϲιν Schol. Δ 320. — 730 omitt. G. ἔδωκε: δῶκε L. — 731 omitt. ACDEHS Vrat. d. Townl. 1. man. Schol. Δ 320. Schol. Pind. Ol. IX, 158. Pseudoplut. 146, 39: habent D et H in marg. man. rec. GL Lips. Vrat. A. Lucianus XXXIII, 23. Clemens Alexandr. Strom. IV, 21 § 135. — 732 τίθει S Schol. Pind. Ol. IX, 158. Pseudopl. 79, 23. τιθεῖ ἢ τίθει E. νόον τίθει Townl. — 734 πολέαϲ: πολεῖϲ CHS Lips. Harl. Vrat. A. Flor. Rom. πόλειϲ DG Pseudopl. 79, 23; 146, 39. πολεῖϲ ἢ πόλειϲ E. ἐϲάωϲεν D. δέ κ' αὐτὸϲ ACHL Schol. Υ 311. δὲ κ' αὐτὸϲ E. δεκαὐτὸϲ D. δ' ἐκ αὐτὸϲ G.

A. c. 716 ἐυϲτρεφεῖ Aristarchus, conf. ad 599. — 731 Ζηνόδοτοϲ ὁ Μαλλώτηϲ προϲτίθηϲιν Schol. V, conf. Eust. 957, 10. — 732 τιθεῖ νόον: νόον τιθεῖ. οὕτωϲ Ἀριϲτοφάνηϲ Schol. V. — 733 πολλοί: Ἀριϲτοφάνηϲ πολλὸν Didymus. — 734 πολεῖϲ Herodianus: alii πόλειϲ. restitui cum Wolfio et Bekkero formam genuinam πολέαϲ, etiam O 66. Υ 313. Φ 59. 131 in πολεῖϲ corruptam. δέ κ' αὐτὸϲ Aristarchus teste Schol. Υ 311, sed conf. Ariston. ad h. l. ὅτι κατὰ ϲυναλοιφὴν ἐκλη-

αὐτὰρ ἐγὼν ἐρέω ὥϲ μοι δοκεῖ εἶναι ἄριϲτα.
πάντῃ γάρ ϲε περὶ ϲτέφανοϲ πολέμοιο δέδηε·
Τρῶεϲ δὲ μεγάθυμοι, ἐπεὶ κατὰ τεῖχοϲ ἔβηϲαν,
οἱ μὲν ἀφεϲτᾶϲιν ϲὺν τεύχεϲιν, οἱ δὲ μάχονται
παυρότεροι πλεόνεϲϲι κεδαϲθέντεϲ κατὰ νῆαϲ.
ἀλλ' ἀναχαϲϲάμενοϲ κάλει ἐνθάδε πάνταϲ ἀρίϲτουϲ·
ἔνθεν δ' ἂν μάλα πᾶϲαν ἐπιφραϲϲαίμεθα βουλήν,
ἤ κεν ἐνὶ νήεϲϲι πολυκλήιϲι πέϲωμεν,
αἴ κ' ἐθέληϲι θεὸϲ δόμεναι κράτοϲ, ἦ κεν ἔπειτα
πὰρ νηῶν ἔλθωμεν ἀπήμονεϲ. ἦ γὰρ ἐγώ γε
δείδω μὴ τὸ χθιζὸν ἀποϲτήϲωνται Ἀχαιοὶ
χρεῖοϲ, ἐπεὶ παρὰ νηυϲὶν ἀνὴρ ἄτοϲ πολέμοιο
μίμνει, ὃν οὐκέτι πάγχυ μάχηϲ ϲχήϲεϲθαι ὀίω.
ὣϲ φάτο Πουλυδάμαϲ, ἅδε δ' Ἕκτορι μῦθοϲ ἀπήμων,
[αὐτίκα δ' ἐξ ὀχέων ϲὺν τεύχεϲιν ἆλτο χαμᾶζε,]
καί μιν φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα·
Πουλυδάμα, ϲὺ μὲν αὐτοῦ ἐρύκακε πάνταϲ ἀρίϲτουϲ·
αὐτὰρ ἐγὼ κεῖϲ' εἶμι καὶ ἀντιόω πολέμοιο·
αἶψα δ' ἐλεύϲομαι αὖτιϲ, ἐπὴν εὖ τοῖϲ ἐπιτείλω.
ἦ ῥα, καὶ ὡρμήθη ὄρεϊ νιφόεντι ἐοικώϲ,

V. l. 735 ἄριϲτα: ἄριϲτον Barocc. Mor. ἄριϲτον ἢ ἄριϲτα E. — 736 libri πάντη cum Et. Mg. 253, 3: πάντῃ E Apoll. Soph. 144, 29. Athenaeus I, 18. περί: περϊ CDL. πέρι Et. Mg. 253, 3. δέδηε ACDEG HL Apoll. Soph. Et Mg. l. l. δέδηεν Eust. 958, 2. — 737 τρῷεϲ L. δὲ: δὴ Rom. δ' αὖ Vrat. b. — 738 οἳ μὲν C. ἀφεϲτᾶϲι DE Lips. Vrat. A.
c
Flor. ϲυν A. οἳ δὲ C. — 741 δὲ μάλα S. ἐπιφραϲαίμεθα C. ἐπιφραϲϲοίμεθα Vrat. A. — 742 ἐνι A. ἐν L. νήεϲϲιν D. πολϋκλΐηιϲϊ C. πολυκληῖϲι G. πέϲοιμεν E bis. — 743 ἤκ' Mor. εἴ κ' Barocc. κε θέληϲι H. — 744 παρ ACD. ἔλθοιμεν CDEH. ἡ γὰρ H. ἤ γὰρ ἂν ἔγωγε L. ἔγωγε libri omnes. — 745 ἀποϲτήϲωνται AE Townl. Rom. Apoll. Soph. 39, 11. Hesych. I, 158. Et. Mg. 725, 15. Zonar. Lex. 271. ἀποϲτήϲονται Cram. Epim. 119, 18; 280, 16: ἀποτίϲωνται CGHL Cant. Harl. Lips. Vrat. A. Flor. Schol. BV. ἀποτίϲονται DS Vrat. d. ὑποϲτήϲονται Ammon. de Diff. s. μητρεῖϲθαι. — 746 παρα A. πὰρ L. ἄτοϲ C. — 748 ὥϲ A. ἅδε: ἄδε DE 957, 7. G. utrumque Eust. 958, 31. — 749 omitt. AH in textu Vrat. d.: habent CDGH in marg. man. rec. LS. ἆλτο C. χαμάζε CGL. —
ν
750 προϲηῦδα D. — 751 ἐρύκακε G. ἐρύρακε L. — 753 αὖθϊϲ C. εὖ omitt. C, in quo add. man. rec. καὶ. — 754 ῥὰ CDGHL. νεφόεντι D (ε a 2. man.).

A. c. πτέον, ἵνα διαιρῆται, μάλιϲτα δὲ καὶ αὐτόϲ. G. Hermannus Opusc. IV, 21 δέ τ' αὐτόϲ, quem secutus est Bekkerus coll. Ζ 185. conf. H. U. 286. — 751 Πουλυδάμαν Zenodotus et Chamaeleo, conf. Μ 231. Ξ 470.

κεκληγώς, διὰ δὲ Τρώων πέτετ' ἠδ' ἐπικούρων.
οἱ δ' ἐς Πανθοΐδην ἀγαπήνορα Πουλυδάμαντα
πάντες ἐπεσσεύοντ', ἐπεὶ Ἕκτορος ἔκλυον αὐδήν.
αὐτὰρ ὃ Δηιφοβόν τε βίην θ' Ἑλένοιο ἄνακτος
Ἀσιάδην τ' Ἀδάμαντα καὶ Ἄσιον, Ὑρτάκου υἱόν,
φοίτα ἀνὰ προμάχους διζήμενος, εἴ που ἐφεύροι.
τοὺς δ' εὗρ' οὐκέτι πάμπαν ἀπήμονας οὐδ' ἀνολέθρους·
ἀλλ' οἱ μὲν δὴ νηυσὶν ἔπι πρυμνῇσιν Ἀχαιῶν
χερσὶν ὑπ' Ἀργείων κέατο ψυχὰς ὀλέσαντες,
οἱ δ' ἐν τείχει ἔσαν βεβλημένοι οὐτάμενοί τε.
τὸν δὲ τάχ' εὗρε μάχης ἐπ' ἀριστερὰ δακρυοέσσης
δῖον Ἀλέξανδρον, Ἑλένης πόσιν ἠυκόμοιο,
θαρσύνονθ' ἑτάρους καὶ ἐποτρύνοντα μάχεσθαι.
ἀγχοῦ δ' ἱστάμενος προσέφη αἰσχροῖς ἐπέεσσι·
    Δύσπαρι, εἶδος ἄριστε, γυναιμανές, ἠπεροπευτά,
ποῦ τοι Δηίφοβός τε βίη θ' Ἑλένοιο ἄνακτος
Ἀσιάδης τ' Ἀδάμας ἠδ' Ἄσιος, Ὑρτάκου υἱός;
ποῦ δέ τοι Ὀθρυονεύς; νῦν ὤλετο πᾶσα κατ' ἄκρης
Ἴλιος αἰπεινή· νῦν τοι σῶς αἰπὺς ὄλεθρος.
    τὸν δ' αὖτε προσέειπεν Ἀλέξανδρος θεοειδής·
Ἕκτορ, ἐπεί τοι θυμὸς ἀναίτιον αἰτιάασθαι,
ἄλλοτε δή ποτε μᾶλλον ἐρωῆσαι πολέμοιο
μέλλω, ἐπεὶ οὐδέ με πάμπαν ἀνάλκιδα γείνατο μήτηρ.
ἐξ οὗ γὰρ παρὰ νηυσὶ μάχην ἤγειρας ἑταίρων,
ἐκ τοῦ δ' ἐνθάδ' ἐόντες ὁμιλέομεν Δαναοῖσι
νωλεμέως· ἕταροι δὲ κατέκταθεν, οὓς σὺ μεταλλᾷς.

V. L. 755 δια A. τρῴων L. πέτετο καὶ ἐπικούρων E. — 756 οἳ δ' D. οἵδ' CL. οἱ δ' ἐπὶ Mor. οἱ δ' ἐπανθοίδην H Townl. — 757 ἤκουον αὐδὴν Vrat. b. — 758 ὃ ACDGHL. — 760 ἀνα L. ὅπου ἐφεύροι H. — 762 ἐπι AD. ἐπὶ CGHL. πρύμνῃσιν omnes. — 763 κέατο: κέαται C Et. Gud. 309, 4 et 5. — 764 οἵδ' CHL. — 767 θρασύνονθ' H. — 768 ἐπέεσσι ACDH. — 769 γυναικομανὲς L. — 771 τ' omitt. H. — 772 ὤλετο: ᾤχετο Bekk. Anecd. 937, 9. ἄκρας Cram. An. Ox III, 376, 3. — 773 σῶς non σόος omnes. σοι αἰπὺς S. — 775 τοι: σοι Eust. 959, 18. — 776 ἐρωήσειν Harl. πτολέμοιο G. — 777 οὐδέ με ACLS Flor.: vulgo οὐδ' ἐμὲ. — 778 ἐξοῦ G. — 779 ἐκ τοῦ δ': vulgo ἐκ τοῦδ', conf. O 69 ἐκ τοῦ δ' ἄν τοι τεύχοιμι. α 212 ἐκ τοῦ δ' οὔτ' Ὀδυσῆα ἐγὼν ἴδον. θ 540 ἐκ τοῦ δ' οὔ πω παύσατ'. ἡμεῖς ἐνθάδε ὄντες ὁμιλέομεν Et. Gud. 427, 47. — 780 δε D. κατέκταθον Lips.

A. c. 772 κατ' ἄκρης: alii κατὰ κρῆς, conf. Schol. A τινὲς δὲ κρῆς μονοσυλλάβως, ἐπεὶ καὶ κρῆθέν φησιν.

οἴω Δηίφοβός τε βίη θ' Ἑλένοιο ἄνακτος
οἴχεσθον μακρῇσι τετυμμένω ἐγχείῃσιν
ἀμφοτέρω κατὰ χεῖρα· φόνον δ' ἤμυνε Κρονίων.
νῦν δ' ἄρχ', ὅππῃ σε κραδίη θυμός τε κελεύει·
ἡμεῖς δ' ἐμμεμαῶτες ἅμ' ἑψόμεθ', οὐδέ τί φημι
ἀλκῆς δευήσεσθαι, ὅση δύναμίς γε πάρεστι.
πὰρ δύναμιν δ' οὐκ ἔστι, καὶ ἐσσύμενον, πολεμίζειν.
    ὣς εἰπὼν παρέπεισεν ἀδελφειοῦ φρένας ἥρως.
βὰν δ' ἴμεν ἔνθα μάλιστα μάχη καὶ φύλοπις ἦεν,
ἀμφί τε Κεβριόνην καὶ ἀμύμονα Πουλυδάμαντα,
Φάλκην Ὀρθαῖόν τε καὶ ἀντίθεον Πολυφήτην
Πάλμύν τ' Ἀσκάνιόν τε Μόρυν θ', υἷ' Ἱπποτίωνος,
οἵ ῥ' ἐξ Ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοὶ
ἠοῖ τῇ προτέρῃ· τότε δὲ Ζεὺς ὦρσε μάχεσθαι.
οἱ δ' ἴσαν ἀργαλέων ἀνέμων ἀτάλαντοι ἀέλλῃ,
ἥ ῥά θ' ὑπὸ βροντῆς πατρὸς Διὸς εἶσι πέδον δέ,
θεσπεσίῳ δ' ὁμάδῳ ἁλὶ μίσγεται, ἐν δέ τε πολλὰ
κύματα παφλάζοντα πολυφλοίσβοιο θαλάσσης,
κυρτὰ φαληριόωντα, πρὸ μέν τ' ἄλλ', αὐτὰρ ἐπ' ἄλλα·
ὣς Τρῶες πρὸ μὲν ἄλλοι ἀρηρότες, αὐτὰρ ἐπ' ἄλλοι,
χαλκῷ μαρμαίροντες ἅμ' ἡγεμόνεσσιν ἕποντο.
Ἕκτωρ δ' ἡγεῖτο, βροτολοιγῷ ἶσος Ἄρηι,
Πριαμίδης· πρόσθεν δ' ἔχεν ἀσπίδα πάντοσ' ἐίσην,

V. L. 781 οἴῳ DH. — 782 οἴχεσθ' ἐν S. τετυγμένω Townl. — 783 χεῖρε HL. φόνον: φόβον Mor. — 784 ὅππη AE: vulgo ὅππῃ. D ὅπῃ. σε: σου Lips. 1. man. — 785 δὲ μεναῶτες CDHS Lips. Mor. Vrat. d. ἑσπόμεθ' L. οὐδέ τι φημὶ ACDEG (φυμὶ) HL. — 786 δευήσεσθε L. πάρεστι ACDEG. — 787 παρ ACD. πτολεμίζειν G. — 788 ὡς A. ἀδελφεοῦ H. — 789 βᾶν D. — 791 πολυφήτην ACDH Cant. Vrat. b. d. Townl. Harl. Lips.: πολυφοίτην GS. πολυφοίτην (η) L. — 792 πάλμύν τ' A. πάλμων τ' D ex corr. μύρον θ' L. υἷε G Flor. Rom. υἱὸν S. addit Strabo XII, 565 Μυσῶν ἀγχεμάχων ἡγήτορα ‒ ◡ ◡ ‒ ‒. — 793 ἤλυθον L. — 795 οἳ δ' D. οἵδ' CHL. — 796 ἥ ῥά C. ὑπο A. διὸς om. L. πέδον δὲ A. πέδοντε L. πεδίονδε Lips. — 797 ἔνθα τε πολλὰ Mor. Barocc. — 798 παμφλάζοντα L. — 799 φαληρώωντα L. φαλακρυόωντα Bekk. An. 865, 32. προ CD. — 800 ὡς A. τρῷες L. προ CH. — 803 πρόσθεν ADHLS Syr. Cant. Barocc. Mor. Harl Vrat. b. d. A. πρὸ ἔθεν CG. πάντοσε, ἴσην A. πάντοσε ἴσην DGL Lips. ΠΑΝΤΟΣ' ΕΙΣΗΝ Syr.

A. c. 785 δ' ἐμμεμαῶτες: οὕτως ἀρίσταρχος. ἄλλοι δὲ μεμαῶτες Didymus. — 797 οὕτω μετὰ τοῦ δὲ συνδέσμου θεσπεσίῳ δ' ὁμάδῳ Didymus. — 803 πρὸ ἔθεν Schol. A (Herodianus?).

ῥινοῖϲιν πυκινήν, πολλὸϲ δ' ἐπελήλατο χαλκόϲ·
ἀμφὶ δέ οἱ κροτάφοιϲι φαεινὴ ϲείετο πήληξ.
πάντῃ δ' ἀμφὶ φάλαγγαϲ ἐπειρᾶτο προποδίζων,
εἴ πωϲ οἵ εἴξειαν ὑπαϲπίδια προβιβῶντι·
ἀλλ' οὐ ϲύγχει θυμὸν ἐνὶ ϲτήθεϲϲιν Ἀχαιῶν.
Αἴαϲ δὲ πρῶτοϲ προκαλέϲϲατο μακρὰ βιβάϲθων·
δαιμόνιε, ϲχεδὸν ἐλθέ· τί ἦ δειδίϲϲεαι αὔτωϲ
Ἀργείουϲ; οὔ τοί τι μάχηϲ ἀδαήμονέϲ εἰμεν,
ἀλλὰ Διὸϲ μάϲτιγι κακῇ ἐδάμημεν Ἀχαιοί.
ἦ θήν πού τοι θυμὸϲ ἐέλπεται ἐξαλαπάξειν
νῆαϲ· ἄφαρ δέ τε χεῖρεϲ ἀμύνειν εἰϲὶ καὶ ἡμῖν.
ἦ κε πολὺ φθαίη εὖ ναιομένη πόλιϲ ὑμὴ
χερϲὶν ὑφ' ὑμετέρῃϲιν ἁλοῦϲά τε περθομένη τε.
ϲοὶ δ' αὐτῷ φημι ϲχεδὸν ἔμμεναι, ὁππότε φεύγων
ἀρήϲῃ Διὶ πατρὶ καὶ ἄλλοιϲ ἀθανάτοιϲι
θάϲϲοναϲ ἰρήκων ἔμεναι καλλίτριχαϲ ἵππουϲ,
οἵ ϲε πόλιν δ' οἴϲουϲι κονίοντεϲ πεδίοιο.
ὣϲ ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸϲ ὄρνιϲ,
αἰετὸϲ ὑψιπέτηϲ· ἐπὶ δ' ἴαχε λαὸϲ Ἀχαιῶν
θάρϲυνοϲ οἰωνῷ· ὃ δ' ἀμείβετο φαίδιμοϲ Ἕκτωρ·

V. ʟ. 804 ῥινοῖϲι D. Lips. Vrat. A. — 805 ἀμφι D. — 806 πάντῃ AEG: ceteri πάντη cum. Syr. ἀμφι L. — 807 * εἴ πωϲ οἷ: εἴ, πώϲ, οἱ A. εἴ πωϲ οἷ D. εἴ πωϲ οἱ CG. vulgo εἴ πώϲ οἱ cum E. ЄΪΠΩϹΟΙ Syr. ὑπ' ἀϲπίδια ADHS Vrat. d. ὑπάϲπίδια G. ὑπ' ἀϲπίδι L. ὑπαϲπίδια CE. ὑπ' ἀϲπίδα Vrat. b. προβιβῶντι ACDEGHLS Syr. — 808 ἐνι A. — 809 βιβάϲκων L. ΠΡΟΚΑΛЄϹϹΑΤΟ ΦΩΝΗϹЄΝΤЄ Syr. — 810 τί ἠ AC. τιὴ E. vulgo τίη. αὔτωϲ: αύτωϲ A. αὔτωϲ E. οὕτωϲ CGHS Syr. — 811 οὔ τοί τι EG. τι om. C. ἀδαήμονεϲ εἰμὲν L. ἐϲμὲν C. — 813 που CG. ἐέλδεται S. ἐξαλαπάξαι H Vrat. d. — 814 δέ τοι C. ΆΦΑΡΔЄ́ΟΙ (T superscr.) Syr. ἀμύνειν omnes. — 815 ἦ καὶ HL. εὖ ναιομένη ACHLS. εὖ νεομένη G. vulgo εὐναιομένη. ὑμὴ: ὑμῖν L. ὔμμιν Mor. Barocc. Flor. — 816 ἡμετέροιϲιν Lips. ὑμετέρῃϲιν G. — 817 φημι CL: ceteri φημί. — 818 ἀθανάτοιϲι ACDGH. — 819 ἱρήκων CDG Vrat. A. Flor. Et. Mg. 443, 13. Et. Gud. 255, 55. ἱρήκων A. ἔμμεναι C Lips. Vrat. A. — 821 ὡϲ A. ἄρά οἱ G. οἱ omitt. HL. — 822 ἐπι ADL. — 823 ὃ δ' D. ὅδ' CL.

A. c. 807 εἴ πωϲ οἷ, conf. H. U. 144. — 808 Ζηνόδοτοϲ ὑποτάϲϲει „λίην γάρ ϲφιν πᾶϲιν ἐκέκριτο θάρϲεϊ πολλῷ" Aristonicus. — 809 βιβάϲθων: βιβαϲθῶν Tyrannio. — 810 ἀρίϲταρχοϲ αύτωϲ ἄλλοι δὲ οὕτωϲ Didymus. — 822 ὑψιπέτηϲ Aristarchus, non ὑψιπετῆϲ cf. H. T. 372.

Αἶαν ἁμαρτοεπέϲ, βουγάιε, ποῖον ἔειπεϲ·
εἰ γὰρ ἐγὼν οὕτω γε Διὸϲ πάιϲ αἰγιόχοιο
εἴην ἤματα πάντα, τέκοι δέ με πότνια Ἥρη,
τιοίμην δ' ὡϲ τίετ' Ἀθηναίη καὶ Ἀπόλλων,
ὡϲ νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοιϲι
πᾶϲι μάλ', ἐν δὲ ϲὺ τοῖϲι πεφήϲεαι, αἴ κε ταλάϲϲῃϲ
μεῖναι ἐμὸν δόρυ μακρόν, ὅ τοι χρόα λειριόεντα
δάψει· ἀτὰρ Τρώων κορέειϲ κύναϲ ἠδ' οἰωνοὺϲ
δημῷ καὶ ϲάρκεϲϲι πεϲὼν ἐπὶ νηυϲὶν Ἀχαιῶν.
ὣϲ ἄρα φωνήϲαϲ ἡγήϲατο· τοὶ δ' ἅμ' ἕποντο
ἠχῇ θεϲπεϲίῃ, ἐπὶ δ' ἴαχε λαὸϲ ὄπιϲθεν.
Ἀργεῖοι δ' ἑτέρωθεν ἐπίαχον, οὐδὲ λάθοντο
ἀλκῆϲ, ἀλλ' ἔμενον Τρώων ἐπιόνταϲ ἀρίϲτουϲ.
ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα καὶ Διὸϲ αὐγάϲ.

ΙΛΙΑΔΟϹ Ξ.

Νέϲτορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπηϲ,
ἀλλ' Ἀϲκληπιάδην ἔπεα πτερόεντα προϲηύδα·
φράζεο δῖε Μαχᾶον, ὅπωϲ ἔϲται τάδε ἔργα·
μείζων δὴ παρὰ νηυϲὶ βοὴ θαλερῶν αἰζηῶν.
ἀλλὰ ϲὺ μὲν νῦν πῖνε καθήμενοϲ αἴθοπα οἶνον,
εἰϲ ὅ κε θερμὰ λοετρὰ ἐυπλόκαμοϲ Ἑκαμήδη

V. ʟ. 824 ἁμαρτοεπὲϲ C. ποῖον ACDGHS Syr. οἷον EL Barocc. Rom. Et. Mg. 443, 13. ἔειπαϲ CL Rom. — 825 αἲ γὰρ CEH. αἰ A. ΑΙ Syr. γε omitt. C Lips. πάϊϲ ACDE (bis) GHS ΠΆΙϹ Syr. παῖϲ L. — 826 ἤματα D. τέκε Lips. — 828 ἤδε A. φέροι EL Cant. ἀργείοιϲι ACD EGH Syr. — 829 τοῖϲι: τοῖϲ γε L (γε 2. man. add.). αἴ κε θελήϲῃϲ Lips. — 830 ὅτι χρόα H. — 831 τρῴων L. κορέειϲ ACDEHL: κορέϲειϲ G Cant. pro var. lect. Harl. Vrat. A. — 832 ἐπι A. ἐν ἄλλῳ παρανευϲιν (sic) A. — 833 ὡϲ A. — 834 ἐπι ACDL. — 835 οὐδὲ λάθοντο Townl. ceteri οὐδ' ἐλάθοντο . . . . . . ΆΘΟΝΤΟ Syr. — 836 τρῴων L.

A. c. 824 Ζηνόδοτοϲ βουγήιε διὰ τοῦ η̄, ὁ δὲ Ἀρίϲταρχοϲ διὰ τοῦ ᾱ Didymus, conf. Eust. 962, 14. ἄλλοι δὲ βουκάκιε γράφουϲιν Eust. 962, 11.

V. ʟ. 2 προϲηῦδα D. — 3 μαχάων L. μαχάον Lips. Vrat. A. b. — 4 παρα A. νηυϲὶ μάχῃ Cant. — 5 πῖνε H. — 6 εἰϲόκε libri. λουτρὰ E.

θερμήνῃ καὶ λούςῃ ἄπο βρότον αἱματόεντα·
αὐτὰρ ἐγὼν ἐλθὼν τάχα εἴcομαι ἐc περιωπήν.
ὣc εἰπὼν cάκοc εἷλε τετυγμένον υἷοc ἑοῖο,
κείμενον ἐν κλιcίῃ, Θραcυμήδεοc ἱπποδάμοιο,
χαλκῷ παμφαῖνον· ὃ δ' ἔχ' ἀcπίδα πατρὸc ἑοῖο.
εἵλετο δ' ἄλκιμον ἔγχοc, ἀκαχμένον ὀξέι χαλκῷ,
cτῆ δ' ἐκτὸc κλιcίηc, τάχα δ' εἴcιδεν ἔργον ἀεικέc,
τοὺc μὲν ὀρινομένουc, τοὺc δὲ κλονέονταc ὄπιcθε,
Τρῶαc ὑπερθύμουc· ἐρέριπτο δὲ τεῖχοc Ἀχαιῶν.
ὡc δ' ὅτε πορφύρῃ πέλαγοc μέγα κύματι κωφῷ,
ὀccόμενον λιγέων ἀνέμων λαιψηρὰ κέλευθα
αὔτωc, οὐδ' ἄρα τε προκυλίνδεται οὐδ' ἑτέρωcε,
πρίν τινα κεκριμένον καταβήμεναι ἐκ Διὸc οὖρον,
ὣc ὁ γέρων ὥρμαινε δαϊζόμενοc κατὰ θυμὸν
διχθάδι', ἢ μεθ' ὅμιλον ἴοι Δαναῶν ταχυπώλων,
ἦε μετ' Ἀτρείδην Ἀγαμέμνονα, ποιμένα λαῶν.
ὧδε δέ οἱ φρονέοντι δοάccατο κέρδιον εἶναι,
βῆναι ἐπ' Ἀτρείδην. οἳ δ' ἀλλήλουc ἐνάριζον
μαρνάμενοι· λάκε δέ cφι περὶ χροῒ χαλκὸc ἀτειρὴc
νυccομένων ξίφεcίν τε καὶ ἔγχεcιν ἀμφιγύοιcι.
Νέcτορι δὲ ξύμβληντο διοτρεφέεc βαcιλῆεc
πὰρ νηῶν ἀνιόντεc, ὅcoι βεβλήατο χαλκῷ,
Τυδείδηc Ὀδυcεύc τε καὶ Ἀτρείδηc Ἀγαμέμνων.

V. l. 7 θερμήινηι C. λούcηδ' D om. καὶ. ἄπο AEH Rom. ἀπὸ DG. ἀπο CL. — 8 εἰc Vrat. A. — 9 ὡc A. ἑοῖο: ἑῆοc Eust. 964, 20 et 21. Rom. — 11 παμφαίνων D. ὃ δ' D. ὅδ' CGHL. — 14 ὄπιcθε ACH: ceteri ὄπιcθεν. — 15 τρῶαc L. ἐρέρειπτο C. — 16 πορφύρῃ ADEGHL Apoll. Soph. 106, 12. 133, 32. Schol. Λ 269. Et. Gud. 360, 2: πορφύρει CS Lips. Vrat. A. Schol. Pind. Pyth. IV, 373. Et. Mg. 684, 13. — 18 αὔτωc ACDL. ΑΫΤΩϹ Syr. αὔτωc EGH Schol. Λ 269. ἄρα τε: ἄρ τε Schol. Λ 269. οὐδ' ἑτέρωcε ACDGHL Syr. Cant. Mor. Vrat. A. Flor. οὐδετέρωcε E. — 19 κεκρυμμένον L. — 20 ὡc A. ὅρμαινε D. κατα A. — 21 καθ' ὅμιλον G Flor. — 24 οἳ δ' D. οἵδ' CHL. — 25 περι A. — 26 ξίφεcι Lips. Vrat. A. ἀμφιγύοιcι AEHL. — 27 διοτροφέεc H. — 28 παρ ACD. βεβλήατο: βεβολήατο Schol. Ι 5. — 29 ὀδυcεύc C. ὀδυccεύc DG.

A. c. 16 πορφύρῃ: ἐν τῇ Ζηνοδότου πορφύρει διὰ τοῦ ει Didymus. — 18 αὔτωc, conf. H. T. 210 et Γ 220 τ' αὔτωc. Ψ 268 ἔτ' αὔτωc. ξ 151 οὐκ αὔτωc. οὕτωc οὐδ' ἄρα τε διὰ τοῦ τε αἱ ἀριcτάρχου Didymus. — 21 διχθάδι' ἢ Herodianus: alii διχθαδίῃ ἤ.

πολλὸν γάρ ῥ' ἀπάνευθε μάχηc εἰρύατο νῆεc
θῖν' ἔφ' ἁλὸc πολιῆc· τὰc γὰρ πρώταc πεδίον δὲ
εἴρυcαν, αὐτὰρ τεῖχοc ἐπὶ πρυμνῇcιν ἔδειμαν.
οὐδὲ γὰρ οὐδ' εὐρύc περ ἐὼν ἐδυνήcατο πάcαc
αἰγιαλὸc νῆαc χαδέειν, cτείνοντο δὲ λαοί·
τῶ ῥα προκρόccαc ἔρυcαν, καὶ πλῆcαν ἁπάcηc
ἠιόνοc cτόμα μακρόν, ὅcον cυνεέργαθον ἄκραι.
τῶ ῥ' οἵ γ' ὀψείοντεc ἀυτῆc καὶ πολέμοιο,
ἔγχει ἐρειδόμενοι, κίον ἀθρόοι· ἄχνυτο δέ cφι
θυμὸc ἐνὶ cτήθεccιν. ὃ δὲ ξύμβληντο γεραιόc,
Νέcτωρ, πτῆξε δὲ θυμὸν ἐνὶ cτήθεccιν Ἀχαιῶν.
τὸν καὶ φωνήcαc προcέφη κρείων Ἀγαμέμνων·
ὦ Νέcτορ Νηληιάδη, μέγα κῦδοc Ἀχαιῶν,
τίπτε λιπὼν πόλεμον φθιcήνορα δεῦρ' ἀφικάνειc;
δείδω μὴ δή μοι τελέcῃ ἔποc ὄβριμοc Ἕκτωρ,
ὥc ποτ' ἐπηπείληcεν ἐνὶ Τρώεcc' ἀγορεύων,
μὴ πρὶν πὰρ νηῶν προτὶ Ἴλιον ἀπονέεcθαι,
πρὶν πυρὶ νῆαc ἐνιπρῆcαι, κτεῖναι δὲ καὶ αὐτούc·
κεῖνοc τὼc ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.

V. l. 30 γάρ ῥ' ACDEH: γὰρ GL Harl. Lips. Vrat. A. Flor. conf. Ρ 403. ε 321. κ 242. φ 32. ῥ' in caesura semiternaria non opus esse docui Annal. Gymn. Austr. 1871, pg. 506. ἀπάνευθεν E. νῆαc L. — 31 θιν" ἐφ' A. θίν' ἐφ' G. ἐφ' CEHL. πεδίον δὲ A. — 32 ἐπι A. libri πρύμνηcιν. — 35 τῶ ACDHL: τῷ EG Apoll. Soph. 135, 26. Schol. Μ 258. ῥὰ DL. εἴρυcαν L Flor. ἔρυον Schol. Μ 258. Apoll. Soph. 135, 26. Et. Mg. 689, 26. — 36 ξυνεέργαθεν E. ἄκραc D. — 37 τῶ ACL. τῷ EGH Phot. Lex. 324. Suidas II, 2, 238, 15. τώ ρ D. τώ-ῥ' Cram. Ep. 95, 25. — 38 ἀθρόοι AE 966, 9. cφι ACDEH Lips.: cφιν GL. — 39 ἐνι A. — 40 πτῆξε: πῆξε C post ras. G Vrat. d. ἐνι A. — 43 φθειcήνορα δεῦρ' ϊκάνειc A et in marg. φθιcήνορα δεῦρ' ἀφικάνειc. δεῦρ' ἱκάνειc Flor. Rom. — 44 δείδω: δείδια L. μηδή A. μή μοι τελέcη C. τελέcοι Barocc. ὄμβριμοc C. — 45 ὅc ποτ' C. ἐπηπείληc' CL. ἐνι A. — 46 παρ AD. προτιΐλιον A. προτὶ libri mei, non ποτὶ. — 47 ἐνὶ πρῆcαι D. ἐμπρῆcαι L. — 48 τὼc AHL Harl. Mor. Lips. θ' ὣc DEGS. θ' ὡc C. ἐν ἄλλῳ κεῖνόc γε A (i. e. γ' ὡc), conf. Β 330. τὰ νῦν δὴ Barocc. Mor.

A. c. 32 πρυμνῇcιν Crates: πρύμνῃcιν Herodianus. — 36 διχῶc αἱ ἀριcτάρχου μακρὸν καὶ πολλόν. Ζηνόδοτοc καὶ ἀριcτοφάνηc πολλόν Didymus. — 37 ὀψείοντεc Aristarchus: ὀψαΐοντεc Zenodotus (?). οὐ ψαύοντεc Ptolemaeus ὁ ἐπιθέτηc, conf. Eust. 966, 5. — 38 ἀθρόοι: ἀθρόοι Herodianus cum Aristarcho. — 40 ἀθετεῖται. Aristarchus πτῆξε: πῆξε Dion. Sidonius et Herodianus. — 44 δείδω: ἐν τῇ ἀριcτοφάνουc δείδια Didymus. — 45 ὥc ποτ': ἀριcτοφάνηc ὅc ποτε διὰ τοῦ ο Didymus. — 48 τὼc Ptolem. Ascalonita, conf. Β 330.

ὢ πόποι, ἦ ῥα καὶ ἄλλοι ἐυκνήμιδες Ἀχαιοὶ
ἐν θυμῷ βάλλονται ἐμοὶ χόλον, ὥς περ Ἀχιλλεύς,
οὐδ᾽ ἐθέλουςι μάχεςθαι ἐπὶ πρυμνῆςι νέεςςι.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Γερήνιος ἱππότα Νέςτωρ·
ἦ δὴ ταῦτά γ᾽ ἑτοῖμα τετεύχαται, οὐδέ κεν ἄλλως
Ζεὺς ὑψιβρεμέτης αὐτὸς παρατεκτήναιτο.
τεῖχος μὲν γὰρ δὴ κατερήριπεν, ᾧ ἐπέπιθμεν
ἄῤῥηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔςεςθαι·
οἳ δ᾽ ἐπὶ νηυςὶ θοῇςι μάχην ἀλίαςτον ἔχουςι
νωλεμές· οὐδ᾽ ἂν ἔτι γνοίης μάλα περ ςκοπιάζων,
ὁπποτέρωθεν Ἀχαιοὶ ὀρινόμενοι κλονέονται·
ὣς ἐπιμὶξ κτείνονται, ἀυτὴ δ᾽ οὐρανὸν ἵκει.
ἡμεῖς δὲ φραζώμεθ᾽, ὅπως ἔςται τάδε ἔργα,
εἴ τι νόος ῥέξει· πόλεμον δ᾽ οὐκ ἄμμε κελεύω
δύμεναι· οὐ γάρ πως βεβλημένον ἔςτι μάχεςθαι.
τὸν δ᾽ αὖτε προςέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Νέςτορ, ἐπεὶ δὴ νηυςὶν ἔπι πρυμνῇςι μάχονται,
τεῖχος δ᾽ οὐκ ἔχραιςμε τετυγμένον, οὐδέ τι τάφρος,
ᾗ ἔπι πόλλ᾽ ἔπαθον Δαναοί, ἔλποντο δὲ θυμῷ
ἄῤῥηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔςεςθαι,
οὕτω που Διὶ μέλλει ὑπερμενέι φίλον εἶναι
[νωνύμνους ἀπολέςθαι ἀπ᾽ Ἄργεος ἐνθάδ᾽ Ἀχαιούς].
ᾔδεα μὲν γὰρ ὅτε πρόφρων Δαναοῖςιν ἄμυνεν,
οἶδα δὲ νῦν ὅτι τοὺς μὲν ὁμῶς μακάρεςςι θεοῖςι

V. L. 49 ὢ πόποι A. ἤ ρα G. ῥὰ CL. εὐκνήμιδες DHL Lips. — 50 ἀχϊλεύς C. — 51 οὐδὲ θέλουςι Townl. ἐνὶ Mor. libri πρύμνῃςι, conf. 32. νέεςςι ACDEGH. — 53 ἤδη H. ἄλλως: ἄλλω G. — 54 παρατεκτήιναιτο C. — 55 μὲν δὴ κατήρϊπεν C. — 56 εἶλαρ C. Rom. — 57 οἳ δ᾽ D. οἵδ᾽ CGHL. ἔχουςι ACDG. — 58 νωλεμέως H. — 60 ἐπὶ μὶξ D ἥκει L. — 62 ῥέξει: ἄλλοι νόος γ᾽ ἐρξει A. νόος γ᾽ ἔρξει L. πόλεμόν δ᾽ S. ἄμμϊ C. — 63 ἐςτὶ ACDEGHL. — 65 ἐπι A. ἐπὶ CDGHL. — 67 ἔπι ACEGL Apoll. Soph. 82, 6. Cram. An. Par. III, 301, 22. ἐπὶ Cram. Ep. 192, 19. ἐπι DH. πολλὰ πάθον L. ἔλπετο δὲ θυμ^{ω}ὸc L. — 68 νηῶν τὲ A. εἶλαρ CH. — 70 omitt. A in textu C 1. man. DL Vrat. b: habent A in marg. C in marg. man. rec. GS. νωνύμους CH. νωνύ^{ν}μους G. ἀπάργεος A. — 71 μὲν omitt. E. ὅτε ACDEGHL 1. man. S: ὅτι L ex corr. Et. Gud. 236, 26. Cram. An. Ox. II, 375, 10. ἐπάμυνεν D. — 72 ὅτι: ὅτε L. θεοῖςι ACDGH.

A. c. 58 γνοίης: ἀριςτοφάνης χωρὶς τοῦ ς̄ γνοίη Didymus. — 60 ἐπιμὶξ Aristarchus ὀξυτόνως. — 67 διήλλατον αἱ Ἀριςτάρχου οἷς ἔπι καὶ ᾗ ἔπι Didymus. — 71 οὕτως αἱ Ἀριςτάρχου ὅτε διὰ τοῦ ε̄ Didymus.

κυδάνει, ἡμέτερον δὲ μένος καὶ χεῖρας ἔδηςεν.
ἀλλ᾽ ἄγεθ᾽, ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες.
νῆες ὅςαι πρῶται εἰρύαται ἄγχι θαλάςςης,
ἕλκωμεν, πάςας δὲ ἐρύςςομεν εἰς ἅλα δῖαν,
ὕψι δ᾽ ἐπ᾽ εὐνάων ὁρμίςςομεν, εἰς ὅ κεν ἔλθῃ
νὺξ ἀβρότη, ἣν καὶ τῇ ἀπόςχωνται πολέμοιο
Τρῶες· ἔπειτα δέ κεν ἐρυςαίμεθα νῆας ἁπάςας.
οὐ γάρ τις νέμεςις φυγέειν κακὸν οὐδ᾽ ἀνὰ νύκτα.
βέλτερον, ὃς φεύγων προφύγῃ κακὸν ἠὲ ἁλώῃ.
τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προςέφη πολύμητις Ὀδυςςεύς·
Ἀτρείδη, ποῖόν ςε ἔπος φύγεν ἕρκος ὀδόντων.
οὐλόμεν᾽, αἴθ᾽ ὤφελλες ἀεικελίου ςτρατοῦ ἄλλου
ςημαίνειν, μὴ δ᾽ ἄμμιν ἀναςςέμεν, οἷςιν ἄρα Ζεὺς
ἐκ νεότητος ἔδωκε καὶ ἐς γῆρας τολυπεύειν
ἀργαλέους πολέμους, ὄφρα φθιόμεςθα ἕκαςτος.
οὕτω δὴ μέμονας Τρώων πόλιν εὐρυάγυιαν
καλλείψειν, ἧς εἵνεκ᾽ ὀιζύομεν κακὰ πολλά;
ςίγα, μή τίς τ᾽ ἄλλος Ἀχαιῶν τοῦτον ἀκούςῃ
μῦθον, ὃν οὔ κεν ἀνήρ γε διὰ ςτόμα πάμπαν ἄγοιτο,
ὅς τις ἐπίςταιτο ᾗςι φρεςὶν ἄρτια βάζειν
ςκηπτοῦχός τ᾽ εἴη, καί οἱ πειθοίατο λαοὶ
τοςςοῖδ᾽, ὅςςοιςιν ςὺ μετ᾽ Ἀργείοιςιν ἀνάςςεις·

V. L. 73 κυδα^{ν}ίει (sic) G ex corr. κϋδαίνει H Vrat. A. ἔδηςε D. — 74 ἐγὼ ACDEGHLS: ἐγὼν recentiores cum Wolfio et Ernestio. — 75 νῆες: νῆας DEGHLS Eust. 965, 34: νῆες A Schol. Ξ 31. νῆ^{α}ες C (α man. rec. supr.). — 76 πάςας δ᾽ H. ἐρύςομεν C Flor. — 77 ὁρμίςομεν Barocc. Lips. Eust. 968, 34 et 43. Schol. Apoll. Rhod. II, 1282. ὁρμήςομεν G Flor. Et. Mg. 393, 57. εἰς ὅ κεν Et. Mg. 4, 32: libri εἰςόκεν. ἔλθοι CL. — 78 ἀβροτάτη D. — 79 τρῷες L. — 80 ἀνα A. κακὸν οὐδ᾽ ὑπαλύξαι Max. Tyr. Diss. XLI, 3. — 81 προφύγοι L. ἤ περ ἀλῴῃ ἢ καὶ ἄλλως ἠὲ ἀλῴῃ Eust. 967, 55. ἀλώηι A. ἀλώῃ DG. ἀλώιη C. ἀλῴη Eust. 968, 61 Lips. Vrat. A. Flor. — 82 ἅρ A. ἀρ D. — 84 ὄφελες D Lips. Vrat. A. ὤφελες E. ἄλλου ςτρατοῦ D. — 85 μὴ δ᾽ ACDGHL. μήδ᾽ E. ἄμμιν: ἡμῖν C. — 86 ἔδωκεν H. — 87 φθιόμεθα ἕκαςτοι Lips. — 88 τρώων L. — 90 μή τΐς τ᾽ C. τις ἄλλος EL edd. vett. μή τις ἔτ᾽ ἄλλος Vrat. A. b. d. — 91 δια AL. ἄ^{γ}ροιτο H. — 92 ἐπίςταιτο: ἐπίςταται E (bis) L Cant. Harl. pro var. lect. Townl. Vrat. b. A. Rom. conf. θ 240. ἐπίςτατο Lips. — 94 τοςςοῖδ᾽ AL. τοςςοὶ δ᾽ D. τόςςοιδ᾽ G. ὅςςοιςι D Lips. μεταργείοιςιν A.

A. c. 74 ἐγὼ conf. H. T. 232. — 89 αἱ Ζηνοδότου ἐκπέρςειν οὐ καλλείψειν Didymus.

νῦν δέ ϲευ ὠνοϲάμην πάγχυ φρένας, οἷον ἔειπεϲ·
ὃϲ κέλεαι πολέμοιο ϲυνεϲταότοϲ καὶ ἀυτῆϲ
νῆαϲ ἐυϲϲέλμουϲ ἅλα δ' ἑλκέμεν, ὄφρ' ἔτι μᾶλλον
Τρωϲὶ μὲν εὐκτὰ γένηται ἐπικρατέουϲί περ ἔμπηϲ,
ἡμῖν δ' αἰπὺϲ ὄλεθροϲ ἐπιῤῥέπῃ. οὐ γὰρ Ἀχαιοὶ
ϲχήϲουϲιν πόλεμον νηῶν ἅλα δ' ἑλκομενάων,
ἀλλ' ἀποπαπτανέουϲιν, ἐρωήϲουϲι δὲ χάρμηϲ.
ἔνθά κε ϲὴ βουλὴ δηλήϲεται ὄρχαμε λαῶν.
τὸν δ' ἠμείβετ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
ὦ Ὀδυϲεῦ, μάλα πώϲ με καθίκεο θυμὸν ἐνιπῇ
ἀργαλέῃ· ἀτὰρ οὐ μὲν ἐγὼν ἀέκονταϲ ἄνωγα
νῆαϲ ἐυϲϲέλμουϲ ἅλα δ' ἑλκέμεν υἷαϲ Ἀχαιῶν.
νῦν δ' εἴη ὃϲ τῆϲδέ γ' ἀμείνονα μῆτιν ἐνίϲποι,
ἢ νέοϲ ἠὲ παλαιόϲ· ἐμοὶ δέ κεν ἀϲμένῳ εἴη.
τοῖϲι δὲ καὶ μετέειπε βοὴν ἀγαθὸϲ Διομήδηϲ·
ἐγγὺϲ ἀνήρ, οὐ δηθὰ ματεύϲομεν, αἴ κ' ἐθέλητε
πείθεϲθαι, καὶ μή τι κότῳ ἀγάϲηϲθε ἕκαϲτοϲ,
οὕνεκα δὴ γενεῆφι νεώτατόϲ εἰμι μεθ' ὑμῖν·
πατρὸϲ δ' ἐξ ἀγαθοῦ καὶ ἐγὼ γένοϲ εὔχομαι εἶναι,
Τυδέοϲ, ὃν Θήβῃϲι χυτὴ κατὰ γαῖα καλύπτει.
Πορθεῖ γὰρ τρεῖϲ παῖδεϲ ἀμύμονεϲ ἐξεγένοντο,

V. L. 95 ϲεῦ: ϲε Eust. 969, 11. ὠνοϲϲάμην C. ἔειπαϲ L. — 97 ἑλκέμεν: ἕλκειν Plato Leg. IV, 706 D, conf. H. T. 32. — 98 τρωϲὶ L. γένοιτο C. ἐπεὶ κρατέουϲι S. ἐελδομένοιϲί περ Plato l. l. — 99 ἐπϊρρέποι C Barocc. ἐπιρρέπει Lips. — 100 ϲχήϲουϲι DE Lips. ϲχήϲουϲιν πολέμου Plato. ἅλα δι' ἑλκομενάων E. — 101 ἀποπτανέουϲιν ACDEG Cant. Harl. Lips. Vrat. b. A. Apoll. Soph. 40, 5. ἀπαπτανέουϲιν H. ἀποπαπτανέουϲιν L cum Hesychio. — 102 ἔνθά κε ACDGHL. ὄρχαμε ἀνδρῶν S. δηλήϲεται οἵ' ἀγορεύειϲ Plato. — 104 πῶϲ ADL. περ Lips. Flor. — 105 ἐγὼν: ἐγὼ C Lips. Ven. B. ἀέκοντά ϲ' L. — 106 εὐϲέλμουϲ D. — 107 ὃϲ: ὅϲτϊϲ C Lips. ὅϲτιϲ δή γ' vel δέ γ' S. ὃϲ τῆϲ δε τ' Cant. ἐνίϲπῃ E Schol. Apoll. Rhod. I, 665. — 108 ἠέ νέοϲ H. γρ. ἄϲμενοϲ Lips. — 110 αἴ κε θέλητε CDS Townl. — 111 πείθεϲθαι: ἐξείπω Apoll. Soph. 4, 33. κότῳ ἢ χόλῳ Eust. 970, 40. χόλῳ 971, 16. — 112 γενέῃφι CEG Et. Mg. 225, 35. Rhet. Gr. III, 95, 26. Pseudopl. 153, 14. νεώτεροϲ EL Rom. νεώτατοϲ εἰμὶ AD, εἰμὶ etiam L. ὕμιν D. — 113 ἐξαγαθοῦ A. — 114 κατα CDH. καλύπτει AC Harl. Lips. Ven. B Rom. Pausanias IX, 18, 2: κάλυψε DEGHL (ψεν) S Flor. γρ. κάλυψε A.

A. c. 95 ἀθετεῖται, καὶ Ἀριϲτοφάνηϲ προηθέτει. asteriscus, ὀρθῶϲ P 173. ϲεῦ: ϲε Zenodotus. — 112 οὕτω νεώτατοϲ ὑπερθετικῶϲ ὡμολόγουν ἅπαϲαι Didymus. — 114 Ζηνόδοτοϲ ἠθέτει, παρὰ Ἀριϲτοφάνει δὲ οὐκ ἦν Didymus. τὸ δὲ κάλυψεν Ἰακῶϲ (cod. ἰωνικῶϲ) Didymus? — 115 Πορθεῖ, conf. Πηλεῖ Ω 61. Ἀχιλλεῖ Ψ 792. Ὀδυϲεῖ ε 398. ν 35.

ᾤκεον δ' ἐν Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι,
Ἄγριοϲ ἠδὲ Μέλαϲ, τρίτατοϲ δ' ἦν ἱππότα Οἰνεύϲ,
πατρὸϲ ἐμοῖο πατήρ· ἀρετῇ δ' ἦν ἔξοχοϲ αὐτῶν.
ἀλλ' ὃ μὲν αὐτόθι μεῖνε, πατὴρ δ' ἐμὸϲ Ἄργεϊ νάϲθη
πλαγχθείϲ· ὣϲ γάρ που Ζεὺϲ ἤθελε καὶ θεοὶ ἄλλοι.
Ἀδρήϲτοιο δ' ἔγημε θυγατρῶν, ναῖε δὲ δῶμα
ἀφνειὸν βιότοιο, ἅλιϲ δέ οἱ ἦϲαν ἄρουραι
πυροφόροι, πολλοὶ δὲ φυτῶν ἔϲαν ὄρχατοι ἀμφίϲ,
πολλὰ δέ οἱ πρόβατ' ἔϲκε· κέκαϲτο δὲ πάνταϲ Ἀχαιοὺϲ
ἐγχείῃ· τὰ δὲ μέλλετ' ἀκουέμεν, εἰ ἐτεόν περ.
τῷ οὐκ ἄν με γένοϲ γε κακὸν καὶ ἀνάλκιδα φάντεϲ
μῦθον ἀτιμήϲαιτε πεφαϲμένον, ὅν κ' ἐὺ εἴπω.
δεῦτ' ἴομεν πόλεμον δέ, καὶ οὐτάμενοί περ, ἀνάγκῃ·
ἔνθα δ' ἔπειτ' αὐτοὶ μὲν ἐχώμεθα δηιοτῆτοϲ
ἐκ βελέων, μή πού τιϲ ἐφ' ἕλκεϊ ἕλκοϲ ἄρηται·
ἄλλουϲ δ' ὀτρύνοντεϲ ἐνήϲομεν, οἳ τὸ πάροϲ περ
θυμῷ ἦρα φέροντεϲ ἀφεϲτᾶϲ' οὐδὲ μάχονται.
ὣϲ ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο·
βὰν δ' ἴμεν, ἦρχε δ' ἄρα ϲφιν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
οὐδ' ἀλαὸϲ ϲκοπιὴν εἶχε κλυτὸϲ ἐννοϲίγαιοϲ,

V. L. 116 ᾤκεον: Cram. An. Ox. III, 260, 16 Ὅμηροϲ μόνοϲ ἐφυλάξατο δίφθογγον εἰπὼν „οἴκεον ἐν Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι". εἶπε δὲ Ἰακῶϲ οὐκ Ἀττικῶϲ (ex Herodiano). — 117 ante 116 collocat Strabo X, 463. δ' omitt. Apoll. Soph. 6, 18. — 118 ἐμοῖο ACDE 971, 23 GH Harl. Vrat. d. Bekk. An. 916, 27: ἐμεῖο E 970, 50 L Apoll. Dysc. de Pron. 137 C. de Synt. 164, 7. ἔξοχοϲ ἄλλων H Barocc. Mor. Vrat. d. αὐτῶν: γρ. καὶ αὐτοῦ A. — 119 ὃ μὲν C. μεῖνε: μίμνε Townl. Schol. Ξ 117. ἐν ἄλλῳ μίμνε A. — 122 ἀφνειὸϲ H Vrat. d. — 123 πῦρροφόροι C. ἔϲαν: ἦϲαν CDG. — 125 ὡϲ ἐτεόν περ ACDEGHLS. ὡϲ ἐτεόν γε Vrat. d. — 126 τῶ AL: τῷ CDGH Schol. Λ 786. γε om. G. — 127 ἀτιμήϲητε Flor. ὅν κεν εὖ EG Flor. Rom. — 128 πόλεμον δὲ AD. — 130 μή που τιϲ ACDGHL. — 131 ὀτρυνέοντεϲ G: ceteri ὀτρύνοντεϲ. τοπάροϲ HL. — 133 ὡϲ A. οἵδ' GHL. οἱ δέ γε τοῦ C. τοῦ μῦθον κλύον Lips. ἠδὲ πίθοντο EL: ceteri ἠδ' ἐπίθοντο, D ἠδ'. — 134 βάν ῥ' D Barocc. Mor. ἀρά ϲφιν Schol. Ζ 367. Bekk. An. 1154. ἀρά ϲφιν G. vulgo ἄρα ϲφιν. — 135 ἀλαοϲϲκοπιὴν A. ἀλεοϲκοπιὴν G. vulgo ἀλαοϲκοπιήν, ita etiam A in margine. εἶχεν DG. ἀργυρότοξοϲ ἀπόλλων D 1. man. et in marg. man. rec. κρείων ἐνοϲίχθων.

A. c. 118 ἐμοῖο: οὕτωϲ ἀρίϲταρχοϲ. Ζηνόδοτοϲ δὲ ἐμεῖο οὐκ ὀρθῶϲ Didymus, cf. H. T. 251. — 125 ἀρίϲταρχοϲ εἰ ἐτεόν περ. αἱ δὲ δημώδειϲ ὡϲ ἐτεόν περ Didymus. — 135 ἀλαὸϲ ϲκοπιὴν: ὅτι Ζηνόδοτοϲ γράφει οὐδ' ἀλαὸν ϲκοπίήν (sic) Aristonicus.

ἀλλὰ μετ' αὐτοὺς ἦλθε παλαιῷ φωτὶ ἐοικώς,
δεξιτερὴν δ' ἕλε χεῖρ' Ἀγαμέμνονος Ἀτρεΐδαο,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἀτρείδη, νῦν δή που Ἀχιλλῆος ὀλοὸν κῆρ
γηθεῖ ἐνὶ στήθεσσι, φόνον καὶ φύζαν Ἀχαιῶν
δερκομένῳ, ἐπεὶ οὔ οἱ ἔνι φρένες οὐδ' ἠβαιαί.
ἀλλ' ὃ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ ἑ σιφλώσειε·
σοὶ δ' οὔ πω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουσιν,
ἀλλ' ἔτι που Τρώων ἡγήτορες ἠδὲ μέδοντες
εὐρὺ κονίσουσιν πεδίον, σὺ δ' ἐπόψεαι αὐτὸς
φεύγοντας προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.
ὣς εἰπὼν μέγ' ἄυσεν ἐπεσσύμενος πεδίοιο.
ὅσσόν τ' ἐννεάχιλοι ἐπίαχον ἢ δεκάχιλοι
ἀνέρες ἐν πολέμῳ ἔριδα ξυνάγοντες ἄρηος,
τόσσην ἐκ στήθεσφιν ὄπα κρείων ἐνοσίχθων
ἧκεν· Ἀχαιοῖσιν δὲ μέγα σθένος ἔμβαλ' ἑκάστῳ
καρδίῃ, ἄλληκτον πολεμίζειν ἠδὲ μάχεσθαι.
Ἥρη δ' εἰσεῖδε χρυσόθρονος ὀφθαλμοῖσι
στᾶσ' ἐξ Οὐλύμποιο ἀπὸ ῥίου· αὐτίκα δ' ἔγνω
τὸν μὲν ποιπνύοντα μάχην ἀνὰ κυδιάνειραν,
αὐτοκασίγνητον καὶ δαέρα, χαῖρε δὲ θυμῷ·

V. l. 136 μετ A. — 137 χεῖρα H Lips. Flor. Rom. χεῖρἀ C. — 138 προσηΰδα D. — 139 ἀχιλῆος CD. ἀχιλέως Lips. — 140 ἐνὶ A. — 141 δερκομένῳ ACDHLS Eust. 1073, 57. Schol. Π 516: δερκομένου EG Flor. Rom. οὔ οἱ: οὔ τι Cram. Ep. 363, 13. — 142 ὃ μὲν C. ὡς AGH. σιφλώσειε ACDGHL. — 144 τρώων L. — 145 κονίσσουσιν ADEGHL. κονίσσουσι C Lips. κονίσουσι Et. Mg. 528, 46. Zonar. Lex. 1246. Cram. An. Par. IV, 75, 31. κονίσουσιν solus A. αὐτὸς ACD Lips: αὐτοὺς EG HLS Lips. suprascr. ἐν ἄλλῳ σὺ δ' ἐπόψεαι αὐτούς A. — 146 πρὸ τὶ H. ποτὶ Rom. — 147 hunc bis deinceps habet Venetus A. ὡς A. ἄϋσσεν D. — 148 ὅσσόν τ' AH. ὅσσον τ' CGL Schol. Ε 744. ὅσον τ' E. ὅσσον δ' D. ἐννεάχιλοι A. δεκάχιλοι A. — 150 στήθεσσιν Barocc. Mor. — 151 ἀχαιοῖσϊ C Lips. — 152 κραδίηι CD Lips. ἄληκτον CDE Lips. Townl. Vrat. A. cum aliis. — 153 ὀφθαλμοῖσι ACGH. — 154 ἀπὸῤῥίου DS. ἀποῤῥίου Townl. Vrat. A. — 155 ἀνα AD.

A. c. 136 ὅτι Ζηνόδοτος ὑποτάσσει „ἀντιθέῳ Φοίνικι ὀπάονι Πηλείωνος“ Aristonicus. — 142 περισσὸς ὁ στίχος καὶ ἡ λέξις νεωτέρων Schol. V. — 148 ὅσσόν τ': ἡ ἀριστοφάνους διὰ του δε ὅσσον δ' ἐννεάχιλοι ἐπίαχον Didymus. ἐννεάχειλοι et δεκάχειλοι Aristarchus, conf. Schol. Ε 860. — 152 ἄληκτον, conf. H. U. 52.

Ζῆνα δ' ἐπ' ἀκροτάτης κορυφῆς πολυπίδακος Ἴδης
ἥμενον εἰσεῖδε, στυγερὸς δέ οἱ ἔπλετο θυμῷ.
μερμήριξε δ' ἔπειτα βοῶπις πότνια Ἥρη,
ὅππως ἐξαπάφοιτο Διὸς νόον αἰγιόχοιο.
ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή,
ἐλθεῖν εἰς Ἴδην εὖ ἐντύνασαν ἓ αὐτήν,
εἴ πως ἱμείραιτο παραδραθέειν φιλότητι
ᾗ χροιῇ, τῷ δ' ὕπνον ἀπήμονά τε λιαρόν τε
χεύῃ ἐπὶ βλεφάροισιν ἰδὲ φρεσὶ πευκαλίμῃσι.
βῆ δ' ἴμεν ἐς θάλαμον, τόν οἱ φίλος υἱὸς ἔτευξεν,
Ἥφαιστος, πυκινὰς δὲ θύρας σταθμοῖσιν ἐπῆρσε
κληῖδι κρυπτῇ, τὴν δ' οὐ θεὸς ἄλλος ἀνῷγεν.
ἔνθ' ἥ γ' εἰσελθοῦσα θύρας ἐπέθηκε φαεινάς.
ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ἱμερόεντος
λύματα πάντα κάθηρεν, ἀλείψατο δὲ λίπ' ἐλαίῳ,
ἀμβροσίῳ ἑδανῷ, τό ῥά οἱ τεθυωμένον ἦεν·

V. l. 157 πολυπιδάκου H. Mor. Vrat. d. hunc et sequentem omitt. Syr. — 160 ὅπως D. ΟΠΩC Syr. (π 2. man.). — 161 ἦδε A. κατα A. — 162 εὖ, ἐντύνασαν A. ἐντύνασάν ἑ αὐτὴν Apoll. de Pron. 102, C. ἑαυτὴν ACDEGHLS. ἙΑΥΤΗΝ Syr. conf. Ρ 551. ρ 387. θ 396. — 163 εἴ πως libri mei et Cram. Ep. 192, 21. An. Par. III, 301, 24. ἥ πως Apoll. Soph. 82, 8. ἐν ἄλλῳ ὅπως A (?). ἡμείραιτο G. ἱμείροιτο H. — 165 χεύει L (an χεύει'). χεῦεν S. ἐπι AD. πευκαλίμῃσι ACDG Syr. — 166 βῆ G. ΒΗΡ' ΙΜΕΝ Syr. εἰς C. — 167 ἐπῆρσε ACDGHL Syr. — 168 κληῖδι AD. τὴν δ' ACDE 974, 38 GHL Cant. Harl. Towml. Vrat. A. edd. vett. Schol. Δ 3. Cram. Epim. 27, 31. 52, 5. τὴν οὐ S. ἣν οὐ Eust. 974, 34 et 37. τὸν δ' οὐ Zonar. Lex. 224. Et. Mg. 105, 15. Cram. Ep. 330, 1. τὰ πλείω τῶν ἀντιγράφων τὸν δ' οὐ θεὸς ἄλλος γράφουσιν Eust. 974, 39. ἀνῷγεν: ἀνοῖγεν L. ἄνωγεν Cram. Ep. 27, 31. Et. Mg. 105, 15. ἄνωγε Cram. Ep. 52, 5. ἀνῷγε 330, 1. — 169 ἤγ' A. θύρας: γρ. καὶ πύλας Schol. V. — 170 πρῶτα S. ἀπο A. χροὸς ἀθανάτοιο Plutarchus Quaest. Conviv. VI, 9, 7, 2. — 171 λύματα: ῥύμματα Schol. Arist. Ach. 17 diserte. κάθηιρεν AC. κάθηραν Et. Gud. 376, 26. κάθηραν Et. Mg. 568, 53. πάντ' ἐκάθηρεν Lips. ἀλείψατο δὲ χρόα λευκόν Athenaeus XV, 688. — 172 ἑδανῷ: ἐδανῷ Apoll. Soph. 62, 21. ἑανῷ Athenaeus l. l. Schol. Ξ 346. τό ῥα οἱ DG. θυόμενον Apoll. Soph. l. l. ἦεν: εἶεν L.

A. c. 157 ἀρίσταρχος πολυπίδακος, ἄλλοι δὲ πολυπιδάκου Didymus. H. T. 343. — 162 ἓ αὐτήν: ὅτι Ζηνόδοτος γράφει ἑωυτήν Aristonicus. — 168 τριχῶς ἡ γραφή ἐστι, τὴν δέ τὴν κλεῖν, τὸν δέ τὸν θάλαμον, τὰς δὲ τὰς θύρας Schol. BLV. ἀνῷγεν: προπερισπαστέον. πρόσκειται δὲ τῷ ω̅ τὸ ι̅ Schol. A. — 169 ὅτι Ζηνόδοτος γράφει θύρας ἐπιθεῖσα φαεινάς Aristonicus.

τοῦ καὶ κινυμένοιο Διὸc κατὰ χαλκοβατὲc δῶ
ἔμπηc ἐc γαῖάν τε καὶ οὐρανὸν ἵκετ᾽ ἀυτμή.
τῷ ῥ᾽ ἥ γε χρόα καλὸν ἀλειψαμένη, ἰδὲ χαίταc
πεξαμένη, χερcὶ πλοκάμουc ἔπλεξε φαεινούc,
καλοὺc ἀμβροcίουc, ἐκ κράατοc ἀθανάτοιο.
ἀμφὶ δ᾽ ἄρ᾽ ἀμβρόcιον ἑανὸν ἕcαθ᾽, ὅν οἱ Ἀθήνη
ἔξυc᾽ ἀcκήcαcα, τίθει δ᾽ ἐνὶ δαίδαλα πολλά·
χρυcείηc δ᾽ ἐνετῇcι κατὰ cτῆθοc περονᾶτο.
ζώcατο δὲ ζώνην ἑκατὸν θυcάνοιc ἀραρυῖαν,
ἐν δ᾽ ἄρα ἕρματα ἧκεν ἐυτρήτοιcι λοβοῖcι,
τρίγληνα μορόεντα· χάριc δ᾽ ἀπελάμπετο πολλή.
κρηδέμνῳ δ᾽ ἐφύπερθε καλύψατο δῖα θεάων
καλῷ νηγατέῳ· λευκὸν δ᾽ ἦν ἠέλιοc ὥc·
ποccὶ δ᾽ ὑπὸ λιπαροῖcιν ἐδήcατο καλὰ πέδιλα.
αὐτὰρ ἐπεὶ δὴ πάντα περὶ χροῒ θήκατο κόcμον,
βῆ ῥ᾽ ἴμεν ἐκ θαλάμοιο, καλεccαμένη δ᾽ Ἀφροδίτην
τῶν ἄλλων ἀπάνευθε θεῶν πρὸc μῦθον ἔειπεν·
ἦ ῥά νύ μοί τι πίθοιο φίλον τέκοc, ὅττί κεν εἴπω,
ἦέ κεν ἀρνήcαιο, κοτεccαμένη τό γε θυμῷ,
οὕνεκ᾽ ἐγὼ Δαναοῖcι, cὺ δὲ Τρώεccιν ἀρήγειc;
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα Διὸc θυγάτηρ Ἀφροδίτη·

V. l. 173 τοῦ: οὗ Athenaeus I, 17. κινημένοιο Apoll. Soph. 67, 25. κατὰ L: ποτὶ ACDEGH S Syr. Athenaeus I, 17. IX, 406. XV, 688. Apoll. Soph. 67, 25. — 174 ἐc: εἰc Athenaeus I, 17. Schol. ε 205. — 176 πλεξαμένη Lips. ἔπλεξε: ἔπεξε S. — 178 ἀμφι D. ἀρ᾽ A. ἀρ D. ἂρ EGH. ἑανὸν H. ἔccαθ᾽ HL. — 179 ἐνι AH. ἔνι L. δαίδαλα πάντα DL Barocc. Mor. — 180 ἐν ἐτῆιcι (sic) A. ἐν ἐτῆcι Lips. ἐνετῆcϊν H. ἐνεηι τοῖcϊ C. κατα AH. — 182 ζώνην ACDEGHS Syr. Apoll. Soph. 81, 14. Et. Mg. 414, 16: ζώνη L. ἀραρυίη L. ἀραρυῖαν A. — 182 ЄΝΔЄΟΙЄΡΜΑΤΑ Syr. ἕρματα Et. Mg. 375, 46. ἐϋτρήτοιc λωβοῖcιν L. λοβοῖcι ACDEGH Et. Mg. 375, 46. 569. 11. Apoll. Soph. 76, 30. Cram. An. Ox. II, 387, 10. λωβοῖcιν Schol. A 486 ΛΟΒΟΙCΙΝ Syr. — 185 λευκὸν libri mei cum Schol. α 332. ἐν ἄλλῳ λαμπρὸν δ᾽ ἦν A. ὡc A. — 186 ὕπο A. ὑπαὶ EGL. ἐδήcετο Vrat. d. πέδιλλα L. — 187 libri ἐπειδὴ. περι A. — 188 βῆ δ᾽ ἴμεν H. — 189 προc AH. μετὰ μῦθον Mor. ἔειπε D. — 190 ἤ ῥα νύ μοι τί D. νϋ H. — 191 τόγε: τῶγε L. — 192 τρῴεccιν L.

A. c. 173 ἀρίcταρχοc καταχαλκοβατὲc Didymus. — 177 ζηνόδοτοc καὶ ἀριcτοφάνηc καλοὺc καὶ μεγάλουc Didymus. — 181 ἀρίcταρχοc ζώνηι, ἄλλοι δὲ ζώνην καὶ ἀραρυῖαν Didymus, conf. Є 857. Ψ 130. Κ 77. c 67. — 183 τρίγληνα μορόεντα Ptolem. Ascalonita cum Aristarcho: alii τρίγλην᾽ ἀμορόεντα.

Ἥρη, πρέcβα θεά, θύγατερ μεγάλοιο Κρόνοιο,
αὔδα ὅ τι φρονέειc· τελέcαι δέ με θυμὸc ἄνωγεν,
εἰ δύναμαι τελέcαι γε καὶ εἰ τετελεcμένον ἐcτί.
τὴν δὲ δολοφρονέουcα προcηύδα πότνια Ἥρη·
δὸc νῦν μοι φιλότητα καὶ ἵμερον, ᾧ τε cὺ πάνταc
δαμνᾷ ἀθανάτουc ἠδὲ θνητοὺc ἀνθρώπουc.
εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίηc,
Ὠκεανόν τε, θεῶν γένεcιν, καὶ μητέρα Τηθύν,
οἵ με cφοῖcι δόμοιcιν ἐὺ τρέφον ἠδ᾽ ἀτίταλλον,
δεξάμενοι Ῥείηc, ὅτε τε Κρόνον εὐρύοπα Ζεὺc
γαίηc νέρθε καθεῖcε καὶ ἀτρυγέτοιο θαλάccηc.
τοὺc εἶμ᾽ ὀψομένη, καί cφ᾽ ἄκριτα νείκεα λύcω·
ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
εὐνῆc καὶ φιλότητοc, ἐπεὶ χόλοc ἔμπεcε θυμῷ.
εἰ κείνω γ᾽ ἐπέεccι παραιπεπιθοῦcα φίλον κῆρ
εἰc εὐνὴν ἀνέcαιμι ὁμωθῆναι φιλότητι,
αἰεί κέ cφι φίλη τε καὶ αἰδοίη καλεοίμην.
τὴν δ᾽ αὖτε προcέειπε φιλομμειδὴc Ἀφροδίτη·
οὐκ ἔcτ᾽ οὐδὲ ἔοικε τεὸν ἔποc ἀρνήcαcθαι·
Ζηνὸc γὰρ τοῦ ἀρίcτου ἐν ἀγκοίνῃcιν ἰαύειc.
ἦ, καὶ ἀπὸ cτήθεcφιν ἐλύcατο κεcτὸν ἱμάντα
ποικίλον, ἔνθά τέ οἱ θελκτήρια πάντα τέτυκτο·

V. l. 195 αὖδα D. ὅ, τι G. τελέccαι H. ἄνώγει (ἐν superscr.) L. ἐν ἄλλῳ ἀνώγει A. — 196 τελέccαι H. ἐcτί CDGH Syr. Plutarchus de Adulat. et amico 22. ἐcτίν AEL. — 197 προcηῦδα D. — 198 δόc μοι νῦν CD Lips. ἐν ἄλλῳ δόc μοι νῦν A (?). νῦν δόc μοι E. ἥμερον G. — 199 δαμνᾶc D. δαμᾶ S. — 201 ὠκεανόνγε H. — 202 οἵ με cφοῖcι ACD Lips. 1. man. Vrat. A. οἵ μ᾽ ἐν cφοῖcι A in marg. EGHLS Syr. ἐΰτρεφον ACDEGL. εὔτρεφον H. ἀτήταλλον H. — 203 ὅτε περ S. — 205 εἶμ᾽: ΙΜ᾽ (ε superscr.) Syr. (ε 2. man.). cφ᾽: cφιν E. — 208 κείνω: κείνων LS Vrat. A. κείνουc omisso γ᾽ E. παραὶ πεπιθοῦcα AH. παραὶ πεπῖθουcα C. — 209 ἀνἔcαιμι A. ὠνέcαιμϊ G. ΟΜΩΟΙΘΗΝΑΙ Syr. ὁμοιωθῆναι Apoll. Soph. 32, 13. φιλότητα Lips. — 211 φιλομειδὴc CG Lips. Vrat. A. edd. vett. — 212 γ᾽ ἔποc D, γ᾽ man. rec. add. — 214 ἀπο A. — 215 ἔνθα δέ οἱ CDEGH LS. ЄΝΘΑΔЄ Syr. τέτυκται Lips. Schol. Ο 322.

A. c. 199 δαμνᾷ: δάμνᾳ Aristarchus apud Schol. V. — 202 οἵ με cφοῖcι: οὕτωc ἀρίcταρχοc, ἄλλοι δὲ οἵ μ᾽ ἐν (cod. με) cφοῖcι Didymus, conf. H. T. 126. perperam Schol. V cὺν τῇ ἐν αἱ Ἀριcτάρχου. — 203 Ῥείηc: διὰ τοῦ ᾱ ῥείαc αἱ ἀριcτάρχου. οὕτω καὶ ἀριcτοφάνηc Didymus. — 205—207 asterisci; οὐ καλῶc 304—306. — 208 κείνω: κείνουc Zenodotus et Aristophanes. — 213 ἀθετεῖται. προηθέτει καὶ Ἀριcτοφάνηc. — 215 ἔνθα τέ οἱ G. Hermannus ad Hymn. in Ven. 59. sed conf. ad Ν 21.

ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριςτὺς
πάρφαςις, ἥ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων.
τόν ῥά οἱ ἔμβαλε χερςὶν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
τῆ νῦν, τοῦτον ἱμάντα τεῷ ἐγκάτθεο κόλπῳ
ποικίλον, ᾧ ἔνι πάντα τετεύχαται· οὐδέ cέ φημι
ἄπρηκτόν γε νέεςθαι, ὅτι φρεςὶ cῇcι μενοινᾷc.
ὣc φάτο, μείδηςεν δὲ βοῶπις πότνια Ἥρη,
μειδήςαςα δ' ἔπειτα ἑῷ ἐγκάτθετο κόλπῳ.
ἡ μὲν ἔβη πρὸς δῶμα Διὸς θυγάτηρ Ἀφροδίτη,
Ἥρη δ' ἀΐξαςα λίπεν ῥίον Οὐλύμποιο,
Πιερίην δ' ἐπιβᾶςα καὶ Ἠμαθίην ἐρατεινὴν
ςεύατ' ἐφ' ἱπποπόλων Θρηκῶν ὄρεα νιφόεντα,
ἀκροτάτας κορυφάς· οὐδὲ χθόνα μάρπτε ποδοῖιν·
ἐξ Ἀθόω δ' ἐπὶ πόντον ἐβήςετο κυμαίνοντα,
Λῆμνον δ' εἰςαφίκανε, πόλιν θείοιο Θόαντος.
ἔνθ' ὕπνῳ ξύμβλητο, καςιγνήτῳ θανάτοιο,
ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζέν·
ὕπνε, ἄναξ πάντων τε θεῶν πάντων τ' ἀνθρώπων,

V. l. 216 om. Lips. ἔνι δ' ἵμερος Boisson. Anecd. IV, 450. ἐ δ' ὀαριςτὺς S. — 217 φρονέοντος L. φρονέοντα Et. Mg. 546, 53. φρονέοντος Aristot. Eth. Nicom. VII, 7. — 218 ἔβαλε S. ὀνόμαζε ACDEGHL Syr. — 219 τῇ DG Suidas II, 2, 1098, 2. τεῷ δ' G. τεῷ δὲ E. ἐνικάτθεο L. — 220 ἐνὶ D. οὐδέ cε φημὶ ACDEGHL. — 221 γε, νέεςθαι A. γενέςθαι GS Apoll. Soph. 41, 3. φρεςὶν ἧιcι D. — 222 ὡc A. μείδηςεν: γήθηςε Lips. Harl. conf. Eust. 977, 59 Ἥρα ἐγήθηςε. — 223 ἑῷ: μέςωι A. μέςῳ ἢ ἑῷ E. ἐγκάτεθετο (sic) D. ἐνικάτθετο L. — 225 λίπε DE Lips. λεῖπεν C. — 227 ςεύατ': ἐν ἄλλῳ ἔςςυτ' ἐφ' ἱπποπόλων A. τινὲς ἱππονόμων Schol. V. γράφεται ἱπποκόμων Lips. νιφόεντα: ςκιόεντα LS. — 228 omittit Strabo I, 25. μάρπε HS. — 229 Ἄθωο Eust. 479, 5. ἀθόωι DH (ω) Syr. πόντῳ Schol. Γ 122. ἐβήςετο ACHL Lips. Harl. Vrat. b. d. Et. Mg. 347, 9: ἐβήςατο DEGS Syr ἐδύςατο Eust. 479, 5. 1830, 62. — 230 εἰς ἀφίκανε A. θείοιο ἄνακτος D 1. man. L. πόλιν θόαντος ἄνακτος Barocc. — 232 ἄρά οἱ GL. οἳ D. ὀνόμαζε D. — 233 τε omitt. D.

A. c. 216 ἐν δ': ἔν τιςι τῶν ὑπομνημάτων ἡ δ' ὀαριςτύς (Cod. ὁ ἀρυςτύς) Didymus. — 219 τῆ: τινὲς δὲ καὶ ςὺν τῷ ι γράφουςιν (τῇ), οὐχ ὑγιῶς Apoll. Soph. 152, 3. — 221 γε νέεςθαι Aristarchus: Demetrius γενέεςθαι ἀντὶ τοῦ γενήςεςθαι. — 223 ἀρίςταρχος μέςῳ, ἄλλοι δὲ ἑῷ Didymus. ἑῷ: οὕτως Ἀρίςταρχος. Ζηνόδοτος δὲ μέςῳ Schol. V. — 229 ἐπὶ: Ζηνόδοτος καὶ ἀριςτοφάνης ἐς πόντον ἐβήςετο καὶ μήποτε ἄμεινον Didymus.

ἠμὲν δή ποτ' ἐμὸν ἔπος ἔκλυες, ἠδ' ἔτι καὶ νῦν
πείθευ· ἐγὼ δέ κέ τοι ἰδέω χάριν ἤματα πάντα.
κοίμηςόν μοι Ζηνὸς ὑπ' ὀφρύςιν ὄςςε φαεινώ,
αὐτίκ' ἐπεί κεν ἐγὼ παραλέξομαι ἐν φιλότητι.
δῶρα δέ τοι δώςω καλὸν θρόνον, ἄφθιτον αἰεί,
χρύςεον· Ἥφαιςτος δέ κ' ἐμὸς πάις ἀμφιγυήεις
τεύξει ἀςκήςας, ὑπὸ δὲ θρῆνυν ποςὶν ἥςει,
τῷ κεν ἐπιςχοίης λιπαροὺς πόδας εἰλαπινάζων.
τὴν δ' ἀπαμειβόμενος προςεφώνεε νήδυμος ὕπνος·
Ἥρη, πρέςβα θεά, θύγατερ μεγάλοιο Κρόνοιο,
ἄλλον μέν κεν ἐγώ γε θεῶν αἰειγενετάων
ῥεῖα κατευνήςαιμι, καὶ ἂν ποταμοῖο ῥέεθρα
Ὠκεανοῦ, ὅς περ γένεςις πάντεςςι τέτυκται·
Ζηνὸς δ' οὐκ ἂν ἐγώ γε Κρονίονος ἆςςον ἱκοίμην,
οὐδὲ κατευνήςαιμ', ὅτε μὴ αὐτός γε κελεύοι.
ἤδη γάρ με καὶ ἄλλο τεὴ ἐπίνυςςεν ἐφετμή,

V. l. 234 ἠμὲν δή ADGH. εἰ μὲν LS Lips. et γρ. καὶ ἤ. ἢ μὲν E Mor. Townl. Vrat. A. b. d. ἤμεν C. conf. A 453. Π 236. γρ. καὶ εἰ μὲν δή ποτε, ὃ καὶ κρεῖττον Eust. 981, 30. ἐμεῦ ἔπος editores ante Wolfium: ἐμὸν libri mei cum Harl. Cant. Lips. Townl. Vrat. b. d. A. Flor. — 235 πείθεο ES. πεῖθε D. δέ κε τοι A. δὲ καί τοι D. ἰδέω χάριν ACDHS Syr. Ven. B. Harl. Mor. Vrat. A. d. Et. Mg. 806, 56. εἰδέω χάριν EG. χάριν εἰδέω L. ἤματα D. — 236 κοίμηςόν H. κοίμιςςον L Harl. κοίμιςον C Lips. Vrat. A. — 237 παραπλέξομαι G ex corr. παραλήξωμαι φιλότητι E. — 239 ἐμὸς: ἐμοι S. πάϊc ACDEGHLS. — 240 ΤΕΥΧΕΙ Syr. ὑπο H. — 241 ἐπίςχοῖες AC. ΕΠΙϹΧΟΙΑϹ Syr. — 243 θυγάτηρ L. — 244 ἔγωγε libri. — 246 post hunc apud Plutarchum de Facie in orbe lunae 24. laudatur versus ἀνδράςιν ἠδὲ θεοῖς, πλείςτην δ' ἐπὶ γαῖαν ἵηςιν, quem Crateti tribuit. — 247 κρονίωνος D. ἐγὼ Κρονίωνος Et. Mg. 540, 29. Cram. Epim. 230, 30. ἆςςον: ἄςςον AD Syr. — 248 ΚΑΤ' ΕΥΝΗϹΑΙΜ' Syr. κελεύει L. κελεύει E Barocc. Lips. αὐτός γε Κρονίων Apoll. Soph. 79, 8. — 249 ἄλλο, τεὴ ACH. ἄλλο τεὴ EG Cram Ep. 412, 24. Pseudopl. 105, 33. ἄλλοτε, ἡ L. ἄλλοτε cὴ Cant. Vrat. b. ἄλλο τεῇ . . . . . . ἐφετμῆι D. ΑΛΛΟΤΕΗΙ . . . . ΕΦΕΤΜΗΙ Syr. ἄλλοτε ᾗ . . . . ἐφετμῇ S Mor. Lips. Harl. Cram. Ep. 63, 18. Et. Orionis 26, 32. ἄλλοτε cῇ . . . ἐφετμῇ Vrat. A. ΕΠΕΝΥϹϹΕΝ Syr.

A. c. 235 ἀρίςταρχος χάριν εἰδέω, αἱ δὲ δημώδεις εἰδέω χάριν Didymus. — 236 Aristarchus cum Aristophane ὑπ': ἐπ' Zenodotus. — 241 οὕτως ἡρωδιανὸς ἐπίςχοιες Schol. A. idem Alexander Cotiaensis ἐν τῷ ι' τῶν παντοδαπῶν. τινὲς ἐπάγουςιν „αὐτὰρ ἐπὴν δὴ νῶϊ κατευνηθέντε ἴδηαι, ἀγγεῖλαι τάδε πάντα Ποςειδάωνι ἄνακτι“ Schol. V. — 242 προςεφώνεε νήδυμος, non προςεφώνεεν ἥδυμος, Aristarchus. — 249 οὕτω κατ' εὐθεῖαν ἄλλο, τεὴ καὶ ἀρίςταρχος καὶ ἡρωδιανὸς Schol. A. ita etiam Alexio. ἄλλοτε ᾗ . . . ἐφετμῇ Parmeniscus. ἄλλο τεῇ . . . ἐφετμῇ Zenodotus et Ptolemaeus ὁ ἐπιθέτης.

ἤματι τῷ, ὅτε κεῖνος ὑπέρθυμος Διὸς υἱὸς
ἔπλεεν Ἰλιόθεν, Τρώων πόλιν ἐξαλαπάξας.
ἤ τοι ἐγὼ μὲν ἔλεξα Διὸς νόον αἰγιόχοιο
νήδυμος ἀμφιχυθείς· cὺ δέ οἱ κακὰ μήcαο θυμῷ,
ὄρcαc' ἀργαλέων ἀνέμων ἐπὶ πόντον ἀήταc,
καί μιν ἔπειτα Κόων δ' εὖ ναιομένην ἀπένεικαc,
νόcφι φίλων πάντων. ὃ δ' ἐπεγρόμενοc χαλέπαινε,
ῥιπτάζων κατὰ δῶμα θεούc, ἐμὲ δ' ἔξοχα πάντων
ζήτει· καί κέ μ' ἄιcτον ἀπ' αἰθέροc ἔμβαλε πόντῳ,
εἰ μὴ νὺξ δμήτειρα θεῶν ἐcάωcε καὶ ἀνδρῶν·
τὴν ἱκόμην φεύγων, ὃ δ' ἐπαύcατο χωόμενόc περ.
ἅζετο γὰρ μὴ νυκτὶ θοῇ ἀποθύμια ἔρδοι.
νῦν αὖ τοῦτό μ' ἄνωγαc ἀμήχανον ἄλλο τελέccαι.
τὸν δ' αὖτε προcέειπε βοῶπιc πότνια Ἥρη·
ὕπνε, τί ἢ δὲ cὺ ταῦτα μετὰ φρεcὶ cῇcι μενοινᾷc;
ἦ φῄc ὡc Τρώεccιν ἀρηξέμεν εὐρύοπα Ζῆν',
ὡc Ἡρακλῆοc περιχώcατο, παιδὸc ἑοῖο;
ἀλλ' ἴθ', ἐγὼ δέ κέ τοι χαρίτων μίαν ὁπλοτεράων
δώcω ὀπυιέμεναι καὶ cὴν κεκλῆcθαι ἄκοιτιν.

V. L. 250 ἤματι D. ὅτε, κεῖνοc A. ὅτε κεῖνοc Cant. Mor. Harl. Townl. Vrat. d. ὅτ' ἐκεῖνοc CDEGHLS. — 251 ἔμπλεεεν H. ἰλιόθι S. τρῴων L. — 252 ἔθελξα διὸc L. — 253 νήδιμοc L. — 254 ἔπι AD. — 255 κόονδ' C. conf. Eust. 983, 32 ἕτεροι δὲ Κόον ἔγραψαν ἐν cυcτολῇ. εὖ ναιομένην ACDEGL Et. Mg. 507, 57. Schol. Pind. Nem. IV, 40. Eust. 622, 2. ceteri εὐναιομένην. — 256 ὃ δ' D. ὅδ' CGHL. ἐπεγρόμενοc ἢ ἀνεγρόμενοc E. χαλέπαινε ACDEGH Syr. χαλέπηνε S. — 257 κατα A. 258 κέ μ': κ' ἔμ' S Cant. ὑπ' αἰθέροc L. — 259 δμήτειρα: δμήτηρα Et. Mg. 609, 13. τὸ δὲ δμήτειρα γράφουcί τινεc μήτειρα Eust. 983, 56. conf. Et. Gud. 393, 3. ἐcάωcε — φεύγων (260) omitt. H in textu. — 260 ὃ δ' D. ὅδ' CGHL. ὁ δὲ παύcατο H in marg. — 261 ἅζετο: αἴδετο Eust. 680, 55. ibid. ἔρδοι. ἔρδοι: ῥέξῃ Eust. 984, 37. — 264 τί ἢ A. τιὴ E. ceteri cum Syr. τίη. μετα A. — 265 ἢ GS Schol. Ξ 355. Cram. An. Par. III, 374, 22. ὡc ACGL Syr. Cram. A. P. III, 374, 22. τρῴεccιν L. ἀρηξέμεν ACDHLS Syr. Barocc. Mor. Lips. Harl. Mosc. 2. Vrat. b.: ἀρηγέμεν EG Schol. Ξ 355. Cram. A. P. III, 374, 22. ζῆν' D ex corr. EGLS. ζῇ et 266 ν' ὡc ACD 1. man. H Lips. Vrat. d. Rom. ΖΗΙ et 266 Ν' ΩC Syr. conf. ad Θ 206. Ζῆν Schol. Ξ 355. Ζῆνα Cram. A. P. III, 374, 22. — 266 ἡρακλεῖοc Townl. πέρι χώcατο GL. — 267 δὲ καί L. δὲ καί τοι χάρων (superscr. τ) G. — 268 ΟΠΥΙΕΜΕΝ Syr.

A. c. 255 Κόων δ': Κόον δ' Callistratus. — 259 οὕτωc ἐν πάcαιc δμήτειρα. ἀριcτοφάνηc καὶ ζηνόδοτοc μήτειρα Didymus. perperam Schol. V αἱ πᾶcαι μήτειρα. — 265 ἦ: ἢ Ptolem. Ascalonita. Ζῇ — et 266 ν' ὡc Aristarchus conf. H. U. 165. — 266 περιχώcατο: πέρι χώcατο cf. ad I, 449.

[Παcιθέην, ἧc αἰὲν ἐέλδεαι ἤματα πάντα.]
ὣc φάτο, χήρατο δ' ὕπνοc, ἀμειβόμενοc δὲ προcηύδα·
ἄγρει νῦν μοι ὄμοccον ἀάατον Cτυγὸc ὕδωρ·
χειρὶ δὲ τῇ ἑτέρῃ μὲν ἕλε χθόνα πουλυβότειραν,
τῇ δ' ἑτέρῃ ἅλα μαρμαρέην, ἵνα νῶιν ἅπαντεc
μάρτυροι ὦc' οἱ ἔνερθε θεοὶ Κρόνον ἀμφὶc ἐόντεc,
ἦ μὲν ἐμοὶ δώcειν χαρίτων μίαν ὁπλοτεράων,
Παcιθέην, ἧc τ' αὐτὸc ἐέλδομαι ἤματα πάντα.
ὣc ἔφατ', οὐδ' ἀπίθηcε θεὰ λευκώλενοc Ἥρη,
ὤμνυε δ' ὡc ἐκέλευε, θεοὺc δ' ὀνόμηνεν ἅπανταc
τοὺc ὑποταρταρίουc, οἳ Τιτῆνεc καλέονται.
αὐτὰρ ἐπεί ῥ' ὄμοcέν τε τελεύτηcέν τε τὸν ὅρκον,
τὼ βήτην Λήμνου τε καὶ Ἴμβρου ἄcτυ λιπόντε,
ἠέρα ἑccαμένω, ῥίμφα πρήccοντε κέλευθον.
Ἴδην δ' ἱκέcθην πολυπίδακα, μητέρα θηρῶν,
Λεκτόν, ὅθι πρῶτον λιπέτην ἅλα· τὼ δ' ἐπὶ χέρcου
βήτην, ἀκροτάτη δὲ ποδῶν ὕπο cείετο ὕλη.
ἔνθ' ὕπνοc μὲν ἔμεινε πάροc Διὸc ὄccε ἰδέcθαι,
εἰc ἐλάτην ἀναβὰc περιμήκετον, ἣ τότ' ἐν Ἴδῃ

V. L. 269 omitt. AC in text. D in text. L Syr. Ven. B Harl. Lips. Townl. Vrat. A. Mosc. 2: habent C et D in marg. GHS Cant. Vrat. b. edd. vett. ἧc: ἣν S. αἰὲν ἱμείρεαι CGH Cant. Vrat. b. edd. vett. — 270 χήιρατο AC. προcηῦδα D. — 271 νῦν μοι: δή μοι Et. Mg. 1, 21. ἄατον CS Vrat. A. Flor. — 272 πουλυβότειραν A. — 273 νῶϊ C. νῶϊν ἅπαντα Vrat. d. — 274 ὦc'[1], οἳ A. ὦcιν ἔνερθε θεοὶ ἢ ὅccοι ἔνερθε θεοὶ Eust. 984, 55. ὦcιν ἔνερθε Rom. κρόνου S. — 275 ἢ μεν D. ἦ μὲν G. ἠμὲν Schol. A 77. ἢ μὲν Lips. suprascr. μὴν. — 276 παcιθέην A. παccιθέην Lips. ἧc τ' ACDGH Syr. τῆc τ' L. ἧc E. ἤματα DE. — 277 ὡc A. θεὰ λευκώλενοc: ΒΟΩΠΙC ΠΌΤΝΙΑ Syr. — 279 τιτᾶνεc Lips. Vrat. A. — 280 ὀμοccέν D. — 281 λῆμνον τε καὶ ἴμβρον S. λιπόντεc Barocc. — 282 ἀέρα δ' Harl. — 283 ἱκέcθην: ἵκανον Vrat. d. Strabo XIII, 543. — 284 ΛΈΚΤΟΝ Syr. ἔπι A. — 285 ὑπεcείετο AÇDEGHLS Syr. Lips. Mosc. 2. Vrat. d. Flor. Rom. ὕλη: γρ. ἴδη Lips. — 286 ὕπνοc αἰὲν ἔμεινε (superscr. ιμνε) D. ἔμεινε A. πάροc [διὸc] ἆccον ἱκέcθαι Cant. Vrat. A. — 287 εἰcελάτην A. ἐνίδηι A.

A. c. 274 Aristarchus μάρτυροι: μάρτυρεc Zenodotus, conf. Γ 280. — 276 ἧc τ': ζηνόδοτοc καὶ ἀριcτοφάνηc ἔξω τοῦ τε, ἧc αὐτὸc ἐέλδομαι Didymus. — 279 ἐν δὲ τῷ „οἳ Τιτῆνεc καλέονται“ προcγράφουcί τινεc καὶ ἕτερον cτίχον τοῦτον „ὤμνυε δ' ἐκ πέτρηc κατειβόμενον (corrige καταλειβόμενον vel quod praefero καταειβόμενον) Cτυγὸc ὕδωρ“ Eust. 985, 33. — 285 ἀρίcταρχοc ὕπο (sic) εἶτα cείετο ἰακῶc, οὕτωc καὶ ζηνόδοτοc καὶ ἀριcτοφάνηc Didymus.

μακροτάτη πεφυυῖα δι' ἠέρος αἰθέρ' ἵκανεν·
ἔνθ' ἧςτ' ὄζοιςιν πεπυκαςμένος εἰλατίνοιςιν,
ὄρνιθι λιγυρῇ ἐναλίγκιος, ἥν τ' ἐν ὄρεςςι
χαλκίδα κικλήςκουςι θεοί, ἄνδρες δὲ κύμινδιν.
Ἥρη δὲ κραιπνῶς προςεβήςετο Γάργαρον ἄκρον
Ἴδης ὑψηλῆς· ἴδε δὲ νεφεληγερέτα Ζεύς.
ὡς δ' ἴδεν, ὥς μιν ἔρως πυκινὰς φρένας ἀμφεκάλυψεν,
οἷον ὅτε πρῶτόν περ ἐμιςγέςθην φιλότητι
εἰς εὐνὴν φοιτῶντε, φίλους λήθοντε τοκῆας.
ςτῆ δ' αὐτῆς προπάροιθεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
Ἥρη, πῇ μεμαυῖα κατ' Οὐλύμπου τόδ' ἱκάνεις;
ἵπποι δ' οὐ παρέαςι καὶ ἅρματα, τῶν κ' ἐπιβαίης.
τὸν δὲ δολοφρονέουςα προςηύδα πότνια Ἥρη·
ἔρχομαι ὀψομένη πολυφόρβου πείρατα γαίης,
Ὠκεανόν τε, θεῶν γένεςιν, καὶ μητέρα Τηθύν,
οἵ με ςφοῖςι δόμοιςιν ἐῢ τρέφον ἠδ' ἀτίταλλον·
τοὺς εἶμ' ὀψομένη, καί ςφ' ἄκριτα νείκεα λύςω.
ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεςε θυμῷ.

V. ι. 288 μακροτάτη G Syr. ἀκροτάτη Pseudopl. 125, 33. πεφυῖα D. πεφυκυῖα Et. Gud. 237, 49. — 289 ὄζοιςι CD Syr. Lips. πεπυκνωμένος L et γρ. πεπυκαςμένος. εἰλατίνοιςι C. — 290 ὄρεςςι ACDEGH Syr. Schol. N 390. — 292 προςεβήςατο DES Syr. Rom. προςεφήςετο G. — 294 ἔρος E non male: ceteri ἔρως. πυκνὰς Lips. πυκινὰ S. ἀμφεκάλυψε H. — 295 οἷον: οἷος L. γρ. καὶ οἷος A. πρῶτόν περ ACL. πρῶτον παρεμιςγέςθην Harl. πρώτιςτον DEGHS Syr. Vrat. A. Lips. Mosc. 2. μιγέςθην D. ἐμιγέςθην ES Vrat. A. Mosc. 2. ἐμιςγέτην Lips. — 296 λήθοντε: λήθοντο Schol. A 609. ἐλάθοντο Schol. Theocr. XV, 64. — 297 αὐτῆς: αὖτις S. ὀνόμαζε D Syr. — 298 πῆι A: ceteri πῇ. ποῖ ἢ τίπτε E. κατ A. — 300 προςηύδα omitt. C. προςηῦδα D. προςέφη L Lips. — 303 οἵ με ACD Lips. Vrat. A. ceteri οἵ μ' ἐν. γρ. οἵ μ' ἐν ςφοῖςι A, ita in marg. ex correctura. ἐΰτρεφον ACDGHL. — 304 ΤΟῪC ΙΜ (ε supra) Syr. (ε 2. man. add.). — 306 post hunc add. Syr. ΕΙ ΚΈΙΝΩΓ' ΕΠΕΕCCΙ ΠΑΡΑΙΠΕΠΊΘΟΥCΑΦΊΛΟΝ ΚΗ͂Ρ ΕΙCΕΥΝΗΗΝΑΝΈCΑΙΜΙΟΜΟΙΩΘΗ͂ΝΑΙ ΦΙΛΌΤΗΤΙ.

A. c. 295 πρῶτόν περ: οὕτως ἀρίςταρχος. ἄλλοι δὲ πρώτιςτον Didymus. — 299 τῶν κ' ἐπιβαίης: Ζηνόδοτος καὶ ἀριςτοφάνης ἔξω τοῦ κε ςυνδέςμου τῶν ἐπιβαίης Didymus. — 301 ἀθετοῦνται οἱ ςτίχοι (301—306?) Schol. BL. — 303 οἵ με ςφοῖςι: οἵ μ' ἐν ςφοῖςι, conf. 202. — 304—306 ἀθετοῦνται. ἠθετοῦντο παρὰ Ζηνοδότῳ Schol. A. asterisci; ὀρθῶς 205—207.

ἵπποι δ' ἐν πρυμνωρείῃ πολυπίδακος Ἴδης
ἑςτᾶς', οἵ μ' οἴςουςιν ἐπὶ τραφερήν τε καὶ ὑγρήν.
νῦν δὲ ςεῦ εἵνεκα δεῦρο κατ' Οὐλύμπου τόδ' ἱκάνω,
μή πώς μοι μετέπειτα χολώςεαι, αἴ κε ςιωπῇ
οἴχωμαι πρὸς δῶμα βαθυῤῥόου Ὠκεανοῖο.
τὴν δ' ἀπαμειβόμενος προςέφη νεφεληγερέτα Ζεύς·
Ἥρη, κεῖςε μὲν ἔςτι καὶ ὕςτερον ὁρμηθῆναι,
νῶι δ' ἄγ' ἐν φιλότητι τραπείομεν εὐνηθέντε.
οὐ γάρ πώ ποτέ μ' ὧδε θεᾶς ἔρος οὐδὲ γυναικὸς
θυμὸν ἐνὶ ςτήθεςςι περιπροχυθεὶς ἐδάμαςςεν,
οὐδ' ὁπότ' ἠραςάμην Ἰξιονίης ἀλόχοιο,
ἣ τέκε Πειρίθοον, θεόφιν μήςτωρ' ἀτάλαντον·
οὐδ' ὅτε περ Δανάης καλλιςφύρου Ἀκριςιώνης,
ἣ τέκε Περςῆα, πάντων ἀριδείκετον ἀνδρῶν·
οὐδ' ὅτε Φοίνικος κούρης τηλεκλειτοῖο,
ἣ τέκε μοι Μίνων τε καὶ ἀντίθεον Ῥαδάμανθυν·
οὐδ' ὅτε περ Σεμέλης οὐδ' Ἀλκμήνης ἐνὶ Θήβῃ,
ἥ ῥ' Ἡρακλῆα κρατερόφρονα γείνατο παῖδα·
ἡ δὲ Διώνυςον Σεμέλη τέκε, χάρμα βροτοῖςιν·
οὐδ' ὅτε Δήμητρος καλλιπλοκάμοιο ἀνάςςης,
οὐδ' ὁπότε Λητοῦς ἐρικυδέος, οὐδὲ ςεῦ αὐτῆς,

V. ι. 307 πρυμνωρείηι A. πρυμνωρίη L 1. man. πρυμνωρείᾳ E. πολυπιδάκου ACDEHS Vrat. d.: πολυπίδακος A in marg. GL Syr. Schol. Ξ 304. — 308 ςτᾶς' H. οἴςονται L. — 309 ΔΈCΕΥ Syr. — 310 μή πως μοι ACDHL. μή πώς μοι EG Syr. μετ' ἔπειτα A. μετόπιςθε DS Mor. Barocc. κοτέςςεαι Mor. Barocc. — 311 βαθυρρόου A. — 312 νεφεληγερέτα A. Ζεῦς G. — 313 μέν ἐςτι ACDHL Syr. ἐςτὶ G. — 314 εὐνηθέντε ACGL: εὐνηθέντες DEHS Syr. Barocc. Lips. Vrat. d. — 315 πῶ H. ἔρος: ἔρως AC 1. man. DHL. — 316 ἐνι A. περιπροχυθεὶς A. περιχυθεὶς HS. ἐδάμαςςε G Flor. Rom. — 317 ἰξιονείης L. Lips. — 319 οὐδ' ὁπότε Vrat. A. καλλιςφύρου A. ἀκριςεώνης G. — 321 ὍΤΕΠΕΡ Syr. — 322 μίνων τε L Vrat. d. ceteri μίνω τε. μίνω καὶ Flor. Rom. ΜΙΝΩΑ Syr. — 323 καὶ ἀλκμήνης D. ἐνι AG. — 325 ἣ δὲ C. διόνυςον C. βροτοῖςι D. — 327 οὐδ' ὅτε λητοῦς H.

A. c. 307 πολυπίδακος Aristarchus, conf. 157. — 310 μετέπειτα: Ζηνόδοτος καὶ ἀριςτοφάνης μετόπιςθε Didymus. — 316 περιπροχυθεὶς: περιπλεχθεὶς Ixio. — 317—327 ἀθετοῦνται ςτίχοι ια'. καὶ Ἀριςτοφάνης προηθέτει Schol. A. — 322 ἀρίςταρχος μίνων ςὺν τῷ ν̄, Ζηνόδοτος χωρὶς τοῦ ν̄ Didymus. τινὲς Μίνωνα Schol. V.

ὣc céo νῦν ἔραμαι καί με γλυκὺc ἵμεροc αἱρεῖ.
τὸν δὲ δολοφρονέουcα προcηύδα πότνια Ἥρη·
αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπεc.
εἰ νῦν ἐν φιλότητι λιλαίεαι εὐνηθῆναι
Ἴδηc ἐν κορυφῇcι, τὰ δὲ προπέφανται ἅπαντα,
πῶc κ' ἔοι, εἴ τιc νῶι θεῶν αἰειγενετάων
εὕδοντ' ἀθρήcειε, θεοῖcι δὲ πᾶcι μετελθὼν
πεφράδοι; οὐκ ἂν ἐγώ γε τεὸν πρὸc δῶμα νεοίμην
ἐξ εὐνῆc ἀνcτᾶcα, νεμεccητὸν δέ κεν εἴη.
ἀλλ' εἰ δή ῥ' ἐθέλειc καί τοι φίλον ἔπλετο θυμῷ,
ἔcτιν τοι θάλαμοc, τόν τοι φίλοc υἱὸc ἔτευξεν
Ἥφαιcτοc, πυκινὰc δὲ θύραc cταθμοῖcιν ἐπῆρcεν·
ἔνθ' ἴομεν κείοντεc, ἐπεί νύ τοι εὔαδεν εὐνή.
τὴν δ' ἀπαμειβόμενοc προcέφη νεφεληγερέτα Ζεύc·
Ἥρη, μήτε θεῶν τό γε δείδιθι μήτέ τιν' ἀνδρῶν
ὄψεcθαι· τοῖόν τοι ἐγὼ νέφοc ἀμφικαλύψω,
χρύcεον· οὐδ' ἂν νῶι διαδράκοι ἠέλιόc περ,
οὗ τε καὶ ὀξύτατον πέλεται φάοc εἰcοράαcθαι.
ἦ ῥα, καὶ ἀγκὰc ἔμαρπτε Κρόνου παῖc ἣν παράκοιτιν·
τοῖcι δ' ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην,
λωτόν θ' ἑρcήεντα ἰδὲ κρόκον ἠδ' ὑάκινθον
πυκνὸν καὶ μαλακόν, ὃc ἀπὸ χθονὸc ὑψόc' ἔεργε.

V. l. 328 ὡc céo libri cum Apollon. de Synt. 166, 5: ὥc cεο Et. Mg. 637, 58. Et. Gud. 204, 28. Bekk. Anecd. 1145. αἱρεῖ G. αιρεῖ A. — 329 προcηῦδα D. — 330 ἔειπαc C. — 332 τάδε ADL. ΤΑΔΈ Syr. — 335 οὐκ ἂν ἔπειτα Barocc θεῶν πρὸc δῶμα Lips. προc A. — 336 ἀναcτᾶcα D Lips. Flor. ЄΙΗΙ Syr. — 338 ἔcτι D Lips. — 341 νεφεληγερέτα (ω) A. — 342 θεῶν CDEGL Schol. Ξ 315. θεὸν H. θεὸν A Syr. Mosc. 2. Vrat. d. μήτέ ACEGH Schol. Ξ 315. ΜΗΤЄΤΙΝ 'ΆΛΛΟΝ Syr. τιν' ἄλλον Vrat. d. τῖν' ἄλλον ἀνδρῶν H. — 343 ΑΘΑΝΑΤΟΝΤΟΙΌΝ Syr. ἐγὼν G. — 344 οὐδ' ἂρ S. ΠЄΡ' Syr. — 345 πέλει CD. — 346 ῥὰ DGL. ἔμαρψεν Eust. 1683, 11. παῖc libri cum Apoll. Soph. 5, 9. Rhet. Graec. II, 287, 21. — 347 ὑπο ACDH. ὕπο Rhet. Gr. II, 359, 14. φῦεν G. — 348 λωτὸν ἑρcήεντα ἠδὲ Apoll. Soph. 63, 1. τ' ἑρcήεντ' ἠδὲ Schol. K 75. ἠδὲ D. 1. man. Zon. Lex. 1759. — 349 ἀπο A. ἔεργε ACDEG Syr.

A. c. 340 εὔαδεν: τῇ πρώτῃ cυλλαβῇ ψιλωτέον, τῇ δὲ δευτέρᾳ δαcυντέον Et. Gud. 216, 51. εὐνή: Ζηνόδοτοc καὶ ἀριcτοφάνηc ἐπεί νύ τοι εὔαδεν εὐνήν Didymus. — 349 οὕτωc ἀρίcταρχοc ἔεργε Didymus. ἐν δέ τιcιν ἄειρε καὶ ἔερπε· ἐν δὲ τῇ Χίᾳ ἵκανε. Ζηνόδοτοc ἵν' ἀπὸ χθονὸc ἀγκαζέcθην Didymus.

τῷ ἔνι λεξάcθην, ἐπὶ δὲ νεφέλην ἕccαντο
καλὴν χρυcείην· cτιλπναὶ δ' ἀπέπιπτον ἔερcαι.
ὣc ὁ μὲν ἀτρέμαc εὗδε πατὴρ ἀνὰ Γαργάρῳ ἄκρῳ
ὕπνῳ καὶ φιλότητι δαμείc, ἔχε δ' ἀγκὰc ἄκοιτιν·
βῆ δὲ θέειν ἐπὶ νῆαc Ἀχαιῶν νήδυμοc ὕπνοc,
ἀγγελίην ἐρέων γαιηόχῳ ἐννοcιγαίῳ.
ἀγχοῦ δ' ἱcτάμενοc ἔπεα πτερόεντα προcηύδα·
πρόφρων νῦν Δαναοῖcι Ποcείδαον ἐπάμυνε,
καί cφιν κῦδοc ὄπαζε μίνυνθά περ, ὄφρ' ἔτι εὕδει
Ζεύc, ἐπεὶ αὐτῷ ἐγὼ μαλακὸν περὶ κῶμα κάλυψα·
Ἥρη δ' ἐν φιλότητι παρήπαφεν εὐνηθῆναι.
ὣc εἰπὼν ὁ μὲν ᾤχετ' ἐπὶ κλυτὰ φῦλ' ἀνθρώπων,
τὸν δ' ἔτι μᾶλλον ἀνῆκεν ἀμυνέμεναι Δαναοῖcιν.
αὐτίκα δ' ἐν πρώτοιcι μέγα προθορὼν ἐκέλευcεν·
Ἀργεῖοι, καὶ δὴ αὖτε μεθίεμεν Ἕκτορι νίκην
Πριαμίδῃ, ἵνα νῆαc ἕλῃ καὶ κῦδοc ἄρηται;
ἀλλ' ὁ μὲν οὕτω φηcὶ καὶ εὔχεται, οὕνεκ' Ἀχιλλεὺc
νηυcὶν ἔπι γλαφυρῇcι μένει κεχολωμένοc ἦτορ·
κείνου δ' οὔ τι λίην ποθὴ ἔccεται, εἴ κεν οἱ ἄλλοι
ἡμεῖc ὀτρυνώμεθ' ἀμυνέμεν ἀλλήλοιcιν.

V. l. 350 ἐνι DH. δεξάcθην A et in marg. λεξαcθην· ἐπϊ H. — 351 ἀπέπτίτον L. ἔερcαι A Eust. 990, 64. 991, 28. — 352 ὡc AE ὁ μὲν C. ἀνα A. — 353 εἶχε H. — 354 ἐπι A. — 356 προcηῦδα D. — 357 πρόφρον δὴ S. πρόφρων δὴ Mor. Et. Gud. 558, 9. ποcείδαον DH Bekk. An. 1199. Ποcειδᾶον Cram. An. Ox. III, 394, 4. ποcίδαον A et in marg. ποcείδαον. ποcειδάων CGL Schol. Ξ 266. Et. Mg. 79, 4. Cram. Epim. 426, 28. ΠΟCΙΔΑΩΝ (ε) Syr. (ε 2. man.). ἐπάμυνε ADEL Syr. Schol. Ξ 266: ἐπάμυνον CGHS Lips. Vrat. A. d. Bekk. An. 1199. Et. Mg. 79, 4. Cram. An. Ox. III, 394, 4. — 358 μῖνυνθά τῖ C. — 359 αὐτῷ: αὐτὸν Schol. B 2. περι ADHL. κῶμα κάλυψα ACE 991, 53. GS Schol. B 2. ἐν ἄλλῳ κῶμ' ἐκάλυψα A, ita DE 987, 30 HL Vrat. b. d. ΚΩΜΑΚΑΛΥΨΑ Syr. — 360 φυλότητι G. εὐνηθεῖcα S. — 361 ὡc A. ὁ μὲν C. — 362 δαναοῖcι D Syr. — 363 προθορῶν H Lips. ЄΚЄΛЄΥЄ Syr. — 364 δὴ αὖτε: libri δ' αὖτε, conf. H. U. 281. μεθείεμεν A in t. H Vrat. A. d. μεθείομεν D. μεθίετε (μεν) S Harl. quod placet. μεθίετε Lips. vulgo μεθίεμεν, quod etiam A in margine habet. — 365 κῦδοc ἕλοιτο Lips — 366 ἀχϊλεὺc C. — 367 ἐπι AH. ἐπὶ CDGL. — 368 λῦην H. εἴ κέν, οἱ A. — 360 ἀλλήλοιcι D.

A. c. 351 ἀπέπιπτον: Ζηνόδοτοc ἐπέπιπτον Didymus. male Schol. V Ζηνόδοτοc γράφει ἀνέπιπτον. ἔερcαι: ἐέρcαι Ptolem. Ascalonita conf. Eust. 991, 26. ἐπάγουcι δέ τινεc „δή ῥα τότ' ὀφθαλμοῖcι Διὸc χύτο νήδυμοc ὕπνοc" Schol. V. — 354 νήδυμοc Aristarchus. — 366 εὔχεται: ἔλπεται Zenodotus.

ἀλλ᾽ ἄγεθ᾽, ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες.
ἀςπίδες ὅςςαι ἄριςται ἐνὶ ςτρατῷ ἠδὲ μέγιςται,
ἑςςάμενοι, κεφαλὰς δὲ παναίθηςιν κορύθεςςι
κρύψαντες, χερςὶν δὲ τὰ μακρότατ᾽ ἔγχε᾽ ἑλόντες,
ἴομεν· αὐτὰρ ἐγὼν ἡγήςομαι, οὐδ᾽ ἔτι φημὶ
Ἕκτορα Πριαμίδην μενέειν μάλα περ μεμαῶτα.
ὃς δέ κ᾽ ἀνὴρ μενέχαρμος, ἔχει δ᾽ ὀλίγον ςάκος ὤμῳ,
χείρονι φωτὶ δότω, ὃ δ᾽ ἐν ἀςπίδι μείζονι δύτω.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο.
τοὺς δ᾽ αὐτοὶ βαςιλῆες ἐκόςμεον οὐτάμενοί περ,
Τυδείδης Ὀδυςεύς τε καὶ Ἀτρείδης Ἀγαμέμνων·
οἰχόμενοι δ᾽ ἐπὶ πάντας ἀρήια τεύχε᾽ ἄμειβον.
ἐςθλὰ μὲν ἐςθλὸς ἔδυνε, χέρεια δὲ χείρονι δόςκον.
αὐτὰρ ἐπεί ῥ᾽ ἕςςαντο περὶ χροΐ νώροπα χαλκόν,
βάν ῥ᾽ ἴμεν· ἦρχε δ᾽ ἄρά ςφι Ποςειδάων ἐνοςίχθων,
δεινὸν ἄορ τανύηκες ἔχων ἐν χειρὶ παχείῃ,
εἴκελον ἀςτεροπῇ· τῷ δ᾽ οὐ θέμις ἐςτὶ μιγῆναι
ἐν δαῒ λευγαλέῃ, ἀλλὰ δέος ἰςχάνει ἄνδρας.

V. L. 370 ἐγὼ ACDGLS Syr. ἐγὼν H. — 371 ἀςπίδας DEGHS: ἀςπίδες ACL Syr. ἐνι A. — 372 παναίθηιςιν A. παναίθῃςι DE Lips. κορύθεςςι ACEG Syr. — 373 χερςὶ D Lips. δὲ ACDEHLS Syr. Vrat. d. vulgo χερςίν τε. — 374 ЄΓῼ Syr. οὐδέ τι φημὶ DEGHLS. ΟΥΔΈΤΙ Syr. — 376 ἔχει: ἔχῃ ACDHL Syr. Cant. Lips. Vrat. b. d. Mosc. 2. — 377 δοτῳ H. ὃ δ᾽ D. ὅδ᾽ CGH. — 378 ὡς A. οἳ δ᾽ L. οἵδ᾽ C. ΗΔЄΠΙΘΟΝΤΟ Syr. vulgo ἠδ᾽ ἐπίθοντο. — 379 οὐτάμενοί τε D. — 380 ὀδυςςεύς DE GH Flor. Rom. — 381 ἐπι H. — 382 μὲν ἐςθλὸν G χέρεια ACDGHS Syr. Schol. A 80. χέρηα E. χέρηα Cram. Ep. 350, 25. χέρηι δὲ χείρονα L. δόςκεν libri cum Schol. A 80. Cram. Ep. 350, 25: δόςκον H Rom. — 383 αὐτοὶ ἐπεὶ L. ἕςαντο C. περι AH. — 384 ςφιν G. δέ ςφι Lips. ποςιδάων A Syr. 1. man. ποςειδάων A in marg. Syr. ex corr. — 386 ἵκελον G. ἴκελον E. ῖκελον A in marg. ceteri εἴκελον cum Et. Gud. 164, 33. Apud Zonar. 714 et Et. Orion. 63, 3 legitur εἴκελος ἀςτεροπῇ. τόδ᾽ οὐ D. — 387 ἐν δαῆι D.

A. c. 372 παναίθηςιν Euphranor, Herodianus: παναιθῆςιν οἱ πλείους Schol. A. οὕτως ὁ Εὐφράνωρ· οἱ πλείους δὲ ὀξύνουςι τὴν τοιαύτην λέξιν ὡς ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου δηλοῦται Eust. 992, 59. — 376 ἀρίςταρχος διὰ τῆς (cod. τοῦ) ει διφθόγγου ἔχει Didymus. — 376, 377 ἀθετοῦνται. Ἀριςτοφάνης προηθέτει· Ζηνόδοτος οὐδὲ γράφει Schol. A. — 382 οὕτως ἀρίςταρχος δοςκον (sic) Didymus. ἔνια δὲ τῶν ὑπομνημάτων δῶκεν ἀντὶ τοῦ δόςκεν· καὶ ἔςτιν εὐφραδέςτερον Didymus. οὕτως Ἀρίςταρχος δόςκεν· ἔν τιςι δὲ δῶκεν Schol. L. τὸ δὲ „χείρονι δόςκε" δόςκον γράφουςιν οἱ ἀκριβέςτεροι, τουτέςτιν ἐδίδουν οἱ βαςιλεῖς Eust. 992, 44. — 387 δαῒ Herodianus: δάϊ Ptolem. Ascalonita.

Τρῶας δ᾽ αὖθ᾽ ἑτέρωθεν ἐκόςμεε φαίδιμος Ἕκτωρ.
δή ῥα τότ᾽ αἰνοτάτην ἔριδα πτολέμοιο τάνυςςαν
κυανοχαῖτα Ποςειδάων καὶ φαίδιμος Ἕκτωρ,
ἤ τοι ὃ μὲν Τρώεςςιν, ὃ δ᾽ Ἀργείοιςιν ἀρήγων.
ἐκλύςθη δὲ θάλαςςα ποτὶ κλιςίας τε νέας τε
Ἀργείων· οἳ δὲ ξύνιςαν μεγάλῳ ἀλαλητῷ.
οὔτε θαλάςςης κῦμα τόςον βοάᾳ ποτὶ χέρςον,
ποντόθεν ὀρνύμενον πνοιῇ βορέω ἀλεγεινῇ·
οὔτε πυρὸς τόςςός γε πέλει βρόμος αἰθομένοιο
οὔρεος ἐν βήςςῃς, ὅτε τ᾽ ὤρετο καιέμεν ὕλην·
οὔτ᾽ ἄνεμος τόςςόν γε περὶ δρυςὶν ὑψικόμοιςιν
ἠπύει, ὅς τε μάλιςτα μέγα βρέμεται χαλεπαίνων,
ὅςςη ἄρα Τρώων καὶ Ἀχαιῶν ἔπλετο φωνὴ
δεινὸν ἀυςάντων, ὅτ᾽ ἐπ᾽ ἀλλήλοιςιν ὄρουςαν.
Αἴαντος δὲ πρῶτος ἀκόντιςε φαίδιμος Ἕκτωρ
ἔγχει, ἐπεὶ τέτραπτο πρὸς ἰθύ οἱ, οὐδ᾽ ἀφάμαρτε,
τῇ ῥα δύω τελαμῶνε περὶ ςτήθεςςι τετάςθην,
ἤ τοι ὃ μὲν ςάκεος, ὃ δὲ φαςγάνου ἀργυροήλου·

V. L. 388 τρῷας L. δ᾽ αὖ L Cant. ἐκόςμεε G: ἐκόςμει ACDEHL Syr. Cant. Mor. Lips. Vrat. b. d. conf. H. U. 97. — 389 δὴ ῥὰ L. ἐνοτάτην D. πολέμοιο E bis — 390 ποςιδάων A Syr. ποςειδάων A in marg. — 391 ὃ μὲν C. ὃ δ᾽ D. ὅδ᾽ CGHL. — 392 ποτι A. προτὶ L. — 393 οἳ δὲ C. δὲ ξύμβηςαν D. — 394 τόςςον D Lips. ποτϊ H. προτὶ G. — 395 πάντοθεν Cant. βορέῳ G. βορέα S. πνοιῆι ἀνέμου C. ἀνέμων Lips. — 396 τόςςός γε DH. τόςος γε Et. Mg. 214, 36. τόςςος τε G Flor. πέλει Et. Mg. 214, 36: ποτὶ DE* bis GS Syr. Schol. N 41. ποτι AC. ποθι HL. τόςςος γὰρ πέλεται Schol. Apoll. Rhod. III, 861. — 397 βήςςηις᾽ A. — 398 τόςςόν γε D. περὶ DLS Harl περι A: ποτὶ CEG. ποτι H. Syr. — 399 ἐπρίει S. ὅς τε: ὅτε L 1. man. ὅττε L 2. man. — 400 ὅςςη: τόςςη DGHS Syr. Mor. Barocc. Harl. Townl. Lips. Mosc. 2. Vrat. d. Flor. ὅςςη ἢ τόςςη E. τρῴων L. — 401 ἀϋςςάντων CG Vrat. A. — 403 ЄΠΙΤΈΤΡΑΠΤΟ Syr. τράπετο Lips. πρὸς ἰθύει D. ΠCOCῙΘΥΜΟΥΔ Syr. ἀφάμαρτε ACDEGHL Syr. — 404 ῥὰ L. περι AH. τέταςθον L. πετάςθην G. — 405 libri ἤτοι. ὃ δὲ C.

A. c. 389 οὕτω διὰ τοῦ ᾱ γραπτέον τάνυςςαν Didymus. — 394, 395 Zenodotus post 399 collocavit. — 396 τόςςος Aristarchus: τοςςός Tyrannio. — 397 ὤρετο: ἔν τιςι τῶν ὑπομνημάτων ὤρορε, καὶ ἔςτιν ὅμοιον τῷ „ὦρορ᾽ ἐπαΐξας" (B 146) Didymus. — 398 οὕτω διὰ τοῦ ν̄ τόςςον γε Didymus. Ζηνόδοτος τόςςος γε Schol. A, conf. Schol. V ad 396. ὑψικόμοιςιν: τὸ δὲ δρυςὶν ὑψικόμοιςιν Ἀγαθοκλῆς, ὡς οἱ παλαιοί φαςιν, δρυςὶν ἰζοφόροιςι γράφει Eust. 994, 41. — 400 ὅςςη: ἔξω τοῦ τ̄ αἱ ἀριςτάρχου. οὕτω καὶ Ζηνόδοτος καὶ ἀριςτοφάνης Didymus.

τῷ οἱ ῥυϲάϲθην τέρενα χρόα. χώϲατο δ' Ἕκτωρ,
ὅττί ῥά οἱ βέλοϲ ὠκὺ ἐτώϲιον ἔκφυγε χειρόϲ,
ἂψ δ' ἑτάρων εἰϲ ἔθνοϲ ἐχάζετο κῆρ' ἀλεείνων.
τὸν μὲν ἔπειτ' ἀπιόντα μέγαϲ Τελαμώνιοϲ Αἴαϲ
χερμαδίῳ, τά ῥα πολλά, θοάων ἔχματα νηῶν,
πὰρ ποϲὶ μαρναμένων ἐκυλίνδετο, τῶν ἓν ἀείραϲ
ϲτῆθοϲ βεβλήκει ὑπὲρ ἄντυγοϲ, ἀγχόθι δειρῆϲ,
ϲτρόμβον δ' ὣϲ ἔϲϲευε βαλών, περὶ δ' ἔδραμε πάντῃ.
ὡϲ δ' ὅθ' ὑπὸ πληγῆϲ πατρὸϲ Διὸϲ ἐξερίπῃ δρῦϲ
πρόῤῥιζοϲ, δεινὴ δὲ θεείου γίγνεται ὀδμὴ
ἐξ αὐτῆϲ· τὸν δ' οὔ περ ἔχει θράϲοϲ, ὅϲ κεν ἴδηται
ἐγγὺϲ ἐών, χαλεπὸϲ δὲ Διὸϲ μεγάλοιο κεραυνόϲ,
ὣϲ ἔπεϲ' Ἕκτοροϲ ὦκα χαμαὶ μένοϲ ἐν κονίῃϲι.
χειρὸϲ δ' ἔκβαλεν ἔγχοϲ, ἐπ' αὐτῷ δ' ἀϲπὶϲ ἑάφθη
καὶ κόρυϲ, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
οἱ δὲ μέγα ἰάχοντεϲ ἐπέδραμον υἷεϲ Ἀχαιῶν,
ἐλπόμενοι ἐρύεϲθαι, ἀκόντιζον δὲ θαμειὰϲ
αἰχμάϲ· ἀλλ' οὔ τιϲ ἐδυνήϲατο ποιμένα λαῶν
οὐτάϲαι οὐδὲ βαλεῖν· πρὶν γὰρ περίβηϲαν ἄριϲτοι,
Πουλυδάμαϲ τε καὶ Αἰνείαϲ καὶ δῖοϲ Ἀγήνωρ

V. L. 406 τῶι οἱ D. ῥυϲάϲθην ACDEGHLS et libri apud Heynium. ЄΡΥϹΑϹΘΗΝ Syr. — 407 ὅττι δή E. Rom. — 409 ἐπιόντα Lips. — 410 τὰ ῥὰ L. αἴχματα D 1. man. corr. eadem man. ἔχματα. — 411 παρ ADH. — 412 βεβλήκει ACDE 995, 19; 49; 50; 56. GHLS Syr. Schol. Λ 26. ἐβεβλήκει ἢ βεβλήκει Eust. 995, 45. scriptura βεβλήκειν, quam exhibent Wolf. Bothe. Bekker. Dindorf. omñi caret librorum auctoritate. — 413 ὡϲ A. περι CH. πάντη AEG: ceteri πάντῃ. — 414 ΟϹ Ambros. ὑπὸ DEH Harl. Vrat. d. Mor. Cant. Lips. ῩΠΟ Syr. ὑπαὶ CGLS Flor. Rom. πληγῆϲ AH Harl. Vrat. d. ῥιπῆϲ CDEGLS Syr. Mor. Cant. Lips. γρ. ὑποριπῆϲ A. ἐξέριπε Mor. — 415 γίγνεται L: γίνεται A Ambr. C 2. man. DEGH Syr. γίνετ' C 1. man. ΟΔΜΗΙ Ambros. — 416 οὔ περ: οὔ κεν Barocc. — 418 ΩϹΠЄϹЄΝ Ambr. ὦκα: ὠκὺ L. κονίῃϲι A Ambr. CDEG Syr. — 419 ἐπαυτῷ H. ἐάφθη CEHLS. — 420 omitt. Ambros. et A in textu, qui habet in marg. infer. man. rec. ἀμφι D. — 421 οἳ δὲ C. μέγ' Lips. — 422 ЄΡΥϹΑϹΘΑΙ Ambros. — 423 δυνήϲατο L. ἐδυνήϲετο Lips. ἐδύνατο Mor. Barocc. — 424 ἄριϲτοι: ἐν ἄλλῳ περίβηϲαν ἅπαντεϲ A. — 425 τὲ H.

A. C. 412 οὕτωϲ ἀρίϲταρχοϲ βεβλήκει Didymus. Zenodotus et Aristophanes βεβλήκειν. ν̄ paragogico opus non esse monent Є 899. Ζ 170. Η 394. ε 112. μ 160. 242. ρ 359. vid. H. T. 195. — 416 Aristophanes τὸν (τῶν?) δ' οὔ τιν' ἔχει θράϲοϲ ὅϲ τιϲ ἴδηται. — 418 ἀρίϲταρχοϲ ὠκὺ Didymus. Massiliensis et Chia ὦκα. — 419 ἑάφθη Aristarchus, cf. ad Ν 543. ἐάφθη Ammonius, vid. Cram. Ep. 168, 15.

Ϲαρπηδών τ', ἀρχὸϲ Λυκίων, καὶ Γλαῦκοϲ ἀμύμων.
τῶν δ' ἄλλων οὔ τίϲ εὑ ἀκήδεϲεν, ἀλλὰ πάροιθεν
ἀϲπίδαϲ εὐκύκλουϲ ϲχέθον αὐτοῦ. τὸν δ' ἄρ' ἑταῖροι
χερϲὶν ἀείραντεϲ φέρον ἐκ πόνου, ὄφρ' ἵκεθ' ἵππουϲ
ὠκέαϲ, οἵ οἱ ὄπιϲθε μάχηϲ ἠδὲ πτολέμοιο
ἕϲταϲαν ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντεϲ·
οἳ τόν γε προτὶ ἄϲτυ φέρον βαρέα ϲτενάχοντα.
ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐυῤῥεῖοϲ ποταμοῖο,
Ξάνθου δινήεντοϲ, ὃν ἀθάνατοϲ τέκετο Ζεύϲ,
ἔνθά μιν ἐξ ἵππων πέλαϲαν χθονί, κὰδ δέ οἱ ὕδωρ
χεῦαν· ὁ δ' ἐμπνύνθη καὶ ἀνέδρακεν ὀφθαλμοῖϲιν,
ἑζόμενοϲ δ' ἐπὶ γοῦνα κελαινεφὲϲ αἷμ' ἀπέμεϲϲεν.
αὖτιϲ δ' ἐξοπίϲω πλῆτο χθονί, τὼ δέ οἱ ὄϲϲε
νὺξ ἐκάλυψε μέλαινα· βέλοϲ δ' ἔτι θυμὸν ἐδάμνα.
Ἀργεῖοι δ' ὡϲ οὖν ἴδον Ἕκτορα νόϲφι κιόντα,
μᾶλλον ἐπὶ Τρώεϲϲι θόρον, μνήϲαντο δὲ χάρμηϲ.
ἔνθα πολὺ πρώτιϲτοϲ Ὀϊλῆοϲ ταχὺϲ Αἴαϲ
Ϲάτνιον οὔταϲε δουρὶ μετάλμενοϲ ὀξυόεντι
Ἠνοπίδην, ὃν ἄρα νύμφη τέκε νηὶϲ ἀμύμων
Ἤνοπι βουκολέοντι παρ' ὄχθαϲ Ϲατνιόεντοϲ.

V. L. 427 οὔ τίϲ, εὑ A. οὔτιϲ εὖ EG Lexicon περὶ πνευμάτων ed. Valckenaer. pg. 241. οὔτιϲ ϲεῦ H Apoll. Soph. 20, 12. εὐακήδεϲεν C. ἀκήδεϲεν ADEGHS Lips. Cant. Mor. Harl. Mosc. 2. ἀκήδηϲεν Townl. Vrat. b. d. Apoll. Soph. 20, 12. ἀκήδηϲ' L. — 428 ἐϋκύκλουϲ CG Flor. αρ A Ambr. ἆρ GHL. — 429 ἀείροντεϲ L Lips. — 431 ἔϲταϲαν A. — 433 ΟΤЄΔЄ Ambr. ἵξον DL. ῖξον A. ἐϋῤῥῆοϲ L. εὐρεῖοϲ S Townl. — 435 ἔνθά μιν ACDGHL. καδδέ CDGHL. — 436 ὃ δ' D. ὅδ' CGHL. * ἐμπνύνθη: ἀμπνύνθη libri. ὀφθαλμοῖϲι D. — 437 ἰζόμενοϲ S. ἀπέμεϲϲεν: ἀπέμαϲϲεν ACDS Schol. Ο 11. — 438 αὖθϊϲ C. ἐξ ὀπίϲω Et. Mg. 171, 43. τὼ δέ οἱ ACEHLS Lips. Mor. Vrat. d.: καδδέ οἱ DGS. τὼ ἢ κὰδ E. — 440 οὖν omitt. L. εἶδον H. νόϲφιν ἐόντα ACS Lips. γρ. νόϲφι κιόντα A. — 441 τρώεϲϲι om. H. τρῴεϲϲι L. θόρων C. — 444 οἰνοπίδην Barocc. Mor. Strabo XIII, 605 et 619. — 445 οἴνοπι Mor. Strabo. ὄχθη L. ὄχθαιϲ Strabo XIII, 605.

A. C. 427 τῶν δ': τῶν τ' Zenodotus. διήλλαττον αἱ Ἀριϲτάρχου ἀκήδεϲαν καὶ ἀκηδέϲατο Didymus. — 434 ἀθάνατοϲ: ἀθάνατον Zenodotus, conf. Aristonicum ad Φ 2. — 436 ἐμπνύνθη, non ἀμπνύνθη, Aristarchum scripsisse conieci H. T. 190. — 437 ἀρίϲταρχοϲ ἀπέμεϲϲεν Didymus. ἀπέμαϲϲεν Zenodotus, conf. Ariston. ad Ο 11. — 438 τὼ δέ οἱ: οὕτωϲ ἀρίϲταρχοϲ. ἄλλοι δὲ καδδε οι οϲϲε (sic) Didymus. — 445 ὄχθαϲ: Ζηνόδοτοϲ παρ' ὄχθηϲ (ὄχθῃϲ?) Schol. V. τινὲϲ δὲ Ϲαγγαρίοιο Schol. V.

τὸν μὲν Ὀιλιάδης δουρὶ κλυτὸς ἐγγύθεν ἐλθὼν
οὖτα κατὰ λαπάρην· ὃ δ' ἀνετράπετ', ἀμφὶ δ' ἄρ' αὐτῷ
Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην.
τῷ δ' ἐπὶ Πουλυδάμας ἐγχέσπαλος ἦλθεν ἀμύντωρ
Πανθοΐδης, βάλε δὲ Προθοήνορα δεξιὸν ὦμον,
υἱὸν Ἀρηιλύκοιο, δι' ὤμου δ' ὄβριμον ἔγχος
ἔσχεν, ὃ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
Πουλυδάμας δ' ἔκπαγλον ἐπεύξατο μακρὸν ἀύσας·
οὐ μὰν αὖτ' ὀίω μεγαθύμου Πανθοΐδαο
χειρὸς ἄπο στιβαρῆς ἅλιον πηδῆσαι ἄκοντα,
ἀλλά τις Ἀργείων κόμισε χροΐ, καί μιν ὀίω
αὐτῷ σκηπτόμενον κατίμεν δόμον Ἄϊδος εἴσω.
ὣς ἔφατ', Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο·
Αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε,
τῷ Τελαμωνιάδῃ· τοῦ γὰρ πέσεν ἄγχι μάλιστα.
καρπαλίμως δ' ἀπιόντος ἀκόντισε δουρὶ φαεινῷ.
Πουλυδάμας δ' αὐτὸς μὲν ἀλεύατο κῆρα μέλαιναν
λικριφὶς ἀίξας, κόμισεν δ' Ἀντήνορος υἱὸς
Ἀρχέλοχος· τῷ γάρ ῥα θεοὶ βούλευσαν ὄλεθρον.
τόν ῥ' ἔβαλεν κεφαλῆς τε καὶ αὐχένος ἐν συνεοχμῷ,
νείατον ἀστράγαλον, ἀπὸ δ' ἄμφω κέρσε τένοντε·
τοῦ δὲ πολὺ προτέρη κεφαλὴ στόμα τε ῥῖνές τε
οὔδει πλῆντ' ἤ περ κνῆμαι καὶ γοῦνα πεσόντος.

V. L. 446 ὁιλιάδης D. δουρὶ, κλυτὸς A. — 447 οὔτασε καλλαπάρην ACDHLS Cant. Barocc. Mor. Harl. Lips. Vrat. A. Mosc. 2. ὃδ' D. ὅδ' EGHL. ἂρ AGH. — 448 τρῷες L. ξύναγον E Rom. — 449 ἐπι HL. ἐγχέσπαλος A. — 451 ἀρηϊλύκοιο A. ἀρηϊλυκίοιο S. εὐρυλύκοιο Lips. ὄμβριμον C Flor. δόμβριμον S. — 452 ὃ δ' D. ὅδ' CGHL. — 453 δ' om. H. μακρὰ βιβάσθων AHS Harl. Vrat. d. γρ. μακρὸν ἀύσας A. — 454 οἴω E Lips. Rom. πανθοΐδαο L: ceteri πανθοίδαο. — 455 ἀπὸ ACDHL. ἅλιον D. — 456 κόμισεν DH. — 458 ὡς A. — 459 ὄρινε ACDEGHL Plutarchus Plat. Quaest. 3. — 462 πουλιδάμας G. ἀλεύσατο S. — 463 λϊκρϊφὴς C. κόμισε DE Lips. — 464 ἀρχίλοχος S. γὰρ ῥὰ DL. — 465 ὃν ἔβαλε E. τόν ῥ' ἔβαλε D Lips. κεφαλήν τε H Vrat. d. τὲ A. ἐν omitt. G. συνεχμῷ S. — 466 ἀπο CHL. τένοντε: τένοντας Lips. — 467 τοῦδε πολυ D. προτέρη ACDGHL et Heynii libri: πρότερον E Rom. στόμά τε C. ῥίνες τε D. — 468 οὐδεϊ ACDEGHL Et. Mg. 676, 47. Cram. Ep. 150, 20. πλήντ' D. γοῦνα καὶ κνῆμαι D. πεσόντα Vrat. d.

A. c. 449 ἦλθεν ἀμύντωρ conf. N 384. τινὲς ἦεν Schol. V. — 456 οὕτως κόμισε χωρὶς τοῦ ν̄ Didymus, conf. H. T. 392. — 463 λικριφὶς Aristarchus ὀξυτόνως. — 464 Ἀρχέλοχος Aristarchus. — 468 οὔδει, conf. H. U. 15.

Αἴας δ' αὖτ' ἐγέγωνεν ἀμύμονι Πουλυδάμαντι·
φράζεο Πουλυδάμα, καί μοι νημερτὲς ἐνίσπες,
ἦ ῥ' οὐχ οὗτος ἀνὴρ Προθοήνορος ἀντὶ πεφάσθαι
ἄξιος; οὐ μέν μοι κακὸς εἴδεται οὐδὲ κακῶν ἔξ,
ἀλλὰ κασίγνητος Ἀντήνορος ἱπποδάμοιο,
ἢ παῖς· αὐτῷ γὰρ γενεὴν ἄγχιστα ἐῴκει.
ἦ ῥ' εὖ γιγνώσκων, Τρῶας δ' ἄχος ἔλλαβε θυμόν.
ἔνθ' Ἀκάμας Πρόμαχον Βοιώτιον οὔτασε δουρὶ
ἀμφὶ κασιγνήτῳ βεβαώς· ὃ δ' ὕφελκε ποδοῖιν.
τῷ δ' Ἀκάμας ἔκπαγλον ἐπεύξατο μακρὸν ἀύσας·
Ἀργεῖοι ἰόμωροι, ἀπειλάων ἀκόρητοι,
οὔ θην οἴοισίν γε πόνος τ' ἔσεται καὶ ὀιζὺς
ἡμῖν, ἀλλά ποθ' ὧδε κατακτανέεσθε καὶ ὔμμες.
φράζεσθ' ὡς ὑμῖν Πρόμαχος δεδμημένος εὕδει
ἔγχει ἐμῷ, ἵνα μή τι κασιγνήτοιό γε ποινὴ
δηρὸν ἄτιτος ἔῃ. τῶ καί τέ τις εὔχεται ἀνὴρ
γνωτὸν ἐνὶ μεγάροισιν ἀρῆς ἀλκτῆρα λιπέσθαι.
ὣς ἔφατ', Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο·
Πηνέλεῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν·

V. L. 469 αὖτ', ἐγέγωνεν A. αὖτ' ἐγέγωνεν DH Townl. Mosc. 2. Vrat. d. αὖτε γέγωνεν CGL. πουλιδάμαντι G. — 470 ἔνισπε CDEGHLS et Heynii libri: ἐνίσπες solus A. ἔνισπες Cram. Ep. 290, 32. — 471 ἦ δὴ οὐχ E. οὐκ G. ἀντιπεφᾶσθαι ACDEL. ἀντιπεφάσθαι H. ἀντιπεφᾶπται G, conf. N 447. — 472 οὐ μέν τοι S. ἐξ H: ceteri ἔξ cum Jo. Alex. 28, 4. — 474 παῖς omnes praeter L, qui πάϊς exhibet. ἐῴκει: ἐν ἄλλῳ ἔοικεν A. — 475 γιγνώσκων L: γινώσκων ACDEGH. τρῷας L. ἔλαβε H. θυμόν ACDHL Harl. Lips. Ven. B. Mor. Vrat. A: θυμῷ EG Flor. Rom. θυμοῦ Cant. — 477 ὃ δ' D. ὅδ' CHL. — 479 ἰόμοροι H Vrat. A. — 481 ὕμμες DH. — 482 ὕμμϊν H. ὔμμιν Cant. ὑμῖν et ὑμῶν Harl. ἡμῶν Lips. — 483 ἵνα μή τοι S. ἐν ἄλλῳ ἔγχει ἐμῷ μή τοι τι A. γε: τε S. ποινῇ Vrat. d. — 484 ἔῃ: εἴη D Lips. καί τέ τἴς H. Vrat. d. vulgo καί κέ τις. G καί κε τις. Lips. omitt. κε. — 485 ἐνι A. ἐνὶμμεγάροις C. μεγάροις AEGHL. μεγάροισιν D. μεγάροισι S. ἄρεως ADGHS et Heynii libri. ἄρεως (ο supra ω) C. ἄρεος EL. λιπέσθαι: γενέσθαι ES Rom. γνωστὸν ἐνὶ μεγάροισιν ἄρηος ἀλκτῆρα γενέσθαι Et. Gud. 603, 29, conf. C 100.

A. c. 469 Ζηνόδοτος ἀμύμονα πουλυδαμαντ (sic) Didymus. — 470 Πουλυδάμα: Πουλυδάμαν Zenodotus. — 474 ἀριστοφάνης αὐτῷ γάρ ῥα φυὴν ἄγχιστα ἔοικεν Didymus. — 477 ὕφελκε h. l. libri omnes; ceteris locis plerique εἷλκε pro ἕλκε, cf. H. T. 238. — 484 ἔῃ ἄτιτος Heyne. Clarke. conf. God. Herm. ad Aesch. Agam. 72. καί τέ τις God. Hermannus Opusc. IV, 41 ex coniectura, quae confirmatur scriptura codd. H. Vrat. d. — 485 μεγάροισιν ἀρῆς Zenodotus: Aristarchus μεγάροις ἄρεω conf. C 100. 213. H. T. 203.

ὡρμήθη δ' Ἀκάμαντος· ὁ δ' οὐχ ὑπέμεινεν ἐρωὴν
Πηνελέωο ἄνακτος· ὁ δ' οὔτασεν Ἰλιονῆα,
υἱὸν Φόρβαντος πολυμήλου, τόν ῥα μάλιστα
Ἑρμείας Τρώων ἐφίλει καὶ κτῆσιν ὄπασσε·
τῷ δ' ἄρ' ὑπὸ μήτηρ μοῦνον τέκεν Ἰλιονῆα·
τὸν τόθ' ὑπ' ὀφρύος οὖτα κατ' ὀφθαλμοῖο θέμεθλα,
ἐκ δ' ὦσε γλήνην· δόρυ δ' ὀφθαλμοῖο διὰ πρὸ
καὶ διὰ ἰνίου ἦλθεν, ὁ δ' ἕζετο χεῖρε πετάσσας
ἄμφω. Πηνέλεως δὲ ἐρυσσάμενος ξίφος ὀξὺ
αὐχένα μέσσον ἔλασσεν, ἀπήραξεν δὲ χαμᾶζε
αὐτῇ σὺν πήληκι κάρη· ἔτι δ' ὄβριμον ἔγχος
ἦεν ἐν ὀφθαλμῷ· ὁ δὲ φὴ κώδειαν ἀνασχὼν
πέφραδέ τε Τρώεσσι καὶ εὐχόμενος ἔπος ηὔδα·
εἰπέμεναί μοι Τρῶες ἀγαυοῦ Ἰλιονῆος
πατρὶ φίλῳ καὶ μητρὶ γοήμεναι ἐν μεγάροισιν·
οὐδὲ γὰρ ἡ Προμάχοιο δάμαρ Ἀλεγηνορίδαο
ἀνδρὶ φίλῳ ἐλθόντι γανύσσεται, ὁππότε κεν δὴ
ἐκ Τροίης σὺν νηυσὶ νεώμεθα κοῦροι Ἀχαιῶν.
ὣς φάτο, τοὺς δ' ἄρα πάντας ὑπὸ τρόμος ἔλλαβε γυῖα,

V. l. 488 ὁ δ' D. ὅδ' GHL. — 489 πηνελέοιο CDEGHLS et Heynii libri. πηνελέωο A. πηνέλεω Cant. γρ. δὲ πηνελέωο Harl. ὁ δ' DL. ὅδ' CH. — 490 τὸν δὲ μάλιστα Mor. Barocc. — 491 τρῴων L. ὄπασσε AC DH Pausan. II, 3, 4. ὄπαζε S. ὤπασεν E. — 492 ἂρ DGHL. αρ A. ὑπο ADHL. — 494 libri διαπρὸ. — 495 ὁ δ' D. ὅδ' CGHL. πετάσας E Lips. — 496 πηνέλεος E Vrat. d. δ' ἐρυσσάμενος G Flor. Rom. — 497 χαμᾶζε ADEH: χαμάζε CGL — 498 πήλικι D. κάρην G. 2. man. ὄμβριμον CHS. — 499 ὁ δὲ φῆ AE Schol. C 253. Suidas II, 2, 1456, 2. ὁ δὴ φὴ G Schol. Nicandr. Alex. 215. ὁ δεφη Apoll. Soph. 106, 4. ὁ δ' ἔφη D. ὅδ' ἔφη CH. ὁ δ' ἔφη LS Lips. Vrat. A. b. d. — 500 τρῴεσσι L. ηὔδα D. — 501 τρῷες L. — 503 ἡ om. D. ἀλεγεινορίδαο L. — 505 συν A. — 506 ὑπο ACDH. τρόμος ἔλλαβε γυῖα ACEH (ἔλαβε) S (εἵλετο) Cant. Barocc. Mor. Lips. Rom. χλωρὸν δέος εἷλεν DGL. γρ. τοὺς ἄρα πάντας ὑπο χλωρὸν δέος εἷλε A.

A. c. 499 φὴ (= ὡς) Zenodotus: Aristarchus φῆ (= ἔφη), conf. Eust. 999, 25. — 500 Ἀρίσταρχος ἐκδεξάμενος τὸ ἔφη ῥῆμα ὁμοίως τῷ ἔβη δοκεῖ ἀθετεῖν τὸν δεύτερον στίχον (500), ὅπερ οὐκ ἀναγκαῖον Schol. A. Ἀρίσταρχος τὸ φῆ ῥῆμα ἐκδέχεται καὶ ἀθετεῖ τὸν ἑξῆς (500) Schol. A. οὐδέποτε τοῦ ποιητοῦ ἐπὶ τοῦ εἰπεῖν τάσσοντος τὴν λέξιν (φράσαι) διόπερ Ἀρίσταρχος ἐν τῇ Ξ (cod. Ρ) τῆς Ἰλιάδος ἠθέτηκεν „πέφραδέ τε Τρώεσσι καὶ εὐχόμενος“ Apoll. Soph. 165, 9, 10 et 11 conf. Bekk. Praef. Schol. in Hom. Iliad. pg. III. Lehrs. Arist. p. 93. — 505 σὺν: ἐν Zenodotus et Aristophanes, conf. Γ 159 ἐν νηυσὶ νεέσθω. ἰέναι σὺν νηί γ 323. κ 323. ω 152. ἐλθεῖν α 182. ι 373. Ε 641. (ἐν νηὶ β 263). ἱκέσθαι γ 61. βαίνειν Δ 181. ἀλάομαι γ 302. φεύγειν Β 74. 140. γ 165 πέμπειν Α. 183. 389.

πάπτηνεν δὲ ἕκαστος, ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.
ἔσπετε νῦν μοι μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι,
ὅς τις δὴ πρῶτος βροτόεντ' ἀνδράγρι' Ἀχαιῶν
ἤρατ', ἐπεί ῥ' ἔκλινε μάχην κλυτὸς ἐννοσίγαιος.
Αἴας ῥα πρῶτος Τελαμώνιος Ὕρτιον οὖτα
Γυρτιάδην, Μυσῶν ἡγήτορα καρτεροθύμων·
Φάλκην δ' Ἀντίλοχος καὶ Μέρμερον ἐξενάριξε·
Μηριόνης δὲ Μόρυν τε καὶ Ἱπποτίωνα κατέκτα,
Τεῦκρος δὲ Προθόωνά τ' ἐνήρατο καὶ Περιφήτην·
Ἀτρείδης δ' ἄρ' ἔπειθ' Ὑπερήνορα, ποιμένα λαῶν,
οὖτα κατὰ λαπάρην, διὰ δ' ἔντερα χαλκὸς ἄφυσσε
δῃώσας· ψυχὴ δὲ κατ' οὐταμένην ὠτειλὴν
ἔσσυτ' ἐπειγομένη, τὸν δὲ σκότος ὄσσε κάλυψε.
πλείστους δ' Αἴας εἷλεν, Ὀιλῆος ταχὺς υἱός·
οὐ γάρ οἵ τις ὁμοῖος ἐπισπέσθαι ποσὶν ἦεν
ἀνδρῶν τρεσσάντων, ὅτε τε Ζεὺς ἐν φόβον ὄρσῃ.

ΙΛΙΑΔΟϹ Ο.

Αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν
φεύγοντες, πολλοὶ δὲ δάμεν Δαναῶν ὑπὸ χερσίν,
οἳ μὲν δὴ παρ' ὄχεσφιν ἐρητύοντο μένοντες,

V. l. 507 πάπτηνε H Flor. πάπτηινεν C. ὅπῃ A Schol. O 1. ὅποι EG ceteri ὅπη cum Cram. An. Ox. II, 337, 22. φύγει D. φύγῃ Cant. Lips. — 508 ἔσπετε H. — 509 ἀνδράγρι' A. — 510 ἤιρατ' ACD. ἤρετο ἢ ἤρατο E. ἐπεί ῥ': ἐπεί περ Mor. μάχης S. κλειτὸς C. — 511 αἴας μὲν C. ῥὰ GL. οὖτα Lips. Flor. — 512 καρτερόθυμον S. — 513 φάλκυν Vrat. A. φάλτην Barocc. Mor. conf. Ν 791. ἐξενάριξε AC. — 515 ἐνήιρατο ACD. περιφήτην: πολυφήτην? cf. Ν 791. — 516 ἂρ ADGHL. — 517 οὖτα κατὰ λαπάρην DG. οὔτασε καλλαπάρην ACEHLS Lips. Rom. γρ. οὖτα κατὰ λαπάρην A, conf. 447. οὔτασε Schol. Ρ 24. δια CH. διὰ τ' ἔντεα Mor. ἄφυσσε ACGHL. — 518 δηϊώσας H. — 519 ὄσσε κάλυψε DHL Cant. Townl. Vrat. d. ὄσσ' ἐκάλυψε ACG. — 520 ἄνδρας εἷλεν Ὀϊλῆος ταχὺς Αἴας Schol. Κ 110. — 521 γάρ οἱ τῖς H. — 522 ἔμφοβον C. ὄρσῃ L Cant. ὄρσῃ S. ὥρσῃ G Vrat. d. Flor. ὄρσηι A. ὦρσεν CDH. ὦρσε E Lips. Townl. Rom.

A. c. 509 ἀθετοῦσι διὰ τὸ ξένον τῆς λέξεως (ἀνδράγρια) Schol. ABL.

V. l. 2 ὑπο A. — 3 οἳ μὲν C. παρόχεσφιν D.

χλωροὶ ὑπὸ δείους, πεφοβημένοι, ἔγρετο δὲ Ζεὺϲ
Ἴδηϲ ἐν κορυφῇϲι παρὰ χρυϲοθρόνου Ἥρηϲ.
ϲτῆ δ' ἄρ' ἀναΐξαϲ, ἴδε δὲ Τρῶαϲ καὶ Ἀχαιούϲ,
τοὺϲ μὲν ὀρινομένουϲ, τοὺϲ δὲ κλονέονταϲ ὄπιϲθεν
Ἀργείουϲ, μετὰ δέ ϲφι Ποϲειδάωνα ἄνακτα.
Ἕκτορα δ' ἐν πεδίῳ ἴδε κείμενον, ἀμφὶ δ' ἑταῖροι
εἵαθ'· ὃ δ' ἀργαλέῳ ἔχετ' ἄϲθματι κῆρ ἀπινύϲϲων,
αἷμ' ἐμέων, ἐπεὶ οὔ μιν ἀφαυρότατοϲ βάλ' Ἀχαιῶν.
τὸν δὲ ἰδὼν ἐλέηϲε πατὴρ ἀνδρῶν τε θεῶν τε,
δεινὰ δ' ὑπόδρα ἰδὼν Ἥρην πρὸϲ μῦθον ἔειπεν·
ἦ μάλα δὴ κακότεχνοϲ, ἀμήχανε, ϲὸϲ δόλοϲ, Ἥρη,
Ἕκτορα δῖον ἔπαυϲε μάχηϲ, ἐφόβηϲε δὲ λαούϲ.
οὐ μὰν οἶδ', εἰ αὖτε κακορραφίηϲ ἀλεγεινῆϲ
πρώτη ἐπαύρηαι καί ϲε πληγῇϲιν ἱμάϲϲω.
ἦ οὐ μέμνῃ, ὅτε τ' ἐκρέμω ὑψόθεν, ἐκ δὲ ποδοῖιν
ἄκμοναϲ ἧκα δύω, περὶ χερϲὶ δὲ δεϲμὸν ἴηλα
χρύϲεον ἄρρηκτον; ϲὺ δ' ἐν αἰθέρι καὶ νεφέληϲιν
ἐκρέμω· ἠλάϲτεον δὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον,
λῦϲαι δ' οὐκ ἐδύναντο παραϲταδόν· ὃν δὲ λάβοιμι,
ῥίπταϲκον τεταγὼν ἀπὸ βηλοῦ, ὄφρ' ἂν ἵκηται
γῆν ὀλιγηπελέων· ἐμὲ δ' οὐδ' ὧϲ θυμὸν ἀνίει

V. l. 4 ὑπὸ Lips. Et. Mg. 262, 19. Bekk. An. 1209. libri ὑπαὶ. D ὕπαι. — 5 χρυϲοθρόνου A. — 6 ἂρ ADEGH. τρῷαϲ L. — 8 ποϲιδάωνα A, in marg. ποϲειδάωνα. — 9 ἀμφι D. — 10 εἵαθ' H. ὃ δ' D. ὅδ' CHL. — 11 ἀφαυρότεροϲ S Vrat. A. — 12 τόνδε H. — 13 προϲ CH. — 18 ἦ Schol. Λ 441. Ο 21. Ϲ 239. Φ 397. Heracl. Alleg. 40. Cram. An. Ox. IV, 379. 3. μέμνηϲ' Rhet. Gr. III, 244, 23. ὅτ' ἐκρέμω L post ras. Lips. Cant. Cram. An. Ox. IV, 379, 3. ὅτε ἐκρέμω Rhet. Gr. III, 244, 23. — 19 περι A. — 21 ἠλάϲτεον: ἐλάτεον S. ἠλάτεον Vrat. A. κατα A. — 23 ἀνίκηται G. — 24 ὀλιγηπελέων AHL. ὡϲ AD. θυμὸν AC 1. man. DH Lips. 1. man. Harl. Mosc. θυμὸϲ C ex corr. E ter GLS Lips. suprascr. ἀνΐει A. ἀνήει HL. ἀνῄει Cant. Vrat. d. ἀνίη Townl. οὐδ' ὧϲ θυμὸϲ ἀνῆκεν Jo. Alex. 32, 2.

A. c. 4 Aristarchus et Herodianus ὑπαὶ: ὕπαι Tyrannio. — 5 προϲτιθέαϲι δὲ καὶ τὸ „ἕζετο δ' ὀρθωθεὶϲ μαλακὸν δ' ἔνδυνε χιτῶνα" (B 42) Schol. V. — 10 Herodianus εἵαθ': εἷαθ' Aristarchus. κῆρ ἀπινύϲϲων Aristarchus, Ptol. Ascalonita, Alexio, Herodianus: κῆρ ἀπινύϲκων Aristophanes. alii κῆρα πινύϲϲων. — 15 τινὲϲ ἐφόβηϲε δ' Ἀχαιούϲ Schol. V. — 17 οὕτω διὰ τοῦ η ἐπαύρηαι Didymus. ἐπαυρῆαι Tyrannio, conf. H. T. 228. — 18 διὰ τοῦ ηι μέμνηι εἶχον πᾶϲαι Didymus. — 18—31 Ζηνόδοτοϲ οὐδὲ ὅλωϲ τὴν κόλαϲιν τῆϲ ἥραϲ γράφει Schol. A. — 22 τινὲϲ γράφουϲι „πρίν γ' ὅτε (cod. πρὶν τότε) δή ϲ' ἀπέλυϲα πέδων, μύδρουϲ δ' ἐνὶ Τροίῃ κάββαλον, ὄφρα πέλοιτο καὶ ἐϲϲομένοιϲι πυθέϲθαι" Schol. V, conf. Eust. 1003, 13. — 23 βηλοῦ: βήλου Crates. — 24 ἀρίϲταρ-

ἀζηχὴϲ ὀδύνη Ἡρακλῆοϲ θείοιο,
τὸν ϲὺ ξὺν βορέῃ ἀνέμῳ πεπιθοῦϲα θυέλλαϲ
πέμψαϲ ἐπ' ἀτρύγετον πόντον, κακὰ μητιόωϲα,
καί μιν ἔπειτα Κόων δ' εὖ ναιομένην ἀπένεικαϲ.
τὸν μὲν ἐγὼν ἔνθεν ῥυϲάμην καὶ ἀνήγαγον αὖτιϲ
Ἄργοϲ ἐϲ ἱππόβοτον καὶ πολλά περ ἀθλήϲαντα.
τῶν ϲ' αὖτιϲ μνήϲω, ἵν' ἀπολήξῃϲ ἀπατάων,
ὄφρα ἴδῃ, ἤν τοι χραίϲμῃ φιλότηϲ τε καὶ εὐνή,
ἣν ἐμίγηϲ ἐλθοῦϲα θεῶν ἄπο καί μ' ἀπάτηϲαϲ.
ὣϲ φάτο, ῥίγηϲεν δὲ βοῶπιϲ πότνια Ἥρη,
καί μιν φωνήϲαϲ' ἔπεα πτερόεντα προϲηύδα·
ἴϲτω νῦν τόδε γαῖα καὶ οὐρανὸϲ εὐρὺϲ ὕπερθε
καὶ τὸ κατειβόμενον Ϲτυγὸϲ ὕδωρ, ὅϲ τε μέγιϲτοϲ
ὅρκοϲ δεινότατόϲ τε πέλει μακάρεϲϲι θεοῖϲι,
ϲή θ' ἱερὴ κεφαλὴ καὶ νωίτερον λέχοϲ αὐτῶν
κουρίδιον, τὸ μὲν οὐκ ἂν ἐγώ ποτε μὰψ ὀμόϲαιμι·
μὴ δι' ἐμὴν ἰότητα Ποϲειδάων ἐνοϲίχθων
πημαίνει Τρῶάϲ τε καὶ Ἕκτορα, τοῖϲι δ' ἀρήγει,
ἀλλά που αὐτὸν θυμὸϲ ἐποτρύνει καὶ ἀνώγει,
τειρομένουϲ δ' ἐπὶ νηυϲὶν ἰδὼν ἐλέηϲεν Ἀχαιούϲ.
αὐτάρ τοι καὶ κείνῳ ἐγὼ παραμυθηϲαίμην
τῇ ἴμεν, ᾗ κεν δὴ ϲὺ κελαινεφὲϲ ἡγεμονεύῃϲ.

V. l. 26 ξυν A. ξυμβορέηι D cum Schol. Apoll. Rhod. I, 1300. — 27 μιτιόωϲα G. — 28 κόων sine δ' Lips. conf. Ξ 255. εὖ ναιομένην AC DEGLS. — 29 ἐγὼ Lips. ἔνθεν: αὖτιϲ Cant. ἐρυϲάμην D. αὖτιϲ: αὖθϊϲ C (Vrat.). — 31 αὖθϊϲ C. τῶν αὖτιϲ Cant. ἀπολήξηϲ DE Lips. Barocc. Vrat. A. — 32 ὄφρα ἴδῃϲ ACDE bis Mor. Townl. frgm. Mosc. Vrat. d. Rom. Plutarchus de Aud. poët. 4. ὄφρ' εἰδῇϲ GLS. ὄφρα ἴδοι Lips. ἤν τι EL. — 34 ὡϲ A. — 35 προϲηῦδα D. — 36 ὕπερθε ACDE frgm. Mosc. Vrat. A. Flor. Schol. Ο 21. Pausanias VIII, 18, 2 ὕπερθεν Schol. Θ 1. — 38 τε om. L. θεοῖϲι AGEGH. — 39 ἱερὰ D Lips. — 40 ἐγώ ποτὲ L. — 41 ποϲιδάων A et in marg. ποϲειδάων. — 42 πημαίνειν Lips. τρῷαϲ L. — 43 omitt. frgm. Mosc. θυμὸϲ αὐτὸν L. — 45 κἀκείνῳ EG HLS. κακείνωι D. καὶ κείνῳ AC Ven. B. Cant. Harl. frgm. Mosc. Cram. Ep. 412, 28. — 46 τῆ C. ἡγεμονεύῃϲ AE Harl. frgm. Mosc. ἡγεμονεύειϲ CDHLS Cant. Barocc. Townl. Lips. Ven. B. Vrat. b. d. A. Flor. Rom. Suidas II, 2, 1098, 8. ἡγεμονεύοιϲ G.

A. c. χοϲ θυμόν, ἄλλοι δὲ θυμόϲ. ἔϲτι δὲ ὁ τῆϲ ὁμηρικῆϲ (cod. ἀριϲτάρχου) φράϲεωϲ χαρακτὴρ „οἵ ϲ' ὠτειλῆϲ αἷμ' ἀπολιχμήϲονται (Φ 122) Didymus. — 31 ἀπολήξηϲ: διὰ τοῦ ἑτέρου λ αἱ ἀριϲτάρχου Didymus. — 32 ἴδῃ Aristarchus. cf. H. T. 285. — 33 οὔτε παρὰ Ζηνοδότῳ οὔτε παρ' Ἀριϲτοφάνει ἦν Didymus. — 44 τειρομένουϲ: κτεινομένουϲ Aristophanes, Argolica, Massiliensis, conf. Eust. 1005, 18. — 45 καὶ κείνῳ: ἐκ πλήρουϲ ἀρίϲταρχοϲ τὸν καί ϲύνδεϲμον Didymus.

ὣς φάτο· μείδησεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε,
καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
εἰ μὲν δὴ σύ γ' ἔπειτα βοῶπι πότνια Ἥρη
ἶσον ἐμοὶ φρονέουσα μετ' ἀθανάτοισι καθίζοις,
τῶ κε Ποσειδάων γε, καὶ εἰ μάλα βούλεται ἄλλῃ,
αἶψα μεταστρέψειε νόον μετὰ σὸν καὶ ἐμὸν κῆρ.
ἀλλ' εἰ δή ῥ' ἐτεόν γε καὶ ἀτρεκέως ἀγορεύεις,
ἔρχεο νῦν μετὰ φῦλα θεῶν, καὶ δεῦρο κάλεσσον
Ἶρίν τ' ἐλθέμεναι καὶ Ἀπόλλωνα κλυτότοξον.
ὄφρ' ἣ μὲν μετὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων
ἔλθῃ, καὶ εἴπῃσι Ποσειδάωνι ἄνακτι
παυσάμενον πολέμοιο τὰ ἃ πρὸς δώμαθ' ἱκέσθαι,
Ἕκτορα δ' ὀτρύνῃσι μάχην ἐς Φοῖβος Ἀπόλλων.
αὖτις δ' ἐμπνεύσῃσι μένος, λελάθῃ δ' ὀδυνάων,
αἳ νῦν μιν τείρουσι κατὰ φρένας, αὐτὰρ Ἀχαιοὺς
αὖτις ἀποστρέψῃσιν ἀνάλκιδα φύζαν ἐνόρσας,
φεύγοντες δ' ἐν νηυσὶ πολυκλήισι πέσωσι
Πηλείδεω Ἀχιλῆος· ὃ δ' ἀνστήσει ὃν ἑταῖρον
Πάτροκλον· τὸν δὲ κτενεῖ ἔγχεϊ φαίδιμος Ἕκτωρ
Ἰλίου προπάροιθε πολέας ὀλέσαντ' αἰζηοὺς
τοὺς ἄλλους, μετὰ δ' υἱὸν ἐμὸν Σαρπηδόνα δῖον.

V. ι. 47 ὥς A. μείδησε H Lips. — 48 καί μιν φωνήσας Vrat. b. προσηῦδα D. — 49 βοῶπι AL: ceteri βοῶπις, conf. Θ 420. Σ 385. 424. Ω 88. ε 87. ω 192. de productione vocalis brevis ante π conf. H. U. 65. — 50 ἴσον D. καθίζεις ES Barocc. Townl. — 51 τῶ ACDHL: τῷ G. κεν G Flor. ποσιδάων A et in marg. ποσειδάων. γε omitt. Harl. Townl. — 52 μετατρέψειε S. μετα A. — 54 μετα A. κάλεσον G. ἐν ἄλλῳ κέλευσον
κλῦτο
A. — 55 κλιτότοξον G. χρυσότοξον C (κλῦτο 2. man. add.). — 56 ἢ μὲν C. ἀχαιῶν μετὰ λαὸν C. χαλκοχιτώνων A. — 57 ποσιδάωνι A. — 58 παυσαμένῳ E bis Rom. πολέμϊο G. — 59 μάχην ἐς A. — 60 αὖθϊς CL. ἀμπνεύσῃσι L. λελάθοι H frgm. Mosc. — 61 τείρουσιν κατα D. — 62 αὖθϊς C. ὑποστρέψῃσι Mor. — 63 πολυκλῖῃσι G. πέσωσι ACDEGH Schol. O 56: πέσωσιν L. — 64 ὃ δ' D. ὅδ' CGHL. ἀνστήσοι L. ἀνστήσῃ E. ἀνστήσειεν S. — 66 πολέας: πολεῖς ADEGHS et Heynii libri Schol. N 734. πολοὺς C. ὀλέσοντ' A et in marg. ὀλέσαντ'. — 67 μετα H.

A. c. 49 ἀριστοφάνης μετὰ τοῦ σ̄ βοῶπις. καὶ ἔστιν εὐφραδέστερον Didymus. — 53 οὕτω διὰ τοῦ γε ἐτεόν γε καὶ ἀριστοφάνης Didymus. — 56–57 καὶ παρὰ ἀριστοφάνει ἠθέτηντο Didymus. — 63, 64 ἀθετοῦνται, ὅτι ψεῦδος Schol. A. — 64 ἀνστήσει ὃν Aristarchus: τινὲς ἀνστήσειεν Schol. A. — 64–77 Ζηνόδοτος οὐδ' ὅλως ἔγραφεν Schol. A. — 66 Ἰλίου προπάροιθε conf. ad B 325.

τοῦ δὲ χολωσάμενος κτενεῖ Ἕκτορα δῖος Ἀχιλλεύς.
ἐκ τοῦ δ' ἄν τοι ἔπειτα παλίωξιν παρὰ νηῶν
αἰὲν ἐγὼ τεύχοιμι διαμπερές, εἰς ὅ κ' Ἀχαιοὶ
Ἴλιον αἰπὺ ἕλοιεν Ἀθηναίης διὰ βουλάς.
τὸ πρὶν δ' οὔτ' ἄρ' ἐγὼ παύω χόλον οὔτέ τιν' ἄλλον
ἀθανάτων Δαναοῖσιν ἀμυνέμεν ἐνθάδ' ἐάσω,
πρίν γε τὸ Πηλεΐδαο τελευτηθῆναι ἐέλδωρ,
ὥς οἱ ὑπέστην πρῶτον, ἐμῷ δ' ἐπένευσα κάρητι,
ἤματι τῷ, ὅτ' ἐμεῖο θεὰ Θέτις ἥψατο γούνων,
λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον.
ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη,
βῆ δ' ἐξ Ἰδαίων ὀρέων ἐς μακρὸν Ὄλυμπον.
ὡς δ' ὅτ' ἂν ἀΐξῃ νόος ἀνέρος, ὅς τ' ἐπὶ πολλὴν
γαῖαν ἐληλουθὼς φρεσὶ πευκαλίμῃσι νοήσῃ
„ἔνθ' εἴην, ἢ ἔνθα," μενοινήῃσί τε πολλά,
ὣς κραιπνῶς μεμαυῖα διέπτατο πότνια Ἥρη·
ἵκετο δ' αἰπὺν Ὄλυμπον, ὁμηγερέεσσι δ' ἐπῆλθεν
ἀθανάτοισι θεοῖσι Διὸς δόμῳ· οἳ δὲ ἰδόντες

V. ι. 68 ἀχϊλεύς C. — 69 ἐκ τοῦ δή τοι Cant. παλλίωξιν DH. — 70 εἰσόκ' libri. — 71 ἕλοιεν: ἕλωσιν C Lips. 1. man. — 72 τοπρὶν EL. οὐ τὰρ H. ἂρ ADEGL. παύω AGL Harl. frgm. Mosc. παύσω DEH Lips.
σ
παύω C. οὔτέ CGL. οὐτέ H. ἄλλον ACEGHL Harl. Lips. Ven. B. Vrat. b. d. A. frgm. Mosc.: ἄλλων D. — 75 πρώτωι C 1. man. — 76 ἥματι D. — 77 τιμῆσαι: τῖσαι Lips. ἀχιλῆα CD Lips. — 78 ὡς A. βοῶπις πότνια ἥρη S Harl. — 79 βῆ δ' ἐξ ἰδαίων S Harl. Lips. — 80 ὅτ' ἂν ἀΐξῃ ADG Rom. Schol. Apoll. Rhod. II, 541. ὅταν ἀΐξῃ C Et. Mg. 342, 14. 606, 30. Et. Gud. 411, 46. Zonar. Lex. 1405. Cram. An. Ox. III, 22, 3. Schol. Λ 269. Υ 291. ὅτ' ἂν vel ὅταν ἀΐξῃ Ven. B. Mor. frgm. Mosc. Vrat. b. ὅτ' ἂν ἀΐξῃ ἢ ὅταν ἀΐξῃ E. ὅτ' ἀναΐξῃ HL Lips. ἀΐξει S. —
η
81 ἐληλευθὼς H. ἐληλυθὼς Lips. νοήσει E. νοήσει L. νοήσοι Schol. Λ 269. — 82 εἴην ACD 1. man. (?) E Ven. B. Cram. An. Par. III, 20, 21. ἴην S. εἴη D post ras. GHL. frgm. Mosc. Vrat. d. Et. Mg. 342, 15 (ubi explicatur εἴην). Apoll. Soph. 111, 15 (ubi omitt. ἤ). ἔνθα ἴη ἢ Schol. Λ 269. εἴην, ἥην et εἴη Eust. 1007, 2. μενοινήσειέ ACDEGHL Schol. Λ 269. Apoll. Soph. 111, 15. — 83 ὡς A. διέπτα Lips. — 84 ἀπῆλθεν S. — 85 οἳ δὲ C.

A. c. 69 ἡ διπλῆ σὺν ἀστερίσκῳ (qui deest in codice), conf. M 71. — 71 αἰπὺ ἕλοιεν: ἀρίσταρχος ἴλιον ἐκπέρσωσιν Didymus. ἀθετεῖται, conf. Schol. Δ 46. M 115. — 72 οὕτως ἀρίσταρχος χωρὶς τοῦ σ̄ παύω Didymus. ἄνευ τοῦ σ̄ οἱ περὶ Ἡρωδιανόν Schol. BLV. — 78 τινὲς μετὰ τοῦτον γράφουσι „Ζῆν' ὑποταρβήσασα, νόος δέ οἱ ἄλλα μενοίνα" Schol. V. — 79 δὲ κατ': δ' ἐξ Zenodotus conf. Θ 410. — 82 οὕτως ἀρίσταρχος ἔνθ' εἴην μετὰ τοῦ ν̄ καὶ διὰ τῶν β' ῆ μενοινήῃσί τε Didymus.

πάντες ἀνήϊξαν καὶ δεικανόωντο δέπαccιν.
ἣ δ᾽ ἄλλους μὲν ἔαcε, Θέμιcτι δὲ καλλιπαρῄῳ
δέκτο δέπαc· πρώτη γὰρ ἐναντίη ἦλθε θέουcα,
καί μιν φωνήcαc᾽ ἔπεα πτερόεντα προcηύδα·
῞Ηρη, τίπτε βέβηκαc; ἀτυζομένῃ δὲ ἔοικαc.
ἦ μάλα δή cε φόβηcε Κρόνου πάιc, ὅc τοι ἀκοίτηc.
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεὰ λευκώλενοc ῞Ηρη·
μή με θεὰ Θέμι ταῦτα διείρεο· οἶcθα καὶ αὐτή,
οἷοc κείνου θυμὸc ὑπερφίαλοc καὶ ἀπηνήc.
ἀλλὰ cύ γ᾽ ἄρχε θεοῖcι δόμοιc ἔνι δαιτὸc ἐίcηc·
ταῦτα δὲ καὶ μετὰ πᾶcιν ἀκούcεαι ἀθανάτοιcιν,
οἷα Ζεὺc κακὰ ἔργα πιφαύcκεται· οὐδέ τί φημι
πᾶcιν ὁμῶc θυμὸν κεχαρηcέμεν, οὔτε βροτοῖcιν
οὔτε θεοῖc, εἴ πέρ τιc ἔτι νῦν δαίνυται εὔφρων.
ἡ μὲν ἄρ᾽ ὣc εἰποῦcα καθέζετο πότνια ῞Ηρη,
ὤχθηcαν δ᾽ ἀνὰ δῶμα Διὸc θεοί· ἣ δὲ γέλαccε
χείλεcιν, οὐδὲ μέτωπον ἐπ᾽ ὀφρύcι κυανέῃcιν
ἰάνθη· πᾶcιν δὲ νεμεccηθεῖcα μετηύδα·
νήπιοι, οἳ Ζηνὶ μενεαίνομεν ἀφρονέοντεc·
ἦ ἔτι μιν μέμαμεν καταπαυcέμεν ἆccον ἰόντεc,

V. L. 86 καὶ ἐδεικανόωντο CH Vrat. d. δεπάεccιν D Vrat. A. — 87 ἣ δ᾽ D. ἥδ᾽ CGHL. ἔαccε C edd. vett. καλλιπαρήῳ EGH. ceteri καλλιπαρήῳ. — 88 ἐναντίοc L. ἦλθε φέρουcα Lips. Harl. frgm. Mosc. — 89 προcηῦδα D. — 91 cε φόβηcε ADG: ceteri libri mei c᾽ ἐφόβηcε. πάϊc G: ceteri παῖc. ὅc τοι: cóc τοι Lips. ὅc τιc frgm. Mosc. — 92 βοῶπιc πότνια ἥρη S. ἐν ἄλλῳ βοῶπιc πότνια A (?). — 93 διήρεο C. — 94 ἐκείνου ACDEGHLS Schol. O 97. οἷοc θυμὸc ἐκείνου Lips. ἀπεινήc Barocc. — 95 ἐνι G. — 96 μετα A. — 97 πιφάccεται Mor οὐδέ τι φημὶ ACDEGL. οὐδέ τε S. οὐδέ ἑ φημῖ H. γρ. ἑ Lips. — 98 θυμῷ H Vrat. b.
ε
d. κεχαρῖcαίμεν C. — 99 εἴ πέρ τιc ACDEHL. ἔτι omitt. G Flor. ἐΰφρων G, an δαίνυτ᾽ ἐΰφρων? sed conf. H. U. 96. — 100 ἡ μὲν C. ἄρ ADGHL. ὡc D. — 101 ὄχθηcαν H Lips. Harl. Townl. Vrat. b. d. A. frgm. Mosc. ὤχθηcαν libri mei praeter H, Eust. conf. A 570. ἥδ᾽ CHL. ἡ δὲ γέλαccε A frgm. Mosc. ἐγέλαccε CDGL. — 102 μετώπου L. κυανέοιcιν L. — 103 πᾶcι D. μετηῦδα D. προcηύδα H Townl. — 104 Ζηνὸc Barocc.
αδ
ἀφρονέοντεc A. ἀφραδέοντεc C Mor. μενεαίνομεν ἰcοφαρίζειν Heracl. Alleg. 2. — 105 ἣ DG. ἠέ τι L Harl. ἄccoν A.

A. c. 86 δέπαccιν Aristarchus: ἐπέεccιν Zenodotus. ἐν ἐνίοιc „κάλεόν τέ μιν εἰc ἓ ἕκαcτοc“ (ut Ψ 203) οὐκ εὖ Schol. A. — 94 ἐκείνου: κείνου Aristarchus. — 104 ἀφρονέοντεc: κατ᾽ ἔνια τῶν ὑπομνημάτων ἀφρονέοντα (sic) Didymus, τινὲc ἐριδαίνομεν ἀφρονέοντι Schol. V.

ἤ ἔπει ἠὲ βίῃ· ὃ δ᾽ ἀφήμενοc οὐκ ἀλεγίζει
οὐδ᾽ ὄθεται· φηcὶν γὰρ ἐν ἀθανάτοιcι θεοῖcι
κάρτεϊ τε cθένεϊ τε διακριδὸν εἶναι ἄριcτοc.
τῷ ἔχεθ᾽, ὅττί κεν ὔμμι κακὸν πέμπῃcιν ἑκάcτῳ.
ἤδη γὰρ νῦν ἔλπομ᾽ ῎Αρηΐ γε πῆμα τετύχθαι·
υἱὸc γάρ οἱ ὄλωλε μάχῃ ἔνι, φίλτατοc ἀνδρῶν,
᾽Αcκάλαφοc, τόν φηcιν ὃν ἔμμεναι ὄβριμοc ῎Αρηc.
ὣc ἔφατ᾽, αὐτὰρ ῎Αρηc θαλερὼ πεπλήγετο μηρὼ
χερcὶ καταπρηνέcc᾽, ὀλοφυρόμενοc δ᾽ ἔποc ηὔδα·
μὴ νῦν μοι νεμεcήcετ᾽ ᾽Ολύμπια δώματ᾽ ἔχοντεc,
τίcαcθαι φόνον υἷοc ἰόντ᾽ ἐπὶ νῆαc ᾽Αχαιῶν.
εἴ πέρ μοι καὶ μοῖρα Διὸc πληγέντι κεραυνῷ
κεῖcθαι ὁμοῦ νεκύεccι μεθ᾽ αἵματι καὶ κονίῃcιν.
ὣc φάτο, καί ῥ᾽ ἵππουc κέλετο Δεῖμόν τε Φόβον τε
ζευγνύμεν, αὐτὸc δ᾽ ἔντε᾽ ἐδύcετο παμφανόωντα·
ἔνθά κ᾽ ἔτι μείζων τε καὶ ἀργαλεώτεροc ἄλλοc
πὰρ Διὸc ἀθανάτοιcι χόλοc καὶ μῆνιc ἐτύχθη,
εἰ μὴ ᾽Αθήνη πᾶcι περιδείcαcα θεοῖcιν
ὦρτο δι᾽ ἐκ προθύρου, λίπε δὲ θρόνον ἔνθα θάαccε.
τοῦ δ᾽ ἀπὸ μὲν κεφαλῆc κόρυθ᾽ εἵλετο καὶ cάκοc ὤμων,
ἔγχοc δ᾽ ἔcτηcε cτιβαρῆc ἀπὸ χειρὸc ἑλοῦcα
χάλκεον· ἣ δ᾽ ἐπέεccι καθάπτετο θοῦρον ῎Αρηα·

V. L. 106 ὃ δ᾽ D. ὅδ᾽ CGHL. — 107 φηcὶ CDE Lips. Vrat. A. θεοῖcι ACDGH. — 108 κάρτεϊ libri. H κράτεϊ. — 109 τῶ ACDHL: τῷ EG. ότι D. ὅττί A. ὔμμϊ H. ἄμμι ἢ ὔμμι E — 111 ἔνι ACHL Schol. O 112. ἐνι D. ἐνὶ G. — 112 τὸν φηcὶν ACDEL. εἶναι C et man. rec. γρ. ἔμμεναι. ὄμβριμοc CH. — 113 ὡc A. θαλερῷ . . . . μηρῷ D Et. Mg. 441, 40. — 114 δ᾽ ἔποc ηὔδα AE Lips. Rom.: δὲ προcηύδα CGHLS. δὲ
ε
προcηῦδα D. — 115 μοι omitt. L. — 116 τίcαcθαι A. τίcεcθαι Cant. — 117 εἰπέρ μοι ACEH. Schol. Z 488. Eust. 1002, 45. εἰπέρ D. — 118 κεῖcθ᾽ H. αἵματοc L. — 119 ὡc A. κέκλετο GL Flor. — 120 ἐδύcατο CS Vrat.
ε
A. Barocc. frgm. Mosc. Lips. ἐδύcατο A. ἐδύccατο E. ἐδύccετο Rom. ἔντεα δύcετο L. παμφανόεντα Barocc. — 121 ἐνθά AC. κ᾽ ἔτι ACH Lips. Townl. Vrat. d. κέ τι S Harl. Vrat. A. frgm. Mosc. κέ τιc DEGL. — 122 παρ AD. — 123 ἀθηναίη D. περιδδείcαcα libri. — 124 δι᾽ ἐκ ACDGHL. μὲν ἐκ ἢ δι᾽ ἐκ E. θάαccε ACG. θάαcε Townl. — 126 ὤμοιιν H Vrat. d. — 126 ἔcτηcεν CD. cτηβαρῆc G. ἀπο A et supr. εκ. ἀπὸ DGH Harl. Mor. Vrat. A. ἐκ CL. ἀπὸ ἢ ἐκ E. — 127 ἥδ᾽ CGHL. ἠδ᾽ D. καθήπτετο Townl. 2. man.

A. c. 114 οὕτωc καὶ ἡ ἀριcτάρχου καὶ πᾶcαι ἔποc ηὔδα, οὐ προcηύδα Didymus. conf. 398. — 123 περιδείcαcα, διὰ τοῦ ἑτέρου δ αἱ ἀριcτάρχου Didymus, conf. H. T. 390. — 127 ἣ δ᾽ Aristarchus, alii ἠδ᾽. cf. H. T. 269.

μαινόμενε, φρένας ἠλέ, διέφθορας. ἦ νύ τοι αὔτως
οὔατ᾽ ἀκουέμεν ἐςτί, νόος δ᾽ ἀπόλωλε καὶ αἰδώς.
οὐκ ἀίεις ἅ τέ φηςι θεὰ λευκώλενος Ἥρη,
ἣ δὴ νῦν πὰρ Ζηνὸς Ὀλυμπίου εἰλήλουθεν;
ἦ ἐθέλεις αὐτὸς μὲν ἀναπλήςας κακὰ πολλὰ
ἂψ ἴμεν Οὔλυμπον δὲ καὶ ἀχνύμενός περ ἀνάγκῃ,
αὐτὰρ τοῖς ἄλλοιςι κακὸν μέγα πᾶςι φυτεῦςαι;
αὐτίκα γὰρ Τρῶας μὲν ὑπερθύμους καὶ Ἀχαιοὺς
λείψει, ὃ δ᾽ ἡμέας εἶςι κυδοιμήςων ἐς Ὄλυμπον,
μάρψει δ᾽ ἑξείης ὅς τ᾽ αἴτιος ὅς τε καὶ οὐκί.
τῶ ς᾽ αὖ νῦν κέλομαι μεθέμεν χόλον υἷος ἑῆος·
ἤδη γάρ τις τοῦ γε βίην καὶ χεῖρας ἀμείνων
ἢ πέφατ᾽ ἢ καὶ ἔπειτα πεφήςεται· ἀργαλέον δὲ
πάντων ἀνθρώπων ῥῦςθαι γενεήν τε τόκον τε.
ὣς εἰποῦς᾽ ἵδρυςε θρόνῳ ἔνι θοῦρον Ἄρηα.
Ἥρη δ᾽ Ἀπόλλωνα καλέςςατο δώματος ἐκτὸς
Ἶρίν θ᾽, ἥ τε θεοῖςι μετάγγελος ἀθανάτοιςι·
καί ςφεας φωνήςας᾽ ἔπεα πτερόεντα προςηύδα·
Ζεὺς ςφὼ εἰς Ἴδην κέλετ᾽ ἐλθέμεν ὅττι τάχιςτα·
αὐτὰρ ἐπὴν ἔλθητε, Διός τ᾽ εἰς ὦπα ἴδηςθε,
ἕρδειν, ὅττί κε κεῖνος ἐποτρύνῃ καὶ ἀνώγῃ.

V. L. 128 μαινόμενε: δαιμόνιε Et. Mg. 68, 46. Et. Gud. 38, 36. Zonar. Lex. 140. Cram. An. Par. IV, 109, 27. ἠλέ: ἠλεὲ D. 2. man. HL Vrat. A. Flor. Apoll. Soph. 83, 19. Schol. Υ 67. ἢ CD Lips. αὔτως EGH. αύτως A. — 129 δ᾽ omitt. G. ἀπόλωλε καὶ αὐτὸς Barocc. Mor. — 130 ἅ, τε, φηςὶ A. ἅτε φηςὶ CDE (φηςὶν) GHL. — 131 ἤδη Lips. παρ ADG. εἰληλούθει L. — 132 ἢ CDEL. ἠὲ θέλεις G Flor. — 133 οὔλυμπον δὲ AD. — 134 αὐτὰρ ὃ τοῖς G Vrat. A. Flor. μέγα πῆμα S. ἐν ἄλλῳ πῆμα φυτεῦςαι A. — 135 τρῷας L. — 136 ὃ δ᾽ AD. ὅδ᾽ CGHL. εἰς H. ἐςόλυμπον A. — 137 ἐξείης G. — 138 τῶ ACDH: τῷ GL. ἑῆος ACDGL ἦος Schol. Ω 528. ἑοῖο H. γρ. ἑοῖο L. — 139 τοῦ γε AL Townl. Vrat. b: τοῦδε CDEGH. — 140 πεφάςςεται S Vat. — 141 ῥύςθαι D. — 142 ἔνι ACEGHL: ἐνὶ D. — 144 θ᾽ erasum in L. μετ᾽ ἄγγελος ACLS Mor. Vrat. b. frgm. Mosc. μετάγγελος DEGH. εἰ δὲ γράφεται θεοῖςι μέτ᾽ ἄγγελος, οὐκ ἂν εἴη ἀπῳδόν Eust. 1009, 51. ἀθανάτοιςι ACDG. — 145 προςηῦδα D. — 146 εἰςῖδην A. κέλεται L. ἐλθεῖν ES. — 147 τ᾽ omitt. L. εἰςῶπα AD. ἰδέςθαι L. ἴδεςθε Lips. — 148 ἕρδειν HL. ὅττί A. ὅ, ττι G. ὅτι D. κ᾽ ἐκεῖνος S Vat. Vrat. b. κἀκεῖνος D. ἐποτρύνει καὶ ἀνώγει DS Vat. Vrat. b. ἀνώγει H, sed ἐποτρύνῃ.

A. c. 134 κακὸν μέγα πᾶςι Aristophanes: Zenodotus θεοῖς μέγα πῆμα. — 138 ἑῆος: ἑοῖο Zenodotus. — 139 τοῦ γε: ζηνόδοτος καὶ ἀριςτοφάνης τοῦδε Didymus. — 147, 148 ἀθετοῦνται. καὶ ἀριςτοφάνης προηθέτει Schol. A.

ἣ μὲν ἄρ᾽ ὣς εἰποῦςα πάλιν κίε πότνια Ἥρη,
ἕζετο δ᾽ εἰνὶ θρόνῳ· τὼ δ᾽ ἀίξαντε πετέςθην.
Ἴδην δ᾽ ἵκανον πολυπίδακα, μητέρα θηρῶν,
εὗρον δ᾽ εὐρύοπα Κρονίδην ἀνὰ Γαργάρῳ ἄκρῳ
ἥμενον· ἀμφὶ δέ μιν θυόεν νέφος ἐςτεφάνωτο.
τὼ δὲ πάροιθ᾽ ἐλθόντε Διὸς νεφεληγερέταο
ςτήτην· οὐδέ ςφωιν ἰδὼν ἐχολώςατο θυμῷ,
ὅττί οἱ ὦκ᾽ ἐπέεςςι φίλης ἀλόχοιο πιθέςθην.
Ἶριν δὲ προτέρην ἔπεα πτερόεντα προςηύδα·
βάςκ᾽ ἴθι Ἶρι ταχεῖα, Ποςειδάωνι ἄνακτι
πάντα τάδ᾽ ἀγγεῖλαι, μὴ δὲ ψευδάγγελος εἶναι.
παυςάμενόν μιν ἄνωχθι μάχης ἠδὲ πτολέμοιο
ἔρχεςθαι μετὰ φῦλα θεῶν ἢ εἰς ἅλα δῖαν.
εἰ δέ μοι οὐκ ἐπέεςς᾽ ἐπιπείςεται, ἀλλ᾽ ἀλογήςει,
φραζέςθω δὴ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμόν,
μή μ᾽ οὐδὲ κρατερός περ ἐὼν ἐπιόντα ταλάςςῃ
μεῖναι, ἐπεί εὑ φημι βίῃ πολὺ φέρτερος εἶναι
καὶ γενεῇ πρότερος· τοῦ δ᾽ οὐκ ὄθεται φίλον ἦτορ
ἶςον ἐμοὶ φάςθαι, τόν τε ςτυγέουςι καὶ ἄλλοι.
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθηςε ποδήνεμος ὠκέα Ἶρις,
βῆ δὲ κατ᾽ Ἰδαίων ὀρέων εἰς Ἴλιον ἱρήν.
ὡς δ᾽ ὅτ᾽ ἂν ἐκ νεφέων πτῆται νιφὰς ἠὲ χάλαζα

V. L. 149 ἡ μὲν C. ἂρ ADHL. — 150 ἐνὶ D. ἀναΐξαντε S. — 151 ἴδην θ᾽ δ Mor. πολυπῖθακα C. — 152 ἀνα A. — 153 ἀμφι D. — 155 οὐδὲ ςφῶϊν GH. ςφῶϊν D (acc. 2. man.) θυμῷ: θυμὸν D. — 156 ὅττί οἱ AH. ἐπέεςςιν D. πιθέςθαι Lips. — 157 ἶριν D. πρότερον S. προςηῦδα D (acc. 2. man.). — 158 ποςιδάωνι A et in marg. ποςειδάωνι. ΠΟϹΙΔΑΩΝΙ Syr. — 159 μὴ δὲ CDGHL. — 161 ἔρχεςθαι: ἔρχεςθ᾽ ἢ LS Vat. γρ. ἔρχεςθ᾽ ἢ μεταφύλα A. — 162 ἐπέεςςϊν C Lips. ἐπιπείςεται: ἐπιπείθεται Et. Mg. 69, 39. „in ed. Flor. et Aldd. erat cum codd. parte ἐπέεςςι πεπείςεται“ Heyne. — 163 δ᾽ ήπειτα A. δὴπειτα H. δή ᾽πειθα E. δ᾽ ἤπειτα CDGL Townl. Vrat. b. d. A. frgm. Mosc. Flor. ΔΗΠΕΙΤΑ Syr. κατα A. — 164 ΟΎΔΕ Syr. καρτερός C Lips. ἐπειόντα παλάςθαι S. — 165 ἕο φημὶ CDEGHLS. ἐπεί, εὔ φημὶ A. ἐπεὶ εὖ frgm. Mosc. ἐπεί εὕ φημι Bekk. An. 1146. πολυφέρτερος A. — 167 φᾶςθαι ACDGHL Lips. — 168 ὡς A. — 169 κατ᾽ Ἰδαίων: μετ᾽ ἰδέῳν L. — 170 ὅτ᾽ ἂν ADGH 1. man. Lips.: ὅταν CEH 2. man. L.

A. c. 159 ἀγγεῖλαι Herodianus, non ἄγγειλαι. — 162 μοι: μου Ammonius. — 164 ταλάςςῃ: τινὲς θελήςῃ Schol. V. — 166, 167 ἀθετοῦνται. asterisci, ὀρθῶς 182, 183. — 169 δὲ κατ᾽: ὅτι ζηνόδοτος γράφει ἐξ ἰδαίων Aristonicus, conf. 79.

ψυχρὴ ὑπὸ ῥιπῆϲ αἰθρηγενέοϲ βορέαο,
ὣϲ κραιπνῶϲ μεμαυῖα διέπτατο ὠκέα Ἶριϲ,
ἀγχοῦ δ' ἱϲταμένη προϲέφη κλυτὸν ἐννοϲίγαιον·
ἀγγελίην τινά τοι γαιήοχε κυανοχαῖτα
ἦλθον δεῦρο φέρουϲα παραὶ Διὸϲ αἰγιόχοιο.
παυϲάμενόν ϲ' ἐκέλευϲε μάχηϲ ἠδὲ πτολέμοιο
ἔρχεϲθαι μετὰ φῦλα θεῶν ἢ εἰϲ ἅλα δῖαν.
εἰ δέ οἱ οὐκ ἐπέεϲϲ' ἐπιπείϲεαι, ἀλλ' ἀλογήϲειϲ,
ἠπείλει καὶ κεῖνοϲ ἐναντίβιον πολεμίξων
ἐνθάδ' ἐλεύϲεϲθαι· ϲὲ δ' ὑπεξαλέαϲθαι ἀνώγει
χεῖραϲ, ἐπεὶ ϲέο φηϲὶ βίῃ πολὺ φέρτεροϲ εἶναι
καὶ γενεῇ πρότεροϲ· ϲὸν δ' οὐκ ὄθεται φίλον ἦτορ
ἶϲόν οἱ φάϲθαι, τόν τε ϲτυγέουϲι καὶ ἄλλοι.
τὴν δὲ μέγ' ὀχθήϲαϲ προϲέφη κλυτὸϲ ἐννοϲίγαιοϲ·
ὢ πόποι, ἦ ῥ' ἀγαθόϲ περ ἐὼν ὑπέροπλον ἔειπεν,
εἴ μ' ὁμότιμον ἐόντα βίῃ ἀέκοντα καθέξει.
τρεῖϲ γάρ τ' ἐκ Κρόνου εἰμὲν ἀδελφεοί, οὓϲ τέκετο Ῥέα,

V. L. 171 ὑπὸ: ὑπαὶ ACDEGHLS. ΥΠΟ Syr. conf. Μ 462. Ξ 414. Τ 358. Φ 12. H. U. 62. αἰθρηγενέοϲ A. αἰθριγενέοϲ L. — 172 ὠϲ AD 1. man. — 174 κυανοχαῖτα A. — 175 παραι D. παρὰ Apoll. Soph. 7, 10. πὰρ Lips. — 176 ϲ' ἐκέλευϲε: ϲε κέλευϲε ES Syr. Cant. Townl. ϲε κέλευε Vrat. b. frgm. Mosc. γρ. κέλευε A. ϲε κέλεται AC Lips. (an κέλεταί ϲε) conf. Β 28. 65. — 177 ἔρχεϲθαι ACDHL Syr. Cant. Barocc. Harl. Lips. Townl. frgm. Mosc. Vrat. b. d. ἔρχεϲθ' ἢ GS conf. 161. — 179 καὶ κεῖνοϲ ACEHL Lips. Vrat. b. d. frgm. Mosc. Rom. ΚΑΙΚ[ΕΙ̃ΝΟϹ] Syr. κἀκεῖνοϲ GS Schol. Θ 150. κακεῖνοϲ D. πολεμίξων AL Cant. Mor. Lips. Townl. Vrat. d. A. πτολεμίξων DH: πολεμίζων ES Syr. Schol. Θ 150. πτολεμίζων CG Vrat. b. — 180 ὑπεξαλέϲθαι L. ἄνωγε DS Harl. Vat. — 181 ΒΙΗΦΙ Syr. πολὺφέρτεροϲ DG. — 182 ὤθεται C. — 183 ΙϹΟΝΕΜΟΙ Syr. οἱ ACDHL: οἷ G. φάϲθαι HL: φᾶϲθαι ACDG Lips. τόν τοι C. — 184 τήνδε GL. — 185 ὦ πόποι AGH. — 186 καθέζει G. — 187 τ' omitt. D Vrat. A. τε κρόνου Syr. Lips. Pseudopl. 126, 12. τ' ἐκρόνου H. γρ. ἐκ κρόνου Lips. τὸ δὲ τρεῖϲ γάρ τ' ἐκ Κρόνου γράφεται καὶ δίχα προθέϲεωϲ τρεῖϲ γάρ τε Κρόνου Eust. 1012, 25. τέκετο ῥέα libri mei praeter G (τέκε ῥήη) et Cant. Barocc. Harl. Townl. Vrat. d. A. τέκε Ῥεῖα Pseudopl. 126, 12. γράφεται οὓϲ τέκε Ῥέα κατά τινα τῶν ἀντιγράφων Eust. 1012, 34. alii τέκε Ῥείη teste Eust. 1012, 35. τέκε ῥέα frgm. Mosc. Vrat. b.

A. c. 179 καὶ κεῖνοϲ: ἐκ πλήρουϲ τὸν [καὶ] ϲύνδεϲμον ἀρίϲταρχοϲ Didymus. πολεμίξων: Ζηνόδοτοϲ διὰ τοῦ ζ̄ Didymus. πολεμίξων δὲ διὰ τοῦ ξ̄. Ἀρίϲταρχοϲ δὲ διὰ τοῦ ϲ̄ (ζ?) Schol. V, cui fidem non habeo. — 182, 183 asterisci, κακῶϲ 166, 167. — 187 τ' ἐκ Κρόνου: οὕτωϲ ἀρίϲταρχοϲ διὰ τῶν β' κ̄.

Ζεὺϲ καὶ ἐγώ, τρίτατοϲ δ' Ἀίδηϲ, ἐνέροιϲιν ἀνάϲϲων.
τριχθὰ δὲ πάντα δέδαϲται, ἕκαϲτοϲ δ' ἔμμορε τιμῆϲ·
ἤ τοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεὶ
παλλομένων, Ἀίδηϲ δ' ἔλαχε ζόφον ἠερόεντα,
Ζεὺϲ δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃϲι·
γαῖα δ' ἔτι ξυνὴ πάντων καὶ μακρὸϲ Ὄλυμποϲ.
τῷ ῥα καὶ οὔ τι Διὸϲ βέομαι φρεϲίν, ἀλλὰ ἕκηλοϲ
καὶ κρατερόϲ περ ἐὼν μενέτω τριτάτῃ ἐνὶ μοίρῃ.
χερϲὶ δὲ μή τί με πάγχυ κακὸν ὣϲ δειδιϲϲέϲθω.
θυγατέρεϲϲιν γάρ τε καὶ υἱάϲι βέλτερον εἴη
ἐκπάγλοιϲ ἐπέεϲϲιν ἐνιϲϲέμεν, οὓϲ τέκεν αὐτόϲ,
οἵ ἑθεν ὀτρύνοντοϲ ἀκούϲονται καὶ ἀνάγκῃ.
τὸν δ' ἠμείβετ' ἔπειτα ποδήνεμοϲ ὠκέα Ἶριϲ·
οὕτω γὰρ δή τοι γαιήοχε κυανοχαῖτα
τόνδε φέρω Διὶ μῦθον ἀπηνέα τε κρατερόν τε,
ἦ τι μεταϲτρέψειϲ; ϲτρεπταὶ μέν τε φρένεϲ ἐϲθλῶν.
οἶϲθ' ὡϲ πρεϲβυτέροιϲιν ἐρινύεϲ αἰὲν ἕπονται.
τὴν δ' αὖτε προϲέειπε Ποϲειδάων ἐνοϲίχθων·
Ἶρι θεά, μάλα τοῦτο ἔποϲ κατὰ μοῖραν ἔειπεϲ·
ἐϲθλὸν καὶ τὸ τέτυκται, ὅτ' ἄγγελοϲ αἴϲιμα εἰδῇ.

V. L. 190 ἤτοι libri et Schol. O 21. — 191 παλλομένην Schol. O 21. ἔλαχεν H. 1. man. δὲ λάχεν Schol. O 21. — 192 δὲ λάχ' Schol. O 21. δ' ἔλαχεν L. ἐν omitt. G. νεφέληϲι ACDEG: νεφέληϲιν L Schol. O 21. νεφέεϲϲιν Schol. Π 365. — 193 δ' ἔτι ACEGL Schol. O 58. 189. Υ 58. ε 244. δέ τι DH Suidas II, 2, 1221, 9. Schol. O 21. δέ τοι S, alterum Schol. O 21. — 194 τῶ ACDL Syr. τῷ EGH Et. Mg. 196, 11, ibid. βείομαι. ῥὰ D 2. man. HL. — 195 ἐνι A. ἐνὶ G. -μοῖρα D. μοίρᾳ L. — 196 μή τί AEHL. ὡϲ AD 1. man. δειδίϲϲεϲθαι L. ΔΕΙΔΙΞΈϹΘΩ Syr. — 197 θυγατέρεϲϲι G Lips. Flor. Cram. An. Ox. II, 331, 11. υἱάϲιν D. κέρδιον ACDGHL Syr. et Heynii libri praeter Vat. Cram. An. Ox. II, 331, 11. κέρδιον ἢ βέλτερον E. εἴη: εἶναι HL Vrat. d. — 198 αἰνιϲϲέμεν D. ΕΝΙϹΝΕΜΕΝ Syr. (alterum ϲ man. rec.). — 199 οἵ ἑθεν A Schol. O 258. οἱ ἔθεν D (acc. et spirit. 2. man.). οἳ ἕθεν CEGHL Schol. A 114. — 202 φέρο G. — 203 ἤ τὶ L. ΗΤΕ Syr. εἴ τι Lips. μέν τε: μέν τοι L. δή τοι S. δέ τε Stob. floril. XX, 42. δέ τοι Eust. 625, 9. 1338, 16. τρεπταὶ δέ τοι Cram. An. Par. III, 385, 9. — 204 πρεϲβυτάτοιϲιν S Vat. ἐριννύεϲ CDEGL Syr. — 205 ποϲιδάων A in textu Syr. 1. man. — 206 μᾶλα D. κατα A. νημερτὲϲ ἢ κατὰ μοῖραν E.

A. c. 192 εὐρὺν: ὅτι Ζηνόδοτοϲ αἰπύν Aristonicus. — 197 ἀρίϲταρχοϲ βέλτερον εἴη Didymus. Aristophanes κάλλιον, κέρδιον, οἱ εἰκαιότεροι. — 197 τινὲϲ υἱέϲιν Schol. V. — 207 εἰδῇ: Ζηνόδοτοϲ διὰ τοῦ π̄ εἴπῃ Didymus.

ἀλλὰ τόδ᾽ αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,
ὁππότ᾽ ἂν ἰϲόμορον καὶ ὁμῇ πεπρωμένον αἴϲῃ
νεικείειν ἐθέλῃϲι χολωτοῖϲιν ἐπέεϲϲιν.
ἀλλ᾽ ἤ τοι νῦν μέν γε νεμεϲϲηθεὶϲ ὑποείξω·
ἄλλο δέ τοι ἐρέω, καὶ ἀπειλήϲω τό γε θυμῷ·
αἴ κεν ἄνευ ἐμέθεν καὶ Ἀθηναίηϲ ἀγελείηϲ,
Ἥρηϲ Ἑρμείω τε καὶ Ἡφαίϲτοιο ἄνακτοϲ
Ἰλίου αἰπεινῆϲ πεφιδήϲεται, οὐδ᾽ ἐθελήϲει
ἐκπέρϲαι, δοῦναι δὲ μέγα κράτοϲ Ἀργείοιϲιν,
ἴϲτω τοῦθ᾽, ὅτι νῶιν ἀνήκεϲτοϲ χόλοϲ ἔϲται.
ὣϲ εἰπὼν λίπε λαὸν Ἀχαιικὸν ἐννοϲίγαιοϲ,
δῦνε δὲ πόντον ἰών, πόθεϲαν δ᾽ ἥρωεϲ Ἀχαιοί.
καὶ τότ᾽ Ἀπόλλωνα προϲέφη νεφεληγερέτα Ζεύϲ·
ἔρχεο νῦν φίλε Φοῖβε μεθ᾽ Ἕκτορα χαλκοκορυϲτήν·
ἤδη μὲν γάρ τοι γαιήοχοϲ ἐννοϲίγαιοϲ
οἴχεται εἰϲ ἅλα δῖαν ἀλευάμενοϲ χόλον αἰπὺν
ἡμέτερον· μάλα γάρ κε μάχηϲ ἐπύθοντο καὶ ἄλλοι,
οἵ περ νέρτεροί εἰϲι θεοί, Κρόνον ἀμφὶϲ ἐόντεϲ.
ἀλλὰ τόδ᾽ ἠμὲν ἐμοὶ πολὺ κέρδιον ἠδέ οἱ αὐτῷ
ἔπλετο, ὅττι πάροιθε νεμεϲϲηθεὶϲ ὑπόειξε
χεῖραϲ ἐμάϲ, ἐπεὶ οὔ κεν ἀνιδρωτί γε τελέϲθη.
ἀλλὰ ϲύ γ᾽ ἐν χείρεϲϲι λάβ᾽ αἰγίδα θυϲϲανόεϲϲαν,
τῇ μάλ᾽ ἐπιϲϲείων φοβέειν ἥρωαϲ Ἀχαιούϲ·

V. L. 209 ὀππόταν CGL Syr. Schol. Z 488. ἰϲόμοιρον D Lips. Flor. 211 εἴ τι pro ἤτοι L. μέν κεν S. — 214 ΗΡΗϹΘ᾽ Syr. τὲ H. — 215 οὐδὲ θελήϲει S. οὐδὲ ἐθελήϲει D. — 216 δοῦναί τε S Vat. — 217 νῶϊ D. ἀνήκεϲτον ἄλγοϲ Schol. Pind. Ol. VI, 12. — 218 ὡϲ A. ἀχαϊκὸν S. — 220 ἀπόλλονα G. — 221 φοῖβε omitt. H. — 223 ἀλευόμενοϲ H. — 224 γάρ τε ACD Cant. Townl. Flor. γὰρ καὶ S. vulgo γάρ κε cum Eust. et Schol. A 399. — 225 νέρτεροί CHGS Schol. A 399. Herodianus π. μονήρ. λέξ. 45, 27. Cram. Epim. 66, 30. ἐ νέρτεροί A. ἐνέρτεροί DEL Mor. Cant. Townl. Lips. frgm. Mosc. Rom. — 226 πολυκέρδιον D. ἠδέ οἱ EGHLS ἠδὲ οἳ D: vulgo ἠδὲ οἷ cum AC Apoll. de Synt. 144, 13. de Pron. 54 B. Schol. Ε 64. — 227 ἔπλετο omitt. L. ὑπόειξε ACDEGH. — 228 οὔτι D pro οὔ κεν. γε τελέϲθη C: ceteri γ᾽ ἐτελέϲθη. — 229 θυϲανόεϲϲαν CDEGS Lips. 1. man. Townl. frgm. Mosc. al. — 230 τῆ ADS Harl. Vrat. d. Townl. frgm. Mos. Flor. Schol. X 221. τῇ H. 1. man. L. τὴν CEGH ex corr. ἐπιϲείων E Barocc. Lips. Vrat. d.

A. c. 211 ἀρίϲταρχοϲ νῦν μέν γε, ἄλλοι δὲ νῦν μέν κε Didymus. — 212—217 ἀθετοῦνται. — 214 τινὲϲ Ἥρηϲ Ἡφαίϲτου τε καὶ Ἑρμείαο Schol. A. — 225 οἵπερ νέρτεροί εἰϲιν: ὅτι Ζηνόδοτοϲ γράφει οἵπερ νέρτατοι Aristonicus. conf. Ε 893. Υ 57. — 226 οἱ Ptolemaeus Ascalonita ἐγκλιτικῶϲ: οἷ Herodianus, conf. H. U. 141.

ϲοὶ δ᾽ αὐτῷ μελέτω ἑκατηβόλε φαίδιμοϲ Ἕκτωρ·
τόφρα γὰρ οὖν οἱ ἔγειρε μένοϲ μέγα, ὄφρ᾽ ἂν Ἀχαιοὶ
φεύγοντεϲ νῆάϲ τε καὶ Ἑλλήϲποντον ἵκωνται.
κεῖθεν δ᾽ αὐτὸϲ ἐγὼ φράϲομαι ἔργόν τε ἔποϲ τε,
ὥϲ κε καὶ αὖτιϲ Ἀχαιοὶ ἀναπνεύϲωϲι πόνοιο.
ὣϲ ἔφατ᾽, οὐδ᾽ ἄρα πατρὸϲ ἀνηκούϲτηϲεν Ἀπόλλων,
βῆ δὲ κατ᾽ Ἰδαίων ὀρέων ἴρηκι ἐοικὼϲ
ὠκέι φαϲϲοφόνῳ, ὅϲ τ᾽ ὤκιϲτοϲ πετεηνῶν.
εὗρ᾽ υἱὸν Πριάμοιο δαΐφρονοϲ, Ἕκτορα δῖον,
ἥμενον, οὐδ᾽ ἔτι κεῖτο, νέον δ᾽ ἐϲαγείρετο θυμόν,
ἀμφὶ ἓ γιγνώϲκων ἑτάρουϲ· ἀτὰρ ἆϲθμα καὶ ἱδρὼϲ
παύετ᾽, ἐπεί μιν ἔγειρε Διὸϲ νόοϲ αἰγιόχοιο.
ἀγχοῦ δ᾽ ἱϲτάμενοϲ προϲέφη ἑκάεργοϲ Ἀπόλλων·
Ἕκτορ, υἱὲ Πριάμοιο, τί ἦ δὲ ϲὺ νόϲφιν ἀπ᾽ ἄλλων
ἧϲ᾽ ὀλιγηπελέων; ἦ πού τί ϲε κῆδοϲ ἱκάνει;
τὸν δ᾽ ὀλιγοδρανέων προϲέφη κορυθαίολοϲ Ἕκτωρ·
τίϲ δὲ ϲύ ἐϲϲι φέριϲτε θεῶν, ὅϲ μ᾽ εἴρεαι ἄντην;
οὐκ ἀίειϲ ὅ με νηυϲὶν ἔπι πρυμνῇϲιν Ἀχαιῶν
οὓϲ ἑτάρουϲ ὀλέκοντα βοὴν ἀγαθὸϲ βάλεν Αἴαϲ
χερμαδίῳ πρὸϲ ϲτῆθοϲ, ἔπαυϲε δὲ θούριδοϲ ἀλκῆϲ;
καὶ δὴ ἐγώ γ᾽ ἐφάμην νέκυαϲ καὶ δῶμ᾽ Ἀίδαο
ἤματι τῷδ᾽ ἵξεϲθαι, ἐπεὶ φίλον ἄιον ἦτορ.

V. L. 232 οὖν οἳ D. οἷ H. μέγα τόφρἂν D. — 233 ἵκονται E. — 234 ἔργόν τε H. — 235 ὥϲ τ κε A. ὥϲ τε E Vrat. A. Rom. αὖθιϲ C. — 236 ὡϲ A. — 237 ἴρηκι D. ἶρηκι A. — 238 φαϲϲοφόνωι A. — 239 εὗρε δ᾽ υἱὸν L. — 240 οὐδ᾽ ἔτι: οὐδέ τι DGHL Lips. Vrat. d. Rom. ἐϲαγείρατο CDE. εἰϲαγείρατο H. ἐϲαγείρετο AGL Harl. Vat. — 241 ἀμφί ἕ D ex corr. E. γιγνώϲκων L Lips.: γινώϲκων ACDEGH. — 244 τί ἦ A: ceteri τίη. δε H. — 245 ὀλιγηπελέων A. πού τι ϲε A. ποῦ τι ϲε C. ποῦ τί ϲε D. που τί ϲε HL. — 246 ὀλιγοδρανέων A. κορυθαιόλοϲ AD man. rec. Flor. Rom. προϲέφη ἑκάεργοϲ ἀπόλλων D 1. man. — 247 δε H. ϲὺ ἐϲϲὶ HL. — 248 ἐπὶ ACGHL. ἔπι D. — 249 ὀλέκοντα: γρ. ϲτέλλοντα Lips. — 251 καὶ μὴν ἔγωγ᾽ H. — 252 ἤματι D. τῶδε L. ἵξεϲθαι: ὄψεϲθαι ACDEGHLS et Heynii libri.

A. c. 231—235 ἀθετοῦνται. καὶ παρὰ ἀριϲτοφάνει ἠθετοῦντο Schol. A. — 232 ὄφρ᾽ ἂν: διὰ τοῦ τ̄ τόφρ᾽ ἂν ἀχαιοί οἱ ἀριϲτάρχου Didymus. — 240 οὕτωϲ ἀρίϲταρχοϲ διὰ τοῦ ō ἐϲαγείρετο παρατατικῶϲ. ἄλλοι δὲ ἐϲαγείρατο διὰ τοῦ ᾱ Didymus. — 241 ἀμφὶ ἓ Apollodorus: alii ἀμφίε Cram. Epim. 66, 30. ὀρθοτονητέον τὴν ἕ Herodianus. — 252 ἀρίϲταρχοϲ ἵξεϲθαι, καὶ [ἔϲτιν] οὐκ ἄχαριϲ ἡ γραφή Didymus.

τὸν δ' αὖτε προcέειπεν ἄναξ ἑκάεργοc Ἀπόλλων·
θάρcει νῦν· τοῖόν τοι ἀοccητῆρα Κρονίων
ἐξ Ἴδηc προέηκε παρεcτάμεναι καὶ ἀμύνειν,
Φοῖβον Ἀπόλλωνα χρυcάορον, ὅc cε πάροc γε
ῥύομ', ὁμῶc αὐτόν τε καὶ αἰπεινὸν πτολίεθρον.
ἀλλ' ἄγε νυν ἱππεῦcιν ἐπότρυνον πολέεccι
νηυcὶν ἔπι γλαφυρῇcιν ἐλαυνέμεν ὠκέαc ἵππουc·
αὐτὰρ ἐγὼ προπάροιθε κιὼν ἵπποιcι κέλευθον
πᾶcαν λειανέω, τρέψω δ' ἥρωαc Ἀχαιούc.
ὣc εἰπὼν ἔμπνευcε μένοc μέγα ποιμένι λαῶν.
ὡc δ' ὅτε τιc cτατὸc ἵπποc ἀκοcτήcαc ἐπὶ φάτνῃ,
δεcμὸν ἀποῤῥήξαc, θείῃ πεδίοιο κροαίνων,
εἰωθὼc λούεcθαι ἐυῤῥεῖοc ποταμοῖο,
κυδιόων· ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται
ὤμοιc ἀΐccονται· ὃ δ' ἀγλαΐηφι πεποιθώc,
ῥίμφά ἑ γοῦνα φέρει μετά τ' ἤθεα καὶ νομὸν ἵππων·
ὣc Ἕκτωρ λαιψηρὰ πόδαc καὶ γούνατ' ἐνώμα
ὀτρύνων ἱππῆαc, ἐπεὶ θεοῦ ἔκλυεν αὐδήν.
οἱ δ' ὥc τ' ἢ ἔλαφον κεραὸν ἢ ἄγριον αἶγα
ἐccεύαντο κύνεc τε καὶ ἀνέρεc ἀγροιῶται·
τὸν μέν τ' ἠλίβατοc πέτρη καὶ δάcκιοc ὕλη
εἰρύcατ', οὐδ' ἄρα τέ cφι κιχήμεναι αἴcιμον ἦεν·

V. l. 253 ἄναξ διὸc υἱὸc C Lips. — 255 παριcτάμεναι Vrat. d. frgm. Mosc. — 256 πάροc γε CDHLS Lips. Harl. Mor. Vrat. d. frgm. Mosc. πάροcπερ (γε) A. vulgo πάροc περ, conf. ad N 465. — 258 ἀλλά γε Vrat. d. πολέεccι ACGH. — 259 omitt. D in textu, habet in marg. 2. man. ἐπὶ CDGHL. ἐπι A. γλαφυροῖcιν D. ἐλαύνειν S Vat. — 260 προπάροιθεν ἰὼν Lips. κέλευθον: κελεύcω C et sup. man. rec. γρ. κέλευθον. — 261 ἐc μόθον διϊέναι C et sup. man. rec. γρ. πᾶcαν λειανέω. — 262 omitt. L. ὡc A. ἔπνευcε Vrat. b. A. — 263 ἐπι A. φάτνηc Et. Mg. 51, 10. — 264 δεcμὰ διαῤῥήξαc θείῃ πεδίονδε Et. Mg. 51, 12. θείει D. — 265 ἐΰρρῆο S. ἐΰρρῆοc (ει) L. εὐρρεῖοc H. — 266 ἔχῃ Vrat. d. — 266 ὤμοιc' A. ἀγλαΐccονται S. ὃ δ' D. ὅδ' CGHL. ἀγλαΐηιφι C. — 268 ῥίμφά ἑ ACDHL. — 271 οἵδ' CGHL. — 272 ἐccεύοντο AGDEGHL et Heynii libri, conf. Λ 549. — 274 τί cφι S Vat.

A. c. 265—268 ἀθετοῦνται. asterisci, ὀρθῶc Z 508—511. dissentit a se Aristonicus, vid. Schol. Z 506, ubi sex versibus asteriscos adpictos esse confirmat. Ζηνόδοτοc τοῦτον μόνον γράφει, Ἀρίcταρχοc δὲ καὶ τοὺc ἄλλουc τρεῖc Schol. V. — 272 ἀρίcταρχοc ἐccεύαντο διὰ τοῦ ᾱ, καὶ ἅπαcαι Didymus.

τῶν δέ θ' ὑπὸ ἰαχῆc ἐφάνη λὶc ἠυγένειοc
εἰc ὁδόν, αἶψα δὲ πάνταc ἀπέτραπε καὶ μεμαῶταc·
ὣc Δαναοὶ εἵωc μὲν ὁμιλαδὸν αἰὲν ἕποντο
νύccοντεc ξίφεcίν τε καὶ ἔγχεcιν ἀμφιγύοιcιν·
αὐτὰρ ἐπεὶ ἴδον Ἕκτορ' ἐποιχόμενον cτίχαc ἀνδρῶν,
τάρβηcαν, πᾶcιν δὲ παραὶ ποcὶ κάππεcε θυμόc.
τοῖcι δ' ἔπειτ' ἀγόρευε Θόαc, Ἀνδραίμονοc υἱόc,
Αἰτωλῶν ὄχ' ἄριcτοc, ἐπιcτάμενοc μὲν ἄκοντι,
ἐcθλὸc δ' ἐν cταδίῃ· ἀγορῇ δέ ἑ παῦροι Ἀχαιῶν
νίκων, ὁππότε κοῦροι ἐρίccειαν περὶ μύθων·
ὅ cφιν ἐὺ φρονέων ἀγορήcατο καὶ μετέειπεν·
ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖcιν ὁρῶμαι·
οἷον δὴ αὖτ' ἐξαῦτιc ἀνέcτη κῆραc ἀλύξαc
Ἕκτωρ. ἦ θήν μιν μάλα ἔλπετο θυμὸc ἑκάcτου
χερcὶν ὑπ' Αἴαντοc θανέειν Τελαμωνιάδαο.
ἀλλά τιc αὖτε θεῶν ἐῤῥύcατο καὶ ἐcάωcεν
Ἕκτορ', ὃ δὴ πολλῶν Δαναῶν ὑπὸ γούνατ' ἔλυcεν,
ὡc καὶ νῦν ἔccεcθαι ὀίομαι· οὐ γὰρ ἄτερ γε
Ζηνὸc ἐριγδούπου πρόμοc ἵcταται ὧδε μενοινῶν.
ἀλλ' ἄγεθ', ὡc ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντεc.
πληθὺν μὲν ποτὶ νῆαc ἀνώξομεν ἀπονέεcθαι·
αὐτοὶ δ', ὅccοι ἄριcτοι ἐνὶ cτρατῷ εὐχόμεθ' εἶναι,
cτείομεν, εἴ κε πρῶτον ἐρύξομεν ἀντιάcαντεc,
δούρατ' ἀναcχόμενοι· τὸν δ' οἴω καὶ μεμαῶτα

V. l. 275 ὑπαὶ GL: ὑπὸ ACDEH Lips. Mor. Townl. frgm. Mosc. λῖc GS. — 276 ἀπέτρεπε Lips. — 277 ὡc A. — 279 ἴδων (ο) H. ἐπεccύμενον cτίχαc Vrat. d. — 280 πᾶcι GH Lips. Flor. παραι D. παρὰ Vrat. d. — 281 τοῖccϊ H. — 283 ἑ omitt. C. Lips. — 284 ἐρίcειαν DEH. Schol. I 443. — 285 ὅ, cφιν C. ὅc cφιν L Vrat. d. εὖ φρονέων CHLS Vrat. A. Lips. Flor. ceteri ἐΰφρονέων. — 286 ὦ πόποι AH. — 287 * οἷον δὴ: libri οἷον δ'. ἐξ αὖτιc D. ἐξαῦθϊc C. — 288 ἢ D. θή μιν G. — 288—290 omitt. H in textu, habet in marg. man. rec. — 289 θανέμεν Lips. τελαμωνίδαο G. — 290 ἐρύcατο DL. ἐρρύccατο Mor. — 291 ὃc δὴ D. ἕκτορα ὃc πολλῶν E. ὑπο ACL. — 292 ἔcεcθαι G Flor. — 294 ἐγὼ CDGLS frgm. Mosc. ἐγὼν AH. — 295 μὲν: δὲ Et. Mg. 115, 37. Schol. Δ 287 Cram. Ep. 14, 10. προτὶ CL. — 296 ἐνι A. — 297 εἴ κε L: εἴ κεν CDEGH Vrat. A. Flor. ὥc κεν A Harl. pro var. lect. γρ. καὶ εἴ κεν A. — 298 ἀνεχόμενοι Lips. ὀΐω CGH Lips Rom.

A. c. 277 εἵωc: τείωc Zenodotus. — 285 ὅ cφιν Aristarchus. — 287 δὴ: conf. H. U. 281. N 633.

θυμῷ δείϲεϲθαι Δαναῶν καταδῦναι ὅμιλον.
ὣϲ ἔφαθ', οἳ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο.
οἳ μὲν ἄρ' ἀμφ' Αἴαντα καὶ Ἰδομενῆα ἄνακτα,
Τεῦκρον Μηριόνην τε Μέγην τ', ἀτάλαντον Ἄρηϊ,
ὑϲμίνην ἤρτυνον, ἀριϲτῆαϲ καλέϲαντεϲ,
Ἕκτορι καὶ Τρώεϲϲιν ἐναντίον· αὐτὰρ ὀπίϲϲω
ἡ πληθὺϲ ἐπὶ νῆαϲ Ἀχαιῶν ἀπονέοντο.
Τρῶεϲ δὲ προὔτυψαν ἀολλέεϲ, ἦρχε δ' ἄρ' Ἕκτωρ
μακρὰ βιβῶν· πρόϲθεν δὲ κί' αὐτοῦ Φοῖβοϲ Ἀπόλλων
εἱμένοϲ ὤμοιιν νεφέλην, ἔχε δ' αἰγίδα θοῦριν,
δεινὴν ἀμφιδάϲειαν ἀριπρεπέ', ἣν ἄρα χαλκεὺϲ
Ἥφαιϲτοϲ Διὶ δῶκε φορήμεναι ἐϲ φόβον ἀνδρῶν·
τὴν ἄρ' ὅ γ' ἐν χείρεϲϲιν ἔχων ἡγήϲατο λαῶν.
Ἀργεῖοι δ' ὑπέμειναν ἀολλέεϲ, ὦρτο δ' ἀυτὴ
ὀξεῖ' ἀμφοτέρωθεν, ἀπὸ νευρῆφι δ' ὀιϲτοὶ
θρῷϲκον· πολλὰ δὲ δοῦρα θραϲειάων ἀπὸ χειρῶν
ἄλλα μὲν ἐν χροῒ πήγνυτ' ἀρηιθόων αἰζηῶν,
πολλὰ δὲ καὶ μεϲϲηγύ, πάροϲ χρόα λευκὸν ἐπαυρεῖν,
ἐν γαίῃ ἵϲταντο λιλαιόμενα χροὸϲ ἆϲαι.
ὄφρα μὲν αἰγίδα χερϲὶν ἔχ' ἀτρέμα Φοῖβοϲ Ἀπόλλων,
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, πῖπτε δὲ λαόϲ.
αὐτὰρ ἐπεὶ κατ' ἐνῶπα ἰδὼν Δαναῶν ταχυπώλων

V. l. 299 δείϲεϲθαι: δειδίϲϲεϲθαι DL. — 300 ὡϲ A. οἳ δ' H. οἵδ' CL. libri ἠδ' ἐπίθοντο. — 301 οἳ μὲν C. ἂρ ADGHL. αἴαντε EL Cant. Townl. Flor. Rom.: αἴαντα CDGHS. αἴαντα[ε] A. — 302 ἄρη H. — 303 ὑϲμίνη L. ἤρτυον Vrat. b. — 304 τρῴεϲϲιν L. — 306 τρῷεϲ L. ἀρ A. ἂρ[ῶν] DEGHL. — 307 βιβῶν frgm. Mosc. Vrat. b. βιβὼν LS. βιβὰϲ H. βιβὰϲ ἢ βιβῶν Eust. 1016, 58. δὲ κί': δ' ἔκι' ALS Mor. — 308 ὤμοιϲιν ACHS Vrat. b. d. A. αἰγίδα: γρ. ἀϲπίδα H man. rec. τινὲϲ ἀϲπίδα Eust. 1016, 29. — 309 ἀριπρεπέϲ D. — 311 ἂρ ADGHL. — 313 ἀπο A. ἀπαὶ L. νευρῆφι E. νευρῆφιν ὀϊϲτοί Townl. — 314 θρῶιϲκον A: ceteri θρῶϲκον. δὲ δὴ δοῦρα D — .316 χρόα καλὸν G: λευκὸν ACDEHL Cant. Harl. Townl. conf. Λ 573. — 317 ἐν γαί' ἵϲτατο L. — 318 ἔχ': εἶχεν E. ἀτρέμαϲ L. — 319 πίπτε ACGHL: πῖπτε DE. — 320 κατενῶπα CEG 1. man. L Et. Mg. 344, 57. κατένῶπα AH. κατὲνώπα D (acc. et spir. 2. man.). κατ' ἐνῶπα G ex corr. Et. Mg. 496, 7.

A. c. 301 Ζηνόδοτοϲ καὶ ἀριϲτοφάνηϲ αἴαντε δυϊκῶϲ Didymus. — 302 Aristarchus Μέγην: Μεγῆν Ptolem. Ascalonita cum aliis. — 307 βιβάϲ: ἀρίϲταρχοϲ βιβῶν Didymus. Zenodotus βοῶν, conf. 686. — 314 θρῷϲκον, conf. H. U. 217. — 320 Aristarchus κατενῶπα: κατένωπα Alexio et Herodianus, conf. Eust. 1017, 60. Et. Gud. 307, 26. Cram. An. Par. III, 20, 28.

ϲεῖϲ', ἐπὶ δ' αὐτὸϲ ἄυϲε μάλα μέγα, τοῖϲι δὲ θυμὸν
ἐν ϲτήθεϲϲιν ἔθελξε, λάθοντο δὲ θούριδοϲ ἀλκῆϲ.
οἳ δ', ὥϲ τ' ἠὲ βοῶν ἀγέλην ἢ πῶυ μέγ' οἰῶν
θῆρε δύω κλονέωϲι μελαίνηϲ νυκτὸϲ ἀμολγῷ,
ἐλθόντ' ἐξαπίνηϲ ϲημάντοροϲ οὐ παρεόντοϲ,
ὣϲ ἐφόβηθεν Ἀχαιοὶ ἀνάλκιδεϲ· ἐν γὰρ Ἀπόλλων
ἧκε φόβον, Τρωϲὶν δὲ καὶ Ἕκτορι κῦδοϲ ὄπαζεν.
ἔνθα δ' ἀνὴρ ἕλεν ἄνδρα κεδαϲθείϲηϲ ὑϲμίνηϲ.
Ἕκτωρ μὲν Ϲτιχίον τε καὶ Ἀρκεϲίλαον ἔπεφνε,
τὸν μὲν Βοιωτῶν ἡγήτορα χαλκοχιτώνων,
τὸν δὲ Μενεϲθῆοϲ μεγαθύμου πιϲτὸν ἑταῖρον·
Αἰνείαϲ δὲ Μέδοντα καὶ Ἴαϲον ἐξενάριξεν·
ἤ τοι ὃ μὲν νόθοϲ υἱὸϲ Ὀιλῆοϲ θείοιο
ἔϲκε Μέδων, Αἴαντοϲ ἀδελφεόϲ· αὐτὰρ ἔναιεν
ἐν Φυλάκῃ γαίηϲ ἄπο πατρίδοϲ, ἄνδρα κατακτάϲ,
γνωτὸν μητρυιῆϲ Ἐριώπιδοϲ, ἣν ἔχ' Ὀιλεύϲ·
Ἴαϲοϲ αὖτ' ἀρχὸϲ μὲν Ἀθηναίων ἐτέτυκτο,
υἱὸϲ δὲ Ϲφήλοιο καλέϲκετο Βουκολίδαο.
Μηκιϲτῆ δ' ἕλε Πουλυδάμαϲ, Ἐχίον δὲ Πολίτηϲ
πρώτῃ ἐν ὑϲμίνῃ, Κλονίον δ' ἕλε δῖοϲ Ἀγήνωρ.
Δηίοχον δὲ Πάριϲ βάλε νείατον ὦμον ὄπιϲθε
φεύγοντ' ἐν προμάχοιϲι, διὰ πρὸ δὲ χαλκὸν ἔλαϲϲεν.
ὄφρ' οἳ τοὺϲ ἐνάριζον ἀπ' ἔντεα, τόφρα δ' Ἀχαιοὶ
τάφρῳ καὶ ϲκολόπεϲϲιν ἐνιπλήξαντεϲ ὀρυκτῇ

V. l. 321 ἔπι AH. — 322 ἔθελξεν G. — 323 οἳ δ' D ex corr. οἵδ' CGHL. — 324 κλονέωϲι A Barocc. Harl. frgm. Mosc. κλονέουϲι CDEGHLS. — 325 ἐλθόντ'[ε] A. ἐξ ἀπίνηϲ E. — 326 φόβηθεν D Vrat. A. — 327 θῆκε φόβον H Vrat. d. τρωϲὶ DGH Lips. Vrat. A. Flor. Rom. Schol. Ε 334. τρῳϲὶ L. ὄπαζε H. — 328 δ' omitt. L. κεδαϲθείϲηϲ[ϲ] D. — 329 ϲτίχιον L. ἔπεφνε ACDGH. — 330 χαλκοχιτώνων: καρτεροθύμων Vrat. b. frgm. Mosc. γρ. καρτεροθύμων A. — 333 ἦτοι libri. ὃ μὲν C. — 335 ἀπο AD ex corr. ἀπὸ D 1. man. — 337 ἴαϲοϲ μὲν αὖτ' ἀρχὸϲ D. — 339 μηκιϲτὴν G Vrat. b. Flor. μηκιϲτῆν Cant. μηκιϲτῆ[ν] C (ν add. 2. man.). ἰχίον S. — 340 κλόνιον GL. κλονίων D. — 341 δηΐλοχον L. ὦμον C. ὄπιϲθε ACG. — 342 διὰ πρὸ GH. διὰ δε χαλκὸν D. — 343 οἳ ACDGHL. ἀπέντεα AD. — 344 ϲκολόπεϲϲϊ H.

A. c. 333 Ὀιλῆοϲ: ὁ Ἰλῆοϲ Zenodotus.

ἔνθα καὶ ἔνθα φέβοντο, δύοντο δὲ τεῖχος ἀνάγκῃ.
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀύσας·
νηυσὶν ἐπισσεύεσθαι, ἐᾶν δ' ἔναρα βροτόεντα·
ὃν δ' ἂν ἐγὼν ἀπάνευθε νεῶν ἑτέρωθι νοήσω,
αὐτοῦ οἱ θάνατον μητίσομαι, οὐδέ νυ τόν γε
γνωτοί τε γνωταί τε πυρὸς λελάχωσι θανόντα,
ἀλλὰ κύνες ἐρύουσι πρὸ ἄστεος ἡμετέροιο.
ὣς εἰπὼν μάστιγι κατωμαδὸν ἤλασεν ἵππους,
κεκλόμενος Τρώεσσι κατὰ στίχας. οἳ δὲ σὺν αὐτῷ
πάντες ὁμοκλήσαντες ἔχον ἐρυσάρματας ἵππους
ἠχῇ θεσπεσίῃ· προπάροιθε δὲ Φοῖβος Ἀπόλλων
ῥεῖ' ὄχθας καπέτοιο βαθείης ποσσὶν ἐρείπων
ἐς μέσσον κατέβαλλε, γεφύρωσεν δὲ κέλευθον
μακρὴν ἠδ' εὐρεῖαν, ὅσον τ' ἐπὶ δουρὸς ἐρωὴ
γίγνεται, ὁππότ' ἀνὴρ σθένεος πειρώμενος ἧσι.
τῇ ῥ' οἵ γε προχέοντο φαλαγγηδόν, πρὸ δ' Ἀπόλλων,
αἰγίδ' ἔχων ἐρίτιμον· ἔρειπε δὲ τεῖχος Ἀχαιῶν
ῥεῖα μάλ', ὡς ὅτε τις ψάμαθον πάις ἄγχι θαλάσσης,
ὅς τ' ἐπεὶ οὖν ποιήσῃ ἀθύρματα νηπιέῃσιν,

V. ι. 346 τρώεσσιν L. — 347 ἐπισεύεσθαι ἐᾶν G Flor. — 348 ἐγὼ Lips. Flor. ἑτέρωθι: ἑτέρωσε Pseudopl. 117, 29. ἐθέλοντα νοήσω Pseudopl. 157, 9. Rhet. Gr. I, 276, 18, conf. Β 391. — 349 οἶ D (acc. 2. man.). μητίσσομαι DEGH Pseudopl. 157, 9. Rhet. Gr. I, 276, 19. — 351 ἀλλὰ καὶ ες ἐρύουσι A. κύνες γ' L. ἐρύσουσι Cant. — 352 ὡς A. κατ' ὠμαδὸν L. — 353 τρώεσσι L. τρώεσσιν ἐπὶ CDES Cant. Mor. Vrat. b. d. Lips. frgm. Mosc. τρώεσσιν ἐπι H. τρώεσσι ἐπι A. στίχους D (ου 2. man.). οἳ δὲ C. — 356 βαθείῃς C. βαθείας Schol. Ξ 15. ποσὶν D ἐρίπων A Lips. Townl. ἐρίπτων Schol. Ξ 15. ποσὶ καὶ χερσὶν ἐρίπτων Et. Gud. 307, 2. — 357 μέσον Lips. 1. man. DE. κατάβαλλε L. γεφύρωσε D Lips. 1. man. — 358 ἐπι DH. — 359 γίγνεται L Syr. γίνεται ACEGH. γίνετ' D. ·ἧσι A Ven. B. Harl. frgm. Mosc. ἧσιν L. ἧισι D. ἧσϊ H. ἧσι Vrat. d. εἶσι Flor. C et γρ. ἥσει man. rec. ἥσει EG. ΗСЄΙ Syr. ἥσει est lapsus librariorum, non varia lectio, conf. φήσει α 168. ἀποδώσει θ 318. ποιήσει Ο 363. κινήσει Β 147, 395. Π 264, 298. φιλήσει Ι 117. ὁρμήσει Ν 64. ἐπικλώσει δ 207. ἧσι confirmatur analogia formarum φθῇσιν Ψ 805. ἧσιν Τ 202. θ 147, 163. φῇσιν α 168. δῷσι Α 129. α 379. β 144. θ 318. — 361 ἐρίτιμον: πολύτιμον D. ἔρειπε: ἔριπε AD Townl. frgm. Mosc. ἔργασε pro ἔρειπε L. — 362 παῖς ACHL Lips.: πάϊς DEGS. ΠΆΪC Syr. — 363 ποιήσει CDEGL Lips. edd. vett.: ποιήσῃ AH Cant. Barocc. Harl. Mor. frgm. Mosc. Vrat. d. Apoll. Soph. 12, 33.

A. c. 347 ἐπισσεύεσθαι: ἐπισσεύεσθον Zenodotus. — 351 Aristarchus et Herodianus ἐρύουσι: ἐρυοῦσι Alexio. — 353 κατὰ στίχας ut Λ 91. conf. Γ 326. Є 590. Λ 343. Π 820. — 356 ποσσὶν: χερσὶν Zenodotus.

ἂψ αὖτις συνέχευε ποσὶν καὶ χερσὶν ἀθύρων.
ὥς ῥα σὺ ἤιε Φοῖβε πολὺν κάματον καὶ ὀιζὺν
σύγχεας Ἀργείων, αὐτοῖσι δὲ φύζαν ἐνῶρσας.
ὣς οἳ μὲν παρὰ νηυσὶν ἐρητύοντο μένοντες,
ἀλλήλοισί τε κεκλόμενοι καὶ πᾶσι θεοῖσι
χεῖρας ἀνίσχοντες μεγάλ' εὐχετόωντο ἕκαστος·
Νέστωρ αὖτε μάλιστα Γερήνιος, οὖρος Ἀχαιῶν,
εὔχετο χεῖρ' ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα·
Ζεῦ πάτερ, εἴ ποτέ τίς τοι ἐν Ἄργεΐ περ πολυπύρῳ
ἢ βοὸς ἢ ὄιος κατὰ πίονα μηρία καίων
εὔχετο νοστῆσαι, σὺ δ' ὑπέσχεο καὶ κατένευσας,
τῶν μνῆσαι, καὶ ἄμυνον Ὀλύμπιε νηλεὲς ἦμαρ,
μὴ δ' οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς.
ὣς ἔφατ' εὐχόμενος, μέγα δ' ἔκτυπε μητίετα Ζεὺς
ἀράων ἀίων Νηληιάδαο γέροντος.
Τρῶες δ' ὡς ἐπύθοντο Διὸς κτύπον αἰγιόχοιο,
μᾶλλον ἐπ' Ἀργείοισι θόρον, μνήσαντο δὲ χάρμης.
οἳ δ', ὥς τε μέγα κῦμα θαλάσσης εὐρυπόροιο
νηὸς ὑπὲρ τοίχων καταβήσεται, ὁππότ' ἐπείγῃ
ἲς ἀνέμου· ἣ γάρ τε μάλιστά γε κύματ' ὀφέλλει·
ὣς Τρῶες μεγάλῃ ἰαχῇ κατὰ τεῖχος ἔβαινον,
ἵππους δ' εἰσελάσαντες ἐπὶ πρυμνῇσι μάχοντο
ἔγχεσιν ἀμφιγύοις αὐτοσχεδόν, οἳ μὲν ἀφ' ἵππων,
οἳ δ' ἀπὸ νηῶν ὕψι μελαινάων ἐπιβάντες

V. ι. 364 αὖθϊς CL. ποσὶ D Lips. Vrat. A. — 365 ὣς ῥὰ GL. ὣς ἄρα σὺ D. — 366 φῦζαν H Syr. — 367 ὡς A. — 368 θεοῖσι ACDGH Syr. — 370 νέστωρ δ' H Syr. — 372 τις τοι ACH. τις σοι G. εἴποτε τίς τοι L. — 373 οἰὸς H. κατα ACDGH. μετὰ πιονα L. — 375 ἦμαρ D ex corr. — 376 μὴ δ' ACDGHL. τρώεσσιν L. δάμνεσθαι Barocc. — 377
ον
ὡς A. μητιέτα L. — 379 τρῶες L. ἐπύθετο H. κτύπον libri mei cum Lips. Harl. Mor. Vat. Townl. Vrat. b. d. A. frgm. Mosc. Eust. νόον Heynius cum Ernestio, nescio unde, fortasse ex interpretatione paraphrastae, qui νοῦν habet. — 381 οἵδ' CGHL. — 382 ἐπείγει EL. — 383 ἀνέμοιο D. ἣ ACDEH. ἡ γάρ ῥα Harl. — 384 ὡς A. τρῶες L.
ησαν
ἔβαινον AC. — 385 μάχονται Eust. 1021, 20. Schol. Π 367. — 386 ἄγχεσιν G. ἀμφιγύοισιν G. οἳ μὲν C. — 387 οἵδ' CGHL. ἀπο A. ὑψιμελαινάων G. ΑΠΟΒΑΝΤЄC Ambros.

A. c. 365 ἤιε Crates et Herodianus: ἧιε Aristarchus, conf. Eust. 1020, 16. Et. Mg. 469, 53. Zonar. Lex. 981. — 373 ὄιος: τινὲς οἰὸς Schol. V. ita Aristarchus et Ptolem. Ascalonita, cf. ad Γ 198. — 377 ἔκτυπε: ἔκλυε Zenodotus.

μακροῖcι ξυcτοῖcι, τά ῥά cφ' ἐπὶ νηυcὶν ἔκειτο
ναύμαχα, κολλήεντα, κατὰ cτόμα εἱμένα χαλκῷ.
Πάτροκλος δ', εἵως μὲν Ἀχαιοί τε Τρῶές τε
τείχεος ἀμφεμάχοντο θοάων ἔκτοθι νηῶν,
τόφρ' ὅ γ' ἐνὶ κλιcίῃ ἀγαπήνορος Εὐρυπύλοιο
ἧcτό τε καὶ τὸν ἔτερπε λόγοις, ἐπὶ δ' ἕλκεϊ λυγρῷ
φάρμακ' ἀκέcματ' ἔπαccε μελαινάων ὀδυνάων.
αὐτὰρ ἐπεὶ δὴ τεῖχος ἐπεccυμένους ἐνόηcε
Τρῶας, ἀτὰρ Δαναῶν γένετο ἰαχή τε φόβος τε,
ᾤμωξέν τ' ἄρ' ἔπειτα καὶ ὣ πεπλήγετο μηρὼ
χερcὶ καταπρηνέcc', ὀλοφυρόμενος δ' ἔπος ηὔδα·
Εὐρύπυλ', οὐκέτι τοι δύναμαι χατέοντί περ ἔμπης
ἐνθάδε παρμενέμεν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν·
ἀλλὰ cὲ μὲν θεράπων ποτιτερπέτω, αὐτὰρ ἐγώ γε
cπεύcομαι εἰς Ἀχιλῆα, ἵν' ὀτρύνω πολεμίζειν.
τίς δ' οἶδ', εἴ κέν οἱ cὺν δαίμονι θυμὸν ὀρίνω
παρειπών; ἀγαθὴ δὲ παραίφαcίς ἐcτιν ἑταίρου.
τὸν μὲν ἄρ' ὣς εἰπόντα πόδες φέρον· αὐτὰρ Ἀχαιοὶ
Τρῶας ἐπερχομένους μένον ἔμπεδον, οὐδὲ δύναντο
παυροτέρους περ ἐόντας ἀπώcαcθαι παρὰ νηῶν·
οὐδέ ποτε Τρῶες Δαναῶν ἐδύναντο φάλαγγας
ῥηξάμενοι κλιcίῃcι μιγήμεναι ἠδὲ νέεccιν.

V. l. 388 cφ': cφιν E. ἐπι A. — 389 ΙΜΕΝΑΧΑΛΚΟΝ Ambr. εἵμενα χαλκόν S. — 390 τρῷες L. — 391 ἀμφ' ἐμάχοντο AG 2. man. H. 2. man. Syr. ΑΜΦΕΜΑΧΟΝΤΟ Ambros. — 392 ἐνι A. ἐν Vrat. A. — 394 ἀκήματ' ACGHL post ras. S Et. Mg. 47, 42. ΑΚΗΜΑΤ' Ambr. Syr. ἀκήματα E Apoll. Soph. 18, 24. ἀκέcματ' D Lips. — 395 libri ἐπειδὴ. ἐνόηcε ACEH Syr. ΕΝΟΗCΕΝ Ambr. — 396 τρῷας L. γένετ' CDE. γίνετ' G Flor. — 397 ἆρ ADEGHL. ΑΡ Ambr. ΩΙ et ΜΗΡΩΙ Ambros. ὦ||| D post ras. — 398 καταπρηνέεcc' C Lips. Flor. δ' ἔπος ηὔδα AGL: δὲ προcηύδα CDHS (om. δὲ) Syr. Barocc. Vrat. b. d. — 400 περιμενέμεν S. — 401 cὲ μὲν: cέ περ Schol. O 393. ποτὶ τέρπετο GH. ἔγωγε libri. — 402 cπεύcομ' C. ἵγ' ἐποτρύνω πολεμεῖν L. — 403 οἶδεν L. — 404 παραίφαcιc ἐcτὶν CDGL. — 405 ἆρ GHL. — 406 τρῷας L. οὐδὲ δύναντο ADGS. δύναντο etiam Eust. 1022, 39. vulgo οὐδ' ἐδύναντο. — 407 ἀμύνεcθαι παρὰ S. παρα H. — 408 οὐδέ ποτε ACHL Vrat. d. frgm. Mosc. Rom. οὔτέ ποτε DG. οὔτε ποτὲ E. τρῷες L. — 409 ἠδὲ: οὐδὲ ACDHLS. οὐδὲ νέεccιν ἢ ἠδὲ νέεccι Eust. 1022, 39. ἐν ἄλλῳ ἠδὲ νέεccιν A.

A. c. 393 ἔτερπε λόγοις: τινὲς ἔτερπε λόων (cod. λούων conf. κ 361) Schol. V. — 394 ἔν τιcιν ἀκέcματ', οὕτω δὲ καὶ ἀρίcταρχος, διχῶς (cod. χῶς) οὖν Didymus. — 398 οὕτως ἀρίcταρχος ἔπος ηὔδα Didymus, conf. 114.

ἀλλ' ὥς τε cτάθμη δόρυ νήιον ἐξιθύνει
τέκτονος ἐν παλάμῃcι δαήμονος, ὅς ῥά τε πάcης
εὖ εἰδῇ cοφίης ὑποθημοcύνῃcιν Ἀθήνης,
ὣς μὲν τῶν ἐπὶ ἶcα μάχη τέτατο πτόλεμός τε.
ἄλλοι δ' ἀμφ' ἄλλῃcι μάχην ἐμάχοντο νέεccιν.
Ἕκτωρ δ' ἄντ' Αἴαντος ἐείcατο κυδαλίμοιο.
τὼ δὲ μιῆς περὶ νηὸς ἔχον πόνον, οὐδὲ δύναντο
οὔθ' ὃ τὸν ἐξελάcαι καὶ ἐνιπρῆcαι πυρὶ νῆα,
οὔθ' ὃ τὸν ἂψ ὤcαcθαι, ἐπεί ῥ' ἐπέλαccέ γε δαίμων.
ἔνθ' υἷα Κλυτίοιο Καλήτορα φαίδιμος Αἴας,
πῦρ ἐς νῆα φέροντα, κατὰ cτῆθος βάλε δουρί·
δούπηcεν δὲ πεcών, δαλὸς δέ οἱ ἔκπεcε χειρός.
Ἕκτωρ δ' ὡς ἐνόηcεν ἀνεψιὸν ὀφθαλμοῖcιν
ἐν κονίῃcι πεcόντα νεὸς προπάροιθε μελαίνης,
Τρωcί τε καὶ Λυκίοιcιν ἐκέκλετο μακρὸν ἀύcας·
Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
μὴ δή πω χάζεcθε μάχης ἐν cτείνεϊ τῷδε,
ἀλλ' υἷα Κλυτίοιο cαώcατε, μή μιν Ἀχαιοὶ
τεύχεα cυλήcωcι νεῶν ἐν ἀγῶνι πεcόντα.
ὣς εἰπὼν Αἴαντος ἀκόντιcε δουρὶ φαεινῷ.
τοῦ μὲν ἅμαρθ', ὃ δ' ἔπειτα Λυκόφρονα, Μάcτορος υἱόν,
Αἴαντος θεράποντα Κυθήριον, ὅς ῥα παρ' αὐτῷ
ναῖ', ἐπεὶ ἄνδρα κατέκτα Κυθήροιcι ζαθέοιcι,
τόν ῥ' ἔβαλεν κεφαλὴν ὑπὲρ οὔατος ὀξέι χαλκῷ,
ἑcταότ' ἄγχ' Αἴαντος· ὃ δ' ὕπτιος ἐν κονίῃcι
νηὸς ἄπο πρυμνῆς χαμάδις πέcε, λύντο δὲ γυῖα.

V. l. 411 δαΐμονος A. — 413 ὡς A. — 416 τὼ δὲ ἰῆς Vrat. A. ἔχοντο L. οὐδὲ δύναντο ACD 1. man. ES Vrat. b. Rom. ΟΥΔΕΔΥΝΑΝΤΟ Syr. — 417 ὃ ACDGHL Eust. 1022, 41. ἐνὶ πρῆcαι GH. νῆας ACD EGHLS Syr. cum libris Heynii. — 418 ὃ ACDGHL. ἐπέλαccέ ἑ S. — 419 υἷα: υἱὸν D suprascr. al. man. καλῖτορα C 1. man. καλλίτορα S. — 420 νῆας D (ας 2. man.) L Vrat. A. — 421 δούπηcε Lips. — 422 ὀφθαλμοῖcι G Flor. Rom. — 423 νεὼς CDHL. νηὸς G Flor. Rom. — 424 τρωcί L. τὲ H. — 425 τρῷες L. — 426 cτένεϊ H 1. man. — 427 cαώcετε Vrat. d. cαώcομεν Schol. Ε 266. — 429 ὡς A. — 430 ὃ δ' D. ὅδ' CGH. μήcτορος C. — 431 ὃς ῥὰ L. — 432 ζαθέοιcι ACD. — 433 ἔβαλε E Lips. ὑπερ A. — 434 ὃ δ' D 1. man. ὅδ' CD 2. man. GHL. κονίῃcι ACDGH. — 435 ἀπὸ CD 2. man. EGHL. ἀπο A. λῦντο CDGHL. λῦτο Cant.

A. c 414 ἐκ τούτου διεcκεύαcται ὁ τῆς τειχομαχίας cτίχος (Μ 175), itaque asteriscus. — 417 ἀρίcταρχος νῆα, ἄλλοι δὲ νῆας Didymus. — 419 υἷα: υἱόν, conf. H. U. 46.

Αἴαϲ δ' ἐρρίγηϲε, καϲίγνητον δὲ προϲηύδα·
Τεῦκρε πέπον, δὴ νῶιν ἀπέκτατο πιϲτὸϲ ἑταῖροϲ
Μαϲτορίδηϲ, ὃν νῶι Κυθηρόθεν ἔνδον ἐόντα
ἶϲα φίλοιϲι τοκεῦϲιν ἐτίομεν ἐν μεγάροιϲι·
τὸν δ' Ἕκτωρ μεγάθυμοϲ ἀπέκτανε. ποῦ νύ τοι ἰοὶ
ὠκύμοροι καὶ τόξον, ὅ τοι πόρε Φοῖβοϲ Ἀπόλλων;
ὣϲ φάθ', ὃ δὲ ξυνέηκε, θέων δέ οἱ ἄγχι παρέϲτη,
τόξον ἔχων ἐν χειρὶ παλίντονον ἠδὲ φαρέτρην
ἰοδόκον· μάλα δ' ὦκα βέλεα Τρώεϲϲιν ἐφίει.
καί ῥ' ἔβαλε Κλεῖτον, Πειϲήνοροϲ ἀγλαὸν υἱόν,
Πουλυδάμαντοϲ ἑταῖρον, ἀγαυοῦ Πανθοΐδαο,
ἡνία χερϲὶν ἔχοντα· ὃ μὲν πεπόνητο καθ' ἵππουϲ·
τῇ γὰρ ἔχ', ᾗ ῥα πολὺ πλεῖϲται κλονέοντο φάλαγγεϲ,
Ἕκτορι καὶ Τρώεϲϲι χαριζόμενοϲ· τάχα δ' αὐτῷ
ἦλθε κακόν, τό οἱ οὔ τιϲ ἐρύκακεν ἱεμένων περ.
αὐχένι γάρ οἱ ὄπιϲθε πολύϲτονοϲ ἔμπεϲεν ἰόϲ·
ἤριπε δ' ἐξ ὀχέων, ὑπερώηϲαν δέ οἱ ἵπποι
κείν' ὄχεα κροτέοντεϲ. ἄναξ δ' ἐνόηϲε τάχιϲτα
Πουλυδάμαϲ, καὶ πρῶτοϲ ἐναντίοϲ ἤλυθεν ἵππων.
τοὺϲ μὲν ὅ γ' Ἀϲτυνόῳ, Προτιάονοϲ υἱέϊ, δῶκεν,
πολλὰ δ' ἐπώτρυνε ϲχεδὸν ἴϲχειν εἰϲορόωντα
ἵππουϲ· αὐτὸϲ δ' αὖτιϲ ἰὼν προμάχοιϲιν ἐμίχθη.

V. l. 436 ἐρρίγηϲεν H. — 439 μεγάροιϲι ACDEGH. — 441 ὃ, τοῦ G et supra 2. man. τοὶ. — 442 ὡϲ A. — 443 παλίντονον A. — 444 ἰοδόκον A. βέλεα CDEHL Cant. Harl. Lips. Townl. Vrat. A. b. d. βέλη edd. vett. ἐφίη Barocc. ἀφίει Vrat. b. — 446 ἀγαβοῦ H. πανθοΐδαο L: ceteri πανθοίδαο. — 447 ὃ μὲν C. ἵππουϲ: ἵππων H Vrat. d. — 448 ῥὰ DHL. — 449 τρῴεϲϲι L. — 450 ἱεμένων ADHS Vrat. A. Rom. ἱεμένων Townl. ἱεμένῳ CGL Lips. (suprascr. ἱεμένου). ἱεμένων περ ἢ κατὰ δοτικὴν πτῶϲιν ἱεμένῳ περ Eust. 1025, 9. — 453 κεῖν' DG. — 454 πολυδάμαϲ G. ἐναντίοϲ ACS Cant. Barocc. Mor. Lips. Ven. B. frgm. Mosc. Vrat. b. ἐναντίον DGL. ἐναντίον (suprascr. ϲ) H. — 455 ἀϲτυνόωι C. προτιάνοροϲ frgm. Mosc. δῶκε ACDGH. — 456 ἐπότρυνε H Vrat. d. — 457 αὐτὸϲ δ' αὖτ' ἐξαῦτϊϲ ἰὼν (om. ἵππουϲ) H Vrat. d. αὖθϊϲ C.

A. c. 439 τοκεῦϲιν: τέκεϲϲιν Zenodotus (Aristarchus teste Schol. BL). — 444 ἰοδόκον Herodianus, Alexio, Attalus: ἰόδοκον alii. — 449—451 ἀθετοῦνται. asterisci, ὀρθῶϲ P 291, 292. — 450 διχῶϲ ἀρίϲταρχοϲ καὶ ἱεμένῳ καὶ ἱεμένων Didymus. — 451 ὄπιϲθε: πρόϲθε Aristophanes apud Schol. V.

Τεῦκροϲ δ' ἄλλον ὀϊϲτὸν ἐφ' Ἕκτορι χαλκοκορυϲτῇ
αἴνυτο, καί κεν ἔπαυϲε μάχηϲ ἐπὶ νηυϲὶν Ἀχαιῶν,
εἴ μιν ἀριϲτεύοντα βαλὼν ἐξείλετο θυμόν.
ἀλλ' οὐ λῆθε Διὸϲ πυκινὸν νόον, ὅϲ ῥα φύλαϲϲεν
Ἕκτορ', ἀτὰρ Τεῦκρον Τελαμώνιον εὖχοϲ ἀπηύρα,
ὅϲ οἱ ἐυϲτρεφέα νευρὴν ἐν ἀμύμονι τόξῳ
ῥῆξ' ἐπὶ τῷ ἐρύοντι· παρεπλάγχθη δέ οἱ ἄλλῃ
ἰὸϲ χαλκοβαρήϲ, τόξον δέ οἱ ἔκπεϲε χειρόϲ.
Τεῦκροϲ δ' ἐρρίγηϲε, καϲίγνητον δὲ προϲηύδα·
ὢ πόποι, ἦ δὴ πάγχυ μάχηϲ ἐπὶ μήδεα κείρει
δαίμων ἡμετέρηϲ, ὅ τέ μοι βιὸν ἔκβαλε χειρόϲ,
νευρὴν δ' ἐξέρρηξε νεόϲτροφον, ἣν ἐνέδηϲα
πρώιον, ὄφρ' ἀνέχοιτο θαμὰ θρῴϲκονταϲ ὀιϲτούϲ.
τὸν δ' ἠμείβετ' ἔπειτα μέγαϲ Τελαμώνιοϲ Αἴαϲ·
ὦ πέπον, ἀλλὰ βιὸν μὲν ἔα καὶ ταρφέαϲ ἰοὺϲ
κεῖϲθαι, ἐπεὶ ϲυνέχευε θεὸϲ Δαναοῖϲι μεγήραϲ·
αὐτὰρ χερϲὶν ἑλὼν δολιχὸν δόρυ καὶ ϲάκοϲ ὤμῳ
μάρναό τε Τρώεϲϲι καὶ ἄλλουϲ ὄρνυθι λαούϲ.
μὴ μὰν ἀϲπουδί γε δαμαϲϲάμενοί περ ἕλοιεν
νῆαϲ ἐυϲϲέλμουϲ, ἀλλὰ μνηϲώμεθα χάρμηϲ.
ὣϲ φάθ', ὃ δὲ τόξον μὲν ἐνὶ κλιϲίῃϲιν ἔθηκεν,
αὐτὰρ ὅ γ' ἀμφ' ὤμοιϲι ϲάκοϲ θέτο τετραθέλυμνον,
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν
[ἵππουριν, δεινὸν δὲ λόφοϲ καθύπερθεν ἔνευεν.]

V. l. 459 μάχηϲ ACEGHLS. μάχην D. ἐπϊ AH. — 461 * ὅϲ ῥα φύλαϲϲεν: libri ὅϲ ῥ' ἐφύλαϲϲεν. ὅϲ ῥ' ἐ φύλαϲϲεν D ex corr. ὅϲ ῥ' ἐφύλαϲϲεν D 1. man. — 462 αὐτὰρ D. — 463 εὐϲτρεφέα D. ἐϋϲτροφέα G. — 464 παρεπλάγχη L. — 466 δε ῥίγηϲε D 3. man. δ' ἐρίγηϲε H. — 467 ὢ πόποι AH. ἐν ἄλλῳ ὢ πέπον H. ἢ D. ἐπι ACDHL. — 468 ἡμέτεροϲ L. — 469 ἔρρηξε CD. ἐΰϲτροφον S. γρ. ἐΰϲτροφον Lips. νεοϲτρεφέα Schol. Θ 328. — 470 ἂν ἔχοιτο D 3. man. L. θρώιϲκονταϲ A: θρώϲκονταϲ ceteri. — 473 μεγήραϲ C. — 475 τρῴεϲϲι L. — 476 ἀϲπουδεὶ CDEGHLS δαμαϲάμενοι Lips. — 477 ἐϋϲέλμουϲ H Lips. μνηϲαίμεθα Barocc. Harl. — 478 ὡϲ A. ὁ δὲ ACDGH et Heynii libri. vulgo ὁ δ' αὖ. ὃ δ' αὖ L. — 479 τετραθέλυμνον A. — 480 εὔτυκτον libri. — 481 omitt. AHLS Barocc. Mor. Harl. Lips. Townl. frgm. Mosc. habent CDG.

A. c. 459 Ζηνόδοτοϲ μάχηϲ, ἄλλοι δὲ μάχην, καὶ ἀριϲτοφάνηϲ δὲ μάχην Didymus. conf. Ο 15, 250. Δ 191. Μ 389. Ρ 602. δ 35. — 467 ὢ πόποι: ὢ πέπον Zenodotus? vid. Schol. Ρ 171. — 469 νεόϲτροφον: εὕρομεν δὲ καὶ ἐύϲτροφον γεγραμμένον καὶ ἔχει τινὰ ἐπίταϲιν Didymus. — 470 πρώιον: ὅτι Ζηνόδοτοϲ γράφει πρῴην Aristonicus. ἀμφότερα γράφεϲθαί φηϲιν ὁ Ἀρίϲταρχοϲ Didymus.

εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέι χαλκῷ,
βῆ δ' ἰέναι, μάλα δ' ὦκα θέων Αἴαντι παρέστη.
"Εκτωρ δ' ὡς εἶδεν Τεύκρου βλαφθέντα βέλεμνα,
Τρωςί τε καὶ Λυκίοιςιν ἐκέκλετο μακρὸν ἀΰςας·
Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
ἀνέρες ἔςτε, φίλοι, μνήςαςθε δὲ θούριδος ἀλκῆς
νῆας ἀνὰ γλαφυράς· δὴ γὰρ ἴδον ὀφθαλμοῖςιν
ἀνδρὸς ἀριςτῆος Διόθεν βλαφθέντα βέλεμνα.
ῥεῖα δ' ἀρίγνωτος Διὸς ἀνδράςι γίγνεται ἀλκή,
ἠμὲν ὁτέοιςιν κῦδος ὑπέρτερον ἐγγυαλίξῃ,
ἠδ' ὅτινας μινύθῃ τε καὶ οὐκ ἐθέληςιν ἀμύνειν,
ὡς νῦν Ἀργείων μινύθει μένος, ἄμμι δ' ἀρήγει.
ἀλλὰ μάχεςθ' ἐπὶ νηυςὶν ἀολλέες· ὃς δέ κεν ὕμεων
βλήμενος ἠὲ τυπεὶς θάνατον καὶ πότμον ἐπίςπῃ,
τεθνάτω· οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης
τεθνάμεν· ἀλλ' ἄλοχός τε ςόη καὶ παῖδες ὀπίςςω,
καὶ οἶκος καὶ κλῆρος ἀκήρατος, εἴ κεν Ἀχαιοὶ
οἴχωνται ςὺν νηυςὶ φίλην ἐς πατρίδα γαῖαν.
ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάςτου.
Αἴας δ' αὖθ' ἑτέρωθεν ἐκέκλετο οἷς ἑτάροιςιν·
αἰδὼς Ἀργεῖοι· νῦν ἄρκιον ἢ ἀπολέςθαι
ἠὲ ςαωθῆναι καὶ ἀπώςαςθαι κακὰ νηῶν.
ἦ ἔλπεςθ', ἢν νῆας ἕλῃ κορυθαίολος "Εκτωρ,
ἐμβαδὸν ἵξεςθαι ἣν πατρίδα γαῖαν ἕκαςτος;
ἦ οὐκ ὀτρύνοντος ἀκούετε λαὸν ἅπαντα

V. ι. 484 εἶδε DE Lips. Vrat. A. Cram. Ep. 449, 11. — 485 τρῳςί L. — 486 τρῷες L. — 487 ἐςτὲ CHL. — 488 ἀνα AD. γὰρ ρ ἴδϙν C (ρ add. man. rec.). εἶδον D. — 490 γίγνεται L: γίνεται ACDEGH. — 491 ὀτέοιςι E Vrat. A. Et. Mg. 636, 33. ὑπέρτατον H Vrat. d. ἐγγυαλίξει CE Rom. Et. Mg. 636, 33. ἐγγυαλίζει S. — 492 ἢ δ' D. μινύθει CES Et. Mg. 636, 33. Barocc. Vrat. b. A. Rom. ΜΙΝΎΘΗΙϹΙ ΚΑΙ Syr. μινύθῃςιν Apoll. de Coni. 502, 20. μινύθῃςι Vrat. d. ἀμῦναι H 1. man. Vrat. d. — 493 ὧς D. 2. man. — 494 ἐν νηυςὶν Vrat. b. νηυςὶ διαμπερὲς Lycurgus adv. Leocr. § 103. υμμέων C cum utroque spiritu supra υ. — 495 ἐπίςπει C. — 496 περι AH. — 497 ςόη καὶ νήπια τέκνα Lycurgus, conf. Schol. BL. Eust. 1028, 56. — 498 καὶ κλῆρος καὶ οἶκος Lycurgus. — 499 οἴχονται EG Barocc. Lips. Mor. Cant. Harl. ἥκωνται, ἥικωνται, ἵκωνται, ἥικχωνται codd. Lycurgi. — 500 ὡς A. — 501 ἐκέκλετο μακρὸν ἀΰςας Lips. — 504 ἢ CGH Schol. Ο 700. εἰ νῆας L. κορυθαιόλος ADE Rom. — 506 ἢ CDGHL

A. c. 491 ὀτέοιςιν Herodianus. — 494 ἡ ὑμέων ἀντωνυμία ἀπόλυτός ἐςτι καὶ οὐκ ἔχουςα ἀντιδιαςτολήν. διὸ τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν Herodianus.

"Εκτορος, ὃς δὴ νῆας ἐνιπρῆςαι μενεαίνει;
οὐ μὰν ἔς γε χορὸν κέλετ' ἐλθέμεν, ἀλλὰ μάχεςθαι.
ἡμῖν δ' οὔ τις τοῦδε νόος καὶ μῆτις ἀμείνων,
ἢ αὐτοςχεδίῃ μῖξαι χεῖράς τε μένος τε.
βέλτερον ἢ ἀπολέςθαι ἕνα χρόνον ἠὲ βιῶναι,
ἢ δηθὰ ςτρεύγεςθαι ἐν αἰνῇ δηιοτῆτι
ὧδ' αὔτως παρὰ νηυςὶν ὑπ' ἀνδράςι χειροτέροιςιν.
ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάςτου.
ἔνθ' "Εκτωρ μὲν ἕλε Σχεδίον, Περιμήδεος υἱόν,
ἀρχὸν Φωκήων, Αἴας δ' ἕλε Λαοδάμαντα,
ἡγεμόνα πρυλέων, Ἀντήνορος ἀγλαὸν υἱόν·
Πουλυδάμας δ' Ὦτον Κυλλήνιον ἐξενάριξε,
Φυλείδεω ἕταρον, μεγαθύμων ἀρχὸν Ἐπειῶν.
τῷ δὲ Μέγης ἐπόρουςεν ἰδών· ὁ δ' ὕπαιθα λιάςθη
Πουλυδάμας. καὶ τοῦ μὲν ἀπήμβροτεν· οὐ γὰρ Ἀπόλλων
εἴα Πάνθου υἱὸν ἐνὶ προμάχοιςι δαμῆναι·
αὐτὰρ ὅ γε Κροίςμου ςτῆθος μέςον οὔταςε δουρί.
δούπηςεν δὲ πεςών· ὁ δ' ἀπ' ὤμων τεύχε' ἐςύλα.
τόφρα δὲ τῷ ἐπόρουςε Δόλοψ, αἰχμῆς εὖ εἰδώς,
Λαμπετίδης, ὃν Λάμπος ἐγείνατο φέρτατον υἱόν,
Λαομεδοντιάδης, εὖ εἰδότα θούριδος ἀλκῆς,

V. ι. 508 ЄϹΤЄΧΟΡὸΝ Syr. ἐλθεῖν Eust. 1029, 25; 60. 1030, 2. sed 1029, 9 ἐλθέμεν. — 510 αὐτοςχεδίην Harl. μίξαι ACL. ΜΙΞΑΙ Syr. (ε suprascr. 2. man.). — 511 ἢ βιῶναι C. — 513 omitt. H in textu, habet in marg. man. rec. αὐτως A Syr. αὔτως EGH. ὑπ': ἐν ἢ ὑπ' E. ΧЄΙΡΟΤЄΡΟΙϹΙ Syr. εἰ δὲ γράφεται ἀνδράςι παυροτέροιςι Eust. 1029, 21. — 514 ὡς A. — 515 ςχέδιον L. τινὲς Cχέδιον Eust. 1030, 10. — 516 φωκήων Lips. ΦΩΚЄΙΩΝ Syr. λαομέδοντα frgm. Mosc. — 518 ἐξενάριξε ACDGH: ἐξενάριξεν L Syr. Pausanias IX, 26, 5. — 519 ἑταῖρον C. — 520 τῷδε H. ὁ δ' D. ὅδ' CGHL. — 521 ἀπήβροτεν S. — 522 πάνθου: πανθόου Mor. non male. conf. Γ 146. Ρ 9, 23, 40, 59. ἐνι AD. ἐνὶ τρώεςςι H Vrat. d. δαμῆναι: μιγῆναι Harl. — 524 δούπηςε H Lips. ὁ δ' D. ὅδ' CGHL. — 525 libri εὖ cum Schol. Λ 302. — 526 φέρτατον υἱὸν ACHL Syr. Lips. frgm. Mosc. Vrat. d. φέρτατον ἀνδρῶν S Harl. γρ. ἀνδρῶν Lips. φέρτατος ἀνδρῶν DG.

A. c. 513 οὕτω γραπτέον ὧδ' αὔτως (sic) Schol. A. — 516 Φωκήων: τινὲς ἀρχὸν Ἀθηναίων Schol. V. τὰ τοιαῦτα διχῶς ἐν ταῖς Ἀριςτάρχου εὑρίςκομεν καὶ διὰ τοῦ ει Φωκείων καὶ διὰ τοῦ η Φωκήων Didymus ad B 517. — 523 Κροίςμου: Κροῖςμον? conf. N 438 ἀτρέμας ἑςταότα ςτῆθος μέςον οὔταςε δουρί. Π 597 τὸν Γλαῦκος ςτῆθος μέςον οὔταςε δουρί. H. S. 227.

ὅϲ τότε Φυλεΐδαο μέϲον ϲάκοϲ οὔταϲε δουρὶ
ἐγγύθεν ὁρμηθείϲ· πυκινὸϲ δέ οἱ ἤρκεϲε θώρηξ,
τόν ῥ' ἐφόρει γυάλοιϲιν ἀρηρότα· τόν ποτε Φυλεὺϲ
ἤγαγεν ἐξ Ἐφύρηϲ ποταμοῦ ἄπο Ϲελλήεντοϲ.
ξεῖνοϲ γάρ οἱ ἔδωκεν ἄναξ ἀνδρῶν Εὐφήτηϲ
ἐϲ πόλεμον φορέειν, δηίων ἀνδρῶν ἀλεωρήν·
ὅϲ οἱ καὶ τότε παιδὸϲ ἀπὸ χροὸϲ ἤρκεϲ' ὄλεθρον.
τοῦ δὲ Μέγηϲ κόρυθοϲ χαλκήρεοϲ ἱπποδαϲείηϲ
κύμβαχον ἀκρότατον νύξ' ἔγχεϊ ὀξυόεντι,
ῥῆξε δ' ἀφ' ἵππειον λόφον αὐτοῦ· πᾶϲ δὲ χαμᾶζε
κάππεϲεν ἐν κονίῃϲι, νέον φοίνικι φαεινόϲ.
εἷοϲ ὃ τῷ πολέμιζε μένων, ἔτι δ' ἔλπετο νίκην,
τόφρα δέ οἱ Μενέλαοϲ ἀρήιοϲ ἦλθεν ἀμύντωρ,
ϲτῆ δ' εὐρὰξ ϲὺν δουρὶ λαθών, βάλε δ' ὦμον ὄπιϲθεν·
αἰχμὴ δὲ ϲτέρνοιο διέϲϲυτο μαιμώωϲα,
πρόϲϲω ἱεμένη· ὃ δ' ἄρα πρηνὴϲ ἐλιάϲθη.
τὼ μὲν ἐειϲάϲθην χαλκήρεα τεύχε' ἀπ' ὤμων
ϲυλήϲειν· Ἕκτωρ δὲ καϲιγνήτοιϲι κέλευϲε
πᾶϲι μάλα, πρῶτον δ' Ἱκεταονίδην ἐνένιπεν,
ἴφθιμον Μελάνιππον· ὃ δ' ὄφρα μὲν εἰλίποδαϲ βοῦϲ
βόϲκ' ἐν Περκώτῃ, δηίων ἀπὸ νόϲφιν ἐόντων·
αὐτὰρ ἐπεὶ Δαναῶν νέεϲ ἤλυθον ἀμφιέλιϲϲαι,
ἂψ εἰϲ Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεϲϲι,

V. L. 530 ὃν ἐφόρει E. — 531 ἐξεφύρηϲ A. ἄπο DHL. — 532 εὐφήτηϲ libri. — 534 ἄπο A. ἤρκεϲ': ἤρκει DHS Vrat. d. conf. N 440. — 537 χαμάζε CHL. ΧΑΜΑΖΕ Syr. — 539 * εἷοϲ ὃ: ἕωϲ ὃ ACDH 1. man. L. ἘΩϹΟ Syr. εἵωϲ ὃ H ex corr. ἕοϲ ὅτῳ G. ἤλπετο ACDEGHLS Syr. et Heynii libri conf. 701. — 540 ἦλθεν ἀμύντωρ: ἦλθ' ἐπαμύντωρ frgm. Mosc. γρ. ἐν ἄλλῳ ἦλθ' ἐπαμύντωρ A. — 541 ϲυν A. βάλλε H. ὄπιϲθεν omitt. L. — 513 πρόϲω E. ἰ̓εμένη CD. ἰ̔εμένω H. ἱεμένῳ Vrat. d. ὃ δ' D. ὅδ' CGHL. — 544 ἐειϲάϲθη L. τὼ μὲν καὶ ἐειϲάϲθην Lips. — 545 κέλευϲε ACDEH Barocc. Lips. Vrat. d. A. Rom. κέλευε G Syr. κέλευεν Apoll. Soph. 95, 30. κέλευϲεν L. — 546 ἐνένιπεν ACGH Syr. Barocc. Mor. frgm. Mosc. Lips. Flor. Strabo XIII, 586. ἐνένιπε L. ἐνένιϲπεν Vrat. A. b. man. sec. Rom. ἐνένιϲπε E bis. ἐνένϊππεν D. ἐνένιπτεν Cant. γρ. ἐνένιπτεν G 2. man. — 547 μελάνϊπον D. ὃ δ' D. ὅδ' ACGHL. εἰλίποδαϲ G. — 548 περκώπῃ L. ἀπὸ νόϲφιν D: ἄπο νόϲφιν Vrat. b. ceteri ἀπονόϲφιν. — 550 εἰϲ omitt. E. τρώεϲϲι CDE. τρῴεϲϲιν L.

A. c. 537 χαμᾶζε veteres, H. T. 377. — 539 ἔλπετο Aristarchus? conf. Didym. ad P 603. — 540 ἦλθ' ἐπαμύντωρ Aristarchus? conf. ad N 384.

ναῖε δὲ πὰρ Πριάμῳ. ὃ δέ μιν τίεν ἶϲα τέκεϲϲι·
τόν ῥ' Ἕκτωρ ἐνένιπεν ἔποϲ τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
οὕτω δὴ Μελάνιππε μεθήϲομεν; οὐδέ νυ ϲοί περ
ἐντρέπεται φίλον ἦτορ ἀνεψιοῦ κταμένοιο;
οὐχ ὁράᾳϲ, οἷον Δόλοποϲ περὶ τεύχε' ἕπουϲιν;
ἀλλ' ἕπευ· οὐ γὰρ ἔτ' ἔϲτιν ἀποϲταδὸν Ἀργείοιϲι
μάρναϲθαι, πρίν γ' ἠὲ κατακτάμεν ἠὲ κατ' ἄκρηϲ
Ἴλιον αἰπεινὴν ἑλέειν κτάϲθαι τε πολίταϲ.
ὣϲ εἰπὼν ὃ μὲν ἦρχ', ὃ δ' ἅμ' ἕϲπετο ἰϲόθεοϲ φώϲ.
Ἀργείουϲ δ' ὤτρυνε μέγαϲ Τελαμώνιοϲ Αἴαϲ·
ὦ φίλοι, ἀνέρεϲ ἔϲτε, καὶ αἰδῶ θέϲθ' ἐνὶ θυμῷ,
ἀλλήλουϲ τ' αἰδεῖϲθε κατὰ κρατερὰϲ ὑϲμίναϲ.
αἰδομένων δ' ἀνδρῶν πλέονεϲ ϲόοι ἠὲ πέφανται·
φευγόντων δ' οὔτ' ἂρ κλέοϲ ὄρνυται οὔτέ τιϲ ἀλκή.
ὣϲ ἔφαθ', οἳ δὲ καὶ αὐτοὶ ἀλέξαϲθαι μενέαινον,
ἐν θυμῷ δ' ἐβάλοντο ἔποϲ, φράξαντο δὲ νῆαϲ
ἕρκεϊ χαλκείῳ· ἐπὶ δὲ Ζεὺϲ Τρῶαϲ ἔγειρεν.
Ἀντίλοχον δ' ὤτρυνε βοὴν ἀγαθὸϲ Μενέλαοϲ·
Ἀντίλοχ', οὔ τιϲ ϲεῖο νεώτεροϲ ἄλλοϲ Ἀχαιῶν,
οὔτε ποϲὶν θάϲϲων οὔτ' ἄλκιμοϲ ὡϲ ϲὺ μάχεϲθαι·
εἴ τινά που Τρώων ἐξάλμενοϲ ἄνδρα βάλοιϲθα.
ὣϲ εἰπὼν ὃ μὲν αὖτιϲ ἀπέϲϲυτο, τὸν δ' ὀρόθυνεν·
ἐκ δ' ἔθορε προμάχων, καὶ ἀκόντιϲε δουρὶ φαεινῷ

V. L. 551 omitt. Syr. παρ A. παρ' D. παρὰ Lips. ὃ δὲ L. τέκεϲϲι ACDG. — 552 ΤΟΝΔ' Syr. ἐνένϊππεν D conf. 546. ἐνένιϲπεν Vrat. A. ὀνόμαζε AL Syr. Lips. — 553 ΠΕΡ' Syr. — 555 περϊ CDH. — 556 ἔτ' om. D. ἐϲτὶν CDEH. ἀργείοιϲι ACDG Syr. Eust. 1029, 12. — 557 κατὰ κτάμεν A. — 558 κτάϲθαί τε A. κτάϲθαι τὲ L. κτᾶϲθαί τε CDG Vrat. A. — 559 ὡϲ A. ὃ μὲν C. ἦρχεν L. ὃ δ' D. ὅδ' CGHL. — 561 ἐϲτὲ CDHL. ἐνι A. — 562 omitt. D in textu S Cant. in textu Vrat. A. κατα AH. — 563 δ' omitt. D. ἢ ἐπέφανται H. — 564 οὐτὰρ H. ἀρ A. οὔτέ τιϲ ACDGHL. — 565 ὡϲ A. οἳ δὲ C. ἀλεξέμεναι H Vrat. d. — 566 δὲ βάλοντο L. δὲ ἔβάλοντο G. δ' ἐβάλλοντο Lips. — 567 ἔγχεϊ AC Lips. ἑρκεῖ et ἑρκει A in marg. ἐπι H. διὰ Eust. 1031, 18. τρῷαϲ ἤγειρεν L. — 568 ὤτρυνε μέγαϲ τελαμώνιοϲ αἴαϲ Barocc. Mor. — 570 οὐδὲ . . . . οὐδ' H. ποϲὶ E Lips. — 571 τρῴων L. βάληϲθα LS. βάλῃϲθα E Rom. — 572 ὡϲ A. ὃ μὲν C. αὖθϊϲ C. ἐπέϲϲυτο CS. ἀπέϲτιχε L. ὀρόθυνε D.

A. c. 554 ἀνεψιόο κταμένοιο? conf. ad B 325. — 555 περὶ, non πέρι, Ptolem. Ascalonita et Herodianus. — 556 ἕπευ, conf. K 146. N 381, 465. — 563 αἰδομένων δ' ἀνδρῶν: αἰδομένων ἀνδρῶν Aristarchus, conf. Ε 531.

ἀμφὶ ἓ παπτήναc. ὑπὸ δὲ Τρῶεc κεκάδοντο
ἀνδρὸc ἀκοντίccαντοc. ὁ δ᾽ οὐχ ἅλιον βέλοc ἧκεν,
ἀλλ᾽ Ἱκετάονοc υἱόν, ὑπέρθυμον Μελάνιππον,
νιccόμενον πόλεμον δὲ βάλε cτῆθοc παρὰ μαζόν.
δούπηcεν δὲ πεcών, τὸν δὲ cκότοc ὄccε κάλυψεν.
Ἀντίλοχοc δ᾽ ἐπόρουcε κύων ὥc, ὅc τ᾽ ἐπὶ νεβρῷ
βλημένῳ ἀίξῃ, τόν τ᾽ ἐξ εὐνῆφι θορόντα
θηρητὴρ ἐτύχηcε βαλών, ὑπέλυcε δὲ γυῖα·
ὣc ἐπὶ cοὶ Μελάνιππε θόρ᾽ Ἀντίλοχοc μενεχάρμηc
τεύχεα cυλήcων. ἀλλ᾽ οὐ λάθεν Ἕκτορα δῖον,
ὅc ῥά οἱ ἀντίοc ἦλθε θέων ἀνὰ δηιοτῆτα.
Ἀντίλοχοc δ᾽ οὐ μεῖνε θοόc περ ἐὼν πολεμιcτήc,
ἀλλ᾽ ὅ γ᾽ ἄρ᾽ ἔτρεcε θηρὶ κακὸν ῥέξαντι ἐοικώc,
ὅc τε κύνα κτείναc ἢ βουκόλον ἀμφὶ βόεccι
φεύγει, πρίν περ ὅμιλον ἀολλιcθήμεναι ἀνδρῶν·
ὣc τρέcε Νεcτορίδηc, ἐπὶ δὲ Τρῶέc τε καὶ Ἕκτωρ
ἠχῇ θεcπεcίῃ βέλεα cτονόεντα χέοντο·
cτῆ δὲ μεταcτρεφθείc, ἐπεὶ ἵκετο ἔθνοc ἑταίρων.
Τρῶεc δὲ λείουcιν ἐοικότεc ὠμοφάγοιcι
νηυcὶν ἐπεccεύοντο, Διὸc δ᾽ ἐτέλειον ἐφετμάc,
ὅ cφιcιν αἰὲν ἔγειρε μένοc μέγα, θέλγε δὲ θυμὸν
Ἀργείων καὶ κῦδοc ἀπαίνυτο, τοὺc δ᾽ ὀρόθυνεν.
Ἕκτορι γάρ οἱ θυμὸc ἐβούλετο κῦδοc ὀρέξαι
Πριαμίδῃ, ἵνα νηυcὶ κορωνίcι θεcπιδαὲc πῦρ

V. ι. 574 ἀμφὶ ἑ E. παπτῆναc C. ὕπο AH. τρῷεc L. κελάδοντο Lips. — 575 ἀκοντίcαντοc CDEL Lips. Vrat. A. ὃ δ᾽ D. ὅδ᾽ CGHL. — 577 νῖcόμενον AC. νιcόμενον DH 1. man. Townl. Vrat. d. νειcόμενον Harl. frgm. Mosc. Vrat. A. νιccόμενοc G. πόλεμον δὲ A. — 578 δούπηcε D. ὄcc᾽ ἐκάλυψεν CL. πεcὼν ἀράβηcε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ DG Harl. versum omitt. Vrat. b. d. — 579 ἀντίλοχον (c supra) G. ὣc ὅτ᾽ ἐπὶ H. λέων ὣc Barocc. Mor. Harl. pro var. lect. ἔπι A. — 580 ἀΐξει CE 1030, 61. 1031, 48. L ex corr. εὐνῆφι E. — 581 ἐτύχηcε: ἔτυχε G Flor. Rom. — 582 ὡc ἔπι A. — 583 οὐ λάθετ᾽ Vrat. b. — 584 ἀντίον L. — 586 ἂρ EG. ἀλλ᾽ ὃ γὰρ ACDHL Vrat. d. ἀλλὰ παρέτρεcε Mor. Barocc. ἀλλὰ παραίτρεcε Lips. ἀλλ᾽ ὁ παρέτρεccε Vrat. A. — 587 κύναc S Lips. ἄμφι AD. βόεccι ACDEGL. — 589 ἔπι H. τρῷεc L. — 591 μετὰ cτρεφθεὶc A. — 592 τρῷεc L. δὲ: δ᾽ αὖ Harl. Lips. ὠμοφάγοιcι ACDE. — 593 δὲ τέλειον H Vrat. d. — 594 ὅ, cφιcιν AC. ὃc cφιcιν H. ὅc φηcιν E. ὅc cφιν L. — 596 βούλετο Lips. ὀρέξειν Cant.

A. c. 587 ἀμφὶ βόεccι: ἀμφί οἱ αὐτῷ Zenodotus.

ἐμβάλοι ἀκάματον, Θέτιδοc δ᾽ ἐξαίcιον ἀρὴν
πᾶcαν ἐπικρήνειε· τὸ γὰρ μένε μητίετα Ζεύc,
νηὸc καιομένηc cέλαc ὀφθαλμοῖcιν ἰδέcθαι.
ἐκ γὰρ δὴ τοῦ ἔμελλε παλίωξιν παρὰ νηῶν
θηcέμεναι Τρώων, Δαναοῖcι δὲ κῦδοc ὀρέξειν.
τὰ φρονέων νήεccιν ἔπι γλαφυρῇcιν ἔγειρεν
Ἕκτορα Πριαμίδην μάλα περ μεμαῶτα καὶ αὐτόν.
μαίνετο δ᾽ ὡc ὅτ᾽ Ἄρηc ἐγχέcπαλοc ἢ ὀλοὸν πῦρ
οὔρεcι μαίνηται, βαθέηc ἐν τάρφεcιν ὕληc·
ἀφλοιcμὸc δὲ περὶ cτόμα γίγνετο, τὼ δέ οἱ ὄccε
λαμπέcθην βλοcυρῇcιν ὑπ᾽ ὀφρύcιν, ἀμφὶ δὲ πήληξ
cμερδαλέον κροτάφοιcι τινάccετο μαρναμένοιο
Ἕκτοροc· αὐτὸc γάρ οἱ ἀπ᾽ αἰθέροc ἦεν ἀμύντωρ
Ζεύc, ὅc μιν πλεόνεccι μετ᾽ ἀνδράcι μοῦνον ἐόντα
τίμα καὶ κύδαινε. μινυνθάδιοc γὰρ ἔμελλεν
ἔccεcθ᾽. ἤδη γάρ οἱ ἐπώρνυε μόρcιμον ἦμαρ
Παλλὰc Ἀθηναίη ὑπὸ Πηλείδαο βίηφι.
καί ῥ᾽ ἔθελεν ῥῆξαι cτίχαc ἀνδρῶν πειρητίζων,
ἧ δὴ πλεῖcτον ὅμιλον ὅρα καὶ τεύχε᾽ ἄριcτα·
ἀλλ᾽ οὐδ᾽ ὣc δύνατο ῥῆξαι μάλα περ μενεαίνων.
ἴcχον γὰρ πυργηδὸν ἀρηρότεc ἠύτε πέτρη
ἠλίβατοc μεγάλη, πολιῆc ἁλὸc ἐγγὺc ἐοῦcα,

V. ι. 598 ἐμβάλῃ ACDEGHLS et Heynii libri. θέτιοc L Et. Gud. 260, 29. 474, 48. conf. Πάριοc Γ 325. δ᾽ omitt. D. — 599 ἐπικρήνειε (ειν supra) CH. μητιέτα L. — 602 τρῴων L. ὀρέξαι A. ὀρέξειν DGLS Townl. Flor. — 603 ἐπὶ CEGHL. ἔπι AD. — 605 μαίνεται ὡc Rhet. Gr. I, 256, 7. ἐγχεcπάλοc A. ἐγχεcπάλοc D conf. H. T. 421. — 606 ἐν τάφρεcιν libri mei cum Cant. Mor. Lips. Flor.: editores ante Wolfium ἐνὶ. — 607 γίνετο ACDEGHL. γίγνεται Rhet. Gr. I, 256, 7. γίνεται Et. Mg. 177, 48. γίνετ᾽ ὀδόντων Apoll. Soph. 49, 3. — 608 βλοcυροῖcιν C. — 609 cμαρδαλέον S. μαρναμένοιο: μαινομένοιο Schol. Φ 5. — 611 πλεόνεccῖν H. — 613 ἔccεcθαι D. ἐπώρουcε S. — 614 ἀθήνη L. ὕπο A. ὑπαὶ Lips. βίηφι ACLS. βίῃφι DGH. δαμῆναι S in marg. — 615 ἔθελε ACDE Harl. Lips. non male. cτίχαc ῥῆξαι (β α supra) C. — 616 πλεῖcτον: πλεῖον E. — 617 ὡc A. — 619 ἠλίβατοc: alii ἠλίβατοc teste Eust. 1033, 34.

A. c. 601 ἔμελλε: ἀριcτοφάνηc τοῦ μέλλεν ἰακῶc Didymus, pro ἀριcτοφάνηc repone ἀρίcταρχοc. — 606 τάρφεcιν: ταρφέcιν Tyrannio. — 607 ἀφλοιcμόc: ἄφλοιcμοc Tyrannio. — 609 μαρναμένοιο: τοῦτο ἄν τιc cημειώcαιτο πρὸc τὸ „τινάccετο μαινομένοιο“. γράφουcι γάρ τινεc μαρναμένοιο Schol. A ad Φ 5. — 610—614 ἀθετοῦνται. οὐδὲ παρὰ Ζηνοδότῳ δὲ ἦcαν Schol. A.

ἥ τε μένει λιγέων ἀνέμων λαιψηρὰ κέλευθα
κύματά τε τροφόεντα, τά τε προϲερεύγεται αὐτήν·
ὣϲ Δαναοὶ Τρῶαϲ μένον ἔμπεδον οὐδὲ φέβοντο.
αὐτὰρ ὃ λαμπόμενοϲ πυρὶ πάντοθεν ἔνθορ' ὁμίλῳ,
ἐν δ' ἔπεϲ' ὡϲ ὅτε κῦμα θοῇ ἐν νηὶ πέϲῃϲι
λάβρον ὑπὸ νεφέων ἀνεμοτρεφέϲ· ἣ δέ τε πᾶϲα
ἄχνῃ ὑπεκρύφθη, ἀνέμοιο δὲ δεινὸϲ ἀήτη
ἱϲτίῳ ἐμβρέμεται, τρομέουϲι δέ τε φρένα ναῦται
δειδιότεϲ· τυτθὸν γὰρ ὑπ' ἐκ θανάτοιο φέρονται·
ὣϲ ἐδαΐζετο θυμὸϲ ἐνὶ ϲτήθεϲϲιν Ἀχαιῶν.
αὐτὰρ ὅ γ' ὥϲ τε λέων ὀλοόφρων βουϲὶν ἐπελθών,
αἵ ῥά τ' ἐν εἱαμενῇ ἕλεοϲ μεγάλοιο νέμονται
μυρίαι, ἐν δέ τε τῇϲι νομεύϲ, οὔ πω ϲάφα εἰδὼϲ
θηρὶ μαχήϲαϲθαι ἕλικοϲ βοὸϲ ἀμφὶ φονῇϲιν·
ἦ τοι ὃ μὲν πρώτῃϲι καὶ ὑϲτατίῃϲι βόεϲϲιν
αἰὲν ὁμοϲτιχάει, ὃ δέ τ' ἐν μέϲϲῃϲιν ὀρούϲαϲ
βοῦν ἔδει, αἳ δέ τε πᾶϲαι ὑπέτρεϲαν· ὣϲ τότ' Ἀχαιοὶ
θεϲπεϲίωϲ ἐφόβηθεν ὑφ' Ἕκτορι καὶ Διὶ πατρὶ

V. L. 621 τροφέοντα A. ϲτροφόεντα L. τροφέονται ἢ τροφόεντα, γράφεται γὰρ διχῶϲ Eust. 1033, 41. αὐτὴν ACD frgm. Mosc. αὐτὴν S et in marg. ἀκτήν. ἀκτῇ (ν supra) H. ἀκτή vel αὐτή L. ἀκτῇ Townl. αὐτῇ G Vrat. d. A. αὐτὴ Vrat. b. ἀκτὴν ἢ ἀκτῇ ἢ μᾶλλον αὐτὴν Eust. 1033, 27. — 622 ὡϲ AD 1. man. τρῶαϲ L. οὐδὲ φέβοντο ACGS Townl. frgm. Mosc.: vulgo οὐδ' ἐφέβοντο. — 623 ὃ ACDGHL. — 624 ἐνὶ νηῖ GS Cant. Rhet. Gr. III, 106, 25 non male, sed conf. Π 437. ι 535. λ 115. πέϲῃϲι ACDEG Rhet. Gr. I, 259, 12. III, 106, 25. πέϲῃϲιν HL Schol. A 593. — 625 λάβρον: λαῦρον τινὲϲ διὰ τῆϲ αυ διφθόγγου Eust. 1033, 58. * ὑπὸ: ὑπαὶ ACDE bis GHLS et Heynii libri. Rhet. Gr. I, 259, 12. ἀνεμοτραφὲϲ Barocc. — 626 ἄχνη CG (cum glossa ὁ ἀφρὸϲ) S Et. Mg. 181, 50. ἀνέμοιό τε C Mor. Apoll. Soph. 12, 3. ἀήτη A Apoll. Soph. 12, 3: vulgo ἀήτηϲ, ita libri fere omnes et Hesych. I, 61. Rhet. Gr. I, 259, 12. Ὅμηροϲ δεινὸϲ ἀήτη (libri ἀήτηϲ) ὡϲ κλυτὸϲ Ἱπποδάμεια Suidas I, 1, 1231, 11. — 627 ἐβρέμεται C. — 628 ὑπ' ἐκ CEGL Stob. Flor. 59, 8. ὑπεκ A. vulgo ὑπὲκ. — 629 ὡϲ D 1. man. ἐνι A. — 631 εἱαμενῇ DHL. ἔλεοϲ ADGH Lips. — 632 θηρί: χειρὶ Barocc. μαχέϲαϲθαι ACDEG HLS et Heynii libri. ἀμφι AL. — 634 ἦτοι Eust. 1035, 22: ceteri ἤτοι. — 635 αἰὲν: αἰεὶ H. ὁμοϲτιχάνει S. ὃ L. — 636 ὡϲ D 1. man.

A. c. 621 οὕτωϲ αὐτήν μετὰ τοῦ ν̄ ἀρίϲταρχοϲ, τὴν πέτραν Didymus. — 622 ὣϲ Δαναοὶ Τρῶαϲ: ἐξ ἁλόϲ, ὣϲ Δαναοὶ alii teste Aristonico. — 626 ἄχνῃ: Ζηνόδοτοϲ χωρὶϲ τοῦ ῑ ἄχνη Didymus. ἀήτη: ὅτι ἀρϲενικῶϲ δεινὸϲ ἀήτη, ἀλλ' οὐ δεινή, ὡϲ κλυτὸϲ Ἱπποδάμεια (B 742). ἔνιοι δὲ ἀγνοοῦντεϲ ποιοῦϲι δεινὸϲ ἀήτηϲ· ἀλλ' οὐ δεῖ γράφειν οὕτωϲ Aristonicus, conf. H. T. 385. — 633 μαχήϲαϲθαι Aristarchus, conf. H. T. 308.

πάντεϲ, ὃ δ' οἶον ἔπεφνε Μυκηναῖον Περιφήτην,
Κοπρῆοϲ φίλον υἱόν, ὃϲ Εὐρυϲθῆοϲ ἄνακτοϲ
ἀγγελίηϲ οἴχνεϲκε βίῃ Ἡρακληείῃ·
τοῦ γένετ' ἐκ πατρὸϲ πολὺ χείρονοϲ υἱὸϲ ἀμείνων
παντοίαϲ ἀρετάϲ, ἠμὲν πόδαϲ ἠδὲ μάχεϲθαι,
καὶ νόον ἐν πρώτοιϲι Μυκηναίων ἐτέτυκτο·
ὅϲ ῥα τόθ' Ἕκτορι κῦδοϲ ὑπέρτερον ἐγγυάλιξε.
ϲτρεφθεὶϲ γὰρ μετόπιϲθεν ἐν ἀϲπίδοϲ ἄντυγι πάλτο,
τὴν αὐτὸϲ φορέεϲκε ποδηνεκέ', ἕρκοϲ ἀκόντων·
τῇ ὅ γ' ἐνὶ βλαφθεὶϲ πέϲεν ὕπτιοϲ, ἀμφὶ δὲ πήληξ
ϲμερδαλέον κονάβηϲε περὶ κροτάφοιϲι πεϲόντοϲ.
Ἕκτωρ δ' ὀξὺ νόηϲε, θέων δέ οἱ ἄγχι παρέϲτη,
ϲτήθεϊ δ' ἐν δόρυ πῆξε, φίλων δέ μιν ἐγγὺϲ ἑταίρων
κτεῖν'· οἳ δ' οὐκ ἐδύναντο καὶ ἀχνύμενοί περ ἑταίρου
χραιϲμεῖν· αὐτοὶ γὰρ μάλα δείδιϲαν Ἕκτορα δῖον.
εἴϲωποὶ δ' ἐγένοντο νεῶν, περὶ δ' ἔϲχεθον ἄκραι
νῆεϲ, ὅϲαι πρῶται εἰρύατο· τοὶ δ' ἐπέχυντο.
Ἀργεῖοι δὲ νεῶν μὲν ἐχώρηϲαν καὶ ἀνάγκῃ
τῶν πρωτέων, αὐτοῦ δὲ παρὰ κλιϲίῃϲιν ἔμειναν

V. L. 638 ὃ δ' D. ὅδ' CGHL. οἶον DG. — 639 ἄνακτοϲ: ἀέθλων H Vrat. d. frgm. Mosc. Schol. Pind. Ol. III. 50. εὐρυϲθῆοϲ ἀέθλων A in marg. διττὴ γὰρ ἐνταῦθα γραφὴ „ὃϲ Εὐρυϲθῆοϲ ἀέθλων“ καὶ „ὃϲ Εὐρυϲθῆοϲ ἄνακτοϲ“ Eust. 1035, 50, conf. 1035, 35. — 640 ἀγγελίῃϲ H. ἴχνεϲκε L. ἡρακλείῃ G. — 641 ἀμείνων: ἀμύμων Vrat. d. — 642 παντοίην ἀρετὴν L Eust. 1050, 36. Plutarchus de Sera numinis vindicta 7. παντοίην ἀρετὴν ἢ παντοίαϲ ἀρετὰϲ Eust. 1035, 53. ἢ μὲν πόδαϲ ἢ δὲ D. — 643 μηκυναίων G. — 644 ὅϲρα A. ὃϲ ῥὰ L. ἐγγυάλιξε ACD. — 645 μετ' ὄπιϲθεν A. ἐν ἀϲπίδοϲ, non ὑπ', libri mei cum Cant. Lips. Harl. Townl. Vrat. A. frgm. Mosc. Flor.: ὑπ' Rom. πᾶλτο CE bis H Lips. — 646 ποδηνεκέ' AH 1. man. ποδηνεκὲϲ CDEGH 2. man. LS. — 647 ἐνὶ βλαφθεὶϲ: ἐνιβλαφθεὶϲ CDEGH, conf. Z 39. — 648 ϲμαρδαλέον S. περι A. παρὰ S. κροτάφοιο Cant. — 650 ϲτήθεϲι E. — 651 οἳ δ' D. οἵδ' CGHL. — 652 μάλα δείδιϲαν ACEHL Lips. Mor. Vrat. d.: μάλ' ἐδείδιϲαν DS. μάλα ἐδείδιϲαν G. — 653 περϊ CH. — 656 πρωτέων ACL Lips. προτέρων DEGHS γρ. προτέρων Lips. γρ. πρώτων καὶ προτέρων καὶ πρωτέων A. αὐτοῦ: αὐτοὶ A. παρα H. ἔμιμνον EHL Mor. Vrat. d.

A. c. 640 ἀγγελίηϲ Aristarchus: Zenodotus ἀγγελίην. — 645 διχῶϲ δὲ τὸ ϲτρεφθεὶϲ καὶ διὰ τοῦ ᾱ καὶ διὰ τοῦ ε̄ Schol. A. πάλτο: κατ' ἔνια τῶν ἀντιγράφων χωρὶϲ τοῦ π̄ ἆλτο Didymus. — 651 περ: Ἑλλάνικοϲ δὲ Αἰολικῶϲ νομίζει τὴν περί περ' εἰρῆϲθαι Aristonicus. conf. Eust. 1036, 1. Ἄτταλοϲ δὲ ϲυγκοπήν φηϲιν, ὡϲ ἐν τῷ „πὰρ Ζηνί“ (Δ 1) Schol. V. — 656 πρωτέων Aristarchum scripsisse colligo ex Schol. ad Ξ 31.

ἀθρόοι, οὐδὲ κέδαϲθεν ἀνὰ ϲτρατόν· ἴϲχε γὰρ αἰδὼϲ
καὶ δέοϲ· ἀζηχὲϲ γὰρ ὁμόκλεον ἀλλήλοιϲι.
Νέϲτωρ αὖτε μάλιϲτα Γερήνιοϲ, οὖροϲ Ἀχαιῶν,
λίϲϲεθ' ὑπὲρ τοκέων γουνούμενοϲ ἄνδρα ἕκαϲτον·
ὦ φίλοι, ἀνέρεϲ ἔϲτε, καὶ αἰδῶ θέϲθ' ἐνὶ θυμῷ
ἄλλων ἀνθρώπων, ἐπὶ δὲ μνήϲαϲθε ἕκαϲτοϲ
παίδων ἠδ' ἀλόχων καὶ κτήϲιοϲ ἠδὲ τοκήων,
ἠμὲν ὅτεῳ ζώουϲι καὶ ᾧ κατατεθνήκαϲι·
τῶν ὕπερ ἐνθάδ' ἐγὼ γουνάζομαι οὐ παρεόντων
ἑϲτάμεναι κρατερῶϲ· μὴ δὲ τρωπᾶϲθε φόβον δέ.
ὣϲ εἰπὼν ὤτρυνε μένοϲ καὶ θυμὸν ἑκάϲτου.
τοῖϲι δ' ἀπ' ὀφθαλμῶν νέφοϲ ἀχλύοϲ ὦϲεν Ἀθήνη
θεϲπέϲιον· μάλα δέ ϲφι φόωϲ γένετ' ἀμφοτέρωθεν,
ἠμὲν πρὸϲ νηῶν καὶ ὁμοιίου πολέμοιο.
Ἕκτορα δ' ἐφράϲϲαντο βοὴν ἀγαθὸν καὶ ἑταίρουϲ,
ἠμὲν ὅϲοι μετόπιϲθεν ἀφέϲταϲαν οὐδὲ μάχοντο,
ἠδ' ὅϲϲοι παρὰ νηυϲὶ μάχην ἐμάχοντο θοῇϲιν.
οὐδ' ἄρ' ἔτ' Αἴαντι μεγαλήτορι ἥνδανε θυμῷ
ἑϲτάμεν, ἔνθά περ ἄλλοι ἀφέϲταϲαν υἷεϲ Ἀχαιῶν·
ἀλλ' ὅ γε νηῶν ἴκρι' ἐπῴχετο μακρὰ βιβάϲθων,
νώμα δὲ ξυϲτὸν μέγα ναύμαχον ἐν παλάμηϲι,

V. ι. 657 αθρόοι A. οὐδὲ κέδαϲθεν ACE Mor. Townl. Rom. ϲκέδαϲθεν frgm. Mosc. vulgo οὐδ' ἐκέδαϲθεν. ἀνα A. — 658 ἀλλήλοιϲι AC DG. — 659 νέϲτωρ δ' GH Vrat. d. edd. vett. αὖτε: γάρ τε S. — 660 τεκέων Flor. Rom. — 661 ἐϲτὲ CEHL ἐνι A. — 662 ἐπῒ CDH. — 664 ἠ μὲν D. ὅτω D ex corr. H ex corr. ὅτῳ Barocc. Mor. ζώουϲιν H. καταμεθνήκαϲι ACDEG. κατεθνήκωϲιν Vrat. d. — 665 ὕπερ ACDEGHL. — 666 ἱϲτάμεναι Barocc. μὴ δὲ ACDGL. μὴ δε H. τρωπᾶϲθε CDE 1036,

42. Harl. Lips. τρωπᾶϲθαι (ε) A. τρωπᾶϲθαι Eust. 1036, 25. 1040, 1. Townl. frgm. Mosc. Vrat. b. A. τροπάαϲθε G Cant. Flor. τροπᾶϲθε Vrat. d. τροπάαϲθαι H. τρωπάαϲθαι L. τροπώαϲθαι S. φόβον δὲ A.: ceteri φόβονδε. — 667 ὡϲ A. ὄτρυνε A. — 669 ϲφιν G Flor. — 670 προϲ A. προ L Lips. et γρ. πὰρ. πὰρ Vrat. b. πρὸϲ ἢ πὰρ E. πτολέμοιο CDGH Barocc. Ven. B. — 671 δ' ἐφράϲϲαντο ACDGHLS Schol. B 408. N 123. Δ' ΕΦΡΑϹϹΑΝΤΟ Ambros. δ' ἐφράϲαντο E. δὲ φράϲϲαντο Schol. O 668. ἑτέρουϲ E. — 672 μετ' ὄπιϲθεν A. οὐδὲ μάχοντο S Townl.: οὐδ' ἐμάχοντο ceteri. — 673 omitt. Lips ἦδ' D. ἠδ' ὅϲϲι G. ἠδ' ὁπόϲοι S Cant. ΘΟΗΙϹΙ Ambr. — 674 ἄρ ADGHL. ἥνδανε DH. — 675 omitt. L. ἔνθά περ ACDH. ἀφέϲταϲαν ADEL Lips. Cant. Harl. Townl. Vratt. Flor. Rom.: ἐφέϲταϲαν CGHS. ΕΦΕϹΤΑϹΑΝ Ambros. — 676 βιβάϲκων L Cant. βιβάϲϲων S. — 677 παλάμηϲι ACDEGH: παλάμηϲιν L Ambros. (sine accentu).

A. c. 665 ἀναϲτρεπτέον τὴν πρόθεϲιν Herodianus. — 668—673 ἀθετοῦνται Aristonicus.

κολλητὸν βλήτροιϲι, δυωκαιεικοϲίπηχυ.
ὡϲ δ' ὅτ' ἀνὴρ ἵπποιϲι κελητίζειν εὖ εἰδώϲ,
ὅϲ τ' ἐπεὶ ἐκ πολέων πίϲυραϲ ϲυναείρεται ἵππουϲ,
ϲεύαϲ ἐκ πεδίοιο μέγα προτὶ ἄϲτυ δίηται
λαοφόρον καθ' ὁδόν· πολέεϲ τέ ἑ θηήϲαντο
ἀνέρεϲ ἠδὲ γυναῖκεϲ· ὁ δ' ἔμπεδον ἀϲφαλὲϲ αἰεὶ
θρῴϲκων ἄλλοτ' ἐπ' ἄλλον ἀμείβεται, οἳ δὲ πέτονται·
ὣϲ Αἴαϲ ἐπὶ πολλὰ θοάων ἴκρια νηῶν
φοίτα μακρὰ βιβάϲ, φωνὴ δέ οἱ αἰθέρ' ἵκανεν.
αἰεὶ δὲ ϲμερδνὸν βοόων Δαναοῖϲι κέλευε
νηυϲί τε καὶ κλιϲίῃϲιν ἀμυνέμεν. οὐδὲ μὲν Ἕκτωρ
μίμνεν ἐνὶ Τρώων ὁμάδῳ πύκα θωρηκτάων·
ἀλλ' ὥϲ τ' ὀρνίθων πετεηνῶν αἰετὸϲ αἴθων
ἔθνοϲ ἐφορμᾶται, ποταμὸν πάρα βοϲκομενάων,
χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων,
ὣϲ Ἕκτωρ ἴθυϲε νεὸϲ κυανοπρῴροιο,

V. ι. 678 δύω καὶ εἰκοϲίπηχυ AC. δύω καὶ εἰκοϲίπηχυ D ex corr. GL. δυωκαιεικοϲίπηχυ D 1. man. H. — 679 ὡ δ' ὅτ' G. ἵππηϲι L. κελητίζειν A. ΚΕΛΗΘΙΖΕΙΝ Ambr. εὖ libri. — 680 ϲυναείρεται A: ϲυναγείρεται Ambros. CDGHLS et Heynii libri. ϲυναγείρεται ἢ ϲυναείρεται Eust. — 681 ϲέβαϲ δ' ἐκ L. πρὸ τὶ C. ποτὶ S. δίηται AD Cant. Lips. Townl. Vrat. b: διώκῃ Ambr. C 1. man. (?) H frgm. Mosc. διώκοι C ex corr. L. διώκει EGS Flor. Rom. γρ. διώκηι A. — 682 λαοφόρον A. τε, ἑ, θεήϲαντο A. τε ἐθεήϲαντο GLS δὲ ἐθηήϲαντο Vrat. A. Flor. — 683 ἢ δὲ D. ὃ δ' D. ὅδ' CGHL. — 684 θρῴϲκων AH: ceteri θρώϲκων. οἳ δὲ C. — 685 ὡϲ A. — 686 βιβών LS. βιβῶν frgm. Mosc. γρ. βιβών A. — 687 βοάων Barocc. κέλευε ACDEGH. — 688 ἀμυνέμεν' Lips. — 690 πετεεινῶν Vrat. b. — 691 ποταμῶν S. ποταμῷ Harl. πάρα ACGH Harl. Lips. παρὰ D. παραβοϲκομενάων ELS Vrat. b. d. frgm. Mosc. Rom. conf. ad Ε 162. — 692 δουλιχοδούρων L. versum omitt. C. — 693 νεὼϲ CDE 1038, 21. L Harl. Vrat. b. d. frgm. Mosc. νεὼϲ (ο) H. κυανοπρώιροιο A.

A. c. 678 δυωκαιεικοϲίπηχυ Herodianus ὑφ' ἕν. τινὲϲ δὲ κατὰ παράθεϲιν, conf. Eust. 1037, 42. — 680 ϲυναγείρεται ἀντὶ τοῦ ἐκ πολλῶν τοὺϲ ἐπιτηδείουϲ καὶ οἷον ἀρίϲτουϲ καὶ ἰϲοταχεῖϲ ϲυναγάγῃ ἐκλεξάμενοϲ. οἱ δὲ ϲυναείρεται ἀντὶ τοῦ ϲυζεύξῃ, ὡϲ τὸ „ϲὺν δ' ἤειρεν ἱμᾶϲιν" (Κ 499) Schol. BL, conf. Porphyr. Ζητήματα Ὁμηρικὰ cap. 8. — 686 βιβάϲ: βιβῶν conf. H. T. 215. — 688 τινὲϲ ἐπιϲυνάπτουϲι τούτῳ τόνδε „ἀλλὰ πολὺ προθέεϲκε τὸ ὃν μένοϲ οὐδενὶ εἴκων" (Χ 459) Schol. V. — 693 κυανοπρῴροιο: κυανοπρωίρου conf. H. U. 219.

ἀντίος ἀΐξας· τὸν δὲ Ζεὺς ὦϲεν ὄπιϲθε
χειρὶ μάλα μεγάλῃ, ὤτρυνε δὲ λαὸν ἅμ' αὐτῷ.
αὖτις δὲ δριμεῖα μάχη παρὰ νηυϲὶν ἐτύχθη.
φαίης κ' ἀκμῆτας καὶ ἀτειρέας ἀλλήλοιϲιν
ἄντεϲθ' ἐν πολέμῳ· ὣς ἐϲϲυμένως ἐμάχοντο.
τοῖϲι δὲ μαρναμένοιϲιν ὅδ' ἦν νόος· ἤ τοι Ἀχαιοὶ
οὐκ ἔφαϲαν φεύξεϲθαι ὑπ' ἐκ κακοῦ, ἀλλ' ὀλέεϲθαι·
Τρωϲὶν δ' ἔλπετο θυμὸς ἐνὶ ϲτήθεϲϲιν ἑκάϲτου
νῆας ἐνιπρήϲειν κτενέειν θ' ἥρωας Ἀχαιούς.
οἳ μὲν τὰ φρονέοντες ἐφέϲταϲαν ἀλλήλοιϲιν·
Ἕκτωρ δὲ πρυμνῆς νεὸς ἥψατο ποντοπόροιο,
καλῆς ὠκυάλου, ἣ Πρωτεϲίλαον ἔνεικεν
ἐς Τροίην, οὐδ' αὖτις ἀπήγαγε πατρίδα γαῖαν.
τοῦ περ δὴ περὶ νηὸς Ἀχαιοί τε Τρῶές τε
δῄουν ἀλλήλους αὐτοϲχεδόν· οὐδ' ἄρα τοί γε
τόξων ἀϊκὰς ἀμφὶς μένον οὐδέ τ' ἀκόντων,
ἀλλ' οἵ γ' ἐγγύθεν ἱϲτάμενοι, ἕνα θυμὸν ἔχοντες,
ὀξέϲι δὴ πελέκεϲϲι καὶ ἀξίνῃϲι μάχοντο
καὶ ξίφεϲιν μεγάλοιϲι καὶ ἔγχεϲιν ἀμφιγύοιϲι.
πολλὰ δὲ φάϲγανα καλὰ μελάνδετα κωπήεντα
ἄλλα μὲν ἐκ χειρῶν χαμάδις πέϲον, ἄλλα δ' ἀπ' ὤμων

V. l. 694 ἀντίος libri mei. ἀΐξας: ἀΐϲϲων AC. γρ. ἀΐξας A. ὦϲεν: ὦρϲεν ACDGLS et Heynii libri praeter Vrat. d, qui consentit cum H. ὦρϲεν ἢ μᾶλλον ὦϲεν Eust. 1038, 27 et 1035, 12, vide 1039, 34. ὄπιϲθε AG: ceteri ὄπιϲθεν. ὀπίϲω Eust. 1035, 12. 1038, 27. — 696 αὖθϊϲ C. — 697 ἀλλήλοιϲι D Vrat. A. — 698 ὡϲ ACD. — 699 libri ἤτοι. — 700 φεύξαϲθαι L Lips. Vrat. b. ὑπ' ἐκ CDEGHL. ὑπεκ A. — 701 τρωϲὶ DE Lips. τρῳϲὶν L. ἔλπετο E Lips. ἤλπετο ACDGHLS. conf. 539. ἐνι A. — 702 κτανέειν D Barocc. δ' ἥρωας H. — 703 οἳ μὲν CD. — 704 νεὼϲ CDE 1039, 10. Mor. Vrat. b. τινὰ τῶν παλαιῶν ἀντιγράφων διὰ τοῦ ō μικροῦ γράφουϲι τὸ νεόϲ Eust. 1039, 10. ποντοπόροιο A. — 706 αὖθϊϲ C. ἐπήγαγε H Vrat. d. — 707 τρῷεϲ L. — 708 δηΐουν DGL. αὐτοϲχεδὸν A. — 709 ἀμφὶϲ, μένον A. ἠμφιεϲμένον Apoll. Soph. 15, 15. — 712 ξίφεϲι E Lips. μεγάλοιϲ Apoll. Soph. 28, 12. ἀμφιγύοιϲι AC DEG. — 714 πέϲον AEL: πέϲεν CDGH Lips. Vrat. d. A. frgm. Mosc. Flor.

A. c. 694 ἀρίϲταρχοϲ ὦϲεν ὄπιϲθε χωρὶϲ τοῦ ρ̄ καὶ ἀντίοϲ διὰ τοῦ ϲ̄ Didymus. — 698 ἄντεϲθ': ἀντέϲθ' Tyrannio. ὣϲ: ϲτικτέον δὲ ἐπὶ τὸ πολέμῳ καὶ τὸ ἑξῆϲ καθ' αὑτό Nicanor, conf. Ζ 109. Ν 133. τ 442. Χ 259. — 705 ὠκυάλου Herodianus: alii ὠκυᾶλου, ψιλῶϲ. — 711 ἀθετεῖ Ἀρίϲταρχοϲ (?) Schol. BL. — 712 ἀθετεῖται Aristonicus. Aristarcho adversatur Dionysius propter versum 713, sed conf. Ariston. ad vs. 714. — 714 οὕτω διὰ τοῦ ō πέϲον Didymus.

ἀνδρῶν μαρναμένων· ῥέε δ' αἵματι γαῖα μέλαινα.
Ἕκτωρ δὲ πρυμνῆθεν ἐπεὶ λάβεν, οὐχὶ μεθίει
ἄφλαϲτον μετὰ χερϲὶν ἔχων, Τρωϲὶν δὲ κέλευεν·
οἴϲετε πῦρ, ἅμα δ' αὐτοὶ ἀολλέες ὄρνυτ' ἀυτήν·
νῦν ἥμιν πάντων Ζεὺς ἄξιον ἦμαρ ἔδωκε,
νῆας ἑλεῖν, αἳ δεῦρο θεῶν ἀέκητι μολοῦϲαι
ἡμῖν πήματα πολλὰ θέϲαν κακότητι γερόντων,
οἵ μ' ἐθέλοντα μάχεϲθαι ἐπὶ πρυμνῇϲι νέεϲϲιν
αὐτόν τ' ἰϲχανάαϲκον ἐρητύοντό τε λαόν.
ἀλλ' εἰ δή ῥα τότε βλάπτε φρένας εὐρύοπα Ζεὺς
ἡμετέρας, νῦν αὐτὸς ἐποτρύνει καὶ ἀνώγει.
ὣς ἔφαθ', οἳ δ' ἄρα μᾶλλον ἐπ' Ἀργείοιϲιν ὄρουϲαν.
Αἴας δ' οὐκέτ' ἔμιμνε· βιάζετο γὰρ βελέεϲϲιν·
ἀλλ' ἀνεχάζετο τυτθόν, ὀϊόμενος θανέεϲθαι,
θρῆνυν ἐφ' ἑπταπόδην, λίπε δ' ἴκρια νηὸς ἐΐϲης.
ἔνθ' ἄρ' ὅ γ' ἑϲτήκει δεδοκημένος, ἔγχεϊ δ' αἰεὶ
Τρῶας ἄμυνε νεῶν, ὅς τις φέροι ἀκάματον πῦρ·
αἰεὶ δὲ ϲμερδνὸν βοόων Δαναοῖϲι κέλευεν·
ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος,
ἀνέρες ἔϲτε, φίλοι, μνήϲαϲθε δὲ θούριδος ἀλκῆς·
ἦέ τινάς φαμεν εἶναι ἀοϲϲητῆρας ὀπίϲϲω,
ἦέ τι τεῖχος ἄρειον, ὅ κ' ἀνδράϲι λοιγὸν ἀμύναι;
οὐ μέν τι ϲχεδόν ἐϲτι πόλις πύργοιϲ ἀραρυῖα,
ᾗ κ' ἀπαμυναίμεϲθ' ἑτεραλκέα δῆμον ἔχοντες·

V. l. 716 οὐχὶ μεθίει libri cum Apollon. de Adv. 573, 6. οὔτι μεθίει Schol. Apoll. Rhod. I, 1089. — 717 μετα A. τρῳϲὶν L. δ' ἐκέλευεν CD EGHLS. δὲ κέλευεν A Vrat. b. frgm. Mosc. — 718 ὤρνυτ' A. — 719 ἥμιν ACDH: vulgo ἡμῖν. ἔδωκε AEG. — 722 με θέλοντα Cram. An. Par. III, 288, 8. ἐπὶ πρύμνῃϲιν ἀχαιῶν Townl. — 724 δὴ ῥὰ L. τότε βλάπτε ADEL Townl. Vrat. b. d. τότε βλάπτεν H. τότ' ἔβλαπτε C. τότ' ἔβλαπτεν G Flor. Rom. τοτ' ἔβλαπτε S. — 726 ὡϲ A. οἳ δ' D. οἵδ' CHL. μᾶλλον: πάντεϲ Vrat. d. — 729 ἑπταπόδην A. — 730 ἄρ' omitt. EL. ἆρ AGH. ἑϲτήκει AL Barocc. Lips. Vrat. d. frgm. Mosc. εἱϲτήκει CDGS. ἱϲτήκει H. — 731 τρῷαϲ L. φέροι: φέρει DEGL Lips. Harl. — 732 δαναοῖϲιν ἐκέλευεν L. — 734 ἀνέρεϲ ἐϲτὲ CEHL. — 735 ἦέ D. τιναϲ φαμὲν ACDEGH. τινὰϲ φαμὲν L. — 736 ἦέ D. ἢ ἔτι S. ἀμῦναι CDL. ἀμύνῃ H. — 737 μέν τι DH 1. man. S Townl. Vrat. d. μέν τοι L Vrat. b. μέν τιϲ ACEGH ex corr. — 738 ἐπαμυναίμεϲθ' Harl. Lips. Vrat. b. d. A. ἀπαμυναίμεϲθ' A. ἐπαμυνέμεϲθ' C. ἑτεραλκέα A.

A. c. 716 οὐχὶ μεθίει: Zenodotus οὐκ ἐμεθίει, conf. ad Π 762. — 730 ἑϲτήκει Aristarchus, non εἱϲτήκει. — 737 οὕτωϲ μέν τι χωρὶϲ τοῦ ϲ̄ ἀρίϲταρχοϲ Didymus.

ἀλλ᾽ ἐν γὰρ Τρώων πεδίῳ πύκα θωρηκτάων
πόντῳ κεκλιμένοι ἑκὰϲ ἥμεθα πατρίδοϲ αἴηϲ·
τῶ ἐν χερϲὶ φόωϲ, οὐ μειλιχίῃ πολέμοιο.
ἦ, καὶ μαιμώων ἔφεπ᾽ ἔγχεϊ ὀξυόεντι.
ὅϲ τιϲ δὲ Τρώων κοίληϲ ἐπὶ νηυϲὶ φέροιτο
ϲὺν πυρὶ κηλείῳ χάριν Ἕκτοροϲ ὀτρύναντοϲ,
τὸν δ᾽ Αἴαϲ οὔταϲκε δεδεγμένοϲ ἔγχεϊ μακρῷ·
δώδεκα δὲ προπάροιθε νεῶν αὐτοϲχεδὸν οὖτα.

ΙΛΙΑΔΟϹ Π.

Ὣϲ οἳ μὲν περὶ νηὸϲ ἐϋϲϲέλμοιο μάχοντο·
Πάτροκλοϲ δ᾽ Ἀχιλῆϊ παρίϲτατο, ποιμένι λαῶν,
δάκρυα θερμὰ χέων ὥϲ τε κρήνη μελάνυδροϲ,
ἥ τε κατ᾽ αἰγίλιποϲ πέτρηϲ δνοφερὸν χέει ὕδωρ.
τὸν δὲ ἰδὼν ᾤκτειρε ποδάρκηϲ δῖοϲ Ἀχιλλεύϲ,
καί μιν φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα·
τίπτε δεδάκρυϲαι Πατρόκλειϲ ἠύτε κούρη
νηπίη, ἥ θ᾽ ἅμα μητρὶ θέουϲ᾽ ἀνελέϲθαι ἀνώγει,
εἱανοῦ ἁπτομένη, καί τ᾽ ἐϲϲυμένην κατερύκει,
δακρυόεϲϲα δέ μιν ποτιδέρκεται, ὄφρ᾽ ἀνέληται·

V. ι. 739 τρῴων L. πεδίῳ: ἐν ἄλλῳ τρώων ὁμάδῳ A. — 741 τῶ ACL: τῷ DGH. τῶν Harl. μειλιχίῃ ACDEH: μειλιχίη G 1. man. LS. — 742 ἢ D. μαιμόων Lips. Vrat. A. — 743 τρῴων L. κοιλὰϲ ἐπὶ νῆαϲ ἄγοιτο G Harl. Flor. ἐπὶ νηυϲὶν ἄγοιτο L. — 744 κελέωι D. ὀτρύνοντοϲ H frgm. Mosc. — 745 ὀξέϊ χαλκῷ CG Mor. Flor. ὀξέϊ δουρὶ E 1040, 13 et 39. Rom. — 746 δὲ ἢ δὴ Eust. οὔτα CGL.

A. c. 741 οὕτωϲ ἀρίϲταρχοϲ ϲὺν τῷ ῑ μειλιχίῃ Didymus. μειλιχίῃ Dionysius Thrax, conf. Schol. AV et Eust. 1040, 36.

V. ι. 1 ἐϋϲέλμοιο CDE. εὐϲέλμοιο Townl. Vrat. a (sic). b. — 2 ἀχιλῆι H. — 3 μελάνυδροϲ A. — 4 δνοφερὸν: γνοφερὸν S. χέει: χέεν Et. Mg. 27, 44. — 8 μητρὶ κλαίουϲ᾽ Schol. Soph. Trach. 1073. — 9 εἱανοῦ D. — 10 ὄφρ᾽ ἂν ἕληται LS Vrat. b.

A. c. 5 ᾤκτειρε: θάμβηϲε Aristarchus. — 10 Ζηνόδοτοϲ δακρυόεϲϲα δέ μιν προϲδέρκεται Didymus.

τῇ ἴκελοϲ Πάτροκλε τέρεν κατὰ δάκρυον εἴβειϲ.
ἠέ τι Μυρμιδόνεϲϲι πιφαύϲκεαι, ἢ ἐμοὶ αὐτῷ;
ἠέ τιν᾽ ἀγγελίην Φθίηϲ ἐξ ἔκλυεϲ οἶοϲ;
ζώειν μὰν ἔτι φαϲὶ Μενοίτιον, Ἄκτοροϲ υἱόν,
ζώει δ᾽ Αἰακίδηϲ Πηλεὺϲ μετὰ Μυρμιδόνεϲϲι,
τῶν κε μάλ᾽ ἀμφοτέρων ἀκαχοίμεθα τεθνηώτων.
ἦε ϲύ γ᾽ Ἀργείων ὀλοφύρεαι, ὡϲ ὀλέκονται
νηυϲὶν ἔπι γλαφυρῇϲιν ὑπερβαϲίηϲ ἕνεκα ϲφῆϲ;
ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα εἴδομεν ἄμφω.
τὸν δὲ βαρὺ ϲτενάχων προϲέφηϲ Πατρόκλειϲ ἱππεῦ·
ὦ Ἀχιλεῦ, Πηλέοϲ υἱέ, μέγα φέρτατ᾽ Ἀχαιῶν,
μὴ νεμέϲα· τοῖον γὰρ ἄχοϲ βεβίηκεν Ἀχαιούϲ.
οἳ μὲν γὰρ δὴ πάντεϲ, ὅϲοι πάροϲ ἦϲαν ἄριϲτοι,
ἐν νηυϲὶν κέαται βεβλημένοι οὐτάμενοί τε.
βέβληται μὲν ὁ Τυδεΐδηϲ, κρατερὸϲ Διομήδηϲ,
οὔταϲται δ᾽ Ὀδυϲεὺϲ δουρὶ κλυτὸϲ ἠδ᾽ Ἀγαμέμνων,
βέβληται δὲ καὶ Εὐρύπυλοϲ κατὰ μηρὸν ὀιϲτῷ.
τοὺϲ μέν τ᾽ ἰητροὶ πολυφάρμακοι ἀμφιπένονται
ἕλκε᾽ ἀκειόμενοι· ϲὺ δ᾽ ἀμήχανοϲ ἔπλευ Ἀχιλλεῦ.

V. ι. 11 ἵκελοϲ CDEGL. κατα ADGHL. — 12 ἦέ A Jo. Alex. 42, 5: ceteri ἠέ. ἢ ἔτι Cram. Ep. 193, 5. ἦέ D. ἢ ἔτι S, cf. O 736. πιφάϲκεαι S Apoll. de Synt. 137, 4. ἦ A Jo. Alex. 42. 5: ceteri ἤ. — 13 ἦέ A Jo. Alex. 42, 6. ἦέ D. ceteri ἠέ. ἒξ ACH. ἐξ G Cant. Townl. Lips. Flor. ἐξέκλυεϲ D 1. man. LS. ἐξ, ἔκλυεϲ D (diastole 2. man. add.). — 14 μὰν: μὲν E. — 15 μετα A. μυρμιδόνεϲϲι ACDGH. — 16 τῶν καὶ D. ἀκαχή[η]μεθα CGL Vrat. A. τεθνηώτων CL Cant. Mor. Vrat. A. τεθνειώτων [ηι] D. τεθνειώτων A. τεθνειώτων EGHS. — 17 ἦε A Jo. Alex. 42, 7: ceteri ἠὲ. — 18 ἐπὶ CDGHL. ἐπι A. ϲφῆιϲ C. — 19 ἐξαῦδα H. — 20 βαρὺ, ϲτενάχων A. βαρυϲτενάχων CDEGL. δ᾽ ἀπαμειβόμενοϲ Rhet. Gr. III, 88, 30. προϲέφη H 1. man. S Barocc. Lips. Vrat. A. d. Πατροκλῆϲ Vrat. d. ἱππεὺϲ H 1. man. S Vrat. d. ἱππεῦϲ Lips. γρ. τὸν δὲ βαρυϲτενάχων προϲέφη πάτροκλοϲ ἱπὼν (sic) G. — 21 πηλῆοϲ L Harl. πηλέωϲ EH Vrat. d. Πηλέωϲ υἱὲ μέγα κῦδοϲ Ἀχαιῶν Plutarchus de Aud. poët. 13. — 23 εἰ μὲν γὰρ G. ἔϲαν G. — 24 νηυϲὶ CDE Lips. — 25 βέβλητο Vrat. A. — 26 ὀδυϲϲεὺϲ G. δουρὶ κλυτὸϲ A: ceteri δουρικλυτὸϲ. — 27 κατα H. — 28 μέν γ᾽ E. μὲν ἰητροὶ L Harl. Lips. εἰητροὶ G. ἀμφεπένοντο Eust. 887, 3. — 29 ἕλκοϲ ἀκειόμενον Apoll. Soph. 19, 11. ἀκειάμενοι ACHL Vrat. A. Rom. ἀχῖλεῦ C.

A. c. 12 ἢ ἐμοὶ Apollonius de Pron. 57 B. de Synt. 137, 4. ἢ Herodianus. — 16 διὰ τοῦ η̄ τεθνηιώτων (sic) αἱ ἀριϲτάρχου Didymus. — 21 Πηλέωϲ υἱέ: οὕτωϲ Πτολεμαῖοϲ. οἱ δὲ ὑπομνηματιϲάμενοι Ἰακῶϲ (i. e. Πηλέοϲ) Schol. V. — 25 ἀριϲτοφάνηϲ ἔξω τοῦ ἄρθρου βέβληται μὲν τυδείδηϲ Didymus.

μὴ ἐμέ γ' οὖν οὗτός γε λάβοι χόλος, ὃν cὺ φυλάccειc,
αἰναρέτη. τί ceυ ἄλλος ὀνήσεται ὀψίγονός περ,
αἴ κε μὴ 'Αργείοισιν ἀεικέα λοιγὸν ἀμύνῃς;
νηλεές, οὐκ ἄρα σοί γε πατὴρ ἦν ἱππότα Πηλεύς,
οὐδὲ Θέτις μήτηρ· γλαυκὴ δέ σε τίκτε θάλασσα
πέτραι δ' ἠλίβατοι, ὅτι τοι νόος ἐστὶν ἀπηνής.
εἰ δέ τινα φρεσὶ σῇσι θεοπροπίην ἀλεείνεις,
καί τινά τοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ,
ἀλλ' ἐμέ περ πρόες ὦχ', ἅμα δ' ἄλλον λαὸν ὄπασσον
Μυρμιδόνων, ἤν πού τι φόως Δαναοῖσι γένωμαι.
δὸς δέ μοι ὤμοιιν τὰ σὰ τεύχεα θωρηχθῆναι,
αἴ κέ με σοὶ ἴσκοντες ἀπόσχωνται πολέμοιο
Τρῶες, ἀναπνεύσωσι δ' ἀρήιοι υἷες 'Αχαιῶν
τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο.
ῥεῖα δέ κ' ἀκμῆτες κεκμηότας ἄνδρας ἀυτῇ
ὤσαιμεν προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.
ὣς φάτο λισσόμενος μέγα νήπιος· ἦ γὰρ ἔμελλεν

V. L. 30 ἐμέ γ' AGH Vrat. b. d. Mosc. b. alii ἔμεγ'. ἐμὲ γοῦν CEL. λάβῃ Lips. φυλάccοις C. — 31 αἰναρέτη A. αἰναρέτα Barocc. Mor. αἴν' ἀρετῇ S. ἕτεροι γράφουσιν αἴν' ἀρετῆς τίς ceυ ἄλλος ὀνήσεται. ἄλλοι δὲ αἰναρέτης γράφουσιν κατ' εὐθεῖαν πτῶσιν Eust. 1043, 52. τίς ceυ E bis G 2. man. τίς c' ὀνήσεται[β] ἄλλος[α] L. τίς ceυ . . . ὀνόσσεται Apoll. Soph. 14, 15. τίς ce[η] . . . . ὀψιγόνων Cram. An. Ox. III, 389, 21. τίς ce . . . . ὀνόσσεαι ὀψιγόνων Cram. An. Ox. III, 390, 14. — 32 ἀμύνοις L. ἀμύνεις Barocc. — 33 ἄρα δή coι πατὴρ Cram. Epim. 296, 4. — 34 ce, τίκτε L. c' ἔτικτε ACDE bis. Cant. Mor. Lips. Mosc. b. Vrat. b. Rom. Hypothes. Schol. Pind. Isthm. Plutarchus de Adul. et amico 26. — 35 πέτραι τ' H bene. πέτρα δ' ἠλίβατος Lips. ἀποινής L. — 36 ἀλεείνῃς Eust. 1042, 16. L. ἀλεείνῃς Harl. — 37 τινά coι Eust. 1042, 16. παρ AG. παρ' D. ἐπίφραδε Vrat. A. — 39 που CL. — 40 δέ omitt. Eust. 205, 41. 977, 10. — 41 αἴ κέ με CE Mor. Lips. Mosc. b. Vrat. b. Rom αἴ κε με LS. vulgo αἴ κ' ἐμὲ. ἀπόσχονται Barocc. πτολέμοιο Flor. Rom. — 42 τρῷες L. ἀναπνεύσουσι LS. — 43 ἀνάπνευσις Eust. 1044, 24: ἀνάπαυσις Eust. 1044, 38. πτολέμοιο G. — 44 δὲ κακμῆτες L. κεκμηκότας E. — 45 ὤσομεν S. ὤσοιμεν Vrat. A. ποτὶ ES Flor. Rom. — 46 ὡς A. ἔφατο G.

A. c. 31 αἰναρέτη Aristarchus: alii αἴν' ἀρετῆς Schol. A. conf. Cram. An. Par. III, 386, 1. Eust. 1043, 46. Et. Mg. 36, 9. Suidas I, 2, 38, 5. Zonar. Lex. 70. Cram. An. Ox. II, 6, 12. — 35 ὅτι: ὅτε Aristarchus teste Schol. V. — 41 εἴσκοντες Aristarchus: ceteri ἴσκοντες conf. Schol. Λ 799. — 44, 45 asterisci, οὐκ ὀρθῶς Λ 802, 803.

οἵ αὐτῷ θάνατόν τε κακὸν καὶ κῆρα λιτέσθαι.
τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς 'Αχιλλεύς·
ὤ μοι διογενὲς Πατρόκλεις, οἷον ἔειπες·
οὔτε θεοπροπίης ἐμπάζομαι, ἥν τινα οἶδα,
οὔτέ τί μοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ·
ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,
ὁππότε δὴ τὸν ὁμοῖον ἀνὴρ ἐθέλῃσιν ἀμέρσαι,
καὶ γέρας ἂψ ἀφελέσθαι, ὅ τε κράτεϊ προβεβήκῃ·
αἰνὸν ἄχος τό μοί ἐστιν, ἐπεὶ πάθον ἄλγεα θυμῷ.
κούρην, ἣν ἄρα μοι γέρας ἔξελον υἷες 'Αχαιῶν,
δουρὶ δ' ἐμῷ κτεάτισσα πόλιν εὐτείχεα πέρσας,
τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων 'Αγαμέμνων
'Ατρείδης ὡς εἴ τιν' ἀτίμητον μετανάστην.
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν· οὐδ' ἄρα πως ἦν
ἀσπερχὲς κεχολῶσθαι ἐνὶ φρεσίν· ἦ τοι ἔφην γε
οὐ πρὶν μηνιθμὸν καταπαυσέμεν, ἀλλ' ὁπότ' ἂν δὴ
νῆας ἐμὰς ἀφίκηται ἀυτή τε πτόλεμός τε.
τύνη δ' ὤμοιιν μὲν ἐμὰ κλυτὰ τεύχεα δῦθι,
ἄρχε δὲ Μυρμιδόνεσσι φιλοπτολέμοισι μάχεσθαι,
εἰ δὴ κυάνεον Τρώων νέφος ἀμφιβέβηκε
νηυσὶν ἐπικρατέως, οἳ δὲ ῥηγμῖνι θαλάσσης
κεκλίαται χώρης ὀλίγην ἔτι μοῖραν ἔχοντες,

V. L. 47 οἵ τ' αὐτῷ H Mor. Vrat. b. d. Rhet. Gr. III, 103, 16. Apollon. de Pron. 58 B. οἵ τ' Vrat. A. οἱ G. λιτέσθαι: λιπέσθαι CL. λιτᾶσθαι[ε] S. — 48 τόνδε L. — 49 ᾤμοι CH. ἔειπας C Mor. Barocc. — 50 οὔτε: οὔτι Zonar. Lex. 708. ἥντινα D. — 51 οὔτέ ACDGHL. τι μοι ACHL. παρ' D. ὑπέφραδε L. — 53 ὁππότε δὲ . . . . . ἐθέλησεν Et. Mg. 82, 3. — 54 ὅ, τε H. προβεβήκῃ AD Townl. Vrat. A: προβεβήκει[η] C. προβεβήκει EGHL. — 55 αἰνὸς G. τό: τόδε H. μοι ἐστὶν CEGHL. μοι ἔστιν A. — 56 ἐξέλον G. — 57 κτεάτισσα et κτεάτισα Eust. 1045, 33; 57. εὐτείχεον C Lips. Townl. — 58 omitt. Vrat. d. — 59 ὡς εἴ A: ceteri ὡσεί. — 60 προτετῦχθαι H. ἄρα περ G Flor. — 61 ἐνι A. — 62 καταπαυσέμεν' Lips. ὁπόταν ACEGHL. — 63 πόλεμος EGL Flor. — 64 ὤμοισι Eust. 1044, 41. ἐμὰ omitt. H. — 65 μηρμιδόνεσσι G. — 66 τρῴων L. ἀμφιβέβηκε ACDEGH. — 67 οἳ δὲ C.

A. c. 47 Herodianus λιτέσθαι: λίτεσθαι Ptolem. Ascalonita. — 50 ἀρίσταρχος εἴ τινα οἶδα διὰ τοῦ ει Didymus. — 53 δή: τις Aristarchus teste Schol. V. — 58 μ' ἕλετο Doederl. Emend. Homer. (1858) pg. 11. — 59 μετανάστην: μετανάστιν (ita Bekk. pro μεταναστεῖν) Rhianus cum Massiliensi.

Ἀργεῖοι· Τρώων δὲ πόλις ἐπὶ πᾶσα βέβηκε
θάρσυνος. οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι μέτωπον
ἐγγύθι λαμπομένης· τάχα κεν φεύγοντες ἐναύλους
πλήσειαν νεκύων, εἴ μοι κρείων Ἀγαμέμνων
ἤπια εἰδείη· νῦν δὲ στρατὸν ἀμφιμάχονται.
οὐ γὰρ Τυδείδεω Διομήδεος ἐν παλάμῃσι
μαίνεται ἐγχείη Δαναῶν ἀπὸ λοιγὸν ἀμῦναι·
οὐδέ πω Ἀτρείδεω ὀπὸς ἔκλυον αὐδήσαντος
ἐχθρῆς ἐκ κεφαλῆς· ἀλλ' Ἕκτορος ἀνδροφόνοιο
Τρωσὶ κελεύοντος περιάγνυται, οἳ δ' ἀλαλητῷ
πᾶν πεδίον κατέχουσι μάχῃ νικῶντες Ἀχαιούς.
ἀλλὰ καὶ ὧς Πάτροκλε νεῶν ἀπὸ λοιγὸν ἀμύνων
ἔμπες' ἐπικρατέως, μὴ δὴ πυρὸς αἰθομένοιο
νῆας ἐνιπρήσωσι, φίλον δ' ἀπὸ νόστον ἕλωνται.
πείθεο δ' ὥς τοι ἐγὼ μύθου τέλος ἐν φρεσὶ θείω,
ὡς ἄν μοι τιμὴν μεγάλην καὶ κῦδος ἄρηαι
πρὸς πάντων Δαναῶν, ἀτὰρ οἳ περικαλλέα κούρην
ἂψ ἀπονάσσωσιν, ποτὶ δ' ἀγλαὰ δῶρα πόρωσιν.
ἐκ νηῶν ἐλάσας ἰέναι πάλιν· εἰ δέ κεν αὖ τοι
δώῃ κῦδος ἀρέσθαι ἐρίγδουπος πόσις Ἥρης,
μὴ σύ γ' ἄνευθεν ἐμεῖο λιλαίεσθαι πολεμίζειν
Τρωσὶ φιλοπτολέμοισιν· ἀτιμότερον δέ με θήσεις.
μηδ' ἐπαγαλλόμενος πολέμῳ καὶ δηιοτῆτι,

V. l. 69 τρῴων L. ἐπι C. βέβηκε ACDEGL: βεβήκει H Harl. Vrat. d. A. — 70 ἐπϊλεύσουσϊ C. λεύσουσι Eust. 1046, 16. L Townl. μέτωπα Schol. Ζ 10. — 71 κε Lips. — 72 εἴ μη L. — 74 παλάμῃσι ACDEGH Schol. Ι 709. — 75 μαίνετ' D. ἄπο GS. ἀπο CHL. — 76 οὐδέπω libri. — 78 τρῳσὶ L. οἳ δ' D. οἵδ' CGHL. — 80 ὡς A: ceteri ὧς. ἄπο DGHLS. ἀπο C. — 82 ἀπο ACDHL. — 83 ἐνὶ φρεσὶ Lips. — 84 ἄρηαι libri mei cum Barocc. Mor. Harl. Lips. Vrat. b. A. Mosc. b. Flor.: ἄροιο E Rom. — 85 ἀτὰρ οἳ ACHL Et. Mg. 128, 18. περικαλλέα A. περικαλέα D. — 86 ἀπονάσωσι D. ἀπονάσωσιν Lips. ἀπονάσσωσι προτὶ L, conf. Μ 64. Φ 532. Χ 217. πρὸς δ' E. — 87 δ' ἐλάσας Vrat. d. A. αὖ τοι: αὖτε DH Barocc. Mor. Vrat. b. d. A. Mosc. 2. — 88 δῴη ADEG Cram. An. Ox. II, 353, 18. IV, 392, 30. δῴῃ H. δώη CL. κῦδος: κύδε' ἄρεσθαι Cram. An. Ox. II, 353, 18. — 89 ἐμοῖο G Schol. Pind. Ol. IX, 115. — 90 τρῳσὶ L. θείῃς Townl. — 91 μὴ δ' CDEGH.

A. c. 71 οὕτως ἐναύλους διὰ τοῦ ν̄ Didymus. — 76 ἔν τισι τῶν ὑπομνημάτων ἔπος ἔκλυον Didymus. — 86 ἀπονάσσωσιν: ἀποδάσσωσιν Bekk. 2. ex coni. — 87 αὖ τοι Herodianus. — 89, 90 Ζηνόδοτος ἦρκεν Aristonicus. — 90 δέ με Ptolem. Ascalonita: alii δ' ἐμέ. — 91 μηδ' ἐπαγαλλόμενος: μὴ σύγ' ἀγαλλόμενος Zenodotus.

Τρῶας ἐναιρόμενος, προτὶ Ἴλιον ἡγεμονεύειν,
μή τις ἀπ' Οὐλύμποιο θεῶν αἰειγενετάων
ἐμβήῃ· μάλα τούς γε φιλεῖ ἑκάεργος Ἀπόλλων·
ἀλλὰ πάλιν τρωπᾶσθαι, ἐπὴν φάος ἐν νήεσσι
θήῃς, τοὺς δέ τ' ἐᾶν πεδίον κάτα δηριάασθαι.
αἲ γὰρ Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον
μήτέ τις οὖν Τρώων θάνατον φύγοι, ὅσσοι ἔασι,
μήτέ τις Ἀργείων, νῶιν δ' ἐκδῦμεν ὄλεθρον,
ὄφρ' οἶοι Τροίης ἱερὰ κρήδεμνα λύωμεν.
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Αἴας δ' οὐκέτ' ἔμιμνε· βιάζετο γὰρ βελέεσσι·
δάμνα μιν Ζηνός τε νόος καὶ Τρῶες ἀγαυοὶ
βάλλοντες· δεινὴν δὲ περὶ κροτάφοισι φαεινὴ
πήληξ βαλλομένη καναχὴν ἔχε, βάλλετο δ' αἰεὶ
κὰπ φάλαρ' εὐποίηθ'· ὃ δ' ἀριστερὸν ὦμον ἔκαμνεν

V. l. 92 τρῷας L. προτὶ ADHL. πρὸ τὶ C. ποτὶ EG Flor. Rom. ποτ' S. — 93 αἰεὶ γενετάων A. — 94 ἐμβήῃ AGHL Cram. Ep. 430, 23. ἐμβήῃ C Eust. 1047, 28. 1127, 58. ἐμβήῃ D Apoll. Soph. 67, 11. Eust. 1046, 43. τοῦσγε A. — 95 πάλιν, τρωπάασθαι A. πάλιν τροπάασθαι CLS Lips. Mor. Harl. Vrat. b. A. πάλιν τρωπᾶσθαι ἢ παλιντροπάασθαι E. πάλιν τρωπᾶσθαι GH Zonar. Lex. 1753. τρωπάσθαι D. νήεσσι ACDG. — 96 θήῃς ACDH. θήῃς seu θήης Cant. Lips. Townl. Vrat. d. Mosc. 2. θείῃς GL Eust. 1044, 36. 1046, 64. 1047, 37. θήῃς antigrapha vetera teste Eust. 1047, 31. τοὺς δέ τ' AD. τους δέ τ' C. τούσδε τ' L Barocc. Mor. Harl. τοὺς δὲ δ' E. τοὺς δε δ' H. τούσδε δ' ἔα G Flor. κάτα AH Mosc. 2. καταδηριάασθαι CDEGL. — 98 μήτέ τις ACEGH. μήτε τίς D. τρῴων L. φύγῃ Lips. ἔασι ACDEG. ἔασσι Vrat. A. — 99 μήτέ τις ACD EGL. μήτε τῖς H. νῶϊν: νῶϊ EL, conf. Ν 326. ἐκδῦμεν E bis H: ἐκδύμεν ACDG. ἐκδύμεν' Lips. ἐκδίμεν L. — 100 λύωμεν ACEGHL Mor. Barocc. Vrat. b. d. Apoll. Soph. 104, 5. Plutarchus de Aud. poët. 8. οι λύωμεν D. λύημεν S. ἕλωμεν Lips. — 101 ὡς A. — 102 οὐκ ἔτ' Eust. 1048, 41. Rhet. Gr. III, 117, 11. βελέεσσι ACDGH Rhet. Gr. III, 117, 11. — 103 δάμνα δέ μιν L. τρῷες L. — 104 δεινὴν CEG Lips. Ven. B: δεινὴ ADHS Townl. Mosc. 2. δεινὸν L. περι A. — 106 καπφάλαρ' AC (et supra man. rec. γρ. καὶ) DGHL Cram. Epim. 428, 10. καμφάλαρ' S. κὰπ φάλαρ' E. ὃ δ' D. ὅδ' CGHL. ἔκαμνε A Lips. ἔκαμψεν Barocc. Mor.

A. c. 92 ὅτι Ζηνόδοτος προτὶ ἴλιον αἰπὺ δίεσθαι Aristonicus. — 93—96 Ζηνόδοτος ἦρκε. γράφει δὲ „μή σ' ἀπογυμνωθέντα λάβῃ κορυθαίολος Ἕκτωρ" Aristonicus. — 94 ἐμβήῃ et 96 θήῃς Aristarchus, conf. H. T. 405 sqq. — 95 πάλιν τρωπᾶσθαι Apollodorus: παλιντροπάασθαι Nicias. — 97—100 ἀθετοῦνται Aristonicus. Ζηνόδοτος ὑπώπτευκεν Schol. V. — 104 δεινὴν Herodianus σὺν τῷ ν̄. — 105 βάλλετο: γράφεσθαί φησιν ὁ Ἀρίσταρχος καὶ τύπτετο δ' αἰεὶ καπφάλαρ' εὐποίητα διὰ τοῦ π̄ Aristonicus. — 106 ἀρίσταρχος διὰ τοῦ καί συνδέσμου καὶ φάλαρα γράφων πάντως βραχὺ διέστελλεν ἐπὶ τὸ αἰεί Nicanor.

ἔμπεδον αἰὲν ἔχων cάκος αἰόλον· οὐδὲ δύναντο
ἀμφ᾽ αὐτῷ πελεμίξαι ἐρείδοντες βελέεccιν.
αἰεὶ δ᾽ ἀργαλέῳ ἔχετ᾽ ἄcθματι, κὰδ δέ οἱ ἱδρὼc
πάντοθεν ἐκ μελέων πολὺc ἔρρεεν, οὐδέ πῃ εἶχεν
ἀμπνεῦcαι· πάντῃ δὲ κακὸν κακῷ ἐcτήρικτο.
ἔcπετε νῦν μοι μοῦcαι Ὀλύμπια δώματ᾽ ἔχουcαι,
ὅππωc δὴ πρῶτον πῦρ ἔμπεcε νηυcὶν Ἀχαιῶν.
Ἕκτωρ Αἴαντοc δόρυ μείλινον ἄγχι παραcτὰc
πλῆξ᾽ ἄορι μεγάλῳ, αἰχμῆc παρὰ καυλὸν ὄπιcθεν,
ἀντικρὺ δ᾽ ἀπάραξε· τὸ μὲν Τελαμώνιοc Αἴαc
πῆλ᾽ αὔτωc ἐν χειρὶ κόλον δόρυ· τῆλε δ᾽ ἀπ᾽ αὐτοῦ
αἰχμὴ χαλκείη χαμάδιc βόμβηcε πεcοῦcα.
γνῶ δ᾽ Αἴαc κατὰ θυμὸν ἀμύμονα, ῥίγηcέν τε,
ἔργα θεῶν, ὅ ῥα πάγχυ μάχηc ἐπὶ μήδεα κεῖρε
Ζεὺc ὑψιβρεμέτηc, Τρώεccι δὲ βούλετο νίκην·
χάζετο δ᾽ ἐκ βελέων. τοὶ δ᾽ ἔμβαλον ἀκάματον πῦρ
νηὶ θοῇ· τῆc δ᾽ αἶψα κατ᾽ ἀcβέcτη κέχυτο φλόξ.
ὣc τὴν μὲν πρυμνὴν πῦρ ἄμφεπεν· αὐτὰρ Ἀχιλλεὺc
μηρὼ πληξάμενοc Πατροκλῆα προcέειπεν·
ὄρcεο διογενὲc Πατρόκλειc, ἱπποκέλευθε·
λεύccω δὴ παρὰ νηυcὶ πυρὸc δηίοιο ἰωήν.
μὴ δὴ νῆαc ἕλωcι καὶ οὐκέτι φυκτὰ πέλωνται·

V. ι. 107 ἔχον Apoll. Soph. 67, 21. οὐδὲ δύναντο AE 1048, 21; 36. GL: οὐδ᾽ ἐδύναντο CDH Cant. Mor. Vrat. b. d. A. — 108 τελέεccιν Barocc. Mor. — 109 καδδέ ACDGHL. — 110 ἔρρεεν: ῥέεν H. οὐδέ πῃ A Eust. 1048, 25; 47: ceteri πη. οὐδέ πω Barocc. οὐδέ τι D. — 111 ἐμπνεῦcαι S. πάντῃ ADE 1048, 19; 48. G Schol. Soph. Ai. 866. πάντη CHL Rhet. Gr. II, 254. 4. III, 117, 15. ἐcτήρικται Schol. Soph. Ai. 866. — 112 ἔcπετε H. — 113 ὅπωc Lips. — 115 αἰχμὴν Schol. Plat. Charmid. 153 A. παρα H. — 116 ἀπάρραξε C. — 117 αὔτωc EGH Apoll. Soph. 60, 7. Cram. An. Ox. III, 112, 3. αύτωc A. αὐτὸc Schol. Υ 370. ἐν χερcὶ Barocc. — 118 χαμάδηc D. — 120 θεῶν: θεοῦ H (Vrat. d. Mosc. 2.). ἐπι ACDH. κεῖρε AC Lips. Mosc. 2. Ven. B.: κείρει A in marg. DE bis GHL Eust. 1085, 4. κήρει S. — 121 τρῴεccι L. βούλετ᾽ ἀρήγειν D Vrat. b. A. — 122 τοὶ δ᾽: οἵδ᾽ H. οἱ δ᾽ Vrat. b. ἔβαλον Lips. — 123 ἄcβεcτοc S. — 124 τῆc μὲν πρύμνηc D. 1. man. Vrat. A. — 127 λεύcω C Ven. B. Lips. Townl. Schol. Ι 186. δηΐοιο πυρὸc C. ἰωήν ACD Harl. Schol. ε 404: ἐρωήν EGHLS Ven. B. Lips. Townl. Schol. Ι 186. — 128 οὐκ ἔτι G. πέλονται DH Vrat. b. d.

A. c. 117 κόλον Ptolem. Ascalonita et Herodianus, παροξυτόνωc. — 120 ἀρίcταρχοc κεῖρε χωρὶc τοῦ ῑ, ἄλλοι δὲ κείρει Didymus. — 123 κατ᾽ ἀcβέcτη Aristarchus. videntur fuisse qui legerent καταcβεcτὴ vel αἶψ᾽ ἀκαταcβέcτη. — 127 ἰωήν: ἐν τῇ μαccαλιωτικῇ ἐρωήν Didymus.

δύcεο τεύχεα θᾶccον, ἐγὼ δέ κε λαὸν ἀγείρω.
ὣc φάτο, Πάτροκλοc δὲ κορύccετο νώροπι χαλκῷ.
κνημῖδαc μὲν πρῶτα περὶ κνήμῃcιν ἔθηκε
καλὰc ἀργυρέοιcιν ἐπιcφυρίοιc ἀραρυίαc·
δεύτερον αὖ θώρηκα περὶ cτήθεccιν ἔδυνε
ποικίλον, ἀcτερόεντα, ποδώκεοc Αἰακίδαο.
ἀμφὶ δ᾽ ἄρ᾽ ὤμοιcιν βάλετο ξίφοc ἀργυρόηλον
χάλκεον, αὐτὰρ ἔπειτα cάκοc μέγα τε cτιβαρόν τε·
κρατὶ δ᾽ ἐπ᾽ ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν
ἵππουριν· δεινὸν δὲ λόφοc καθύπερθεν ἔνευεν.
εἵλετο δ᾽ ἄλκιμα δοῦρε, τά οἱ παλάμηφιν ἀρήρει.
ἔγχοc δ᾽ οὐχ ἕλετ᾽ οἶον ἀμύμονοc Αἰακίδαο,
βριθὺ μέγα cτιβαρόν· τὸ μὲν οὐ δύνατ᾽ ἄλλοc Ἀχαιῶν
πάλλειν, ἀλλά μιν οἶοc ἐπίcτατο πῆλαι Ἀχιλλεύc,
Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ πόρε Χείρων
Πηλίου ἐκ κορυφῆc, φόνον ἔμμεναι ἡρώεccιν.
ἵππουc δ᾽ Αὐτομέδοντα θοῶc ζευγνῦμεν ἄνωγε,
τὸν μετ᾽ Ἀχιλλῆα ῥηξήνορα τῖε μάλιcτα,
πιcτότατοc δέ οἱ ἔcκε μάχῃ ἔνι μεῖναι ὁμοκλήν.
τῷ δὲ καὶ Αὐτομέδων ὕπαγε ζυγὸν ὠκέαc ἵππουc,
Ξάνθον καὶ Βαλίον, τὼ ἅμα πνοιῇcι πετέcθην,

V. ι. 129 δύccεο DG edd. vett. ἀγείρω: ἐγείρω L. huic adscriptus est in margine cod. D man. rec. μυρμιδόνων ἤν που τι φ[όωc] δαναοῖcι γενηα[ι], qui versus etiam in Vrat. A est additus. — 130 ὡc A. — 131 κνημῖδαc CH Lips. Vrat A. πρῶτον G Flor. Rom. ἔθηκε ACD. — 133 περι A. ἔδυνε ACDGHL. — 135 ἂρ ADGHL. ὤμοιcι Lips. — 136 μέγά τε C. τε omitt. L. — 137 ἐΰτυκτον C: ceteri εὔτυκτον, L εὔθηκτον. ἔθηκε G. — 138 καθ᾽ ὕπερθεν Vrat. b. A. male, nam καταvεύω ubique notionem habet adnuendi, nutu affirmandi. ἔνευε D. — 139 δοῦρε, non δοῦρα, libri mei cum Lips. Harl. Cant. Mor. Vrat. b. d. Mosc. 2. πυλάμηφιν CEG. — 140 αἰακίδαω G. πηλείδαο L. — 141 cτιβαρόν τε τὸ L. — 142 πᾶλαι Lips. ἀχϊλεὺc C. — 143 omitt. H in textu, habet in marg. man. rec. πόρε ACDEGL: τάμε H Cant. Vrat. b. d. Porphyrius ad Ζ 201. Schol. Pind. Nem. III, 55. — 145 ζευγνῦμεν: libri ζευγνύμεν cum Schol. Π 99. scriptura ζευγνῦμεν confirmatur analogia formarum τιθήμεναι Ψ 83, 247 (τιθήμενον Κ 34) et ῑμεναι Υ 365, conf. Buttm. Ampl. Gram. I, pg. 515. ἄνωγε ADGH. — 146 ἀχϊλῆα C. — 147 ἔνι ADHL: ἐνὶ EG. ἐνϊ C. — 148 τῷ δέ κεν Vrat. A. ὠκέαc omitt. D. — 149 βάλιον L: ceteri βαλίον. τὼ: τὼ δ᾽ D.

A. c. 140 Ζηνόδοτοc τοῦτον ἀθετήcαc τοὺc ἑξῆc τέccαραc οὐκ ἔγραφεν Aristonicus. — 141—144 Ζηνόδοτοc ἠθέτηκεν Schol. Τ 387. asterisci, κακῶc Τ 388—391, ubi vide Aristonicum. — 143 διχῶc καὶ τάμε καὶ πόρε Didymus (?), conf. Porphyrium ad Ζ 201. — 144 ἀρίcταρχοc ἐν κcρυφῆιc διὰ τοῦ ν̄ Didymus, conf. Schol. Τ 391.

τοὺc ἔτεκε Ζεφύρῳ ἀνέμῳ ἅρπυια Ποδάργη,
βοσκομένη λειμῶνι παρὰ ῥόον Ὠκεανοῖο.
ἐν δὲ παρηορίῃcιν ἀμύμονα Πήδαcον ἵει,
τόν ῥά ποτ' Ἠετίωνοc ἑλὼν πόλιν ἤγαγ' Ἀχιλλεύc,
ὃc καὶ θνητὸc ἐὼν ἕπεθ' ἵπποιc ἀθανάτοιcι.
Μυρμιδόναc δ' ἄρ' ἐποιχόμενοc θώρηξεν Ἀχιλλεὺc
πάνταc ἀνὰ κλιcίαc cὺν τεύχεcιν· οἳ δὲ λύκοι ὣc
ὠμοφάγοι, τοῖcίν τε περὶ φρεcὶν ἄcπετοc ἀλκή,
οἵ τ' ἔλαφον κεραὸν μέγαν οὔρεcι δηώcαντεc
δάπτουcιν· πᾶcιν δὲ παρήιον αἵματι φοινόν·
καί τ' ἀγεληδὸν ἴαcιν ἀπὸ κρήνηc μελανύδρου
λάψοντεc γλώccῃcιν ἀραιῇcιν μέλαν ὕδωρ
ἄκρον, ἐρευγόμενοι φόνον αἵματοc· ἐν δέ τε θυμὸc
cτήθεcιν ἄτρομόc ἐcτι, περιcτένεται δέ τε γαcτήρ.
τοῖοι Μυρμιδόνων ἡγήτορεc ἠδὲ μέδοντεc
ἀμφ' ἀγαθὸν θεράποντα ποδώκεοc Αἰακίδαο
ῥώοντ'. ἐν δ' ἄρα τοῖcιν ἀρήιοc ἵcτατ' Ἀχιλλεὺc
ὀτρύνων ἵππουc τε καὶ ἀνέραc ἀcπιδιώταc.
πεντήκοντ' ἦcαν νῆεc θοαί, ᾗcιν Ἀχιλλεὺc
ἐc Τροίην ἡγεῖτο διίφιλοc· ἐν δὲ ἑκάcτῃ
πεντήκοντ' ἔcαν ἄνδρεc ἐπὶ κληῖcιν ἑταῖροι·

V. ʟ. 150 ἔτεκεν L Apoll. Soph. 43, 31. τέκετο E. ποδάργη (κ supra) C. ποδάρκη S. — 151 παραὶ G Rom. παρὰρρόον C. παρὰῤῥόον S. παράῤῥοον Townl. Ὠκεανοῖο: Ἠριδανοῖο multa antigrapha teste Eust. 1050, 63. — 152 ἵῃ Barocc. — 153 ἀχϊλεύc C. — 154 ἀθανάτοιcι ACDGH. — 155 ἂρ ADGHL. ἀχϊλεύc C. — 156 οἳ δὲ C. ὡc AD. — 157 τοῖcὶ L Lips. περϊ H. παρὰ S. φρέναc Flor. — 158 δηϊώcαντεc DL Vrat. A. — 159 δάπτουcι E. πᾶcιν omitt. H. παρήιον L. — 160 ἰᾶcιν G. ἰᾶcι Vrat. b. Flor. ϊάcι A et in marg. ῗαcιν. ἰάccι Et. Mg. 301, 25. ἐπὶ Vrat. A. μελανύδρου A. — 161 λάπτοντεc Et. Mg. 556, 51. λάμποντεc Et. Gud. 362, 52. γλώccαιcιν Et. Gud. 127, 37. ἀραιῇcι EG Lips. Flor. Rom. ἄραιῇcι Townl. duplici spiritu. — 162 ἐν δέ γε E. — 163 ἄτρομοc ἐcτὶ HL. περὶ cτένεται A. τε omitt. G. — 165 ἀμφ': ἀφ' L. — 166 ῥώοντο D. ἀχϊλεύc C. — 168 πεντήκοντά τ' G. ἀχϊλεὺc C. — 169 διῒ φίλοc ACDEGHL. ἐν δὲ: ἐν δ' ἄρ' C Barocc. Vrat. b. d. A. ἐν δ' ἂρ H. ἐν δ' ἄρ ἢ ἐν δὲ Eust. — 170 ἐπι A. κληῖcιν: κλιcίῃcιν S.

A. c. 150 Ποδάργη: πόδαργοc Zenodotus. — 156 πάνταc: πάντῃ Zenodotus, conf. πάντῃ ἀνὰ cτρατόν A 384. κατὰ cτρατὸν ᾤχετο πάντῃ Є 495. Z 104. Λ 212. πάντῃ ἐποιχόμενοι Z 81. K 167. — 159 παρήια αἵματι φοινά? — 160 ἴαcιν Zenodotus (?), Apollonius, Herodianus, conf. Et. Mg. 467, 15. Cram. An. Ox. IV, 346, 18; 347, 5. — 161 λάψοντεc: λάψαντεc Zenodotus. ἀραιῇcιν Aristarchus, vide H. T. 201.

πέντε δ' ἄρ' ἡγεμόναc ποιήcατο, τοῖc ἐπεποίθει
cημαίνειν· αὐτὸc δὲ μέγα κρατέων ἤναccε.
τῆc μὲν ἰῆc cτιχὸc ἦρχε Μενέcθιοc αἰολοθώρηξ,
υἱὸc Cπερχειοῖο, διιπετέοc ποταμοῖο·
ὃν τέκε Πηλῆοc θυγάτηρ, καλὴ Πολυδώρη,
Cπερχειῷ ἀκάμαντι, γυνὴ θεῷ εὐνηθεῖcα,
αὐτὰρ ἐπίκληcιν Βώρῳ, Περιήρεοc υἷι,
ὅc ῥ' ἀναφανδὸν ὄπυιε πορὼν ἀπερείcια ἕδνα.
τῆc δ' ἑτέρηc Εὔδωροc ἀρήιοc ἡγεμόνευε,
παρθένιοc, τὸν ἔτικτε χορῷ καλὴ Πολυμήλη,
Φύλαντοc θυγάτηρ· τῆc δὲ κρατὺc ἀργεϊφόντηc
ἠράcατ' ὀφθαλμοῖcιν ἰδὼν μετὰ μελπομένῃcιν
ἐν χορῷ Ἀρτέμιδοc χρυcηλακάτου κελαδεινῆc.
αὐτίκα δ' εἰc ὑπερῷ' ἀναβὰc παρελέξατο λάθρῃ
Ἑρμείαc ἀκάκητα, πόρεν δέ οἱ ἀγλαὸν υἱὸν
Εὔδωρον, περὶ μὲν θείειν ταχὺν ἠδὲ μαχητήν.
αὐτὰρ ἐπεὶ δὴ τόν γε μογοcτόκοc Εἰλείθυια
ἐξάγαγε πρὸ φόωcδε καὶ ἠελίου ἴδεν αὐγάc,
τὴν μὲν Ἐχεκλῆοc κρατερὸν μένοc Ἀκτορίδαο
ἠγάγετο πρὸc δώματ', ἐπεὶ πόρε μυρία ἕδνα·
τὸν δ' ὁ γέρων Φύλαc εὖ ἔτρεφεν ἠδ' ἀτίταλλεν,

V. ʟ. 171 ἂρ ADGHL. — 172 ἤναccε ACDGHL. — 173 μὲν: δὲ Et. Gud. 512, 24. αἰολοθώρηξ A. — 174 διῒ πετέοc G. δϊοπετέοc H. υἱὸc Cπερχειοῖο, ὃν ἀθάνατοc τέκετο Ζεύc Aristonicus ad Φ 2. — 175 ὃν: τὸν DGHS. — 177 βόῤῥῳ Vrat. A. περιήρεοc A. υἷι ACDEGHLS et Heynii libri: υἱῷ primus Bekk. intulit. — 178 πορὼν omitt. L. πορῶν Lips. Mosc. 2. ἀπερείcια ἄποινα Vrat. b. ἔδνα DH. — 179 ἡγεμόνευε ACDEGH. — 180 τόν ρ D. καλὴ omitt. L. — 181 φύλλαντοc D. κρατὺc: θραcὺc L. κράτοc Vrat. A. — 182 μετα CDHL. μελπομένῃcι E. — 183 χρυcηλακάτου A. — 186 περὶ ACDEGHL. θέειν D. ταχὺν omitt. D 1. man. — 187 ἐπειδὴ libri. μογοcτόκοc A. Εἰλήθυια Euseb. Praep. Ev. III, 1, 5. — 188 ἐξάγαγεν AC. προφόωc δὲ DH. πρὸ φόωc δὲ G. πρὸ φάοcδε C. προφόωcδε E. πρὸ φόωcδε Euseb. Praep. Ev. III, 1, 5. Suidas II, 2, 1521, 15. φώωc δὲ A, conf. T 118. εἶδεν D. — 190 ἕδνα DGH. — 191 ἐὺ: libri εὖ.

A. c. 175 χωρὶc τοῦ τ̄ ὃν τέκε ἀρίcταρχοc. οὕτωc καὶ ἀριcτοφάνηc Didymus. — 177 υἷι Herodianus: alii υἱεῖ. — 183 ἀθετεῖται Schol. V. — 185 ἀκάκητα Aristarchus: ceteri ἀκακῆτα. — 188 οὕτωc καὶ ἀριcτοφάνηc φώωc δέ, Ζηνόδοτοc προφόωc δέ Didymus, conf. Schol. T 118.

ἀμφαγαπαζόμενος ὡς εἴ θ' ἑὸν υἱὸν ἐόντα.
τῆς δὲ τρίτης Πείσανδρος ἀρήιος ἡγεμόνευε
Μαιμαλίδης, ὃς πᾶσι μετέπρεπε Μυρμιδόνεσσιν
ἔγχεϊ μάρνασθαι μετὰ Πηλείωνος ἑταῖρον.
τῆς δὲ τετάρτης ἦρχε γέρων ἱππηλάτα Φοῖνιξ,
πέμπτης δ' Ἀλκιμέδων, Λαέρκεος υἱὸς ἀμύμων.
αὐτὰρ ἐπεὶ δὴ πάντας ἅμ' ἡγεμόνεσσιν Ἀχιλλεὺς
στῆσεν εὖ κρίνας, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε·
Μυρμιδόνες, μή τίς μοι ἀπειλάων λελαθέσθω,
ἃς ἐπὶ νηυσὶ θοῇσιν ἀπειλεῖτε Τρώεσσι
πάνθ' ὑπὸ μηνιθμόν, καί μ' ᾐτιάασθε ἕκαστος·
σχέτλιε Πηλέος υἱέ, χόλῳ ἄρα σ' ἔτρεφε μήτηρ,
νηλεές, ὃς παρὰ νηυσὶν ἔχεις ἀέκοντας ἑταίρους·
οἴκαδέ περ σὺν νηυσὶ νεώμεθα ποντοπόροισιν
αὖτις, ἐπεί ῥά τοι ὧδε κακὸς χόλος ἔμπεσε θυμῷ.
ταῦτά μ' ἀγειρόμενοι θάμ' ἐβάζετε· νῦν δὲ πέφανται
φυλόπιδος μέγα ἔργον, ἕης τὸ πρίν γ' ἐράασθε.
ἔνθά τις ἄλκιμον ἦτορ ἔχων Τρώεσσι μαχέσθω.
ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
μᾶλλον δὲ στίχες ἄρθεν, ἐπεὶ βασιλῆος ἄκουσαν.
ὡς δ' ὅτε τοῖχον ἀνὴρ ἀράρῃ πυκινοῖσι λίθοισι
δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων,
ὣς ἄραρον κόρυθές τε καὶ ἀσπίδες ὀμφαλόεσσαι.
ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ·

V. l. 192 ἀμφὰγαπαζόμενος D. ὡς εἴ AD: ceteri ὡσεί. υἱὸν omitt. G. — 193 ἡγεμόνευε ACDGH. — 194 μετέπρεπεν ἡγεμόνεσσιν L. — 196 φοίνιξ D. — 197 πέμπτος L. — 198 ἀχϊλεὺς C. — 199 ἔϋ κρίνας A. εὖ κρίνας DGHL Flor. ἐϋκρίνας CE 961, 6. 1054, 27. Rom. ЄΥ Syr. ἔπι CDHL. ἔτελλε ACDH Syr. — 200 μήτις GL. — 201 ἔπι A. θοῇσϊ H. τρώεσσι ACDEG. τρώεσσιν H Syr. τρῴεσσιν L. — 202 ὕπο D. — 204 παρα H. — 205 ποντοπόροισι D. — 206 αὖθϊς C. — 207 ταῦθ' ἅμ' H. ΤΑΫΘ' ΑΜ Syr. θάμ' ἐβάζετε libri cum Et. Gud. 577, 27. Cram. Epim. 448, 12. πέφαντε H. — 208 ἑῆς S. τοπρίν CL. γεράασθε H. — 209 ἔνθά τις ACDGHL. ЄΝΘΆΤΙC Syr. τρῴεσσι L. — 211 ἄρθεν Cram. An. Ox. II, 338, 7: libri ἄρθεν. — 212 λίθοισι A Ambr. CDEGH Rhet. Gr. II, 249, 17. Cram. An. Ox. IV, 117, 12. — 213 βίας: βίαν Cram. An. Ox. IV, 117, 13. — 214 ὣς γὰρ ἄρον E. — 215 ἆρ AEH.

A. c. 202 μ' ᾐτιάασθε: μητιάασθε Zenodotus. — 207 ταῦτά μ' Aristarchus: ταῦθ' ἅμ' Hermias Crateteus. ἀρίσταρχος ἰακῶς θαμὰ βάζετε Didymus. — 211 ἄρθεν Aristarchus.

ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
νευόντων· ὣς πυκνοὶ ἐφέστασαν ἀλλήλοισι.
πάντων δὲ προπάροιθε δύ' ἀνέρε θωρήσσοντο,
Πάτροκλός τε καὶ Αὐτομέδων, ἕνα θυμὸν ἔχοντες,
πρόσθεν Μυρμιδόνων πολεμιζέμεν. αὐτὰρ Ἀχιλλεὺς
βῆ ῥ' ἴμεν ἐς κλισίην, χηλοῦ δ' ἀπὸ πῶμ' ἀνέῳγε
καλῆς δαιδαλέης, τήν οἱ Θέτις ἀργυρόπεζα
θῆκ' ἐπὶ νηὸς ἄγεσθαι, ἐὺ πλήσασα χιτώνων
χλαινάων τ' ἀνεμοσκεπέων οὔλων τε ταπήτων.
ἔνθα δέ οἱ δέπας ἔσκε τετυγμένον, οὐδέ τις ἄλλος
οὔτ' ἀνδρῶν πίνεσκεν ἀπ' αὐτοῦ αἴθοπα οἶνον,
οὔτέ τεῳ σπένδεσκε θεῶν, ὅτι μὴ Διὶ πατρί.
τό ῥα τότ' ἐκ χηλοῖο λαβὼν ἐκάθηρε θεείῳ
πρῶτον, ἔπειτα δ' ἔνιψ' ὕδατος καλῇσι ῥοῇσι,
νίψατο δ' αὐτὸς χεῖρας, ἀφύσσατο δ' αἴθοπα οἶνον.
εὔχετ' ἔπειτα στὰς μέσῳ ἕρκεϊ, λεῖβε δὲ οἶνον
οὐρανὸν εἰσανιδών· Δία δ' οὐ λάθε τερπικέραυνον·
Ζεῦ ἄνα Δωδωναῖε, Πελασγικέ, τηλόθι ναίων,

V. l. 216 φάλοισι A Ambr. CDGH Syr. Cram. An. Ox. IV, 117, 16. — 217 ὡς A. πυκινοὶ CL Lips. Vrat. A. Rom. ἀλλήλοισι A Ambr. CGH. — 218 θωρήσσεσθον A Rom. γρ. θωρήσσοντο A, ita CDEGHLS Ambr. Cant. Mor. Barocc. Harl. Townl. Lips. Vrat. b. d. A. Mosc. 2. Flor. — 219 τε omitt. L. — 220 πολεμίζειν Ambr. S Vrat. A. ἀχϊλεὺς C. — 221 ἄπο ACD: ceteri ἀπὸ cum Schol. Δ 3. | 219. Et. Mg. 351, 51. Zonar. Lex. 946. ἀνέῳγε ACDG Et. Mg. 351, 51. Zonar. Lex. 946. ΑΝЄΩΓЄ Ambr. Syr. ἀνέῳγεν HL Lips. Schol. Δ 3. | 219. — 223 ἔϋ, πλήσασα C. ἔϋ πλήσασα A. ἐϋπλήσασα DE 1054, 13. 1056, 19 et 54. Rom. εὐπλήσασα HL. ἐμπλήσασα (omisso ἐὺ) G Flor. — 224 ΧΛΑΙΝΩΝ Ambr. ἀνεμοσκεπέων A. τὲ C. — 225 οὐδέ: ΟΥΤЄ Ambr. οὔτέ C. — 227 οὔτέ τεῳ ACEGH. οὔτε τεωι D. οὔτε τέω L. ΟΥΤΈΤЄΩΙ Syr. οὔτε τέως S. θεῶν: θεῶι D. ὅτι: ὅτε CEGS Athenaeus XI, 781. — 228 τόρρα H Lips. Rom. τόν ῥα CS Syr. ἐκάθηιρε AC. — 229 δ' ἔνιψ' ACDE Mosc. 2 ΔЄΝΊΖ' Syr.: vulgo δὲ νίψ'. ῥοῇσι ACDEG Syr. — 230 ἀφύσσετο Vrat. A. — 231 omitt. Mosc. 2 ЄΠЄΙΤ' ΑΝCΤΑC Syr. στὰς ἐν μέσωι D. — 232 εἰς ἀνιδὼν A. — 233 πελασγικὲ: γράφεται καὶ πελαργικὲ Eust. 1057, 54.

A. c. 223 ζηνόδοτος καὶ ἀριστοφάνης θῆκ' ἐπὶ νηὸς ἰόντι Didymus. — 227 οὕτως ἀρίσταρχος ὅτι μὴ διί, ἄλλοι δὲ διὰ τοῦ ε̄ ὅτε Didymus. — 228 οὕτως ἀρίσταρχος τόρα διὰ τοῦ ἑνὸς ρ̄ Didymus. conf. Schol. Apoll. Rhod. I, 769 οἱ δὲ Ἀριστάρχειοι δι' ἑτέρου ρ̄ ἔχουσι τὰς τοιαύτας γραφάς, ὡς Ἡρακλέων φησὶ ἐν τῇ π' τῆς Ἰλιάδος τό ῥα τότ' ἐκ χηλοῖο λαβών. III, 37 οἱ δὲ Ἀριστάρχειοι [δι' ἑτέρου ρ̄] γράφουσιν ὡς καὶ παρὰ τῷ ποιητῇ (laud. Π 228) φησὶν Ἡρακλέων. — 233 Δωδωναῖε: Φηγωναῖε Zenodotus apud Steph. Byz. 247, 4 sub Δωδώνη. alii Βωδωναῖε teste eodem pg. 247, 7.

Δωδώνης μεδέων δυσχειμέρου· ἀμφὶ δὲ Cελλοὶ
coὶ ναίουc' ὑποφῆται ἀνιπτόποδεc χαμαιεῦναι.
ἠμὲν δή ποτ' ἐμὸν ἔποc ἔκλυεc εὐξαμένοιο,
τίμηcαc μὲν ἐμέ, μέγα δ' ἴψαο λαὸν 'Αχαιῶν,
ἠδ' ἔτι καὶ νῦν μοι τόδ' ἐπικρήηνον ἐέλδωρ·
αὐτὸc μὲν γὰρ ἐγὼ μενέω νηῶν ἐν ἀγῶνι,
ἀλλ' ἕταρον πέμπω πολέcιν μετὰ Μυρμιδόνεccι
μάρναcθαι· τῷ κῦδοc ἅμα πρόεc εὐρύοπα Ζεῦ,
θάρcυνον δέ οἱ ἦτορ ἐνὶ φρεcίν, ὄφρα καὶ Ἕκτωρ
εἴcεται, ἤ ῥα καὶ οἶοc ἐπίcτηται πολεμίζειν
ἡμέτεροc θεράπων, ἦ οἱ τότε χεῖρεc ἄαπτοι
μαίνονθ', ὁππότ' ἐγώ περ ἴω μετὰ μῶλον Ἄρηοc.
αὐτὰρ ἐπεί κ' ἀπὸ ναῦφι μάχην ἐνοπήν τε δίηται,
ἀcκηθήc μοι ἔπειτα θοὰc ἐπὶ νῆαc ἵκοιτο
τεύχεcί τε ξὺν πᾶcι καὶ ἀγχεμάχοιc ἑτάροιcιν.
ὣc ἔφατ' εὐχόμενοc, τοῦ δ' ἔκλυε μητίετα Ζεύc.
τῷ δ' ἕτερον μὲν ἔδωκε πατήρ, ἕτερον δ' ἀνένευcε·
νηῶν μέν οἱ ἀπώcαcθαι πόλεμόν τε μάχην τε

V. l. 234 δὲ, cελλοὶ A: δέ c' Ἑλλοί Hesych. IV, 20. γράφουcιν ἀμφὶ δέ c' Ἑλλοί Eust. 1057, 59. καὶ γὰρ οὕτω τινὲc λέγουcι τὸ παρὰ τῷ ποιητῇ „ἀμφὶ δὲ Ἐλλοὶ coὶ ναίουcιν" Et. Mg. 709, 31. — 235 ἀνιπτόποδεc. χαμαιεῦναι A. — 236 ἢ μὲν CHLS. εἰ μὲν ἢ μᾶλλον ἢ μὲν Eust. ἐμοὶ Flor. εὐχομένοιο S. — 238 ἦδ' AD 2. man. ἤδ' H. ἠδέ τι L. τόδε κρήηνον L. ἐπικρῄηνον C. ἐπικρήηνον G. — 239 ἐν ἀγῶνι νηῶν D. — 240 ἕτερον πέμψω E. πολέcι G. μετα A. μυρμιδόνεccι ACG. — 241 πρόέc A. — 242 ἐνι A. ЄΚΤΩΡ' Syr. — 243 ἢ ῥα A Townl. ἤρα D. ἢ ῥὰ C 1. man. HL. ἢ ῥὰ C ex corr. ΉΡΑ Syr. ἐπίcτηται ACDGH Syr. Schol. Π 83: ἐπίcταται ELS Lips. Vrat. A. Rom. — 244 ἡ οἶ D. ἢ οἶ H. — 245 μετα D. — 246 ἀπο A. ναῦφϊ μαχοίμην L. — 247 ἵκοιτο: ΊΚЄ́CΘΩ Syr. — 248 ξὺν, πᾶcι A: ξυμπᾶcι D. cυμπᾶcϊ C. ΞΎΜΠΑCΙ Syr., idem Schol. Ω 22. conf. adn. ad Ζ 371. Κ 19. Λ 87. C 213. Τ 251. Φ 145. δ 671. ι 199. 332. κ 42. λ 257. ξ 296. ἐγχεμάχοιc S. ἀγχιμάχοιc Barocc. Mor. ἑτάροιcι D. — 248, 249 omitt. Vrat. A. — 249 ὡc A. μητιέτα L. — 250 ἔδωκεν D. δῶκε Eust. 1586, 5. δῶκε θεὸc Eust. 644, 9. ἕτερόνδ' G. ἀνένευcε ACDEH Syr. Athen. VIII, 350. Rhet. Gr. III, 31, 6. ἀνένευε Mor. — 251 μέντοι C Rhet. Gr. III, 31, 7. μὲν οἱ A.

A. c. 234 δυcχειμέρου: πολυπίδακοc Zenodotus. Cελλοί: ἡ διπλῆ πρὸc τὸ τῆc γραφῆc ἀμφίβολον· οἱ μὲν γὰρ Cελλούc, οἱ δὲ Ἑλλοὺc ἐξεδέξαντο Aristonicus. conf. Strab. VII, pg. 328. — 237 obelus cum asterisco, ὀρθῶc A 454. Ζηνόδοτοc οὐδὲ γράφει· 'Αριcτοφάνηc ἀθετεῖ Schol. V. — 243 ἐπίcτηται: ἐπιcτέαται Zenodotus.

δῶκε, cόον δ' ἀνένευcε μάχηc ἐξ ἀπονέεcθαι.
ἦ τοι ὃ μὲν cπείcαc τε καὶ εὐξάμενοc Διὶ πατρὶ
ἂψ κλιcίην εἰcῆλθε, δέπαc δ' ἀπέθηκ' ἐνὶ χηλῷ,
cτῆ δὲ πάροιθ' ἐλθὼν κλιcίηc, ἔτι δ' ἤθελε θυμῷ
εἰcιδέειν Τρώων καὶ 'Αχαιῶν φύλοπιν αἰνήν.
οἱ δ' ἅμα Πατρόκλῳ μεγαλήτορι θωρηχθέντεc
ἔcτιχον, ὄφρ' ἐν Τρωcὶ μέγα φρονέοντεc ὄρουcαν.
αὐτίκα δὲ cφήκεccιν ἐοικότεc ἐξεχέοντο
εἰνοδίοιc, οὓc παῖδεc ἐριδμαίνωcιν ἔθοντεc,
αἰεὶ κερτομέοντεc, ὁδῷ ἔπι οἰκί' ἔχονταc,
νηπίαχοι· ξυνὸν δὲ κακὸν πολέεccι τιθεῖcι.
τοὺc δ' εἴ περ παρά τίc τε κιὼν ἄνθρωποc ὁδίτηc
κινήcῃ ἀέκων, οἱ δ' ἄλκιμον ἦτορ ἔχοντεc
πρόccω πᾶc πέτεται καὶ ἀμύνει οἷcι τέκεccι.
τῶν τότε Μυρμιδόνεc κραδίην καὶ θυμὸν ἔχοντεc
ἐκ νηῶν ἐχέοντο· βοὴ δ' ἄcβεcτοc ὀρώρει.
Πάτροκλοc δ' ἑτάροιcιν ἐκέκλετο μακρὸν ἀΰcαc·
Μυρμιδόνεc, ἕταροι Πηληϊάδεω 'Αχιλῆοc,
ἀνέρεc ἔcτε, φίλοι, μνήcαcθε δὲ θούριδοc ἀλκῆc,
ὡc ἂν Πηλεΐδην τιμήcομεν, ὃc μέγ' ἄριcτοc
'Αργείων παρὰ νηυcὶ καὶ ἀγχέμαχοι θεράποντεc,
γνῷ δὲ καὶ 'Ατρεΐδηc εὐρὺ κρείων 'Αγαμέμνων

V. l. 252 cῶον D. ἐξαπονέεcθαι ACDEGHL Syr. Rhet. Gr. III, 31, 8. ἐξ ἀπονέεcθαι Schol. Π 13. — 253 libri ἤτοι. ,τὲ H. — 254 κλιcίηνδ' H Lips. ἐνι AD. — 255 cτῆ δε D. — 256 εἰcϊδέειν A. τρῴων L. — 257 οἳ δ' D. οἵδ' CGHL. — 258 τρῳcὶ L. φρονέοντεc ἔβηcαν Vrat. b. A. — 259 ἐοικότεc εἰνοδίοιcι Pseudoplut. 122, 40. — 260 παῖδαc D 1. man. ἐριδμαίνωcιν libri fere omnes cum Schol. Ι 540. Apoll. Soph. 63, 17. Et. Mg. 319, 9: ἐριδμαίνουcιν E Harl. ἐριδμαίρωcιν S. ἐριδαίνουcιν Pseudoplut. 122, 42. — 261 ἔπι ACDEGHL. οἰκοί' G. ἔχονταc AEHL: ἔχοντεc CD 1. man. S Syr. Barocc. Lips. 1. man. Mosc. 2. a pr. man. — 262 τιθεῖcι ACDEGH Syr. — 263 δ' omitt. Syr. 1. man. παρὰ AH. πάρα D 2. man. παρα CD 1. man. L. ὁδοίτηc L. — 264 κινήcῃ ADHL Syr. Cant. Mosc. 2. Vrat. b. d. A. κινήcει CEG. κινήcει' Harl. ἀέκων A. οἳ δ' D. οἵδ' CGHL. — 265 τέκεccι ACDEGH. τεκέεccι S. — 265, 266 omitt. H in textu, habet in marg man. rec. — 268 κέκλετο Townl. — 269 ἀχιλλῆοc E. — 270 ἐcτὲ CEGHL. — 271 τιμήcωμεν H Lips. — 272 ἀγχίμαχοι Vrat. A. — 273 εὐρὺ κρείων A. εὐρυκρείων C. ceteri εὐρυκρείων cum Apoll. Soph. 84, 15.

A. c. 252 διχῶc γράφεται καὶ cόον καὶ cάον Didymus, conf. Schol. Ι 681. — 254 οὕτωc ἀπέθηκε διὰ τοῦ ᾰ Didymus. — 261 ἀθετεῖται. ἠθέτει καὶ 'Αριcτοφάνηc. ἀρίcταρχοc ἔχονταc διὰ τοῦ ᾱ καὶ ἅπαcαι Didymus. — 272 Céλευκοc ἀθετεῖ Schol. V.

ἣν ἄτην, ὅ τ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν.
ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
ἐν δ' ἔπεσον Τρώεσσιν ἀολλέες· ἀμφὶ δὲ νῆες
σμερδαλέον κονάβησαν ἀυσάντων ὑπ' Ἀχαιῶν.
Τρῶες δ' ὡς εἴδοντο Μενοιτίου ἄλκιμον υἱόν,
αὐτὸν καὶ θεράποντα, σὺν ἔντεσι μαρμαίροντας,
πᾶσιν ὀρίνθη θυμός, ἐκίνηθεν δὲ φάλαγγες,
ἐλπόμενοι παρὰ ναῦφι ποδώκεα Πηλεΐωνα
μηνιθμὸν μὲν ἀπορρῖψαι, φιλότητα δ' ἑλέσθαι·
πάπτηνεν δὲ ἕκαστος, ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.
Πάτροκλος δὲ πρῶτος ἀκόντισε δουρὶ φαεινῷ
ἀντικρὺ κατὰ μέσσον, ὅθι πλεῖστοι κλονέοντο,
νηὶ πάρα πρυμνῇ μεγαθύμου Πρωτεσιλάου,
καὶ βάλε Πυραίχμην, ὃς Παίονας ἱπποκορυστὰς
ἤγαγεν ἐξ Ἀμυδῶνος ἀπ' Ἀξιοῦ εὐρὺ ῥέοντος·
τὸν βάλε δεξιὸν ὦμον· ὁ δ' ὕπτιος ἐν κονίῃσι
κάππεσεν οἰμώξας, ἕταροι δέ μιν ἀμφιφόβηθεν
Παίονες· ἐν γὰρ Πάτροκλος φόβον ἧκεν ἅπασιν
ἡγεμόνα κτείνας, ὃς ἀριστεύεσκε μάχεσθαι.
ἐκ νηῶν δ' ἔλασεν, κατὰ δ' ἔσβεσεν αἰθόμενον πῦρ.
ἡμιδαὴς δ' ἄρα νηῦς λίπετ' αὐτόθι· τοὶ δὲ φόβηθεν
Τρῶες θεσπεσίῳ ὁμάδῳ· Δαναοὶ δ' ἐπέχυντο
νῆας ἀνὰ γλαφυράς· ὅμαδος δ' ἀλίαστος ἐτύχθη.
ὡς δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο
κινήσῃ πυκινὴν νεφέλην στεροπηγερέτα Ζεύς,

V. L. 275 ὡς A. — 276 δὲ πέσον Mosc. 2. τρῷες L. ἀμφι DH. — 277 σμαρδαλέον S. — 278 τρῷες CL. — 279 συνέντεσι AD. — 281 ναῦφιν G Flor. — 282 ἀπορρῖψαι E Rhet. Gr. III, 105, 11: ἀπορρίψαι ACDGHL. — 283 πάπτηνεν C. πάπτηνε G Flor. ὅπηι A. ceteri ὅπῃ. ὅποι E Vrat. A. φύγῃ EL. — 285 κατα ACD. μέσον G. πλεῖστοι καὶ ἄριστοι Barocc. Mor. — 286 παρα ADH. παρὰ CGL. πρύμνῃ libri. — 287 πυραίχμην A. — 288 ἐξαμυδῶνος D. εὐρὺ ῥέοντος ACDEGHLS. — 289 ὃ δ' D. ὅδ' CGHL. κονίῃσι ACDEG. — 290 ἀμφιφόβηθεν C Lips. ceteri ἀμφεφόβηθεν. H ἀμφ' ἐφόβηθεν. — 291 ἅπασι D. — 293 ἔλασε D Lips. κατα CDH. ἔσβεσε G. αἰθόμενον: ἐν ἄλλῳ ἀκάματον πῦρ A. — 294 δὲ φόβηθεν Townl. Vrat. b. ceteri δ' ἐφόβηθεν. — 295 τρῷες L. ἐφέχυντο H. — 296 ἀνα DH. — 297 οὔρεος L. — 298 κινήσῃ ADE 1060. 49 HL Cant. Harl. Vrat. d. Mosc. 2. κινήσει C Eust. 1060, 41. Schol. Π 66. κινήσειν G (an κινῆσιν?). στεροπηγερέτα A.

A. c. 281 Aristarchus ἐλπόμενοι: ἐλπόμεναι Zenodotus. — 288 conf. ad B 849. — 290 ἀρίσταρχος ἰακῶς ἀμφὶ φόβηθεν Didymus.

ἔκ τ' ἔφανεν πᾶσαι σκοπιαὶ καὶ πρώονες ἄκροι
καὶ νάπαι, οὐρανόθεν δ' ἄρ' ὑπερράγη ἄσπετος αἰθήρ,
ὣς Δαναοὶ νηῶν μὲν ἀπωσάμενοι δήιον πῦρ
τυτθὸν ἀνέπνευσαν, πολέμου δ' οὐ γίγνετ' ἐρωή.
οὐ γάρ πώ τι Τρῶες ἀρηιφίλων ὑπ' Ἀχαιῶν
προτροπάδην φοβέοντο μελαινάων ἀπὸ νηῶν,
ἀλλ' ἔτ' ἄρ' ἀνθίσταντο, νεῶν δ' ὑπόεικον ἀνάγκῃ.
ἔνθα δ' ἀνὴρ ἕλεν ἄνδρα κεδασθείσης ὑσμίνης
ἡγεμόνων. πρῶτος δὲ Μενοιτίου ἄλκιμος υἱὸς
αὐτίκ' ἄρα στρεφθέντος Ἀρηιλύκου βάλε μηρὸν
ἔγχεϊ ὀξυόεντι, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε·
ῥῆξεν δ' ὀστέον ἔγχος, ὁ δὲ πρηνὴς ἐπὶ γαίῃ
κάππεσ'. ἀτὰρ Μενέλαος ἀρήιος οὖτα Θόαντα
στέρνον γυμνωθέντα παρ' ἀσπίδα, λῦσε δὲ γυῖα.
Φυλεΐδης δ' Ἄμφικλον ἐφορμηθέντα δοκεύσας
ἔφθη ὀρεξάμενος πρυμνὸν σκέλος, ἔνθα πάχιστος
μυὼν ἀνθρώπου πέλεται· περὶ δ' ἔγχεος αἰχμῇ
νεῦρα διεσχίσθη· τὸν δὲ σκότος ὄσσε κάλυψε.
Νεστορίδαι δ' ὁ μὲν οὔτασ' Ἀτύμνιον ὀξέι δουρὶ
Ἀντίλοχος, λαπάρης δὲ διήλασε χάλκεον ἔγχος·
ἤριπε δὲ προπάροιθε. Μάρις δ' αὐτοσχεδὰ δουρὶ
Ἀντιλόχῳ ἐπόρουσε κασιγνήτοιο χολωθείς,
στὰς πρόσθεν νέκυος· τοῦ δ' ἀντίθεος Θρασυμήδης

V. L. 299 ἔφανεν AL Cant. Harl. ἔφανε D. ἤφανεν Harl. ἔφανον EG. ἔφαναν CH Lips. Ven. B. Vrat. b. Mosc. 2. conf. Θ 557. H. U. 288 sq. — 300 ἄρ' omitt. E. ἆρ ADGHL. ὑπὲρράγη G (gravis et spir. 2. man.). ἀπερράγη L. — 301 ὡς A. νηῶν: νηὸς L. — 302 πολέμῳ Lips. γίνετ' ACDEGHL Et. Mg. 380, 45. — 303 γάρ πω τι DL. πῶ C. τρῷες L. — 304 φοβέοντο: ἐφέβοντο H Vrat. d. ἀπο H. — 305 ἆρ ADGHL: ἂν E. ὑποεῖκον A. — 306 ὑσμήνης G. — 308 αὐτίκα δ' ἄρα L. — 309 διὰ πρὸ GH. διὰ προ C. διαπροδε D. ἔλασσε ACG. — 310 ῥῆξε G Flor. ἐπι H. γαίῃ DGHL Cant. Vrat. b. d. Flor. γαίης ACES, conf. 413. 579. Ρ 300. Φ 118. — 311 οὗτα CDL. — 315 μυιὼν AD Et. Mg. 593, 52. μυιῶν Cant. Apoll. Soph. 114, 4. μυῶν G Lips. Flor. μύων Et. Gud. 398, 50. ἀνθρώπων Apoll. Soph. 114, 4. περϊ H. αἰχμῇ: γρ. ὁρμῇ Lips. — 316 ὄσσε κάλυψε AD Cant. Townl. Vrat. b. d. κάλυψεν HL. ὄσσ' ἐκάλυψε CEG. — 317 ὃ μὲν C. — 319 μάρης Barocc. Lips. Vrat. A. Mosc. 2. αὐτοσχεδὸν G. — 321 πρόσθε DE Vrat. A. προπάροιθε νέκυος Harl.

A. c. 299, 300 asterisci, οὐκ ὀρθῶς Θ 557, 558. — 305 ἀνθίσταντο: alii ἄνθ' ἵσταντο. ὑπόεικον conf. H. T. 403. — 313 ἐφορμηθέντα: ὑφορμηθέντα Aristophanes teste Schol. BL.

ἔφθη ὀρεξάμενος πρὶν οὐτάϲαι, οὐδ' ἀφάμαρτεν,
ὦμον ἄφαρ· πρυμνὸν δὲ βραχίονα δουρὸς ἀκωκὴ
δρύψ' ἀπὸ μυώνων, ἀπὸ δ' ὀϲτέον ἄχρις ἄραξε.
δούπηϲεν δὲ πεϲών, κατὰ δὲ ϲκότος ὄϲϲε κάλυψεν.
ὣϲ τὼ μὲν δοιοῖϲι καϲιγνήτοιϲι δαμέντε
βήτην εἰϲ ἔρεβος, Cαρπηδόνος ἐϲθλοὶ ἑταῖροι,
υἷες ἀκοντιϲταὶ Ἀμιϲωδάρου, ὅϲ ῥα Χίμαιραν
θρέψεν ἀμαιμακέτην πολέϲιν κακὸν ἀνθρώποιϲιν.
Αἴας δὲ Κλεόβουλον Ὀιλιάδηϲ ἐπορούϲας
ζωὸν ἕλε, βλαφθέντα κατὰ κλόνον· ἀλλά οἱ αὖθι
λῦϲε μένος, πλήξας ξίφει αὐχένα κωπήεντι.
πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι, τὸν δὲ κατ' ὄϲϲε
ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
Πηνέλεωϲ δὲ Λύκων τε ϲυνέδραμον· ἔγχεϲι μὲν γὰρ
ἤμβροτον ἀλλήλων, μέλεον δ' ἠκόντιϲαν ἄμφω·
τὼ δ' αὖτιϲ ξιφέεϲϲι ϲυνέδραμον. ἔνθα Λύκων μὲν
ἱπποκόμου κόρυθος φάλον ἤλαϲεν, ἀμφὶ δὲ καυλὸν
φάϲγανον ἐῤῥαίϲθη· ὃ δ' ὑπ' οὔατος αὐχένα θεῖνε
Πηνέλεωϲ, πᾶν δ' εἴϲω ἔδυ ξίφος, ἔϲχεθε δ' οἶον
δέρμα, παρηέρθη δὲ κάρη, ὑπέλυντο δὲ γυῖα.
Μηριόνηϲ δ' Ἀκάμαντα κιχεὶϲ ποϲὶ καρπαλίμοιϲι
νύξ' ἵππων ἐπιβηϲόμενον κατὰ δεξιὸν ὦμον.
ἤριπε δ' ἐξ ὀχέων, κατὰ δ' ὀφθαλμῶν κέχυτ' ἀχλύϲ.
Ἰδομενεὺϲ δ' Ἐρύμαντα κατὰ ϲτόμα νηλέϊ χαλκῷ
νύξε· τὸ δ' ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρηϲε
νέρθεν ὑπ' ἐγκεφάλοιο, κέαϲϲε δ' ἄρ' ὀϲτέα λευκά·

V. L. 324 ἀπο A. μυιώνων AD Vrat. A. Mosc. 2. conf. ad 315. ἀποδ' A. ἄραξε ACD 1. man. G. — 325 δούπηϲε E Lips. ὄϲϲ' ἐκάλυψεν G. — 326 δαμέντε omnes, non δαμέντεϲ. — 328 ἀμιϲαδάρου L. ἀμυϲωδάρου Harl. ὃϲ ῥὰ DL. — 329 ἀνθρώποιϲι D. — 331 ζωὸν ἔλαβε S. κατα H. αὖθιϲ E. — 332 λῆϲε μένος G. ξίφει αὐχένα πλήξας L. — 333 πᾶϲ G. ὑποθερμάνθη Schol. Λ 534. κατόϲϲε D. — 334 ἔλαβε E. — 335 ἔγχεϲι μὲν γὰρ — 337 λύκων μὲν omitt. H in textu et versus 336, 337 in margine habet scriptos man. rec. — 337 αὖθϊϲ C. — 338 καυλὸν: καλὸν ACDHL Cant. θάλον S. καυλῷ Mor. Barocc. — 339 ὃ δ' D. ὅδ' CGHL. ἀπ' οὔατοϲ Vrat. b. θεῖνε ACDGL Syr. — 340 ἔϲχε δὲ οἶον G Flor. Rom. ἔϲχε δ' οἶον H. — 342 κιχεὶϲ: χικεὶϲ G. καρπαλίμοιϲι ACDGHL Syr. — 343 κατα DH. — 344 omitt. Lips. κατα DL. — 345 ἐρύβαντα S. ἐριδάμαντα L. — 346 δόρι L. ἐξεπέρηϲε ACDG . . . . ЄΡΗϹЄ Syr. — 347 κέαϲε E Townl. κέδαϲε Lips. et γρ. κέαϲε. ἂρ ADEGHL. ὀϲτέα χαλκά L.

A. c. 324 ἄχριϲ Aristarchus.

ἐκ δ' ἐτίναχθεν ὀδόντεϲ, ἐνέπληϲθεν δέ οἱ ἄμφω
αἵματος ὀφθαλμοί· τὸ δ' ἀνὰ ϲτόμα καὶ κατὰ ῥῖναϲ
πρῆϲε χανών· θανάτου δὲ μέλαν νέφος ἀμφεκάλυψεν.
οὗτοι ἄρ' ἡγεμόνεϲ Δαναῶν ἕλον ἄνδρα ἕκαϲτοϲ.
ὡϲ δὲ λύκοι ἄρνεϲϲιν ἐπέχραον ἢ ἐρίφοιϲι
ϲίνται, ὑπ' ἐκ μήλων αἱρεύμενοι, αἵ τ' ἐν ὄρεϲϲι
ποιμένοϲ ἀφραδίηϲι διέτμαγεν· οἳ δὲ ἰδόντεϲ
αἶψα διαρπάζουϲιν ἀνάλκιδα θυμὸν ἐχούϲας·
ὣϲ Δαναοὶ Τρώεϲϲιν ἐπέχραον· οἳ δὲ φόβοιο
δυϲκελάδου μνήϲαντο, λάθοντο δὲ θούριδοϲ ἀλκῆϲ.
Αἴας δ' ὁ μέγαϲ αἰὲν ἐφ' Ἕκτορι χαλκοκορυϲτῇ
ἵετ' ἀκοντίϲϲαι· ὃ δὲ ἰδρείῃ πολέμοιο,
ἀϲπίδι ταυρείῃ κεκαλυμμένοϲ εὐρέαϲ ὤμουϲ,
ϲκέπτετ' ὀιϲτῶν τε ῥοῖζον καὶ δοῦπον ἀκόντων.
ἦ μὲν δὴ γίγνωϲκε μάχηϲ ἑτεραλκέα νίκην·
ἀλλὰ καὶ ὣϲ ἀνέμιμνε, ϲάω δ' ἐρίηραϲ ἑταίρουϲ.
ὡϲ δ' ὅτ' ἀπ' Οὐλύμπου νέφοϲ ἔρχεται οὐρανὸν εἴϲω
αἰθέροϲ ἐκ δίηϲ, ὅτε τε Ζεὺϲ λαίλαπα τείνῃ,
ὣϲ τῶν ἐκ νηῶν γένετο ἰαχή τε φόβοϲ τε,
οὐδὲ κατὰ μοῖραν πέραον πάλιν. Ἕκτορα δ' ἵπποι
ἔκφερον ὠκύποδεϲ ϲὺν τεύχεϲι, λεῖπε δὲ λαὸν
Τρωικόν, οὓϲ ἀέκονταϲ ὀρυκτὴ τάφροϲ ἔρυκε.

V. L. 348 δὲ τίναχθεν EG. — 349 ἀνα D. ῥίναϲ G. — 350 πρῆϲϲε H. ΑΜΦЄΚΑΛΥΨЄ Syr. — 351 ἂρ ADEGHL Eust. 1061, 24. ἕλεν C. ἕκαϲτον Eust. 1061, 24. ЄΚΑϹΤΟΝ Syr. ἐν ἄλλῳ ἄνδραϲ ἀρίϲτουϲ A. — 352 ἄρνεϲιν E. ἐπίχραον S. ἐρίφοιϲι ACDEG Syr. — 353 ὑπ' ἐκ ACDEGHL. ΥΠ' ЄΚ Syr. ἐρεύμενοι C 1. man. ὄρεϲϲι ACDGL Syr. — 354 ἀφραδίηϲιν G. διέτμαγεν ACDEGHL Schol. Π 507: διέτμαγον S Syr. οἳ δὲ C. — 356 ἀπέχραον G. οἳ δὲ C. — 358 ἐφέκτορι D. ὑφ' ἕκτορι L. — 359 ἵετ' D. ἀκοντίϲαι EL Vrat. A. Lips. ἀκοντί[c]ϲαι D. ὁ δ' L. ἰδρείῃ CDH Lips. — 360 κεκαλυμμένοι Lips. — 362 ΓΙΓΝΩϹΚЄ Syr. γίνωϲκε ACDEGHL. — 363 ὦϲ D. ὡϲ AG. ceteri ὥϲ. — 365 τείνῃ: τείνει E. τείνει[ηι] D (i. e. τείνει). τείνοι Barocc. Mor. — 366 ὡϲ A. γένετ' CE Lips. φόφοϲ G. — 367 κατα D. — 368 ϲυν D. λῖπε L. — 369 ἔρυκε ACDGH. ЄЄΡΓЄ Syr.

A. c. 352 ἐπέχραον: ἐπέχρων Aristophanes? conf. Schol. β 50. — 353 οὕτωϲ αἵ τε θηλυκῶϲ αἱ ὄϊεϲ Didymus. — 354 οὕτωϲ διὰ τοῦ ε̄ διέτμαγεν Didymus, conf. Ariston. ad Π 507 et adnot. ad Α 531. — 365 λαίλαπα: ἐν τοῖϲ ὑπομνήμαϲι κατὰ δοτικὴν ἦν λαίλαπι Schol. LV.

πολλοὶ δ' ἐν τάφρῳ ἐρυϲάρματεϲ ὠκέεϲ ἵπποι
ἄξαντ' ἐν πρώτῳ ῥύμῳ λίπον ἅρματ' ἀνάκτων.
Πάτροκλοϲ δ' ἕπετο ϲφεδανὸν Δαναοῖϲι κελεύων,
Τρωϲὶ κακὰ φρονέων· οἳ δὲ ἰαχῇ τε φόβῳ τε
πάϲαϲ πλῆϲαν ὁδούϲ, ἐπεὶ ἂρ τμάγεν· ὕψι δ' ἄελλα
ϲκίδναθ' ὑπὸ νεφέων, τανύοντο δὲ μώνυχεϲ ἵπποι
ἄψορρον προτὶ ἄϲτυ νεῶν ἄπο καὶ κλιϲιάων.
Πάτροκλοϲ δ' ᾗ πλεῖϲτον ὀρινόμενον ἴδε λαόν,
τῇ ῥ' ἔχ' ὁμοκλήϲαϲ· ὑπὸ δ' ἄξοϲι φῶτεϲ ἔπιπτον
πρηνέεϲ ἐξ ὀχέων, δίφροι δ' ἀνακυμβαλίαζον.
ἀντικρὺ δ' ἄρα τάφρον ὑπέρθορον ὠκέεϲ ἵπποι
[ἄμβροτοι, οὓϲ Πηλῆι θεοὶ δόϲαν ἀγλαὰ δῶρα,]
πρόϲϲω ἱέμενοι· ἐπὶ δ' Ἕκτορι κέκλετο θυμόϲ·
ἵετο γὰρ βαλέειν· τὸν δ' ἔκφερον ὠκέεϲ ἵπποι.
ὡϲ δ' ὑπὸ λαίλαπι πᾶϲα κελαινὴ βέβριθε χθὼν
ἤματ' ὀπωρινῷ, ὅτε λαβρότατον χέει ὕδωρ
Ζεύϲ, ὅτε δή ῥ' ἄνδρεϲϲι κοτεϲϲάμενοϲ χαλεπήνῃ,
οἳ βίῃ εἰν ἀγορῇ ϲκολιὰϲ κρίνωϲι θέμιϲταϲ,
ἐκ δὲ δίκην ἐλάϲωϲι θεῶν ὄπιν οὐκ ἀλέγοντεϲ·
τῶν δέ τε πάντεϲ μὲν ποταμοὶ πλήθουϲι ῥέοντεϲ,
πολλὰϲ δὲ κλιτῦϲ τότ' ἀποτμήγουϲι χαράδραι,

V. l. 370 ἐρυϲάρματεϲ A. ἐρυϲάρματοι (ες) Lips. ὠχέεϲ G. — 373 τρῳϲὶ L. οἳ δὲ C. οἳ δ' D. οἱ δ' Lips. οἵδ' H. φόφῳ G. — 374 ἀέλλη ACDEGHLS Syr. Vrat. A. Lips. edd. vett. sed ἄελλα confirmatur analogia formae θύελλα. — 375 ὑπαὶ ACEGHLS Syr. et Heynii libri. ὕπαι D. — 376 πρὸ τὶ C. ποτὶ L. προτιάϲτυ D. ἐν ἄλλῳ ἄψορρον προτὶ ἄϲτυ ἑλιχθέντων ὑπαχαιῶν A. — 377 εἶδε CE. — 378 ὕπο L. ἄξωϲι G. — 379 πρηνέεϲ ἐξοπίϲω δίφροι H. ἐξοχέων D. ἀνακυμβαλίαζον A Syr. ἀν' ἐκυμβαλίαζον S: vulgo ἀνεκυμβαλίαζον cum Apoll. Soph. 34, 2. Zonar. Lex. 219. Et. Mg. 96, 54. Cram. An. Par. IV, 11, 6. — 380 ἀνατάφρον G. ὑπέκθορον Cant. — 381 omitt. ACDHS Syr. Vrat. d. Flor. habent EGL. — 382 ἐπι AD. κέλλετο Vrat. A. — 383 ἷετο A. ἵετο D. ὠκέαϲ G. — 384 ΩϹΔΟΘ' Syr. ὕπο A. βέβριθε: βέβρυχε Barocc. Mor. Vrat. A. — 385 ἥματ' D. ἤματι χειμερίω L. λαβρότατον Eust. 1066, 2 et libri: λαυρότατον Eust. 1065, 44 et 64 Lips. Rom. χέῃ L ex corr. — 386 δὴ ἄνδρεϲϲι CH Syr. Mosc. 2. Lips. δή ῥ' ἄνδρεϲϲι AE Rom. δή τ' ἄνδρεϲϲι GL Cant. Townl. Vrat. A. Flor. δὴ τ' D. δῆ τ' S. χαλεπήινη C. — 387 εἰ ἀγορῇ G. κρίνειε Et. Mg. 197, 7. — 389 τε omitt. G. — 390 κλιτῦϲ CEGL Syr. κλιτῦϲ (sic) A. κλειτῦϲ H. κλιτὺϲ D Townl.

A. c. 372 ϲφεδανὸν: οὕτωϲ ὡϲ ϲφοδρὸν προείρηται Schol. A conf. H. T. 354. — 379 ἀνακυμβαλίαζον: οὕτωϲ ἀρίϲταρχοϲ, ἄλλοι δὲ ἀνεκυμβαλίαζον Didymus. — 390 κλιτῦϲ: κλιτὺϲ Herodianus. χαράδραι Aristarchus, προπαροξυτόνωϲ.

ἐϲ δ' ἅλα πορφυρέην μεγάλα ϲτενάχουϲι ῥέουϲαι
ἐξ ὀρέων ἐπὶ κάρ, μινύθει δέ τε ἔργ' ἀνθρώπων·
ὡϲ ἵπποι Τρῳαὶ μεγάλα ϲτενάχοντο θέουϲαι.
Πάτροκλοϲ δ' ἐπεὶ οὖν πρώταϲ ἐπέκερϲε φάλαγγαϲ,
ἂψ ἐπὶ νῆαϲ ἔεργε παλιμπετέϲ, οὐδὲ πόληοϲ
εἴα ἱεμένουϲ ἐπιβαινέμεν, ἀλλὰ μεϲηγὺ
νηῶν καὶ ποταμοῦ καὶ τείχεοϲ ὑψηλοῖο
κτεῖνε μεταΐϲϲων, πολέων δ' ἀπετίνυτο ποινήν.
ἔνθ' ἤ τοι Πρόνοον πρῶτον βάλε δουρὶ φαεινῷ
ϲτέρνον γυμνωθέντα παρ' ἀϲπίδα, λῦϲε δὲ γυῖα·
δούπηϲεν δὲ πεϲών. ὁ δὲ Θέϲτορα, Ἤνοποϲ υἱόν,
δεύτερον ὁρμηθείϲ· ὁ μὲν εὐξέϲτῳ ἐνὶ δίφρῳ
ἧϲτο ἀλείϲ· ἐκ γὰρ πλήγη φρέναϲ, ἐκ δ' ἄρα χειρῶν
ἡνία ἠίχθηϲαν· ὁ δ' ἔγχεϊ νύξε παραϲτὰϲ
γναθμὸν δεξιτερόν, διὰ δ' αὐτοῦ πεῖρεν ὀδόντων,
ἕλκε δὲ δουρὸϲ ἑλὼν ὑπὲρ ἄντυγοϲ, ὡϲ ὅτε τιϲ φὼϲ
πέτρῃ ἔπι προβλῆτι καθήμενοϲ ἱερὸν ἰχθὺν
ἐκ πόντοιο θύραζε λίνῳ καὶ ἤνοπι χαλκῷ·
ὣϲ ἕλκ' ἐκ δίφροιο κεχηνότα δουρὶ φαεινῷ,
κὰδ δ' ἄρ' ἐπὶ ϲτόμ' ἔωϲε· πεϲόντα δέ μιν λίπε θυμόϲ.
αὐτὰρ ἔπειτ' Ἐρύλαον ἐπεϲϲύμενον βάλε πέτρῳ

V. l. 391 ΕΙϹΔ' Syr. — 393 ἐξορέων AD. ἐπὶ κὰρ CEGHL Schol. B 443. Herodianus περὶ διχρόνων 283, 7. Suidas I, 2, 409, 7. Draco de Metr. 36, 21. Cram. Ep. 227, 14. ἐπὶ κάρ' Apoll. Soph. 73, 20. ἐπικάρ AD Vrat. A. Et. Mg. 360, 17. Zonar. Lex. 855. δέ τε: δέ τ' E Lips. μηνύθει δέ τοι ἔργ' ἀνδρῶν Apoll. Soph. 73, 20. — 393 ὡϲ A. τρωιαὶ AL Vrat. d. τρῳαὶ H. τρωαὶ CE Syr. τροαὶ G. τρώων D. ϲτενάχονται H. — 394 ΠΡΩΤΑΙϹΕΝΕΚΕΡϹΕΦΑΛΑΓΞΙ Syr. ἐπέκυρϲε D Townl. Lips. Vrat. d. ἀπέκερϲε Cant. δ' ἀπέκερϲε S. — 395 παλιμπετὲϲ A. παλϊπετέϲ H. — 396 ἱεμένουϲ D. ἐπιβαίνειν L. — 398 ἀπετίνυτο ADE 1067, 4 GH Barocc. Townl. Vrat. b. d. A. Mosc. 2. ἀπετίννυτο CE 1066, 49 L. — 399 ἤτοι πρῶτον πρόνοον βάλε H. ἐν ἄλλῳ βάλε ποιμένα λαῶν A. — 401 ὁ δὲ C. ἴνωποϲ D. — 402 δεύτεροϲ E. ὁ μὲν C. ἐϋξέϲτωι ACD Vrat. A. εὐξένῳ G. ἐνι D. — 403 ἀλεὶϲ AEGL Lips. Townl. Vrat. A. καὶ γὰρ L. — 404 ὅδ' CGHL. — 405 δια A. ὀδόνταϲ Vrat. A. — 406 ἕλκε ACDEHL Townl. Vrat. d. Mosc. 2.: εἷλκε G. τῖϲ C. — 407 ἐπὶ ACEGHL Athenaeus VII, 284. ἔπι D. ἰχθῦν ACD Et. Mg. 468, 13; 20; 45. — 408 ἐνὶ ἤνοπι Schol. Ω 81. — 409 εἷλκ' CDGS. εἷλκεν E Lips. δίφοιο G. κεχηνότα C. — 410 καδδ' ACDGHL. ἂρ ADEGHL. — 411 ἐρύλαον D Harl. Mosc. 2. man. rec. ἐρύαλον ACGH. εὐρύλαον LS. εὐρύαλον Cant. Mor. Lips. Schol. Δ 461. ἐπεϲϲύμενον (c) A. ἐπεϲϲύμενοϲ D. πέτρῳ ἢ πέτρῃ E.

A. c. 393 τρῳαὶ veteres, conf. H. U. 214. — 406 ἕλκε χωρὶϲ τοῦ ι ἀρίϲταρχοϲ, καὶ ἑξῆϲ (409) ὡϲ ἕλκ' ἐκ δίφροιο Didymus.

μέϲϲην κὰκ κεφαλήν· ἣ δ' ἄνδιχα πᾶϲα κεάϲθη
ἐν κόρυθι βριαρῇ· ὃ δ' ἄρα πρηνὴϲ ἐπὶ γαίῃ
κάππεϲεν, ἀμφὶ δέ μιν θάνατοϲ χύτο θυμοραϊϲτήϲ.
αὐτὰρ ἔπειτ' Ἐρύμαντα καὶ Ἀμφοτερὸν καὶ Ἐπάλτην
Τληπόλεμόν τε Δαμαϲτορίδην Ἐχίον τε Πύριν τε
Ἰφέα τ' Εὔιππόν τε καὶ Ἀργεάδην Πολύμηλον,
πάνταϲ ἐπαϲϲυτέρουϲ πέλαϲε χθονὶ πουλυβοτείρῃ.
Ϲαρπηδὼν δ' ὡϲ οὖν ἴδ' ἀμιτροχίτωναϲ ἑταίρουϲ
χέρϲ' ὕπο Πατρόκλοιο Μενοιτιάδαο δαμένταϲ,
κέκλετ' ἄρ' ἀντιθέοιϲι καθαπτόμενοϲ Λυκίοιϲιν·
αἰδὼϲ ὦ Λύκιοι, πόϲε φεύγετε; νῦν θοοὶ ἔϲτε.
ἀντήϲω γὰρ ἐγὼ τοῦδ' ἀνέροϲ, ὄφρα δαείω,
ὅϲ τιϲ ὅδε κρατέει καὶ δὴ κακὰ πολλὰ ἔοργε
Τρῶαϲ, ἐπεὶ πολλῶν τε καὶ ἐϲθλῶν γούνατ' ἔλυϲεν.
ἦ ῥα, καὶ ἐξ ὀχέων ϲὺν τεύχεϲιν ἆλτο χαμᾶζε.
Πάτροκλοϲ δ' ἑτέρωθεν, ἐπεὶ ἴδεν, ἔκθορε δίφρου.
οἳ δ', ὥϲ τ' αἰγυπιοὶ γαμψώνυχεϲ, ἀγκυλοχεῖλαι,
πέτρῃ ἐφ' ὑψηλῇ μεγάλα κλάζοντε μάχωνται,
ὣϲ οἳ κεκλήγοντεϲ ἐπ' ἀλλήλοιϲιν ὄρουϲαν.
τοὺϲ δὲ ἰδὼν ἐλέηϲε Κρόνου πάιϲ ἀγκυλομήτεω,
Ἥρην δὲ προϲέειπε καϲιγνήτην ἄλοχόν τε·

V. L. 412 κακκεφαλήν ACDGH Schol. Δ 461. κὰκκεφαλήν L. ἣ δ' D. ἥδ' CGHL. — 413 ὃ δ' D. ὅδ' CGHL. — 414 ἀμφι D. δέ μιν libri cum Schol. B 2. δ 793: δέ οἱ Schol. Δ 461, conf. N 544. — 415 εὐρύμαντα L. — 416 ἔχιόν L: ceteri ἐχίον. πύρην G: ceteri πύριν. Lips. πύρον. — 417 ἐφέα G. πολύμηλον A. — 418 πέλαϲεν H. — 419 δ' omitt. Mor. Barocc. ὡϲ εἶδεν ἀμιτρ. Lips. ἀμιτροχίτωναϲ A. — 420 ὑπὸ CGL. ὑπο
οιϲι
A. δαμένταϲ: θανόνταϲ L. — 421 ἄρ DGHL. ἀρ A. λυκίοιϲι C. λυκίηθεν D. — 422 θοοὶ ἔϲτε AD: θοοὶ ἐϲτὲ CGHL. θοοί ἐϲτε E Plutarchus de Aud. poët. 11. — 423 δ' ἄρ' ἐγὼ Vrat. A. — 424 ὧδε D. πολλὰ κακὰ EH. ἔοργε ACDEGHL. — 425 τρῷαϲ L. ἐπὶ G. πολλῶν καὶ Barocc. — 426 ῥὰ CGHL. ἆλτο C: ceteri ἆλτο. χαμᾶζε ADEGH: χαμάζε CL. — 428 οἶδ' D. οἴδ' CGHL. Cram. Epim. 102, 27. ὡϲ δ' ὅτε αἰγυπιοὶ Barocc. — 429 κλάζονται G. κλάζοντεϲ L. μάχωνται ADL Townl. μάχονται CE GHS. μάχοντε Lips. — 430 ὡϲ ACDGHL. κεκλήγοντεϲ ACDEGH: κεκληγότεϲ LS. ἐπαλλήλοιϲιν D. ἐπ' ἀλλήλοιϲ ἐπόρουϲαν Flor. — 431 παῖϲ libri.

A. c. 415 Ἀμφοτερὸν Aristarchus, ὀξυτόνωϲ, conf. H. T. 400. — 422 θοοὶ ἔϲτε, conf. 494. — 430 κεκλήγοντεϲ: ἐν τῇ ἑτέρᾳ τῶν ἀριϲτάρχου κεκληγῶτεϲ Didymus, conf. H. T. 296.

ὤ μοι ἐγών, ὅ τέ μοι Ϲαρπηδόνα, φίλτατον ἀνδρῶν,
μοῖρ' ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι.
διχθὰ δέ μοι κραδίη μέμονε φρεϲὶν ὁρμαίνοντι,
ἤ μιν ζωὸν ἐόντα μάχηϲ ἄπο δακρυοέϲϲηϲ
θείω ἀναρπάξαϲ Λυκίηϲ ἐν πίονι δήμῳ,
ἦ ἤδη ὑπὸ χερϲὶ Μενοιτιάδαο δαμάϲϲω.
τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπιϲ πότνια Ἥρη·
αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπεϲ.
ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴϲῃ,
ἂψ ἐθέλειϲ θανάτοιο δυϲηχέοϲ ἐξαναλῦϲαι;
ἔρδ'· ἀτὰρ οὔ τοι πάντεϲ ἐπαινέομεν θεοὶ ἄλλοι.
ἄλλο δέ τοι ἐρέω, ϲὺ δ' ἐνὶ φρεϲὶ βάλλεο ϲῇϲιν·
αἴ κε ζὼν πέμψῃϲ Ϲαρπηδόνα ὃν δὲ δόμον δέ,
φράζεο μή τιϲ ἔπειτα θεῶν ἐθέλῃϲι καὶ ἄλλοϲ
πέμπειν ὃν φίλον υἱὸν ἀπὸ κρατερῆϲ ὑϲμίνηϲ·
πολλοὶ γὰρ περὶ ἄϲτυ μέγα Πριάμοιο μάχονται
υἱέεϲ ἀθανάτων, τοῖϲιν κότον αἰνὸν ἐνήϲειϲ.
ἀλλ' εἴ τοι φίλοϲ ἐϲτί, τεὸν δ' ὀλοφύρεται ἦτορ,
ἤ τοι μέν μιν ἔαϲον ἐνὶ κρατερῇ ὑϲμίνῃ
χέρϲ' ὕπο Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι·
αὐτὰρ ἐπεὶ δὴ τόν γε λίπῃ ψυχή τε καὶ αἰών,

V. L. 433 ὤιμοι ACE. αἲ αἲ ἐγών Plato Rep. III, 388 C. ὅτε libri. μοι: μῖν H. — 434 ὑπο A. — 435 μέμονεν H. μαίμον' ἐν φρεϲίν S. — 436 ἢ G. ἀπὸ GHL Flor. ἀπο D. — 437 θείωι D. ἐν ACDEHL Vrat. b. d. A. Mosc. 2. Cram. Ep. 110, 11: ἐνὶ G. — 438 ἢ AD: ceteri ἦ. ὑπο A. δαμάϲω D. — 440 ἔειπαϲ ἢ ἔειπεϲ E. — 442 ἐθέλοιϲ Vrat. b. — 443 ἔρδ' GL. οὔ τι L 1. man. — 444 ἐνι D. ἐν E. — 445 κεν Vrat. A. κε ζωὸν DH. κεν ζωὸν LS. κεν ζῶντα E. ὃν δὲ δόμον δὲ AD: ceteri ὅνδε δόμονδε. — 447 ἄπὸ A. — 449 τοῖϲι D Lips. Vrat. A. — 450 εἴ τοι: ἤτοι AE. φίλοϲ CGH: φίλον ADL Mor. Cant. Vrat. A. φίλον ἢ φίλοϲ E, conf. Ψ 548. — 451 libri ἤτοι. ἐνι AD. — 452 ὑπὸ CDEGL. ὑπο A. — 453 ἐπεὶ δή: ἐπειδὴ ACEH Barocc. Mor. Lips. Vrat. d. Mosc. 2. Rom. Apoll. Soph. 17, 12. vulgo ἐπὴν δὴ cum DGL. ἐν ἄλλῳ ἐπὴν δὴ τότε (sic) A. ἐπεὶ δὴ cum coniunctivo legitur Λ 478; ἐπεὶ O 363. 680. β 135 (?). υ 86. λίπῃ: λίπε Apoll. Soph. 17, 12. Eust. 1062, 13. ψυχή ται G. τε omitt. L.

A. c. 433 de scriptura ὤμοι conf. H. U. 188. — 431—461 Ζηνόδοτοϲ περιγράφει τὴν ὁμιλίαν τοῦ Διὸϲ καὶ τῆϲ Ἥραϲ. — 437 de ἐν in hac sede versus conf. 514. Υ 385. ν 322. ρ 526. τ 271. B 610. Γ 244. Ε 574. N 398. O 606. 624. P 514. 753. Υ 435. X 426. α 51. δ 782. θ 53. ι 535. κ 290. λ 115. μ 264. ρ 157. ϲ 84. 438 ἤ, non ἤ. Herodianus. — 445 οὕτωϲ ἀρίϲταρχοϲ μονοϲυλλάβωϲ ζῶν (sic). ἄλλοι δὲ ζωόν Didymus. ζών, non ζῶν, scribitur teste Herodiano ad Ε 887. — 450 ἀρίϲταρχοϲ φίλοϲ ἐϲτί, ἄλλοι δὲ φίλον ἐϲτί Didymus.

πέμπειν μιν θάνατόν τε φέρειν καὶ νήδυμον ὕπνον,
εἰς ὅ κε δὴ Λυκίης εὐρείης δῆμον ἵκωνται,
ἔνθά ἑ ταρχύσουσι κασίγνητοί τε ἔται τε
τύμβῳ τε στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων.
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε πατὴρ ἀνδρῶν τε θεῶν τε·
αἱματοέσσας δὲ ψιάδας κατέχευεν ἔραζε
παῖδα φίλον τιμῶν, τόν οἱ Πάτροκλος ἔμελλε
φθίσειν ἐν Τροίῃ ἐριβώλακι, τηλόθι πάτρης.
οἱ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες,
ἔνθ᾽ ἦ τοι Πάτροκλος ἀγακλειτὸν Θρασύμηλον,
ὅς ῥ᾽ ἠὺς θεράπων Σαρπηδόνος ἦεν ἄνακτος,
τὸν βάλε νείαιραν κατὰ γαστέρα, λῦσε δὲ γυῖα.
Σαρπηδὼν δ᾽ αὐτοῦ μὲν ἀπήμβροτε δουρὶ φαεινῷ
δεύτερον ὁρμηθείς, ὁ δὲ Πήδασον οὔτασεν ἵππον
ἔγχεϊ δεξιὸν ὦμον· ὁ δ᾽ ἔβραχε θυμὸν ἀΐσθων.
κὰδ δ᾽ ἔπεσ᾽ ἐν κονίῃσι μακών, ἀπὸ δ᾽ ἔπτατο θυμός.
τὼ δὲ διαστήτην, κρίκε δὲ ζυγόν, ἡνία δέ σφι
σύγχυτ᾽, ἐπεὶ δὴ κεῖτο παρήορος ἐν κονίῃσι.
τοῖο μὲν Αὐτομέδων δουρὶ κλυτὸς εὕρετο τέκμωρ·
σπασσάμενος τανύηκες ἄορ παχέος παρὰ μηροῦ,
ἀΐξας ἀπέκοψε παρήορον οὐδὲ μάτησε·

V. l. 451 θάνατόν γε L. — 455 εἰς ὅκε A: vulgo εἰσόκε. D εἰσόκεν. δὴ omitt. C. ἵκωνται: ἐν ἄλλῳ ἵκοιτο A. — 456 ἔνθά ἑ ACDGHL. ὄφρά ἑ Stob. Floril. 123, 7. ταρχύσωσι H Barocc. Lips. Vrat. b. d. A. Stobaeus. κασίγνητός G. — 458 ὡς A. — 460 ἔμελλε ACDGH. — 461 ἐνὶ L. — 462 οἵδ᾽ CGHL. — 463 πάτροκλος μὲν CG Ven. B. θρασύμηλον ACEL Barocc. Mor. θρασύδημον DHS Lips. Vrat. b. d. ἐν ἄλλῳ θρασύδημον A. θρασυμήδην G Cant. — 464 ἦεν ἄριστος
ν
S. — 467 δεύτερον CDH. δεύτερος A. vulgo δεύτερος. ὁ δὲ C. — 468 δὲ ξιὸν G. ὁ δ᾽ D. ὅ δ᾽ CGL. ἀΐσσων Lips. — 469 καδδ᾽ ACDG. κάδδ᾽ Cram. Ep. 218, 24. 253, 9; 18. 281, 17. καδδέπεσ᾽ HL. ἔπεσ᾽ ἐν: ἔπεσεν Vrat. d. Cram. Ep. 281, 17. ἔπεσε 253, 9 et 18. ἄπο CDHL. — 470 ζυγὸν: ζυγὸς Vrat. A. ξύλον Cram. Ep. 268, 7. σφι ACEGHL post ras. vulgo σφιν. — 471 παρήορος H. κονίῃσι ACDEGH. — 472 δουρὶ κλυτὸς A Vrat. b. d.: ceteri δουρικλυτὸς. εὕρετο: εὕρατο C Lips. — 473 σπασάμενος C Vrat. A. τανάηκες Vrat. A. — 474 παρήορον H. οὐδὲ μάτησε D. οὐδὲ μάτησεν S. οὐδ᾽ ἐμάτησε ACGH. οὐδ᾽ ἐμάτησεν EL.

A. c. 454 νήδυμον Aristarchus μετὰ τοῦ ν̄. — 467 διὰ τοῦ ν̄ γραπτέον τὸ δεύτερον ὁρμηθείς Didymus. οἱ ὑπομνηματισταὶ δεύτερον διὰ τοῦ ν̄ Schol. V. ἐν τῇ Φιλήμονος οὕτως ἐφέρετο „ὁ δὲ Πήδασον ἤλασεν ἵππον“ Didymus. γράφει Ἀρίσταρχος „ὁ δὲ Πήδασον ἀγλαὸν ἵππον, τόν ῥά ποτ᾽ Ἠετίωνος ἑλὼν πόλιν ἤγαγ᾽ Ἀχιλλεύς, ὃς καὶ θνητὸς ἐὼν ἕπεθ᾽ ἵπποις ἀθανάτοισι (153, 154), τὸν βάλε δεξιὸν ὦμον“ Schol. V.

τὼ δ᾽ ἰθυνθήτην, ἐν δὲ ῥυτῆρσι τάνυσθεν·
τὼ δ᾽ αὖτις συνίτην ἔριδος πέρι θυμοβόροιο.
ἔνθ᾽ αὖ Σαρπηδὼν μὲν ἀπήμβροτε δουρὶ φαεινῷ,
Πατρόκλου δ᾽ ὑπὲρ ὦμον ἀριστερὸν ἤλυθ᾽ ἀκωκὴ
ἔγχεος, οὐδ᾽ ἔβαλ᾽ αὐτόν· ὁ δ᾽ ὕστερος ὤρνυτο χαλκῷ
Πάτροκλος· τοῦ δ᾽ οὐχ ἅλιον βέλος ἔκφυγε χειρός,
ἀλλ᾽ ἔβαλ᾽ ἔνθ᾽ ἄρα τε φρένες ἔρχαται ἀμφ᾽ ἀδινὸν κῆρ.
ἤριπε δ᾽ ὡς ὅτε τις δρῦς ἤριπεν ἢ ἀχερωΐς,
ἠὲ πίτυς βλωθρή, τήν τ᾽ οὔρεσι τέκτονες ἄνδρες
ἐξέταμον πελέκεσσι νεήκεσι νήιον εἶναι·
ὣς ὁ πρόσθ᾽ ἵππων καὶ δίφρου κεῖτο τανυσθείς,
βεβρυχώς, κόνιος δεδραγμένος αἱματοέσσης.
ἠύτε ταῦρον ἔπεφνε λέων ἀγέληφι μετελθών,
αἴθωνα μεγάθυμον, ἐν εἰλιπόδεσσι βόεσσιν,
ὤλετό τε στενάχων ὑπὸ γαμφηλῇσι λέοντος,
ὣς ὑπὸ Πατρόκλῳ Λυκίων ἀγὸς ἀσπιστάων
κτεινόμενος μενέαινε, φίλον δ᾽ ὀνόμηνεν ἑταῖρον·
Γλαῦκε πέπον, πολεμιστὰ μετ᾽ ἀνδράσι, νῦν σε μάλα χρὴ
αἰχμητήν τ᾽ ἤμεναι καὶ θαρσαλέον πολεμιστήν·
νῦν τοι ἐελδέσθω πόλεμος κακός, εἰ θοός ἐσσι.
πρῶτα μὲν ὄτρυνον Λυκίων ἡγήτορας ἄνδρας
πάντῃ ἐποιχόμενος Σαρπηδόνος ἀμφιμάχεσθαι·
αὐτὰρ ἔπειτα καὶ αὐτὸς ἐμεῦ πέρι μάρναο χαλκῷ.

V. l. 475 τάνυσθε H. — 476 αὖθϊς C. ξυνίτην Cant. Vrat. A. περὶ DGL Mosc. 2. Rom. — 473 ὁ δ᾽ D. ὅδ᾽ CGHL. — 480 ἔφυγε S. — 481 ἀμφαδινὸν D. αδινὸν A. ἁδινὸν C Hesych. I, 46. vulgo ἀδινὸν. — 482 τις omitt. L. τῖς C. — 483 τήν τ᾽: τὴν L. — 484 ἐξέτεμον Vrat. A. — 485 ὡς A. ὁ ACDHL. κεῖτο omitt. G Rom. — 486 κονίης Vrat.
π
A. — 487 ἀγέληφι CEH. — 488 ἐν: ἐν A. ἐπ᾽ E 1072, 12 H Mor. Barocc. Vrat. b. d. A. ἐνειλιπόδεσσι D. εἰλιπόδεσσι G Flor. βόεσσι A. — 489 τε omitt. L. ὑπο A. γαμφηλοῖσι L. — 490 ὡς A. ὑπο AH. — 492 πέπων Mor. — 493 ἔμμεναι Lips Vrat. A. Flor. — 494 τοὶ G. θοὸς ἐσσὶ L. — 495 ὤτρυνον G Vrat. d. — 496 πάντῃ ADEGH. πάντη CL. ἀμφὶ μάχεσθαι A. — 497 omitt. C. 1. man. πέρὶ A. περιμάρναο CHL.

A. c. 483 οὔρεσι τέκτονες Aristarchus: οὐρεσιτέκτονες Nicias. ὑφ᾽ ἕν, conf. N 390. — 486 βεβρυχώς: τινὲς διὰ τοῦ κ̄, κακῶς Schol. V. — 488 διὰ τοῦ ν̄ ἐν εἰλιπόδεσσι αἱ ἀριστάρχου Didymus. — 492 ἄμεινον γράφειν πάρος πολεμιστὰ ἀντὶ τοῦ πέπον Schol. V. — 494 κακὸς: τινὲς θρασύς γράφουσιν Schol. BL. — 497 πέρι μάρναο: περιμάρναο Aristarchus, ὑφ᾽ ἕν.

coì γὰρ ἐγὼ καὶ ἔπειτα κατηφείη καὶ ὄνειδος
ἔccομαι ἤματα πάντα διαμπερές, εἴ κέ μ' Ἀχαιοὶ
τεύχεα cυλήcωcι νεῶν ἐν ἀγῶνι πεcόντα.
ἀλλ' ἔχεο κρατερῶc, ὄτρυνε δὲ λαὸν ἅπαντα.
ὣc ἄρα μιν εἰπόντα τέλοc θανάτοιο κάλυψεν
ὀφθαλμοὺc ῥῖνάc θ'. ὃ δὲ λὰξ ἐν cτήθεcι βαίνων
ἐκ χροὸc ἕλκε δόρυ, προτὶ δὲ φρένεc αὐτῷ ἕποντο·
τοῖο δ' ἅμα ψυχήν τε καὶ ἔγχεοc ἐξέρυc' αἰχμήν.
Μυρμιδόνεc δ' αὐτοῦ cχέθον ἵππουc φυcιόωνταc,
ἱεμένουc φοβέεcθαι, ἐπεὶ λίπεν ἅρματ' ἀνάκτων.
Γλαύκῳ δ' αἰνὸν ἄχοc γένετο φθογγῆc ἀίοντι·
ὠρίνθη δέ οἱ ἦτορ, ὅ τ' οὐ δύνατο προcαμῦναι.
χειρὶ δ' ἑλὼν ἐπίεζε βραχίονα· τεῖρε γὰρ αὐτὸν
ἕλκοc, ὃ δή μιν Τεῦκροc ἐπεccύμενον βάλεν ἰῷ
τείχεοc ὑψηλοῖο, ἀρὴν ἑτάροιcιν ἀμύνων.
εὐχόμενοc δ' ἄρα εἶπεν ἑκηβόλῳ Ἀπόλλωνι·
κλῦθι ἄναξ, ὅc που Λυκίηc ἐν πίονι δήμῳ
εἰc ἢ ἐνὶ Τροίῃ· δύναcαι δὲ cὺ πάντοc' ἀκούειν
ἀνέρι κηδομένῳ, ὡc νῦν ἐμὲ κῆδοc ἱκάνει.
ἕλκοc μὲν γὰρ ἔχω τόδε καρτερόν, ἀμφὶ δέ μοι χεὶρ
ὀξείῃc ὀδύνῃcιν ἐλήλαται, οὐδέ μοι αἷμα
τερcῆναι δύναται, βαρύθει δέ μοι ὦμοc ὑπ' αὐτοῦ·

V. l. 498 ἐγὼ omitt. H — 499 ἤματα D. εἴ κε μ' GL. εἰ κέ μ' D. ἐν ἄλλῳ εἴ κεν ἀχαιοὶ A. — 501 ὤτρυνε G. — 502 ὡc A. — 503 ὀφθαλμούc τε Lips. Vrat. A. ῥῖνάc θ' C. ῥίνάc τε D. ὃ δὲ C. ἐν omitt. L. cτήθεccï C. — 504 εἷλκε ACDEGHS. ἕλκε L. ποτὶ CDHS Lips. Vrat. A. — 505 αἰχμίν G. τε omitt. Schol. N 574. — 506 αὐτοὺc L. — 507 ἵεμένουc H. φοβέεcθ' C. λίπεν ADH Lips. Mosc. 2. λίπον CEGL. — 509 δὲ ἡ ἦτορ G. ὅτ' libri. — 510 χειρὶ λαβὼν δ' Vrat. d. χειρὶ δ' ἔχων Cram. Ep. 291, 6. πεῖρε γὰρ H. τεῖρέ τε Vrat. A. αὐτὸν: αἰνῶc Flor. — 511 ἐπεccύμενοc C 1. man. — 512 ὑψυλοῖο G. ἀνὴρ ἑτάροιcιν S. — 513 ἑκηβόλον ἀπόλλωνα Harl. — 515 εἶc AD: ceteri εἰc. ἐνι D. ἐν LS. πάντοc': παντὸc Rhet. Gr. III, 159, 11 diserte. δέ τε πόντοc G. — 516 κη-
ου
δομενῳ H. — 517 γὰρ omitt. HL. κρατερόν EG Lips. ἀμφι D. δέ μιν E. — 518 ὀξείαιc ὀδυναῖc E bis. — 519 βαρύθῃ L. βαρύθῃ Lips. ὦμοc ὕπερθε H Vrat. d. (ὕπερθεν).

A. c. 504 εἷλκε: ἕλκε Aristarchus. idem ἔχοντο pro ἕποντο. — 507 διὰ τοῦ ε̄ λίπεν, ἐπειδὴ τὰ ἅρματα τῶν ἀνάκτων ἐλείφθηcαν . . . Ζηνόδοτοc δὲ διὰ τοῦ ο̄ λίπον Didymus. — 508 ἀίοντι Aristarchus, προπαροξυτόνωc. — 515 πάντοc' ἀκούειν Herodianus cum Aristarcho: παντὸc Zenodotus.

ἔγχοc δ' οὐ δύναμαι cχεῖν ἔμπεδον, οὐδὲ μάχεcθαι
ἐλθὼν δυcμενέεccιν. ἀνὴρ δ' ὤριcτοc ὄλωλε,
Cαρπηδών, Διὸc υἱόc· ὃ δ' οὐδ' ᾧ παιδὶ ἀμύνει.
ἀλλὰ cύ πέρ μοι ἄναξ τόδε καρτερὸν ἕλκοc ἄκεccαι,
κοίμηcον δ' ὀδύναc, δὸc δὲ κράτοc, ὄφρ' ἑτάροιcι
κεκλόμενοc Λυκίοιcιν ἐποτρύνω πολεμίζειν,
αὐτόc τ' ἀμφὶ νέκυι κατατεθνηῶτι μάχωμαι.
ὣc ἔφατ' εὐχόμενοc, τοῦ δ' ἔκλυε Φοῖβοc Ἀπόλλων.
αὐτίκα παῦc' ὀδύναc, ἀπὸ δ' ἕλκεοc ἀργαλέοιο
αἷμα μέλαν τέρcηνε, μένοc δέ οἱ ἔμβαλε θυμῷ.
Γλαῦκοc δ' ἔγνω ᾗcιν ἐνὶ φρεcί, γήθηcέν τε,
ὅττί οἱ ὦκ' ἤκουcε μέγαc θεὸc εὐξαμένοιο.
πρῶτα μὲν ὤτρυνεν Λυκίων ἡγήτοραc ἄνδραc,
πάντῃ ἐποιχόμενοc, Cαρπηδόνοc ἀμφιμάχεcθαι·
αὐτὰρ ἔπειτα μετὰ Τρῶαc κίε μακρὰ βιβάcθων,
Πουλυδάμαντ' ἔπι Πανθοΐδην καὶ Ἀγήνορα δῖον,
βῆ δὲ μετ' Αἰνείαν τε καὶ Ἕκτορα χαλκοκορυcτήν.
ἀγχοῦ δ' ἱcτάμενοc ἔπεα πτερόεντα προcηύδα·
Ἕκτορ, νῦν δὴ πάγχυ λελαcμένοc εἰc ἐπικούρων,
οἳ cέθεν εἵνεκα τῆλε φίλων καὶ πατρίδοc αἴηc
θυμὸν ἀποφθινύθουcι· cὺ δ' οὐκ ἐθέλειc ἐπαμύνειν.
κεῖται Cαρπηδών, Λυκίων ἀγὸc ἀcπιcτάων,
ὃc Λυκίην εἴρυτο δίκῃcί τε καὶ cθένεϊ ᾧ·
τὸν δ' ὑπὸ Πατρόκλῳ δάμαc' ἔγχεϊ χάλκεοc Ἄρηc.

V. l. 521 ἀνὴρ ὃc ἄριcτοc Harl. ὄλωλε A. — 522 ὃ δ' DHL. ὅδ' C. ᾧ παιδὶ ACDEGHLS et Heynii libri. οὗ παιδὸc Schol. C 171. vide N 464. P 563. — 523 cὺ πέρ μοι C. κρατερὸν E Lips. ἕλκοc: ἄλγοc C Harl. ἄκεcαι C. — 524 κοίμηcον ADEH: κοίμιcον CGL 1. man. S Vrat. A. κοίμιccον L 2. man. Harl. Townl. „κοίμιcον ceteri codd. in his Lips. sicque editum erat ante Barnes." Heyne. ἑτάροιcι ACDGH. — 526 κατανέκυϊ ACDG. νέκυν κατατεθνειῶτα Lips. νέκυν κατατεθνηῶτα L. κατα-
ει
τεθνηῶτι AH. κατατεθνηῶτι Vrat. A. κατατεθνειῶτι CDEGS. — 527 ὡc A. — 528 ἀπο D. — 529 τέρcῃνε H. — 530 ἔγνῳ H. ἐνι AD. — 531 ὅττί οἱ A. ἄναξ θεὸc S. — 532 ὄτρυνεν A. ὄτρυνε D. ὤτρυνε CE HL Lips. λυκείων G. — 533 πάντῃ ADEGH: cet. πάντη. ἀμφὶ μάχεcθαι Lips. — 534 τρῷαc L. βιβάcκων L. — 535 ἐπὶ CDGL. ἐπι A. — 538 εἶc AD: vulgo εἰc. C εἰc cum gravi et circumflexo. — 539 ἑοὶ cέθεν G. — 540 ἐπαμῦναι D Cant. Harl. Vrat. A. ἐπαμύναι Lips. — 543 ὕπο A.

A. c. 522 ᾧ παιδὶ: οὗ παιδὸc Aristarchus, conf. Schol. C 171. — 523 ἄκεccαι: ἀκέccαι Aristarchus. — 526 οὕτωc διὰ τοῦ η̄ αἱ ἀριcτάρχου κατατεθνηῶτι Didymus. — 542 εἴρυτο Aristarchus: εἰρῦτο Tyrannio, vide Zon. Lex. 683.

ἀλλὰ φίλοι πάρστητε, νεμεσσήθητε δὲ θυμῷ,
μὴ ἀπὸ τεύχε' ἕλωνται, ἀεικίσσωσι δὲ νεκρὸν
Μυρμιδόνες Δαναῶν κεχολωμένοι, ὅσσοι ὄλοντο,
τοὺς ἐπὶ νηυσὶ θοῇσιν ἐπέφνομεν ἐγχείῃσιν.
ὣς ἔφατο, Τρῶας δὲ κατὰ κρῆθεν λάβε πένθος
ἄσχετον, οὐκ ἐπιεικτόν, ἐπεί σφισιν ἕρμα πόληος
ἔσκε καὶ ἀλλοδαπός περ ἐών· πολέες γὰρ ἅμ' αὐτῷ
λαοὶ ἕποντ', ἐν δ' αὐτὸς ἀριστεύεσκε μάχεσθαι.
βὰν δ' ἰθὺς Δαναῶν λελιημένοι· ἦρχε δ' ἄρα σφιν
Ἕκτωρ χωόμενος Σαρπηδόνος. αὐτὰρ Ἀχαιοὺς
ὦρσε Μενοιτιάδεω Πατροκλῆος λάσιον κῆρ·
Αἴαντε πρώτω προσέφη, μεμαῶτε καὶ αὐτώ·
Αἴαντε, νῦν σφῶιν ἀμύνεσθαι φίλον ἔστω,
οἷοί περ πάρος ἦτε μετ' ἀνδράσιν, ἢ καὶ ἀρείους.
κεῖται ἀνήρ, ὃς πρῶτος ἐσήλατο τεῖχος Ἀχαιῶν,
Σαρπηδών. ἀλλ' εἴ μιν ἀεικισσαίμεθ' ἑλόντες,
τεύχεά τ' ὤμοιιν ἀφελοίμεθα, καί τιν' ἑταίρων
αὐτοῦ ἀμυνομένων δαμασαίμεθα νηλέι χαλκῷ.
ὣς ἔφαθ', οἳ δὲ καὶ αὐτοὶ ἀλέξασθαι μενέαινον.
οἳ δ' ἐπεὶ ἀμφοτέρωθεν ἐκαρτύναντο φάλαγγας,
Τρῶες καὶ Λύκιοι καὶ Μυρμιδόνες καὶ Ἀχαιοί,
σύμβαλον ἀμφὶ νέκυι κατατεθνηῶτι μάχεσθαι
δεινὸν ἀΰσαντες· μέγα δ' ἔβραχε τεύχεα φωτῶν.

V. L. 544 δὲ omitt. H Vrat. A. — 545 ἀπο˙ ACDHL. ἀεικίσωσι E Apoll. Soph. 10, 28. ἀικήσσωσϊ (ει ι) H. — 547 οὓς E. — 548 τρῷας L. κατακρῆθεν ADG Eust. 1257, 55. κατάκρῆθεν H. κατάκρηθεν Vrat. A. κατ' ἀκρῆθεν S. κατ' ἄκρηθεν C. κατάκρηθεν ἢ κατακρῆθεν E. — 549 ἐπεί σφιν CDL Lips. ἐπί σφιν Apoll. Soph. 147, 21. — 552 βᾶν C. – 554 μενοιτιάδεω ACDH Lips. μενοιτιάδαο LS. μενοιτιάδαω G. — 555 αὐτῷ G. — 556 αἴαντες L. φίλον ἔστω: ἐν ἄλλῳ μένος ἔστω A. — 557 μετ' ἀνδρῶν L. — 558 ἐσῆλατο A. ἐσύλα Thomas Mag. sub v. συλῶ. — 559 ἀεικισόμεθα E. — 560 τεύχε' ἀπ' S. ἀφελώμεθα D Vrat. b. 1. man. d. ἀφελώμεθα (οἱ) H. καί κέ τιν' G. — 562 ὡς A. οἳ δὲ C. — 563 οἳ δ' D. οἵδ' CGHL. — 565 νέκυϊ ACDG. κατατεθνηῶτι L Mor. Vrat. A. κατατεθνειῶτι ACDGHS. — 566 ἀΐσαντες G.

A. c. 548 κατὰ κρῆθεν Aristarchus; alii κατ' ἄκρηθεν teste Schol. V, conf. κατ' ἄκρης N 772. O 557. X 411. Ω 728. κατὰ κρῆθεν legitur λ 588. Hymn. V, 182. Hesiod. Theog. 574. ἀπὸ κρῆθεν Hesiod. Scut. Herc. 7. — 558 Aristarchus ἐσῆλατο: ἐ-σήλατο Lysanias, conf. Eust. 1075, 45. — 559 εἴ Aristarchus (λείπειν φασὶν αἱ ἀριστάρχου τὸ εὖ ἂν ἔχοι Schol. A): εὖ Rhianus.

Ζεὺς δ' ἐπὶ νύκτ' ὀλοὴν τάνυσε κρατερῇ ὑσμίνῃ,
ὄφρα φίλῳ περὶ παιδὶ μάχης ὀλοὸς πόνος εἴη.
ὦσαν δὲ πρότεροι Τρῶες ἑλίκωπας Ἀχαιούς·
βλῆτο γὰρ οὔ τι κάκιστος ἀνὴρ μετὰ Μυρμιδόνεσσιν,
υἱὸς Ἀγακλῆος μεγαθύμου, δῖος Ἐπειγεύς,
ὅς ῥ' ἐν Βουδείῳ εὖ ναιομένῳ ἤνασσε
τὸ πρίν· ἀτὰρ τότε γ' ἐσθλὸν ἀνεψιὸν ἐξεναρίξας
ἐς Πηλῆ' ἱκέτευσε καὶ ἐς Θέτιν ἀργυρόπεζαν·
οἳ δ' ἅμ' Ἀχιλλῆι ῥηξήνορι πέμπον ἕπεσθαι
Ἴλιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μάχοιτο.
τόν ῥα τόθ' ἁπτόμενον νέκυος βάλε φαίδιμος Ἕκτωρ
χερμαδίῳ κεφαλήν· ἡ δ' ἄνδιχα πᾶσα κεάσθη
ἐν κόρυθι βριαρῇ· ὃ δ' ἄρα πρηνὴς ἐπὶ νεκρῷ
κάππεσεν, ἀμφὶ δέ μιν θάνατος χύτο θυμοραϊστής.
Πατρόκλῳ δ' ἄρ' ἄχος γένετο φθιμένου ἑτάροιο,
ἴθυσεν δὲ διὰ προμάχων ἴρηκι ἐοικὼς
ὠκέι, ὅς τ' ἐφόβησε κολοιούς τε ψῆράς τε·
ὣς ἰθὺς Λυκίων Πατρόκλεις ἱπποκέλευθε
ἔσσυο καὶ Τρώων, κεχόλωσο δὲ κῆρ ἑτάροιο·
καί ῥ' ἔβαλε Σθενέλαον, Ἰθαιμένεος φίλον υἱόν,
αὐχένα χερμαδίῳ, ῥῆξεν δ' ἀπὸ τοῖο τένοντας.
χώρησαν δ' ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ.
ὅσση δ' αἰγανέης ῥιπὴ ταναοῖο τέτυκται,
ἥν ῥά τ' ἀνὴρ ἀφέῃ πειρώμενος ἢ ἐν ἀέθλῳ

V. L. 567 ἐπι D. κρατερὴν ὑσμίνην S. — 568 περὶ (α α) S. εἴῃ AH. — 569 πρότερον Barocc. Mor. τρῷες L. — 570 μετα A. — 571 ἐπηγεὺς AHS Harl. Lips. Vrat. d. — 572 εὖ, ναιομένωι A. εὖ ναιομένῳ CDHLS. vulgo εὐναιομένῳ. ἤνασσε ACDGH. — 573 τοπρὶν DEL. τότε γ': τό γ' L. — 574 πηλῆα D. εἰς Πηλῆ Schol. O 339. — 575 οἳ δ' D 1. man., nunc ὃ δ'. οἵδ' CGHL. ἀχϊλῆϊ CD. πέμπεν D. — 576 libri εὔπωλον. ἐπὶ γαίῃ τρῴεσσι L. — 578 ἥδ' CGL. ἦδ' H. — 579 ὃ δ' D. ὅδ' CGHL. — 581 ἄρ S. — 580 ἀμφι AD. χῦτο D. θάνατος κεῖτο L. θυμοραϊστὴς C. ADEGH. — 582 ἴθυσε D. — 582 ἴρηκι DHL Schol. P 755. ἴρηκι A. — 584 ὡς AG. — 585 τρῴων L. κεχόλωτο G Cant. Flor. — 586 ἔβαλες Lips. ἰθαιμενέος Mosc. 2. Vrat. A. Flor. — 587 ἀπο D. τένοντε G. τένοντας (τε) A, conf. Ε 307. Κ 456. Ξ 466. Ρ 721. Υ 478. Χ 396. γ 449. H. U. 168. — 589 τέτυκτο G. — 590 ἀφέῃ: ἀφέηκε LS. ἀφῆκε Lips. προέῃ Vrat. A.

A. c. 574 Πηλῆ': alii Πηλῆ, conf. Schol. O 339, in quo comparantur Μηκιστῆ et Τυδῆ Δ 384.

ἠὲ καὶ ἐν πολέμῳ, δηίων ὕπο θυμοραϊςτέων,
τόςςον ἐχώρηςαν Τρῶες, ὤςαντο δ' Ἀχαιοί.
Γλαῦκος δὲ πρῶτος, Λυκίων ἀγὸς ἀςπιςτάων,
ἐτράπετ', ἔκτεινεν δὲ Βαθυκλῆα μεγάθυμον,
Χάλκωνος φίλον υἱόν, ὃς Ἑλλάδι οἰκία ναίων
ὄλβῳ τε πλούτῳ τε μετέπρεπε Μυρμιδόνεςςι.
τὸν μὲν ἄρα Γλαῦκος ςτῆθος μέςον οὔτας̣ε δουρὶ
ςτρεφθεὶς ἐξαπίνης, ὅτε μιν κατέμαρπτε διώκων·
δούπηςεν δὲ πεςών· πυκινὸν δ' ἄχος ἔλλαβ' Ἀχαιούς,
ὡς ἔπες' ἐςθλὸς ἀνήρ· μέγα δὲ Τρῶες κεχάροντο,
ςτὰν δ' ἀμφ' αὐτὸν ἰόντες ἀολλέες· οὐδ' ἄρ' Ἀχαιοὶ
ἀλκῆς ἐξελάθοντο, μένος δ' ἰθὺς φέρον αὐτῶν.
ἔνθ' αὖ Μηριόνης Τρώων ἕλεν ἄνδρα κορυςτήν,
Λαόγονον, θραςὺν υἱὸν Ὀνήτορος, ὃς Διὸς ἱρεὺς
Ἰδαίου ἐτέτυκτο, θεὸς δ' ὣς τίετο δήμῳ·
τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος· ὦκα δὲ θυμὸς
ᾤχετ' ἀπὸ μελέων, ςτυγερὸς δ' ἄρα μιν ςκότος εἷλεν.
Αἰνείας δ' ἐπὶ Μηριόνῃ δόρυ χάλκεον ἧκεν·
ἔλπετο γὰρ τεύξεςθαι ὑπαςπίδια προβιβῶντος.
ἀλλ' ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος·
πρόςςω γὰρ κατέκυψε, τὸ δ' ἐξόπιθεν δόρυ μακρὸν
οὔδει ἐνιςκίμφθη, ἐπὶ δ' οὐρίαχος πελεμίχθη
ἔγχεος· ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης.
[αἰχμὴ δ' Αἰνείαο κραδαινομένη κατὰ γαίης
ᾤχετ', ἐπεί ῥ' ἅλιον ςτιβαρῆς ἀπὸ χειρὸς ὄρουςεν.]

V. L. 591 ἢ E. ὑπὸ CDGL. ὑπο H. — 592 ἐχώςαντο S. τρῷες L. — 594 ἔκτεινε GL Lips. δὲ omitt. L. — 596 ὄλβωι τὲ A. μυρμιδόνεςςι ACDEGH. — 598 ἐξ ἀπίνης G. — 599 πυκινὸν: γρ. δεινὸν Lips. ἔλαβ' DH Townl. Lips. Vrat. d. — 600 τρῷες L. — 601 ἂρ ADGHL. — 603 τρῴων L. — 604 ἱερεὺς Lips. Rom. — 605 ὡς A. — 606 τόν ῥ' ἔβαλε κεφαλὴν ὑπὲρ οὔατος Schol. Δ 461. — 607 ἀπὸ: ἀπαὶ L. — 608 μηριόνην S. — 609 τεύξαςθαι GS Vrat. b. ὑπ' ἀςπίδια ADH. προβιβῶντος ACDEGHLS, conf. N 158. 807. — 610 ὃ μὲν C. — 611 ἐξόπιςθεν DG Lips. — 612 ἐνὶ ςκίμφη G. ἐνὶ ςκήφθη Vrat. A. ἐνιςκήφθη Schol. Δ 457. ἔπι CD. δουρίαχος L. — 613 ἀφίη Mor. Barocc. ὄμβριμος C. — 614, 615 omittunt ACD in textu EH in textu LS Lips. Harl. Townl. Vrat. d. A. habent D et H in marg. man. rec. G, conf. N 504.

A. c. 607 ἔν τιςιν ἐφέρετο „Μηριόνης δ' ἀνέπαλτο φίλον δέ οἱ ἦτορ ἰάνθη Schol. V. — 613 ἐν τῇ ἑτέρᾳ τῶν Ἀριςτάρχου οὐκ ἐφέρετο καθάπαξ· ἐν δὲ τῇ δευτέρᾳ ὄβελος (cod. ἄλογος) αὐτῷ παρέκειτο Schol. V. vide Osann. Anecd. Rom. pg. 246.

Αἰνείας δ' ἄρα θυμὸν ἐχώςατο φώνηςέν τε·
Μηριόνη, τάχα κέν ςε καὶ ὀρχηςτήν περ ἐόντα
ἔγχος ἐμὸν κατέπαυςε διαμπερές, εἴ ς' ἔβαλόν περ.
τὸν δ' αὖ Μηριόνης δουρὶ κλυτὸς ἀντίον ηὔδα·
Αἰνεία, χαλεπόν ςε καὶ ἴφθιμόν περ ἐόντα
πάντων ἀνθρώπων ςβέςςαι μένος, ὅς κέ ςευ ἄντα
ἔλθῃ ἀμυνόμενος· θνητὸς δέ νυ καὶ ςὺ τέτυξαι.
εἰ καὶ ἐγώ ςε βάλοιμι τυχὼν μέςον ὀξέι χαλκῷ,
αἶψά κε καὶ κρατερός περ ἐὼν καὶ χερςὶ πεποιθὼς
εὖχος ἐμοὶ δοίης, ψυχὴν δ' Ἄϊδι κλυτοπώλῳ.
ὣς φάτο, τὸν δ' ἐνένιπε Μενοιτίου ἄλκιμος υἱός·
Μηριόνη, τί ςὺ ταῦτα καὶ ἐςθλὸς ἐὼν ἀγορεύεις;
ὦ πέπον, οὔ τοι Τρῶες ὀνειδείοις ἐπέεςςι
νεκροῦ χωρήςουςι· πάρος τινὰ γαῖα καθέξει.
ἐν γὰρ χερςὶ τέλος πολέμου, ἐπέων δ' ἐνὶ βουλῇ·
τῶ οὔ τι χρὴ μῦθον ὀφέλλειν, ἀλλὰ μάχεςθαι.
ὣς εἰπὼν ὃ μὲν ἦρχ', ὃ δ' ἅμ' ἕςπετο ἰςόθεος φώς.
τῶν δ' ὥς τε δρυτόμων ἀνδρῶν ὀρυμαγδὸς ὀρώρῃ
οὔρεος ἐν βήςςῃς· ἕκαθεν δέ τε γίγνετ' ἀκουή·
ὣς τῶν ὤρνυτο δοῦπος ἀπὸ χθονὸς εὐρυοδείης

V. L. 617 τάχα μέν ςε Mor. Barocc. — 618 ςε βάλον περ D Vrat. A. ς' ἔβαλόν γε L. — 618—620 omitt. S. Vrat. d. — 619 δουρὶ κλυτὸς A Vrat. b. d.: ceteri δουρικλυτὸς. ηῦδα D. — 620 omitt. H in textu, habet in marg. man. rec. — 621 ςβέςαι CDE Vrat. A. ὅς κέ ςευ ACDEGHL: vulgo ὅς κε ςεῦ male. — 622 τέτευξαι Lips. — 623 τυχὸν D. — 624 αἶψά τε S Flor. καὶ post κε omitt. C. — 625 δοίηις A. δῴης G Flor. δώςεις Lips. ἐν ἄλλῳ δώιης A. κλυτοπώλωι C. — 626 ὡς A. ἐνένιςπε HS Townl. Vrat. b. d. ἐνένειπτε G. — 628 οὔτοι ACHL Cant. Harl. Townl. Vrat. b. d. Mosc. 2. οὔτι DEG. τρῷες L. ὀνειδίοις EL. ἐπέεςςι ACDE. — 629 καθείξει G. — 631 τῶ ADHL: τῷ CEG. οὔτοι L. — 632 ὡς A. ὃ μὲν C. ἦρχεν L. ὃ δ' DL. ὅδ' CH. ἕπετο H. ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάςτου L. — 633 ὀρυγμαδὸς CGH. * ὀρώρῃ: ὀρώρει ACHLS Vrat. A. ὄρωρεν DE bis G. ἔν τιςιν ὄρωρεν A. — 634 βήςςῃς' L. βήςςῃ E. γίγνετ' L: γίνετ' ACDEGH. — 635 ὡς A. ὄρνυτο DS. ἀπο H. εὐρυόδείης A. εὐρυοδείης C.

A. c. 633 οὕτως ὀρώρει ἀρίςταρχος Didymus, cui, vel potius librario, fidem non habeo, nam plusquamperfectum in comparationibus locum non habet, quod Aristarchum fugere non potuit. ὀρώρῃ primus correxit Bekkerus, conf. adnot. ad Δ 483. — 634 ἀκουή: ἀριςτοφάνης ἀϋτμή (sic) Didymus.

χαλκοῦ τε ῥινοῦ τε βοῶν τ' εὐποιητάων,
νυccομένων ξίφεcίν τε καὶ ἔγχεcιν ἀμφιγύοιcιν.
οὐδ' ἂν ἔτι φράδμων περ ἀνὴρ Cαρπηδόνα δῖον
ἔγνω, ἐπεὶ βελέεccι καὶ αἵματι καὶ κονίῃcιν
ἐκ κεφαλῆc εἴλυτο διαμπερὲc ἐc πόδαc ἄκρουc.
οἳ δ' αἰεὶ περὶ νεκρὸν ὁμίλεον, ὡc ὅτε μυῖαι
cταθμῷ ἔνι βρομέωcι περιγλαγέαc κατὰ πέλλαc
ὥρῃ ἐν εἰαρινῇ, ὅτε τε γλάγοc ἄγγεα δεύει·
ὣc ἄρα τοὶ περὶ νεκρὸν ὁμίλεον, οὐδέ ποτε Ζεὺc
τρέψεν ἀπὸ κρατερῆc ὑcμίνηc ὄccε φαεινώ,
ἀλλὰ κατ' αὐτοὺc αἰὲν ὅρα, καὶ φράζετο θυμῷ,
πολλὰ μάλ' ἀμφὶ φόνῳ Πατρόκλου μερμηρίζων,
ἢ ἤδη καὶ κεῖνον ἐνὶ κρατερῇ ὑcμίνῃ
αὐτοῦ ἐπ' ἀντιθέῳ Cαρπηδόνι φαίδιμοc Ἕκτωρ
χαλκῷ δῃώcῃ, ἀπό τ' ὤμων τεύχε' ἕληται,
ἦ ἔτι καὶ πλεόνεccιν ὀφέλλειεν πόνον αἰπύν.
ὧδε δέ οἱ φρονέοντι δοάccατο κέρδιον εἶναι,
ὄφρ' ἠὺc θεράπων Πηληϊάδεω Ἀχιλῆοc
ἐξαῦτιc Τρῶάc τε καὶ Ἕκτορα χαλκοκορυcτὴν
ὤcαιτο προτὶ ἄcτυ, πολέων δ' ἀπὸ θυμὸν ἕλοιτο.
Ἕκτορι δὲ πρωτίcτῳ ἀνάλκιδα θυμὸν ἐνῆκεν·

V. l. 636 βοῶν τ': βοῶν E 1079, 14. 679, 21. εὐποιητάων AC. εὖ ποιητάων DHL. Vrat. b. d. εὖ ποιητάων ἢ εὐποιητάων E 1079, 14 et 24. εὐποιητάων G Apoll. Soph. 52, 3. Et. Mg. 204, 2. Eust. 98, 38. 679, 21. — 639 βελέεccϊν H. κονίηιcι D. — 640 εἴλυτο: εἴρυτο D. — 641 οἳ δ' D. οἵδ' CGHL. περι A. — 642 ἐνιβρομέωcι ACDHL Athen. XI, 495. ἐνιβρεμέωcι Cram. Ep. 50, 17. ἐνὶ βρομέωcι E. ἐπὶ βρομέωcι G. βρομέουcι Harl. Lips. Vrat. A. περὶ γλαγέαc CH. ἐϋγλαγέαc Athen. XI, 495. πολυγλαγγέαc Apoll. Soph. 55, 1. κατα ACDH — 643 ἐνειαρίνηι D. — 644 ὡc A. — 646 ἐφράζετο S. — 647 πατροκλῆοc Lips. μερμερίζων G Flor. — 648 καὶ κεῖνον ACEH Lips. Vrat. d. A. Mosc. 2. κακεῖνον DG. κἀκεῖνον LS. ἐνι AD. — 649 ἐπαντιθέωι A. — 650 δηϊώcῃ G. δηιώcῃ L. δηώcει C (an δηώcει' et ἕλοιτο?). — 651 ἢ libri. ὀφέλειεν Lips. Vrat. A. Rom. ὀφέλλει δὴ πόνον G Flor. — 654 ἐξαῦθϊc C. τρῷαc L. — 655 προτιάcτυ D. πρὸ τὶ C. πρωτὶ G. — 656 θυμὸν ἐνῆκεν ACDGHL Harl. Vrat. b. Mosc. 2. Flor. θυμὸν ἐνῶρcεν Townl. Lips. suprascr. Rom. φύζαν ἐνῆκεν Lips. Vrat. b. φύζαν ἐνῶρcεν S Cant. Mor. Barocc. Vrat. A. φύζαν ἐνῆκεν ἢ κατά τιναc θυμὸν ἐνῶρcεν Eust.

A. c. 636 ἄμεινον εἶχε φηcὶν ὁ ἀρίcταρχοc εἰ ἐγέγραπτο βοῶν εὐποιητάων ἔξω τοῦ τε cυνδέcμου Didymus. — 638 Cαρπηδόνα δῖον: ἀρίcταρχοc κατὰ δοτικὴν cαρπηδόνι δίῳ Didymus. — 640 εἴλυτο, conf. H. T. 240. — 648 ἐκ πλήρουc καὶ κεῖνον αἱ ἀριcτάρχου Didymus.

ἐc δίφρον δ' ἀναβὰc φύγαδ' ἔτραπε, κέκλετο δ' ἄλλουc
Τρῶαc φευγέμεναι· γνῶ γὰρ Διὸc ἱρὰ τάλαντα.
ἔνθ' οὐδ' ἴφθιμοι Λύκιοι μένον, ἀλλὰ φόβηθεν
πάντεc, ἐπεὶ βαcιλῆα ἴδον, βεβλαμμένον ἦτορ,
κείμενον ἐν νεκύων ἀγύρει· πολέεc γὰρ ἐπ' αὐτῷ
κάππεcον, εὖτ' ἔριδα κρατερὴν ἐτάνυccε Κρονίων.
οἳ δ' ἄρ' ἀπ' ὤμοιιν Cαρπηδόνοc ἔντε' ἕλοντο
χάλκεα μαρμαίροντα, τὰ μὲν κοίλαc ἐπὶ νῆαc
δῶκε φέρειν ἑτάροιcι Μενοιτίου ἄλκιμοc υἱόc.
καὶ τότ' Ἀπόλλωνα προcέφη νεφεληγερέτα Ζεύc·
εἰ δ' ἄγε νῦν φίλε Φοῖβε κελαινεφὲc αἷμα κάθηρον
ἐλθὼν ἐκ βελέων Cαρπηδόνα, καί μιν ἔπειτα
πολλὸν ἀπὸ πρὸ φέρων λοῦcον ποταμοῖο ῥοῇcι
χρῖcόν τ' ἀμβροcίῃ, περὶ δ' ἄμβροτα εἵματα ἕccον·
πέμπε δέ μιν πομποῖcιν ἅμα κραιπνοῖcι φέρεcθαι,
Ὕπνῳ καὶ Θανάτῳ διδυμάοcιν, οἵ ῥά μιν ὦκα
θήcουc' ἐν Λυκίηc εὐρείηc πίονι δήμῳ,
ἔνθά ἑ ταρχύcουcι καcίγνητοί τε ἔται τε
τύμβῳ τε cτήλῃ τε· τὸ γὰρ γέραc ἐcτὶ θανόντων.
ὣc ἔφατ', οὐδ' ἄρα πατρὸc ἀνηκούcτηcεν Ἀπόλλων.
βῆ δὲ κατ' Ἰδαίων ὀρέων ἐc φύλοπιν αἰνήν,

V. l. 657 ἔτραπε: ἔτρεπε L Lips. Vrat. d. — 658 τρῷαc L. — 659 ἀλλὰ φόβηθεν DL: ceteri ἀλλ' ἐφόβηθεν. — 660 βεβλαμμένον AC. βεβλαμένον S Flor. Rom.: βεβλημμένον DG. βεβλημένον Cant. Barocc. Mor. Lips. βεβολημένον H Vrat. d. A. δεδαϊγμένον L Mosc. 2. δεδαϊγμένον ἢ βεβλημένον E. γρ. δεδαϊγμένον ἦτορ A. — 661 ἐπαυτῶι A. ἅμ' αὐτῷ Mor. Vrat. d. A. — 662 ἐτάνυcε Lips. Townl. Vrat. d. — 663 οἳ δ' D. οἵδ' CHL. ἂρ ADE. — 664 χάλκαια A. — 666 ἀπόλλωνι D. νεφεληγερέτα A. — 667 εἶδ' CDGL. κελενεφὲc D Flor. κάθηρον CH. — 668 ἐκ μελέων Harl. Vrat. A. cαρπηδόνι L. — 669 ἀπὸ προφέρων A. ἄπο προφέρων GHLS. ἀποπροφέρων CD Syr. ἄπο προφέρων ἢ ἀπόπρο φέρων Eust. ῥοῆcι ACDEGL Syr. — 670 χρίcον τ' DG. ΧΡЄΙCΟΝΤ' Syr. χρῖcον δ' S Townl. Cant. Lips. χρῖcόν τ' [δ'] A. ἀμβροcίην H Vrat. d. περῖ CD. περῖ τ' H. εἵματ' ἔccον D. — 672 διδυμάοcι τοί L. οἳ ῥὰ μιν G. — 673 θήcουcιν λυκίηc DGL Vrat. b. Flor. γρ. θήcουcιν λυκίηc A. — 674 ἔνθά ACDGH. ἑ: οι H. ταρχύcωcι Vrat. b. Schol. O 545. ταρχήcωcι Vrat. A. ταρχήcουcι Lips. — 675 τὲ A. — 676 ὡc A. — 677 φύλωπιν G.

A. c. 666 Ζηνόδοτοc διεcκεύακε γράφων „καὶ τότ' ἄρ' ἐξ Ἴδηc προcέφη Ζεὺc ὃν φίλον υἱόν“ Aristonicus. — 667 Ζηνόδοτοc ἠθέτει Schol. V. — 668 ἀρίcταρχοc cαρπηδόνι κατὰ δοτικήν Didymus. — 669 ἀπὸ πρὸ Philoxenus: ἄπο πρὸ Ptolemaeus Ascalonita. — 677 Ζηνόδοτοc περιῄρηκε Aristonicus.

αὐτίκα δ' ἐκ βελέων Cαρπηδόνα δῖον ἀείραc,
πολλὸν ἀπὸ πρὸ φέρων, λοῦcεν ποταμοῖο ῥοῇcι
χρῖcέν τ' ἀμβροcίῃ, περὶ δ' ἄμβροτα εἵματα ἕccε·
πέμπε δέ μιν πομποῖcιν ἅμα κραιπνοῖcι φέρεcθαι,
ὕπνῳ καὶ θανάτῳ διδυμάοcιν, οἵ ῥά μιν ὦκα
κάτθεcαν ἐν Λυκίηc εὐρείηc πίονι δήμῳ.
Πάτροκλοc δ' ἵπποιcι καὶ Αὐτομέδοντι κελεύcαc
Τρῶαc καὶ Λυκίουc μετεκίαθε, καὶ μέγ' ἀάcθη,
νήπιοc· εἰ δὲ ἔποc Πηληϊάδαο φύλαξεν,
ἦ τ' ἂν ὑπέκφυγε κῆρα κακὴν μέλανοc θανάτοιο.
ἀλλ' αἰεί τε Διὸc κρείccων νόοc ἠέ περ ἀνδρῶν·
[ὅc τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκην
ῥηιδίωc, ὅτε δ' αὐτὸc ἐποτρύνηcι μάχεcθαι·]
ὅc οἱ καὶ τότε θυμὸν ἐνὶ cτήθεccιν ἀνῆκεν.
ἔνθα τίνα πρῶτον, τίνα δ' ὕcτατον ἐξενάριξαc
Πατρόκλειc, ὅτε δή cε θεοὶ θάνατον δὲ κάλεccαν;
Ἄδρηcτον μὲν πρῶτα καὶ Αὐτόνοον καὶ Ἔχεκλον
καὶ Πέριμον Μεγάδην καὶ Ἐπίcτορα καὶ Μελάνιππον,
αὐτὰρ ἔπειτ' Ἔλαcον καὶ Μούλιον ἠδὲ Πυλάρτην·
τοὺc ἕλεν· οἱ δ' ἄλλοι φύγαδε μνώοντο ἕκαcτοc.

V. l. 679 ἀπὸ προφέρων AH. ἄπο προφέρων GS. ἀποπροφέρων CD Syr. ἀποπρὸ, φέρων L. ῥοῇcι ACGH Syr. — 680 χρίcέν τ' D. χρίcεν τ' G. XPEICENT Syr. χρῖcέν τ' [δ] A. χρῖcεν δ' HS Cant. Townl. Vrat. d. χρίcεν δ' Lips. Flor. περϊ CD. περϊ τ' H. εἵματ' ἕccε D. ἕccε ACL Syr. — 681 κρεπνοῖcι D. — 682 omitt. Lips. διδυμάοcι τοί HL Vrat. d. — 685 τρῷαc L. μετεκείαθε H. — 686 πηληϊάδεω DHS. πηληϊάδεω ἐφύλαξεν Harl. φύλαξε D. — 687 ὑπ' ἔκφυγε D. — 688 AIEIΓE Syr. αἰεί γε Barocc. Mor. Townl. ἤ ἔπερ A. ἀνδρόc AH Syr. Lips. Harl. Townl. Vrat. b. d. A. ἀνδρὸc ἢ ἀνδρῶν E. γρ. ἀνδρῶν A. — 689, 690 omitt. AD Syr. ἰcτέον δὲ ὅτι ἔν τιcι τῶν ἀντιγράφων μετὰ τὸ „κρείccων νόοc ἠέπερ ἀνδρῶν" οὐ κεῖνται οἱ ἀναγεγραμμένοι ἐφεξῆc δύο γνωμικοὶ cτίχοι Eust. 1081, 36. — 689 ὀφείλετο G. — 690 omitt. H in textu, habet in marg. man. rec. ἐποτρύνει C. ἐποτρύνηcε H. — 691 ὃc οἳ G. ὅc τε καὶ D. ἐνι A. ἐπῖ C. ἐνῆκεν DGS Harl. Vrat. A. Mosc. 2. ENHKE Syr. — 693 θάνατον δὲ D. θάνατόνδ' ἐκάλεccαν CEHLS Barocc. Vrat. d. Mosc. 2. θάνατον δ' ἐκάλεccαν A. ΔEKAΛECCAN Syr. — 694 ἀντίνοον Lips. ἔχεκλον: ὀπίτην Lips. Townl. γρ. καὶ ἔχεκλον Lips. conf. Λ 301. — 695 πέρινον Vrat. d. — 696 βούλιον S. — 697 φύγαδε μνώοντο ACDH Syr. Lips. Vrat. d. Mosc. 2. φύγαδ' ἐμνώοντο GLS.

A. c. 688 κρείccων: ὅτι τινὲc χωρὶc τοῦ ν̄ γράφουcι κρείccω Aristonicus in his Zenodotum fuisse existimo, conf. H. T. 302. — 690 ὅτε: τότε Aristophanes P 178 teste Didymo et Schol. Townl. apud Cram. An. Par. III, 287, 3. — 697 ἕλεν: ἕλεc Zenodotus.

ἔνθά κεν ὑψίπυλον Τροίην ἕλον υἷεc Ἀχαιῶν
Πατρόκλου ὑπὸ χερcί, περὶ πρὸ γὰρ ἔγχεϊ θῦεν,
εἰ μὴ Ἀπόλλων Φοῖβοc ἐυδμήτου ἐπὶ πύργου
ἔcτη τῷ ὀλοὰ φρονέων, Τρώεccι δ' ἀρήγων.
τρὶc μὲν ἐπ' ἀγκῶνοc βῆ τείχεοc ὑψηλοῖο
Πάτροκλοc, τρὶc δ' αὐτὸν ἀπεcτυφέλιξεν Ἀπόλλων
χείρεcc' ἀθανάτηcι φαεινὴν ἀcπίδα νύccων.
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέccυτο δαίμονι ἶcοc,
δεινὰ δ' ὁμοκλήcαc προcέφη ἑκάεργοc Ἀπόλλων·
χάζεο διογενὲc Πατρόκλειc· οὔ νύ τοι αἶcα
cῷ ὑπὸ δουρὶ πόλιν πέρθαι Τρώων ἀγερώχων,
οὐδ' ὑπ' Ἀχιλλῆοc, ὅc περ cέο πολλὸν ἀμείνων.
ὣc φάτο, Πάτροκλοc δ' ἀνεχάζετο πολλὸν ὀπίccω
μῆνιν ἀλευάμενοc ἑκατηβόλου Ἀπόλλωνοc.
Ἕκτωρ δ' ἐν Cκαιῇcι πύλῃc ἔχε μώνυχαc ἵππουc·
δίζε γὰρ ἠὲ μάχοιτο κατὰ κλόνον αὖτιc ἐλάccαc,
ἦ λαοὺc ἐc τεῖχοc ὁμοκλήcειεν ἀλῆναι.
ταῦτ' ἄρα οἱ φρονέοντι παρίcτατο Φοῖβοc Ἀπόλλων
ἀνέρι εἰcάμενοc αἰζηῷ τε κρατερῷ τε,
Ἀcίῳ, ὃc μήτρωc ἦν Ἕκτοροc ἱπποδάμοιο,
αὐτοκαcίγνητοc Ἑκάβηc, υἱὸc δὲ Δύμαντοc,
ὃc Φρυγίῃ ναίεcκε ῥοῇc ἔπι Cαγγαρίοιο·

V. l. 698 ἔνθά ACDGHL. ENΘÁKEN Syr. κε H. — 699 περὶ πρὸ AE bis G Schol. Π 669. περιπρο L post ras. Syr. vulgo περιπρὸ. ἔγχεcι L. θῦιεν AH. — 702 τρεὶc D 1. man. ἐπ' ἢ ὑπ' E. — 703 ἀπεcτιφέλιξεν L. — 704 χείρεcc' ACDEHL Barocc. Harl. Townl. Vrat. b. d. A. Mosc. 2. χείρεcιν G. χείρεccιν Flor. Rom. χείρεcι τ' S. — 706 δεινὸν ὁμοκλήcαc L. προcέφη ἑκάεργοc ἀπόλλων DGLS Syr. et plerique codd. Heynii. γρ. προcέφη ἑκάεργοc ἀπόλλων A. ἔπεα πτερόεντα προcηύδα ACH Cant. Vrat. d. — 707 οὐ νύ τοι CDHS. οὐ νύ τί πω L. — 708 ὕπο AH. πέρθε S. πέρcαι Harl. τρώων L. — 709 οὐχ ὑπ' H Vrat. d. ἀχϊλῆοc CD. ὅ περ Lips. Vrat. A. Rom. — 710 ὡc A. ἀναχάζετο G. τυτθὸν ὀπίccω H. ὀπίcω [o] D. — 711 ἀλευάμενοc A. ἀλευόμενοc GH Mor. Barocc. — 713 κατα A. αὖθιc C Cant. Barocc. Rom. — 714 ἀλῆναι CDEG. αλῆναι A. — 715 ἄρ οἱ S. παρέcτη L. — 718 αὐτοκαcίγνητοc A. — 719 φρυγίῃ ACDEHL Cant. Townl. Vrat. A. Mosc. 2. φρυγίην G Syr. Strabo XIII, 590. ῥοαῖc E. ῥοῇc G. ἐπὶ CDEGL. ἔπι AH.

A. c. 707 ἀρίcταρχοc οὐ νύ πω αἶcα Didymus. — 710 πολλὸν: τυτθὸν Zenodotus, conf. Schol. Ε 444. — 716 οὕτωc εἰcάμενοc· ἐπιφέρει γοῦν τῷ μιν ἐειcάμενοc Didymus.

τῷ μιν ἐειϲάμενοϲ προϲέφη Διὸϲ υἱὸϲ Ἀπόλλων·
Ἕκτορ, τίπτε μάχηϲ ἀποπαύεαι; οὐδέ τί ϲε χρή.
αἴθ᾽ ὅϲον ἥϲϲων εἰμί, τόϲον ϲέο φέρτεροϲ εἴην,
τῶ κε τάχα ϲτυγερῶϲ πολέμου ἀπερωήϲειαϲ.
ἀλλ᾽ ἄγε, Πατρόκλῳ ἔφεπε κρατερώνυχαϲ ἵππουϲ,
αἴ κέν πώϲ μιν ἕλῃϲ, δώῃ δέ τοι εὖχοϲ Ἀπόλλων.
ὣϲ εἰπὼν ὃ μὲν αὖτιϲ ἔβη θεὸϲ ἂμ πόνον ἀνδρῶν,
Κεβριόνῃ δ᾽ ἐκέλευϲε δαΐφρονι φαίδιμοϲ Ἕκτωρ
ἵππουϲ ἐϲ πόλεμον πεπληγέμεν. αὐτὰρ Ἀπόλλων
δύϲεθ᾽ ὅμιλον ἰών, ἐν δὲ κλόνον Ἀργείοιϲιν
ἧκε κακόν, Τρωϲὶν δὲ καὶ Ἕκτορι κῦδοϲ ὄπαζεν.
Ἕκτωρ δ᾽ ἄλλουϲ μὲν Δαναοὺϲ ἔα οὐδ᾽ ἐνάριζεν·
αὐτὰρ ὃ Πατρόκλῳ ἔφεπε κρατερώνυχαϲ ἵππουϲ.
Πάτροκλοϲ δ᾽ ἑτέρωθεν ἀφ᾽ ἵππων ἆλτο χαμᾶζε
ϲκαιῇ ἔγχοϲ ἔχων· ἑτέρηφι δὲ λάζετο πέτρον
μάρμαρον ὀκριόεντα, τόν οἱ περὶ χεὶρ ἐκάλυψεν.
ἧκε δ᾽ ἐρειϲάμενοϲ, οὐδὲ δὴν χάζετο φωτόϲ,
οὐδ᾽ ἁλίωϲε βέλοϲ, βάλε δ᾽ Ἕκτοροϲ ἡνιοχῆα,
Κεβριόνην, νόθον υἱὸν ἀγακλῆοϲ Πριάμοιο,
ἵππων ἡνί᾽ ἔχοντα, μετώπιον ὀξέι λᾶϊ.
ἀμφοτέραϲ δ᾽ ὀφρῦϲ ϲύνελεν λίθοϲ, οὐδέ οἱ ἔϲχεν
ὀϲτέον, ὀφθαλμοὶ δὲ χαμαὶ πέϲον ἐν κονίῃϲιν
αὐτοῦ πρόϲθε ποδῶν· ὃ δ᾽ ἄρ᾽ ἀρνευτῆρι ἐοικὼϲ
κάππεϲ᾽ ἀπ᾽ εὐεργέοϲ δίφρου, λίπε δ᾽ ὀϲτέα θυμόϲ.

V. l. 720 προϲεφώνεε φοῖβοϲ ἀπόλλων G: προϲέφη διὸϲ υἱὸϲ ἀπόλλων ACDHLS Syr. Cant. Barocc. Mor. Lips. Vrat. b. d. A. Mosc. 2. — 721 ἛΚΤΩΡ Syr. οὐδέ τι ϲε ACDGHL. — 722 ὅϲϲον C. — 723 τῶ ACDHL. ΤΩ Syr. τῷ G. ἀπεροήϲειαϲ G. — 724 ἔφεπε: ἔπεχε L, conf. 732. — 725 κεν D. πωϲ ACDGHL. ἕλοιϲ C Barocc. Vrat. d. δώῃ AG Syr. δώιη D. δῴῃ H. δώη CL. — 726 ὡϲ A. ὃ μὲν αὖθϊϲ C. ἀμπόνον ADGHL. ἂν πόνον CE. ἀνπόνον Lips. Cant. Vrat. A. εἰϲ πόνον Flor. Rom. — 727 δὲ κέλευϲε Vrat. b. ἛΚΤΩΡ᾽ Syr. — 728 ἐπ πόλεμον Vrat. d. — 730 τρωϲὶ C Lips. τρῳϲὶ L. — 731 omitt. S. ἐνάριξε Cant. Harl. Lips. Mosc. 2. — 732 ὃ ACDGHL. ἔπεχε GL. ἐν ἄλλῳ ἔπεχε A. ἔφεπε ACDEHS Cant. Barocc. Mor. Harl. Lips. Vrat. b. c. Mosc. 2. Rom. — 733 ἆλτο C. χαμάζε CL Vrat. A. χαμαζε H. — 734 ἑτέρηφι CH. — 735 ὀκριόεντα (ὀκρυόεντα Harl. Vrat. d. A.) τόν libri: recentiores ὀκριόενθ᾽ ὃν ex coni. Bentlei. περι CDH. χεῖρ᾽ L. ἐκάλυψε G Flor. Rom. — 736 χάζετο EH. ἅζετο AD. ἄζετο CGLS Cant. Harl. Mor. Mosc. 2. Vrat. d. Townl. Flor. Schol. A et V. — 738 ἀγακλεῖοϲ Hesych. I, 12. ἀγακλῆοϲ μεγάθυμον C. (linea transversa in codice nomina propria notantur). — 740 ϲύνελε Lips. Vrat. A. — 742 ὃ δ᾽ D. ὅδ᾽ CGHL. ὁ δ᾽ omisso ἄρ᾽ Et. Mg. 146, 51. ἂρ ACDEHL. ὅδ᾽ ἄρ᾽ νευτῆρι Vrat. A. — 743 ἀπευεργέοϲ H.

τὸν δ᾽ ἐπικερτομέων προϲέφηϲ Πατρόκλειϲ ἱππεῦ·
ὢ πόποι, ἦ μάλ᾽ ἐλαφρὸϲ ἀνήρ, ὡϲ ῥεῖα κυβιϲτᾷ.
εἰ δή που καὶ πόντῳ ἐν ἰχθυόεντι γένοιτο,
πολλοὺϲ ἂν κορέϲειεν ἀνὴρ ὅδε τήθεα διφῶν,
νηὸϲ ἀποθρῴϲκων, εἰ καὶ δυϲπέμφελοϲ εἴη,
ὡϲ νῦν ἐν πεδίῳ ἐξ ἵππων ῥεῖα κυβιϲτᾷ.
ἦ ῥα καὶ ἐν Τρώεϲϲι κυβιϲτητῆρεϲ ἔαϲιν.
ὣϲ εἰπὼν ἐπὶ Κεβριόνῃ ἥρωι βεβήκει,
οἶμα λέοντοϲ ἔχων, ὅϲ τε ϲταθμοὺϲ κεραΐζων
ἔβλητο πρὸϲ ϲτῆθοϲ, ἑή τέ μιν ὤλεϲεν ἀλκή·
ὣϲ ἐπὶ Κεβριόνῃ Πατρόκλειϲ ἆλϲο μεμαώϲ.
Ἕκτωρ δ᾽ αὖθ᾽ ἑτέρωθεν ἀφ᾽ ἵππων ἆλτο χαμᾶζε.
τὼ περὶ Κεβριόναο λέονθ᾽ ὣϲ δηρινθήτην,
ὥ τ᾽ ὄρεοϲ κορυφῇϲι περὶ κταμένηϲ ἐλάφοιο,
ἄμφω πεινάοντε, μέγα φρονέοντε μάχεϲθον·
ὣϲ περὶ Κεβριόναο δύω μήϲτωρεϲ ἀυτῆϲ,
Πάτροκλόϲ τε Μενοιτιάδηϲ καὶ φαίδιμοϲ Ἕκτωρ,
ἵεντ᾽ ἀλλήλων ταμέειν χρόα νηλέι χαλκῷ.
Ἕκτωρ μὲν κεφαλῆφιν ἐπεὶ λάβεν, οὐχὶ μεθίει·
Πάτροκλοϲ δ᾽ ἑτέρωθεν ἔχεν ποδόϲ· οἱ δὲ δὴ ἄλλοι
Τρῶεϲ καὶ Δαναοὶ ϲύναγον κρατερὴν ὑϲμίνην.
ὡϲ δ᾽ εὖρόϲ τε νότοϲ τ᾽ ἐριδαίνετον ἀλλήλοιιν

V. l. 744 ἐπὶ κερτομέων G. προϲέφη Lips. Vrat. A. πατροκλῆϲ ἱππεύϲ Vrat. A. ἱππεύ[ων] H. — 745 ὢ πόποι ADH. ὡϲ ACDEHL Harl. Mor. Vrat. b. Mosc. 2. Flor. Apoll. de Adv. 604, 12. ὥϲ Cant. Lips. ὃϲ S Jo. Alex. 42, 14. Athenaeus I, 13. Rhet. Gr. III, 93, 1. III, 206, 8. Lips. suprascr. ὅϲ G. — 747 κορέϲῃ S. ὅδε omitt. H. — 748 ἀποθρώιϲκων solus A: ceteri ἀποθρώϲκων. — 749 ὃϲ νῦν Mor. — 750 ῥὰ CDGL. κυβιϲτῆρεϲ L Rom., conf. Ϲ 605. δ 18. — 751 ὡϲ A. κεβρϊόνϊ C. ἥρῳ H. — 752 οἶμα C. — 753 ἑῆ L. — 754 ὡϲ A. ἐπι D. ἄλϲο C. ἆλτο Barocc. — 755 αὖ Lips. Vrat. A. ἆλτο C. χαμάζε CL. — 756 ὡϲ AG. δηρινθήτην: δηρινθῆναι κατά τιναϲ, μάλιϲτα δὲ δηριθῆναι (h. e. δηριθήτην) δίχα τοῦ ν̄ Eust. 1085, 13. — 757 περι ADHL. — 758 ἄμφω πειτάοιτε (sic) G. — 759 ὡϲ A. — 761 ἵεντ᾽ CD. — 762 κεφαλῆφιν CDE Ambr. (sine accentu). οὐχὶ: οὔτι LS Lips. μεθείῃ CS. μεθείει H. — 763 ἔχε CD. — 764 τρῷεϲ L. ϲυνάγον G. — 765 νότοϲ τε C. ἀλλήλοιϲιν S Mosc. 2. Schol. V ad Ξ 394.

A. c. 748 δυϲπέμφελοϲ εἴη: δυϲπέμφελοι εἶεν Zenodotus. — 762 οὐχὶ μεθίει: Zenodotus οὐκ ἐμεθίει teste Didymo ad O 716. Aristarchus οὐχὶ poëtae abiudicavit, quid autem his duobus locis scripserit, οὐκὶ an οὔ τι, non liquet, conf. H. T. 328.

οὔρεος ἐν βήϲϲῃϲ βαθέην πελεμιζέμεν ὕλην,
φηγόν τε μελίην τε τανύφλοιόν τε κράνειαν,
αἵ τε πρὸϲ ἀλλήλαϲ ἔβαλον τανυήκεαϲ ὄζουϲ
ἠχῇ θεϲπεϲίῃ, πάταγοϲ δέ τε ἀγνυμενάων·
ὣϲ Τρῶεϲ καὶ Ἀχαιοὶ ἐπ᾽ ἀλλήλοιϲι θορόντεϲ
δῄουν, οὐδ᾽ ἕτεροι μνώοντ᾽ ὀλοοῖο φόβοιο.
πολλὰ δὲ Κεβριόνην ἀμφ᾽ ὀξέα δοῦρα πεπήγει
ἰοί τε πτερόεντεϲ ἀπὸ νευρῆφι θορόντεϲ,
πολλὰ δὲ χερμάδια μεγάλ᾽ ἀϲπίδαϲ ἐϲτυφέλιξαν
μαρναμένων ἀμφ᾽ αὐτόν· ὃ δ᾽ ἐν ϲτροφάλιγγι κονίηϲ
κεῖτο μέγαϲ μεγαλωϲτί, λελαϲμένοϲ ἱπποϲυνάων.
ὄφρα μὲν ἠέλιοϲ μέϲον οὐρανὸν ἀμφιβεβήκει,
τόφρα μάλ᾽ ἀμφοτέρων βέλε᾽ ἥπτετο, πῖπτε δὲ λαόϲ·
ἦμοϲ δ᾽ ἠέλιοϲ μετενίϲϲετο βουλυτὸν δέ,
καὶ τότε δή ῥ᾽ ὑπὲρ αἶϲαν Ἀχαιοὶ φέρτεροι ἦϲαν.
ἐκ μὲν Κεβριόνην βελέων ἥρωα ἔρυϲϲαν
Τρώων ἐξ ἐνοπῆϲ, καὶ ἀπ᾽ ὤμων τεύχε᾽ ἕλοντο.
Πάτροκλοϲ δὲ Τρωϲὶ κακὰ φρονέων ἐνόρουϲεν.
τρὶϲ μὲν ἔπειτ᾽ ἐπόρουϲε θοῷ ἀτάλαντοϲ Ἄρηι,
ϲμερδαλέα ἰάχων, τρὶϲ δ᾽ ἐννέα φῶταϲ ἔπεφνεν.
ἀλλ᾽ ὅτε δὴ τὸ τέταρτον ἐπέϲϲυτο δαίμονι ἶϲοϲ,
ἔνθ᾽ ἄρα τοι Πάτροκλε φάνη βιότοιο τελευτή.

V. ι. 766 πολεμιζέμεν DL Vrat. b. — 768 τανυήκεαϲ A. ΤΑΝΑΗΚΕΑϹ Ambros. τανήκεαϲ G. τανυκέαϲ S. — 770 ὧϲ A. τρῷεϲ L. — 771 δηΐουν G Flor. οὐδέτεροι L. — 772 ἀμφοξέα D. δοῦρα πεπήγει DGL. ΔΟΥΡΑΠΕΠΗΓΕΙ Ambr. δοῦρα (ἐ) πεπήγει A. δοῦρ᾽ ἐπεπήγει CEHS Harl. Vrat. b. d. A. — 773 ἀπο G. νευρῆφι E bis G. — 774 ἐϲτυφέλιξαν ACHL Vrat. b. d. ἐϲτυφέλιξε DEG. ἐϲτυφέλιξεν S. — 775 ὅδ᾽ ἐν GL. ὃ δὲ C. ὁ δὲ ADEHS Ven. B. Harl. Lips. Mor. Vrat. b. d. Mosc. 2. conf. ω 39. — 778 τόφρα μὲν AE Rom. πῖπτε EH Bekk. Anecd. 761, 3. πίπτε ACDGL. — 779 μετενίϲϲετο AEHL Barocc. Lips. Cant. Vrat. b. d. A. μετενείϲετο DG Harl. μετενῖϲετο C Townl. βουλυτὸν δὲ A. βουλυτὸ̆ν δὲ (sic) D. βουλητονδε G. — 780 ῥ᾽ omitt. S. — 782 τρῴων L. τρώων τ᾽ Vrat. b. A. — 783 δ᾽ ἐν τρωϲὶ Vrat. d. κακὰ τρωϲὶν S. κακὰ τρωϲὶ Vrat. A. τρῳϲὶ L. ἐνόρουϲε ACDGH. ΕΝΟΡΟΥϹΕ Ambros. ἐπόρουϲεν L. — 784 ἐνόρουϲε Townl. Mosc. 2. — 786 τὸ omitt. H. — 787 ἄρά τοι L. πάτροκλε, φάνη C. Πάτροκλ᾽ ἐφάνη Eust. 1086, 47; sed 1081, 50 Πάτροκλε φάνη.

A. c. 774 ἀρίϲταρχοϲ διὰ τοῦ ᾱ ἐϲτυφέλιξαν Didymus. — 775 ἀρίϲταρχοϲ ὁ δ᾽ ἐν ϲτροφάλιγγι ϲὺν τῷ ν̄ Didymus. — 776 asteriscus; κακῶϲ ω 40.

ἤντετο γάρ τοι Φοῖβοϲ ἐνὶ κρατερῇ ὑϲμίνῃ
δεινόϲ· ὃ μὲν τὸν ἰόντα κατὰ κλόνον οὐκ ἐνόηϲεν·
ἠέρι γὰρ πολλῇ κεκαλυμμένοϲ ἀντεβόληϲε·
ϲτῆ δ᾽ ὄπιθε, πλῆξεν δὲ μετάφρενον εὐρέε τ᾽ ὤμω
χειρὶ καταπρηνεῖ, ϲτρεφεδίνηθεν δέ οἱ ὄϲϲε.
τοῦ δ᾽ ἀπὸ μὲν κρατὸϲ κυνέην βάλε Φοῖβοϲ Ἀπόλλων·
ἣ δὲ κυλινδομένη καναχὴν ἔχε ποϲϲὶν ὑφ᾽ ἵππων
αὐλῶπιϲ τρυφάλεια, μιάνθηϲαν δὲ ἔθειραι
αἵματι καὶ κονίῃϲι· πάροϲ γε μὲν οὐ θέμιϲ ἦεν
ἱππόκομον πήληκα μιαίνεϲθαι κονίῃϲιν,
ἀλλ᾽ ἀνδρὸϲ θείοιο κάρη χαρίεν τε μέτωπον
ῥύετ᾽, Ἀχιλλῆοϲ· τότε δὲ Ζεὺϲ Ἕκτορι δῶκεν
ᾗ κεφαλῇ φορέειν, ϲχεδόθεν δέ οἱ ἦεν ὄλεθροϲ.
πᾶν δέ οἱ ἐν χείρεϲϲιν ἄγη δολιχόϲκιον ἔγχοϲ,
βριθὺ μέγα ϲτιβαρὸν κεκορυθμένον· αὐτὰρ ἀπ᾽ ὤμων
ἀϲπὶϲ ϲὺν τελαμῶνι χαμαὶ πέϲε τερμιόεϲϲα.
λῦϲε δέ οἱ θώρηκα ἄναξ Διὸϲ υἱὸϲ Ἀπόλλων.
τὸν δ᾽ ἄτη φρένας εἷλε, λύθεν δ᾽ ὑπὸ φαίδιμα γυῖα,
ϲτῆ δὲ ταφών· ὄπιθεν δὲ μετάφρενον ὀξέι δουρὶ
ὤμων μεϲϲηγὺϲ ϲχεδόθεν βάλε Δάρδανοϲ ἀνήρ,
Πανθοΐδηϲ Εὔφορβοϲ, ὃϲ ἡλικίην ἐκέκαϲτο
ἔγχεϊ θ᾽ ἱπποϲύνῃ τε πόδεϲϲί τε καρπαλίμοιϲιν·
καὶ γὰρ δὴ τότε φῶταϲ ἐείκοϲι βῆϲεν ἀφ᾽ ἵππων
πρῶτ᾽ ἐλθὼν ϲὺν ὄχεϲφι, διδαϲκόμενοϲ πολέμοιο·
ὅϲ τοι πρῶτοϲ ἐφῆκε βέλοϲ Πατρόκλειϲ ἱππεῦ,

V. ι. 788 τοι omitt. D. ἐνι AD. — 789 ὃ μὲν C. κατα H. — 790 ἀντεβόληϲε ACDEG. — 791 ὄπιθεν ACEHL Vrat. A. Et. Mg. 628, 10. ὄπιϲθε D Lips. Flor. πλῆξε DL Lips. Flor. εὐρέα LS. — 792 ϲτρεφεδίνηθεν AC. — 794 ἢ δὲ C. εἶχε D. ὑφ᾽: ἐφ᾽ S. — 797 μεαίνεϲθαι G. — 798 χάριέν G. ΚΑΡΙΈΝ Syr. — 799 ἀχϊλῆοϲ C. — 800 ἐν κεφαλῇ S. — 801 ἑάγη L. χείρεϲϲ᾽ ἑάγη Vrat. A. δολιχόϲκιον A. — 803 omitt. G. ϲυν D. πέϲεν D. — 805 ὑπο ACHL. ΥΠΟ Syr. — 806 ὄπιθε E. ὄπιϲθεν H. — 807 μεϲϲηγὺϲ ACDHL Mor. Townl. μεϲϲηγὺ G Syr. μεϲϲηγὺϲ ἢ μεϲϲηγὺ Eust. — 808 πανθοΐδηϲ L: ceteri πανθοίδηϲ. ΗΛΥΚΙΗΝ Syr. ἡλικίῃ Vrat. A. — 809 πόδεϲϲι τὲ H. καρπαλίμοιϲι ACDGH Syr. καρπαλίμῃϲιν L. — 810 δήποτε ACDEGS et Heynii libri. δὴ τότε HL. ΔΗΤΟΤΕ Syr. — 812 πρῶτον L.

A. c. 801 οὕτω πᾶν δέ οἱ, ἐν δέ τιϲι τῷ δέ οἱ Didymus. — 807 ϲχεδόθεν βάλε: ϲχεδὸν οὔταϲε Zenodotus, vide Schol. P 15. — 810 δὴ τότε Aristarchus: alii δή ποτε.

οὐδὲ δάμαϲϲ᾽· ὃ μὲν αὖτιϲ ἀνέδραμε, μίκτο δ᾽ ὁμίλῳ
ἐκ χροὸϲ ἁρπάξαϲ δόρυ μείλινον, οὐδ᾽ ὑπέμεινε
Πάτροκλον, γυμνόν περ ἐόντ᾽, ἐν δηιοτῆτι.
Πάτροκλοϲ δὲ θεοῦ πληγῇ καὶ δουρὶ δαμαϲθεὶϲ
ἂψ ἑτάρων εἰϲ ἔθνοϲ ἐχάζετο κῆρ᾽ ἀλεείνων.
Ἕκτωρ δ᾽ ὡϲ εἶδεν Πατροκλῆα μεγάθυμον
ἂψ ἀναχαζόμενον, βεβλημένον ὀξέι χαλκῷ,
ἀγχίμολόν ῥά οἱ ἦλθε κατὰ ϲτίχαϲ, οὖτα δὲ δουρὶ
νείατον ἐϲ κενεῶνα, διὰ πρὸ δὲ χαλκὸν ἔλαϲϲε.
δούπηϲεν δὲ πεϲών, μέγα δ᾽ ἤκαχε λαὸν Ἀχαιῶν.
ὡϲ δ᾽ ὅτε ϲῦν ἀκάμαντα λέων ἐβιήϲατο χάρμῃ,
ὥ τ᾽ ὄρεοϲ κορυφῇϲι μέγα φρονέοντε μάχεϲθον
πίδακοϲ ἀμφ᾽ ὀλίγηϲ· ἐθέλουϲι δὲ πιέμεν ἄμφω·
πολλὰ δέ τ᾽ ἀϲθμαίνοντα λέων ἐδάμαϲϲε βίηφιν·
ὡϲ πολέαϲ πεφνόντα Μενοιτίου ἄλκιμον υἱὸν
Ἕκτωρ Πριαμίδηϲ ϲχεδὸν ἔγχεϊ θυμὸν ἀπηύρα,
καί οἱ ἐπευχόμενοϲ ἔπεα πτερόεντα προϲηύδα·
Πάτροκλ᾽, ἦ που ἔφηϲθα πόλιν κεραϊζέμεν ἁμήν,
Τρωιάδαϲ δὲ γυναῖκαϲ ἐλεύθερον ἦμαρ ἀπούραϲ
ἄξειν ἐν νήεϲϲι φίλην ἐϲ πατρίδα γαῖαν,
νήπιε· τάων δὲ πρόϲθ᾽ Ἕκτοροϲ ὠκέεϲ ἵπποι
ποϲϲὶν ὀρωρέχαται πολεμίζειν· ἔγχεϊ δ᾽ αὐτὸϲ
Τρωϲὶ φιλοπτολέμοιϲι μεταπρέπω, ὅ ϲφιν ἀμύνω

V. l. 813 οὐδὲ δάμαϲϲ᾽: οὐδ᾽ ἐδάμαϲϲ᾽ ACEH Cant. Vrat. A. Mosc. 2. Rom. οὐδ᾽ ἐδάμαϲ᾽ D. ΟΥΔΕΔΑΜΑϹ Syr. ὃ μὲν C. οὐ μὲν G. αὖθι CG. — 814 ὑπέμεινε ACDEGH Syr. — 815 ἐόντα L. — 816 omitt. 1c. in textu, habet in marg. man. rec. — 817 ἂψ δ᾽ H. ΑΨΔ᾽ Syr. — 8 8 ΕἸΔΕ Syr. Lips. — 820 δέ οἱ H Syr. οὗτα EHL. — 821 διὰ πρὸ DG. δϊαπρο C. διαπρὸ AEHL Syr. Rom. ἔλαϲϲε ACGH Syr. — 822 δούπηϲε Eust. 1087, 56. 1123, 8. — 824 ὥ τ᾽ ACDEHLS Syr. Lips. Harl. Townl. Vrat. b. d. A. Mosc. 2. Rom. τώ τ᾽ G Flor. ὄρεοϲ ἐν L. μάχεϲθαι L Syr. — 825 ἀμφολίγηϲ D (ὑφέν 2. man.). πινέμεν G Flor. — 826 βίηφι ADHL. βίηφι CEG. ΒΙΗΦΙΝ Syr. — 827 πέφνοντα libri mei. — 828 ἔγχεϊ: ἄορι Schol. Π 117. — 829 πτερόεντα προϲηύδα ACLS Syr. Cant. Barocc. Mor. Lips. Vrat. b. A. Mosc. 2. πτερόεντ᾽ ἀγόρευε(ν) DGH et nonnulli apud Heynium. — 830 bis scriptus est in Syr. ἁμήν: ἀμήν D 1. man. EGL. αἰπὴν D sup. ἄμμιν Harl. ἁμῖν Cant. — 831 δὲ omitt. L. ἦμαρ D. — 834 ΠΟΛΕΜΙΖΈΜΕΝ Syr. — 835 τρῳϲὶ L. ὅ, ϲφιν AC. ὃ [c]ϲφιν L. ὅϲϲφϊν H. ΌϹϹΦΙΝ Syr.

A. c. 827 πέφνοντα Aristarchus: πεφνόντα Tyrannio.

ἦμαρ ἀναγκαῖον· ϲὲ δέ τ᾽ ἐνθάδε γῦπεϲ ἔδονται.
ἆ δείλ᾽, οὐδέ τοι ἐϲθλὸϲ ἐὼν χραίϲμηϲεν Ἀχιλλεύϲ,
ὅϲ πού τοι μάλα πολλὰ μένων ἐπετέλλετ᾽ ἰόντι·
μή μοι πρὶν ἰέναι Πατρόκλειϲ ἱπποκέλευθε
νῆαϲ ἔπι γλαφυράϲ, πρίν γ᾽ Ἕκτοροϲ ἀνδροφόνοιο
αἱματόεντα χιτῶνα περὶ ϲτήθεϲϲι δαΐξαι.
ὥϲ πού ϲε προϲέφη, ϲοὶ δὲ φρέναϲ ἄφρονι πεῖθε.
τὸν δ᾽ ὀλιγοδρανέων προϲέφηϲ Πατρόκλειϲ ἱππεῦ·
ἤδη νῦν Ἕκτορ μεγάλ᾽ εὔχεο· ϲοὶ γὰρ ἔδωκε
νίκην Ζεὺϲ Κρονίδηϲ καὶ Ἀπόλλων, οἵ με δάμαϲϲαν
ῥηιδίωϲ· αὐτοὶ γὰρ ἀπ᾽ ὤμων τεύχε᾽ ἕλοντο.
τοιοῦτοι δ᾽ εἴ πέρ μοι ἐείκοϲιν ἀντεβόληϲαν,
πάντέϲ κ᾽ αὐτόθ᾽ ὄλοντο ἐμῷ ὑπὸ δουρὶ δαμέντεϲ.
ἀλλά με μοῖρ᾽ ὀλοὴ καὶ Λητοῦϲ ἔκτανεν υἱόϲ,
ἀνδρῶν δ᾽ Εὔφορβοϲ· ϲὺ δέ με τρίτοϲ ἐξεναρίζειϲ.
ἄλλο δέ τοι ἐρέω, ϲὺ δ᾽ ἐνὶ φρεϲὶ βάλλεο ϲῇϲιν·
οὔ θην οὐδ᾽ αὐτὸϲ δηρὸν βέῃ, ἀλλά τοι ἤδη
ἄγχι παρέϲτηκεν θάνατοϲ καὶ μοῖρα κραταιή,
χερϲὶ δαμέντ᾽ Ἀχιλῆοϲ ἀμύμονοϲ Αἰακίδαο.
ὣϲ ἄρα μιν εἰπόντα τέλοϲ θανάτοιο κάλυψε·
ψυχὴ δ᾽ ἐκ ῥεθέων πταμένη Ἄϊδοϲ δὲ βεβήκει,
ὃν πότμον γοόωϲα, λιποῦϲ᾽ ἀνδροτῆτα καὶ ἥβην.

V. l. 836 ΗΜΑΡ᾽ Syr. ϲέδ᾽ ἐνθάδε L Flor. γύπεϲ L. ἔδωνται E. — 837 οὐδέ τι τοι D. ἀχϊλεὺϲ C. — 838 ὅϲ που τοι HL. ὃϲ ποῦ τοι C. ὅϲ που ϲοι DG Flor. ὅϲ που ϲοὶ S. ὅϲ πού ϲοι Barocc. Harl. Vrat. A. Flor. ἐπέτελλεν Cant. Harl. Vrat. A. — 840 ἐπὶ EHL Syr. Cant. Mor. Harl. Vrat. b. d. A. Mosc. 2. ἐπι A. ἀνὰ DS. ἀναγλαφυρὰϲ G. πρίν γ᾽ ἕκτοροϲ GLS Syr. et nonnulli apud Heynium: πρὶν ἕκτοροϲ ACDEH Barocc. Cant. Vrat. b. d. Mosc. 2. conf. Ϲ 334. ἀνδροφόνοιο: ΙΠΠΟΔΑΜΟΙΟ Syr. — 841 περι AH. — 842 ὥϲ που ϲε ACGHL. ὥϲ πού ϲοι D. ΠΟΥϹΟΙ Syr. ϲοὶ δ᾽ οὐ φρέναϲ Harl. Vrat. A. πεῖθε ACGH Syr. — 843 πρὸϲ ἔφηϲ H. — 844 ἕκτωρ D. ἔδωκε ACDEGL Syr. — 845 με δάμαϲϲαν D Townl. ΜΕΔΑΜΑϹϹΑΝ Syr. ceteri μ᾽ ἐδάμαϲϲαν. — 847 εἴ πέρ ADEH: vulgo εἴπερ cum Et. Mg. 112, 51. — 848 πάντέϲ κ᾽ A. πάντεϲ ἂν Rom. αὐτόθ᾽: αὐτίκ᾽ Cant. Vrat. A. — 851 δέ ϲοι L. ἐνι D. — 852 βέῃ: βαίηι C Vrat. A. — 853 παρέϲτηκε CEG Syr. Lips. Flor. Rom. — 854 δαμέντι E. — 855 ὡϲ A. κάλυψε ACG Syr. — 856 ἄϊδοϲ δὲ AD. ἄϊδόϲδ᾽ ἐβεβήκει HLS Vrat. A. Plut. de Aud. poët. 2. ἄιδόϲδε κατῆλθεν Athenaeus XI, 507. — 857 ἀνδροτῆτα ACDEHLS Syr. Lips. Flor. Rom. et plerique Heynii libri. Plato Rep. III, 386 D. Et. Mg. 102, 56. 417, 39. Et. Gud. 45, 30. 234, 57. Hesych. I, 189. Schol. α 1. Athenaeus XI, 507. Cram. An. Par. IV, 403, 10. ἁδροτῆτα G. ἁδροτῆτα καὶ ὕβριν Plutarchus de Aud. poët. 2. ἁδροτῆτα Cant. Mor. conf. Ω 6. H. U. 8.

A. c. 842 οὕτω διὰ τοῦ ε̄, ϲε προϲέφη Didymus.

τὸν καὶ τεθνηῶτα προςηύδα φαίδιμος Ἕκτωρ·
Πατρόκλεις, τί νύ μοι μαντεύεαι αἰπὺν ὄλεθρον;
τίς δ' οἶδ' εἴ κ' Ἀχιλεύς, Θέτιδος πάις ἠυκόμοιο,
φθήῃ ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέςςαι;
ὣς ἄρα φωνήςας δόρυ χάλκεον ἐξ ὠτειλῆς
εἴρυςε, λὰξ προςβάς, τὸν δ' ὕπτιον ὦς' ἀπὸ δουρός.
αὐτίκα δὲ ξὺν δουρὶ μετ' Αὐτομέδοντα βεβήκει,
ἀντίθεον θεράποντα ποδώκεος Αἰακίδαο·
ἵετο γὰρ βαλέειν· τὸν δ' ἔκφερον ὠκέες ἵπποι
ἄμβροτοι, οὓς Πηλῆι θεοὶ δόςαν ἀγλαὰ δῶρα.

ΙΛΙΑΔΟC Ρ.

Οὐδ' ἔλαθ' Ἀτρέος υἱὸν ἀρηίφιλον Μενέλαον
Πάτροκλος Τρώεςςι δαμεὶς ἐν δηιοτῆτι.
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ,
ἀμφὶ δ' ἄρ' αὐτῷ βαῖν' ὥς τις περὶ πόρτακι μήτηρ
πρωτοτόκος κινυρή, οὐ πρὶν εἰδυῖα τόκοιο·
ὣς περὶ Πατρόκλῳ βαῖνε ξανθὸς Μενέλαος.
πρόςθε δέ οἱ δόρυ τ' ἔςχε καὶ ἀςπίδα πάντος' ἐίςην,

V. L. 858 τεθνειῶτα ACDEGHS Syr. et Heynii libri: τεθνηῶτα L Mor. προςηῦδα D. — 859 τί νυ μοι AGL: τί νῦν μοι D. — 860 ἀχιλ-λεὺς G. πάϊς CG. ΠΑΙC Syr. ceteri παῖς. — 861 φθήῃ GH. φθείῃ S. φθαίῃ Cant. Harl. φθήῃ ἤγουν φθαίῃ Eust. ΦΘΉΗ Syr. ἐμῷ: ὑμῶν Schol. Χ 331. ἀπο CDGHL. — 862 ὡς A. — 863 προςβὰς: προβὰς CGS Lips. προβιβὰς Vrat. A. ἀπο L. — 864 ἐπ' ἢ μετ' Eust. — 866 ἱέμενος βάλλειν E. — 867 ἄβροτοι L Townl. ὃς πηλῆϊ G.

A. c. 864 ἐκ πλήρους τὸ δαμεντ (sic) ἀρίςταρχος Didymus, conf. H. T. 398. — 858 διὰ τοῦ η̄ τὸ τεθνηῶτα ἀρίςταρχος Didymus. — 867 τινὲς γράφουςιν „ἤματι τῷ, ὅτ' ἔγημε Θέτιν λιπαροκρήδεμνον" Schol. V.

V. L. 1 οὐδ': οὐκ L. ἀτρέως Harl. ἀρηΐφιλον A. — 2 τρώεςςι L. — 3 δια A. — 4 ἀμφι D. ἂρ ADEGHL Apoll. Soph. 27, 26. 133, 30. AP Ambr. βαῖνεν C. — 6 περι A. — 7 δόρατ' G. δούρατ' H. πάντοςε ἴςην DLS Townl. Lips. Vrat. A. πάντοςε ἶςην A. ΠΑΝΤΟCΕ ΙCΗΝ Ambr.

A. c. 7 οἱ: οὗ Zenodotus.

τὸν κτάμεναι μεμαώς, ὅς τις τοῦ γ' ἀντίος ἔλθοι.
οὐδ' ἄρα Πάνθου υἱὸς ἐυμμελίης ἀμέληςε
Πατρόκλοιο πεςόντος ἀμύμονος· ἄγχι δ' ἄρ' αὐτοῦ
ἔςτη, καὶ προςέειπεν ἀρηίφιλον Μενέλαον·
Ἀτρείδη Μενέλαε, διοτρεφές, ὄρχαμε λαῶν,
χάζεο, λεῖπε δὲ νεκρόν, ἔα δ' ἔναρα βροτόεντα.
οὐ γάρ τις πρότερος Τρώων κλειτῶν τ' ἐπικούρων
Πάτροκλον βάλε δουρὶ κατὰ κρατερὴν ὑςμίνην·
τῶ με ἔα κλέος ἐςθλὸν ἐνὶ Τρώεςςιν ἀρέςθαι,
μή ςε βάλω, ἀπὸ δὲ μελιηδέα θυμὸν ἕλωμαι.
τὸν δὲ μέγ' ὀχθήςας προςέφη ξανθὸς Μενέλαος·
Ζεῦ πάτερ, οὐ μὲν καλὸν ὑπέρβιον εὐχετάαςθαι.
οὔτ' οὖν παρδάλιος τόςςον μένος οὔτε λέοντος
οὔτε ςυὸς κάπρου ὀλοόφρονος, οὗ τε μέγιςτος
θυμὸς ἐνὶ ςτήθεςςι περὶ ςθένεϊ βλεμεαίνει,
ὅςςον Πάνθου υἷες ἐυμμελίαι φρονέουςιν.
οὐδὲ μὲν οὐδὲ βίη Ὑπερήνορος ἱπποδάμοιο
ἧς ἥβης ἀπόνηθ', ὅτε μ' ὤνατο καί μ' ὑπέμεινε,
καί μ' ἔφατ' ἐν Δαναοῖςιν ἐλέγχιςτον πολεμιςτὴν
ἔμμεναι· οὐδέ ἕ φημι πόδεςςί γε οἷςι κιόντα
εὐφρῆναι ἄλοχόν τε φίλην κεδνούς τε τοκῆας.
ὣς θην καὶ ςὸν ἐγὼ λύςω μένος, εἴ κέ μευ ἄντα

V. L. 8 τοῦ γ': τοῦτ' S. ἔλθῃ Cant. Lips. Vrat. b. d. — 9 ἐϋμελίης EG Vrat. A. ἀμέληςε ACDGH Ambr. — 10 ἂρ AG. — 12 διïοτροφὲς H. — 14 τρῴων L. κλητῶν Harl. — 15 κατα AD. — 16 τῶ ACDHL. ΤΩΙ Ambr. τῷ G. μ' ἔα H. ἐςθλὸν omitt. C. ἐνι AD. τρῴεςςιν L. — 17 βα-λὼν ἀπὸ μελιηδέα Lips. ἀπο CH. δὲ μελϊηδέα C. — 18 τόνδε GL. — 20 παρδάλιος CGHL Townl. Vrat. A. Flor. πορδάλιος A Ambr. DES Rom. Pseudoplut. 138, 3. — 21 ςυός, κάπρου τ' Pseudoplut. l. l. ὀλοόφρονος C. οὔτε μάλιςτα L Pseudoplut. l. l. — 22 ἐνι AD. ςτήθεςςϊν περῖ δὲ H. περι AD. μέγα pro περὶ Lips. — 23 ἐϋμελίαι G. ΕΥΜΕΛΙΑΙ Ambr. φρονέουςιν: φορέουςιν L. Frgm. Mosc. Townl. Ambr. (sine accentu). φρονέουςιν ἢ φορέουςιν Eust. γρ. φορέουςι Lips. — 25 ἀπόναθ' C. ὅτ' ἔμ' Vrat. b. ὑπέμεινε A Ambr. CDEG. — 27 οὐδέ ἑ φημὶ ADEGHL. οὐδέ μὲ C (corr. 2. man.). γ' ἑοῖςι Vrat. A. — 28—159 absunt a cod. D, folia duo in quaque pagina 33 versus. — 29 ὣς δὴ S. ὣς θὴν G. ceteri ὥς θην cum Apoll. Soph. 88, 2.

A. c. 9 Πάνθου: Πανθόου Bekk. 2. conf. Ο 522. — 20 διὰ τοῦ ᾱ αἱ ἀριςτάρχου παρδάλιος Didymus. — 27 διὰ τοῦ τε̄ οὐδέ τε ἀρίςταρχος Didymus.

cτήηc. ἀλλά c' ἐγώ γ' ἀναχωρήcαντα κελεύω
ἐc πληθὺν ἰέναι, μὴ δ' ἀντίοc ἵcταc' ἐμεῖο,
πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιοc ἔγνω.
ὣc φάτο, τὸν δ' οὐ πεῖθεν· ἀμειβόμενοc δὲ προcηύδα·
νῦν μὲν δὴ Μενέλαε διοτρεφὲc ἦ μάλα τίcειc
γνωτὸν ἐμόν, τὸν ἔπεφνεc, ἐπευχόμενοc δ' ἀγορεύειc,
χήρωcαc δὲ γυναῖκα μυχῷ θαλάμοιο νέοιο,
ἀρητὸν δὲ τοκεῦcι γόον καὶ πένθοc ἔθηκαc.
ἦ κέ cφιν δειλοῖcι γόου κατάπαυμα γενοίμην,
εἴ κεν ἐγὼ κεφαλήν τε τεὴν καὶ τεύχε' ἐνείκαc
Πάνθῳ ἐν χείρεccι βάλω καὶ Φρόντιδι δίῃ.
ἀλλ' οὐ μὰν ἔτι δηρὸν ἀπείρητοc πόνοc ἔcται
οὐδέ τ' ἀδήριτοc, ἤ τ' ἀλκῆc ἤ τε φόβοιο.
ὣc εἰπὼν οὔτηcε κατ' ἀcπίδα πάντοc' ἐίcην·
οὐδ' ἔρρηξεν χαλκόc, ἀνεγνάμφθη δέ οἱ αἰχμὴ
ἀcπίδι ἐν κρατερῇ. ὃ δὲ δεύτεροc ὤρνυτο χαλκῷ
Ἀτρείδηc Μενέλαοc ἐπευξάμενοc Διὶ πατρί,
ἂψ δ' ἀναχαζομένοιο κατὰ cτομάχοιο θέμεθλα
νύξ', ἐπὶ δ' αὐτὸc ἔρειcε βαρείῃ χειρὶ πιθήcαc·
ἀντικρὺ δ' ἁπαλοῖο δι' αὐχένοc ἤλυθ' ἀκωκή.
δούπηcεν δὲ πεcών, ἀράβηcε δὲ τεύχε' ἐπ' αὐτῷ.

V. L. 30 ϛτήηc ADGL Cram. Ep. 430, 27. cτήηc CEH. cτῆηc G. ἔγωγ' ADEHL Cant. Mor. Harl. Vrat. a. b. d. frgm. Mosc. Lips. ἔγωγε C Vrat. A Flor. ἔγω G Rom. — 31 ἐc: εἰc E 1093, 19. ἰέμεναι H. μὴ δ' ACGHL. μήδ' E. — 34 δϊοτροφὲc H. ἦ τάχα L. — 37 ἀρητὸν ADE Rom. Apoll. Soph. 43, 26. Et. Mg. 140, 40. ἄῤῥητον seu ἄρρητον CGH LS Lips. Mor. Vrat. A. d. Flor. ὅτι δὲ τὸ ἀρητὸν πένθοc ἄῤῥητόν τινεc γράφουcι δῆλον Eust. 1093, 60. — 38 ἢ καί C. — 39 τε omitt. H. Lips. — 40 πάνθῳ ἐνὶ Lips. mallem πανθόῳ ἐν. — 42 οὐδ' ἔτ' Vrat. A. ἠδ' ἀλκῆc ἠδὲ CL Barocc. Harl. Townl. Vrat. b. A. frgm. Mosc. οὔτ' ἀλκῆc οὔτε EGHS Flor. Rom. — 43 πάντοcε, ἴcην A. πάντοcε ἴcην L. πάντοc ἐΐcην G. — 44 ἔῤῥηξε EG Vrat. A. Flor. Rom. χαλκὸc AL. χαλκόν (c) H. γράφεται οὐδ' ἔῤῥηξε χαλκόc Eust. 1094, 14. ἀνεγνάμφη HL. — 45 ἀcπίδι ἐν ACH frgm. Mosc. ἀcπίδι ἐνὶ S Townl. Vrat. d. Flor. Rom. vulgo ἀcπίδ' ἐνὶ, conf. H. U. 127. ὄρνυτο Barocc. — 47 κατα A. — 49 ἀντικρὺ libri cum Apoll. Soph. 32, 6. Schol. Plat. Charmid. 153 A. Schol. Ρ 47. δ' ἀπ' (β) αὐχένοc ἁπαλοῖο (α) ἤλυθ' (γ) H. — 50 δούπηcε G Lips. Flor.

A. c. 30—32 asterisci; οὐκ ὀρθῶc Υ 196—198. — 34 μάλα: ἔν τιcι τῶν ὑπομνημάτων ἦ τάχα τίcειc Schol. V. — 41 ἔτι: κατ' ἔνια τῶν ὑπομνημάτων διὰ τοῦ π ἐπὶ δηρὸν Didymus. — 42 ἀρίcταρχοc ἀμφότερα διὰ τοῦ δ ἠδ' ἀλκῆc ἠδὲ φόβοιο Didymus. — 44 οὕτωc ἀρίcταρχοc χαλκόc, ἄλλοι δὲ χαλκόν Didymus, conf. ad Γ 348.

αἵματί οἱ δεύοντο κόμαι χαρίτεccιν ὁμοῖαι
πλοχμοί θ', οἳ χρυcῷ τε καὶ ἀργύρῳ ἐcφήκωντο.
οἷον δὲ τρέφει ἔρνοc ἀνὴρ ἐριθηλὲc ἐλαίηc
χώρῳ ἐν οἰοπόλῳ, ὅθ' ἅλιc ἀναβέβρυχεν ὕδωρ,
καλὸν τηλεθάον· τὸ δέ τε πνοιαὶ δονέουcι
παντοίων ἀνέμων, καί τε βρύει ἄνθεϊ λευκῷ·
ἐλθὼν δ' ἐξαπίνηc ἄνεμοc cὺν λαίλαπι πολλῇ
βόθρου τ' ἐξέcτρεψε καὶ ἐξετάνυcc' ἐπὶ γαίῃ·
τοῖον Πάνθου υἱὸν ἐυμμελίην Εὔφορβον
Ἀτρείδηc Μενέλαοc ἐπεὶ κτάνε, τεύχε' ἐcύλα.
ὡc δ' ὅτε τίc τε λέων ὀρεcίτροφοc, ἀλκὶ πεποιθώc,
βοcκομένηc ἀγέληc βοῦν ἁρπάcῃ, ἥ τιc ἀρίcτη·
τῆc δ' ἐξ αὐχέν' ἔαξε λαβὼν κρατεροῖcιν ὀδοῦcι
πρῶτον, ἔπειτα δέ θ' αἷμα καὶ ἔγκατα πάντα λαφύccει
δῃῶν· ἀμφὶ δὲ τόν γε κύνεc τ' ἄνδρέc τε νομῆεc
πολλὰ μάλ' ἰύζουcιν ἀπόπροθεν, οὐδ' ἐθέλουcιν
ἀντίον ἐλθέμεναι· μάλα γὰρ χλωρὸν δέοc αἱρεῖ·
ὣc τῶν οὔ τινι θυμὸc ἐνὶ cτήθεccιν ἐτόλμα
ἀντίον ἐλθέμεναι Μενελάου κυδαλίμοιο.
ἔνθά κε ῥεῖα φέροι κλυτὰ τεύχεα Πανθοΐδαο
Ἀτρείδηc, εἰ μή οἱ ἀγάccατο Φοῖβοc Ἀπόλλων,
ὅc ῥά οἱ Ἕκτορ' ἐπῶρcε θοῷ ἀτάλαντον Ἄρηι,
ἀνέρι εἰcάμενοc, Κικόνων ἡγήτορι Μέντῃ·

V. L. 52 πλοχμὴ θ' L. ἐcφήκοντο S Lips. Apoll. Soph. 78, 1. ἐcφήκωνται C: ceteri ἐcφήκωντο cum Schol. Β 872. C 401. Et. Mg. 385, 5. Phot. Lex. 23. Suid. II, 1, 213, 7. Eust. 1393, 34. — 54 ἀναβέβρυκεν frgm. Mosc. γρ. καὶ ἀναβέβροχεν Eust. 1095, 7. — 55 τηλεθάον A. δονέουcι CEG: ceteri δονέουcιν. — 56 βρίει S. — 57 ἐλθών τ' Schol. Λ 256. δ' omitt. Cant. — 58 ἐξέcτραψε L. γαίην Schol. Λ 256. γαίῃ ἢ ἐπὶ γαίηc E. — 59 ἐϋμελίην G. — 61 τε omitt. L Lips. frgm. Mosc. ὀρεcίτροφοc A. ἀλκῆ (ï) C. — 62 ἁρπάcει CE Lips. — 63 ἐξ omitt. G. ἐξαυχέν' H. ὀδοῦcι ACG. — 64 πάντα omitt. H. λαφύccῃ G. λαφύcῃ S. — 65 δηΐων L Lips. δηϊῶν H. δηϊόων S. τόν γε: τόνδε C. τ' omitt. C. ἄνδρέc τε H. ἄνδρεc τὲ C. — 66 ἀπὸ πρόcθεν H. οὐδὲ θέλουcιν CES Lips. — 67 ἐλθέμεναι ἐπεὶ χλωρὸν H. δριμὺc χόλοc ἢ μᾶλλον χλωρὸν δέοc Eust. 1095, 49. — 68 ὡc A. — 70 ἔνθά κε ACH. φέρεν Vrat. A. — 72 θοῷ: θεῷ Vrat. b.

A. c. 51 χαρίτεccιν ὁμοῖαι: χαρίτεccι μέλαιναι Zenodotus. — 54 ἀναβέβρυχεν: ἀναβέβροχεν Zenodotus.

καί μιν φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα·
"Ἕκτορ, νῦν ϲὺ μὲν ὧδε θέειϲ ἀκίχητα διώκων,
ἵππουϲ Αἰακίδαο δαΐφρονοϲ· οἳ δ' ἀλεγεινοὶ
ἀνδράϲι γε θνητοῖϲι δαμήμεναι ἠδ' ὀχέεϲθαι,
ἄλλῳ γ' ἢ Ἀχιλῆι, τὸν ἀθανάτη τέκε μήτηρ.
τόφρα δέ τοι Μενέλαοϲ ἀρήιοϲ, Ἀτρέοϲ υἱόϲ,
Πατρόκλῳ περιβὰϲ Τρώων τὸν ἄριϲτον ἔπεφνε,
Πανθοΐδην Εὔφορβον, ἔπαυϲε δὲ θούριδοϲ ἀλκῆϲ.
ὣϲ εἰπὼν ὁ μὲν αὖτιϲ ἔβη θεὸϲ ἂμ πόνον ἀνδρῶν.
Ἕκτορα δ' αἰνὸν ἄχοϲ πύκαϲε φρέναϲ ἀμφιμελαίναϲ·
πάπτηνεν δ' ἄρ' ἔπειτα κατὰ ϲτίχαϲ, αὐτίκα δ' ἔγνω
τὸν μὲν ἀπαινύμενον κλυτὰ τεύχεα, τὸν δ' ἐπὶ γαίῃ
κείμενον· ἔρρει δ' αἷμα κατ' οὐταμένην ὠτειλήν.
βῆ δὲ διὰ προμάχων κεκορυθμένοϲ αἴθοπι χαλκῷ,
ὀξέα κεκληγώϲ, φλογὶ εἴκελοϲ Ἡφαίϲτοιο
ἀϲβέϲτῳ· οὐδ' υἱὸν λάθεν Ἀτρέοϲ ὀξὺ βοήϲαϲ·
ὀχθήϲαϲ δ' ἄρα εἶπε πρὸϲ ὃν μεγαλήτορα θυμόν·
ὤ μοι ἐγών, εἰ μέν κε λίπω κάτα τεύχεα καλὰ
Πάτροκλόν θ', ὃϲ κεῖται ἐμῆϲ ἕνεκ' ἐνθάδε τιμῆϲ,
μή τίϲ μοι Δαναῶν νεμεϲήϲεται, ὅϲ κεν ἴδηται.
εἰ δέ κεν Ἕκτορι μοῦνοϲ ἐὼν καὶ Τρωϲὶ μάχωμαι
αἰδεϲθείϲ, μή πώϲ με περιϲτείωϲ' ἕνα πολλοί·
Τρῶαϲ δ' ἐνθάδε πάνταϲ ἄγει κορυθαίολοϲ Ἕκτωρ.
ἀλλὰ τί ἤ μοι ταῦτα φίλοϲ διελέξατο θυμόϲ;

V. L. 75 θέειϲ: νοέειϲ Apoll. Soph. 20, 6. — 76 οἵδ' CGHL. — 77 δαμῆναι E. ἤδ' H. — 80 τρῴων L. ἔπεφνε AH Schol. P 62. — 82 ὡϲ A. ὃ μὲν C. αὖθϊϲ C. ἀμπόνον ACGHL. ἀνπόνον S Cant. Mor. Lips. Flor. Rom. ἂν πόνον E. — 83 ἀμφὶ μελαίναϲ CG. ita quaedam antigrapha teste Eust. 1096, 34. — 84 πάπτηινεν C. ἆρ EGHL. ἀρ A. κατα A. ἔγνῳ H. — 86 οὐταμένηϲ ὠτειλῆϲ Cant. — 87 δια A. — 88 ἵκελοϲ E. ἵκελοϲ G. εἴκελοϲ C. — 89 λάθεν: λάθ' Lips. — 91 ᾤμοι ACE. ἐγὼ Lips. κατα L. κατὰ EG. λίπω κλυτὰ H Vrat. d. — 93 μή τίϲ E: ceteri μήτιϲ. — 94 τρωϲὶ L. — 95 μή πώϲ E: ceteri μήπωϲ. περιϲτείωϲ' A Ambr. EHLS Et. Mg. 449, 35. Cram. Ep. 202, 24 et Heynii libri. περιϲείωϲ' G. περιϲτήωϲ' C Bekk. Anecd. 761, 1. — 96 τρῷαϲ L. κορυθαιόλοϲ AE Rom. — 97 τί ἤ A: ceteri τίη.

A. c. 73 Μέντῃ: τινὲϲ γράφουϲι Πείρῳ Schol. V. — 75 τὸ δὲ ἀκίχητά φαϲι Ποϲειδώνιον τὸν Ἀριϲτάρχου ἀναγνωϲτὴν τοῖϲ ἑξῆϲ προϲνέμειν, καὶ τὸν Ἀρίϲταρχον ἀποδέχεϲθαι Nicanor, conf. Eust. 1096, 14. — 89 ἀϲπέτῳ Bentleius. υἷα λάθ' Barnesius ex coni. — 95 ἀρίϲταρχοϲ διὰ τοῦ η̄ περιϲτήωιϲι (sic) Didymus.

ὁππότ' ἀνὴρ ἐθέλῃ πρὸϲ δαίμονα φωτὶ μάχεϲθαι,
ὅν κε θεὸϲ τιμᾷ, τάχα οἱ μέγα πῆμα κυλίϲθη.
τῶ μ' οὔ τιϲ Δαναῶν νεμεϲήϲεται, ὅϲ κεν ἴδηται
Ἕκτορι χωρήϲαντ', ἐπεὶ ἐκ θεόφιν πολεμίζει.
εἰ δέ που Αἴαντόϲ γε βοὴν ἀγαθοῖο πυθοίμην,
ἄμφω κ' αὖτιϲ ἰόντεϲ ἐπιμνηϲαίμεθα χάρμηϲ
καὶ πρὸϲ δαίμονά περ, εἴ πωϲ ἐρυϲαίμεθα νεκρὸν
Πηλείδῃ Ἀχιλῆι· κακῶν δέ κε φέρτατον εἴη.
εἷοϲ ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
τόφρα δ' ἐπὶ Τρώων ϲτίχεϲ ἤλυθον· ἦρχε δ' ἄρ' Ἕκτωρ.
αὐτὰρ ὅ γ' ἐξοπίϲω ἀνεχάζετο, λεῖπε δὲ νεκρόν,
ἐντροπαλιζόμενοϲ ὥϲ τε λὶϲ ἠυγένειοϲ,
ὅν ῥα κύνεϲ τε καὶ ἄνδρεϲ ἀπὸ ϲταθμοῖο δίωνται
ἔγχεϲι καὶ φωνῇ· τοῦ δ' ἐν φρεϲὶν ἄλκιμον ἦτορ
παχνοῦται, ἀέκων δέ τ' ἔβη ἀπὸ μεϲϲαύλοιο·
ὣϲ ἀπὸ Πατρόκλοιο κίε ξανθὸϲ Μενέλαοϲ.
ϲτῆ δὲ μεταϲτρεφθείϲ, ἐπεὶ ἵκετο ἔθνοϲ ἑταίρων,
παπταίνων Αἴαντα μέγαν, Τελαμώνιον υἱόν.
τὸν δὲ μάλ' αἶψ' ἐνόηϲε μάχηϲ ἐπ' ἀριϲτερὰ πάϲηϲ
θαρϲύνονθ' ἑτάρουϲ καὶ ἐποτρύνοντα μάχεϲθαι·
θεϲπέϲιον γάρ ϲφιν φόβον ἔμβαλε Φοῖβοϲ Ἀπόλλων·
βῆ δὲ θέειν, εἶθαρ δὲ παριϲτάμενοϲ ἔποϲ ηὔδα·
Αἶαν, δεῦρο, πέπον, περὶ Πατρόκλοιο θανόντοϲ

V. L. 98 ἐθέλῃ AHL Harl. Lips. Vrat. b. A. Frgm. Mosc. ἐθέληϲι Townl. ἐθέλει CE. ἐθέλοι G. — 99 τάχά οἱ AC. μέγα κῦμα C. ΚΥΛΙϹΘΗΙ Ambr. — 100 τῶ ACHL. ΤΩΙ Ambr. τῷ EG. — 102 Αἴαντόϲ τε Schol. Θ 249. — 103 αὖθϊϲ C. ἐπιμνηϲώμεθα Townl. — 104 εἴ πωϲ: εἴπερ C. — 105 ἀχιλῆ H. φέρτατον AL Barocc. Mor. Vrat. A. Eust. 1097, 27: φέρτερον CE 1097, 24 GHS. φόρτατον et γράφεται δὲ καὶ φέρτατον Et. Mg. 798, 47. — 106 * εἷοϲ: ἕωϲ A Ambr. CGHL. ὃ ACGHL. ὅρμαινε Vrat. A. κατα bis A. — 107 ἐπϊ CH. τρῴων L. ἆρ AGHL. — 108 ἐξοπίϲϲω L. — 109 λῖϲ EHS: ceteri λὶϲ cum Apoll. Soph. 108, 31. — 110 ὃν ῥὰ GL. ἀπο L. — 111 ἔγχεϊ Cant. ἐνὶ φρεϲὶν GHL Lips. Flor. Rom. — 112 ἀέκων A. ἀέκον G. ἀπο AL. μεϲαύλοιο CGH Lips. Vrat. A. Flor. — 113 ὡϲ A. — 114 μετὰ ϲτρεφθεὶϲ A. μεταϲτρεφεὶϲ C. — 116 ἐπαριϲτερὰ A. — 118 φόβον omitt. L Lips. — 119 θέων S. — 120 περι HL.

A. c. 103 ἰόντεϲ: Ζηνόδοτοϲ ἰόντε δυϊκῶϲ Didymus. — 109 λὶϲ Aristarchus: λῖϲ Aeschrio, conf. H. T. 307. — 110 δίωνται: οὕτωϲ δίενται ὡϲ τίθενται μέμνηται ὁ ἡρωδιανὸϲ ἐν τῷ μ´ Schol. A. conf. Herod. ad Μ 276. — 112 ἀέκων, conf. H. T. 418.

ϲπεύϲομεν, αἴ κε νέκυν περ Ἀχιλλῆι προφέρωμεν
γυμνόν· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαίολος Ἕκτωρ.
ὣϲ ἔφατ', Αἴαντι δὲ δαΐφρονι θυμὸν ὄρινε·
βῆ δὲ διὰ προμάχων, ἅμα δὲ ξανθὸϲ Μενέλαοϲ.
Ἕκτωρ μὲν Πάτροκλον, ἐπεὶ κλυτὰ τεύχε' ἀπηύρα,
ἕλχ', ἵν' ἀπ' ὤμοιιν κεφαλὴν τάμοι ὀξέι χαλκῷ,
τὸν δὲ νέκυν Τρῳῇϲιν ἐρυϲϲάμενοϲ κυϲὶ δοίη.
Αἴαϲ δ' ἐγγύθεν ἦλθε φέρων ϲάκοϲ ἠύτε πύργον.
Ἕκτωρ δ' ἂψ ἐϲ ὅμιλον ἰὼν ἀνεχάζεθ' ἑταίρων,
ἐϲ δίφρον δ' ἀνόρουϲε· δίδου δ' ὅ γε τεύχεα καλὰ
Τρωϲὶ φέρειν προτὶ ἄϲτυ, μέγα κλέοϲ ἔμμεναι αὐτῷ.
Αἴαϲ δ' ἀμφὶ Μενοιτιάδῃ ϲάκοϲ εὐρὺ καλύψαϲ
ἑϲτήκει ὥϲ τίϲ τε λέων περὶ οἷϲι τέκεϲϲιν,
ᾧ ῥά τε νήπι' ἄγοντι ϲυναντήϲωνται ἐν ὕλῃ
ἄνδρεϲ ἐπακτῆρεϲ· ὃ δέ τε ϲθένεϊ βλεμεαίνει·
πᾶν δέ τ' ἐπιϲκύνιον κάτω ἕλκεται ὄϲϲε καλύπτων·
ὣϲ Αἴαϲ περὶ Πατρόκλῳ ἥρωι βεβήκει.
Ἀτρεΐδηϲ δ' ἑτέρωθεν, ἀρηΐφιλοϲ Μενέλαοϲ,
ἑϲτήκει μέγα πένθοϲ ἐνὶ ϲτήθεϲϲιν ἀέξων.
Γλαῦκοϲ δ', Ἱππολόχοιο πάιϲ, Λυκίων ἀγὸϲ ἀνδρῶν,
Ἕκτορ' ὑπόδρα ἰδὼν χαλεπῷ ἠνίπαπε μύθῳ·
Ἕκτορ, εἶδοϲ ἄριϲτε, μάχηϲ ἄρα πολλὸν ἐδεύεο.
ἦ ϲ' αὔτωϲ κλέοϲ ἐϲθλὸν ἔχει, φύξηλιν ἐόντα.

V. L. 121 ϲπεύϲωμεν (o supra ω) H. ἀχϊλῆϊ CH. — 122 τάγ'||| L post ras. Lips. omisso τεύχε'. κορυθαιόλοϲ A. — 123 ὡϲ A. ὄρινε ACGHL. — 124 δια A. — 125 Πατρόκλοιο Schol. Ρ 186. — 127 ἐρυϲάμενοϲ Lips. δῴη E Rom. — 129 ἀναχάζεθ' S. — 131 τρῳϲὶ L. ἔμμεναι ἀνδρῶν Mor. — 133 ἑϲτήκει AE 1098, 40 et 51 GH 1. man. L 1. man. S Cant. Mor. Harl. Lips. Vrat. b. d. A. Frgm. Mosc. εἱϲτήκει CE 1098, 54 H 2. man. L 2. man. Gellius XIII, 7, 4. ἑϲτήκειν nullus — 134 ϲυναντήϲωνται AGH Cant. Mor. Vrat. b. Frgm. Mosc ϲυναντήϲονται CEL Plutarchus de Amore prolis 2. — 136 καλύπτον CH Et. Mg. 364, 4. — 137 ὡϲ A. — 139 ἑϲτήκει AEH 1. man. Cant. Mor. Harl. Lips. (?) Vrat. b. d. A. Frgm. Mosc. εἱϲτήκει CGH 2. man. LS. — 141 omitt. A in textu. ἕκτορα G. — 142 ἕκτορ: ἕκτωρ Vrat. d. ἕκτορ ὦ G. — 143 ϲ' omitt. S. αὔτωϲ GH. αὐτωϲ A.

A. c. 127 Τρῳῇϲιν veteres conf. H. U. 214. Ρ 255. Ϲ 179. libri τρωῇϲιν. — 133 ὅτι χωρὶϲ τοῦ ῑ εἱϲτήκει Schol. A. ita Aristarchus, conf. H. T. 244. — 134—136 παρὰ Ζηνοδότῳ καὶ ἐν τῇ Χίᾳ οὐκ ἦϲαν Didymus. — 136 καλύπτων: διὰ τοῦ ω̅ γράφεϲθαι ϲυνεφώνουν ἅπαϲαι Didymus. — 139 ἑϲτήκει: [οὕτωϲ] ἔξω τοῦ ῑ Didymus.

φράζεο νῦν, ὅππωϲ κε πόλιν καὶ ἄϲτυ ϲαώϲειϲ
οἷοϲ ϲὺν λαοῖϲι, τοὶ Ἰλίῳ ἐγγεγάαϲιν·
οὐ γάρ τιϲ Λυκίων γε μαχηϲόμενοϲ Δαναοῖϲιν
εἶϲι περὶ πτόλιοϲ, ἐπεὶ οὐκ ἄρα τιϲ χάριϲ ἦεν
μάρναϲθαι δηίοιϲιν ἐπ' ἀνδράϲι νωλεμὲϲ αἰεί.
πῶϲ κε ϲὺ χείρονα φῶτα ϲαώϲειαϲ μεθ' ὅμιλον,
ϲχέτλι', ἐπεὶ Ϲαρπηδόν', ἅμα ξεῖνον καὶ ἑταῖρον,
κάλλιπεϲ Ἀργείοιϲιν ἕλωρ καὶ κύρμα γενέϲθαι,
ὅϲ τοι πόλλ' ὄφελοϲ γένετο, πτόλεϊ τε καὶ αὐτῷ,
ζωὸϲ ἐών· νῦν δ' οὔ οἱ ἀλαλκέμεναι κύναϲ ἔτληϲ.
τῶ νῦν, εἴ τιϲ ἐμοὶ Λυκίων ἐπιπείϲεται ἀνδρῶν,
οἴκαδ' ἴμεν, Τροίῃ δὲ πεφήϲεται αἰπὺϲ ὄλεθροϲ.
εἰ γὰρ νῦν Τρώεϲϲι μένοϲ πολυθαρϲὲϲ ἐνείη,
ἄτρομον, οἷόν τ' ἄνδραϲ ἐϲέρχεται, οἳ περὶ πάτρηϲ
ἀνδράϲι δυϲμενέεϲϲι πόνον καὶ δῆριν ἔθεντο,
αἶψά κε Πάτροκλον ἐρυϲαίμεθα Ἴλιον εἴϲω.
εἰ δ' οὗτοϲ προτὶ ἄϲτυ μέγα Πριάμοιο ἄνακτοϲ
ἔλθοι τεθνηὼϲ καί μιν ἐρυϲαίμεθα χάρμηϲ,
αἶψά κεν Ἀργεῖοι Ϲαρπηδόνοϲ ἔντεα καλὰ
λύϲειαν, καί κ' αὐτὸν ἀγοίμεθα Ἴλιον εἴϲω·
τοίου γὰρ θεράπων πέφατ' ἀνέροϲ, ὃϲ μέγ' ἄριϲτοϲ
Ἀργείων παρὰ νηυϲὶ καὶ ἀγχέμαχοι θεράποντεϲ.
ἀλλὰ ϲύ γ' Αἴαντοϲ μεγαλήτοροϲ οὐκ ἐτάλαϲϲαϲ

V. L. 144 ὅππωϲ καὶ C. ϲαώϲειϲ AE 1099, 65; 1100, 3. Frgm. Mosc. Cram. Ep. 31, 23. Et. Gud. 87, 19. ϲαώϲῃϲ CE 1099, 11; 42 GL Ammon. de Diff. s. v. πόλιϲ. Et. Gud. 473, 43. ϲαῴϲηϲ H. — 145 οἷοϲ γὰρ ϲὺν γαμβροῖϲι τοὶ H. — 146 γε omitt. C. δαναοῖϲι H. — 147 τῖϲ C. — 148 δηΐοιϲι μετ' ACEGHLS et Heynii libri, conf. Ι 317. — 149 πῶϲ κέν ϲοι L. ϲοὶ χείρωνα Lips. — 151 κάλλιπεϲ οἰωνοῖϲιν S Harl. Lips. κῦρμα HS. — 152 ὅϲ τιϲ Lips. πόλεΐ L Vrat. A. — 154 τῶ ACHL. τῷ EG. ἐπιπτείϲϲεται G. — 156 τρῴεϲϲι L. — 157 εἰϲέρχεται EGL Lips. Flor. Rom. οἳ omitt. C. περι A. — 158 δῆριν ἔχουϲιν Cant. Vat. Harl. Townl. Vrat. b. A. γρ. ἔθεντο Vrat. b. — 160 προτιάϲτυ D. πρὸτὶ C. ποτὶ S. — 161 ἔλθῃ S. ἔλθῃ Cant. Frgm. Mosc. τεθνηὼϲ H Townl. Vrat. b. d. Frgm. Mosc. Cant. τεθνηιὼϲ AL. τεθνειὼϲ CDGS. χάρμῃϲ H. χάρμῃ L Lips. χάρμη S. — 163 καί κ': καὶ δ' Apoll. Soph. 65, 6. κ' omitt. S.

A. c. 144 ϲαώϲειϲ: οὕτωϲ ἀρίϲταρχοϲ, ἄλλοι δὲ ϲαώϲῃϲ διὰ τοῦ η̅ Didymus. — 148 δηΐοιϲιν ἐπ' Aristarchus teste Didymo ad Ι 317. — 149 Aristarchus ὅμιλον: ὁμίλου Zenodotus. — 153 κύναϲ: ὅτι Ζηνόδοτοϲ γράφει κύον ἔτληϲ, ἄλογον δέ Aristonicus. — 161 οὕτωϲ διὰ τοῦ η̅ τεθνηιώϲ (sic) Didymus.

ϲτήμεναι ἄντα κατ' ὄϲϲε ἰδὼν δηίων ἐν ἀυτῇ,
οὐδ' ἰθὺϲ μαχέϲαϲθαι, ἐπεὶ ϲέο φέρτερόϲ ἐϲτι.
τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προϲέφη κορυθαίολοϲ Ἕκτωρ·
Γλαῦκε, τί ἢ δὲ ϲὺ τοῖοϲ ἐὼν ὑπέροπλον ἔειπεϲ;
ὢ πόποι, ἦ τ' ἐφάμην ϲε περὶ φρέναϲ ἔμμεναι ἄλλων,
τῶν ὅϲϲοι Λυκίην ἐριβώλακα ναιετάουϲι·
νῦν δέ ϲευ ὠνοϲάμην πάγχυ φρέναϲ, οἷον ἔειπεϲ,
ὅϲ τέ με φῂϲ Αἴαντα πελώριον οὐχ ὑπομεῖναι.
οὔ τοι ἐγὼν ἔῤῥιγα μάχην οὐδὲ κτύπον ἵππων·
ἀλλ' αἰεί τε Διὸϲ κρείϲϲων νόοϲ αἰγιόχοιο,
ὅϲ τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκην
ῥηιδίωϲ, ὁτὲ δ' αὐτὸϲ ἐποτρύνει μαχέϲαϲθαι.
ἀλλ' ἄγε δεῦρο πέπον παρ' ἔμ' ἵϲταϲο καὶ ἴδε ἔργον,
ἠὲ πανημέριοϲ κακὸϲ ἔϲϲομαι, ὡϲ ἀγορεύειϲ,
ἤ τινα καὶ Δαναῶν ἀλκῆϲ, μάλα περ μεμαῶτα,
ϲχήϲω ἀμυνέμεναι περὶ Πατρόκλοιο θανόντοϲ.
ὣϲ εἰπὼν Τρώεϲϲιν ἐκέκλετο μακρὸν ἀΰϲαϲ·
Τρῶεϲ καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
ἀνέρεϲ ἔϲτε, φίλοι, μνήϲαϲθε δὲ θούριδοϲ ἀλκῆϲ,
ὄφρ' ἂν ἐγὼν Ἀχιλῆοϲ ἀμύμονοϲ ἔντεα δύω
καλά, τὰ Πατρόκλοιο βίην ἐνάριξα κατακτάϲ.

V. ι. 168 μάχεϲθαι L Lips. ἐϲτι ACDGH. φέρτεροϲ ἐϲτὶν L. — 169 ἂρ ADGH. κορυθαιόλοϲ ADH. — 170 τίη δε A. τί δε ϲυ D. ἔειπαϲ Plut. de Aud. poët. 11. — 171 ὦ πόποι A Vrat. d. Frgm. Mosc. Rom. ὢ πόποι CEG. ὦ πέπον DHLS Flor. Plutarchus de Aud. poët. 11. περϊ H. — 172 ναιετάουϲι ACDEGH. — 173 δὲ ϲεῦ L. — 174 ὅϲ τέ με AD EGHL. ὅϲ τ' ἐμὲ C Frgm. Mosc. φῂϲ EG. φῆιϲ D. μ' ἔφηϲ H Vrat. d. — 175 οὔτι ES Harl. Vrat. A. Cram. Ep. 382, 19. ἐγὼ G Flor. Cram. Ep. 382, 19. — 176 αἰεὶ δὲ Townl. αἰγιόχοιο: ἠέ περ ἀνδρόϲ C Barocc. Mor. Harl. Townl. Vrat. b. A. γρ. ἠέ περ ἀνδρόϲ H, conf. Π 688. ἠέ περ ἀνδρῶν Vat. — 178 ὁτὲ: ὅτε CDHL. τὰ πλείω τῶν ἀντιγράφων καὶ νῦν παροξυτόνωϲ ἔχει ὅτε δ' αὐτὸϲ ἐποτρύνει Eust. 1101, 39. ἐποτρύνει μαχέϲαϲθαι ἢ ἐποτρύνηϲι μάχεϲθαι Eust. 1101, 29, conf. Π 690. μαχέεϲθαι L Lips. Harl. — 181 ἦ: libri ἤ. μάλα: μέγα G et edd. vett. — 183 ὡϲ A. τρῴεϲϲιν L. ἀΐϲαϲ G. — 184 τρῷεϲ L. — 185 ἔϲτε AD: ἐϲτὲ CGHL. φίλοι omitt. L Lips. — 186 ὄφρ' ἂν ἐγὼ δύω κατὰ τεύχεα Πηλείωνοϲ Et. Gud. 154, 1.

A. c. 171 ὢ πόποι: παρὰ Ζηνοδότῳ ὦ πέπον, οὐ κακῶϲ Didymus. — 172 τὰ τοιαῦτα εἴωθεν ἀθετεῖν ὁ Ἀρίϲταρχοϲ Schol. A. — 173 ϲευ: ϲε Zenodotus: asteriscus; οὐκ ὀρθῶϲ Ξ 95. — 174 με φήϲ Alexio: μ' ἔφηϲ Ptolem. Ascalonita. — 178 ὁτὲ: παρὰ ἀριϲτοφάνει τότε δ' αὐτὸϲ Didymus.

ὣϲ ἄρα φωνήϲαϲ ἀπέβη κορυθαίολοϲ Ἕκτωρ
δηίου ἐκ πολέμοιο· θέων δ' ἐκίχανεν ἑταίρουϲ
ὦκα μάλ', οὔ πω τῆλε, ποϲὶ κραιπνοῖϲι μεταϲπών,
οἳ προτὶ ἄϲτυ φέρον κλυτὰ τεύχεα Πηλεΐδαο.
ϲτὰϲ δ' ἀπάνευθε μάχηϲ πολυδακρύου ἔντε' ἄμειβεν·
ἤ τοι ὃ μὲν τὰ ἃ δῶκε φέρειν προτὶ Ἴλιον ἱρὴν
Τρωϲὶ φιλοπτολέμοιϲιν, ὃ δ' ἄμβροτα τεύχε' ἔδυνε
Πηλεΐδεω Ἀχιλῆοϲ, ἅ οἱ θεοὶ Οὐρανίωνεϲ
πατρὶ φίλῳ ἔπορον· ὃ δ' ἄρα ᾧ παιδὶ ὄπαϲϲε
γηράϲ· ἀλλ' οὐχ υἱὸϲ ἐν ἔντεϲι πατρὸϲ ἐγήρα.
τὸν δ' ὡϲ οὖν ἀπάνευθεν ἴδεν νεφεληγερέτα Ζεὺϲ
τεύχεϲι Πηλεΐδαο κορυϲϲόμενον θείοιο,
κινήϲαϲ ῥα κάρη προτὶ ὃν μυθήϲατο θυμόν·
ἆ δείλ', οὐδέ τί τοι θάνατοϲ καταθύμιόϲ ἐϲτιν,
ὃϲ δή τοι ϲχεδὸν εἶϲι· ϲὺ δ' ἄμβροτα τεύχεα δύνειϲ
ἀνδρὸϲ ἀριϲτῆοϲ, τόν τε τρομέουϲι καὶ ἄλλοι.
τοῦ δὴ ἑταῖρον ἔπεφνεϲ ἐνηέα τε κρατερόν τε,
τεύχεα δ' οὐ κατὰ κόϲμον ἀπὸ κρατόϲ τε καὶ ὤμων
εἵλευ· ἀτὰρ τοι νῦν γε μέγα κράτοϲ ἐγγυαλίξω,
τῶν ποινὴν ὅ τοι οὔ τι μάχηϲ ἐκ νοϲτήϲαντι

V. ι. 188 ὡϲ A. κορυθαιόλοϲ AD (?) GH Flor. Rom. — 190 μεταϲπῶν H. — 191 προτιάϲτυ D. πρὸτὶ C. ποτὶ S. πηλείδαο ACDGH et Heynii libri praeter Barocc. πηλείωνοϲ L Barocc. ἐν ἄλλῳ πηλείωνοϲ A. πηλείδαον S. — 192 πολυδακρύου AD: ceteri πολυδακρύτου. — 193 ἤτοι libri cum Apoll. Soph. 1, 12. ὃ μὲν C. ᾅ, δῶκε AL. πρὸτὶ C. — 194 τρωϲὶ L. ὃ δ' D. ὅδ' CGHL. τεύχε' ἔδυνε G et edd. vett. τεῦχεα δῦνε ACL Cant. Mor. Harl. Townl. Vrat. d. A. Frgm. Mosc. δῦνεν DH, conf. Γ 327. 339. Ε 164. Ζ 28. Τ 12 (χ 109). ω 498. — 196 ὃ δ' D. ὅδ' CGHL. ἄρ' C. ἂρ E. ὄπαϲϲε ACDGHL. ὤπαϲϲε E Lips. — 198 ἴδε D Lips. Vrat. A. νεφεληγερέτα A. — 199 τεύχεϲι λαμπόμενον μεγαθύμου πηλείωνοϲ H Vrat. d. — 200 ῥὰ CD 2. man. GHL. ἄρα D 1. man. ποτὶ S. προτιὸν D. — 201 οὐδέ τι τοι ACDGHL. οὐκέτι τοι S Cant. — 202 ὡϲ δὴ L Lips. ϲχεδὸν εἶϲι L Lips. ϲχεδόν ἐϲτι (εἶϲι) A. ϲχεδόν ἐϲτι (η) CDEGHS. ἄβροτα Mor. δύνειϲ S. — 203 τε omitt. L Lips. τρέμουϲι S. — 204 ἐνηέά C. — 205 ἄπο H. — 206 εἶλεϲ G Vat. Flor. γε omitt. L Lips. — 207 ὅτι οὔτι GH Cant. Mor. Vat. Vrat. b. A. Flor. ἐκνοϲτήϲαντι CDEGHL Schol. Θ 187. ἐκνοϲτήϲαντα Vrat. A. νοϲτήϲαντοϲ Vrat. b.

A. c. 201 δείλ' Herodianus: δειλέ Aristarchus? conf. Λ 441. 452. — 202 ἐϲτι: ἀρίϲταρχοϲ εἶϲιν Didymus. conf. β 284. ζ 27.

δέξεται Ἀνδρομάχη κλυτὰ τεύχεα Πηλεΐωνος.
ἦ, καὶ κυανέῃϲιν ἐπ' ὀφρύϲι νεῦϲε Κρονίων.
Ἕκτορι δ' ἥρμοϲε τεύχε' ἐπὶ χροΐ, δῦ δέ μιν Ἄρηϲ
δεινὸϲ ἐνυάλιοϲ, πλῆϲθεν δ' ἄρα οἱ μέλε' ἐντὸϲ
ἀλκῆϲ καὶ ϲθένεοϲ. μετὰ δὲ κλειτοὺϲ ἐπικούρουϲ
βῆ ῥα μέγα ἰάχων· ἰνδάλλετο δέ ϲφιϲι πᾶϲι
τεύχεϲι λαμπόμενοϲ μεγαθύμῳ Πηλεΐωνι.
ὤτρυνεν δὲ ἕκαϲτον ἐποιχόμενοϲ ἐπέεϲϲι,
Μέϲθλην τε Γλαῦκόν τε Μέδοντά τε Θερϲίλοχόν τε,
Ἀϲτεροπαῖόν τε Δειϲήνορά θ' Ἱππόθοόν τε,
Φόρκύν τε Χρομίον τε καὶ Ἔννομον οἰωνιϲτήν·
τοὺϲ ὅ γ' ἐποτρύνων ἔπεα πτερόεντα προϲηύδα·
κέκλυτε μυρία φῦλα περικτιόνων ἐπικούρων·
οὐ γὰρ ἐγὼ πληθὺν διζήμενοϲ οὐδὲ χατίζων
ἐνθάδ' ἀφ' ὑμετέρων πολίων ἤγειρα ἕκαϲτον,
ἀλλ' ἵνα μοι Τρώων ἀλόχουϲ καὶ νήπια τέκνα
προφρονέωϲ ῥύοιϲθε φιλοπτολέμων ὑπ' Ἀχαιῶν.
τὰ φρονέων δώροιϲι κατατρύχω καὶ ἐδωδῇ
λαούϲ, ὑμέτερον δὲ ἑκάϲτου θυμὸν ἀέξω.
τῷ τιϲ νῦν ἰθὺϲ τετραμμένοϲ ἢ ἀπολέϲθω,
ἠὲ ϲαωθήτω· ἣ γὰρ πολέμου ὀαριϲτύϲ.
ὃϲ δέ κε Πάτροκλον καὶ τεθνηῶτά περ ἔμπηϲ
Τρῶαϲ ἐϲ ἱπποδάμουϲ ἐρύϲῃ, εἴξῃ δέ οἱ Αἴαϲ,

V. ι. 209 ἐποφρῦϲϊ H. — 212 κλητοὺϲ H. κλυτοὺϲ L. — 213 ῥὰ D 2. man. HL. δέ ϲφιν L Lips. πᾶϲι ACDEGH Lips. — 214 μεγαθύμῳ πηλείωνι A: ceteri μεγαθύμου πηλείωνοϲ. ἕτεροι δέ φαϲιν ὅτι μεγαθύμῳ Πηλείωνϊ ἰνδάλλετο Eust. 1103, 1. — 215 ὤτρυνε E Vrat. A. ἐποιχόμενοϲ: παριϲτάμενοϲ Vrat. A. παριϲτάμενον Vrat. b. ἐπέεϲϲι ADGH. — 216 θερϲίλοχόν: ὀρϲίλοχόν S Cant. Barocc. Mor. — 217 διϲήνορα D. δειϲίνορα G. δηΐνορα Vrat. A. βιήνορα S Cant. ἱππόθοόν: ἱππόνοόν Mor. — 218 φόρκύν A. χρόμιόν CDGHL. — 219 omitt. D in textu, habet in marg. man. rec. abest etiam a Lips. et Townl. et signo notatus est in A. — 220 ἐπῖ κούρων H. — 221 οὐδε H. — 223 τρώων L. — 224 ὑπ': ἀπ' GH Frgm. Mosc. — 225 τα H. — 227 τῶ ACDHL: τῷ EG. ἰθὺϲ omitt. D 1. man. — 228 ἢ ADL. ἡ GH. ῆ C. — 229 τε-
ηι
θνηῶτά H Cant. Townl. τεθνειῶτά A. τεθνεῶτά L Lips. τεθνειῶτά CD EGS. — 230 τρῷαϲ L. ἐρύϲει G Vrat. b. d. εἴξει GH Vrat. b. d. A.

A. c. 214 μεγαθύμῳ Πηλείωνι: οὕτωϲ ἀρίϲταρχοϲ κατὰ δοτικήν. ἄλλοι δὲ (αἱ κοιναὶ ἐκδόϲειϲ teste Schol. A) μεγαθύμου πηλείωνοϲ Didymus. Ζηνόδοτοϲ Πηληϊάδεω Ἀχιλῆοϲ Schol. V. — 215 ὤτρυνεν: Ζηνόδοτοϲ (?) ὄτρυνεν Schol. A. — 229 τεθνηῶτα: διὰ τοῦ η̄ ἀρίϲταρχοϲ Didymus.

ἥμιϲυ τῷ ἐνάρων ἀποδάϲϲομαι, ἥμιϲυ δ' αὐτὸϲ
ἕξω ἐγώ· τὸ δέ οἱ κλέοϲ ἔϲϲεται ὅϲϲον ἐμοί περ.
ὣϲ ἔφαθ', οἱ δ' ἰθὺϲ Δαναῶν βρίϲαντεϲ ἔβηϲαν,
δούρατ' ἀναϲχόμενοι· μάλα δέ ϲφιϲιν ἔλπετο θυμὸϲ
νεκρὸν ὑπ' Αἴαντοϲ ἐρύειν Τελαμωνιάδαο·
νήπιοι· ἦ τε πολέϲϲιν ἐπ' αὐτῷ θυμὸν ἀπηύρα.
καὶ τότ' ἄρ' Αἴαϲ εἶπε βοὴν ἀγαθὸν Μενέλαον·
ὦ πέπον ὦ Μενέλαε διοτρεφέϲ, οὐκέτι νῶι
ἔλπομαι αὐτώ περ νοϲτηϲέμεν ἐκ πολέμοιο.
οὔ τι τόϲον νέκυοϲ περιδείδια Πατρόκλοιο,
ὅϲ κε τάχα Τρώων κορέει κύναϲ ἠδ' οἰωνούϲ,
ὅϲϲον ἐμῇ κεφαλῇ περιδείδια, μή τι πάθῃϲι,
καὶ ϲῇ, ἐπεὶ πολέμοιο νέφοϲ περὶ πάντα καλύπτει,
Ἕκτωρ, ἡμῖν δ' αὖτ' ἀναφαίνεται αἰπὺϲ ὄλεθροϲ.
ἀλλ' ἄγ' ἀριϲτῆαϲ Δαναῶν κάλει, ἤν τιϲ ἀκούϲῃ.
ὣϲ ἔφατ', οὐδ' ἀπίθηϲε βοὴν ἀγαθὸϲ Μενέλαοϲ,
ἤυϲεν δὲ διαπρύϲιον Δαναοῖϲι γεγωνώϲ·
ὦ φίλοι, Ἀργείων ἡγήτορεϲ ἠδὲ μέδοντεϲ,
οἵ τε παρ' Ἀτρείδῃϲ, Ἀγαμέμνονι καὶ Μενελάῳ,

ι
V. ι. 231 τῷ G Townl. Vrat. A. Flor. τῶν A. τῶν CDEHLS Frgm. Mosc. Rom. — 232 ἕξω: ἄξω Vrat. A. ὅϲον Lips. — 233 ὡϲ A. οἴδ' CGHL. ἔβαν D. — 234 δέ ϲφιϲιν ACDEG. δέ ϲφιν S Harl. γάρ ϲφιϲιν H Vrat. d. γάρ ϲφιν L Lips. ἔλπετο ACEGLS Ven. B. Harl. Lips. ἤλπετο DH Barocc. Vrat. d. — 236 οἵ τε πολέϲϲιν L. ἐπ A. ἀπῆρα G. — 237 ἂρ ADGHL. — 238 νῶϊν C Frgm. Mosc. — 239 αὐτῷ G.
ε
περινοϲτηϲαίμεν L. νοϲτηϲαίμεν D. νοϲτήϲαιμεν Lips. νοϲτηϲαίμεν C. — 240 οὔτοι G. περιδείδια EH Vrat. A. Rom. Schol. O 642. πέρι δείδια CDG LS. πέρι, δείδια A. — 241 τρῴων L. κορέει ACDG Lips. Harl. Flor. κορέῃ L. κορέϲει EHS Rom. κορέϲῃ Mor. Barocc. ἢ δ' D. — 242 ἐμοὶ Eust. 1104, 35, sed ἐμῇ 1104, 57. περιδείδια EHL Rom. Schol. O 642. πέρι δείδια ACDG. πάθῃϲι ACDEGHL. — 243 περῒ CDH. — 244 ἡμῖν δ': ἡμῖν DG Cant. Flor. δ' ἡμῖν S. ἡμῖν τ' αὖ L. — 246 ὡϲ A. — 247 ἤϋϲε G Vrat. A. Flor. Rom. — 249 ἀτρείδῃϲ' L. ἀτρείδῃ D Harl. Cant. Vrat. b. A. καὶ μενελάῳ: ποιμένι λαῶν S Vrat. A.

A. c. 231 ἀρίϲταρχοϲ κατὰ δοτικὴν ἥμιϲυ τῷ ἐνάρων Didymus. — 234 ἔλπετο: οὕτωϲ Ἀριϲτοφάνηϲ διὰ τοῦ ε̄· γράφεται δὲ καὶ διὰ τοῦ η̄ Didymus. Ἀριϲτοφάνηϲ δὲ ἔλπετο γράφει Schol. V. equidem non Aristophanem sed Aristarchum ἔλπετο scripsisse credo, conf. Schol. Ρ 603 διὰ τοῦ ε̄ αἱ ἀριϲτάρχου ἔλπετο. de Aristarchi et Aristophanis nominibus confusis conf. H. T. 25. adn. 47. — 240 περιδείδια Ptolem. Ascalonita: πέρι δείδια Aristarchus teste Schol. V, conf. H. T. 339. — 242 περιδείδια: οὐκ ἀναϲτρεπτέον τὴν πρόθεϲιν Herodianus.

δήμια πίνουσιν καὶ σημαίνουσιν ἕκαστος
λαοῖς· ἐκ δὲ Διὸς τιμὴ καὶ κῦδος ὀπηδεῖ.
ἀργαλέον δέ μοί ἐστι διασκοπιᾶσθαι ἕκαστον
ἡγεμόνων· τόσση γὰρ ἔρις πολέμοιο δέδηεν.
ἀλλά τις αὐτὸς ἴτω, νεμεσιζέσθω δ' ἐνὶ θυμῷ
Πάτροκλον Τρῳῇσι κυσὶν μέλπηθρα γενέσθαι.
ὣς ἔφατ', ὀξὺ δ' ἄκουσεν Ὀιλῆος ταχὺς Αἴας.
πρῶτος δ' ἀντίος ἦλθε θέων ἀνὰ δηιοτῆτα,
τὸν δὲ μετ' Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος,
Μηριόνης, ἀτάλαντος Ἐνυαλίῳ ἀνδρεϊφόντῃ.
τῶν δ' ἄλλων τίς κεν ᾗσι φρεσὶν οὐνόματ' εἴποι,
ὅσσοι δὴ μετόπισθε μάχην ἤγειραν Ἀχαιῶν;
Τρῶες δὲ προὔτυψαν ἀολλέες· ἦρχε δ' ἄρ' Ἕκτωρ.
ὡς δ' ὅτ' ἐπὶ προχοῇσι διιπετέος ποταμοῖο
βέβρυχεν μέγα κῦμα ποτὶ ῥόον, ἀμφὶ δέ τ' ἄκραι
ἠιόνες βοόωσιν ἐρευγομένης ἁλὸς ἔξω,
τόσσῃ ἄρα Τρῶες ἰαχῇ ἴσαν. αὐτὰρ Ἀχαιοὶ
ἔστασαν ἀμφὶ Μενοιτιάδῃ ἕνα θυμὸν ἔχοντες,
φραχθέντες σάκεσιν χαλκήρεσιν. ἀμφὶ δ' ἄρά σφι
λαμπρῇσιν κορύθεσσι Κρονίων ἠέρα πολλὴν

V. L. 250 πίνουσι E Lips. Et. Mg. 265, 29. ἕκαστα Harl. ἕκαστοι Vrat. b. — 251 λαῶν H Vrat. d. — 252 δέ μοι ἐστὶ CDEHL. διασκοπιάασθαι Lips. — 254 ἐνι AD. — 255 τρωῇσι CEL. τρωῇσιν D. κυσὶ E Lips. — 256 ὥς A. ὣς φάτο τοῦ δ' ἤκουσεν H Vrat. d. οἰϊλῆος G. — 257 ἀνα D. — 259 ἀνδριφόντῃ GH Townl. Vrat. d. — 260 τίς κεν ᾗσιν ἐνὶ φρεσὶν Frgm. Mosc. τίς κεν ἑῇσιν ἐνὶ Vrat. d. τίς ἂν ᾗσι φρεσὶν Eust. Rom. ἐν ἄλλῳ τίς κ' ᾗισιν ἐνιφρεσίν A. εἴποι: εἴπῃ HS Vat. Mor. Frgm. Mosc. Vrat. A. — 262 τρῷες L. ἄρ ADEGHL. — 263 ἐπι D. διιπετέος A. — 264 βέβρυχε EG Lips. Flor. Rom. βεβρύχει L. ποτι A. ποτὶρρόον CH. ποτιρρόον D. ποτίῤῥοον Townl. Frgm. Mosc. alii. ἀμφι D. — 265 βοάουσιν Pseudopl. 109, 14. ἰστέον ὅτι οὐ μόνον πληθυντικῶς γράφεται ἠιόνες βοόωσιν, ἀλλὰ καὶ ἐν γενικῇ ἑνικῇ ἄκραι ἠιόνος Eust. 1106, 50. — 266 τρῶες ἰαχῇ ἴσαν ACD 1. man. (nunc τρώων post ras.) EHL (τρῷες) S Cant. Barocc. Mor. Vat. Vrat. d. Frgm. Mosc. τρώων ἰαχὴ γένετ' G Flor. — 267 ἔστασαν EL. ἑστασαν A. ἀμφι D. — 268 σάκεσι G Flor. Rom. ἀμφι D. ἄρά G. σφι ACE 1110, 7 L Lips. Vrat. A. ceteri σφιν. — 269 λαμπρῇσι CDEG. πολλὴν: πουλὺν Mor. Cant. πουλὴν S. πολλὴν ἢ μᾶλλον πουλύν Eust.

A. c. 250 ἕκαστος: ἔν τισι διὰ τοῦ ᾱ ἕκαστα Didymus. — 260, 261 Ζηνόδοτος ἠθέτηκεν Aristonicus. — 263 διιπετέος: διειπετέος Zenodotus vel Zenodorus, conf. H. T. 226. — 264 βέβρυχεν: ἐν τῇ κατ' ἀριστοφάνους βεβρύχῃ Didymus. — 268 φραχθέντες: Ζηνόδοτος ἀρθέντες Didymus.

χεῦ', ἐπεὶ οὐδὲ Μενοιτιάδην ἤχθαιρε πάρος γε,
ὄφρα ζωὸς ἐὼν θεράπων ἦν Αἰακίδαο·
μίσησεν δ' ἄρα μιν δηίων κυσὶ κύρμα γενέσθαι
Τρῳῇσιν· τῷ καί οἱ ἀμυνέμεν ὦρσεν ἑταίρους.
ὦσαν δὲ πρότεροι Τρῶες ἑλίκωπας Ἀχαιούς·
νεκρὸν δὲ προλιπόντες ὑπέτρεσαν, οὐδέ τιν' αὐτῶν
Τρῶες ὑπέρθυμοι ἕλον ἔγχεσιν ἱέμενοί περ,
ἀλλὰ νέκυν ἐρύοντο· μίνυνθα δὲ καὶ τοῦ Ἀχαιοὶ
μέλλον ἀπέσσεσθαι· μάλα γάρ σφεας ὦκ' ἐλέλιξεν
Αἴας, ὃς περὶ μὲν εἶδος, περὶ δ' ἔργα τέτυκτο
τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλεΐωνα.
ἴθυσεν δὲ διὰ προμάχων συῒ εἴκελος ἀλκὴν
καπρίῳ, ὅς τ' ἐν ὄρεσσι κύνας θαλερούς τ' αἰζηοὺς
ῥηιδίως ἐκέδασσεν ἑλιξάμενος διὰ βήσσας·
ὣς υἱὸς Τελαμῶνος ἀγαυοῦ, φαίδιμος Αἴας,
ῥεῖα μετεισάμενος Τρώων ἐκέδασσε φάλαγγας,
οἳ περὶ Πατρόκλῳ βέβασαν, φρόνεον δὲ μάλιστα
ἄστυ πότι σφέτερον ἐρύειν καὶ κῦδος ἀρέσθαι.
ἤ τοι τὸν Λήθοιο Πελασγοῦ φαίδιμος υἱός,
Ἱππόθοος, ποδὸς ἕλκε κατὰ κρατερὴν ὑσμίνην,
δησάμενος τελαμῶνι παρὰ σφυρὸν ἀμφὶ τένοντας,
Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος· τάχα δ' αὐτῷ
ἦλθε κακόν, τό οἱ οὔ τις ἐρύκακεν ἱεμένων περ.

V. L. 270 ἤχθαιρε ACEH Frgm. Mosc. Vrat. d. ἤχθηρε DG Rom. ἤχθηρε S. ἔχθηρε L Lips. πάρος γε omitt. C 1. man. — 272 μίσησε G Schol. C 376. ἄρά G. κῦρμα DS. κυσὶ post γενέσθαι in D colloc. — 273 τρῳῇσιν AL. τρωῇσιν CH. τρωῇσι DE. τῶ ADHL: τῷ CEG. καί οἱ: κεν οἱ Cant. Vat. κέ οἱ S. ἐν ἄλλῳ ὦρσεν ἀχαιούς A. — 274 τρῷες L. — 276 τρῷες L. ἶέμενοι H. — 277 abhinc usque ad vs. 577 codex A recentiore manu est scriptus: desunt scholia et signa critica. — 278 ἀπέσεσθαι G Flor. Rom. γὰρ σφέας GH. — 279 πέρι μὲν A. περϊ δ' H. ἔργ' ἐτέτυκτο ADGH Vat. Vrat. b. d. A. — 281 ἴκελος E Vrat. A. ἴκελος G. — 282 ὄρεσι G. — 283 ἐκέδασεν G Flor. ἐλιξάμενος GH. βήσας G. — 285 τρώων L. — 287 ποτὶ ACEGHL. ποτι D. — 288 libri ἤτοι. — 289 ἕλκε L Lips.: εἷλκε ACDEGHS et Heynii libri. κατα D. — 290 παρὰ: περὶ Et. Mg. 750, 34. τένοντας: τένοντε AHS Cant. Vrat. d. Frgm. Mosc. conf. H. U. 169. — 291 τρῴεσσι L. — 292 ἱεμένων AEH ex corr. S et nonnulli apud Heynium. ἱεμένων C: ἱεμένῳ DH 1. man. L Lips. Vat. Vrat. d. ἱέμενον G. ἱέμενος Harl.

A. c. 270 ἤχθαιρε: ἀρίσταρχος διὰ τοῦ ε̄ ἔχθαιρε Didymus, conf. Schol. Υ 306. — 292 ἱεμένων Aristarchus: alii ἱεμένῳ, conf. Didymus ad O 450 διχῶς ἀρίσταρχος καὶ ἱεμένῳ καὶ ἱεμένων.

τὸν δ' υἱὸς Τελαμῶνος ἐπαΐξας δι' ὁμίλου
πλῆξ' αὐτοσχεδίην κυνέης διὰ χαλκοπαρήου·
ἤρικε δ' ἱπποδάσεια κόρυς περὶ δουρὸς ἀκωκῇ
πληγεῖσ' ἔγχεϊ τε μεγάλῳ καὶ χειρὶ παχείῃ,
ἐγκέφαλος δὲ παρ' αὐλὸν ἀνέδραμεν ἐξ ὠτειλῆς
αἱματόεις· τοῦ δ' αὖθι λύθη μένος, ἐκ δ' ἄρα χειρῶν
Πατρόκλοιο πόδα μεγαλήτορος ἧκε χαμᾶζε
κεῖσθαι· ὁ δ' ἄγχ' αὐτοῖο πέσε πρηνὴς ἐπὶ νεκρῷ,
τῆλ' ἀπὸ Λαρίσης ἐριβώλακος, οὐδὲ τοκεῦσι
θρέπτρα φίλοις ἀπέδωκε, μινυνθάδιος δέ οἱ αἰὼν
ἔπλεθ' ὑπ' Αἴαντος μεγαθύμου δουρὶ δαμέντι.
Ἕκτωρ δ' αὖτ' Αἴαντος ἀκόντισε δουρὶ φαεινῷ.
ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
τυτθόν· ὁ δὲ Σχεδίον, μεγαθύμου Ἰφίτου υἱόν,
Φωκήων ὄχ' ἄριστον, ὃς ἐν κλειτῷ Πανοπῆι
οἰκία ναιετάασκε πολέσσ' ἄνδρεσσιν ἀνάσσων,
τὸν βάλ' ὑπὸ κληῖδα μέσην· διὰ δ' ἀμπερὲς ἄκρη
αἰχμὴ χαλκείη παρὰ νείατον ὦμον ἀνέσχε.
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
Αἴας δ' αὖ Φόρκυνα, δαΐφρονα Φαίνοπος υἱόν,
Ἱπποθόῳ περιβάντα μέσην κατὰ γαστέρα τύψε·
ῥῆξε δὲ θώρηκος γύαλον, διὰ δ' ἔντερα χαλκὸς
ἤφυσ'· ὁ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
χώρησαν δ' ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ·
Ἀργεῖοι δὲ μέγα ἴαχον, ἐρύσαντο δὲ νεκρούς,

V. L. 293 ἀπαΐξας L. — 294 χαλκοπαρήου AEHL: ceteri sine iota adscripto. — 295 ἤρϋκε C ex corr. ἔρεικε D ex corr. κόρυς omitt. L Lips. — 299 χαμᾶζε DE: χαμάζε ACGHL. — 300 ὁ δ' AD. ὅδ' CDHL. ἄγχ': ἄχ' G. — 301 λαρίσσης ACEGHL: λαρίσης D Strabo XIII, 620, conf. B 841. τοκεῦσι ACDGHL. — 302 θρέπτρα ACDEH Cant. Townl. Frgm. Mosc.: θρέπτα GLS Lips. Vrat. A. Flor. conf. Δ 478. — 304 δ' αὖ C. δ' ἄντ' Vrat. A. — 305 ὁ μὲν C. — 306 ὁ δὲ C. σχέδιον AL. μεγάθυμον G Flor. ἰφίτου μεγαθύμου τυδέος υἱόν D (υἱόν add. man. rec.). — 307 κλητῷ Vrat. A. — 308 πολλέσσ' C. πόλεσιν D. ἀνδράσσιν Rom. ἄνδρεσσιν libri mei. — 309 δια ACHL. — 310 αἰχμὴ χαλκείη H. ἀνέσχε CGH. — 313 κατα DG. τύψε CGH. — 314 δέ οἱ θώρηκος H. — 315 ὁ δ' AD. ὅδ' CGHL. — 317 μέγα: μέγ' ACDGHLS et Heynii libri. correxit Barnesius, conf. Δ 506. ἐρύοντο H. εἰρύσατο G. ἐρρύσαντο Vrat. A.

A. c. 302 θρέπτρα: θρεπτὰ Zenodotus, conf. Schol. Δ 478. — 307 Φωκήων: φησὶν Ἀπίων καὶ Ἡρόδωρος καὶ διὰ διφθόγγου τὴν παραλήγουσαν τοῦ Φωκήων γράφεσθαι, conf. Didymum ad B 517.

Φόρκυν θ' Ἱππόθοόν τε, λύοντο δὲ τεύχε' ἀπ' ὤμων.
ἔνθά κεν αὖτε Τρῶες ἀρηιφίλων ὑπ' Ἀχαιῶν
Ἴλιον εἰσανέβησαν ἀναλκείῃσι δαμέντες·
Ἀργεῖοι δέ κε κῦδος ἕλον καὶ ὑπὲρ Διὸς αἶσαν
κάρτεϊ καὶ σθένεϊ σφετέρῳ· ἀλλ' αὐτὸς Ἀπόλλων
Αἰνείαν ὤτρυνε δέμας Περίφαντι ἐοικώς,
κήρυκι Ἠπυτίδῃ, ὅς οἱ παρὰ πατρὶ γέροντι
κηρύσσων γήρασκε, φίλα φρεσὶ μήδεα εἰδώς·
τῷ μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων·
Αἰνεία, πῶς ἂν καὶ ὑπὲρ θεὸν εἰρύσσαισθε
Ἴλιον αἰπεινήν; ὡς δὴ ἴδον ἀνέρας ἄλλους
κάρτεΐ τε σθένεΐ τε πεποιθότας ἠνορέῃ τε
πλήθεΐ τε σφετέρῳ, καὶ ὑπερδέα δῆμον ἔχοντας.
ἡμῖν δὲ Ζεὺς μὲν πολὺ βούλεται ἢ Δαναοῖσι
νίκην· ἀλλ' αὐτοὶ τρεῖτ' ἄσπετον οὐδὲ μάχεσθε.
ὣς ἔφατ', Αἰνείας δ' ἑκατηβόλον Ἀπόλλωνα
ἔγνω ἐς ἄντα ἰδών, μέγα δ' Ἕκτορα εἶπε βοήσας·
Ἕκτόρ τ' ἠδ' ἄλλοι Τρώων ἀγοὶ ἠδ' ἐπικούρων,
αἰδὼς μὲν νῦν ἥδέ γ', ἀρηιφίλων ὑπ' Ἀχαιῶν
Ἴλιον εἰσαναβῆναι ἀναλκείῃσι δαμέντας.
ἀλλ' ἔτι γάρ τίς φησι θεῶν ἐμοὶ ἄγχι παραστὰς
Ζῆν', ὕπατον μήστωρα, μάχης ἐπιτάρροθον εἶναι·
τῷ ῥ' ἰθὺς Δαναῶν ἴομεν, μὴ δ' οἵ γε ἕκηλοι

V. L. 318 φόρκυνά θ' L Vrat. A. φόρκυν omisso θ' A Frgm. Mosc. φόρκυν' H. — 319 ἔνθά κεν ACDGHL. τρῷες L. — 320 εἰς ἀνέβησαν H. ἀναλκΐῃσι ADH Vrat. d. ἀναλκείῃσι S. — 321 κε omitt. C Vrat. A. — 322 κάρτεϊ τε καὶ C. — 324 κήρυκι libri et edd. vett. cum Herodiano περὶ διχρ. 268, 4. Cram. Ep. 233, 17. Et. Mg. 511, 47. Et. Gud. 320, 37. Drac. de Metr. 28, 8. 56, 6. Schol. K 258. κήρυκ' Barnesius, conf. H. U. 127. Ἠπυτίδῃ κήρυκι ὅς οἱ Bothius, male. — 325 φρενὶ A. — 327 εἰρύσαισθε EG edd. vett. εἰρύσεσθε DH Vrat. d. εἰρύσασθε AS Vrat. b. A. ἐρύσσαισθε Townl. — 330 πλήθει H bene. ὑπερδεᾶ C Vrat. A. Et. Mg. 778, 38, cf. δ 728. — 331 ἡμῖν: ὑμῖν ES Cant. Ζεὺς μὲν omitt. L, μὲν A. δαναοῖσι ACDG. — 333 δὲ ἑκατηβόλον AS, an δὲ ἑκηβόλον? — 334 ἐς ἄντα H: ceteri ἐσάντα. ἕκτορι Vat. Vrat. A. — 335 τ' omitt. L. τρῴων L. ἐπίκουροι L. — 336 ἦδέ γ' C. ἦδε γ' D. ἠδ' Lips. γ' omitt. L Lips. — 337 ἀναλκΐῃσι ACGH. ἀναλκείῃσι S. — 338 τις φησὶ CDL. — 339 ἐπιτάροθον A. — 340 τῶ CDGHL: τῷ A. μὴ δ' ACDGHL. μὴ δή γε Harl. οἵ γε: οἵ γ' L. οἵδε G Flor.

A. c. 334 ἐς ἄντα, conf. H. T. 243.

Πάτροκλον νηυςὶν πελαςαίατο τεθνηῶτα.
ὣς φάτο, καί ῥα πολὺ προμάχων ἐξάλμενος ἔςτη·
οἳ δ' ἐλελίχθηςαν καὶ ἀναντίοι ἔςταν Ἀχαιῶν.
ἔνθ' αὖτ' Αἰνείας Λειώκριτον οὔταςε δουρί,
υἱὸν Ἀρίςβαντος, Λυκομήδεος ἐςθλὸν ἑταῖρον.
τὸν δὲ πεςόντ' ἐλέηςεν ἀρηΐφιλος Λυκομήδης,
cτῆ δὲ μάλ' ἐγγὺς ἰών, καὶ ἀκόντιςε δουρὶ φαεινῷ,
καὶ βάλεν Ἱππαςίδην Ἀπιςάονα, ποιμένα λαῶν,
ἧπαρ ὑπὸ πραπίδων, εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυςεν,
ὅς ῥ' ἐκ Παιονίης ἐριβώλακος εἰληλούθει,
καὶ δὲ μετ' Ἀςτεροπαῖον ἀριςτεύεςκε μάχεςθαι.
τὸν δὲ πεςόντ' ἐλέηςεν ἀρήιος Ἀςτεροπαῖος,
ἴθυςεν δὲ καὶ ὃ πρόφρων Δαναοῖςι μάχεςθαι·
ἀλλ' οὔ πως ἔτι εἶχε· cάκεςςι γὰρ ἔρχατο πάντη
ἑςταότες περὶ Πατρόκλῳ, πρὸ δὲ δούρατ' ἔχοντο.
Αἴας γὰρ μάλα πάντας ἐπῴχετο πολλὰ κελεύων·
οὔτέ τιν' ἐξοπίςω νεκροῦ χάζεςθαι ἀνώγει
οὔτέ τινα προμάχεςθαι Ἀχαιῶν ἔξοχον ἄλλων,
ἀλλὰ μάλ' ἀμφ' αὐτῷ βεβάμεν, ςχεδόθεν δὲ μάχεςθαι.
ὣς Αἴας ἐπέτελλε πελώριος, αἵματι δὲ χθὼν
δεύετο πορφυρέῳ, τοὶ δ' ἀγχιςτῖνοι ἔπιπτον
νεκροὶ ὁμοῦ Τρώων καὶ ὑπερμενέων ἐπικούρων
καὶ Δαναῶν· οὐδ' οἳ γὰρ ἀναιμωτί γε μάχοντο,
παυρότεροι δὲ πολὺ φθίνυθον· μέμνηντο γὰρ αἰεὶ

V. L. 341 νηυςὶ ACDL Lips. τεθνηῶτα A Cant. Harl. Townl.
ηι η
τεθνειῶτα L. τεθνειῶτα S. τεθνειῶτα CDGH. — 342. ῥὰ L. προμάχων: πρὸ φίλων Lips. — 343 οἳ δ' D. οἵδ' CGHL. ἐναντίον G. — 344 λειόκριτον G edd. vett. — 346 ἀρηΐφιλος μενέλαος L. — 346—351 omitt. H in textu, habet in marg. man. rec. — 348 ἀπιςάονα: ἀμυθάονα G Mor. Barocc. Vrat. b. — 349 ὑπο CD. hunc versum omitt. Vat. — 351 μετὰ ςτεροπαῖον Vrat. d. — 353 ἴθυςε Vrat. A. δ ACDGH. — 354 πάντῃ ADEG: πάντη CHL. — 355 προ CH. — 357 οὔτέ τιν' ACDEGH. οὐδέ τιν' L. νεκροῦ μάχεςθαι L Vrat. A. — 358 οὔτέ τινα ACDEGHL. ἄλλων: ἄλλον C. — 359 ςχεδόθεν τε CHE Harl. Townl. Vrat. d. Et. Mg. 193, 34. — 361 τοί: οἱ Apoll. Soph. 5, 20. ἀγχιςτῖνοι AC post ras. D: ἀγχηςτῖνοι C 1. man. EGHS et Heynii libri cum Apoll. Soph. 5,
η
20. ἀγχιςτῖνοι L. conf. χ 118. ω 181. 449. Cram. An. Ox. II, 319, 19. Et. Mg. 14, 45. — 362 τρῴων L. — 363 οἳ ACDGHL. ἀναιμωτεί L Lips. ceteri ἀναιμωτί. γε μάχοντο E Mor. Townl. ceteri γ' ἐμάχοντο. — 364 φθίνιθον L. μέμνοντο L Lips. μέμνητο G. ἀεὶ H.

ἀλλήλοις καθ' ὅμιλον ἀλεξέμεναι φόνον αἰπύν.
ὣς οἳ μὲν μάρναντο δέμας πυρός, οὐδέ κε φαίης
οὔτέ ποτ' ἠέλιον ςῶν ἔμμεναι οὔτε ςελήνην.
ἠέρι γὰρ κατέχοντο μάχης ἐπί θ' ὅςςον ἄριςτοι
ἕςταςαν ἀμφὶ Μενοιτιάδῃ κατατεθνηῶτι.
οἱ δ' ἄλλοι Τρῶες καὶ ἐυκνήμιδες Ἀχαιοὶ
εὔκηλοι πολέμιζον ὑπ' αἰθέρι, πέπτατο δ' αὐγὴ
ἠελίου ὀξεῖα, νέφος δ' οὐ φαίνετο πάςης
γαίης οὐδ' ὀρέων· μεταπαυόμενοι δὲ μάχοντο,
ἀλλήλων ἀλεείνοντες βέλεα ςτονόεντα,
πολλὸν ἀφεςταότες. τοὶ δ' ἐν μέςῳ ἄλγε' ἔπαςχον
ἠέρι καὶ πολέμῳ, τείροντο δὲ νηλέι χαλκῷ
ὅςςοι ἄριςτοι ἔςαν. δύο δ' οὔ πω φῶτε πεπύςθην,
ἀνέρε κυδαλίμω, Θραςυμήδης Ἀντίλοχός τε,
Πατρόκλοιο θανόντος ἀμύμονος, ἀλλ' ἔτ' ἔφαντο
ζωὸν ἐνὶ πρώτῳ ὁμάδῳ Τρώεςςι μάχεςθαι.
τὼ δ' ἐπιοςςομένω θάνατον καὶ φύζαν ἑταίρων
νόςφιν ἐμαρνάςθην, ἐπεὶ ὣς ἐπετέλλετο Νέςτωρ

V. L. 365 καθ' ὅμιλον ACDH Harl. Cant. Mor. Vat. Vrat. b. A.
ε
ἀν' ὅμιλον GL Lips. edd. vett. ἀν' ἢ καθ' E. ἀλεξαίμεναι C. φόνον ACHLS Harl. Cant. Mor. Frgm. Mosc. πόνον EG edd. vett. χόλον αἰπύν D. — 366 οἳ μὲν C. — 367 οὔτέ ποτ' ACDGHL. ςῶν L Lips. ςόον ACDEGH Pseudoplut. 129, 6. οὐδὲ ςελήνην A. — 368 μάχης ἔπι E. μάχης ἔπι θ' Cant. Mor. Harl. Lips. Vat. Townl. Flor. μάχης ἐπί θ' AD 1. man. (?) S Ven. B. Vrat. A. Frgm. Mosc. μάχης· ἐπί θ' CH ex em. μάχης ἐπεί θ' Vrat. b. μάχης ἔπει θ' G. μάχῃ· ἐπί θ' H 1. man. μάχῃ ἐπί θ' Vrat. d. μάχη ἔπι θ' L. μάχη||| ἐπί θ' ὅςοι D post ras. ὅςςον: libri ὅςςοι. — 369 ἔςταςαν DEL. κατατεθνηῶτι AGS Cant. Townl. Frgm. Mosc. Vrat. b. κατατεθνειῶτι CDHL. — 370 τρῷες L. τρῶές τε καὶ εὐκνήμιδες editores ante Wolfium. εὐκνήμιδες ADGHL. — 371 ἔκηλοι D. πίπτατο δ' αὐγῇ G. — 373 δὲ μάχοντο GH edd. vett. ceteri δ' ἐμάχοντο. — 375 ἀφεςταῶτες D. μέςςω H. — 377 ὅςοι D. δύω DH. πεπύςθην: πυθέςθην S Cant. — 378 κυδαλίμῳ AH. — 379 θανόντος: πεςόντος CD Vrat. d. ἀλλ' ἔτ': ἀλλά τ' L Lips. — 380 ἐνὶ: ἐν L. τρῴεςςι L. — 381 πόλεμον D et in marg. γρ. καὶ θάνατον. — 382 ἐμαρνάςθην: μαρνάςθην? conf. Θ 127. Ξ 406. γ 140. Ω 281. sed etiam H 303 ἠμὲν ἐμαρνάςθην librorum consensus tuetur.

A. c. 368 τὸ ἑξῆς ἐφ' ὅςςον, καὶ οὐκ ἀναςτρεπτέον· ὁ δὲ τε πλεονάζει. ἔςτι γὰρ ὁ λόγος καὶ ὁ νοῦς οὕτως· ἐφ' ὅςςον οἱ ἄριςτοι ἕςταςαν, ἐπὶ τοςοῦτο ἀέρι κατείχοντο. Ζηνόδοτος ἐπὶ τόςςον. Ἀριςτοφάνης μάχῃ ἔνι Schol. V. scholiasta igitur legebat μάχης ἐπί θ' ὅςςον, Schol. B μάχην ἐπί θ' ὅςςοι, quod patet ex interpretatione eius ὅςοι γὰρ ἄριςτοι ἐπὶ τὴν μάχην. quid veteres scripserint, pro certo affirmari non potest, quum scholia A deficiant. μάχης ὅςςον τ' ἐπ' ἄριςτοι Lachmannus ex coni.

ὀτρύνων πόλεμον δὲ μελαινάων ἀπὸ νηῶν.
τοῖϲ δὲ πανημερίοιϲ ἔριδοϲ μέγα νεῖκοϲ ὀρώρει
ἀργαλέηϲ· καμάτῳ δὲ καὶ ἱδρῷ νωλεμὲϲ αἰεὶ
γούνατά τε κνῆμαί τε πόδεϲ θ' ὑπένερθεν ἑκάϲτου
χεῖρέϲ τ' ὀφθαλμοί τε παλάϲϲετο μαρναμένοιιν
ἀμφ' ἀγαθὸν θεράποντα ποδώκεοϲ Αἰακίδαο.
ὡϲ δ' ὅτ' ἀνὴρ ταύροιο βοὸϲ μεγάλοιο βοείην
λαοῖϲιν δώῃ τανύειν, μεθύουϲαν ἀλοιφῇ·
δεξάμενοι δ' ἄρα τοί γε διαϲτάντεϲ τανύουϲι
κυκλόϲ', ἄφαρ δέ τε ἰκμὰϲ ἔβη, δύνει δέ τ' ἀλοιφή,
πολλῶν ἑλκόντων, τάνυται δέ τε πᾶϲα διὰ πρό·
ὣϲ οἵ γ' ἔνθα καὶ ἔνθα νέκυν ὀλίγῃ ἐνὶ χώρῃ
ἕλκεον ἀμφότεροι· μάλα δέ ϲφιϲιν ἔλπετο θυμόϲ,
Τρωϲὶν μὲν ἐρύειν προτὶ Ἴλιον, αὐτὰρ Ἀχαιοῖϲ
νῆαϲ ἔπι γλαφυράϲ· περὶ δ' αὐτοῦ μῶλοϲ ὀρώρει
ἄγριοϲ· οὐδέ κ' Ἄρηϲ λαοϲϲόοϲ οὐδέ κ' Ἀθήνη
τόν γε ἰδοῦϲ' ὀνόϲαιτ', οὐδ' εἰ μάλα μιν χόλοϲ ἵκοι.
τοῖον Ζεὺϲ ἐπὶ Πατρόκλῳ ἀνδρῶν τε καὶ ἵππων
ἤματι τῷ ἐτάνυϲϲε κακὸν πόνον. οὐδ' ἄρα πώ τι
ᾔδεε Πάτροκλον τεθνηότα δῖοϲ Ἀχιλλεύϲ.

V. L. 383 πόλεμόνδε omnes. — 384 πανημερίου A. — 385 ἀργαλέοιϲ L. δὲ omitt. D. — 386 θ' omitt. D. — 387 παλάϲϲοντο D. μαρναμένοιϲιν C Cant. Mor. Harl. Frgm. Mosc. Vrat. d. ceteri μαρναμένοιϊν, quod defendit Eustathius οἷα οὐχ ἁπλῶϲ ἐπὶ πλήθουϲ ῥηθέν, ἀλλ' ἐπὶ δυάδοϲ μερῶν τοῦ τε Τρωϊκοῦ τοῦ τε Ἀχαιικοῦ. — 388 ἀμφὶ G. — 390 λαοῖϲι ADE. δώη ACDL. δῴη EG. δοίη H Vrat. d. — 391 τανύουϲι ACDEG. — 392 δέ τε: δέ τ' CD. — 393 τανύεται D. τε omitt. CD. διὰ πρὸ G: vulgo διαπρό. — 395 εἵλκεον ACDEGHLS et Heynii libri. δέ ϲφιϲιν ACDHLS Harl. Cant. Mor. Vat. Vrat. b. d. A. δέ ϲφιν Lips. vulgo γάρ ϲφιϲιν cum G Flor. ἔλπετο CDGL Lips. Mor. Frgm. Mosc. Townl. Vrat. b. Flor. ἤλπετο AHS Rom. — 396 τρωϲὶ D. τρῳϲὶν L. μέν ῥ' ἐρύειν ACHS Vat. Frgm. Mosc. Vrat. b. ῥ' in caesura semiternaria et ante ἐρύειν opus non esse docent permulti loci, conf. Annal. Gymn. Austr, 1871, pg. 502 sqq. προτὶ: ποτὶ S ut fere semper. — 397 ἐπὶ ACDG. ἐπι L. ἀνὰ H Vat. Vrat. d. ἀνὰ ἢ ἐπὶ E. νεῖκοϲ ὀρώρει C. — 398 ἄγριον C. οὐδέ κ': οὐδ' ἂν E. — 399 τὸν δ' A. τὸν δὲ S. τόνδε Cant. τόν γ' Lips. Vrat. b. εἰδοῦϲ' Vrat. b. ἥκει L Lips. ἵκη D. ἥκοι Apoll. de Pron. 109 A. — 400 ζεὺϲ περὶ D. — 401 ἤματι D. ἄρά πω A. ἄρα πῶ C. — 402 τεθνειότα CL Cant Harl. Lips. Frgm. Mosc. τεθνειῶτα D. τεθνηῶτα A. ἀχϊλεύϲ C.

A. c. 392 κυκλόϲ': κύκλοϲ Aristarchus. κύκλῳ Zenodotus, conf. Δ 212. H. S. pg. 90. — 395 εἵλκεον: ἕλκεον Aristarchus. scriptura γάρ pro δέ orta videtur ex interpretatione. ἔλπετο Aristarcho tribuo, conf. ad 234.

πολλὸν γὰρ ἀπάνευθε νεῶν μάρναντο θοάων,
τείχει ὕπο Τρώων· τό μιν οὔ ποτε ἔλπετο θυμῷ
τεθνάμεν, ἀλλὰ ζωὸν ἐνιχριμφθέντα πύληϲιν
ἂψ ἀπονοϲτήϲειν, ἐπεὶ οὐδὲ τὸ ἔλπετο πάμπαν,
ἐκπέρϲειν πτολίεθρον ἄνευ ἕθεν, οὐδὲ ϲὺν αὐτῷ·
πολλάκι γὰρ τό γε μητρὸϲ ἐπεύθετο νόϲφιν ἀκούων,
ἥ οἱ ἀπαγγέλλεϲκε Διὸϲ μεγάλοιο νόημα·
δὴ τότε γ' οὔ οἱ ἔειπε κακὸν τόϲον, ὅϲϲον ἐτύχθη,
μήτηρ, ὅττί ῥά οἱ πολὺ φίλτατοϲ ὤλεθ' ἑταῖροϲ.
οἳ δ' αἰεὶ περὶ νεκρὸν ἀκαχμένα δούρατ' ἔχοντεϲ
νωλεμὲϲ ἐγχρίμπτοντο καὶ ἀλλήλουϲ ἐνάριζον·
ὧδε δέ τιϲ εἴπεϲκεν Ἀχαιῶν χαλκοχιτώνων·
ὦ φίλοι, οὐ μὰν ἧμιν εὐκλεὲϲ ἀπονέεϲθαι
νῆαϲ ἔπι γλαφυράϲ, ἀλλ' αὐτοῦ γαῖα μέλαινα
πᾶϲι χάνοι· τό κεν ἧμιν ἄφαρ πολὺ κέρδιον εἴη,
εἰ τοῦτον Τρώεϲϲι μεθήϲομεν ἱπποδάμοιϲιν
ἄϲτυ πότι ϲφέτερον ἐρύϲαι καὶ κῦδοϲ ἀρέϲθαι.
ὣϲ δέ τιϲ αὖ Τρώων μεγαθύμων αὐδήϲαϲκεν·
ὦ φίλοι, εἰ καὶ μοῖρα παρ' ἀνέρι τῷδε δαμῆναι
πάνταϲ ὁμῶϲ, μή πώ τιϲ ἐρωείτω πολέμοιο.

V. L. 403 γὰρ: γάρ ῥ' Harl. Vrat. A. Frgm. Mosc. γάρ ρ' C. γαρ ῥ' H conf. Ξ 30. ε 321. κ 242. φ 32. Annal. Gymn. Austr. 1871. pg. 506. — 404 ὑπὸ ACDGHL. τρῴων L. ὅ μιν A. τῶ μιν D. τὸ μὲν H. ἔλπετο ACDEGHLS Ven. B. Mor. Cant. Harl. Townl. Frgm Mosc. Vrat. b. d. A. θυμὸν Vrat. d. — 405 τεθνάμεν ἂν H. ἐνὶ χριμφθέντα A. ἐνιχριφθέντα Vrat. b. ἐνιχριμφέντα E Vrat. d. πύλαιϲ H. — 406 ἤλπετο H: ceteri ἔλπετο. — 407 ἐκπέρϲαι D. — 408 τό γε: τόδε AS Cant. Vat. νόϲφιν: χωρὶϲ Cant. Vat. e glossa. — 410 γ' omitt. H. οὔ οἱ: οὔ τοι L. — 411 ὅτι DH. πολυφίλτατοϲ D. ἑταίρων L. — 412 οἳ δ' A. οἵδ' CD GHL. — 413 ἐγχρίπτοντο A. ἐχρίμπτοντο D Mor. Harl. Vat. Vrat. b. A. Lips. ἐνάριζεν H. — 414 εἴπιϲκεν G. — 415 οὐ μὰν CEHL Lips. Flor. Rom. Cram. Ep. 188, 9. Bachm. Anecd. II, 66, 17. οὐ μὴν Vat. οὐκ ἂν AS. οὐ μὲν DG. ἧμιν CDEG Cram. Ep. 188, 9. Bachm. Anecd II. 66, 17. ἡμῖν HLS Lips. Vrat. d. A. εὐκλεὲϲ DHL Lips. Vrat. d. A. ἐϋπλεὲϲ G. γράφουϲι μέν τινεϲ οὐ μὰν ἡμῖν εὐκλεέϲ Eust. 1112, 34. — 416 ἐπὶ ACDEGHL. — 417 ἧμιν CG. ἥμιν D. ἡμῖν AEHL. πολυκέρδιον D. — 418 ἢ τοῦτον G et olim vulgo: εἰ ACDEHL Cant. Harl. Vat. Frgm. Mosc. Vrat. b. d. τρῴεϲϲι L. ἱπποδάμοιϲι D. — 419 ποτὶ ACDGHL. ἐρῦϲαι ACD. ἐρύϲειν Harl. Vrat b. A. — 420 ὧϲ δέ τιϲ ACDHL Cant. Harl. Vat. Lips. Townl. Frgm. Mosc. Vrat. b. d. A. ὧδε δέ τιϲ G Mor. — 422 μή πω τιϲ ADEGH. μή πω τῖϲ C. μή πωϲ L Lips. τῖϲ L.

A. c. 404—425 Ζηνόδοτοϲ οὐ γράφει Schol. V. — 415 et 417 ἧμιν conf. H. T. 275. — 420 Ἀρίϲταρχοϲ ἀθετεῖ Schol. V ad 404.

ὣc ἄρα τιc εἴπεcκε, μένοc δ' ὄρcαcκεν ἑκάcτου.
ὣc οἳ μὲν μάρναντο, cιδήρειοc δ' ὀρυμαγδὸc
χάλκεον οὐρανὸν ἷκε δι' αἰθέροc ἀτρυγέτοιο·
ἵπποι δ' Αἰακίδαο μάχηc ἀπάνευθεν ἐόντεc
κλαῖον, ἐπεὶ δὴ πρῶτα πυθέcθην ἡνιόχοιο
ἐν κονίῃcι πεcόντοc ὑφ' Ἕκτοροc ἀνδροφόνοιο.
ἦ μὰν Αὐτομέδων, Διώρεοc ἄλκιμοc υἱόc,
πολλὰ μὲν ἂρ μάcτιγι θοῇ ἐπεμαίετο θείνων,
πολλὰ δὲ μειλιχίοιcι προcηύδα, πολλὰ δ' ἀρειῇ·
τὼ δ' οὔτ' ἂψ ἐπὶ νῆαc ἐπὶ πλατὺν Ἑλλήcποντον
ἠθελέτην ἰέναι οὔτ' ἐc πόλεμον μετ' Ἀχαιούc,
ἀλλ' ὥc τε cτήλη μένει ἔμπεδον, ἥ τ' ἐπὶ τύμβῳ
ἀνέροc ἑcτήκῃ τεθνηότοc ἠὲ γυναικόc,
ὣc μένον ἀcφαλέωc περικαλλέα δίφρον ἔχοντεc,
οὔδει ἐνιcκίμψαντε καρήατα· δάκρυα δέ cφι
θερμὰ κατὰ βλεφάρων χαμάδιc ῥέε μυρομένοιcιν
ἡνιόχοιο πόθῳ· θαλερὴ δὲ μιαίνετο χαίτη
ζεύγληc ἐξεριποῦcα παρὰ ζυγὸν ἀμφοτέρωθεν.
μυρομένω δ' ἄρα τώ γε ἰδὼν ἐλέηcε Κρονίων,
κινήcαc δὲ κάρη προτὶ ὃν μυθήcατο θυμόν·
ἆ δειλώ, τί cφῶι δόμεν Πηλῆι ἄνακτι
θνητῷ, ὑμεῖc δ' ἐcτὸν ἀγήρω τ' ἀθανάτω τε.
ἦ ἵνα δυcτήνοιcι μετ' ἀνδράcιν ἄλγε' ἔχητον;

V. ι. 423 τίc τ' AS. τῖc C. ὤρcαcκεν CLS Townl. ἑκάcτου ADGH LS et Heynii libri. ἕκαcτοc C. vulgo ἑταίρου cum ed. Rom. — 424 cιδήρεοc L. ὀρυγμαδὸc CGH. — 425 ἵκε C. — 427 ἐπειδὴ libri. — 429 αὐτομέδων γε AS Cant. Vrat. A. male, conf. 474. — 431 προcηῦδα D: κελεύων Apoll. Soph. 42, 16. — 434 omitt. H in textu, habet in marg. man. rec. — 435 ἑcτήκει ADHLS Cant. Mor. Lips. Vat. Vrat. b. d. Schol. α 1. εἱcτήκει CEG. correxit G. Hermannus. τεθνηότοc AGHS. τεθνηότοc L. τεθνειότοc CE. τεθνειῶτοc D Vrat. A. Schol. α 1. — 436 ἔχοντε CS Cant. Townl. Frgm. Mosc. Vrat. b. d. quod non displicet. — 437 ἐνιcκίμψαντε CE 1114, 20 H Vat. Harl. Rom. ἐνὶ cκίμψαντε Townl. ἐνιcκίψαντε L Eust. 1114, 21. Frgm. Mosc. man. sec. ἔνι cκίψαντε AS. ἔνι cκήψαντε Vrat. A. ἐνιcκήψαντε G Flor. Philemo gramm. 90, 134. ἐνιcκίμψαντεc Vrat. d. ἐνιcκήψαντεc D. ἐνιcκήψαντε ἢ ἐνιcκίμψαντε Eust. 1113, 19. — 438 μυρομένοιϊν HS Cant. Vrat. d. A. — 439 ποθῇ G Cant. Flor. δ' ἐμαίνετο HL Cant. — 440 ἀμφοτέρωθεν AS Cant. Harl. Vat. ἀμφοτέρωcε HL Townl. Vrat. d. ἀμφοτέροcε D. ἀμφοτέροιcι CG et olim vulgo. ἀμφοτέροιcιν ἢ ἀμφοτέρωθεν Eust. — 441 μυρομένῳ G. μυρομένουc δ' ὣδ' ἄρα τούcγε Townl. — 442 ποτὶ AS Cant. πρὸ τὶ HL. — 445 ἢ D. ἔχητε L Lips. ἔχοιτον A.

A. c. 435 ἑcτήκῃ conf. ad Δ 483. — 439 ποθῇ ut Iliadis proprium recepit Bekkerus, idem δ' ἐμιαίνετο.

οὐ μὲν γάρ τί πού ἐcτιν ὀιζυρώτερον ἀνδρὸc
πάντων, ὅccά τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
ἀλλ' οὐ μὰν ὑμῖν γε καὶ ἅρμαcι δαιδαλέοιcιν
Ἕκτωρ Πριαμίδηc ἐποχήcεται· οὐ γὰρ ἐάcω.
ἦ οὐχ ἅλιc ὡc καὶ τεύχε' ἔχει καὶ ἐπεύχεται αὔτωc;
cφῶιν δ' ἐν γούνεccι βαλῶ μένοc ἠδ' ἐνὶ θυμῷ,
ὄφρα καὶ Αὐτομέδοντα cαώcετον ἐκ πολέμοιο
νῆαc ἔπι γλαφυράc· ἔτι γάρ cφιcι κῦδοc ὀρέξω,
κτείνειν, εἰc ὅ κε νῆαc ἐϋccέλμουc ἀφίκωνται
δύῃ τ' ἠέλιοc καὶ ἐπὶ κνέφαc ἱερὸν ἔλθῃ.
ὣc εἰπὼν ἵπποιcιν ἐνέπνευcεν μένοc ἠύ.
τὼ δ' ἀπὸ χαιτάων κονίην οὖδαc δὲ βαλόντε
ῥίμφ' ἔφερον θοὸν ἅρμα μετὰ Τρῶαc καὶ Ἀχαιούc.
τοῖcι δ' ἐπ' Αὐτομέδων μάχετ' ἀχνύμενόc περ ἑταίρου,
ἵπποιc ἀΐccων ὥc τ' αἰγυπιὸc μετὰ χῆναc·
ῥέα μὲν γὰρ φεύγεcκεν ὑπ' ἐκ Τρώων ὀρυμαγδοῦ,
ῥεῖα δ' ἐπαΐξαcκε πολὺν καθ' ὅμιλον ὀπάζων.
ἀλλ' οὐχ ᾕρει φῶταc, ὅτε cεύαιτο διώκειν·
οὐ γάρ πωc ἦν οἷον ἐόνθ' ἱερῷ ἐνὶ δίφρῳ

V. ι. 446 τι που ἐcτὶν AL. τί που ἐcτὶν DG. τι ποῦ ἐcτϊν H. τί ποτ' ἐcτὶν Plat. Axioch. 367 D. Stobaeus Flor. 98, 51 et 75. ὀϊζυρότερον H Vrat. d. — 447 ὅccά τε CEH. ὅca D. ἔπι πνείει A. ἐπιπνείει CDEGHL Plat. Axioch. 367 D. Stob. Flor. 98, 51 et 75. Pseudoplut. 71, 10. Schol. X 431. Plutarchus de Amore prolis 3. Schol. Soph. Trach. 1162. — 448 γε omitt. L. — 449 ἐπωιχήcεται A. ἐάccω Vrat. A. — 450 ἢ ACDEGH. Apoll. Soph. 170, 14. idem ἀγάλλεται pro ἐπεύχεται. ἔχῃ Vrat. A. αὔτωc AEGH Apoll. Soph. — 451 γούναccι G: ceteri γούνεccι. βάλω Frgm. Mosc. ἢ δ' D. — 453 ἐπὶ ACDGHL ἀνὰ Vat. γάρ cφιν L Lips. — 454 εἰc ὅ κεν D: ceteri εἰcόκε. εὐcέλμουc D. εὐccέλμουc H. — 455 omitt. C 1. man. Vat. ἐπι HL. ἔλθοι HS Vrat. d. — 456 ἐνέπνευcε DG. ἐπέπνευcε Vrat. A. — 457 οὖδαcδε AC. οὔδαcδε D. vulgo οὐδάcδε. — 458 τρῷαc L. — 459 αὐτομέδων μεταχνύμενοc L Lips. — 460 μετα H. — 461 ῥέα DH Mor. Barocc. ῥεῖα ACEGL Vrat. A. ὑπ' ἐκ ADEGL. τρώων L. ὀρυγμαδοῦ CGH. — 462 ἐπαΐξεcκε CH. — 463 ὅτε cεύαιτο A. ὅτ' ἐccεύαιτο S Cant. ὅτ' ἐccεύετο GHL Mor. Townl. Vrat. b. d. A. Flor. ὅτ' ἐccεύατο Frgm. Mosc. Vat. ὅτ' ἐccεύοντο C. ὅτ' ἐπεccεύετο D, conf. Ψ 198. — 464 οἷον D. οἷον θ' ἱερῶι A. ἰόνθ' G Flor.

A. c. 456 ἐνέπνευcεν μένοc ἠύ Aristarchus: μένοc πολυθαρcὲc ἐνῆκεν Zenodotus, qui addit αὐτὸc δ' Οὔλυμπον δὲ μετ' ἀθανάτοιcι βεβήκει Schol. V. cf. Schol. 545. μετ' ἀθανάτοιcι βεβήκει a consuetudine poëtae abhorret, conf. A 221 Οὔλυμπον δὲ βεβήκει μετὰ δαίμοναc ἄλλουc. A 423. O 54. 161. 177. γ 366. δ 258. ζ 54. θ 294. 456. itaque corrigendum est μετ' ἀθανάτουc ἐβεβήκει.

ἔγχει ἐφορμᾶϲθαι καὶ ἐπίϲχειν ὠκέαϲ ἵππουϲ.
ὀψὲ δὲ δή μιν ἑταῖροϲ ἀνὴρ ἴδεν ὀφθαλμοῖϲιν
Ἀλκιμέδων, υἱὸϲ Λαέρκεοϲ Αἱμονίδαο·
ϲτῆ δ᾽ ὄπιθεν δίφροιο, καὶ Αὐτομέδοντα προϲηύδα·
Αὐτόμεδον, τίϲ τοί νυ θεῶν νηκερδέα βουλὴν
ἐν ϲτήθεϲϲιν ἔθηκε, καὶ ἐξέλετο φρέναϲ ἐϲθλάϲ;
οἷον πρὸϲ Τρῶαϲ μάχεαι πρώτῳ ἐν ὁμίλῳ
μοῦνοϲ· ἀτάρ τοι ἑταῖροϲ ἀπέκτατο, τεύχεα δ᾽ Ἕκτωρ
αὐτὸϲ ἔχων ὤμοιϲιν ἀγάλλεται Αἰακίδαο.
τὸν δ᾽ αὖτ᾽ Αὐτομέδων προϲέφη, Διώρεοϲ υἱόϲ·
Ἀλκίμεδον, τίϲ γάρ τοι Ἀχαιῶν ἄλλοϲ ὁμοῖοϲ
ἵππων ἀθανάτων ἐχέμεν δμῆϲίν τε μένοϲ τε,
εἰ μὴ Πάτροκλοϲ, θεόφιν μήϲτωρ ἀτάλαντοϲ,
ζωὸϲ ἐών; νῦν αὖ θάνατοϲ καὶ μοῖρα κιχάνει.
ἀλλὰ ϲὺ μὲν μάϲτιγα καὶ ἡνία ϲιγαλόεντα
δέξαι, ἐγὼ δ᾽ ἵππων ἀποβήϲομαι, ὄφρα μάχωμαι.
ὣϲ ἔφατ᾽, Ἀλκιμέδων δὲ βοηθόον ἅρμ᾽ ἐπορούϲαϲ
καρπαλίμωϲ μάϲτιγα καὶ ἡνία λάζετο χερϲίν,
Αὐτομέδων δ᾽ ἀπόρουϲε. νόηϲε δὲ φαίδιμοϲ Ἕκτωρ,
αὐτίκα δ᾽ Αἰνείαν προϲεφώνεεν ἐγγὺϲ ἐόντα·
Αἰνεία, Τρώων βουληφόρε χαλκοχιτώνων,
ἵππω τώδ᾽ ἐνόηϲα ποδώκεοϲ Αἰακίδαο
ἐϲ πόλεμον προφανέντε ϲὺν ἡνιόχοιϲι κακοῖϲι.
τῶ κεν ἐελποίμην αἱρηϲέμεν, εἰ ϲύ γε θυμῷ
ϲῷ ἐθέλειϲ, ἐπεὶ οὐκ ἂν ἐφορμηθέντε γε νῶι
τλαῖεν ἐναντίβιον ϲτάντεϲ μαχέϲαϲθαι ἄρηι.

V. l. 465 ἔγχεϊ C. ἐπιϲχνεῖν G. ἐπιϲχεῖν Vrat. A. — 467 αἰμονίδαο AHLS Cant. αἰμονίδαο DG. ἁρμονίδαο C Townl. Frgm. Mosc. — 468 ὄπιϲθεν D. ὄπιθε Lips. προϲηῦδα D. — 469 τοι νῦν H. — 470 ἐνὶ ϲτήθεϲϲιν A. ϲτήθεϲϲι τέθεικε D. — 471 τρῷαϲ L. μάχεϲθαι L Lips. 1. man. — 473 ὤμοιϊν Vrat. A. — 474 αὖτ᾽ omitt. A. διώρεωϲ G. — 475 τίϲ τ᾽ ἄρ Townl. — 476 δμῆϲίν G. — 478 νῦν αὖ ACGHL Barocc. Lips. Mor. Townl. Frgm. Mosc. Vrat. A. νῦν δ᾽ αὖ DS. κιχάνει: κάλυψεν CDH Mor. Vrat d. A. — 480 ἀποβήϲομαι: ἐπιβήϲομαι AS conf. Ε 227. — 481 βοηθόον: βοῇ θοὸν AS Vrat. A., conf. Ν 477. — 485 τρῴων L. — 487 κακοῖϲι ACDGH. — 488 τῶ CDGL. τῷ AH. τώ κεν (ἤγουν οὕϲ κεν) ES Rom. — 489 ἐθέλοιϲ CHS Frgm. Mosc. ἐθέλειϲ[οι] A, conf. Ψ 894. ἐπεὶ οὔτιν᾽ D. νῶϊν DG Flor.

A. c. 465 ἐπίϲχειν Herodianus cum Aristarcho: ἐπιϲχεῖν Ptolem. Ascalonita. — 481 βοηθόον Aristarchus: βοῇ θοόν, οἱ ἀπὸ τῆϲ ϲχολῆϲ Schol. V.

ὣϲ ἔφατ᾽, οὐδ᾽ ἀπίθηϲεν ἐὺϲ πάιϲ Ἀγχίϲαο.
τὼ δ᾽ ἰθὺϲ βήτην βοέῃϲ εἰλυμένω ὤμουϲ,
αὔῃϲι ϲτερεῇϲι· πολὺϲ θ᾽ ἐπελήλατο χαλκόϲ.
τοῖϲι δ᾽ ἅμα Χρομίοϲ τε καὶ Ἄρητοϲ θεοειδὴϲ
ἤιϲαν ἀμφότεροι· μάλα δέ ϲφιϲιν ἔλπετο θυμὸϲ
αὐτώ τε κτενέειν ἐλάαν τ᾽ ἐριαύχεναϲ ἵππουϲ·
νήπιοι, οὐδ᾽ ἄρ᾽ ἔμελλον ἀναιμωτί γε νέεϲθαι
αὖτιϲ ἀπ᾽ Αὐτομέδοντοϲ. ὃ δ᾽ εὐξάμενοϲ Διὶ πατρὶ
ἀλκῆϲ καὶ ϲθένεοϲ πλῆτο φρέναϲ ἀμφιμελαίναϲ.
αὐτίκα δ᾽ Ἀλκιμέδοντα προϲηύδα, πιϲτὸν ἑταῖρον·
Ἀλκίμεδον, μὴ δή μοι ἀπόπροθεν ἰϲχέμεν ἵππουϲ,
ἀλλὰ μάλ᾽ ἐμπνείοντε μεταφρένῳ· οὐ γὰρ ἐγώ γε
Ἕκτορα Πριαμίδην μένεοϲ ϲχήϲεϲθαι ὀίω,
πρίν γ᾽ ἐπ᾽ Ἀχιλλῆοϲ καλλίτριχε βήμεναι ἵππω
νῶι κατακτείναντα, φοβῆϲαί τε ϲτίχαϲ ἀνδρῶν
Ἀργείων, ἤ κ᾽ αὐτὸϲ ἐνὶ πρώτοιϲιν ἁλώῃ.
ὣϲ εἰπὼν Αἴαντε καλέϲϲατο καὶ Μενέλαον·
Αἴαντ᾽, Ἀργείων ἡγήτορε, καὶ Μενέλαε,
ἤ τοι μὲν τὸν νεκρὸν ἐπιτράπεθ᾽ οἵ περ ἄριϲτοι,
ἀμφ᾽ αὐτῷ βεβάμεν καὶ ἀμύνεϲθαι ϲτίχαϲ ἀνδρῶν,
νῶιν δὲ ζωοῖϲιν ἀμύνετε νηλεὲϲ ἦμαρ·
τῇδε γὰρ ἔβριϲαν πόλεμον κάτα δακρυόεντα
Ἕκτωρ Αἰνείαϲ θ᾽, οἳ Τρώων εἰϲὶν ἄριϲτοι.
ἀλλ᾽ ἤ τοι μὲν ταῦτα θεῶν ἐν γούναϲι κεῖται·

V. l. 491 πάϊϲ: παῖϲ H — 492 εἰλημμένῳ G. — 493 ϲτερεοῖϲι Lips. — 494 χρόμιόϲ ACDGHL. — 495 ἔλπετο DEGL Lips. Mor. Vrat. b. ἤλπετο ACHS. — 496 ἐλάαν: ἐλέειν H Vrat. d. — 497 ἄρ ADGHL. — 498 αὖθϊϲ CD. ἐπ᾽[α] D. ὅδ᾽ ACDGHL. πατρὴ G. — 500 προϲηῦδα D. — 501 ἀλκιμέδον A. ἵππω CH Harl. Townl. Frgm. Mosc. Vrat. A. — 502 μεταφρένῳ[ον] H. μετάφρενον ἢ μεταφρένῳ Eust. 1116, 12. — 503 ϲχήϲαϲθαι Barocc. μάχηϲ ϲχήϲεϲθαι C. — 504 πρίν κ᾽ A. ἀχϊλῆοϲ C. — 505 φοβῆϲαι δὲ G. — 505—510 omitt. Vrat. A. — 506 ἁλώιη A. ἁλῴη E. ἁλώη CDGS et olim vulgo. ἁλώην H. ἐνὶ τρώεϲϲιν ἀλοίη Lips. ἀλοίη[ω] L. ἀλοίη Harl. — 509 ἤτοι libri. ὅϲϲοι ἄριϲτοι CG Flor. ὅϲοι D. — 510 ἀμύναϲθαι C Cant. Mor. — 511 νῶϊ D. δὲ: δ᾽ ἐν A. ἀμύνατε Mor. Barocc. ἦμαρ D. — 512 κατὰ ADEGL. κατα H. καταδακρυόεντα C. — 513 ἕκτωρ τ᾽ C. τρῴων L.

A. c. 494 Χρομίοϲ veteres, conf. H. T. 399. — 495 ἔλπετο, conf. 234. 395. 404.

ἔγχει ἐφορμᾶcθαι καὶ ἐπίcχειν ὠκέας ἵππους.
ὀψὲ δὲ δή μιν ἑταῖρος ἀνὴρ ἴδεν ὀφθαλμοῖcιν
Ἀλκιμέδων, υἱὸς Λαέρκεος Αἱμονίδαο·
cτῆ δ' ὄπιθεν δίφροιο, καὶ Αὐτομέδοντα προcηύδα·
Αὐτόμεδον, τίς τοί νυ θεῶν νηκερδέα βουλὴν
ἐν cτήθεccιν ἔθηκε, καὶ ἐξέλετο φρένας ἐcθλάς;
οἷον πρὸς Τρῶας μάχεαι πρώτῳ ἐν ὁμίλῳ
μοῦνος· ἀτάρ τοι ἑταῖρος ἀπέκτατο, τεύχεα δ' Ἕκτωρ
αὐτὸς ἔχων ὤμοιcιν ἀγάλλεται Αἰακίδαο.
τὸν δ' αὖτ' Αὐτομέδων προcέφη, Διώρεος υἱός·
Ἀλκίμεδον, τίς γάρ τοι Ἀχαιῶν ἄλλος ὁμοῖος
ἵππων ἀθανάτων ἐχέμεν δμῆcίν τε μένος τε,
εἰ μὴ Πάτροκλος, θεόφιν μήcτωρ ἀτάλαντος,
ζωὸς ἐών; νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει.
ἀλλὰ cὺ μὲν μάcτιγα καὶ ἡνία cιγαλόεντα
δέξαι, ἐγὼ δ' ἵππων ἀποβήcομαι, ὄφρα μάχωμαι.
ὣς ἔφατ', Ἀλκιμέδων δὲ βοηθόον ἅρμ' ἐπορούcας
καρπαλίμως μάcτιγα καὶ ἡνία λάζετο χερcίν,
Αὐτομέδων δ' ἀπόρουcε. νόηcε δὲ φαίδιμος Ἕκτωρ,
αὐτίκα δ' Αἰνείαν προcεφώνεεν ἐγγὺς ἐόντα·
Αἰνεία, Τρώων βουληφόρε χαλκοχιτώνων,
ἵππω τώδ' ἐνόηcα ποδώκεος Αἰακίδαο
ἐς πόλεμον προφανέντε cὺν ἡνιόχοιcι κακοῖcι.
τῶ κεν ἐελποίμην αἱρηcέμεν, εἴ cύ γε θυμῷ
cῷ ἐθέλεις, ἐπεὶ οὐκ ἂν ἐφορμηθέντε γε νῶι
τλαῖεν ἐναντίβιον cτάντες μαχέcαcθαι ἄρηι.

V. L. 465 ἔγχεϊ C. ἐπιcχνεῖν G. ἐπιcχεῖν Vrat. A. — 467 αἱμονίδαο AHLS Cant. αἰμονίδαο DG. ἁρμονίδαο C Townl. Frgm. Mosc. — 468 ὄπιcθεν D. ὄπιθε Lips. προcηῦδα D. — 469 τοι νῦν H. — 470 ἐνὶ cτήθεccιν A. cτήθεccι τέθεικε D. — 471 τρῷας L. μάχεcθαι L Lips. 1. man. — 473 ὤμοιϊν Vrat. A. — 474 αὖτ' omitt. A. διώρεως G. — 475 τίς τ' ἄρ Townl. — 476 δμῆcίν G. — 478 νῦν αὖ ACGHL Barocc. Lips. Mor. Townl. Frgm. Mosc. Vrat. A. νῦν δ' αὖ DS. κιχάνει: κάλυψεν CDH Mor. Vrat. d. A. — 480 ἀποβήcομαι: ἐπιβήcομαι AS conf. Ε 227. — 481 βοηθόον: βοῇ θοὸν AS Vrat. A., conf. Ν 477. — 485 τρῴων L. — 487 κακοῖcι ACDGH. — 488 τῶ CDGL. τῷ AH. τώ κεν (ἤγουν οὕς [οι] κεν) ES Rom. — 489 ἐθέλοις CHS Frgm. Mosc. ἐθέλεις A, conf. Ψ 894. ἐπεὶ οὔτιν' D. νῶϊν DG Flor.

A. c. 465 ἐπίcχειν Herodianus cum Aristarcho: ἐπιcχεῖν Ptolem. Ascalonita. — 481 βοηθόον Aristarchus: βοῇ θοόν, οἱ ἀπὸ τῆς cχολῆς Schol. V.

ὣς ἔφατ', οὐδ' ἀπίθηcεν ἐὺς πάις Ἀγχίcαο.
τὼ δ' ἰθὺς βήτην βοέῃς εἰλυμένω ὤμους,
αὔῃcι cτερεῇcι· πολὺς θ' ἐπελήλατο χαλκός.
τοῖcι δ' ἅμα Χρομίος τε καὶ Ἄρητος θεοειδὴς
ἤιcαν ἀμφότεροι· μάλα δέ cφιcιν ἔλπετο θυμὸς
αὐτώ τε κτενέειν ἐλάαν τ' ἐριαύχενας ἵππους·
νήπιοι, οὐδ' ἄρ' ἔμελλον ἀναιμωτί γε νέεcθαι
αὖτις ἀπ' Αὐτομέδοντος. ὃ δ' εὐξάμενος Διὶ πατρὶ
ἀλκῆς καὶ cθένεος πλῆτο φρένας ἀμφιμελαίνας.
αὐτίκα δ' Ἀλκιμέδοντα προcηύδα, πιcτὸν ἑταῖρον·
Ἀλκίμεδον, μὴ δή μοι ἀπόπροθεν ἰcχέμεν ἵππους,
ἀλλὰ μάλ' ἐμπνείοντε μεταφρένῳ· οὐ γὰρ ἐγώ γε
Ἕκτορα Πριαμίδην μένεος cχήcεcθαι ὀίω,
πρίν γ' ἐπ' Ἀχιλλῆος καλλίτριχε βήμεναι ἵππω
νῶι κατακτείναντα, φοβῆcαί τε cτίχας ἀνδρῶν
Ἀργείων, ἤ κ' αὐτὸς ἐνὶ πρώτοιcιν ἁλώῃ.
ὣς εἰπὼν Αἴαντε καλέccατο καὶ Μενέλαον·
Αἴαντ', Ἀργείων ἡγήτορε, καὶ Μενέλαε,
ἤ τοι μὲν τὸν νεκρὸν ἐπιτράπεθ' οἵ περ ἄριcτοι,
ἀμφ' αὐτῷ βεβάμεν καὶ ἀμύνεcθαι cτίχας ἀνδρῶν,
νῶιν δὲ ζωοῖcιν ἀμύνετε νηλεὲς ἦμαρ·
τῇδε γὰρ ἔβριcαν πόλεμον κάτα δακρυόεντα
Ἕκτωρ Αἰνείας θ', οἳ Τρώων εἰcὶν ἄριcτοι.
ἀλλ' ἦ τοι μὲν ταῦτα θεῶν ἐν γούναcι κεῖται·

V. L. 491 πάϊς: παῖς H. — 492 εἰλημμένῳ G. — 493 cτερεοῖcι Lips. — 494 χρόμιός ACDGHL. — 495 ἔλπετο DEGL Lips. Mor. Vrat. b. ἤλπετο ACHS. — 496 ἐλάαν: ἐλέειν H Vrat. d. — 497 ἄρ ADGHL. — 498 αὖθϊς CD. ἐπ' [α] D. ὅδ' ACDGHL. πατρὴ G. — 500 προcηῦδα D. — 501 ἀλκιμέδον A. ἵππω CH Harl. Townl. Frgm. Mosc. Vrat. A. — 502 μεταφρένῳ [ον] H. μετάφρενον ἢ μεταφρένῳ Eust. 1116, 12. — 503 cχήcαcθαι Barocc. μάχης cχήcεcθαι C. — 504 πρίν κ' A. ἀχϊλῆος C. — 505 φοβῆcαι δὲ G. — 505—510 omitt. Vrat. A. — 506 ἁλώιη A. ἁλῴη E. ἀλώῃ CDGS et olim vulgo. ἁλώην H. ἐνὶ τρώεccιν ἀλοίη Lips. ἀλοίη [ω] L. ἀλοίῃ Harl. — 509 ἤτοι libri. ὅccοι ἄριcτοι CG Flor. ὅcοι D. — 510 ἀμύναcθαι C Cant. Mor. — 511 νῶϊ D. δὲ: δ' ἐν A. ἀμύνατε Mor. Barocc. ἦμαρ D. — 512 κατὰ ADEGL. κατα H. καταδακρυόεντα C. — 513 ἕκτωρ τ' C. τρῴων L.

A. c. 494 Χρομίος veteres, conf. H. T. 399. — 495 ἔλπετο, conf. 234. 395. 404.

ἥϲω γὰρ καὶ ἐγώ, τὰ δέ κεν Διὶ πάντα μελήϲει.
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόϲκιον ἔγχοϲ,
καὶ βάλεν Ἀρήτοιο κατ' ἀϲπίδα πάντοϲ' ἐΐϲην·
ἡ δ' οὐκ ἔγχοϲ ἔρυτο, διὰ πρὸ δὲ εἴϲατο χαλκόϲ,
νειαίρῃ δ' ἐν γαϲτρὶ διὰ ζωϲτῆροϲ ἔλαϲϲεν.
ὡϲ δ' ὅτ' ἂν ὀξὺν ἔχων πέλεκυν αἰζήιοϲ ἀνήρ,
κόψαϲ ἐξόπιθεν κεράων βοὸϲ ἀγραύλοιο,
ἶνα τάμῃ διὰ πᾶϲαν, ὃ δὲ προθορὼν ἐρίπῃϲιν,
ὣϲ ἄρ' ὅ γε προθορὼν πέϲεν ὕπτιοϲ· ἐν δέ οἱ ἔγχοϲ
νηδυίοιϲι μάλ' ὀξὺ κραδαινόμενον λύε γυῖα.
Ἕκτωρ δ' Αὐτομέδοντοϲ ἀκόντιϲε δουρὶ φαεινῷ·
ἀλλ' ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχοϲ·
πρόϲϲω γὰρ κατέκυψε, τὸ δ' ἐξόπιθεν δόρυ μακρὸν
οὔδει ἐνιϲκίμφθη, ἐπὶ δ' οὐρίαχοϲ πελεμίχθη
ἔγχεοϲ· ἔνθα δ' ἔπειτ' ἀφίει μένοϲ ὄβριμοϲ Ἄρηϲ.
καί νύ κε δὴ ξιφέεϲϲ' αὐτοϲχεδὸν ὁρμηθήτην,
εἰ μή ϲφω' Αἴαντε διέκριναν μεμαῶτε,
οἵ ῥ' ἦλθον καθ' ὅμιλον ἑταίρου κικλήϲκοντοϲ.
τοὺϲ ὑποταρβήϲαντεϲ ἐχώρηϲαν πάλιν αὖτιϲ

V. ι. 515 δι!: θεῷ E. μελήϲῃ C. — 516 ῥὰ ACDGHL. — 517 παντόϲε ἴϲην ADLS Lips. Vrat. A. — 518 ἤδ' CDGHL. διὰ πρὸ H. διαπρο C: ceteri διαπρὸ. δεείϲατο καὶ τῆϲ C. — 519 διὰ H. ἔλαϲεν D. — 520 ὅταν ACDE (om. δ') GL Eust. 1001, 29. αἰζηὸϲ AG Flor. αἰζη||ὸϲ D. — 521 ἐξόπιϲθε D. ἐξόπιϲθεν Lips. — 522 ἵνα τάμῃ G. τάμεν Et. Mg 471, 15. διὰ CH. ὃ δὲ C. προθορῶν ἐρύπηϲιν L. ἐρίπηιϲι D. — 523 ἂρ AD GH. προθορῶν L. — 524 νηδύι D. νηδύοιϲι L Lips. Vrat. A. Flor. λῦε DG. λῦϲε E. λύϲε Vrat. d. — 525 δ' omitt. L. — 526 ὃ μὲν C. ἀλεύατο D. — 527 ἐξόπιϲθεν G Lips. Flor. Rom. ἐξόπιϲθε D. — 528 ἐνιϲκήμφη C. ἐνιϲκήφθη Vrat. A, conf. 437. ἐπὶ H. — 529 ὄμβριμοϲ CD Lips. — 530 ξιφέεϲ' D. ξίφεϲ' A. ὁρμηθήτην A Vrat. d. ὡρμήθηϲαν H et supra γρ. οὐτάζοντο. ceteri ὡρμηθήτην, conf. Ε 12. — 531 ϲφω': ϲφω CGLS. μὴ ϲφὼ A. ϲφώ D. ϲφῶ H Vrat. d. ϲφῶ' Frgm. Mosc. διέκρινον Schol. Κ 546. μεμαῶτε ACDGLS: μεμαῶταϲ H Vrat. d. — 522 οἴδ' Vrat. A. — 533 ἐχώριϲαν D. αὖθιϲ C.

A. c. 530 in editionibus inde a Florentina legebatur ὡρμηθήτην, quod Wolfius correxit in ὁρμηθήτην, iure, nam hae formae dualis augmento solent carere, conf. ἀψάϲθην Κ 377. ἀιχθήτην Ω 97. ἀειρέϲθην Ψ 501. ἀπειλήτην λ 318. ἀρνύϲθην Χ 160. προϲαυδήτην Λ 136. Χ 90. ϲυναντέϲθην Η 22. ϲυναντήτην π 333. ἱκέϲθην Λ 328. Ι 185. Ψ 215. β 150. κ 117. (exc. Ξ 283). ἵκεϲθον Θ 456. ἰδέτην β 152. φ 222. ἐϲιδέϲθην ω 101. ἀφέτην Λ 642. ἴτην Ζ 120. Π 476. Υ 159. Ψ 814. φ 244. ἑλέτην Ε 576. Η 8. Λ 328. χ 187. ἐχέτην Ε 569. Ϲ 580. ἀγέτην γ 439. ἐπέϲθην Ε 571. ἐίκτην Α 104. Φ 285. Ψ 379. δ 662. excipiuntur ἠθελέτην Κ 228. Ρ 433. ἠθέλετον Λ 782. ὠρχείϲθην θ 378, quod cum cod. Q ὀρχείϲθην scribi oportet.

Ἕκτωρ Αἰνείαϲ τ' ἠδὲ Χρομίοϲ θεοειδήϲ,
Ἄρητον δὲ κατ' αὖθι λίπον δεδαϊγμένον ἦτορ,
κείμενον· Αὐτομέδων δέ, θοῷ ἀτάλαντοϲ Ἄρηι,
τεύχεά τ' ἐξενάριξε καὶ εὐχόμενοϲ ἔποϲ ηὔδα·
ἦ δὴ μὰν ὀλίγον γε Μενοιτιάδαο θανόντοϲ
κῆρ ἄχεοϲ μεθέηκα χερείονά περ καταπέφνων.
ὣϲ εἰπὼν ἐϲ δίφρον ἑλὼν ἔναρα βροτόεντα
θῆκ', ἂν δ' αὐτὸϲ ἔβαινε πόδαϲ καὶ χεῖραϲ ὕπερθεν
αἱματόειϲ, ὥϲ τίϲ τε λέων κατὰ ταῦρον ἐδηδώϲ.
ἂψ δ' ἐπὶ Πατρόκλῳ τέτατο κρατερὴ ὑϲμίνη
ἀργαλέη πολύδακρυϲ, ἔγειρε δὲ νεῖκοϲ Ἀθήνη
οὐρανόθεν καταβᾶϲα· προῆκε γὰρ εὐρύοπα Ζεὺϲ
ὀρνύμεναι Δαναούϲ· δὴ γὰρ νόοϲ ἐτράπετ' αὐτοῦ.
ἠΰτε πορφυρέην ἶριν θνητοῖϲι τανύϲϲῃ
Ζεὺϲ ἐξ οὐρανόθεν, τέραϲ ἔμμεναι ἢ πολέμοιο
ἢ καὶ χειμῶνοϲ δυϲθαλπέοϲ, ὅϲ ῥά τε ἔργων
ἀνθρώπουϲ ἀνέπαυϲεν ἐπὶ χθονί, μῆλα δὲ κήδει,
ὣϲ ἡ πορφυρέῃ νεφέλῃ πυκάϲαϲα ἓ αὐτὴν
δύϲετ' Ἀχαιῶν ἔθνοϲ, ἔγειρε δὲ φῶτα ἕκαϲτον.
πρῶτον δ' Ἀτρέοϲ υἱὸν ἐποτρύνουϲα προϲηύδα
ἴφθιμον Μενέλαον, ὃ γάρ ῥά οἱ ἐγγύθεν ἦεν,
εἰϲαμένη Φοίνικι δέμαϲ καὶ ἀτειρέα φωνήν·

V. ι. 534 omitt. D in textu, habet in marg. man. rec. ἕκτωρ τ' Barocc. Vat. Frgm. Mosc. τ' ἠδὲ omnes. χρόμιοϲ CDGL. — 535 ἄρκτον A. ἄρρητον Lips. δέ κε Et. Mg. 140, 37. καταῦθι A. καταῦθι D. ἦτορ D. — 538 ὀλίγον τι Vrat. b. A. θανόντοϲ: δαμέντοϲ Harl. — 541 ἀν G. ἀνὰ D Mor. Vat. Townl. Vrat. d Frgm. Mosc. ἀνα H. ὕπερθε D. — 542 ὡϲ D. κατα CDH. — 547 τανύϲϲει CE: ceteri τανύϲϲῃ cum Cram. An. Par. III, 14, 18. — 548 ἐξουρανόθεν A. — 549 δυϲταρπέοϲ A. — 550 δὲ ἔπαυϲεν Schol. Theocr. IV, 10. — 551 ἣ CDGHL. omitt. A. πυκάϲαϲά Apoll. de Synt. 140, 8. πυκάϲαϲάν Apoll. de Pron. 102 C. ἓ αὐτὴν L Lips. Mor. Flor. Schol. Ι 342. ἑ αὐτήν Apoll. de Pron. 102 C. de Synt. 140, 8. ἑαυτὴν ACDGH Townl. Vrat. A. Frgm. Mosc. Flor. Rom. Schol. Θ 122. ἑαυτὴν ἢ μᾶλλον ἓ αὐτήν Eust. — 552 δύϲϲετ' L. — 553 ἀτρέωϲ Vrat. d. ἐποτρύνουϲα ACDHS Cant. Barocc. Mor. Vat. Frgm. Mosc. Vrat. b. d. A. ἐποτρύναϲα GL Lips. Flor. — 554 ὃ ACDGHL.

A. c. 531 ϲφω' Herodianus ad Κ 546 et Apollonius Dysc. de Pron. 113 C. — 534 τ' ἠδὲ: fortasse scriptum erat τε ἰδὲ, quod Δ 147. Ζ 479. Θ 162. Κ 573. Μ 311. Φ 351. Χ 469. δ 604. λ 337. ϲ 249. ψ 289 omnes fere libri exhibent. cf. etiam Β 697. Δ 382. — 539 καταπέφνων Aristarchus, conf. Schol. Π 827. H. T. 341. — 545 Ζηνόδοτοϲ ἀθετεῖ· τινὲϲ οὐδὲ γράφουϲι Schol. V. — 551 ἓ αὐτὴν Herodianus ad Ι 342: ἑωυτήν Zenodotus, conf. Schol. Ξ 162. H. T. 252.

coì μὲν δὴ Μενέλαε κατηφείη καὶ ὄνειδος
ἔccεται, εἴ κ᾽ Ἀχιλῆος ἀγαυοῦ πιcτὸν ἑταῖρον
τείχει ὕπο Τρώων ταχέες κύνες ἑλκήcωcιν.
ἀλλ᾽ ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα.
τὴν δ᾽ αὖτε προcέειπε βοὴν ἀγαθὸς Μενέλαος·
Φοῖνιξ, ἄττα γεραιὲ παλαιγενές, εἰ γὰρ Ἀθήνη
δοίη κάρτος ἐμοί, βελέων δ᾽ ἀπερύκοι ἐρωήν·
τῷ κεν ἐγώ γ᾽ ἐθέλοιμι παρεcτάμεναι καὶ ἀμύνειν
Πατρόκλῳ· μάλα γάρ με θανὼν ἐcεμάccατο θυμόν·
ἀλλ᾽ Ἕκτωρ πυρὸς αἰνὸν ἔχει μένος, οὐδ᾽ ἀπολήγει
χαλκῷ δηιόων· τῷ γὰρ Ζεὺς κῦδος ὀπάζει.
ὣς φάτο, γήθηcεν δὲ θεὰ γλαυκῶπις Ἀθήνη,
ὅττί ῥά οἱ πάμπρωτα θεῶν ἠρήcατο πάντων.
ἐν δὲ βίην ὤμοιcι καὶ ἐν γούνεccιν ἔθηκε,
καί οἱ μυίης θάρcος ἐνὶ cτήθεccιν ἐνῆκεν,
ἥ τε καὶ ἐργομένη μάλα περ χροὸς ἀνδρομέοιο
ἰcχανάᾳ δακέειν, λαρόν τέ οἱ αἷμ᾽ ἀνθρώπου·
τοίου μιν θάρcευς πλῆcε φρένας ἀμφιμελαίνας.
βῆ δ᾽ ἐπὶ Πατρόκλῳ, καὶ ἀκόντιcε δουρὶ φαεινῷ.
ἔcκε δ᾽ ἐνὶ Τρώεccι Ποδῆς, υἱὸς Ἠετίωνος,

V. ι. 557 ἀχιλλῆος D. — 558 τείχη Barroc. Mor. ὑπὸ CDGHL Barocc. Mor. τρῴων L. ἑλκύcουcιν AGS Cant Mor. Townl. Vrat. d. A. Flor. ἑλκύccουcιν L. ἑλκήcουcιν CDH Vrat. b. Frgm. Mosc. ἑλκήcωcι Harl. — 559 ἀλλ᾽ ἔρχεο A. ὤτρυνε G. — 560 ἀγαθὸς διομήδης Barocc. Mor. — 561 φοίνιξ L. γεραιὲ διογενὲς Vat. διοτρεφὲς Vrat. A. — 562 ἀπερύκει Lips. — 563 τῶ CDL: τῷ AEGH. παριcτάμεναι Vrat. A. — 564 ἐcεβάccατο D. ἐπεβάccατο AS. ἐcεμάccετο H 1. man. Barocc. Townl. Frgm. Mosc. ἐcεμάcετο Vrat. d. ἐπεμάccατο Cant. 1. man. — 569 γούναcϊν C. γούναccιν DGH et olim vulgo. γούνεcιν Flor. γούνεccιν ALS Cant. Lips. Frgm. Mosc. ἔθηκε ACDEG. — 570 μυίας C. ἐνῆκεν ACGHS. ἐνῆκε D. ἔθηκεν L Barocc. Mor. Vrat. A. Schol. Ε 2. ἔθηκε Lips. in marg. Pseudoplut. 122, 33. ἐνῆκεν ἢ ἔθηκεν Eust. — 571 εἰργομένη GL. ἐεργομένη Frgm. Mosc. an ἢ καὶ ἐεργομένη? ἀνδρομέδοιο D. — 572 λαρότατον L. λαρὸν δέ οἱ E. — 573 θάρcους CE edd. vett. πλῆcε EL: πλῆcεν ACDGH Schol. Ο 4. Bekk. Anecd. 1209. φένας C. ἀμφὶ μελαίνας CL. — 575 ἔcκε δ᾽ ἐνὶ: ἦν δέ τις ἐν Harl. Athenaeus VI, 236. τρῴεccι L.

A. c. 558 scripsi cum Heynio ἑλκήcωcιν, nam εἴ κε apud Homerum cum indicativo futuri nusquam iungitur, conf. Υ 181. (311). ρ 80. ο 524. — 564 ἐcεμάccατο, conf. Υ 425. — 573 θάρcευς: conf. Θ 368. λ 37. η 118. Hesiod. Op. 502. ο 533. ω 394. 398. [I 106. N 424]. Hesiod. Scut. 334. 460. Theocr. VII, 2; 46. Alcaeus Frgm. 15, 4. Hipponax Frgm. 19, 2. Nicandr. Ther. 2. 17. 592. Alexiph. 321. 366. 375. 511.

ἀφνειός τ᾽ ἀγαθός τε· μάλιcτα δέ μιν τίεν Ἕκτωρ
δήμου, ἐπεί οἱ ἑταῖρος ἔην φίλος εἰλαπιναcτής·
τόν ῥα κατὰ ζωcτῆρα βάλε ξανθὸς Μενέλαος
ἀΐξαντα φόβον δέ, διὰ πρὸ δὲ χαλκὸν ἔλαccε·
δούπηcεν δὲ πεcών. ἀτὰρ Ἀτρείδης Μενέλαος
νεκρὸν ὑπ᾽ ἐκ Τρώων ἔρυcεν μετὰ ἔθνος ἑταίρων.
Ἕκτορα δ᾽ ἐγγύθεν ἱcτάμενος ὤτρυνεν Ἀπόλλων,
Φαίνοπι Ἀcιάδῃ ἐναλίγκιος, ὅς οἱ ἁπάντων
ξείνων φίλτατος ἔcκεν, Ἀβυδόθι οἰκία ναίων·
[τῷ μιν ἐειcάμενος προcέφη ἑκάεργος Ἀπόλλων]
Ἕκτορ, τίς κέ c᾽ ἔτ᾽ ἄλλος Ἀχαιῶν ταρβήcειεν;
οἷον δὴ Μενέλαον ὑπέτρεcας, ὃς τὸ πάρος περ
μαλθακὸς αἰχμητής· νῦν δ᾽ οἴχεται οἶος ἀείρας
νεκρὸν ὑπ᾽ ἐκ Τρώων, cὸν δ᾽ ἔκτανε πιcτὸν ἑταῖρον,
ἐcθλὸν ἐνὶ προμάχοιcι, Ποδῆν, υἱὸν Ἠετίωνος.
ὣς φάτο, τὸν δ᾽ ἄχεος νεφέλη ἐκάλυψε μέλαινα,
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ.
καὶ τότ᾽ ἄρα Κρονίδης ἕλετ᾽ αἰγίδα θυccανόεccαν
μαρμαρέην, Ἴδην δὲ κατὰ νεφέεccι κάλυψεν,
ἀcτράψας δὲ μάλα μεγάλ᾽ ἔκτυπε, τὴν δὲ τίναξε·
νίκην δὲ Τρώεccι δίδου, ἐφόβηcε δ᾽ Ἀχαιούς.
πρῶτος Πηνέλεως Βοιώτιος ἦρχε φόβοιο.
βλῆτο γὰρ ὦμον δουρὶ πρόcω τετραμμένος αἰεί,
ἄκρον ἐπιλίγδην· γράψεν δέ οἱ ὀcτέον ἄχρις

V. ι. 576 τε omitt. A. τῖεν G. — 577 δήμω[ου] D, ου 2. man. — 578 τὸν ῥὰ DL. κατα G. ζωcτῆρ᾽ ἔβαλε H Vrat. d. — 579 φόβον δὲ A. διὰ πρὸ G. δϊὰπρο C ceteri διαπρὸ. ἔλαccε ACH. ἔλαcε DG. — 580 δούπηcε D. — 581 ὑπ᾽ ἐκ ACDGHL. τρῴων L. ἔρυcε D. — 583 ἀcciάδῃ L. — 584 οἰκίαι A. — 585 omitt. AC 1. man. Frgm. Mosc. Townl. 1. man. προcέφη διὸς υἱὸς ἀπόλλων H Vrat. d. — 586 ἕκτωρ Vrat. d. τίς κέν c᾽ ἄλλος H. — 587 ὑπέτρεccας H. τοπάρος L. πάρος γε A, conf. N 465. O 256. — 589 ὑπ᾽ ἐκ ACDGHL. τρῴων L. — 590 ἐνι A. προμάχοιcιν G. ποδὴν C. — 591 ὡς A. ἄχεος μεγάλη ἐκάλυψεν ἀχλύς C. — 592 δια AH. — 593 θυcανόεccαν DEGS Lips. Flor. Rom. — 594 κατα ACDG HL. — 595 * δὲ τίναξε: δ᾽ ἐτίναξε ACDG. — 596 τρῴεccι L. φόβηcε H. — 597 πρῶτος δὲ D. ἤρχε ACDEHL Harl. Townl. Frgm. Mosc. Vrat. A. ἦρξε GS Flor. — 598 πρόccω C Vrat. A. — 599 ἐπὶ λίγδην D. ἐπιλλίγδην S Caut. γράψε DE Et. Mg. 361, 50.

A. c. 582 Zenodotus Ἕκτορα δὲ φρένα δῖος (θοῦρος?) Ἄρης ὄτρυνε μετελθών Aristonicus. — 590 υἱόν: υἷ᾽ Bentleius ex coni. — 595 τήν: γῆν Zenodotus.

αἰχμὴ Πουλυδάμαντος· ὃ γάρ ῥ' ἔβαλε σχεδὸν ἐλθών.
Λήιτον αὖθ' Ἕκτωρ σχεδὸν οὔτασε χεῖρ' ἐπὶ καρπῷ,
υἱὸν Ἀλεκτρυόνος μεγαθύμου, παῦσε δὲ χάρμης·
τρέσσε δὲ παπτήνας, ἐπεὶ οὐκέτι ἔλπετο θυμῷ
ἔγχος ἔχων ἐν χειρὶ μαχήσεσθαι Τρώεσσιν.
Ἕκτορα δ' Ἰδομενεὺς μετὰ Λήιτον ὁρμηθέντα
βεβλήκει θώρηκα κατὰ στῆθος παρὰ μαζόν·
ἐν καυλῷ δ' ἐάγη δολιχὸν δόρυ, τοὶ δὲ βόησαν
Τρῶες. ὃ δ' Ἰδομενῆος ἀκόντισε Δευκαλίδαο
δίφρῳ ἐφεσταότος· τοῦ μέν ῥ' ἀπὸ τυτθὸν ἅμαρτεν·
αὐτὰρ ὃ Μηριόναο ὀπάονά θ' ἡνίοχόν τε,
Κοίρανον, ὅς ῥ' ἐκ Λύκτου ἐυκτιμένης ἕπετ' αὐτῷ·
πεζὸς γὰρ τὰ πρῶτα λιπὼν νέας ἀμφιελίσσας
ἤλυθε, καί κε Τρωσὶ μέγα κράτος ἐγγυάλιξεν,
εἰ μὴ Κοίρανος ὦκα ποδώκεας ἤλασεν ἵππους·
καὶ τῷ μὲν φάος ἦλθεν, ἄμυνε δὲ νηλεὲς ἦμαρ,
αὐτὸς δ' ὤλεσε θυμὸν ὑφ' Ἕκτορος ἀνδροφόνοιο.
τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος, ἐκ δ' ἄρ' ὀδόντας
ὦσε δόρυ πρυμνόν, διὰ δὲ γλῶσσαν τάμε μέσσην.
ἤριπε δ' ἐξ ὀχέων, κατὰ δ' ἡνία χεῦεν ἔραζε.
καὶ τά γε Μηριόνης ἔλαβεν χείρεσσι φίλῃσι
κύψας ἐκ πεδίοιο, καὶ Ἰδομενῆα προσηύδα·
μάστιε νῦν, εἵως κε θοὰς ἐπὶ νῆας ἵκηαι·
γιγνώσκεις δὲ καὶ αὐτὸς ὅ τ' οὐκέτι κάρτος Ἀχαιῶν.
ὣς ἔφατ', Ἰδομενεὺς δ' ἵμασεν καλλίτριχας ἵππους

V. L. 600 ὃ ACDE 1120, 11 HL. ῥ' omitt. Harl. Vrat. A. Flor. ἔβαλεν C. σχεδόθεν G Flor. — 601 δ' αὖθ' C. — 603 παπτῆναc CDG. οὐκ ἔτι L. οὐκέτ' D. ἔλπετο ACDHL Lips. Townl. Vrat. b. d. A. Rom. ἤλπετο GS Flor. — 604 ἕλκος ἔχων Cant. μαχέσσασθαι L. μαχήσασθαι Barocc. τρώεσσιν L. — 606 κατα H. — 607 δὲ ἄγη E. τὸ δὲ ἐάγη δύναται καὶ δισυλλάβως ἐνταῦθα γραφῆναι Eust. 1120, 18. δ' ἐφόβηθεν DG LS Cant. Mor. Harl. Vrat. A. Flor. ceteri δ' ἐβόησαν. — 608 τρῶες L. ὅδ' CDGHL. — 609 ἐφεσταῶτος D. ἄπο H. μέν ῥά ποτί τυτθὸν L. — 610 ὃ ACDGHL. θ' ὀπάονα D. — 611 εὐκτιμένης DGH Vrat. A. ἔπλετ' αὐτῶ Lips. — 612 νῆας C. — 613 καί κεν DL. τρωσὶ L. — 615 ἤλυθεν D. ἦμαρ D. — 617 βάλε G. ὑπο H. ἂρ ADEGHL. ὀδόντων Harl. — 618 δῖα H. διὰ δὲ — ὀχέων (619) omitt. D. — 619 κατα CDL. — 620 ἔλαβε DEH Lips. φίλῃσι ACDGH. — 622 ἐπι A. — 623 omitt. Vrat. d. γιγνώσκεις L: γινώσκεις ACDEGH. ὅτι Lips. κράτος Lips. — 624 ὡς A. ἵμασε D. καλῖτρϊχας H.

A. c. 603 διὰ τοῦ ε̄ αἱ ἀριστάρχου ἔλπετο Didymus. — 607 οὕτως ἀρίσταρχος τοίδ' ἐβόησαν Didymus. — 623 ὅ τ': vulgo ὅτ' conf. H. S. 265.

νῆας ἔπι γλαφυράς· δὴ γὰρ δέος ἔμπεσε θυμῷ.
οὐδ' ἔλαθ' Αἴαντα μεγαλήτορα καὶ Μενέλαον
Ζεύς, ὅτε δὴ Τρώεσσι δίδου ἑτεραλκέα νίκην.
τοῖσι δὲ μύθων ἦρχε μέγας Τελαμώνιος Αἴας·
ὢ πόποι, ἤδη μέν κε, καὶ ὃς μάλα νήπιός ἐστι,
γνοίη ὅτι Τρώεσσι πατὴρ Ζεὺς αὐτὸς ἀρήγει.
τῶν μὲν γὰρ πάντων βέλε' ἅπτεται, ὅς τις ἀφήῃ,
ἢ κακὸς ἢ ἀγαθός· Ζεὺς δ' ἔμπης πάντ' ἰθύνει·
ἡμῖν δ' αὔτως πᾶσιν ἐτώσια πίπτει ἔραζε.
ἀλλ' ἄγετ' αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην,
ἠμὲν ὅπως τὸν νεκρὸν ἐρύσσομεν, ἠδὲ καὶ αὐτοὶ
χάρμα φίλοις ἑτάροισι γενώμεθα νοστήσαντες,
οἵ που δεῦρ' ὁρόωντες ἀκηχέδατ' οὐδ' ἔτι φασὶν
Ἕκτορος ἀνδροφόνοιο μένος καὶ χεῖρας ἀάπτους
σχήσεσθ', ἀλλ' ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι.
εἴη δ' ὅς τις ἑταῖρος ἀπαγγείλειε τάχιστα

V. L. 625 ἐπὶ ACDGH. — 627 τρώεσσ' ἐδίδου C. τρῴεσσι L. ἑτεραλκέα A. — 629 ὢ πόποι AGH. ἤδη: ἢ δὴ H Vrat. d. non male, conf. B 337. μέν κε ACDGHL Lips. Mor. Vat. Townl. Vrat. d. Frgm. Mosc. μέν γε S Flor. μὲν ἂν Eust. μάλα: μέγα Mor. Vat. ἐστι ACDEGH. νήπιος ἐστὶν L. — 630 τρῴεσσι L. αὐτὸς ἀρήγει ACDEHS Cant. Mor. Barocc. Harl. Vat. Vrat. b. d. A. Frgm. Mosc. ἐν ἄλλῳ ἀμύνοι A. Ζεὺς κῦδος ὀπάζει GL Lips. Flor. et olim vulgo. — 631 * ἀφήῃ: ἀφείῃ D Flor. ἀφίει EHL Cant. Lips. Vrat. d. Rom. ἀφίῃ S. ἀφήει Barocc. Mor. ἐφείῃ CG Frgm. Mosc. Vrat. b. ἐφίει Vrat. A. ἐφίῃι (ε) A et in marg. διχῶς καὶ ἀφείῃ. — 632 πάντα C. ἰθύει L Lips. — 633 αὔτως GH. αὐτως A. ἔρραζε H. — 634 αὐτοί τε Vrat. A. φραζόμεθα D. — 635 ἐρύσομεν (σ) C. — 636 γενοίμεθα G Flor. — 637 οἵ που νῦν DH Townl. Vrat. b. d. ἦ που Harl. οὐδέ τι φασὶν ACDGS Cant. Mor. Vrat. b. οὐδέ τε L Lips. — 639 μελαίνῃσι E Lips. Vrat. A. — 640 εἴη: ἴοι L. ὅς τις: ὥς τις Cant. Vat.

A. c. 631 scripsi ἀφήῃ, quam coniunctivi formam legitimam indocti librarii corruperunt in eas scripturas, quas libri exhibent. quas ut spernerem ductus sum similibus librorum scripturis B 34. Γ 436. Ζ 432. Η 72: Π 96. Τ 27. 375. Υ 64. Χ 73. 246. Ω 417. ε 378. 471. ε 394. κ 301. 341. ο 51. ψ 233, de quibus egi H. T. 405. H. U. 153. Optativum h. l. a consuetudine poëtae alienum puto, et qui loci ad eum confirmandum afferuntur, partim diversi sunt, ut Χ 348. Ψ 294. ζ 286. Aesch. Prom. 292. Arist. Th. 872. partim corrigendi, ut τ 511 ἕλῃ (ita ACKMPQS). Theogn. 689 ἥῃ. de coniunctivo cum ὅς τις iuncto conf. Α 230. 543. 554. Ν 234. Ο 491. 492. Τ 265. Υ 363. Φ 103. 347. Χ 73. α 352. 416. γ 320. ε 448. θ 148. 210. κ 39. λ 428. μ 41. 66. ν 214. ξ 106. ο 401. σ 336. υ 335. ω 286. — 637 δεῦρ': οὕτως ἀρίσταρχος· ἄλλοι δὲ οἵ που νῦν Didymus.

Πηλείδῃ, ἐπεὶ οὔ μιν ὀίομαι οὐδὲ πεπύcθαι
λυγρῆc ἀγγελίηc, ὅτι οἱ φίλοc ὤλεθ' ἑταῖροc.
ἀλλ' οὔ πῃ δύναμαι ἰδέειν τοιοῦτον Ἀχαιῶν·
ἠέρι γὰρ κατέχονται ὁμῶc αὐτοί τε καὶ ἵπποι.
Ζεῦ πάτερ, ἀλλὰ cὺ ῥῦcαι ὑπ' ἠέροc υἷαc Ἀχαιῶν,
ποίηcον δ' αἴθρην, δὸc δ' ὀφθαλμοῖcιν ἰδέcθαι·
ἐν δὲ φάει καὶ ὄλεccον, ἐπεί νύ τοι εὔαδεν οὕτωc.
ὣc φάτο, τὸν δὲ πατὴρ ὀλοφύρατο δάκρυ χέοντα·
αὐτίκα δ' ἠέρα μὲν cκέδαcεν καὶ ἀπῶcεν ὀμίχλην,
ἠέλιοc δ' ἐπέλαμψε, μάχη δ' ἐπὶ πᾶcα φαάνθη·
καὶ τότ' ἄρ' Αἴαc εἶπε βοὴν ἀγαθὸν Μενέλαον·
cπέπτεο νῦν Μενέλαε διοτρεφέc, αἴ κεν ἴδηαι
ζωὸν ἔτ' Ἀντίλοχον, μεγαθύμου Νέcτοροc υἱόν,
ὄτρυνον δ' Ἀχιλῆι δαΐφρονι θᾶccον ἰόντα
εἰπεῖν, ὅττί ῥά οἱ πολὺ φίλτατοc ὤλεθ' ἑταῖροc.
ὣc ἔφατ', οὐδ' ἀπίθηcε βοὴν ἀγαθὸc Μενέλαοc,
βῆ δ' ἰέναι ὥc τίc τε λέων ἀπὸ μεccαύλοιο,
ὅc τ' ἐπεὶ ἄρ κε κάμῃcι κύναc τ' ἄνδραc τ' ἐρεθίζων,
οἵ τέ μιν οὐκ εἰῶcι βοῶν ἐκ πῖαρ ἑλέcθαι
πάννυχοι ἐγρήccοντεc· ὃ δὲ κρειῶν ἐρατίζων
ἰθύει, ἀλλ' οὔ τι πρήccει· θαμέεc γὰρ ἄκοντεc
ἀντίον ἀΐccουcι θραcειάων ἀπὸ χειρῶν,

V. L. 641 οὐδὲ πυθέcθαι Harl. Townl. — 642 ὅτί οἱ H. οἱ omitt. G. — 643 οὔ πη AH. ceteri οὔπη. οὔπω GL Lips. Mor. Barocc. Flor. — 644 ἐν ἄλλῳ ἠέρι γὰρ κεκάλυπται A. — 645 ῥύcαι ACD. — 646 ποίηcόν τ' Schol. Γ 280. ἰδέcθαι: ἐν ἄλλῳ ὁρᾶcθαι A. — 647 ὄλεcον H. — 648 ὡc A. τὸν δ' ὁ πατὴρ L Mor. Barocc. Vrat. A. δάκρυ χέοντα A. ceteri δακρυχέοντα. — 649 κέδαcεν Lips. ὀμίχλην E 1121, 42 GH: ὁμίχλην ACDE 1121, 38 L conf. Α 359. — 650 ἐπϊ CDH. ἐπὶ πᾶcι φαάνθη Plutarchus de Primo frigido 9, 3. — 651 ἆρ CDHL. ἀρ A. — 652 cκέπτεο δὴ Mor. Vat. cκεπτέον αὖ Lips. δϊοτροφὲc H. — 653 μεγαθύμου ACDHLS Cant. Mor. Lips Vat. Vrat. b. Frgm. Mosc. μεγάθυμον G edd. vett. conf. 306. — 654 ὤτρυνον D. ἀχιλλῆϊ D. θάccον D. — 655 ὅτι D. πολυφίλτατοc D. — 656 ὡc A. ἀπέθηcε G. — 657 ὥc τϊc τε L. ὡc τίc τε A. ἀπο A. μεcαύλοιο CE Vrat. A. — 658 ὅτ' ἐπεὶ G. ἆρ κεκάμηcι L. ceteri ἄρ κε κάμηcι, A κε, κάμηcι. κύναc ἄνδραc τ' H. — 659 οἵ τέ EGHL. πίαρ D. πεῖαρ H. — 659, 660 omitt. C in textu Mor. Barocc. — 660 παννύχιοι EG Rom. ἐκρήccοντεc G. — 661 ἰθύνει ἢ μάλιcτα ἰθύει E. — 662 ἀντίον DS Mor. Cant. Vat. Vrat. b. ἀντίοι ἢ ἀντίον E. ceteri ἀντίοι, conf. Λ 553. ἀπο H.

A. c. 658 κε κάμηcι: alii κεκάμηcι ὑφ' ἕν teste Aristonico, conf. Schol. Α 168. Η 5. — 662 Aristarchus ἀντίον, conf. Λ 553.

καιόμεναί τε δεταί, τάc τε τρεῖ ἐccύμενόc περ·
ἠῶθεν δ' ἀπὸ νόcφιν ἔβη τετιηότι θυμῷ·
ὣc ἀπὸ Πατρόκλοιο βοὴν ἀγαθὸc Μενέλαοc
ἤιε πόλλ' ἀέκων· περὶ γὰρ δίε, μή μιν Ἀχαιοὶ
ἀργαλέου πρὸ φόβοιο ἕλωρ δηίοιcι λίποιεν.
πολλὰ δὲ Μηριόνῃ τε καὶ Αἰάντεcc' ἐπέτελλεν·
Αἴαντ', Ἀργείων ἡγήτορε, Μηριόνη τε,
νῦν τιc ἐνηείηc Πατροκλῆοc δειλοῖο
μνηcάcθω· πᾶcιν γὰρ ἐπίcτατο μείλιχοc εἶναι
ζωὸc ἐών· νῦν αὖ θάνατοc καὶ μοῖρα κιχάνει.
ὣc ἄρα φωνήcαc ἀπέβη ξανθὸc Μενέλαοc,
πάντοcε παπταίνων ὥc τ' αἰετόc, ὅν ῥά τέ φαcιν
ὀξύτατον δέρκεcθαι ὑπουρανίων πετεηνῶν,
ὅν τε καὶ ὑψόθ' ἐόντα πόδαc ταχὺc οὐκ ἔλαθε πτὼξ
θάμνῳ ὑπ' ἀμφικόμῳ κατακείμενοc, ἀλλά τ' ἐπ' αὐτῷ
ἔccυτο, καί τέ μιν ὦκα λαβὼν ἐξείλετο θυμόν.
ὣc τότε cοὶ Μενέλαε διοτρεφὲc ὄccε φαεινὼ
πάντοcε δινείcθην πολέων κατὰ ἔθνοc ἑταίρων,
εἴ που Νέcτοροc υἱὸν ἔτι ζώοντα ἴδοιτο·
τὸν δὲ μάλ' αἶψ' ἐνόηcε μάχηc ἐπ' ἀριcτερὰ πάcηc
θαρcύνονθ' ἑτάρουc καὶ ἐποτρύνοντα μάχεcθαι.
ἀγχοῦ δ' ἱcτάμενοc προcέφη ξανθὸc Μενέλαοc·

V. L. 664 ἀπὸ νόcφιν D: ceteri ἀπονόcφιν, conf. H. U. 88. τετιηότι θυμῷ: ἐν ἄλλῳ τετιημένοc ἦτορ A. — 665 ἀπο A. — 666 ἀέκων A.
οι
πέρι GL. περι D. — 667 προ ACL. λίπειεν L. λίποιε C. — 668 ἐπέτελλε D. αἰάντεccι κέλευε G Flor. Rom. — 670 πατρόκλοιο S. — 671 πᾶcι DE Lips. Apoll. Soph. 163, 28. — 672 νῦν αὖ ADEHL Barocc. Lips. Townl. Frgm. Mosc. Vrat. b. A. νῦν δ' αὖ G edd. vett. νῦν γὰρ C. μοῖρα κάλυψεν H. — 673 ὡc A. — 674 ὃν A. ῥά τε φαcὶν ACDGHL. — 675 ὑπὸυρανίων A. πετεεινῶν DL Harl. — 679 ὡc A. τότε cὺ L Lips. cοι D. διοτρεφὲc omitt. C 1. man. δϊοτροφὲc H. — 680 δινήcθην
ει
L. δινήcθην L. δινήcθην H. — 681 ἴδοιτο ACD Barocc. Townl. Frgm. Mosc. ἴδοιο EGHS Flor. Rom. ἴδοιε L Lips. — 682 τόνδε H. αἶψα νόηcε Lips. — 683 ἑταίρουc H Lips. Flor. post hunc insertus est in H et Vrat. d. θεcπέcϊον γάρ cφϊν φόβον ἔμβαλε φοῖβοc ἀπόλλων, qui legitur P 118. — 684 ἔπεα πτερόεντα προcηῦδα Vat.

A. c. 681 οὕτωc ἀρίcταρχοc ἴδοιτο, τὰ ὄccε δηλονότι Didymus. οἱ μὲν μετὰ τοῦ ν̄, οἱ δὲ χωρὶc τοῦ ν̄, οἱ δὲ ἀπὸ τῆc cχολῆc ἴδοιο γράφουcιν Schol. BL.

Ἀντίλοχ', εἰ δ' ἄγε δεῦρο διοτρεφές, ὄφρα πύθηαι
λυγρῆς ἀγγελίης, ἣ μὴ ὤφελλε γενέϲθαι.
ἤδη μὲν ϲὲ καὶ αὐτὸν ὀίομαι εἰϲορόωντα
γιγνώϲκειν ὅτι πῆμα θεὸϲ Δαναοῖϲι κυλίνδει,
νίκη δὲ Τρώων· πέφαται δ' ὥριϲτοϲ Ἀχαιῶν,
Πάτροκλοϲ, μεγάλη δὲ ποθὴ Δαναοῖϲι τέτυκται.
ἀλλὰ ϲύ γ' αἶψ' Ἀχιλῆι, θέων ἐπὶ νῆαϲ Ἀχαιῶν,
εἰπεῖν, αἴ κε τάχιϲτα νέκυν ἐπὶ νῆα ϲαώϲῃ
γυμνόν· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαίολοϲ Ἕκτωρ.
ὣϲ ἔφατ', Ἀντίλοχοϲ δὲ κατέϲτυγε μῦθον ἀκούϲαϲ.
δὴν δέ μιν ἀμφαϲίη ἐπέων λάβε, τὼ δέ οἱ ὄϲϲε
δακρυόφι πλῆϲθεν, θαλερὴ δέ οἱ ἔϲχετο φωνή.
ἀλλ' οὐδ' ὣϲ Μενελάου ἐφημοϲύνηϲ ἀμέληϲε,
βῆ δὲ θέειν, τὰ δὲ τεύχε' ἀμύμονι δῶκεν ἑταίρῳ,
Λαοδόκῳ, ὅϲ οἱ ϲχεδὸν ἔϲτρεφε μώνυχαϲ ἵππουϲ.
τὸν μὲν δάκρυ χέοντα πόδεϲ φέρον ἐκ πολέμοιο,
Πηλείδῃ Ἀχιλῆι κακὸν ἔποϲ ἀγγελέοντα.
οὐδ' ἄρα ϲοὶ Μενέλαε διοτρεφὲϲ ἤθελε θυμὸϲ
τειρομένοιϲ ἑτάροιϲιν ἀμυνέμεν, ἔνθεν ἀπῆλθεν
Ἀντίλοχοϲ, μεγάλη δὲ ποθὴ Πυλίοιϲιν ἐτύχθη·
ἀλλ' ὅ γε τοῖϲιν μὲν Θραϲυμήδεα δῖον ἀνῆκεν,
αὐτὸϲ δ' αὖτ' ἐπὶ Πατρόκλῳ ἥρωι βεβήκει,

V. L. 685 εἴδ' C. αἶ δ' A. αἴδ' D. ἄρ δ' ἄγε L Lips. διοτροφὲϲ GH Rom. πίθηαι Eust. 1122, 66. — 686 ἢ εἰ μὴ H. ἢ μὴ Lips. — 687 μέν ϲε καὶ C, conf. Ζ 338. Θ 293. ζ 35. saepius pronomen personale accedente καὶ αὐτόϲ accentum suum servat, conf. Τ 178. Ψ 80. ζ 39. 60. ρ 583. — 688 γιγνώϲκειν L: γινώϲκειν ACDEGH. — 689 τρῴων L. ὥριϲτοϲ A. ἄριϲτοϲ G Lips. Zon. Lex. 1574. δώριϲτοϲ Vrat. d. ἄριϲτοϲ et γρ. καὶ ὥριϲτοϲ E, conf. H. U. 283. — 691 ἀχιλλῆι D. — 693 γυμνὸν ἐπεὶ L. κορυθαιόλοϲ A Rom. — 694 ὡϲ A. — 695 ἀφαϲίη CDS Townl. conf. δ 704. — 696 δακρυόφιν CDEGHL. πλῆϲθε C. — 697 ὡϲ A. ceteri ὣϲ. ἀμέληϲε ACDGH. — 698 τάχα δὲ τεύχε' Lips. — 700 τὸν δὲ D. δακρυχέοντα omnes, etiam A. — 701 ἀχιλλῆϊ D. — 702 ϲοι D. δϊοτροφὲϲ
ὸϲ υ
H. θυμῷ S. — 703 ἀμύνειν E 1122, 47. ἀπῆλθε H. — 704 ποιλϊοιϲϊν H. ἐτύχθηι A. — 705 τοῖϲι DG edd. vett. δῖον ἧκεν Lips. ἀνῆκεν A. ἐνῆκεν Vrat. A. — 706 αὖτ' omitt. L Lips. πάτροκλον ἥρωα Harl.

A. c. 688 κυλίνδει Aristarchus teste Herodiano et Eust. 1123, 4. vid. H. T. 299. — 689 ὥριϲτοϲ Aristarchus, ni fallor, conf. Didym. ad Ι 539 ἀρίϲταρχοϲ ἀργείων ὥριϲτοι καὶ ἄνευ τοῦ ῑ. — 696 ad δ 705, ubi idem versus legitur, adnotavit Didymus αἱ Ἀριϲτάρχου ἔϲκετο ἀντὶ τοῦ ἐγένετο· γέλοιοι γάρ εἰϲιν οἱ γράφοντεϲ ἔϲχετο.

ϲτῆ δὲ παρ' Αἰάντεϲϲι θέων, εἶθαρ δὲ προϲηύδα·
κεῖνον μὲν δὴ νηυϲὶν ἐπιπροέηκα θοῇϲιν,
ἐλθεῖν εἰϲ Ἀχιλῆα πόδαϲ ταχύν· οὐδέ μιν οἴω
νῦν ἰέναι μάλα περ κεχολωμένον Ἕκτορι δίῳ·
οὐ γάρ πωϲ ἂν γυμνὸϲ ἐὼν Τρώεϲϲι μάχοιτο·
ἡμεῖϲ δ' αὐτοί περ φραζώμεθα μῆτιν ἀρίϲτην,
ἠμὲν ὅπωϲ τὸν νεκρὸν ἐρύϲϲομεν, ἠδὲ καὶ αὐτοὶ
Τρώων ἐξ ἐνοπῆϲ θάνατον καὶ κῆρα φύγωμεν.
τὸν δ' ἠμείβετ' ἔπειτα μέγαϲ Τελαμώνιοϲ Αἴαϲ·
πάντα κατ' αἶϲαν ἔειπεϲ ἀγακλεὲϲ ὦ Μενέλαε·
ἀλλὰ ϲὺ μὲν καὶ Μηριόνηϲ ὑποδύντε μάλ' ὦκα
νεκρὸν ἀείραντεϲ φέρετ' ἐκ πόνου· αὐτὰρ ὄπιϲθε
νῶι μαχηϲόμεθα Τρωϲίν τε καὶ Ἕκτορι δίῳ,
ἶϲον θυμὸν ἔχοντεϲ, ὁμώνυμοι, οἳ τὸ πάροϲ περ
μίμνομεν ὀξὺν ἄρηα παρ' ἀλλήλοιϲι μένοντεϲ.
ὣϲ ἔφαθ', οἱ δ' ἄρα νεκρὸν ἀπὸ χθονὸϲ ἀγκάζοντο
ὕψι μάλα μεγάλωϲ· ἐπὶ δ' ἴαχε λαὸϲ ὄπιϲθε
Τρωικόϲ, ὡϲ εἴδοντο νέκυν αἴροντας Ἀχαιούϲ.
ἴθυϲαν δὲ κύνεϲϲιν ἐοικότεϲ, οἵ τ' ἐπὶ κάπρῳ
βλημένῳ ἀίξωϲι πρὸ κούρων θηρητήρων·
ἕωϲ μὲν γάρ τε θέουϲι διαρραῖϲαι μεμαῶτεϲ,
ἀλλ' ὅτε δή ῥ' ἐν τοῖϲιν ἑλίξεται ἀλκὶ πεποιθώϲ,
ἄψ τ' ἀνεχώρηϲαν διά τ' ἔτρεϲαν ἄλλυδιϲ ἄλλοϲ.

V. L. 707 ϲτῆ δ' ἄρ' ἐπ' G Flor. δὲ μετ' Vrat. A. θέων ACDGHL Cant. Mor. Harl. Lips. Vat. Frgm. Mosc. Vrat. b. d. Rom. κιὼν Vrat. A. Barocc. Flor. — 708 ἐπὶ προέηκα G. — 709 ἀχϊλλῆα D. δῖω ACDL Flor. Rom. — 710 κεχολωμένον ἕκτορι δίῳ: κεχολώμενοϲ ἀτρείωνι A in marg. — 711 τρῴεϲϲι L. — 713 ἐρύϲομεν G Lips. Flor. — 714 τρῴων L. φύγωμεν AEGL Lips. φύγοιμεν CDHS utrumque recte. conf. H. U. 236. — 718 ὄπιϲθε AC et Heynii libri omnes (?) ὄπιϲθεν DHL Lips. Vrat. A. ὀπίϲϲω G. — 719 τρωϲί DE. τρῳϲίν L. — 720 τοπάροϲ HL. — 721 μένοντεϲ omnes. — 722 ὡϲ A. οἵδ' CL. ἀπο A. — 723 ἐπϊ CD. ὄπιϲθε ACD Schol. Ρ 607: ὄπιϲθεν GHL Lips. Et. Mg. 38, 17. — 724 εἰδοντὸν D ex corr. (1. man. εἰδοντο). εἶδον τὸν Et. Mg. 38, 17. εἶδον Flor. ἴδον G. αἴραντας A Harl. Vrat. d. ἄραντας Et. Mg. 38. 17. ἄραντες Eust. 1124, 34 et 36. — 725 οἵτ': οἳ E. — 726 ἀΐξουϲι L Lips. προ GL. — 727 εἵωϲ HS, bene si μὲν omittitur. διαρράϲαι H. δ' ἀῤῥαῖϲαι L. — 728 ῥ' omitt. E. ὅτε δούρ' ἐν G. ἐλίξεται ACD. ἀΐξεται S Cant. ἀλκῆ G. ἀλκὴ Lips. — 729 abhinc usque ad finem codex A recentiore manu est scriptus. ἄψ τ': ἂψ ACS Cant. ἂψ δ' H non male. αἶψά τ' L Lips. δϊα δ' H. ἄλλοϲ: ἄλλοι G.

A. c. 721 ἀριϲτοφάνηϲ δυϊκῶϲ μένοντε Didymus. — 724 ἄραντας Choeroboscus apud Et. Mg. 38, 17 diserte, conf. H. U. 201. — 727 ἕωϲ Nicanor.

ὣς Τρῶες εἵως μὲν ὁμιλαδὸν αἰὲν ἕποντο
νύccοντες ξίφεcίν τε καὶ ἔγχεcιν ἀμφιγύοιcιν·
ἀλλ᾽ ὅτε δή ῥ᾽ Αἴαντε μεταcτρεφθέντε κατ᾽ αὐτοὺc
cταίηcαν, τῶν δὲ τράπετο χρώc, οὐδέ τιc ἔτλη
πρόccω ἀΐξαc περὶ νεκροῦ δηριάαcθαι.
    ὣc οἵ γ᾽ ἐμμεμαῶτε νέκυν φέρον ἐκ πολέμοιο
νῆαc ἔπι γλαφυράc· ἐπὶ δὲ πτόλεμοc τέτατό cφιν
ἄγριοc ἠύτε πῦρ, τό τ᾽ ἐπεccύμενον πόλιν ἀνδρῶν
ὄρμενον ἐξαίφνηc φλεγέθει, μινύθουcι δὲ οἶκοι
ἐν cέλαϊ μεγάλῳ· τὸ δ᾽ ἐπιβρέμει ἲc ἀνέμοιο.
ὣc μὲν τοῖc ἵππων τε καὶ ἀνδρῶν αἰχμητάων
ἀζηχὴc ὀρυμαγδὸc ἐπήιεν ἐρχομένοιcιν·
οἳ δ᾽, ὥc θ᾽ ἡμίονοι κρατερὸν μένοc ἀμφιβαλόντεc
ἕλκωc᾽ ἐξ ὄρεοc κατὰ παιπαλόεccαν ἀταρπὸν
ἢ δοκὸν ἠὲ δόρυ μέγα νήιον· ἐν δέ τε θυμὸc
τείρεθ᾽ ὁμοῦ καμάτῳ τε καὶ ἱδρῷ cπευδόντεccιν·
ὣc οἵ γ᾽ ἐμμεμαῶτε νέκυν φέρον. αὐτὰρ ὄπιcθεν
Αἴαντ᾽ ἰcχανέτην, ὥc τε πρὼν ἰcχάνει ὕδωρ
ὑλήειc, πεδίοιο διαπρύcιον τετυχηκώc,
ὅc τε καὶ ἰφθίμων ποταμῶν ἀλεγεινὰ ῥέεθρα
ἴcχει, ἄφαρ δέ τε πᾶcι ῥόον πεδίον δὲ τίθηcι
πλάζων· οὐδέ τέ μιν cθένεϊ ῥηγνῦcι ῥέοντεc·

V. ι. 730 τρῷεc L. τρῶεc χ᾽ Vat. τέωc E 1124, 43. — 731 ξίφεcι D. ἀμφιγύηιcιν D. ἀμφὶ γύοιcιν A. — 733 δ᾽ ἐτράπετο GL Flor. δὲ τρέπετο EH Rom. ceteri δὲ τράπετο, conf. φ 412. — 734 δηριάαcθαι: δηρίcαcθαι CDE Mor. Barocc. Vrat. Harl. Townl. Frgm. Mosc. Vrat. b. d. A. δουρίcαcθαι G. — 735 οἵ γε μεμαῶτε AGS Cant. Flor. τώγε μεμαῶτε Vat. οἵ γ᾽ ἐμμεμαῶτε DHL Lips. Rom. ἐμμεμαῶτεc C. — 736 ἐπὶ ACD GHL. cφι L Lips. — 738 ὅρμενον C. ὄρμαινον D. — 740 τὲ H. ἀνδρῶν ἀcπιcτάων Townl. — 741 ὀρυγμαδὸc CGH — 742 οἳ δ᾽ A. οἵδ᾽ DGHL. ὡc Schol. Ψ 111. ἡμίονεc A. ἡμίονι G. οἱμίονοι L. — 743 ἕλκουcιν E. κατα H. — 744 μέγα δόρυ C Vrat. b. — 745 cπουδόντεccι H. — 746 οἵ γ᾽ ἐμμεμαῶτε HL Lips Rom. οἵγεμμεμαῶτε C. οἵγ᾽ ἐμμεμαῶτεc D. τώ γ᾽ ἐμμεμαῶτε Vat. οἵγε μεμαῶτε AGS Cant. Flor. — 747 ὥc τε: ὥc περ L. — 748 τετυχηκὸc Lips. τετυχηὼc Heraclides apud Osann. Quaest. Hom. IV, pg. 21. — 750 παcίροον A. πᾶcϊρρόον H. τίθηcι AC DEGL. — 751 οὐδέ τι μιν AG. οὐδέ τί E οὐδέ τε CDHL Barocc. Mor. Townl. Lips. Vrat. b. „alii οὐδ᾽ ἔτι" Heyne. ῥήγνυcι D.

A. c. 735 οἵ γ᾽ ἐμμεμαῶτε Aristarchus, conf. H. T. 254. — 746 ἐμμεμαῶτε: οὕτω διὰ τῶν δύο μ̄. τινὲc δὲ οἱ μὲν ἄρ᾽ ἐμμεμαῶτε Schol. V, conf. ad 735. — 751 Ἀριcτοφάνηc οὐδέ τί μιν Schol. V.

ὣc αἰεὶ Αἴαντε μάχην ἀνέεργον ὀπίccω
Τρώων· οἳ δ᾽ ἅμ᾽ ἕποντο, δύω δ᾽ ἐν τοῖcι μάλιcτα,
Αἰνείαc τ᾽ Ἀγχιcιάδηc καὶ φαίδιμοc Ἕκτωρ.
τῶν δ᾽, ὥc τε ψαρῶν νέφοc ἔρχεται ἠὲ κολοιῶν,
οὖλον κεκλήγοντεc, ὅτε προΐδωcιν ἰόντα
κίρκον, ὅ τε cμικρῇcι φόνον φέρει ὀρνίθεccιν,
ὣc ἄρ᾽ ὑπ᾽ Αἰνείᾳ τε καὶ Ἕκτορι κοῦροι Ἀχαιῶν
οὖλον κεκλήγοντεc ἴcαν, λήθοντο δὲ χάρμηc.
πολλὰ δὲ τεύχεα καλὰ πέcον περί τ᾽ ἀμφί τε τάφρον
φευγόντων Δαναῶν· πολέμου δ᾽ οὐ γίγνετ᾽ ἐρωή.

ΙΛΙΑΔΟC C.

Ὣc οἳ μὲν μάρναντο δέμαc πυρὸc αἰθομένοιο,
Ἀντίλοχοc δ᾽ Ἀχιλῆι πόδαc ταχὺc ἄγγελοc ἦλθε.
τὸν δ᾽ εὗρε προπάροιθε νεῶν ὀρθοκραιράων
τὰ φρονέοντ᾽ ἀνὰ θυμόν, ἃ δὴ τετελεcμένα ἦεν·
ὀχθήcαc δ᾽ ἄρα εἶπε πρὸc ὃν μεγαλήτορα θυμόν·
    ὤ μοι ἐγώ, τί τ᾽ ἄρ᾽ αὖτε κάρη κομόωντεc Ἀχαιοὶ
νηυcὶν ἔπι κλονέονται ἀτυζόμενοι πεδίοιο;
μὴ δή μοι τελέcωcι θεοὶ κακὰ κήδεα θυμῷ,

V. ι. 752 μάχην ἀνέεργον αἴαντε ὀπίccω C. ἐνέργον ὀπίcω E. — 753 τρῴων L. οἵδ᾽ ACDGHL. — 755 ψαρῶν γένοc H Vrat. d. — 756 κεκλήγοντεc libri mei: κεκληγότεc Lips. Vrat. A. apud Heynium discrepantiam lectionis video nullam. — 757 ὅc τε DG. ὅc τιc L Lips. cμικροῖcι Barocc. Cant. Mor. μικρῇcι Townl. — 758 ἆρ ADEGH. ὑπ᾽: ἐπ᾽ H Vrat. d. αἰνείαν τε καὶ ἕκτορα Townl. — 759 κεκλήγοντεc ut supra: κεκληγότεc Lips. Vrat. A. ἦcαν C. δὲ omitt. L. — 760 τε omitt. L. τάφρωι D Vat. — 761 γίγνετ᾽ EL Rom.: γίνετ᾽ ACDGH.

A. c. 757, 759 κεκλήγοντεc et κεκληγῶτεc Aristarchus διχῶc? conf. ad Μ 125. Π 430. H. T. 296.

V. ι. 1 μάρναντο πυρὸc μένοc H Vrat. d. — 2 ἀχιλλῆϊ D. ἦλθε ACDEG. — 4 εἶεν C 1. man. — 5 εἶπεν D. — 6 ὤιμοι AC. ᾤμοι E 1127, 54. 1128, 4; 6; 31. τί ταρ A. τί τὰρ H. τί γὰρ Barocc. τί τ᾽ ἆρ CDGL. κάρη κομόωντεc AH: ceteri καρηκομόωντεc. — 7 ἐπικλονέονται CDEGHL. ἐπικλονέουcι Cant. — 8 τελέῃcι θεὸc E. κακὰ μήδεα HL Lips. Vrat. d. θυμοῦ Lips.

A. c. 7 νηυcὶν ἔπι Herodianus.

ὥϲ ποτέ μοι μήτηρ διεπέφραδε, καί μοι ἔειπε
Μυρμιδόνων τὸν ἄριϲτον ἔτι ζώοντοϲ ἐμεῖο
χερϲὶν ὕπο Τρώων λείψειν φάοϲ ἠελίοιο.
ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμοϲ υἱόϲ,
ϲχέτλιοϲ· ἦ τ' ἐκέλευον ἀπωϲάμενον δήιον πῦρ
ἂψ ἐπὶ νῆαϲ ἴμεν, μὴ δ' Ἕκτορι ἶφι μάχεϲθαι.
εἷοϲ ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
τόφρά οἱ ἐγγύθεν ἦλθεν ἀγαυοῦ Νέϲτοροϲ υἱὸϲ
δάκρυα θερμὰ χέων, φάτο δ' ἀγγελίην ἀλεγεινήν·
ὤ μοι Πηλέοϲ υἱὲ δαΐφρονοϲ, ἦ μάλα λυγρῆϲ
πεύϲεαι ἀγγελίηϲ, ἣ μὴ ὤφελλε γενέϲθαι.
κεῖται Πάτροκλοϲ, νέκυοϲ δὲ δὴ ἀμφιμάχονται
γυμνοῦ· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαίολοϲ Ἕκτωρ.
ὣϲ φάτο, τὸν δ' ἄχεοϲ νεφέλη ἐκάλυψε μέλαινα.
ἀμφοτέρῃϲι δὲ χερϲὶν ἑλὼν κόνιν αἰθαλόεϲϲαν
χεύατο κὰκ κεφαλῆϲ, χαρίεν δ' ᾔϲχυνε πρόϲωπον·
νεκταρέῳ δὲ χιτῶνι μέλαιν' ἀμφίζανε τέφρη.
αὐτὸϲ δ' ἐν κονίῃϲι μέγαϲ μεγαλωϲτὶ τανυϲθεὶϲ
κεῖτο, φίλῃϲι δὲ χερϲὶ κόμην ᾔϲχυνε δαΐζων.
δμῳαὶ δ', ἃϲ Ἀχιλεὺϲ ληίϲϲατο Πάτροκλόϲ τε,
θυμὸν ἀκηχέμεναι μεγάλ' ἴαχον, ἐκ δὲ θύραζε
ἔδραμον ἀμφ' Ἀχιλῆα δαΐφρονα, χερϲὶ δὲ πᾶϲαι
ϲτήθεα πεπλήγοντο, λύθεν δ' ὑπὸ γυῖα ἑκάϲτηϲ.
Ἀντίλοχοϲ δ' ἑτέρωθεν ὀδύρετο δάκρυα λείβων,
χεῖραϲ ἔχων Ἀχιλῆοϲ· ὃ δ' ἔϲτενε κυδάλιμον κῆρ·

V. l. 9 ἔειπε ACDGH. — 11 ὑπὸ ACEGHL. τρώων L. — 12 δὴ omitt. H. — 13 ἤ τ' D. — 14 νῆαϲ ἐπ' ἂψ ἰέναι CDE bis L Cant. Mor. Barocc. Lips. Vat. Harl. Frgm. Mosc. Vrat. b. A. Rom. νῆαϲ ἔπ' A. νῆαϲ ἔπ' S. lectio Aristarchea est in cod. H et fortasse in Vrat. d. μὴ δ' ACGHL: μηδ' D Schol. Π 93. μηδὲ E. — 15 * εἷοϲ: ἕωϲ ACDEGHL. conf. ad Α 193. ὃ CDGHL. κατα A. — 16 τόφρά οἱ ACDHL. — 18 ὤιμοι AC. ᾤμοι E. πηλέωϲ E. — 19 πεύϲεται Apoll. Soph. 7. 11. — 20 κοῖται G. δὲ διαμφιμάχονται Townl. — 21 κορυθαιόλοϲ ADEG Rom. — 24 κὰκ κεφαλῆϲ E: κακκεφαλῆϲ ACDL post ras. Vrat. A. Et. Mg. 528, 31. κάκκεφαλῆϲ GHL 1. man. (?). — 25 μέλαινα Lips. — 26 κονίῃ E. — 27 φίλην δέ τε χερϲὶ Cant. — 28 δμῳαὶ L 1. man. δμωαὶ ceteri et L post ras. ἀχιλλεὺϲ DE bis G. ληῖϲατο CDE bis Cant. Lips. Vrat. A. — 31 ὑπο AHL Vrat. b. — 33 ἀχιλλῆοϲ D ex corr. ὅδ' CDGHL.

A. c. 10, 11 ἐν τῇ Ῥιανοῦ καὶ Ἀριϲτοφάνουϲ οὐκ ἦϲαν οἱ δύο Schol. A. — 14 ἀρίϲταρχοϲ ἂψ ἐπὶ νῆαϲ ἴμεν Didymus. Ἀρίϲταρχοϲ καὶ Ἀριϲτοφάνηϲ ἂψ ἐπὶ νῆαϲ ἴμεν Schol. AV. — 28 δμῳαὶ veteres.

δείδιε γὰρ μὴ λαιμὸν ἀπαμήϲειε ϲιδήρῳ.
ϲμερδαλέον δ' ᾤμωξεν· ἄκουϲε δὲ πότνια μήτηρ
ἡμένη ἐν βένθεϲϲιν ἁλὸϲ παρὰ πατρὶ γέροντι,
κώκυϲέν τ' ἄρ' ἔπειτα· θεαὶ δέ μιν ἀμφαγέροντο,
πᾶϲαι, ὅϲαι κατὰ βένθοϲ ἁλὸϲ Νηρηίδεϲ ἦϲαν.
ἔνθ' ἄρ' ἔην Γλαύκη τε Θάλειά τε Κυμοδόκη τε
Νηϲαίη Ϲπειώ τε Θόη θ' Ἁλίη τε βοῶπιϲ,
Κυμοθόη τε καὶ Ἀκταίη καὶ Λιμνώρεια
καὶ Μελίτη καὶ Ἴαιρα καὶ Ἀμφιθόη καὶ Ἀγαυή,
Λωτώ τε Πρωτώ τε Φέρουϲά τε Δυναμένη τε,
Δεξαμένη τε καὶ Ἀμφινόμη καὶ Καλλιάνειρα,
Δωρὶϲ καὶ Πανόπη καὶ ἀγακλειτὴ Γαλάτεια,
Νημερτήϲ τε καὶ Ἀψευδὴϲ καὶ Καλλιάναϲϲα·
ἔνθα δ' ἔην Κλυμένη Ἰάνειρά τε καὶ Ἰάναϲϲα,
Μαῖρα καὶ Ὠρείθυια ἐυπλόκαμόϲ τ' Ἀμάθεια
ἄλλαι θ', αἳ κατὰ βένθοϲ ἁλὸϲ Νηρηίδεϲ ἦϲαν.
τῶν δὲ καὶ ἀργύφεον πλῆτο ϲπέοϲ· αἳ δ' ἅμα πᾶϲαι
ϲτήθεα πεπλήγοντο, Θέτιϲ δ' ἐξῆρχε γόοιο·
κλῦτε καϲίγνηται Νηρηίδεϲ, ὄφρ' ἐὺ πᾶϲαι
εἴδετ' ἀκούουϲαι, ὅϲ' ἐμῷ ἔνι κήδεα θυμῷ.
ὤ μοι ἐγὼ δειλή, ὤ μοι δυϲαριϲτοτόκεια,

V. l. 34 ἀπαμήϲειε Townl. ceteri ἀποτμήξειε cum Eust. 1129, 49. Cram. Ep. 106, 19. 120, 5. ἀποτμήϲειε Eust. 1129. 55. ἀποτμήϲῃ Et. Mg. 260, 11. — 35 ϲμαρδαλέον S. — 36 βένθεϲιν E Lips. — 37 κώκυϲέ E. ἂρ ACDEGHL. ἀμφ' ἀγέροντο D Cant. ἀμφἀγέροντο A. hunc et sequentem vs. omitt. S. — 39 ἆρ ADGH. ἔνθ' ἄρα ἦν γλαύκεια L Lips. — 42 ἀγαυὴ ACDGL. — 45 ἀγακλυτὴ L. — 46 ἀψευδῆϲ G. — 47 ἔνθα δ' ἔην ACDHLS Cant. Lips. Vat. Frgm. Mosc. Vrat. b. d. A. ἐνθάδ' ἔην Townl. Harlei. ἔνθα δε ἦν G. ἔνθα δὲ ἦν edd. vett. — 48 εὐπλόκαμοϲ DE. ἀμάθυια ACDLS Mor. Harl. Townl. Lips. Vrat. b. et codex Battavus, vid. Valcken. ad Ammon. pg. 166. τινὲϲ Ἀμάθυιαν ἐτόλμηϲαν γράφειν Eust. 1130, 57. ἀμάθεια GH Eust. 1130, 2; 57. Suidas II, 1, 1269, 12. — 49 ἄλλαί θ' A. — 50 αἴδ' CDGHL. — 52 καϲίγνητοι HL Lips. εὖ libri. — 53 ἔνι EGHL. ἐνι ACD. — 54 ᾤμοι bis ACE. ὤμοι ἐγὼ Et. Mg. 261, 31. δυϲαριϲτοτόκεια A.

A. c. 34 ἀποτμήξειε: οὕτω Ζηνόδοτοϲ. ἀρίϲταρχοϲ ἀπαμήϲειε, conf. φ 301. fallitur Schol. V Ἀρίϲταρχοϲ ἀποτμήϲειε. — 39—49 ὁ τῶν Νηρεΐδων χόροϲ προηθέτηται καὶ παρὰ Ζηνοδότῳ. ὁ δὲ Καλλίϲτρατοϲ οὐδὲ ἐν τῇ Ἀργολικῇ φηϲὶν αὐτοὺϲ φέρεϲθαι Schol. A. cf. Eust. 1131, 20. — 39 Γλαύκη Aristarchus βαρυτόνωϲ. Θάλεια: ἀρίϲταρχοϲ χωρὶϲ τοῦ θ ἄλεια παρὰ τὴν ἅλα Didymus. — 42 Ἀγαυή, vide Herod. ad. Ι 150. Ο 445. — 44 Δεξαμένη: τινὲϲ ὀξυτόνωϲ Schol. B. — 46 Νημερτὴϲ et Ἀψευδὴϲ Aristarchus ὀξυτόνωϲ. — 53 ἔνι: ἀριϲτοφάνηϲ ἐπικήδεα (?) Didymus.

ἥ τ' ἐπεὶ ἂρ τέκον υἱὸν ἀμύμονά τε κρατερόν τε,
ἔξοχον ἡρώων· ὁ δ' ἀνέδραμεν ἔρνεϊ ἶcoc·
τὸν μὲν ἐγὼ θρέψαςα, φυτὸν ὣc γουνῷ ἀλωῆς,
νηυςὶν ἐπιπροέηκα κορωνίcιν Ἴλιον εἴcω
Τρωcὶ μαχηcόμενον· τὸν δ' οὐχ ὑποδέξομαι αὖτις
οἴκαδε νοcτήcαντα, δόμον Πηλήιον εἴcω.
ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
ἄχνυται, οὐδέ τί οἱ δύναμαι χραιcμῆcαι ἰοῦcα.
ἀλλ' εἶμ', ὄφρα ἴδωμι φίλον τέκος, ἠδ' ἐπακούcω,
ὅττί μιν ἵκετο πένθος ἀπὸ πτολέμοιο μένοντα.
ὣc ἄρα φωνήcαcα λίπε cπέος· αἱ δὲ cὺν αὐτῇ
δακρυόεccαι ἴcαν, περὶ δέ cφιcι κῦμα θαλάccης
ῥήγνυτο. ταὶ δ' ὅτε δὴ Τροίην ἐρίβωλον ἵκοντο,
ἀκτὴν εἰcανέβαινον ἐπιcχερώ, ἔνθα θαμειαὶ
Μυρμιδόνων εἴρυντο νέες ταχὺν ἀμφ' Ἀχιλῆα.
τῷ δὲ βαρὺ cτενάχοντι παρίcτατο πότνια μήτηρ,
ὀξὺ δὲ κωκύcαcα κάρη λάβε παιδὸc ἑοῖο,
καί ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προcηύδα·
τέκνον, τί κλαίειc; τί δέ cε φρένας ἵκετο πένθος;
ἐξαύδα, μὴ κεῦθε· τὰ μὲν δή τοι τετέλεcται
ἐκ Διός, ὡc ἄρα δὴ πρίν γ' εὔχεο χεῖρας ἀναcχών,
πάντας ἐπὶ πρυμνῇcιν ἀλήμεναι υἷας Ἀχαιῶν,
cεῦ ἐπιδευομένους, παθέειν τ' ἀεκήλια ἔργα.
τὴν δὲ βαρὺ cτενάχων προcέφη πόδας ὠκὺς Ἀχιλλεύς·

V. l. 55 ἥ τ': ἢ E. — 56 ὅδ' CDGL. — 57 ὡc A. ἀλωιῆc A: ceteri ἀλωῆc· — 58 κορωνῆιcιν D. — 59 τρῳcὶ L. αὖθϊc C. — 61 ζώιη C. ζώῃ Harl. Vat. Townl. ἠελίοιο D. — 62 οὐδέ τι οἱ ACDGHL. χραιcμῆcαι ὄλεθρον H Vrat. d. — 63 ἴδωμι AD: ἴδοιμι CELS Cant. Mor. Barocc. Harl. Vat. Lips. Townl. Frgm. Mosc. Vrat. A. ἴδωμαι GH Vrat. d. Flor. Rom. — 64 ὅττί μιν AC. ἀπο CDS. ἄπο E Lips. Flor. Rom. Bekk. An. 931, 21. — 65 ὡc A. λίπεν H. αἳ δὲ C. — 66 περι D. δέ cφηcι D. δέ cφι CS Lips. δέ cφιν L. — 68 εἰc ἀνέβαινον D. εἰcανέβηcαν A. γρ. εἰc ἀνέβηcαν A. ἐπιcχαιρῶ L Lips. ἐπὶ cχερῶ CG. ἐπὶ cχερῶ D. — 69 ἀχιλλῆα D. — 70 βαρὺ cτενάχοντι AH Frgm. Mosc. Schol. A 364. βαρυcτενάχοντι CDEGL. — 71 ἑῆοc Cant. Harl. Vat. ἑοῖο D. ἑοῖο ACGHLS Pseudoplut. 144, 24. ἑοῖο ἢ μᾶλλον ἑῆοc Eust. 1131, 44, ὃ δαcύνεται παρὰ πολλοῖc teste Eust. 1131, 45. — 72 ῥ' omitt. Vrat. d. — 73 δέ cευ S. — 74 ἐξαῦδα D. — 75 ᾧ ἄρα LS Harl. Vat. — 76 πρύμνηcιν libri. ἀλήμεναι CGL Lips. — 77 τ' omitt. D. — 78 τήνδε G. βαρὺ cτενάχων AH Vrat. d. ceteri βαρυcτενάχων. ἀχϊλεύc C.

A. c. 57 ἀλῳῆc conf. H. U. 212. — 63 ἴδωμι, conf. H. U. 250. — 64 ἀπὸ: Ἀρίcταρχοc φυλάττει τὸν τόνον Herodianus.

μῆτερ ἐμή, τὰ μὲν ἄρ μοι Ὀλύμπιος ἐξετέλεccεν·
ἀλλὰ τί μοι τῶν ἦδος, ἐπεὶ φίλος ὤλεθ' ἑταῖρος
Πάτροκλος, τὸν ἐγὼ περὶ πάντων τῖον ἑταίρων,
ἶcον ἐμῇ κεφαλῇ· τὸν ἀπώλεcα, τεύχεα δ' Ἕκτωρ
δῃώcαc ἀπέδυcε πελώρια, θαῦμα ἰδέcθαι,
καλά· τὰ μὲν Πηλῆι θεοὶ δόcαν ἀγλαὰ δῶρα
ἤματι τῷ, ὅτε cε βροτοῦ ἀνέροc ἔμβαλον εὐνῇ.
αἴθ' ὄφελεc cὺ μὲν αὖθι μετ' ἀθανάτῃc ἁλίῃcι
ναίειν, Πηλεὺc δὲ θνητὴν ἀγαγέcθαι ἄκοιτιν.
νῦν δ', ἵνα καὶ cοὶ πένθος ἐνὶ φρεcὶ μυρίον εἴη
παιδὸc ἀποφθιμένοιο, τὸν οὐχ ὑποδέξεαι αὖτις
οἴκαδε νοcτήcαντ', ἐπεὶ οὐδ' ἐμὲ θυμὸc ἄνωγε
ζώειν οὐδ' ἄνδρεccι μετέμμεναι, αἴ κε μὴ Ἕκτωρ
πρῶτοc ἐμῷ ὑπὸ δουρὶ τυπεὶc ἀπὸ θυμὸν ὀλέccῃ,
Πατρόκλοιο δ' ἕλωρα Μενοιτιάδεω ἀποτίcῃ.
τὸν δ' αὖτε προcέειπε Θέτιc κατὰ δάκρυ χέουcα·
ὠκύμοροc δή μοι τέκοc ἔccεαι, οἷ' ἀγορεύειc·
αὐτίκα γάρ τοι ἔπειτα μεθ' Ἕκτορα πότμοc ἑτοῖμοc.
τὴν δὲ μέγ' ὀχθήcαc προcέφη πόδαc ὠκὺc Ἀχιλλεύc·
αὐτίκα τεθναίην, ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἑταίρῳ
κτεινομένῳ ἐπαμῦναι· ὃ μὲν μάλα τηλόθι πάτρηc
ἔφθιτ', ἐμεῖο δὲ δῆcεν ἀρῆc ἀλκτῆρα γενέcθαι.

V. l. 80 ἦδοc D Lips. ἐπεὶ φίλον ὤλεc' ἑταῖρον πάτροκλον Vrat. A. — 81 περϊ C. πέρι HL. τίον H Lips. — 82 ἀπώλεccα H. — 83 δηϊώcαc GH Flor. διώcαc Lips. — 85 ἤματι DG. — 86 αἴθ' ACD: ὡc EG HS Apoll. de Synt. 249, 28. ὣc L. ὡc ὄφελεc A in marg. ἁλίηcι ACD GHL. — 88 εἴη libri. — 89 ἀπὸ φθιμένοιο Vrat. d. αὖθιc CDG. — 90 οὐδέ με DEHS Vrat. A. οὐδὲ ἐμὲ G. ἄνωγε EGLS Lips. ἀνώγει CD Barocc. Mor. Vrat. b. A. — 92 τυπεἰc: δαμεὶc L. ἀπο CHL. — 93 μενοιτιάδαο AES Cant. Rom. ἀποτίcει H Vrat. d. — 94 ἐν ἄλλῳ τὸν δ' ἠμείβετ' ἔπειτα A. κατα A. καταδακρυχέουcα C. καταδακρυχέουcα DGHL Syr. — 95 τέκνον ἔcεαι D. ἀγοράζειc Diog. Laert. VI, 2, 6. — 97 τήνδε G. ἀχϊλεύc C. τὴν δ' αὖτε προcέειπε ποδάρκηc δῖοc Ἀχιλλεύc Aeschines adv. Timarchum § 150. — 98 ἆρ ADGHL. — 99 ὃ μὲν D. ἐπαμῦναι ὅ μοι πολὺ φίλτατοc ἔcκεν Aeschines. — 100 ἐμοῖο G Barocc. δὲ, δῆcεν A. δὲ δῆcεν CDEGL et Heynii libri fere omnes. Schol. Ξ 485. Et. Mg. 138, 2. Et. Gud. 216, 47. Eust. 1139, 12. δὲ δῆcεν H et ex corr. δ' ἔδηcεν.

A. c. 88 εἴη: ἤῃ? — 92 ὑπὸ: ὕπο Herodianus. idem ἀπὸ. — 100 προπεριcπαcτέον τὸ δῆcεν. τὸ γὰρ ε̄ τοῦ δέ ἐcτι Schol. V. τὸ δὲ δῆcεν διccύλλαβον ἐκδεκτέον ποιητικόν, καὶ τὸ ε̄ τοῦ προκειμένου ἐcτὶ cυνδέcμου Herodianus. ἀρῆc Ptolem. Ascalonita, Herodianus, αἱ εἰκαιότεραι: Ἄρεω Aristarchus teste Didymo (ἀρίcταρχοc διὰ τοῦ ω̄ ἄρεω). conf. Et. Mg. 138, 2. Eust. 1133, 10. Schol. Ξ 485.

νῦν δ', ἐπεὶ οὐ νέομαί γε φίλην ἐc πατρίδα γαῖαν,
οὐδέ τι Πατρόκλῳ γενόμην φάοc οὐδ' ἑτάροιcι
τοῖc ἄλλοιc, οἳ δὴ πολέεc δάμεν Ἕκτορι δίῳ,
ἀλλ' ἧμαι παρὰ νηυcὶν ἐτώcιον ἄχθοc ἀρούρηc,
τοῖοc ἐών, οἷοc οὔ τιc Ἀχαιῶν χαλκοχιτώνων,
ἐν πολέμῳ· ἀγορῇ δέ τ' ἀμείνονέc εἰcι καὶ ἄλλοι.
ὡc ἔριc ἔκ τε θεῶν ἔκ τ' ἀνθρώπων ἀπόλοιτο,
καὶ χόλοc, ὅc τ' ἐφέηκε πολύφρονά περ χαλεπῆναι,
ὅc τε πολὺ γλυκίων μέλιτοc καταλειβομένοιο
ἀνδρῶν ἐν cτήθεccιν ἀέξεται ἠύτε καπνόc·
ὡc ἐμὲ νῦν ἐχόλωcεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάcομεν ἀχνύμενοί περ,
θυμὸν ἐνὶ cτήθεccι φίλον δαμάcαντεc ἀνάγκῃ.
νῦν δ' εἶμ', ὄφρα φίληc κεφαλῆc ὀλετῆρα κιχείω,
Ἕκτορα· κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ
Ζεὺc ἐθέλῃ τελέcαι ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι.
οὐδὲ γὰρ οὐδὲ βίη Ἡρακλῆοc φύγε κῆρα,
ὅc περ φίλτατοc ἔcκε Διὶ Κρονίωνι ἄνακτι·
ἀλλά ἑ μοῖρ' ἐδάμαccε καὶ ἀργαλέοc χόλοc Ἥρηc.
ὣc καὶ ἐγών, εἰ δή μοι ὁμοίη μοῖρα τέτυκται,
κείcομ', ἐπεί κε θάνω· νῦν δὲ κλέοc ἐcθλὸν ἀροίμην,
καί τινα Τρωιάδων καὶ Δαρδανίδων βαθυκόλπων
ἀμφοτέρῃcιν χερcὶ παρειάων ἁπαλάων
δάκρυ' ὀμορξαμένην ἁδινὸν cτοναχῆcαι ἐφείην·

V. ʟ. δ' ἔδηcεν S Syr. Cant. Vrat. A. Et. Mg. 138, 17. Apoll. Soph. 62, 26. ἀρῆc CDEGHLS Syr. et Heynii libri praeter Vrat. d. Apoll. Soph. 41, 27. 62, 26. Schol. Ξ 485. Et. Mg. 138, 17. Et. Gud. 216, 47. ἄρηc Vrat. d. Eust. 1139, 12. ἄρεω Et. Mg. 138, 2. ἀρῆc[εω] A. — 101 δ' omitt. G Flor. — 102 φόωc ἢ φάοc E. ἑτάροιcι ACDEGH Syr. — 103 οἳ δὲ G. — 104 νηυcὶ κορωνίcιν ἄχθοc Plato Apol. 28 D. — 105 οἷοc omitt. L Lips. — 106 ἀγορῇ δέ τι D. ἀμείνονεc εἰcὶ L. — 107 καὶ ἀνθρώπων Aristoteles Eth. Eud. III, 1. — 108 χαλεπῆναι H. — 111 ὣc D. — 114 Δ' [Є]IM' Syr. (ε 2. man.). — 116 ἐθέλοι C ex corr. E. τελέccαι G Lips. ἠδ' D. τελέcαι καὶ Barocc. Mor. Vrat. A. — 117 οὐδὲ γὰρ βίῃ L Lips. — 118 ὅc περ: ὅc κεν Porphyrius ad Z 488. — 119 μοῖρ' ἐδάμαccε ACDEHS Barocc. Cant. Mor. Harl. Frgm. Mosc. Vrat. b. d. A. μοῖρα δάμαccε GL Lips. Flor. Porph. ad Z 488. ΜΟΙΡΑΔΑΜΑCCЄ Syr. — 121 ἀράμην[οι] H. — 122 δαρδανίων L. — 123 ἀμφοτέρῃcι DEH Frgm. Mosc. — 124 δάκρυ' ACEGHL: δάκρυ D Harl. Vat. Frgm. Mosc.

A. c. 124 scripsi δάκρυ' cum plerisque, conf. Ι 433. β 81. θ 88.

γνοῖεν δ', ὡc δὴ δηρὸν ἐγὼ πολέμοιο πέπαυμαι.
μηδέ μ' ἔρυκε μάχηc φιλέουcά περ· οὐδέ με πείcειc.
τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτιc ἀργυρόπεζα·
ναὶ δὴ ταῦτά γε τέκνον ἐτήτυμον οὐ κακόν ἐcτι,
τειρομένοιc ἑτάροιcιν ἀμυνέμεν αἰπὺν ὄλεθρον·
ἀλλά τοι ἔντεα καλὰ μετὰ Τρώεccιν ἔχονται,
χάλκεα μαρμαίροντα· τὰ μὲν κορυθαίολοc Ἕκτωρ
αὐτὸc ἔχων ὤμοιcιν ἀγάλλεται· οὐδέ ἕ φημι
δηρὸν ἐπαγλαϊεῖcθαι, ἐπεὶ φόνοc ἐγγύθεν αὐτῷ.
ἀλλὰ cὺ μὲν μή πω καταδύcεο μῶλον ἄρηοc,
πρίν γ' ἐμὲ δεῦρ' ἐλθοῦcαν ἐν ὀφθαλμοῖcιν ἴδηαι·
ἠῶθεν γὰρ νεῦμαι ἅμ' ἠελίῳ ἀνιόντι
τεύχεα καλὰ φέρουcα παρ' Ἡφαίcτοιο ἄνακτοc.
ὣc ἄρα φωνήcαcα πάλιν τράπεθ' υἷοc ἑῆοc,
καὶ cτρεφθεῖc' ἁλίῃcι καcιγνήτῃcι μετηύδα·
ὑμεῖc μὲν νῦν δῦτε θαλάccηc εὐρέα κόλπον,
ὀψόμεναι τε γέρονθ' ἅλιον καὶ δώματα πατρόc,
καί οἱ πάντ' ἀγορεύcατ'· ἐγὼ δ' ἐc μακρὸν Ὄλυμπον
εἶμι παρ' Ἥφαιcτον κλυτοτέχνην, αἴ κ' ἐθέλῃcιν

V. ʟ. ΔΑΚΡΥ Syr. ὀμορξαμένην D. ἀδινὸν[α] A: ceteri ἀδινὸν. cτοναχῆcαι ADEHLS Syr. Rom. Eust. 178, 27. 1949, 28. Et. Gud. 603, 39. cτοναχῖcαι C. cτεναχῆcαι G Flor. — 125 ὡc δηρὸν δὴ L. δὴ omitt. C. πεπαύμην S Cant. Harl. Vrat. d. A. — 126 μὴ δέ ACGH. μὴ δ' ἔμ' L. — 127 τὸν δ' ἀπαμειβόμενοc Vrat. A. — 128 τοῦτο DS. ταῦτα ἢ τοῦτο E. γε omitt. D. ἐcτι ACDEGH Syr. — 129 ἑτάροιc E. — 130 τρῴεccιν L. — 131 κορυθαιόλοc A. κορυθαιόλοc DGH Flor. Rom. — 132 ΟΥΔЄ́Є́ Syr. οὐδέ ἑ φημὶ ACDEHL. οὐδὲ ἑ φημὶ G. — 133 ἀπαγλαϊεῖcθαι L Lips. φό[ν]βοc H. — 136 omitt. D in textu. ἠῶθι L Lips. ἠελίωι καταδύντι D. — 137 φέρουcα D post ras. — 138 ὡc A. ἑῆοc H Vrat. d. ἐῆοc D Harl. Vat. ЄΗ̃ΟC Syr. ἑοῖο ACGLS. ἐν ἄλλῳ υἷοc εηοc A — 141 ὀψόμεναί γε D. — 143 κυκλοτέχνην S. αἴ κε θέλῃcï H. αἴκε θέλῃcιν L Vrat. A. αἴκε θελήcει Vrat. b. d.

A. c. λ 530. οὕτωc ἀρίcταρχοc ἄλλοι δὲ αδινᾶι (sic) Didymus. in textu cod. A scriptum est ἀδινον[α], quum autem scripturae ἀδινὰ, ita enim pro ἀδινᾶι est legendum, alia non possit esse opposita quam ἀδινὸν vel ἁδινόν, haec est lectio Aristarchea. legitur ἀδινὰ cτεναχίζων Ψ 225. ω 317. ἁδινὰ cτενάχω Ω 123. η 274. ἀδινὸν praeter hunc locum nusquam. — 138 ἑῆοc: ἑοῖο fortasse Zenodotus, conf. Α 393. Ο 138. Τ 342. Ω 528. 550. Η. Τ. 233. — 142 ἀγορεύcατ': παρὰ Ζηνοδότῳ ἀγορεῦcαι καὶ ὑποφαίνει τὸ ὁμηρικὸν ἔθοc Didymus.

υἱεῖ ἐμῷ δόμεναι κλυτὰ τεύχεα παμφανόωντα.
ὣc ἔφαθ', αἱ δ' ὑπὸ κῦμα θαλάccηc αὐτίκ' ἔδυcαν·
ἡ δ' αὖτ' Οὔλυμπον δὲ θεὰ Θέτιc ἀργυρόπεζα
ἤιεν, ὄφρα φίλῳ παιδὶ κλυτὰ τεύχε' ἐνείκαι.
τὴν μὲν ἄρ' Οὔλυμπον δὲ πόδεc φέρον· αὐτὰρ Ἀχαιοὶ
θεcπεcίῳ ἀλαλητῷ ὑφ' Ἕκτοροc ἀνδροφόνοιο
φεύγοντεc νῆάc τε καὶ Ἑλλήcποντον ἵκοντο.
οὐδέ κε Πάτροκλόν περ ἐϋκνήμιδεc Ἀχαιοὶ
ἐκ βελέων ἐρύcαντο νέκυν, θεράποντ' Ἀχιλῆοc·
αὖτιc γὰρ δὴ τόν γε κίχον λαόc τε καὶ ἵπποι
Ἕκτωρ τε, Πριάμοιο πάιc, φλογὶ εἴκελοc ἀλκήν.
τρὶc μέν μιν μετόπιcθε ποδῶν λάβε φαίδιμοc Ἕκτωρ
ἑλκέμεναι μεμαώc, μέγα δὲ Τρώεccιν ὁμόκλα·
τρὶc δὲ δύ' Αἴαντεc, θοῦριν ἐπιειμένοι ἀλκήν,
νεκροῦ ἀπεcτυφέλιξαν· ὃ δ' ἔμπεδον ἀλκὶ πεποιθὼc
ἄλλοτ' ἐπαΐξαcκε κατὰ μόθον, ἄλλοτε δ' αὖτε
cτάcκε μέγα ἰάχων· ὀπίcω δ' οὐ χάζετο πάμπαν.
ὡc δ' ἀπὸ cώματοc οὔ τι λέοντ' αἴθωνα δύνανται

V. L. 144 υἷι H, non male. παμπανόωντα H. — 145 ὡc A. αἵδ' CDGHL. ὕπο A. αὐτίκ' ἕ H, om. δυcαν. — 146 ἩΜΈΝΑΡ' Syr. ἤδ' CD GHL. οὔλυμπον δὲ A. ΟΥ̓ΛΥΜΠΟΝΔῈ Syr. — 147 ΗΙΕΙΜΕΝΟΦΡΑ Syr. ἐνείκαι ACH Syr. Cant. Lips. Vat. Townl. Frgm. Mosc. Vrat. d. ἐνείκῃ L. ἐνείκῃ Barocc. Harl. Vrat. b. A. ἐνείκοι DG edd. usque ad Bekkerum. conf. φ 196. Theocr. I, 134. V, 125. eadem lectionis varietas est apud Atticos, conf. Soph. Trach. 774. Frgm. 105, 4. Eurip. Iph. Aul. 724. Rhes. 259. Arist. Eccles. 807. Plat. Phaedr. 279 A. Rep. I, 330 A. Isocr. 15, 10. Xenoph. Conv. 2, 3. Dem. 9, 76. 14. 26. 23, 28. 25. 20, ubi ἐνέγκοι est praeferendum. — 148 ἂρ AGL. οὔλυμπον δὲ A. ΟΥΛΥΜΠΟΝΔῈ Syr. οὔλυμπόν δὲ G. — 149, 150 omitt. H in textu, habet in marg. man. rec. — 149—151 omitt. Frgm. Mosc. — 150 ἑλλίcποντον G. — 151 οὐδέ κε: ἐν ἄλλῳ οὐδ' ἄρα A. εὐκνήμιδεc DH. — 152 νέκυν: ἄνακτα L Lips. ἀχιλλέωc D. — 153 αὖθϊc C. τόν γε: τόνδε C Townl. — 154 τὲ AC. ἴκελοc G. ἶκελοc E Draco de Metr. 54, 14. ἶκελοc A. ΊΚΕΛΟC^{ε} Syr. (ε add. 2. man.). — 155 μετ' όπιcθε A. ποδὸc D. — 156 μεμαὼc ἐπῖ δὲ H. μετὰ δὲ Et. Mg. 625, 22. Zonar. 1448 τρώεccιν L. — 157 αἴαντε DH Lips. — 158 ἀπεcτυφάλιξαν C. ὅδ' CDGHL. — 159 omitt. Vrat. A. κατα H. — 160 μέγ' ἰάχων L Lips. — 161 ἀπο A.

A. c. 154—156 Ζηνόδοτοc γράφει οὕτωc· „Ἕκτωρ τε Πριάμοιο πάιc cυΐ εἴκελοc ἀλκήν, ὅc μιν τρὶc μετόπιcθε ποδῶν λάβε καὶ μέγ' ἀύτει, ἑλκέμεναι μεμαώc, κεφαλὴν δέ ἑ θυμὸc ἀνώγει πῆξαι ἀνὰ cκόλοπάc οἱ ταμόνθ' ἁπαλῆc ἀπὸ δειρῆc“ Aristonicus. — 160 ἰάχων: ἀχέων Zenodotus.

ποιμένεc ἄγραυλοι μέγα πεινάοντα δίεcθαι,
ὥc ῥα τὸν οὐκ ἐδύναντο δύω Αἴαντε κορυcτὰ
Ἕκτορα Πριαμίδην ἀπὸ νεκροῦ δειδίξαcθαι.
καί νύ κεν εἴρυccέν τε καὶ ἄcπετον ἤρατο κῦδοc,
εἰ μὴ Πηλείωνι ποδήνεμοc ὠκέα Ἶριc
ἄγγελοc ἦλθε θέουc' ἀπ' Ὀλύμπου θωρήccεcθαι,
κρύβδα Διὸc ἄλλων τε θεῶν· πρὸ γὰρ ἧκέ μιν Ἥρη.
ἀγχοῦ δ' ἱcταμένη ἔπεα πτερόεντα προcηύδα·
ὄρcεο Πηλείδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν·
Πατρόκλῳ ἐπάμυνον, οὗ εἵνεκα φύλοπιc αἰνὴ
ἕcτηκε πρὸ νεῶν. οἱ δ' ἀλλήλουc ὀλέκουcιν,
οἱ μὲν ἀμυνόμενοι νέκυοc πέρι τεθνηῶτοc,
οἱ δὲ ἐρύccαcθαι ποτὶ Ἴλιον ἠνεμόεccαν
Τρῶεc ἐπιθύουcι· μάλιcτα δὲ φαίδιμοc Ἕκτωρ
ἑλκέμεναι μέμονεν· κεφαλὴν δέ ἑ θυμὸc ἀνώγει
πῆξαι ἀνὰ cκολόπεccι ταμόνθ' ἁπαλῆc ἀπὸ δειρῆc.
ἀλλ' ἄνα, μηδ' ἔτι κεῖcο· cέβαc δέ cε θυμὸν ἱκέcθω,
Πάτροκλον Τρῳῇcι κυcὶν μέλπηθρα γενέcθαι·
cοὶ λώβη, αἴ κέν τι νέκυc ᾐcχυμμένοc ἔλθῃ.

V. L. 163 ὧc ῥὰ CDGHL. κορυcταὶ HL Lips. Vrat. A. — 164 ἀπο AG. δειδίξεcθαι D Syr. Townl. conf. Υ 432. — 165 εἴρυcεν^{c} L. εἴρυcέν CDH Lips. εἴρυcέ E Cant. Townl. ἤρατο EH. — 167 ΟΥΛΥΜΠΟΥ Syr. θωρήcεcθαι H. θωρύccεcθαι G. — 168 ἄλλων τὲ C. προ D. — 169 προcηῦδα D. — 170 ὄρcε Lips. ΕΚΠΑΚΛΌΤΑΤ' Syr. — 171 πατρόκλῳ libri. — 172 προ H. οἳ δ' L. οἵδ' CDH. — 173 οἳ μὲν CD. περι AH. περὶ D. τεθνηῶτοc H Cant. Townl. τεθνηῶτοc^{ει} S. τεθνειῶτοc^{Η} A. τεθνειῶτοc C DGL Syr. Lips. edd. vett. — 174 οἳ δὲ CD. ἐρύccεcθαι^{α} A. ἐρύcαcθαι D Lips. Vrat. A. Rom. προτὶ CDHL Syr. Lips. cum aliis. — 175 τρῷεc L. — 176 τέ ἑ A. ΤΈΕ Syr. δέ γε Cant. Harl. ἀνώγει AC Syr. ἄνωγε GHL Lips. Harl. Mor. Cant. Vat. Vrat. d. Schol. X 397. ἄνωγεν DS. ἐν ἄλλῳ ἄνωγεν A. ἀνώγει ἢ ἄνωγε E. — 177 ἀνα G. ἀπὸ C. ἐπὶ Schol. X 397. ὑπὸ δειρῆc EH. — 178 μὴ δ' ἔτι ACL. μὴ δέ τι GS Vrat. A. μηδέ τι D Frgm. Mosc. ΜΗΔΈΤΙ Syr. μηκέτι Harl. Apollon. de Coni. 500, 5. Apoll. Soph. 30, 20. θυμὸc Apoll. Soph. — 179 τρῳῇcι AL: ceteri τρωῇcι. κυcὶ E Syr. Lips. — 180 αἴ κεν τι A. κέν τοι C. ἠcχυμένοc L Lips. Vat. Vrat. A. ἔλθοι CE bis Rom. ΕΛΘΗC Syr.

A. c. 171 ἀρίcταρχοc κατὰ γενικὴν πατρόκλου Didymus. retinui dativum libros secutus, quem confirmant Ζ 361. Θ 414. Μ 369. Ν 465. Ξ 357. C 99. — 174 ἠνεμόεccαν: αἰπὺ θέλοντεc Zenodotus transpositis versibus 176. 177. conf. ad 154.

τὴν δ' ἠμείβετ' ἔπειτα ποδάρκης δῖος Ἀχιλλεύς·
Ἶρι θεά, τίς γάρ ϲε θεῶν ἐμοὶ ἄγγελον ἧκε;
τὸν δ' αὖτε προϲέειπε ποδήνεμος ὠκέα Ἶρις·
Ἥρη με προέηκε, Διὸς κυδρὴ παράκοιτις·
οὐδ' οἶδε Κρονίδης ὑψίζυγος οὐδέ τις ἄλλος
ἀθανάτων, οἳ Ὄλυμπον ἀγάννιφον ἀμφινέμονται.
τὴν δ' ἀπαμειβόμενος προϲέφη πόδας ὠκὺς Ἀχιλλεύς·
πῶς τ' ἄρ' ἴω μετὰ μῶλον; ἔχουσι δὲ τεύχε' ἐκεῖνοι·
μήτηρ δ' οὔ με φίλη πρίν γ' εἴα θωρήσσεσθαι,
πρίν γ' αὐτὴν ἐλθοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδωμαι·
στεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεν ἔντεα καλά.
ἄλλου δ' οὔ τευ οἶδα, τεῦ ἂν κλυτὰ τεύχεα δύω,
εἰ μὴ Αἴαντός γε σάκος Τελαμωνιάδαο.
ἀλλὰ καὶ αὐτὸς ὅ γ', ἔλπομ', ἐνὶ πρώτοισιν ὁμιλεῖ,
ἔγχεϊ δηιόων περὶ Πατρόκλοιο θανόντος.
τὸν δ' αὖτε προϲέειπε ποδήνεμος ὠκέα Ἶρις·
εὖ νυ καὶ ἡμεῖς ἴδμεν ὅ τοι κλυτὰ τεύχε' ἔχονται·
ἀλλ' αὔτως ἐπὶ τάφρον ἰὼν Τρώεσσι φάνηθι,
αἴ κέ σ' ὑποδείσαντες ἀπόσχωνται πολέμοιο
Τρῶες, ἀναπνεύσωσι δ' ἀρήιοι υἷες Ἀχαιῶν
τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο.

V. L. 181 ἀχῖλεύς C. — 182 τίς τ' ἄρ S Cant. ἧκε ACDG Syr. — 185 ΟΥΤ' . . . . . . ΟΥΤΈΤΙϹ Syr. — 186 οὔλυμπον Flor. Rom. ἀγάνιφον Vrat. A. — 187 ἀχῖλεύς C. — 188 πῶς τὰρ AC. ΤΑΡ Syr. τ' ἆρ GL. γὰρ H. πῶς δὴ ἔλθω Eust. μετὰ μόθον C. τεύχε' ἐκεῖνοι ACDEGHL Syr. et Heynii libri. τεύχεα κεῖνοι nullus. — 189 θωρήσεσθαι H. — 191 πάρ' οἰσέμεν CD Frgm. Mosc. Jo. Alex. 28, 16. Schol. Β 150. Ι 456. C 400. Φ 588. παρ' οἰσέμεν GL Cram. An. Ox. II, 433, 8. παροισέμεν AH Syr. Townl. Vrat. A. — 192 οὔ τευ οἶδα ACEH Frgm. Mosc. Townl. Lips. Rom. ἀλλ' οὐδ' οὔτευ οἶδα L ἀλλ' οὐδ' οὔτ' εὖ οἶδα D. ἀλλ' οὐδ' οὐδέ τευ οἶδα Ven. B. ἀλλ' οὐδ' εὖ οἶδα Vrat. A. οὔ θην οἶδα GS Cant. Flor. οἶδα μὴ ἂν H. τοῦ ἂν L. — 194 ὅγ' ACDEGHLS Syr. ὅδ' Dindorfius, nescio unde. ἔλπομαι D. ἐνι AD. πρώτοισιν DE 1137, 57 GHLS Syr. τρώεσσιν AC Townl. Frgm. Mosc. ἐνὶ τρώεσσιν ἢ μάλιστα ἐνὶ πρώτοισιν Eust. 1137, 26. ὁμιλεῖν C Vrat. b. — 195 ἔγχει Flor. περι AH Syr. — 197 ἴσμεν G Flor. ὅτι CG edd. vett. ὅτι ἢ ὅ τοι Eust. τεύχεα G. — 198 αὔτως GH. αὐτως A Syr. αὐτὸς L Lips. τρώεσσι L. — 199 αἴ κεσ' D. αἴ κεν G Flor ὑποδείσαντες G: ceteri ὑποδδείσαντες. — 200 τρῶες L. ἀρΐϊ G. hunc et sequentem omitt. Syr. — 201 omitt. S Cant. Vat. Townl. Frgm. Mosc. ἀνάπνευσις: ἀνάπαυσις Harl.

A. c. 182 γάρ: τάρ altera Aristarchi, conf. H. T. 359. — 191 πάρ' οἰσέμεν Aristarchus et Herodianus. — 197 κατ' ἔνια καλὰ τεύχε' ἔχονται Schol. A. — 198 αὔτως: αὐτὸς Zenodotus et Aristophanes. — 199 ὑποδείσαντες Aristarchus, cf. H. T. 390.

ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη πόδας ὠκέα Ἶρις,
αὐτὰρ Ἀχιλλεὺς ὦρτο διίφιλος· ἀμφὶ δ' Ἀθήνη
ὤμοις ἰφθίμοισι βάλ' αἰγίδα θυσσανόεσσαν,
ἀμφὶ δέ οἱ κεφαλῇ νέφος ἔστεφε δῖα θεάων
χρύσεον, ἐκ δ' αὐτοῦ δαῖε φλόγα παμφανόωσαν.
ὡς δ' ὅτε καπνὸς ἰὼν ἐξ ἄστεος αἰθέρ' ἵκηται,
τηλόθεν ἐκ νήσου, τὴν δήιοι ἀμφιμάχωνται,
οἵ τε πανημέριοι στυγερῷ κρίνονται ἄρηι
ἄστεος ἐκ σφετέρου· ἅμα δ' ἠελίῳ καταδύντι
πυρσοί τε φλεγέθουσιν ἐπήτριμοι, ὑψόσε δ' αὐγὴ
γίγνεται ἀΐσσουσα, περικτιόνεσσιν ἰδέσθαι,
αἴ κέν πως σὺν νηυσὶν ἀρῆς ἀλκτῆρες ἵκωνται·
ὣς ἀπ' Ἀχιλλῆος κεφαλῆς σέλας αἰθέρ' ἵκανε.
στῆ δ' ἐπὶ τάφρον ἰὼν ἀπὸ τείχεος, οὐδ' ἐς Ἀχαιοὺς
μίσγετο· μητρὸς γὰρ πυκινὴν ὠπίζετ' ἐφετμήν.
ἔνθα στὰς ἤυσ', ἀπάτερθε δὲ Παλλὰς Ἀθήνη
φθέγξατ'· ἀτὰρ Τρώεσσιν ἐν ἄσπετον ὦρσε κυδοιμόν.
ὡς δ' ὅτ' ἀριζήλη φωνή, ὅτε τ' ἴαχε σάλπιγξ
ἄστυ περιπλομένων δηίων ὕπο θυμοραϊστέων,

V. L. 202 ἡ μὲν C. ἀρ A. ἄρ DGHL. ὥς AD. — 203 ἀχϊλεὺς CH. διΐ φίλος ACDGHL. ΔΙΙΦΙΛΟϹ Syr. ἀμφι D. αὐτὰρ ἀθήνη H Syr. Vrat. d. — 204 ὤμοις' H. ἰφθίμοις βάλεν Schol. Ο 229. θυσανόεσσαν DEGS Lips. Flor. Rom. — 205 ἀμφι D. κεφαλὴν Flor. — 206 δαῖεν Vrat. A. παμφανόωσα L. — 207 ἐξάστεος D. — 208 ἀμφιμάχονται CDEG Syr. ἀμφὶ μάχονται S. „ἀμφὶ μάχονται et ἀμφιμάχονται scribitur“ Heyne. — 209 κρίνωνται GH Syr. Vat. Vrat. d. Frgm. Mosc. — 210 καταδῦντι CL. — 211 ὑψόθι Vat. — 212 γίγνεται G Syr. γίνεται ADEHL Lips. Flor. Rom. γίνετ' C. — 213 ΚΕΜΠΩϹ (N above Μ) Syr. (N 2. man.). ἀρῆς: ἄρεως ADE 1139, 11 HL Syr. Barocc. Frgm. Mosc. ἄρεος CE 1138, 11 GS Lips. Vrat. b. Flor. Rom. τὰ παλαιὰ τῶν ἀντιγράφων ἐκτείνουσιν ἐνταῦθα τὴν λήγουσαν τοῦ ἄρεως Eust. 1139, 13. ἄρηος Vrat. A. — 214 ἀχϊλῆος CD 1. man. Lips. ἵκανε CDEGH. — 215 ἐπι A. ἐπ' ἀχαιοὺς ἢ ἐς ἀχαιοὺς Eust. — 217 δὲ omitt. G. παλὰς L. — 218 αὐτὰρ G Flor. τρώεσσιν L. τρωσὶν ἂν Harl. ἐνάσπετον ACG. — 219 ἀριζήλῃ φωνῇ D. ὅτι Lips. — 220 ὕπο AD 1. man. ὑπὸ D 2. man. EGHL Syr. θυμοραϊστέων C. θυμοραϊστάων Lips. Vrat. A. θϋμοραϊστῶν H.

A. c. 207 οἱ περὶ Διονύσιον τὸν Θρᾷκά φασιν Ἀρίσταρχον πρώτῃ ταύτῃ χρώμενον τῇ γραφῇ μεταθέσθαι καὶ γράψαι „ὡς δ' ὅτε πῦρ ἐπὶ πόντον ἀριπρεπὲς αἰθέρ' ἵκηται“ Didymus. — 208 ἀμφιμάχωνται, v. G. Hermannum, Op. II, 55. — 210 Ζηνόδοτος ἄστυ ποτὶ (cod. ποτὲ) σφέτερον Didymus. — 211 ἐπήτριμοι: ἐπητριμοὶ Ptol. Ascalonita, conf. Eust. 1139, 4. — 213 * ἀρῆς: ἀρίσταρχος ἄρεω Didymus, conf. ad v. 100. Eust. 1139, 14.

ὣc τότ᾿ ἀριζήλη φωνὴ γένετ᾿ Αἰακίδαο.
οἳ δ᾿ ὡc οὖν ἄιον ὄπα χάλκεον Αἰακίδαο,
πᾶcιν ὀρίνθη θυμόc· ἀτὰρ καλλίτριχεc ἵπποι
ἂψ ὄχεα τρόπεον· ὄccοντο γὰρ ἄλγεα θυμῷ.
ἡνίοχοι δ᾿ ἔκπληγεν, ἐπεὶ ἴδον ἀκάματον πῦρ
δεινὸν ὑπὲρ κεφαλῆc μεγαθύμου Πηλεΐωνοc
δαιόμενον· τὸ δὲ δαῖε θεὰ γλαυκῶπιc Ἀθήνη.
τρὶc μὲν ὑπὲρ τάφρου μεγάλ᾿ ἴαχε δῖοc Ἀχιλλεύc,
τρὶc δὲ κυκήθηcαν Τρῶεc κλειτοί τ᾿ ἐπίκουροι.
ἔνθα δὲ καὶ τότ᾿ ὄλοντο δυώδεκα φῶτεc ἄριcτοι
ἀμφὶ cφοῖc ὀχέεccι καὶ ἔγχεcιν. αὐτὰρ Ἀχαιοὶ
ἀcπαcίωc Πάτροκλον ὑπ᾿ ἐκ βελέων ἐρύcαντεc
κάτθεcαν ἐν λεχέεccι· φίλοι δ᾿ ἀμφέcταν ἑταῖροι
μυρόμενοι· μετὰ δέ cφι ποδώκηc εἵπετ᾿ Ἀχιλλεὺc
δάκρυα θερμὰ χέων, ἐπεὶ εἴcιδε πιcτὸν ἑταῖρον
κείμενον ἐν φέρτρῳ δεδαϊγμένον ὀξέϊ χαλκῷ.
τόν ῥ᾿ ἤ τοι μὲν ἔπεμπε cὺν ἵπποιcιν καὶ ὄχεcφιν
ἐc πόλεμον, οὐδ᾿ αὖτιc ἐδέξατο νοcτήcαντα.
   ἠέλιον δ᾿ ἀκάμαντα βοῶπιc πότνια Ἥρη
πέμψεν ἐπ᾿ Ὠκεανοῖο ῥοὰc ἀέκοντα νέεcθαι·
ἠέλιοc μὲν ἔδυ, παύcαντο δὲ δῖοι Ἀχαιοὶ
φυλόπιδοc κρατερῆc καὶ ὁμοιίου πολέμοιο.
   Τρῶεc δ᾿ αὖθ᾿ ἑτέρωθεν ἀπὸ κρατερῆc ὑcμίνηc
χωρήcαντεc ἔλυcαν ὑφ᾿ ἅρμαcιν ὠκέαc ἵππουc,
ἐc δ᾿ ἀγορὴν ἀγέροντο, πάροc δόρποιο μέδεcθαι.

V. L. 222 omitt. Barocc. Townl. οἳ δ᾿ GL. οἵδ᾿ CH. οὖν omitt. C. — 223 αὐτὰρ E. — 225 ἔκπληγον HS Vrat. A. — 226 ὕπερ A. — 227 τὸ δὲ δαῖε AC Vrat. d. Frgm. Mosc. τὸ δ᾿ ἔδαιε DEH. τόδ᾿ ἔδαιε GLS. τὸν δ᾿ ἔδαιε Lips. — 228 ὑπὲρ: ὑπ᾿ ἐκ E. ἀπὸ Schol. C 35. ἀχϊλεύc C. — 229 δὲ κυκήθηcαν DEL Syr. Lips. Cant. Vrat. d. A. Schol. C 35. δ᾿ ἐκυκήθηcαν ACGH Flor. τρῷεc L. κλητοί Barocc. — 231 ἀμφι D. ὀχέεccι: ἐν ἄλλῳ ξιφέεccι (cod. ξίφεccι) A. καὶ ἔντεcιν Vrat. d. — 232 ὑπ᾿ ἐκ EGHL. ὑπὲκ AD 2. man. ὑπεκ CD 1. man. — 233 ἀμφ᾿ ἔcταcαν A. ἀμφέcταcαν Flor. ἀφέcταν Lips. — 234 μετα AD. ἀχϊλεύc C. — 235 εἴcῖδε H. — 236 φερέτρῳ G Flor. Et. Mg. 790, 54. — 237 ἵπποιcι DL Lips. Vrat. A. ὄχεcφι D Lips. — 238 εἰc E Vrat. A. αὖθϊc C. — 239 ἐν ἄλλῳ ἠέλιον μὲν ἔπειτα A. — 240 πέμπεν A. Harlei. — 242 πτολέμοιο CDGH Syr. Flor. — 243 τρῷεc L. δ᾿ αὖ E Vrat. A. ἀπο H. ἐν ἄλλῳ ἐπὶ θρωcμῷ πεδιοιο A. — 244 ὑφάρμαcϊν H.

A. c. 222 χάλκεον: χαλκέην Zenodotus. — 230, 231 Ζηνόδοτοc γράφει „ἔνθα δὲ κοῦροι ὄλοντο δυώδεκα πάντεc ἄριcτοι οἷcιν ἐνὶ βελέεccι“ Aristonicus. — 231 ἀμφὶ cφοῖc Apoll. de Pron. 142 A.

ὀρθῶν δ᾿ ἑcταότων ἀγορὴ γένετ᾿, οὐδέ τιc ἔτλη
ἕζεcθαι· πάνταc γὰρ ἔχε τρόμοc, οὕνεκ᾿ Ἀχιλλεὺc
ἐξεφάνη, δηρὸν δὲ μάχηc ἐπέπαυτ᾿ ἀλεγεινῆc.
τοῖcι δὲ Πουλυδάμαc πεπνυμένοc ἦρχ᾿ ἀγορεύειν
Πανθοΐδηc· ὃ γὰρ οἶοc ὅρα πρόccω καὶ ὀπίccω.
Ἕκτορι δ᾿ ἦεν ἑταῖροc, ἰῇ δ᾿ ἐν νυκτὶ γένοντο·
ἀλλ᾿ ὃ μὲν ἂρ μύθοιcιν, ὃ δ᾿ ἔγχεϊ πολλὸν ἐνίκα·
ὅ cφιν ἐὺ φρονέων ἀγορήcατο καὶ μετέειπεν·
   ἀμφὶ μάλα φράζεcθε φίλοι· κέλομαι γὰρ ἔγω γε
ἄcτυ δὲ νῦν ἰέναι, μὴ μίμνειν ἠῶ δῖαν
ἐν πεδίῳ παρὰ νηυcίν· ἑκὰc δ᾿ ἀπὸ τείχεόc εἰμεν.
ὄφρα μὲν οὗτοc ἀνὴρ Ἀγαμέμνονι μήνιε δίῳ,
τόφρα δὲ ῥηΐτεροι πολεμίζειν ἦcαν Ἀχαιοί·
χαίρεcκον γὰρ ἐγώ γε θοῇc ἐπὶ νηυcὶν ἰαύων,
ἐλπόμενοc νῆαc αἱρηcέμεν ἀμφιελίccαc.
νῦν δ᾿ αἰνῶc δείδοικα ποδώκεα Πηλεΐωνα·
οἷοc κείνου θυμὸc ὑπέρβιοc, οὐκ ἐθελήcει
μίμνειν ἐν πεδίῳ, ὅθι περ Τρῶεc καὶ Ἀχαιοὶ
ἐν μέcῳ ἀμφότεροι μένοc ἄρηοc δατέονται,
ἀλλὰ περὶ πτόλιόc τε μαχήcεται ἠδὲ γυναικῶν.
ἀλλ᾿ ἴομεν προτὶ ἄcτυ, πίθεcθέ μοι· ὧδε γὰρ ἔcται.
νῦν μὲν νὺξ ἀπέπαυcε ποδώκεα Πηλεΐωνα
ἀμβροcίη· εἰ δ᾿ ἄμμε κιχήcεται ἐνθάδ᾿ ἐόνταc
αὔριον ὁρμηθεὶc cὺν τεύχεcιν, εὖ νύ τιc αὐτὸν
γνώcεται· ἀcπαcίωc γὰρ ἀφίξεται Ἴλιον ἱρὴν·

V. L. 247 ἔχε: ἕλε H Vrat. b. d. A. ἔ[λ]χε A. ἀχϊλεύc C. — 248 δει[η]-ρὸν H. ἀπέπαυτ᾿ G Flor. conf. Υ 43. — 250 πανθοΐδηc L: ceteri πανθοίδηc. δ ACDGHL. ὀπίcω G. — 252 ὁ μὲν ἂν E. δδ᾿ D. ὃδ᾿ CGHL. — 253 ὅ, cφιν C. ὃ cφιν ADH Flor. Rom. ὅc cφιν GL. ΟCCΦΙΝ Syr. εὖ φρονέων HLS Lips. Flor. ἐΰφρονέων ACG. εὐφρονέων D. — 254 ἀμφι ACDH. φράζεcθαι G. — 255 ἄcτυ δὲ ADGL. — 256 ἐμπεδίῳ H. παρα A. ἀπο D. τείχεοc εἰμὲν CEGHL. — 257 ΑΝΗΡ᾿ Syr. πολεμίζεcθ᾿ S. πολεμιζέμεν Vat. — 260 νῆαc γ᾿ G. νῆάc γ᾿ E Flor. Rom. γ᾿ abest ab omnibus fere libris. — 261 ποδόκεα G. — 262 ἐκείνου ACDEGHL Syr. οὐδ᾿ ἐθελήcει H Vrat. d. A. — 263 τρῷεc L. — 264 ἄρεοc AC Ven. B. Harlei. — 265 μαχήcεται: ἐν ἄλλῳ μαχέccεται A. — 266 προτῒ H. προτιάcτυ D. πίθεcθε δέ μ᾿ ὧδε L. ὧδε γὰρ ἔcται: γρ. ὣc γὰρ ἄμεινον L. — 268 οὐδ᾿ ἄμμε S. ΕΟΝΤΟC Syr.

A. c. 247 τρόμοc: φόβοc Zenodotus. conf. Τ 14. — 262 κείνου Aristarchus, conf. Ο 94. — 265 μαχήcεται Aristarchus, non μαχέccεται. — 266 πίθεcθε: πιθέcθε Tyrannio teste Schol. V.

ὅϲ κε φύγῃ, πολλοὺϲ δὲ κύνεϲ καὶ γῦπεϲ ἔδονται
Τρώων· αἲ γὰρ δή μοι ἀπ' οὔατοϲ ὧδε γένοιτο.
εἰ δ' ἂν ἐμοῖϲ ἐπέεϲϲι πιθώμεθα κηδόμενοί περ,
νύκτα μὲν εἰν ἀγορῇ ϲθένοϲ ἕξομεν, ἄϲτυ δὲ πύργοι
ὑψηλαί τε πύλαι ϲανίδεϲ τ' ἐπὶ τῇϲ ἀραρυῖαι
μακραὶ ἐύξεϲτοι ἐζευγμέναι εἰρύϲϲονται.
πρῶϊ δ' ὑπηοῖοι ϲὺν τεύχεϲι θωρηχθέντεϲ
ϲτηϲόμεθ' ἂμ πύργουϲ· τῷ δ' ἄλγιον, αἴ κ' ἐθέληϲιν
ἐλθὼν ἐκ νηῶν περὶ τείχεοϲ ἄμμι μάχεϲθαι.
ἂψ πάλιν εἶϲ' ἐπὶ νῆαϲ, ἐπεί κ' ἐριαύχεναϲ ἵππουϲ
παντοίου δρόμου ἄϲῃ ὑπὸ πτόλιν ἠλαϲκάζων.
εἴϲω δ' οὔ μιν θυμὸϲ ἐφορμηθῆναι ἐάϲει,
οὐδέ ποτ' ἐκπέρϲει· πρίν μιν κύνεϲ ἀργοὶ ἔδονται.
τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προϲέφη κορυθαίολοϲ Ἕκτωρ·
Πουλυδάμα, ϲὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύειϲ,
ὃϲ κέλεαι κατὰ ἄϲτυ ἀλήμεναι αὖτιϲ ἰόνταϲ.
ἦ οὔ πω κεκόρηϲθε ἐελμένοι ἔνδοθι πύργων;
πρὶν μὲν γὰρ Πριάμοιο πόλιν μέροπεϲ ἄνθρωποι
πάντεϲ μυθέϲκοντο πολύχρυϲον πολύχαλκον·
νῦν δὲ δὴ ἐξαπόλωλε δόμων κειμήλια καλά,
πολλὰ δὲ δὴ Φρυγίην καὶ Μῃονίην ἐρατεινὴν
κτήματα περνάμεν' ἵκει, ἐπεὶ μέγαϲ ὠδύϲατο Ζεύϲ.
νῦν δ' ὅτε πέρ μοι ἔδωκε Κρόνου πάιϲ ἀγκυλομήτεω

V. ι. 271. φύγοι S Cant. κῦνεϲ D. γύπεϲ C. — 272 τρῴων L. γένοιντο Harl. — 273 πιθοίμεθα Harl. ἐν ἄλλῳ πιθοίμεθα A. — 275 ϹΑΝΙΔΕϹΔ' Syr. — 276 εὔξεϲτοι H. εἰρύϲονται DEG Syr. — 277 omitt. H in textu. Syr. habet lacunam. ὑπηοῖοι D 1. man. ὑπ' ἠοῖοι AEGH Ammon. de Diff. s. ὄρθροϲ. ὑπ' ἠῷοι Cant. ὑπ' ἠοῖ CL Vrat. A. ἐπ' ἠοῖ Lips. conf. ad Θ 530. — 278 ἀμπύργουϲ ACH Harl. Townl. Mor. Frgm. Mosc. ἂν πύργουϲ D ex corr. E. ἀνπύργουϲ GL Syr. Vrat. d. ἀπύργουϲ D 1. man. κε θέληϲιν CDS. ΚΈΘΕΛΗϹΙΝ Syr. — 279 ἐκ νηὸϲ Mor. — 280 ΑΨ' Syr. — 281 ἄϲει C. — 282 ἐάϲϲει C. — 283 κύνεϲ ἠδ' οἰωνοί Schol. A 29. — 284 ἆρ ADGHL. κορυθαιόλοϲ AG Flor. Rom. — 285 οὐκ ἔτ' G. — 286 κέλαι G. αὖθϊϲ C. — 287 ἢ CEGL. ἐερμένοι Vrat. b. ἐεργμένοι Barocc. Mor. Vrat. A. — 288 γὰρ omitt. H. — 290 καλά: πολλά Vat. κατά S. — 291 δὲ δὴ: ΔÈ ΚΑÌ Syr. μηϊονίην D. ΜΗΟΝΊΗΝ Syr. — 292 ἥκει GS Cant. Lips. Harl. Vrat. b. A. Flor. Rom. ὠδύϲϲατο L. — 293 νῦν δ' ὅτε δὴ L Lips. πάιϲ: παῖϲ libri.

A. c. 285 Πουλυδάμα: Πουλυδάμαν Zenodotus, conf. ad Μ 231. Ξ 470. — 287 ὅτι Ζηνόδοτοϲ γράφει κεκόρηϲθον, ϲυγχέων τὸ δυϊκόν Aristonicus. — 292 ἵκει: ἥκει, conf. H. T. 287.

κῦδοϲ ἀρέϲθ' ἐπὶ νηυϲὶ θαλάϲϲῃ τ' ἔλϲαι Ἀχαιούϲ,
νήπιε, μηκέτι ταῦτα νοήματα φαῖν' ἐνὶ δήμῳ·
οὐ γάρ τιϲ Τρώων ἐπιπείϲεται· οὐ γὰρ ἐάϲω.
ἀλλ' ἄγεθ' ὡϲ ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντεϲ.
νῦν μὲν δόρπον ἕλεϲθε κατὰ ϲτρατὸν ἐν τελέεϲϲι,
καὶ φυλακῆϲ μνήϲαϲθε, καὶ ἐγρήγορθε ἕκαϲτοϲ·
Τρώων δ' ὃϲ κτεάτεϲϲιν ὑπερφιάλωϲ ἀνιάζει,
ϲυλλέξαϲ λαοῖϲι δότω καταδημοβορῆϲαι,
τῶν τινα βέλτερόν ἐϲτιν ἐπαυρέμεν ἤ περ Ἀχαιούϲ.
πρῶϊ δ' ὑπηοῖοι ϲὺν τεύχεϲι θωρηχθέντεϲ
νηυϲὶν ἔπι γλαφυρῇϲιν ἐγείρομεν ὀξὺν ἄρηα.
εἰ δ' ἐτεὸν παρὰ ναῦφιν ἀνέϲτη δῖοϲ Ἀχιλλεύϲ,
ἄλγιον, αἴ κ' ἐθέλῃϲι, τῷ ἔϲϲεται. οὔ μιν ἐγώ γε
φεύξομαι ἐκ πολέμοιο δυϲηχέοϲ, ἀλλὰ μάλ' ἄντην
ϲτήϲομαι, ἤ κε φέρῃϲι μέγα κράτοϲ, ἦ κε φεροίμην.
ξυνὸϲ Ἐνυάλιοϲ, καί τε κτανέοντα κατέκτα.
ὣϲ Ἕκτωρ ἀγόρευ', ἐπὶ δὲ Τρῶεϲ κελάδηϲαν,
νήπιοι· ἐκ γάρ ϲφεων φρέναϲ εἵλετο Παλλὰϲ Ἀθήνη.
Ἕκτορι μὲν γὰρ ἐπῄνηϲαν κακὰ μητιόωντι,
Πουλυδάμαντι δ' ἄρ' οὔ τιϲ, ὃϲ ἐϲθλὴν φράζετο βουλήν.
δόρπον ἔπειθ' εἵλοντο κατὰ ϲτρατόν· αὐτὰρ Ἀχαιοὶ
παννύχιοι Πάτροκλον ἀνεϲτενάχοντο γοῶντεϲ.
τοῖϲι δὲ Πηλείδηϲ ἁδινοῦ ἐξῆρχε γόοιο,

V. ι. 294 τ' ἔλϲαι: τ' ἔλαϲαι CG. τ' ὀλλέϲ' Barocc. Mor. — 295 μὴ κέ τι L. νοήματα omitt. L. ἐνι D. — 296 τρῴων L. ἐπὶ πείϲεται A. — 297 ἐγὼ ACDGHLS Syr. et Heynii libri. recentiores ἐγὼν. — 298 κατα D. τελέεϲϲι ACDGHL Syr. — 299 ἕκαϲτοι Lips. — 300 τρῴων L. 302 τινα ACDH: τινὰ EGL. οὗ περ ἀχαιούϲ G. — 303 πρωῒ ἢ πρῶϊ E. ὑπηοῖοι H 1. man. Syr. Flor. ὑπ' ἠοῖοι ADEH ex corr. ὑπ' ἠῷοι Cant. ὑπ' ἠοῖ CGL Vrat. A., conf. ad 277. — 304 ἐπὶ ACEGHL Syr. ἐπι D. — 305 δ' omitt. H. παρα A. ἀχϊλεὺϲ C. — 306 αἴκε θέλῃϲι D Vrat. A. τὸ ἔϲϲεται L Lips. ἔγωγε libri. — 307 πολέμου E 1143, 50. 1144, 40 L, bene. — 308 ϲτήϲομαι καί κε H. ἠὲ φεροίμην Vrat. A. ΗΚΕΦΕΡΟΙΤΟ Syr., quod Bekk. 2. recepit. — 309 καὶ τὸν κτενέοντα Lucianus 59, 10. — 310 ὡϲ AD 1. man. ΈΚΤΩΡ' Syr. ἀγόρευεν G Vrat. A. Flor. Rom. ἐπι D. τρῷεϲ L. — 311 γάρ ϲφεων ACEH Syr. γὰρ ϲφέων DGL. ΦΡΕΝΑϹ ΕΞΕΛΕΤΟ ΖΕΥϹ Syr. cf. T 137. — 312 ΓÀΡ' Syr. ἐπήνεϲϲαν L. ἐπήνεϲαν Lips. — 313 δ' ἆρ ADHL. γὰρ Cant. δ' ἀρ οὔτι G. ἄρ' omitt. E. — 314 κατα H. — 315 ἀναϲτενάχοντο G. γοῶντεϲ: βοῶντεϲ LS Lips. — 316 αδινοῦ A: ceteri ἀδινοῦ. ἐξήρχε G.

A. c. 313 οὔ τιϲ: οὔ τι Epaphroditus teste Schol. V.

χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου,
πυκνὰ μάλα στενάχων ὥς τε λὶς ἠϋγένειος,
ᾧ ῥά θ' ὑπὸ σκύμνους ἐλαφηβόλος ἁρπάσῃ ἀνὴρ
ὕλης ἐκ πυκινῆς· ὃ δέ τ' ἄχνυται ὕστερος ἐλθών,
πολλὰ δέ τ' ἄγκε' ἐπῆλθε μετ' ἀνέρος ἴχνι' ἐρευνῶν,
εἴ ποθεν ἐξεύροι· μάλα γὰρ δριμὺς χόλος αἱρεῖ·
ὣς ὃ βαρὺ στενάχων μετεφώνεε Μυρμιδόνεσσιν·
ὢ πόποι, ἦ ῥ' ἅλιον ἔπος ἔκβαλον ἤματι κείνῳ,
θαρσύνων ἥρωα Μενοίτιον ἐν μεγάροισι·
φῆν δέ οἱ εἰς Ὀπόεντα περικλυτὸν υἱὸν ἀπάξειν
Ἴλιον ἐκπέρσαντα, λαχόντά τε ληΐδος αἶσαν.
ἀλλ' οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ·
ἄμφω γὰρ πέπρωται ὁμοίην γαῖαν ἐρεῦσαι
αὐτοῦ ἐνὶ Τροίῃ, ἐπεὶ οὐδ' ἐμὲ νοστήσαντα
δέξεται ἐν μεγάροισι γέρων ἱππηλάτα Πηλεὺς
οὐδὲ Θέτις μήτηρ, ἀλλ' αὐτοῦ γαῖα καθέξει.
νῦν δ' ἐπεὶ οὖν Πάτροκλε σεῦ ὕστερος εἶμ' ὑπὸ γαῖαν,
οὔ σε πρὶν κτεριῶ, πρίν γ' Ἕκτορος ἐνθάδ' ἐνεῖκαι
τεύχεα καὶ κεφαλήν, μεγαθύμου σοῖο φονῆος·
δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσω
Τρώων ἀγλαὰ τέκνα σέθεν κταμένοιο χολωθείς.

V. ι. 317 στήθεσιν E. — 318 ΠΟΛΛÀ ΜÁΛΑ Syr. δηθὰ μάλα Et. Mg. 263, 27. ὥς τε L: vulgo ὥστε. ὥς περ Rom. λῖς G. — 319 ὕπο AHL. ἐλαφηβόλος A. ἁρπάσει CEL. — 320 ὃ δέ τ' G. δ δ' ἄχνυται D. — 321 πολλά τ' L. δ' ἔτι L Lips. ἀνέρι Harl. ἀνέρ' Vrat. A. — 322 δριμὶς G. — 323 δ ACDGHL. βάρυ στενάχων A: βαρυστενάχων CDEGHL Syr. μετεφώνει AC. γρ. μετεφώνεε A. ΜΥΡΜΙΔΟΝΕϹϹΙ Syr. — 324 ὦ AD. Ὦ Syr. ἦματι G. — 325 μεγάροισι ACDEG Syr. — 326 εἰσοπόεντα A. — 327 λαχόντά τε solus A. λαχόντα δὲ L. — 329 ἐρεῦσαι: ἐρεύθειν Aeschines adv. Timarchum § 144. — 330 ἐνι AD. οὐδ' ἐμὲ ACDEHL Cant. Mor. Harl. Frgm. Mosc. Vrat. b. d. A: οὐδέ με GS Flor. — 332 ΜΉΤΗΡ' Syr. — 333 ἀλλ' ἐπεὶ οὖν φίλ' ἑταῖρε Aeschines adv. Timarchum § 148. — 334 γ' omitt. S Vrat. A, conf. ad Π 840. ἐνείκαι D. ἐνεῖκαι (ω) S. ἐνείκω L Lips. Barocc. Harl. Aeschines l. l. — 335 σοῖο Harl. σεῖο ACDEGHLS Syr. et Heynii libri cum Aesch. adv. Tim. § 148. σοῖο primus recepit Bekkerus. φονέως (ῆο) C. — 336 προπάροιθεν D. — 337 τρώων CL.

A. c. 317 διὰ τοῦ σ̄ ἅπασαι ἀνδροφόνους Didymus, conf. Schol. Ψ 18.

τόφρα δέ μοι παρὰ νηυσὶ κορωνίσι κείσεαι αὔτως,
ἀμφὶ δέ σε Τρῳαὶ καὶ Δαρδανίδες βαθύκολποι
κλαύσονται νύκτάς τε καὶ ἤματα δάκρυ χέουσαι,
τὰς αὐτοὶ καμόμεσθα βίηφί τε δουρί τε μακρῷ,
πιείρας πέρθοντε πόλεις μερόπων ἀνθρώπων.
ὣς εἰπὼν ἑτάροισιν ἐκέκλετο δῖος Ἀχιλλεὺς
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα τάχιστα
Πάτροκλον λούσειαν ἄπο βρότον αἱματόεντα.
οἳ δὲ λοετροχόον τρίποδ' ἵστασαν ἐν πυρὶ κηλέῳ,
ἐν δ' ἄρ' ὕδωρ ἔχεαν, ὑπὸ δὲ ξύλα δαῖον ἑλόντες·
γάστρην μὲν τρίποδος πῦρ ἄμφεπε, θέρμετο δ' ὕδωρ.
αὐτὰρ ἐπεὶ δὴ ζέσσεν ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ,
καὶ τότε δὴ λοῦσάν τε καὶ ἤλειψαν λίπ' ἐλαίῳ,
ἐν δ' ὠτειλὰς πλῆσαν ἀλείφατος ἐννεώροιο·
ἐν λεχέεσσι δὲ θέντες ἑανῷ λιτὶ κάλυψαν
ἐς πόδας ἐκ κεφαλῆς, καθύπερθε δὲ φάρεϊ λευκῷ.
παννύχιοι μὲν ἔπειτα πόδας ταχὺν ἀμφ' Ἀχιλῆα
Μυρμιδόνες Πάτροκλον ἀνεστενάχοντο γοῶντες·
Ζεὺς δ' Ἥρην προσέειπε κασιγνήτην ἄλοχόν τε·
ἔπρηξας καὶ ἔπειτα βοῶπι πότνια Ἥρη,
ἀνστήσασ' Ἀχιλῆα πόδας ταχύν· ἦ ῥά νυ σεῖο

V. ι. 338 μοι omitt. E. αὔτως CDL. αύτως A. ΑΥΤΩϹ Syr. αὔτως GEH et olim vulgo. — 339 ἀμφι D. δέ σε ACDE: vulgo δὲ σὲ. τρωιαὶ AL. ΤΡΩῙΑΙ Syr. τρῳαὶ H: vulgo τρωαὶ. — 340 νύκτάς τε solus A. ἤματα G. δακρυχέουσαι ACDEGHL Syr. — 341 καμόμεθα E bis. βίηφί AEH. — 342 ΠΕΡΘΟΝΤΕϹ Syr. πέρθονται D. πόλις H 1. man. nunc πόλεις ex corr. — 343 ὡς A. ἀχϊλεύς C. — 344 στήσαι D. — 345 ἄπο AE. ἀπὸ D. ἀπο CGL. ΑΠΟ Syr. ἀπόβροτον H. — 346 οἳ δὲ C. λοετροχόον A. ἔστασαν HL Lips. κηλείω H. — 347 ἆρ ADEGHL. ÁΡ' Syr. ἔχευαν EG Lips. Flor. χεῦαν L. ὕπο DHL. δαίον D. — 348 ἄφεπε D. — 349 ἐπειδὴ libri: ἐπεὶ L Lips. (om. δὴ). ζέσεν CEGHL Vrat. A. Lips. Flor. ζέσαν D. ἐνιήνοπι A. ἐνι D. ἐν H Harl. Vrat. d. ἐπὶ C Vat. — 351 πλήσαν D. ἐνεώροιο L Lips. ἐννεόροιο G. — 352 ἑανῶ DH. ἑανῷ Flor. Bekk. An. 1226. — 353 ἐς omitt. H. καθύπερθεν D. καθ' ὕπερθε A. — 354 ἀχιλλῆα D. — 355 ἀνεστονάχοντο Vat. ἐστενάχοντο S. γοώντες D. — 356 ἤρην προσέειπεν D. ἥρην ἐκάλεσσε Plutarchus Quaest. conviv. IX, 1, 2, 3. — 357 βοῶπι ACH. ΒΟΩ̃ΠΙϹ Syr. cum ceteris, conf. O 49. — 358 ἀχιλλῆα D. ἤ ῥα νυ D.

A. c. 338 αὔτως: διὰ τοῦ ᾱ αύτως (sic) πᾶσαι εἶχον Didymus. αὔτως, non αὐτῶς scribendum, conf. τ' αὔτως Γ 20. ἔτ' αὔτος Ψ 268. οὐκ αὔτως Ξ 151. — 352 λιτὶ Aristarchus et Herodianus: alii λῖτι. — 356—368 Ζηνόδωρος πειρᾶται ἀποδεικνύναι διεσκευασμένον τοῦτον τὸν τόπον, ἐπῶν ιγ' Porphyrius.

ἐξ αὐτῆϲ ἐγένοντο κάρη κομόωντεϲ Ἀχαιοί.
τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπιϲ πότνια Ἥρη·
αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπεϲ.
καὶ μὲν δή πού τιϲ μέλλει βροτὸϲ ἀνδρὶ τελέϲϲαι,
ὅϲ περ θνητόϲ τ' ἐϲτὶ καὶ οὐ τόϲα μήδεα οἶδε·
πῶϲ δὴ ἐγώ γ', ἥ φημι θεάων ἔμμεν ἀρίϲτη,
ἀμφότερον, γενεῇ τε καὶ οὕνεκα ϲὴ παράκοιτιϲ
κέκλημαι, ϲὺ δὲ πᾶϲι μετ' ἀθανάτοιϲιν ἀνάϲϲειϲ,
οὐκ ὄφελον Τρώεϲϲι κοτεϲϲαμένη κακὰ ῥάψαι;
ὣϲ οἱ μὲν τοιαῦτα πρὸϲ ἀλλήλουϲ ἀγόρευον·
Ἡφαίϲτου δ' ἵκανε δόμον Θέτιϲ ἀργυρόπεζα
ἄφθιτον ἀϲτερόεντα, μεταπρεπέ' ἀθανάτοιϲι,
χάλκεον, ὅν ῥ' αὐτὸϲ ποιήϲατο κυλλοποδίων.
τὸν δ' εὗρ' ἱδρώοντα ἑλιϲϲόμενον περὶ φύϲαϲ,
ϲπεύδοντα· τρίποδαϲ γὰρ ἐείκοϲι πάνταϲ ἔτευχεν
ἑϲτάμεναι περὶ τοῖχον ἐυϲταθέοϲ μεγάροιο,
χρύϲεα δέ ϲφ' ὑπὸ κύκλα ἑκάϲτῳ πυθμένι θῆκεν,
ὄφρά οἱ αὐτόματοι θεῖον δυϲαίατ' ἀγῶνα,
ἠδ' αὖτιϲ πρὸϲ δῶμα νεοίατο, θαῦμα ἰδέϲθαι.
οἱ δ' ἤ τοι τόϲϲον μὲν ἔχον τέλοϲ, οὔατα δ' οὔ πω
δαιδάλεα προϲέκειτο· τά ῥ' ἤρτυε, κόπτε δὲ δεϲμούϲ.

V. ι. 359 ἐξαυτῆϲ C eraso spiritu D. κάρη κομόωτεϲ ADH: ceteri καρηκομόωντεϲ. — 361 ἔειπαϲ DH. — 362 δήπου τιϲ ADGHL. — 363 ὅϲ που E. θνητόϲ ἐϲτι ADEL Lips. τόϲϲα E. οἶδε ACDEGHL. — 364 ἔγωγ' libri. ἢ φημὶ ACD (ἤ) EGH. ἔμμεν' E. ἔμμεναι D. — 365 τὲ H. — 367 τρώεϲϲι L. ῥέξαι H Vrat. d. in H suprascr. man. rec. ῥάψαι. — 368 ὡϲ A. οἳ μὲν C. — 369 ἡφαίϲτοιο GS. ἵκανε D. ἵκανε A. — 370 μετὰ πρεπέ' A. ἀθανάτοιϲι ACDEG. — 372 ἰδρόωντα D. ἐλιϲϲόμενον CDG. φύϲϲαϲ CHL Lips. — 373 γὰρ omitt. L Lips. — 374 ἐϲτάμεναι D. τοίχον D. εὐϲταθέοϲ DH Lips. — 375 ὑπόκυκλα C — 376 ὄφρά οἱ ACL. αὐτόμαται S. δυϲαίατ' AC Frgm. Mosc. δυϲέατ' Townl. δύϲονται DGHS. Vrat. A. Flor. Rom. Apoll. Soph. 6, 5. Et. Mg. 15, 52. Cram. An. Par. IV, 87, 12, conf. H 298. δύϲωνται L Lips. δυϲαίατ' ἢ δύϲονται Eust. ἐν ἄλλῳ δύϲονται ἀγῶνα A, conf. Aristot. Polit. I, 4. — 377 ἠδ' D. ἤδ' αὖθϊϲ C. — 378 οἶδ' A. οἵδ' CL. οἳ δὴ τόϲϲον H. οἳ δή τοι Vrat. d. Et. Mg. 750, 40. οἱ δή τοι Schol. X 322. οἱ δ' ἤτοι τόϲον D. vulgo οἱ δ' ἤτοι. — 379 δεϲμὰ Barocc. Mor.

A. c. 364 ἐγώ γ': ἐγὼν Zenodotus. — 375 ὑπὸ κύκλα: alii ὑπόκυκλα teste Herodiano, conf. Schol. AB. Cram. Ep. 250, 9. Et. Mg. 782, 54. Cram. An. Par. III, 288, 27. Lobeck. Paralip. 384. — 376 δυϲαίατ' ἀγῶνα: ἐν ταῖϲ εἰκαιοτέραιϲ θεῖον κατὰ δῶμα νέοιντο (A νέονται) Schol. AV Townl. apud Cram. An. Par. III, 288, 29.

ὄφρ' ὅ γε ταῦτ' ἐπονεῖτο ἰδυίῃϲι πραπίδεϲϲι,
τόφρά οἱ ἐγγύθεν ἦλθε θεὰ Θέτιϲ ἀργυρόπεζα.
τὴν δὲ ἴδε προμολοῦϲα Χάριϲ λιπαροκρήδεμνοϲ,
καλή, τὴν ὤπυιε περικλυτὸϲ ἀμφιγυήειϲ·
ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔποϲ τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
τίπτε Θέτι τανύπεπλε ἱκάνειϲ ἡμέτερον δῶ
αἰδοίη τε φίλη τε; πάροϲ γε μὲν οὔ τι θαμίζειϲ.
ἀλλ' ἕπεο προτέρω, ἵνα τοι πὰρ ξείνια θείω.
ὣϲ ἄρα φωνήϲαϲα πρόϲω ἄγε δῖα θεάων.
τὴν μὲν ἔπειτα καθεῖϲεν ἐπὶ θρόνου ἀργυροήλου,
καλοῦ δαιδαλέου· ὑπὸ δὲ θρῆνυϲ ποϲὶν ἦεν·
κέκλετο δ' Ἥφαιϲτον κλυτοτέχνην εἶπέ τε μῦθον·
Ἥφαιϲτε, πρόμολ' ὧδε· Θέτιϲ νύ τι ϲεῖο χατίζει.
τὴν δ' ἠμείβετ' ἔπειτα περικλυτὸϲ ἀμφιγυήειϲ·
ἦ ῥά νύ μοι δεινή τε καὶ αἰδοίη θεὸϲ ἔνδον,
ἥ μ' ἐϲάωϲ', ὅτε μ' ἄλγοϲ ἀφίκετο τῆλε πεϲόντα
μητρὸϲ ἐμῆϲ ἰότητι κυνώπιδοϲ, ἥ μ' ἐθέληϲε
κρύψαι χωλὸν ἐόντα· τότ' ἂν πάθον ἄλγεα θυμῷ,
εἰ μή μ' Εὐρυνόμη τε Θέτιϲ θ' ὑπεδέξατο κόλπῳ,
Εὐρυνόμη, θυγάτηρ ἀψορρόου Ὠκεανοῖο.
τῇϲι παρ' εἰνάετεϲ χάλκευον δαίδαλα πολλά,
πόρπαϲ τε γναμπτάϲ θ' ἕλικαϲ κάλυκάϲ τε καὶ ὅρμουϲ
ἐν ϲπῆι γλαφυρῷ· περὶ δὲ ῥόοϲ Ὠκεανοῖο

V. ι. 380 ταῦτα πονεῖτο L. εἰδυίῃϲι CH 1. man. ἰδίῃϲι S et γρ. ἰδυίῃϲι. εἰδείῃϲι Lips. ἰ̈δύηιϲιν D. πραπίδεϲϲι ACDG. — 381 omitt. A et D in textu, Papyrus ab Harrisio repertus (H. T. 446). τόφρά οἱ ACD GH. — 382 ἴδεν HL Schol. Δ 151. προμολοῦϲαν Lips. λιπαροκρήδεμνοϲ A. — 383 ὤπυε DG. περὶ κλϋτὸϲ H. — 384 ἄρά οἱ G. ἄρα οἳ D. ὀνόμαζε ACDGH. — 386 θαμίζοιϲ Vat. — 387 προτέρωι AD, conf. H. U. 186. ἵνά ϲοι H. παρ ACDGH. παρα L. παρὰ Lips. — 388 ὡϲ A. φωνήϲαϲ' ἡγήϲατο S Cant. Vat. — 389 καθῆϲεν CD. ἐπι DH. — 390 ὕπο D. θρήνυϲ DG. — 392 νύ τοι L Lips. — 394 ῥά νυ μοι G. ρα νύ μοι D. ἢ δή μοι Eust. — 396 ἐθέληϲε ACDEH libri Heynii Flor. Rom. ἐθέλεϲκε (θ') G. — 398 τε omitt. L. θέτιϲ δ' A. — 399 post hunc scriptus est in D vs. 403, sed man. rec. deletus. — 400 παρεινάετεϲ CDL. πολλά: πάντα Barocc. — 401 πόρπαϲ, omisso τε, LS. πόρπακαϲ γναμπτάϲ Lips. γναπτὰϲ Townl. τ' ἕλικαϲ D. — 402 δὲρρόοϲ C.

A. c. 381 ἐν ἄλλῳ καὶ οὗτοϲ εὑρέθη, ἀπέϲτραπτο δέ Schol. A. — 385 Θέτιϲ τανύπεπλοϲ ἱκάνειϲ ἡμέτερον δέ Zenodotus. — 400 πολλά: Ζηνόδοτοϲ καὶ ἀριϲτοφάνηϲ δαίδαλα πάντα Didymus.

ἀφρῷ μορμύρων ῥέεν ἄςπετος· οὐδέ τις ἄλλος
ἤδεεν οὔτε θεῶν οὔτε θνητῶν ἀνθρώπων,
ἀλλὰ Θέτις τε καὶ Εὐρυνόμη ἴςαν, αἵ με cάωςαν.
ἣ νῦν ἡμέτερον δόμον ἵκει· τῶ με μάλα χρεὼ
πάντα Θέτι καλλιπλοκάμῳ ζῳάγρια τίνειν.
ἀλλὰ cὺ μὲν νῦν οἱ παράθες ξεινήια καλά,
ὄφρ᾽ ἂν ἐγὼ φύςας ἀποθείομαι ὅπλά τε πάντα.
ἦ, καὶ ἀπ᾽ ἀκμοθέτοιο πέλωρ αἴητον ἀνέςτη
χωλεύων· ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί.
φύςας μέν ῥ᾽ ἀπάνευθε τίθει πυρός, ὅπλά τε πάντα
λάρνακ᾽ ἐς ἀργυρέην ςυλλέξατο, τοῖς ἐπονεῖτο·
ςπόγγῳ δ᾽ ἀμφὶ πρόςωπα καὶ ἄμφω χεῖρ᾽ ἀπομόργνυ
αὐχένα τε ςτιβαρὸν καὶ ςτήθεα λαχνήεντα,
δῦ δὲ χιτῶν᾽, ἕλε δὲ ςκῆπτρον παχύ, βῆ δὲ θύραζε
χωλεύων· ὑπὸ δ᾽ ἀμφίπολοι ῥώοντο ἄνακτι
χρύςειαι, ζωῇςι νεήνιςιν εἰοικυῖαι.
τῆς ἐν μὲν νόος ἐςτὶ μετὰ φρεςίν, ἐν δὲ καὶ αὐδὴ
καὶ ςθένος, ἀθανάτων δὲ θεῶν ἄπο ἔργα ἴςαςιν.

V. ʟ. 403 omitt. D in textu, habet in marg. man. rec. — 405 ἔςαν E 1149, 32 G Flor. Rom. ἦςαν S: ceteri ἴςαν. μ᾽ ἐςάωςαν libri. — 406 ἢ ACDGHL. ἵκει ACDGH Barocc. Lips. Vrat. b. d. Frgm. Mosc. ἥκει LS edd. vett. τῶ ACGHL. τώ D. τῷ E. χρεὼν C. χρὴ E Harl. Vat. — 407 θέτιν D. — 408 οἷ D, acc. man. rec. ξυνήια Harl. — 409 φύςςας HL conf. 372. 412. 468. 470. ὅπλά τε H. ὅπλα τὲ C. — 411 ὕπο ADH. ῥώωντο L. ἀραιαί A. ἀραιαί C. ceteri ἀραιαί cum Apoll. Soph. 139, 29. Hesych. I, 269. II, 497. — 412 φύςςας HL. ὅπλά τε CE 1150, 50. — 413 εἰς E. ςυνελλέξατο H. — 414 ἀμφι ACD. πρόςωπον ἰδ᾽ Barocc. πρόςωπον Vrat. A. ἀπομόργνυ ADEGH: ἀπεμόργνυ CLS Lips. Frgm. Mosc. Cram. Ep. 440, 31. conf. ρ 304. — 415 αὐχένά τε C. τὲ H. — 417 ὕπο AHL. — 418 ζωιῇςι A. νεήνηςιν D. νεάνιςιν Schol. Theocr. I, 36. εἰοικυῖαι ACL Et. Mg. 350, 57. Schol. Theocr. I, 36. ἐοικυῖαι DE GH. ἔργ᾽ εἰκυῖαι Schol. Pind. Ol. VII, 95. — 419 ἐςτὶν ἐνὶ Vrat. b. μετα D. — 420 ἀπὸ GHL. ἀποέργα D.

A. c. 404 οὕτως ἤδεεν. γρ. δὲ καὶ ἤδειν Didymus. — 407 μετὰ τοῦ ῑ τὸ ζῳάγρια ὁ ἀρίςταρχος Didymus, conf. H. U. 215. — 410 αἴητον Herodianus cum Ptolem. Ascalonita, προπαροξυτόνως. — 411 δαςύνεται τὸ ἁραιαί, ita Aristarchus, conf. Schol. Ε 425. — 418 ἐοικυῖα καὶ πλεοναςμῷ τοῦ ῑ ἰλιάδος ς′ Et. Mg. 350, 57. εἰοικυῖαι similes sunt formae οἴιες pro ὄϝιες, οἰέτης ὀλοιός pro ὀϝέτης ὀλοϝός. ἐοικυῖα in fine versus (Θ 305) laudat Athenaeus XIV, 632 et ferri potest, ut ἀπ̄οειπών Τ 35. ἀπ̄οέρςειε Φ 329. ἄρᾱ ᾧ Ρ 196. θυγατέρᾱ ἥν Ε 371. Ζ 192. Λ 226. ςμερδαλέᾱ ἰάχων Ε 302. ἄρᾱ ἔρξαν Ξ 411.

αἳ μὲν ὕπαιθα ἄνακτος ἐποίπνυον· αὐτὰρ ὃ ἔρρων
πληςίον, ἔνθα Θέτις περ, ἐπὶ θρόνου ἷζε φαεινοῦ,
ἔν τ᾽ ἄρα οἱ φῦ χειρὶ ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
τίπτε Θέτι τανύπεπλε ἱκάνεις ἡμέτερον δῶ
αἰδοίη τε φίλη τε; πάρος γε μὲν οὔ τι θαμίζεις.
αὔδα ὅ τι φρονέεις· τελέςαι δέ με θυμὸς ἄνωγεν,
εἰ δύναμαι τελέςαι γε καὶ εἰ τετελεςμένον ἐςτί.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Θέτις κατὰ δάκρυ χέουςα·
῞Ηφαιςτ᾽, ἦ ἄρα δή τις, ὅςαι θεαί εἰς᾽ ἐν ᾽Ολύμπῳ,
τοςςάδ᾽ ἐνὶ φρεςὶν ᾗςιν ἀνέςχετο κήδεα λυγρά,
ὅςς᾽ ἐμοὶ ἐκ παςέων Κρονίδης Ζεὺς ἄλγε᾽ ἔδωκεν;
ἐκ μέν μ᾽ ἀλλάων ἁλιάων ἀνδρὶ δάμαςςεν,
Αἰακίδῃ Πηλῆι, καὶ ἔτλην ἀνέρος εὐνὴν
πολλὰ μάλ᾽ οὐκ ἐθέλουςα. ὃ μὲν δὴ γήραϊ λυγρῷ
κεῖται ἐνὶ μεγάροις ἀρημένος, ἄλλα δέ μοι νῦν.
υἱὸν ἐπεί μοι δῶκε γενέςθαί τε τραφέμεν τε,
ἔξοχον ἡρώων· ὃ δ᾽ ἀνέδραμεν ἔρνεϊ ἶςος·
τὸν μὲν ἐγὼ θρέψαςα φυτὸν ὣς γουνῷ ἀλωῆς,
νηυςὶν ἐπιπροέηκα κορωνίςιν ῎Ιλιον εἴςω
Τρωςὶ μαχηςόμενον· τὸν δ᾽ οὐχ ὑποδέξομαι αὖτις
οἴκαδε νοςτήςαντα, δόμον Πηλήιον εἴςω.
ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
ἄχνυται, οὐδέ τί οἱ δύναμαι χραιςμῆςαι ἰοῦςα.
κούρην, ἣν ἄρα οἱ γέρας ἔξελον υἷες ᾽Αχαιῶν,
τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων ᾽Αγαμέμνων.

V. ʟ. 421 ποίπνυον H. ὃ CDGHL. — 422 ἵζε CHL. ἶζε A. — 423 ἄρά οἱ G. ὀνόμαζε ACDGL. — 425 γέ μεν A. — 426 αὖδα CD. ἄνωγε ADL Lips. ἀνώγει Barocc. Mor. ἐν ἄλλῳ ἀνώγει A conf. H. T. 194. — 427 omitt. Pap. Harris. Syr. habet H in marg. man. rec. scriptum. ἐςτὶ C. ἔςται D 1. man. — 428 καταδακρυχέουςα C. καταδακρυχέουςα ADG HL Syr. — 429 ἦδ᾽ ἄρα δὴ, τῖς H. εἶς᾽ CGHL. — 430 τόςςαδ᾽ CH. τοςςὰ δ᾽ D. τόςς᾽ δ᾽ ἐνὶ G. ἐνι D. ἀνέχετο G. — 431 ἔθηκεν EL. — 432 ἀλῖων C. — 433 αἰακῖδϊ C. — 435 ἐνι AD. ἐνϊμμεγάροις H. μεγάροιςιν L ex em. — 436 γενέςθαί τε A, conf. H 199. γ 28. τε ante τραφέμεν omitt. C. — 437 ὃ δ᾽ D. ὅδ᾽ GHL. — 438 ὡς DG. ἀλωιῆς C. ἀλωῆς Flor. ceteri ἀλωῆς. — 439 ἔπι προέηκα AS cum Schol. C 7. ceteri ὑφ᾽ ἕν. — 440 τρῳςὶ L. ὑποδέχομαι H. αὖθις C Mor. Barocc. — 441 omitt. Papyrus Harr. — 442 ζώιη C. ζώῃ Townl. — 443 οὐδέ τι οἱ ACDHL. — 444 ἄρά οἱ L. οἷ D, acc. man. rec.

A. c. 424 Zenodotus Θέτις τανύπεπλος et ἡμέτερον δὲ ut 385. — 436 γενέςθαί τε conf. H. T. 413. 434. — 438 ἀλῳῆς, conf. H. U. 212. — 441 ἔν τιςιν οὐκ ἔςτι Schol. A. — 444—456 ἀθετοῦνται Aristonicus.

ἢ τοι ὃ τῆϲ ἀχέων φρένας ἔφθιεν· αὐτὰρ Ἀχαιοὺϲ
Τρῶεϲ ἐπὶ πρυμνῇϲιν ἐείλεον, οὐδὲ θύραζε
εἴων ἐξιέναι. τὸν δὲ λίϲϲοντο γέροντεϲ
Ἀργείων, καὶ πολλὰ περικλυτὰ δῶρ' ὀνόμαζον.
ἔνθ' αὐτὸϲ μὲν ἔπειτ' ἠναίνετο λοιγὸν ἀμῦναι,
αὐτὰρ ὃ Πάτροκλον περὶ μὲν τὰ ἃ τεύχεα ἕϲϲε,
πέμπε δέ μιν πόλεμον δέ, πολὺν δ' ἅμα λαὸν ὄπαϲϲε.
πᾶν δ' ἦμαρ μάρναντο περὶ Ϲκαιῇϲι πύλῃϲι·
καί νύ κεν αὐτῆμαρ πόλιν ἔπραθον, εἰ μὴ Ἀπόλλων
πολλὰ κακὰ ῥέξαντα Μενοιτίου ἄλκιμον υἱὸν
ἔκταν' ἐνὶ προμάχοιϲι καὶ Ἕκτορι κῦδοϲ ἔδωκε.
τοὔνεκα νῦν τὰ ϲὰ γούναθ' ἱκάνομαι, αἴ κ' ἐθέληϲθα
υἱεῖ ἐμῷ ὠκυμόρῳ δόμεν ἀϲπίδα καὶ τρυφάλειαν
καὶ καλὰϲ κνημῖδαϲ, ἐπιϲφυρίοιϲ ἀραρυίαϲ,
καὶ θώρηχ'· ὃ γὰρ ἦν οἱ, ἀπώλεϲε πιϲτὸϲ ἑταῖροϲ
Τρωϲὶ δαμείϲ· ὃ δὲ κεῖται ἐπὶ χθονὶ θυμὸν ἀχεύων.
τὴν δ' ἠμείβετ' ἔπειτα περικλυτὸϲ ἀμφιγυήειϲ·
θάρϲει· μή τοι ταῦτα μετὰ φρεϲὶ ϲῇϲι μελόντων.
αἲ γάρ μιν θανάτοιο δυϲηχέοϲ ὧδε δυναίμην
νόϲφιν ἀποκρύψαι, ὅτε μιν μόροϲ αἰνὸϲ ἱκάνοι,

V. l. 446 ὃ ADGHL. ὃ omitt. C. — 447 τρῷεϲ L. ἐπι A πρύμνῃϲιν libri. — 448 δὲ, λίϲϲοντο CL. δὲ λίϲϲοντο AE Syr. Flor. Rom. δ' ἐλίϲϲοντο DGHS Cant. Vat. δ' ἐλλίϲϲοντο Mor. conf. I, 574. — 450 ἠνήνατο DE 1152, 33 Flor. Rom. ἠνῄνατο S. ἠναίνατο G. ἠναίνετο ACE 1153, 1 HL Mor Barocc. Townl. Vrat. b. Frgm. Mosc. — 451 ὃ ACDGHL. περι AC. τεύχε' D. ἕϲϲε ACDHL Syr. — 452 πόλεμον δὲ AD. ΠΟΛΕΜΟΝΔΈ Syr. πολὺν δέ οἱ C. πολὺν δ' ὅγε S Barocc. Harl. Cant. Mor. ὄπαϲϲε ACDEGHLS. — 453 ἦμαρ D. μάρνατο G. περι AD. πύλῃϲι AC DEGH Syr. — 455 ῥέζοντα H 1. man. ῥέξοντα 2. man. — 456 ἐνι AD. ἐπὶ προμάχων Schol. Z 205. ἔδωκε ACDG Syr. — 457 αἴ κε θέληϲθα A. ΑΙΚΈΘΕΛΗϹΘΑ Syr. — 458 υἱεῖ ἔμ' CDL. υἱεῖ ἐμ A. υἱεῖ ἐμ' Mor. Harl. Lips. Vrat. A. Frgm. Mosc. Schol Π 177. Ϋ̄ῙΕΙΕΜ' Syr. υἷι ἐμ' E. υἷ' ἐμῷ GS Flor. Rom. υἷι ἐμῷ H. υἱεῖ ἐμῷ Vrat b. A ἐμώκυμόρῳ Et. Mg. 337, 4. δόμεν' CD 2. man. GH. δόμεναι L — 459 κνημῖδαϲ H. ἐπὶ ϲφυρίοιϲ Apoll. de Synt. 91, 10. — 461 τρωϲὶ L. ὃ δὲ C. ἐπι DH. — 462 ἀμφιγύειϲ G. — 463 μή τι D. μὴ τὶ τοι Lips. μή τϊ τοι C Vrat. A. μετα AD Syr. — 464 αἲ γάρ μοι Mor. Schol. Z 488. — 465 ὅτέ CH. ἱκάνει EGL Syr. Barocc. Vat. ἵκανε Lips.

A. c. 448 δὲ λίϲϲοντο Aristarchus, conf. H. T. 390. — 458 ἔξω τοῦ ῑ τὸ ἐμώκυμόρῳ· ϲυνεκτέθλιπται γὰρ τῷ ω̄ῑ τὸ ῑ Didymus, conf. H. U. 282.

ὥϲ οἱ τεύχεα καλὰ παρέϲϲεται, οἷά τιϲ αὖτε
ἀνθρώπων πολέων θαυμάϲϲεται, ὅϲ κεν ἴδηται.
ὣϲ εἰπὼν τὴν μὲν λίπεν αὐτοῦ, βῆ δ' ἐπὶ φύϲαϲ·
τὰϲ δ' ἐϲ πῦρ ἔτρεψε κέλευϲέ τε ἐργάζεϲθαι.
φῦϲαι δ' ἐν χοάνοιϲιν ἐείκοϲι πᾶϲαι ἐφύϲων,
παντοίην εὔπρηϲτον ἀυτμὴν ἐξανιεῖϲαι,
ἄλλοτε μὲν ϲπεύδοντι παρέμμεναι, ἄλλοτε δ' αὖτε,
ὅππωϲ Ἥφαιϲτόϲ τ' ἐθέλοι καὶ ἔργον ἄνοιτο.
χαλκὸν δ' ἐν πυρὶ βάλλεν ἀτειρέα καϲϲίτερόν τε
καὶ χρυϲὸν τιμῆντα καὶ ἄργυρον· αὐτὰρ ἔπειτα
θῆκεν ἐν ἀκμοθέτῳ μέγαν ἄκμονα, γέντο δὲ χειρὶ
ῥαιϲτῆρα κρατερήν, ἑτέρηφι δὲ γέντο πυράγρην.
ποίει δὲ πρώτιϲτα ϲάκοϲ μέγα τε ϲτιβαρόν τε
πάντοϲε δαιδάλλων, περὶ δ' ἄντυγα βάλλε φαεινήν,
τρίπλακα μαρμαρέην, ἐκ δ' ἀργύρεον τελαμῶνα.
πέντε δ' ἄρ' αὐτοῦ ἔϲαν ϲάκεοϲ πτύχεϲ· αὐτὰρ ἐν αὐτῷ

V. l. 466 ὥϲ οἳ D 2. man. (1. man. οἱ). ώϲ οἷ H. — 467 θαυμάϲεται CGL Lips. Cant. Mor. — 468 ώϲ A. φύϲϲαϲ HL. — 469 ἐπὶ πῦρ ἔτρεψεν H Vrat. d. ἔϲτρεψε L Vrat. d. κέλευϲε δὲ L. — 470 φύϲϲαι L. φῦϲϲαι H. φύϲαι C. ἐφύϲϲων GHL Lips. χοάνεϲι πᾶϲαι ἐφύϲων ἐείκοϲι D. —
π
473 ὅπωϲ D. ὅπωϲ Flor. Et. Gud. 61, 47. τε θέλοι HL Vrat. d. τ' ἐθέλει Vrat. b. γ' ἐθέλοι GDS Harl. Vat. Flor. Cram. Epim. 16, 30. Et. Gud. 61, 47. τ' ἐθέλοι ACE Rom. ἄνυτο Cant. Barocc. Lips. Frgm. Mosc. Et. Gud. 61, 47. ἔργ' ἀνύοιτο Cr. Ep. 16, 30. — 474 βάλεν CD Vrat. A. βάλλε H. — 475 τιμήεντα H. — 476 ἐν: ἐπ' CS Cant. Barocc. Mor.
π
Eust. 1150, 57. θῆκε δ' ἐπ' Apoll. Soph. 19, 22. ἐν A ἐπ' ἢ ἐν Eust. 1153, 54. ἐν DGHL Syr. — 477 κρατερήν LS Syr. Cant. Barocc. Mor. Harl. Vat. Vrat. A. Lips. Frgm. Mosc. Apoll Soph. 138, 12. Herodianus
ο
περὶ μον. λέξ. 16, 27. κρατερήν A. κρατερὴν ἢ κρατερόν Eust. 1153, 54, conf. 1154, 25. κρατερόν CDGH. ἑτέρηφι CE Zonar. Lex. 433. δὲ,
λ
γέντο H. — 478 μέγά τε C. — 479 δαιδάλων G. περϊ CH. βάλε D. βάλε Lips. Flor — 480 habet H in marg. man. rec. ἐκ δ' ACDEGS Syr. ἐν δ' HL Lips. Mor. Vrat. A. — 481 ἄρ ADEGHL. ἐναυτῶι A. ἐν ἧ ἐπ' Eust.

A. c. 466 παρέϲϲεται: παρὰ Ζηνοδότῳ καὶ ἀριϲτοφάνει παρέξομαι Didymus. — 471 διὰ τοῦ ϲ̄ εὔπρηϲτον. τινὲϲ δὲ διὰ τοῦ κ̄ εὔπρηκτον Didymus. εὔπρηϲτον ut εὐξέϲτῳ Π 402. εὔπρυμνοϲ Δ 248. εὔδμητοϲ υ 302. εὐφραδήϲ τ 352. εὐφραίνω O 99. P 28. Ω 102. β 311. κ 465. υ 8, conf. H. U. 96. G. Herm. ad Hymn. in Apoll. 36. alii ἐύπρηϲτον male. — 477 παρὰ Ζηνοδότῳ κρατερόν διὰ τοῦ ο̄ Didymus. Zenodotum sequitur Grashofus „das Hausgeräthe bei Homer“ pg. 11. adn. 11. — 481 ἕν ἐϲτι τὸ αὐτοῦ Schol. A; alii igitur αὖ τοῦ.

ποίει δαίδαλα πολλὰ ἰδυίῃϲι πραπίδεϲϲιν.
    ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανόν, ἐν δὲ θάλαϲϲαν,
ἠέλιόν τ' ἀκάμαντα ϲελήνην τε πλήθουϲαν,
ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸϲ ἐϲτεφάνωται,
Πληιάδαϲ θ' Ὑάδαϲ τε, τό τε ϲθένοϲ Ὠρίωνοϲ
ἄρκτόν θ', ἣν καὶ ἄμαξαν ἐπίκληϲιν καλέουϲιν,
ἥ τ' αὐτοῦ ϲτρέφεται καί τ' Ὠρίωνα δοκεύει,
οἴη δ' ἄμμορόϲ ἐϲτι λοετρῶν Ὠκεανοῖο.
    ἐν δὲ δύω ποίηϲε πόλειϲ μερόπων ἀνθρώπων
καλάϲ. ἐν τῇ μέν ῥα γάμοι τ' ἔϲαν εἰλαπίναι τε,
νύμφαϲ δ' ἐκ θαλάμων δαΐδων ὕπο λαμπομενάων
ἠγίνεον ἀνὰ ἄϲτυ, πολὺϲ δ' ὑμέναιοϲ ὀρώρει·
κοῦροι δ' ὀρχηϲτῆρεϲ ἐδίνεον, ἐν δ' ἄρα τοῖϲιν
αὐλοὶ φόρμιγγέϲ τε βοὴν ἔχον· αἱ δὲ γυναῖκεϲ
ἱϲτάμεναι θαύμαζον ἐπὶ προθύροιϲιν ἑκάϲτη.
λαοὶ δ' εἰν ἀγορῇ ἔϲαν ἀθρόοι· ἔνθα δὲ νεῖκοϲ
ὠρώρει, δύο δ' ἄνδρεϲ ἐνείκεον εἵνεκα ποινῆϲ
ἀνδρὸϲ ἀποφθιμένου· ὃ μὲν εὔχετο πάντ' ἀποδοῦναι
δήμῳ πιφαύϲκων, ὃ δ' ἀναίνετο μηδὲν ἑλέϲθαι·
ἄμφω δ' ἱέϲθην ἐπὶ ἴϲτορι πεῖραρ ἑλέϲθαι.

V. ι. 482 εἰδυίῃϲιῖ C Vrat. A. ΠΟΛΛΕΙΔΥΙΗΙϹΙ Syr. πόλλ' εἰδυίῃϲι Schol. Pind. Nem. IV, 95, conf. Eust. 1154, 35. πραπίδεϲιν E. — 483 ἓν μὲν . . ἐν δ' . . . ἓν δὲ A. γαῖαν τεῦξ' Vrat. b. A. τεῦξεν Eust. 1153, 60 — .485 ἐν δέ τε L Lips. Harl. ἐν δέ τ' ἀτείρεα D. ceteri ἐν δὲ τὰ cum Athenaeo XI, 490. Schol. C 468. Euseb. Praep. Ev. XIII, 13, 26. Heracl. Alleg. c. 48. — 487 ἄρκτόν A. ἅμαξαν CEGHL Athenaeus XI, 490. ΚΑΛΕΟΥϹΙ Syr. — 489 ἄμμοροϲ ἐϲτὶ L. — 490 δύο Eust. 1155, 12. 1157, 5. — 491 μὲν ῥὰ GL. — 492 ὑπὸ AG Schol. Pind. Ol. IV, 3. ΥΠΟ Syr. ὑπολαμπομενάων CDEHL. — 493 ἀνὰ: κατὰ S Flor. Apoll. Soph. 82, 13. — 496 ἐπι D. — 497 ἔνθάδε D. ἔνθαγε L. — 498 δύω G. — 499 ὃ μὲν C. — 500 πιφάϲκων Vrat. A. ὃ δ' D. ὅδ' CGH. — 501 omitt. L. ἰέϲθην G. ἶ̓έϲθην A. ἵϲτορι G. ἐπιίϲτωρ πίαρ ἑλέϲθαι Apoll. Soph. 93, 2. πεῖραν ἑλέϲθαι S.

A. c. 483—608 Ζηνόδοτοϲ ἠθέτηκεν ἀπὸ τούτου τοῦ ϲτίχου τὰ λοιπά, ἀρκεϲθεὶϲ τῷ κεφαλαιώδει προεκθέϲει Aristonicus. — 485 οὐρανὸϲ ἐϲτεφάνωται: Ζηνόδοτοϲ οὐρανὸν εϲτηρικη (sic! Bekk. ἐϲτήρικται). ἀρίϲταρχοϲ οὐρανὸν ἐϲτεφάνωκε Didymus. — 489 οἴη: οἷοϲ Crates apud Strab. I, 3. conf. Apoll. Soph. 29, 14. — 492 ἐκ θαλάμων: Ζηνόδοτοϲ ἐϲ θαλάμουϲ, καὶ ἔϲτιν οὐκ ἀπίθανοϲ ἡ γραφή Didymus. — 499 ἀποφθιμένου: παρὰ Ζηνοδότῳ ἀποκταμένου καὶ ἐν ταῖϲ πλείϲταιϲ. καὶ ἔϲτιν οὐκ ἀπίθανοϲ ἡ γραφή Didymus. — 501 ἑλέϲθαι: παρὰ Ζηνοδότῳ ἀρέϲθαι Didymus.

λαοὶ δ' ἀμφοτέροιϲιν ἐπήπυον, ἀμφὶϲ ἀρωγοί.
κήρυκεϲ δ' ἄρα λαὸν ἐρήτυον· οἱ δὲ γέροντεϲ
εἵατ' ἐπὶ ξεϲτοῖϲι λίθοιϲ ἱερῷ ἐνὶ κύκλῳ,
ϲκῆπτρα δὲ κηρύκων ἐν χέρϲ' ἔχον ἠεροφώνων·
τοῖϲιν ἔπειτ' ἤιϲϲον, ἀμοιβηδὶϲ δὲ δίκαζον.
κεῖτο δ' ἄρ' ἐν μέϲϲοιϲι δύω χρυϲοῖο τάλαντα,
τῷ δόμεν, ὃϲ μετὰ τοῖϲι δίκην ἰθύντατα εἴποι.
    τὴν δ' ἑτέρην πόλιν ἀμφὶ δύω ϲτρατοὶ εἵατο λαῶν
τεύχεϲι λαμπόμενοι. δίχα δέ ϲφιϲιν ἥνδανε βουλή,
ἠὲ διαπραθέειν ἢ ἄνδιχα πάντα δάϲαϲθαι,
κτῆϲιν ὅϲην πτολίεθρον ἐπήρατον ἐντὸϲ ἐέργει.
οἱ δ' οὔ πω πείθοντο, λόχῳ δ' ὑπὸ θωρήϲϲοντο.
τεῖχοϲ μέν ῥ' ἄλοχοί τε φίλαι καὶ νήπια τέκνα
ῥύατ' ἐφεϲταότεϲ, μετὰ δ' ἀνέρεϲ οὓϲ ἔχε γῆραϲ.
οἱ δ' ἴϲαν· ἦρχε δ' ἄρα ϲφιν Ἄρηϲ καὶ Παλλὰϲ Ἀθήνη,
ἄμφω χρυϲείω, χρύϲεια δὲ εἵματα ἕϲθην,
καλὼ καὶ μεγάλω ϲὺν τεύχεϲιν ὥϲ τε θεώ περ,

V. ι. 504 εἷατ' CD. ἐπι A λίθοιϲι D. ἐνι D. — 505 ἠεροφώνων A. — 506 τοῖϲι δ' ἔπειτ' Vrat. d. ἀμοιβηδὸν Harl. Vrat. A. δὲ δίκαζον AS Cant. δ' ἐδίκαζον CDEGHL Et. Mg. 85, 43. Apoll. Soph. 27, 13. — 507 ἂρ ADEGHL. μέϲοιϲι G Lips. δύω: δύο EHL Flor. Rom. Heynii libri excepto Cant. Et. Mg. 744, 24. Photii Lex. 416. Bachm. Anecd. I, 380, 21. Suidas II, 2, 1021, 1; 1022, 5. conf. H. U. 46. — 508 μετα A. τοῖϲιν D Flor. δίκην omitt. H. εἴποι AEH Barocc. Mor. Townl. Vrat. b. d. Frgm. Mosc. εἴπῃ CDGL. — 509 ἀμφι D. δύο CEHL: δύω ADG. εἵατο CD. — 510 λαμπομένω Harl. Vat. δέ ϲφιν S Cant. Harl. Jo. Alex. 33, 13. δίχα φρεϲὶν Et. Mg. 279, 53. ἥνδανε DH et C altero spiritu addito. — 512 ἐέργει
ει ε
CDGHS Eust. 1187, 32. ἔεργεν A. ἐέργει L. ἔεργεν E Mor. Barocc. Townl. Lips. Vrat. b. A. Rom. ἐέργοι est coniectura Bekkeri, quem secuti sunt recentiores. — 513 οἵδ' GHL. ὑπὸ θωρήϲϲοντο Vrat. d.: ὑποθωρήϲϲοντο H Frgm. Mosc. ceteri, in his ACDEGLS, ὑπεθωρήϲϲοντο cum Schol. C 509. — 514 φίλαι omitt. L Lips. — 515 μετα CH. ἀνέραϲ D. — 516 οἳ δ' D. οἵδ' CGHL. — 517 ἥϲθην D. ἧϲτο H. — 518 μεγάλῳ G. θεόϲ περ D. θεῶ' περ H.

A. c. 502 ἀμφοτέροιϲιν: παρὰ Ζηνοδότῳ καὶ ἀριϲτοφάνει ἀμφοτέρωθεν. ἡ μαϲϲαλιωτικὴ ἀμφοτέρωθεν ἐποίπνυον (cod. ἐπίπνυον) ἀμφὶϲ ἀρωγοί Didymus. — 506 ἀμοιβηδὶϲ: ἀρίϲταρχοϲ ἀμοιβηδόν ὡϲ κλαγγηδόν, κατὰ τάξιν τῆϲ ἡλικίαϲ Didymus. — 513 ὑπὸ θωρήϲϲοντο scripsi cum librorum parte propter caesuram bucolicam, ut πολέαϲ διὰ ‖ κοιρανέοντα Δ 230. μάχηϲ ἐκ ‖ νοϲτήϲαντε Ε 137. Ρ 207. Ω 705. πολέμον κάτα ‖ κοιρανέουϲιν Ε 332. μάχηϲ ἐξ ‖ ἀποδίωμαι Ε 763. πεδίον κάτα ‖ δηριάαϲθαι Π 96. ποδῶν ὕπο | ϲείετο ὕλη Ξ 285. ἕλοϲ κάτα ‖ βουκολέοντο Υ 221. πόλεμον μέτα ‖ θωρήϲϲοντο Υ 329. Κικόνων ὕπο ‖ δῃωθέντεϲ ι 66. conf. α 247. ν 377. π 424. τ 48. φ 346. ψ 290. C 492.

ἀμφὶc ἀριζήλω· λαοὶ δ' ὑπ' ὀλίζονεc ἦcαν.
οἳ δ' ὅτε δή ῥ' ἵκανον ὅθι cφιcιν εἶκε λοχῆcαι,
ἐν ποταμῷ, ὅθι τ' ἀρδμὸc ἔην πάντεccι βοτοῖcιν,
ἔνθ' ἄρα τοί γ' ἵζοντ' εἰλυμένοι αἴθοπι χαλκῷ.
τοῖcι δ' ἔπειτ' ἀπάνευθε δύω cκοποὶ εἵατο λαῶν,
δέγμενοι ὁππότε μῆλα ἰδοίατο καὶ ἕλικαc βοῦc.
οἳ δὲ τάχα προγένοντο, δύω δ' ἅμ' ἕποντο νομῆεc
τερπόμενοι cύριγξι· δόλον δ' οὔ τι προνόηcαν.
οἳ μὲν τὰ προϊδόντεc ἐπέδραμον, ὦκα δ' ἔπειτα
τάμνοντ' ἀμφὶ βοῶν ἀγέλαc καὶ πώεα καλὰ
ἀργεννέων οἰῶν, κτεῖνον δ' ἐπὶ μηλοβοτῆραc.
οἳ δ' ὡc οὖν ἐπύθοντο πολὺν κέλαδον παρὰ βουcὶν
εἰράων προπάροιθε καθήμενοι, αὐτίκ' ἐφ' ἵππων
βάντεc ἀερcιπόδων μετεκίαθον, αἶψα δ' ἵκοντο.
cτηcάμενοι δ' ἐμάχοντο μάχην ποταμοῖο παρ' ὄχθαc,
βάλλον δ' ἀλλήλουc χαλκήρεcιν ἐγχείῃcιν.
ἐν δ' Ἔριc, ἐν δὲ Κυδοιμὸc ὁμίλεον, ἐν δ' ὀλοὴ Κήρ,
ἄλλον ζωὸν ἔχουcα νεούτατον, ἄλλον ἄουτον,
ἄλλον τεθνηῶτα κατὰ μόθον ἕλκε ποδοῖιν·

V. L. 519 ὑπ' ὀλίζονεc CH Townl. Vrat. d. ὑπ' ολίζονεc A. ὑπολίζονεc DEGL cum plerisque. — 520 οἵδ' CHL. ὅθί cφῑcῑν CD. ὅθι cφῑcῑν H. ceteri ὅθι cφίcιν, conf. H. T. 413. Ι 99. Λ 807. Ξ 134. Ψ 138. Ω 96. εἶκε G. εἶκε λοχῆcαι διὰ διφθόγγου ἔχουcι τὰ τῶν ἀντιγράφων ἀκριβέcτερα Eust. 1160, 19. — 521 βοτοῖcι G Flor. Rom. — 522 ἵζονθ' εἰλυμένοι C. — 523 δύω ACDEG Barocc. Frgm. Mosc. δύο HLS Vrat. A. edd. ante Barnesium. — 525 οἳ δὲ C. — 526 τερπομένω Vrat. A. — 528 ἀγέλην Et. Mg. 746, 43. πώεα μήλων Apoll. Soph. 150, 14. Cram. An. Ox. III, 255, 30. — 529 * ἀργεννέων: vulgo ἀργεννῶν cum Apoll. Soph. 41, 30. ἀργενῶν D. ἀργενάων Mor. οἴων G. ἐπιμηλοβοτῆραc CH, conf. ἐπιβουκόλοc, ἐπιποιμένεc, ἐπιβώτωρ, ἐπίουροc. — 530 οἳ δ' D. οἵδ' CGHL. παρὰ: περὶ L Lips. Barocc. — 531 εἰράων AH man. rec. Harl. Mor. Vat. Frgm. Mosc. Et. Gud. 170, 55: ἰράων DG Lips. Et. Mg. 475, 12. Apoll. Soph. 92, 22. ἱράων CEH 1. man. LS Ven. B. Zonaras Lex. 1120. Suidas I, 2, 1067, 2. — 532 ἀερcιπόδων A. μετεκείαθον D. ἴκοντο D. — 535 ἓν A ter. δ' ὀλοὸν κῆρ Plutarchus adv. Coloten 11, 6. — 537 τεθνηῶτα DH Cant. Mor. Barocc. Lips. Townl. Vrat. b. d. τεθνηῶτα L. τεθνειῶτα CEG Vrat. A. Schol. C 483. 535. Heracl. Alleg. c. 48. Plutarchus Plat. Quaest. 4, 1. κατα A. ἕλκε libri. ἕλκε D.

A. c. 526 τερπόμενοι: ἀριcτοφάνηc δυϊκῶc τερπομένω Didymus. — 528 πώεα καλά: παρὰ Ζηνοδότῳ πῶυ μέγ' οἰῶν Didymus. — 529 ἀργεννέων scripsi ex coniectura, conf. ad Λ 69. — 531 ὅτι εἴραc λέγει τὰc ἀγοράc, cχηματίζων ἀπὸ τοῦ εἴρειν ὅ ἐcτι λέγειν Aristonicus. Aristarchus igitur εἰράων scripsit. — 537 ἀρίcταρχοc τεθνηιῶτα (sic) Didymus.

εἷμα δ' ἔχ' ἀμφ' ὤμοιcι δαφοινεὸν αἵματι φωτῶν.
ὡμίλευν δ' ὥc τε ζωοὶ βροτοὶ ἠδὲ μάχοντο,
νεκρούc τ' ἀλλήλων ἔρυον κατατεθνηῶταc.
ἐν δ' ἐτίθει νειὸν μαλακήν, πίειραν ἄρουραν,
εὐρεῖαν τρίπολον· πολλοὶ δ' ἀροτῆρεc ἐν αὐτῇ
ζεύγεα δινεύοντεc ἐλάcτρεον ἔνθα καὶ ἔνθα.
οἳ δ' ὁπότε cτρέψαντεc ἱκοίατο τέλcον ἀρούρηc,
τοῖcι δ' ἔπειτ' ἐν χερcὶ δέπαc μελιηδέοc οἴνου
δόcκεν ἀνὴρ ἐπιών· τοὶ δὲ cτρέψαcκον ἀν' ὄγμουc
ἱέμενοι νειοῖο βαθείηc τέλcον ἱκέcθαι.
ἡ δὲ μελαίνετ' ὄπιcθεν, ἀρηρομένῃ δὲ ἐῴκει
χρυcείη περ ἐοῦcα· τὸ δὴ περὶ θαῦμα τέτυκτο.
ἐν δ' ἐτίθει τέμενοc βαθυλήιον· ἔνθα δ' ἔριθοι
ἤμων ὀξείαc δρεπάναc ἐν χερcὶν ἔχοντεc.
δράγματα δ' ἄλλα μετ' ὄγμον ἐπήτριμα πῖπτον ἔραζε,
ἄλλα δ' ἀμαλλοδετῆρεc ἐν ἐλλεδανοῖcι δέοντο.
τρεῖc δ' ἄρ' ἀμαλλοδετῆρεc ἐφέcταcαν· αὐτὰρ ὄπιcθε

V. L. 538 εἶμα D. — 539 ὡμίλεον Harl. Frgm. Mosc. non male. ὡμίλευν D. ἦδ' D. ἠδὲ μάχοντο L: ceteri ἠδ' ἐμάχοντο. — 540 κατατεθνηῶταc L. κατατεθνειῶταc A. κατατεθνειῶταc CEG. — 541 ἐν A. δὲ τίθει DE 1153, 59. 1155, 12. 1161, 11. Frgm. Mosc. Vrat. b. — 542 εὐρείαν D. — 543 ἐλάτρεον S. ἐλάcτρευον Lips. ἐλάcτεον Vrat. d. — 544 οἳ δ' D. οἵδ' CGHL. τρέψαντεc Harl. Vat. ἱκοίατο D. — 546 οἱ δὲ GLS Cant. Harl. Vrat. b. d. Flor. δὲ, cτρέψαcκον C. δ' ἐcτρέψαcκον D. δὲ τρέψαcκον H Harl. Vat. Vrat. d. ἀνόγμουc A. — 547 ἵέμενοι CD. ἵκέcθαι D. — 548 δ' ἐμελαίνετ' S. ἀρηρεμένηι A. τινὰ τῶν ἀντιγράφων ἀρηρεμένη διὰ τοῦ ε̅ Eust. 1161, 64. — 549 περι D. πέρϊ H. θαῦμα τέτυκτο ACDEHLS 1. man. Vat. Vrat. b. d. A. Lips. Frgm. Mosc. θαῦμ' ἐτέτυκτο S ex corr. θαῦμα ἐτέτυκτο G. — 550 ἐν A. δὲ τίθει D Eust. 1153, 59. 1155, 13. 1162, 1. Vrat. b. A. βαθυλήϊον H. βαθὺ λήιον, ὅ τινεc ὑφ' ἓν βαθυλήϊον ἀναγινώcκουcιν Eust. 1162, 19. βαcιλήϊον AC 1. man. G Ven. B. Frgm. Mosc. γρ. τέμενοc βαθὺ λήϊον A. ἐνθάδ' D. — 551 ἥμων GH. ὀξεῖαc C. — 552 πίπτον ACGL Apoll. Soph. 72, 6. πῖπτον E. πίπτεν DH (Vrat. d.). — 553 ἀμαλλοδετῆρεc A. εἰλεδανοῖcι GL Lips. Flor. ἀμαλλοδετῆρεc ἐφέcταcαν αὐτὰρ ὄπιcθε D. hunc et sequentem in unum contraxit H ἄλλα δ' ἀμαλλοδετῆρεc ἐφέcταcαν αὐτὰρ ὄπιcθεν. — 554 δὲ ἀμαλοδετῆρεc G. ὄπιcθε ACG (D 553). τρεῖc γὰρ ἀμαλλοδετῆρεc ἐν ἠλλεδανοῖcι (1. man. ἐλλεδανοῖcι) δέοντο D.

A. c. 538 ἐν τῇ μαccαλιωτικῇ εἵματ' ἔχε Didymus. — 540 κατατεθνηῶταc: ἀρίcταρχοc διὰ τοῦ η̅ Didymus. — 549 οὕτωc ἀρίcταρχοc τέτυκτο ἰακῶc Didymus. — 551 ἐν δέ τιcιν ἐγράφετο μετὰ τὸν „ἤμων ὀξείαc δρεπάναc", καρπὸν Ἐλευcίνηc Δημήτεροc ἀγλαοδώρου Schol. C 483. τινὲc προcγράφουcι cτίχον τοῦτον „καρπὸν Ἐλευcίνηc Δημήτεροc ἀγλαοδώρου" Eust. 1156, 57.

παῖδες δραγμεύοντες, ἐν ἀγκαλίδεςςι φέροντες,
ἀςπερχὲς πάρεχον· βαςιλεὺς δ' ἐν τοῖςι ςιωπῇ
ςκῆπτρον ἔχων ἑςτήκει ἐπ' ὄγμου γηθόςυνος κῆρ.
κήρυκες δ' ἀπάνευθεν ὑπὸ δρυῒ δαῖτα πένοντο,
βοῦν δ' ἱερεύςαντες μέγαν ἄμφεπον· αἱ δὲ γυναῖκες
δεῖπνον ἐρίθοιςιν λεύκ' ἄλφιτα πολλὰ πάλυνον.
  ἐν δ' ἐτίθει ςταφυλῇςι μέγα βρίθουςαν ἀλωήν,
καλὴν χρυςείην· μέλανες δ' ἀνὰ βότρυες ἦςαν,
ἑςτήκει δὲ κάμαξι διαμπερὲς ἀργυρέῃςιν.
ἀμφὶ δὲ κυανέην κάπετον, περὶ δ' ἕρκος ἔλαςςε
καςςιτέρου· μία δ' οἴη ἀταρπιτὸς ἦεν ἐπ' αὐτήν,
τῇ νίςςοντο φορῆες, ὅτε τρυγόῳεν ἀλωήν.
παρθενικαὶ δὲ καὶ ἠΐθεοι ἀταλὰ φρονέοντες
πλεκτοῖς ἐν ταλάροιςι φέρον μελιηδέα καρπόν.
τοῖςιν δ' ἐν μέςςοιςι πάις φόρμιγγι λιγείῃ
ἱμερόεν κιθάριζε, λίνον δ' ὑπὸ καλὸν ἄειδε
λεπταλέῃ φωνῇ· τοὶ δὲ ῥήςςοντες ἁμαρτῇ
μολπῇ τ' ἰυγμῷ τε ποςὶ ςκαίροντες ἕποντο.

V. L. 555 δραγματεύοντες S Mor. ἐναγκαλῒδεςςῒ H. ἀγκαλίδεςι D. 557 ἑςτήκει ACE 1156, 57 G: εἱςτήκει E 1162, 8 HL Lips. εἱςτήκει D. ἐπόγμου D. ὄγμον G Vat. Flor. — 560 ἐρίθοιςι CEG Flor. Rom. πόλλ' ἐπάλυνον H. πάλυναν D. πόλλ' ἄλφιτα λεύκ' ἐπάλυνον Frgm. Mosc. — 561 ἐν A. ἔνθ' G. δὲ τίθει D Vrat. b. d. A. E 1153, 60. 1155, 13. sed δ' ἐτίθει 1162, 54. δε τίθει H. μεταβρῑθουςαν H. ἀλῳήν AH. — 562 ἀνα ACDH. ἄρα Barocc. Mor. — 563 ἑςτήκει AEGS cum aliis: εἱςτήκει CL Frgm. Mosc. Vrat. d. Et. Mg. 487, 44. Schol. Υ 271. εἱςτήκει DH. κάμαξη G. ἀργυρέοιςιν CS Barocc. Harl. Frgm. Mosc. — 564 ἀμφι D. περῒ H. ἕρκος AD. ἔλαςςε ACDEG Schol. Υ 271. — 565 ἀταρπητὸς CDL. ἐπαυτῇ D. ἐπαυτῆ̓ν S. ἐπ' αὐτῇ Frgm. Mosc. adscripto ῷ. — 566 τηνήςςοντο G. νείςοντο ADL. νείςςοντο Harl. Lips. Townl. Vrat. b. A. τὴν εἴςςοντο Vrat. d. νίςοντο C Frgm. Mosc. νείςςοντο H. νίςςοντο E Cram. Ep. 424, 11. ἀλῳήν AH. ἀλωήν C. vulgo ἀλωήν ut 561. — 567 παρθενικαί τε καὶ Rhet. Gr. III, 86, 6. — 568 πλεκτοῖςι ταλάροιςι Vat. conf. ι 247. — 569 τοῖςι CE in H est ἐν pro τοῖςιν. — 570 ἡμερόεν D. λῖνον G. ὑπο ADHL. ἄειδε ACDEGHL. — 571 λεπαλέηι C. λεπτείῃ Vrat. A. πρήςςοντες Harl. Vat. ἁμαρτῆι A. ἀμαρτῇ D. ὁμαρτῇ A in marg. EG. ὁμαρτῇ CHLS. — 572 ἔποντο D.

A. c. 557 ἔξω τοῦ ῑ τὸ ἑςτήκει αἱ ἀριςτάρχου Didymus. — 563 Ζηνόδοτος ἀργυρέοιςιν Didymus. — 565 ἐς αὐτήν παρὰ Ζηνοδότῳ, καὶ ἔχει λόγον ἡ γραφή Didymus. — 566 νίςςοντο, conf. H. T. 316. — 568 ἀρίςταρχος ταλάροιςι καὶ πλεκτοῖςι Didymus, an πλεκτοῖςιν ταλάροιςι? μελιηδέα κάρπον: οὕτως αἱ Ἀριςτάρχου Schol. V, quod scholium ad scripturam πλεκτοῖςιν ταλάροιςι videtur pertinere, conf. H. T. 393. — 570 λίνον Aristarchus: Zenodotus λίνος.

ἐν δ' ἀγέλην ποίηςε βοῶν ὀρθοκραιράων·
αἱ δὲ βόες χρυςοῖο τετεύχατο καςςιτέρου τε,
μυκηθμῷ δ' ἀπὸ κόπρου ἐπεςςεύοντο νομόν δὲ
πὰρ ποταμὸν κελάδοντα, παρὰ ῥοδανὸν δονακῆα.
χρύςειοι δὲ νομῆες ἅμ' ἐςτιχόωντο βόεςςι
τέςςαρες, ἐννέα δέ ςφι κύνες πόδας ἀργοὶ ἕποντο.
ςμερδαλέω δὲ λέοντε δύ' ἐν πρώτῃςι βόεςςι
ταῦρον ἐρύγμηλον ἐχέτην· ὃ δὲ μακρὰ μεμυκὼς
ἕλκετο· τὸν δὲ κύνες μετεκίαθον ἠδ' αἰζηοί.
τὼ μὲν ἀναῤῥήξαντε βοὸς μεγάλοιο βοείην
ἔγκατα καὶ μέλαν αἷμα λαφύςςετον· οἱ δὲ νομῆες
αὔτως ἐνδίεςαν ταχέας κύνας ὀτρύνοντες.
οἳ δ' ἤ τοι δακέειν μὲν ἀπετρωπῶντο λεόντων,
ἱςτάμενοι δὲ μάλ' ἐγγὺς ὑλάκτεον ἔκ τ' ἀλέοντο.
  ἐν δὲ νομὸν ποίηςε περικλυτὸς ἀμφιγυήεις
ἐν καλῇ βήςςῃ μέγαν οἰῶν ἀργεννάων,
ςταθμούς τε κλιςίας τε κατηρεφέας ἰδὲ ςηκούς.
  ἐν δὲ χορὸν ποίκιλλε περικλυτὸς ἀμφιγυήεις,

V. L. 573 ἐν A. ὀρθοκεράων D. — 574 χρυςεῖο C. τετεύχαται Schol. O 187. — 575 νομὸν δὲ A Apoll. Soph. 102, 21. νομῆνδε Vrat. A. — 576 παρ D. παρὰ DEHL Townl. Vrat. d. A. Frgm. Mosc. Et. Mg. 283, 12. παραὶ CS Cant. Vat. Harl. περὶ G. παραροδανὸν A. ἐν ἄλλῳ ῥαδαλὸν A, ita Hesychius sub δόνακα et ῥαδαλόν. οἱ δὲ γράφουςι ῥαδαλόν Eust. 1165, 19. ῥάδαλον Schol. N 458. — 577 βόεςςι ACDEG. — 578 ςφῒν H. — 579 ςμερδαλέο G. ςμαρδαλέω S. ςμερδαλέω τε L. δύω πρώτῃςι L Lips. ἐν πρώτοιςι AD 1. man. Vat. Barocc. Frgm. Mosc. Vrat. b. βόεςςι ACDEGHL. — 580 ἐρίγμηλον S Lips. Vrat. b. A. ἐρίμυκλον L. ἔχετον Harl. ὃ δὲ C. — 581 μετεκείαθον D. μετακίαθον Barocc. — 582 ἀναρήξαντε AD, bene. ἀναρρήξαντες H. μεγάλοιο βύρςην H Vrat. d. e glossa. — 584 αὔτως EGH Schol. C 162. Ψ 475. αυτως A. ἐνδίεςαν A. ἐν δ' ἴεςαν L Lips. ἐνδίεςςαν D. ὀτρύναντες D Mor. Flor. Apoll. Soph. 68, 22. — 585 οἳ δ' D. οἵδ' CG. οἳ δή τοι H. οἱ δή τοι Lips. Vrat. d. Frgm. Mosc. vulgo οἱ δ' ἤτοι. — 587 ἐν A. — 589 ἰδὲ: ἠδὲ Lips. Schol. Є 137. τε ἠ ἰδὲ Eust. — 590 ἐν A.

A. c. 576 παρὰ ῥοδανὸν Aristarchus: παρὰ ῥαδαλὸν Aristophanes. διὰ ῥαδαλὸν Zenodotus. conf. Et. Mg. 701, 52. ῥοδανὸν vel ῥαδανὸν Heracleo, conf. Et. Mg. 702, 10. alii ῥοανόν teste Schol. BV, qui Zenodoto scripturam κραδαλόν tribuit. Ζηνόδοτος ῥοδανόν Schol. Townl. apud Cram. An. Par. III, 290, 4. φηςὶ δὲ Διονύςιος γράφεςθαι καὶ δονακῆεν Didymus. — 579 ςμερδαλέω δὲ λέοντε: ἐν τῇ ἑτέρᾳ τῶν ἀριςτάρχου δύο πρώτῃςι βοέςςι. παρὰ δὲ Ζηνοδότῳ κυανέω (cod. κυάνεον) δὲ λέοντε Didymus. Ζηνόδοτος κυάνεοι δὲ λέοντες [ἐνὶ] Schol. Townl. apud Cram. An. Par. III, 290, 5. — 581 τὸ δὲ ἕλκετο χωρὶς τοῦ ῑ Didymus. τὸν δὲ: παρὰ Ζηνοδότῳ τοὺς δέ, τοὺς λέοντας Didymus. — 584 αὔτως: οὔτως Zenodotus. ἐνδίεςαν: ἐνδΐεςαν Ptolem. Ascalonita.

τῷ ἴκελον, οἷόν ποτ᾽ ἐνὶ Κνωςῷ εὐρείῃ
Δαίδαλος ἤςκηςεν καλλιπλοκάμῳ Ἀριάδνῃ.
ἔνθα μὲν ἠΐθεοι καὶ παρθένοι ἀλφεςίβοιαι
ὠρχεῦντ᾽ ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες.
τῶν δ᾽ αἳ μὲν λεπτὰς ὀθόνας ἔχον, οἳ δὲ χιτῶνας
εἵατ᾽ ἐυννήτους, ἦκα ςτίλβοντας ἐλαίῳ·
καί ῥ᾽ αἳ μὲν καλὰς ςτεφάνας ἔχον, οἳ δὲ μαχαίρας
εἶχον χρυςείας ἐξ ἀργυρέων τελαμώνων.
οἳ δ᾽ ὁτὲ μὲν θρέξαςκον ἐπιςταμένοιςι πόδεςςι
ῥεῖα μάλ᾽, ὡς ὅτε τις τροχὸν ἄρμενον ἐν παλάμῃςιν
ἑζόμενος κεραμεὺς πειρήςεται, αἴ κε θέῃςιν·
ἄλλοτε δ᾽ αὖ θρέξαςκον ἐπὶ ςτίχας ἀλλήλοιςι.
πολλὸς δ᾽ ἱμερόεντα χορὸν περιίςταθ᾽ ὅμιλος
τερπόμενοι· μετὰ δέ ςφιν ἐμέλπετο θεῖος ἀοιδὸς
φορμίζων· δοιὼ δὲ κυβιςτητῆρε κατ᾽ αὐτοὺς
μολπῆς ἐξάρχοντος ἐδίνευον κατὰ μέςςους.

V. l. 591 ἴκελον CGHL. οἶον D. ἐνι A. κνωςῷ AC: κνωςςῷ DEGHL Athenaeus V, 181. Rhet. Gr. III, 104, 23. Herodianus περὶ ςχημάτων ed. Dind. 64, 13. abhinc usque ad vs. 602 ἀθετεῖ Tzetzes Alleg. 762. — 592 ἤςκηςε C Vrat. A. καλιπλοκάμωι CD. — 593 ἠίθεος Apoll. Soph. 24, 1. ἀλφεςίβοιαι A. — 594 ἐπι A. ἐνὶ H Vrat. d. ἔχουςαι Athen. V, 181. — 595 αἳ μὲν C. εἶχον D. οἳ δὲ C. — 596 εἵατο GL Lips. εἶχον E Rom. ἐϋννήτους ACE 1166, 57: εὐνήτους DE 1165, 62 GHL Lips. Barocc. Cant. Mor. Harl. Vat. Townl. Vrat. b. d. A. Frgm. Mosc. — 597 οἱ μὲν Schol. B 67. ςτεφάνους S. οἳ δὲ C. — 598 ἔχον H. — 599 οἵδ᾽ CDGHL. ὅτε DE 1166, 2; 40. πόδεςςι ACEG. — 600 τῖς C. ἅρμενον CGH Flor. Et. Mg. 769, 48. ἁρμενον A. — 601 θέῃςι H Et. Mg. 769, 49. αἴ κε θέλῃςι Vrat. d. Flor. αἴ κε θέλῃςιν Lips. αἴκ᾽ ἐθέλῃςιν Harl. — 602 ἀλλήλοιςι ADEG. — 603 πολλὸν Cant. — 604 τερπόμενος Mor. Athenaeus V, 181 bis. μετὰ δέ ςφιν — φορμίζων omittunt libri. — 605 δύω D. κυβϊςτητῆρες D. κυβιςτῆρες Townl. κυβηςτῆρε HL. καταυτούς H. — 606 ἐξάρχοντες ACDEGL et Heynii libri. ἐξάρχοντε H. ἐδίνεον E 1166, 8 Rom. Frgm. Mosc. κατα A.

A. c. 592 παρὰ Ζηνοδότῳ ἀριήδνῃ Didymus. — 597, 598 ἀθετοῦνται. οὐδὲ παρὰ Ἀριςτοφάνει ἦςαν Schol. A. — 604 ὁ δ᾽ Ἀρίςταρχος οὐ μόνον εἰς τὸ τοῦ Μενελάου ςυμπόςιον ἐμβαλὼν οὓς οὐ προςῆκε ςτίχους (δ 15—19) καὶ τῆς Λακώνων παιδείας ἀλλότριον ἐποίηςε καὶ τῆς τοῦ βαςιλέως ςωφροςύνης, ἀλλὰ καὶ τοῦ κρητικοῦ χοροῦ τὸν ᾠδὸν ἐξεῖλεν, ἐπιτεμὼν τὰ ποιήματα τὸν τρόπον τοῦτον „πολλὸς δ᾽ ἱμερόεντα χορὸν περιίςταθ᾽ ὅμιλος τερπόμενος· δοιὼ δὲ κυβιςτητῆρε κατ᾽ αὐτοὺς μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέςςους.“ ὥςτ᾽ ἀνίατον γενέςθαι παντάπαςι τὸ ἐξάρχοντες, μηκέτι δυναμένης τῆς ἐπὶ τὸν ᾠδὸν ἀναφορᾶς ςώζεςθαι Athenaeus V, 181 c. conf. V, 180 d. adn. ad δ 15—19. — 605 καθ᾽ αὐτοὺς Diodorus Aristophaneus apud Athen. V, 180 e. — 606 ἐξάρχοντος: ἐξάρχοντες Aristarchus, cf. Athen. l. l.

ἐν δ᾽ ἐτίθει ποταμοῖο μέγα ςθένος Ὠκεανοῖο
ἄντυγα πὰρ πυμάτην ςάκεος πύκα ποιητοῖο.
αὐτὰρ ἐπεὶ δὴ τεῦξε ςάκος μέγα τε ςτιβαρόν τε,
τεῦξ᾽ ἄρα οἱ θώρηκα φαεινότερον πυρὸς αὐγῆς,
τεῦξε δέ οἱ κόρυθα βριαρὴν κροτάφοις ἀραρυῖαν,
καλὴν δαιδαλέην, ἐπὶ δὲ χρύςεον λόφον ἧκε,
τεῦξε δέ οἱ κνημῖδας ἑανοῦ καςςιτέροιο.
αὐτὰρ ἐπεὶ πάνθ᾽ ὅπλα κάμε κλυτὸς ἀμφιγυήεις,
μητρὸς Ἀχιλλῆος θῆκε προπάροιθεν ἀείρας.
ἣ δ᾽ ἴρηξ ὣς ἆλτο κατ᾽ Οὐλύμπου νιφόεντος
τεύχεα μαρμαίροντα παρ᾽ Ἡφαίςτοιο φέρουςα.

ΙΛΙΑΔΟϹ Τ.

Ἠὼς μὲν κροκόπεπλος ἀπ᾽ Ὠκεανοῖο ῥοάων
ὤρνυθ᾽, ἵν᾽ ἀθανάτοιςι φόως φέροι ἠδὲ βροτοῖςιν·
ἣ δ᾽ ἐς νῆας ἵκανε θεοῦ πάρα δῶρα φέρουςα.
εὗρε δὲ Πατρόκλῳ περικείμενον ὃν φίλον υἱόν,
κλαίοντα λιγέως· πολέες δ᾽ ἀμφ᾽ αὐτὸν ἑταῖροι
μύρονθ᾽. ἣ δ᾽ ἐν τοῖςι παρίςτατο δῖα θεάων,
ἔν τ᾽ ἄρα οἱ φῦ χειρὶ ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·

V. l. 607 ἐν A. δὲ τίθει Eust. 1153, 60. 1155, 13; sed δ᾽ ἐτίθει 1167, 29; 46. — 608 παρ C. παρ᾽ D. — 609 ἐπειδὴ libri. ἐπεὶ L Lips. omisso δή. — 610 ἄρά οἱ C. οἳ D. αὐγῆς: αὐτῆς H. — 611 κυνέην βριαρὴν G Barocc. Flor. βριαρὴν omitt. L. βαρὺν Lips. — 612 ἐπϊ δὲ χρύςειον H. ἧκε ACDEG. — 613 κνημίδας H. ἑανοῦ H Flor. — 615 ἀχϊλῆος C. θῆκεν A. — 616 ἣ δ᾽ L. ἥδ᾽ CDGH. ἴρηξ GL Flor. male, conf. ὥς τ᾽ ἴρηξ N 62. ὑπ᾽ ἴρηκος Φ 494. τ᾽ ἴρηκες ε 66. ὡς A. ἆλτο C. ἫΔ᾽ ΟἸΡΗΞ ΩϹ ΑΛΤῸ ΚΑΤΟΥΛΥΠΟΥΝΗΦΌΕΛΠΟϹ Papyrus ab Harrisio repertus, conf. H. T. 446. — 617 τεύχεα καλὰ φέρουςα παρ᾽ ἡφαίςτοιο ἄνακτος EH Townl. Frgm. Mosc. Vrat. b. d. A. Τ[ΕΥΧΕ]ΑΚΑΛ[Α]ΦΕΡΟΥϹΑ ΠᾺΡ ΗΦΑ[Ι]Ϲ[Τ]ΙΟΑΝΑΚΤΟϹ Pap. Harris. γρ. τεύχεα καλὰ φέρουςα παρ᾽ ἡφαίςτοιο ἄνακτος A.

V. l. 1 ἀπ᾽: ἐπ᾽ Harl. — 2 φέρῃ L. φέρῃ Harl. Lips. φέρει DG. βροτοῖςι DH. — 3 ἥδ᾽ CDGHL. πάρα ACDG: παρὰ HL. — 4 περικείμενον A. πέρι κείμενον L Apoll. de Synt. 308, 20. Bekk. Anecd. 924, 30. ceteri περικείμενον cum Schol. T 284. Jo. Alex. 26, 22. — 5 λιγαίως D. πολλοὶ E. — 6 μύροντο D. ἥδ᾽ CDGHL. δία D. — 7 ἐν G. ὀνόμαζε ACDGHL.

τέκνον ἐμόν, τοῦτον μὲν ἐάϲομεν ἀχνύμενοί περ
κεῖϲθαι, ἐπεὶ δὴ πρῶτα θεῶν ἰότητι δαμάϲθη.
τύνη δ' Ἡφαίϲτοιο πάρα κλυτὰ τεύχεα δέξο,
καλὰ μάλ', οἷ' οὔ πώ τιϲ ἀνὴρ ὤμοιϲι φόρηϲεν.
ὣϲ ἄρα φωνήϲαϲα θεὰ κατὰ τεύχε' ἔθηκε
πρόϲθεν Ἀχιλλῆοϲ· τὰ δ' ἀνέβραχε δαίδαλα πάντα.
Μυρμιδόναϲ δ' ἄρα πάνταϲ ἕλε τρόμοϲ, οὐδέ τιϲ ἔτλη
ἄντην εἰϲιδέειν, ἀλλ' ἔτρεϲαν. αὐτὰρ Ἀχιλλεὺϲ
ὡϲ εἶδ', ὥϲ μιν μᾶλλον ἔδυ χόλοϲ, ἐν δέ οἱ ὄϲϲε
δεινὸν ὑπὸ βλεφάρων ὡϲ εἰ ϲέλαϲ ἐξεφάανθεν·
τέρπετο δ' ἐν χείρεϲϲιν ἔχων θεοῦ ἀγλαὰ δῶρα.
αὐτὰρ ἐπεὶ φρεϲὶν ᾗϲι τετάρπετο δαίδαλα λεύϲϲων,
αὐτίκα μητέρ' ἑὴν ἔπεα πτερόεντα προϲηύδα·
μῆτερ ἐμή, τὰ μὲν ὅπλα θεὸϲ πόρεν, οἷ' ἐπιεικὲϲ
ἔργ' ἔμεν ἀθανάτων, μὴ δὲ βροτὸν ἄνδρα τελέϲϲαι.
νῦν δ' ἤ τοι μὲν ἐγὼ θωρήξομαι· ἀλλὰ μάλ' αἰνῶϲ
δείδω, μή μοι τόφρα Μενοιτίου ἄλκιμον υἱὸν
μυῖαι καδδῦϲαι κατὰ χαλκοτύπουϲ ὠτειλὰϲ
εὐλὰϲ ἐγγείνωνται, ἀεικίϲϲωϲι δὲ νεκρόν,

V. ι. 10 παρα H Frgm. Mosc. παρὰ Vrat. b. ceteri πάρα cum Schol. Τ 3. — 12 ὡϲ A. κατα ACDHL: καλὰ Barocc. Harl. Mor. ἔθηκε ACDEG. — 13 ἀχϊλῆοϲ C. ἀνέβραχε: ἀνέδραμε L. δαίδαλα: φαίδιμα Barocc. Mor. — 15 ἀχϊλεὺϲ C. — 16 ὡϲ ἴδεν Et. Mg. 824, 29. Et. Gud. 582, 25. Schol. Theocr. III, 42. conf. Ξ 294. Υ 424. μάλον D. — 17 βλεφάρων [οιϲ] A. βλεφάροιϲ Barocc. Harl. βλεφάρον G. ἐξεφάανθεν AGL Lips. Flor. ἐξεφάανθε C. ἐξεφαάνθη [ε] H. ἐξεφαάνθη DES Ven. B. Frgm. Mosc. Vrat. d. Rom. ἐξεφαάνθην Harl. — 18 χείρεϲιν DE. — 19 ᾗϲι τετάρπετο ACDHL ex corr. Lips. Harl. Townl. Vrat. b. d. A. Frgm. Mosc. ᾗϲιν ἐτάρπετο GL 1. man. edd. vett. ᾗϲιν ἐτέρπετο E. ᾗϲι τ' ἐτέρπετο Cant. λεύϲων D Lips. — 20 μητέρα ἣν libri. προϲηῦδα D. — 22 μὴ δὲ CDGHL. τελέϲαι E. — 23 ἤτοι libri. — 26 ἐγγείνωνται: ἐγίνωνται D. ἐγγίγνωνται L ex corr. ἐγγίνονται Lips. ἐγγείνονται Zonar. Lex. 606. ἀεικίϲωϲι E Apoll. Soph. 62, 1.

A. c. 14 ἕλε τρόμοϲ: ἕλεν φόβοϲ Zenodotus, conf. Ϲ 247. — 17 ἐξεφάανθεν: οὕτωϲ ἀρίϲταρχοϲ. ἄλλοι δὲ ἐξεφαάνθη Didymus. — 18 τινὲϲ δὲ γράφουϲι τέρπετο δ' ὀφθαλμοῖϲιν ὁρῶν Schol. V. — 19 ᾗϲι τετάρπετο, conf. Ω 513. Ι 705. Ψ 10. 98. indicativo ἐταρπόμην poëta non utitur, sed coniunctivo ταρπώμεθα Ω 636. δ 295. ψ 255, ubi variant libri inter ταρπώμεθα, τερπώμεθα, παυϲώμεθα, quod Aristarchus Ω 636 scripserat. — 20 μητέρ' ἑήν scripsi Bekkerum secutus, conf. β 195. δ 618. — 26 ὅτι ἐν τοῖϲ (ταῖϲ?) Ζηνοδότου ἐγγίνωνται διὰ τοῦ ῑ γεγράπται, δεῖ δὲ διὰ τοῦ ε̄ (ει̅?) Aristonicus.

ἐκ δ' αἰὼν πέφαται, κατὰ δὲ χρόα πάντα ϲαπήῃ.
τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτιϲ ἀργυρόπεζα·
τέκνον, μή τοι ταῦτα μετὰ φρεϲὶ ϲῇϲι μελόντων.
τῷ μὲν ἐγὼ πειρήϲω ἀλαλκεῖν ἄγρια φῦλα,
μυίαϲ, αἵ ῥά τε φῶταϲ ἀρηιφάτουϲ κατέδουϲιν·
ἤν περ γὰρ κῆταί γε τελεϲφόρον εἰϲ ἐνιαυτόν,
αἰεὶ τῷ γ' ἔϲται χρὼϲ ἔμπεδοϲ ἢ καὶ ἀρείων.
ἀλλὰ ϲύ γ' εἰϲ ἀγορὴν καλέϲαϲ ἥρωαϲ Ἀχαιούϲ,
μῆνιν ἀποειπὼν Ἀγαμέμνονι, ποιμένι λαῶν,
αἶψα μάλ' ἐϲ πόλεμον θωρήϲϲεο, δύϲεο δ' ἀλκήν.
ὣϲ ἄρα φωνήϲαϲα μένοϲ πολυθαρϲὲϲ ἐνῆκε,
Πατρόκλῳ δ' αὖτ' ἀμβροϲίην καὶ νέκταρ ἐρυθρὸν
ϲτάξε κατὰ ῥινῶν, ἵνα οἱ χρὼϲ ἔμπεδοϲ εἴη.
αὐτὰρ ὁ βῆ παρὰ θῖνα θαλάϲϲηϲ δῖοϲ Ἀχιλλεὺϲ
ϲμερδαλέα ἰάχων, ὦρϲεν δ' ἥρωαϲ Ἀχαιούϲ.
καί ῥ' οἵ περ τὸ πάροϲ γε νεῶν ἐν ἀγῶνι μένεϲκον,
οἵ τε κυβερνῆται καὶ ἔχον οἰήια νηῶν
καὶ ταμίαι παρὰ νηυϲὶν ἔϲαν, ϲίτοιο δοτῆρεϲ,
καὶ μὴν οἳ τότε γ' εἰϲ ἀγορὴν ἴϲαν, οὕνεκ' Ἀχιλλεὺϲ
ἐξεφάνη, δηρὸν δὲ μάχηϲ ἐπέπαυτ' ἀλεγεινῆϲ.
τὼ δὲ δύω ϲκάζοντε βάτην Ἄρεοϲ θεράποντε,
Τυδείδηϲ τε μενεπτόλεμοϲ καὶ δῖοϲ Ὀδυϲϲεύϲ,

V. ι. 27 κατα ADH. δε A. ϲαπήῃ A Vrat. A. ϲαπήη D. ϲαπείῃ H. ϲαπείη CEGL et ante Heynium vulgo. — 29 μή μοι C Frgm. Mosc. μετα A. μελλόντων A. — 30 τῷ: τῶν E. πειρήϲομαι G Flor. ἀλαλκέμεν D Barocc. — 31 κατέδουϲι GH Flor. Rom. — 32 εἴπερ E Harl. κῆταί A: κεῖταί CDEGHLS cum libris Heynii. — 33 τῷδ' ACDEL: τῷ γ' GHS Barocc. Cant. Vat. Harl. Vrat. d. Frgm. Mosc. Flor. recte. — 34 ἀλλὰ γὰρ εἰϲ D. — 35 ἀπειπὼν D. — 36 εἰϲ D. θωρήϲεο Lips. Vrat. A. — 37 ὡϲ A. ἐνῆκε ACDGHL. — 39 κατα A. ἵνά οἱ CHL. post hunc insertus est in H Harl. Frgm. Mosc. versus ἡ μὲν ἄρ' (H ἂρ) ὣϲ ἔρξαϲ' (H ἔρξαϲ) ἀπέβη θέτιϲ ἀργυρόπεζα. — 40 ὃ ACDGHL. ἀχϊλεύϲ C. ἐν ἄλλῳ ποδάρκηϲ δῖοϲ ἀχιλλεύϲ A. — 41 ϲμαρδαλέα S. ὦρϲε E. — 42 καί θ' H Vrat. d. τοπάροϲ L. γε, νεῶν AE. ἐναγῶνι D. μένεϲκον: γένοντο C. — 43 καὶ οἳ ἔχον GLS Barocc. Mor. Vat. Flor. ἰήια Harl. οἴια Vat. — 44 παρα A. ἦϲαν C. — 45 οἳ GHL. τότέ γ' C. ἀχϊλεὺϲ C. — 47 ἄρεωϲ ADH Townl. Herodianus περὶ ϲχημάτων ed. Dind. 59, 23. θεράποντεϲ ἄρηοϲ E. — 48 τὲ AH.

A. c. 27 οὕτωϲ ἀρίϲταρχοϲ διὰ τοῦ η̄ ϲαπήῃ Didymus. — 30 παρὰ ἀριϲτοφάνουϲ (sic) ἀλαλκέμεν Didymus. — 41 ἥρωαϲ: παρὰ ἀριϲτοφάνει καὶ ῥιανῷ ἐρίηραϲ Didymus.

ἔγχει ἐρειδομένω· ἔτι γὰρ ἔχον ἕλκεα λυγρά·
κὰδ δὲ μετὰ πρώτῃ ἀγορῇ ἵζοντο κιόντες.
αὐτὰρ ὁ δεύτατος ἦλθεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
ἕλκος ἔχων· καὶ γὰρ τὸν ἐνὶ κρατερῇ ὑςμίνῃ
οὖτα Κόων Ἀντηνορίδης χαλκήρεϊ δουρί.
αὐτὰρ ἐπεὶ δὴ πάντες ἀολλίςθηςαν Ἀχαιοί,
τοῖςι δ' ἀνιςτάμενος μετέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἀτρείδη, ἦ ἄρ τι τόδ' ἀμφοτέροιςιν ἄρειον
ἔπλετο, ςοὶ καὶ ἐμοί, ὅτε νῶΐ περ ἀχνυμένω κῆρ
θυμοβόρῳ ἔριδι μενεήναμεν εἵνεκα κούρης.
τὴν ὄφελ' ἐν νήεςςι κατακτάμεν Ἄρτεμις ἰῷ,
ἤματι τῷ, ὅτ' ἐγὼν ἑλόμην Λυρνηςςὸν ὀλέςςας·
τῶ κ' οὐ τόςςοι Ἀχαιοὶ ὀδὰξ ἕλον ἄςπετον οὖδας
δυςμενέων ὑπὸ χερςὶν ἐμεῦ ἀπομηνίςαντος.
Ἕκτορι μὲν καὶ Τρωςὶ τὸ κέρδιον· αὐτὰρ Ἀχαιοὺς
δηρὸν ἐμῆς καὶ ςῆς ἔριδος μνήςεςθαι ὀΐω.
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάςομεν ἀχνύμενοί περ,
θυμὸν ἐνὶ ςτήθεςςι φίλον δαμάςαντες ἀνάγκῃ.
νῦν δ' ἦ τοι μὲν ἐγὼ παύω χόλον, οὐδέ τί με χρὴ
ἀςκελέως αἰεὶ μενεαινέμεν· ἀλλ' ἄγε θᾶςςον
ὄτρυνον πόλεμον δὲ κάρη κομόωντας Ἀχαιούς,
ὄφρ' ἔτι καὶ Τρώων πειρήςομαι ἀντίον ἐλθών,
αἴ κ' ἐθέλως' ἐπὶ νηυςὶν ἰαύειν· ἀλλά τιν' οἴω

V. l. 49 ἐρειδομένῳ G. ἄλγεα DL Barocc. Mor. γρ. ἕλκεα L. — 50 καδδὲ ACDGHL. μετα A. ἀγορᾷ E. ἵζοντο D. κιόντε L Vrat. b. A. — 51 δ ACDGHL. — 52 ἐνι A. — 53 οὔτα C Vrat. b d. — 54 ἐπειδὴ libri. ἀχαιῶν H. — 55 τοῖςιν D. πόδας ταχὺς D. ἀχϊλεύς C. — 56 ἤ D. ἄρ, τι E 1170, 37. 1171, 2. τόδ': τόγ' Barocc. Mor. — 58 μενεήναμεν CH. — 59 ὄφελεν νήεςςι H. — 60 ἤματι D. λυρνηςςὸν CDEH: λυρνηςὸν AGL Flor. cf. Β 690. 691. Υ 92. 191. — 61 τῶ ACHL. τῷ EG. τό D. — 62 ὑπο A. ἀπομηνίςαντος A. — 63 τρῳςὶ L. — 66 ἐνι A. — 67 δή τοι H Harl. νῦν δ' ἤδη Apoll. Soph. 168, 20. παύω μὲν ἐγὼ C. οὐδέ τι με ADGHL. οὐδ' ἔτι με Vrat b. A. οὐδέ τί ςε Apoll. Soph. 111, 9. Et. Mg. 579, 58. — 69 πόλεμον δὲ A. κάρη κομόωντας AH. — 70 τειρήςομαι G. ἀντίον ACD Mor. Harl. Frgm. Mosc. vulgo ἀντίος. ἐλθεῖν S Cant. — 71 ἐπι A. ὀΐω DHL.

A. c. 56 ἄρειον: ἄμεινον Massiliensis. ὄνειαρ Chia. — 62 ἀπομηνίςαντος Ptolem. Ascalonita et Herodianus: ἄπο μηνίςαντος Nicias. ἐπιμηνίςαντος Chamaeleo, conf. Ι 426. Η. Τ. 198. — 70 οὕτως ἀρίςταρχος διὰ τοῦ ν̄ ἀντίον Didymus.

ἀςπαςίως αὐτῶν γόνυ κάμψειν, ὅς κε φύγῃςι
δηΐου ἐκ πολέμοιο ὑπ' ἔγχεος ἡμετέροιο.
ὣς ἔφαθ', οἳ δ' ἐχάρηςαν ἐϋκνήμιδες Ἀχαιοὶ
μῆνιν ἀπειπόντος μεγαθύμου Πηλεΐωνος.
τοῖςι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
αὐτόθεν ἐξ ἕδρης, οὐδ' ἐν μέςςοιςιν ἀναςτάς·
ὦ φίλοι, ἥρωες Δαναοί, θεράποντες Ἄρηος,
ἑςταότος μὲν καλὸν ἀκούειν, οὐδὲ ἔοικεν
ὑββάλλειν· χαλεπὸν γὰρ ἐπιςταμένῳ περ ἐόντι.
ἀνδρῶν δ' ἐν πολλῷ ὁμάδῳ πῶς κέν τις ἀκούςαι
ἢ εἴποι; βλάβεται δὲ λιγύς περ ἐὼν ἀγορητής.
Πηλείδῃ μὲν ἐγὼν ἐνδείξομαι· αὐτὰρ οἱ ἄλλοι
ςύνθεςθ' Ἀργεῖοι μῦθόν τ' εὖ γνῶτε ἕκαςτος.
πολλάκι δή μοι τοῦτον Ἀχαιοὶ μῦθον ἔειπον,
καί τέ με νεικείεςκον· ἐγὼ δ' οὐκ αἴτιός εἰμι,
ἀλλὰ Ζεὺς καὶ μοῖρα καὶ ἠεροφοῖτις ἐρινύς,
οἵ τέ μοι εἰν ἀγορῇ φρεςὶν ἔμβαλον ἄγριον ἄτην,

V. l. 72 αὐτὸν DS Vat. αἴ κε φύγηςιν L. αἴ κε ἢ ὅς κε Eust. φύγηςι ACDH. — 73 φεύγων ἐκ AC. γρ. δηΐου ἐκ πολέμοιο A. — 74 ὡς A. οἵδ' CDGHL. δὲ χάρηςαν Vrat. b. conf. Γ 111. εὐκνήμιδες DGHL. — 75 ἀποειπόντος H. — 77 μέςςοιςι παραςτάς S Cant. μέςοιςιν Apoll. Soph. 156, 26. — 79 ἑςταότος: τινὲς ἑςταότως Eust. 1172, 59. μὲν: γὰρ Apoll. Soph. 156, 23. ἀκούειν AE 1172, 16 Barocc. Cram. Ep. 252, 29. Apoll. Soph. 156, 23: ἀκουέμεν CDE 1171, 56 GHL Et. Gud. 656, 49. Bachm. Anecd. II, 83, 26. — 80 ὑββάλειν G. ὑβάλειν C. alii ὐββάλλειν teste Eust. 1172, 60. χαλεπὸν καὶ Bachm. Anecd. II, 49, 35. ἐπιςτάμενόν περ ἐόντα libri cum Apoll. Soph. 156, 24. Bachm. An. II, 49, 35. — 81 ἀκούςῃ Maxim. Tyr. Diss. XVII, 10. ἀκούςειεν Apoll. Soph. 156, 31. — 82 βλάβεται γὰρ L Lips. βλάβεται γὰρ δὲ S. — 83 ἐγὼ A. — 85 πολλάκϊς CE. μῦθον ἀχαιοὶ τοῦτον H Vrat d. — 86 καί τε με D. αἴτιος εἰμὶ L. — 87 ἠεροφοῖτις A. ἐρινύς AD Townl. Vrat. b. ἐριννύς CEGHL et Heynii fere omnes. — 88 οἵ τέ μοι ACEH. vulgo οἵτε μοι. L οἵ τ' ἐμοὶ.

A. c. 75 ἀρίςταρχος ἔξω τοῦ ō ἀπειπόντος καὶ αἱ πλείους Didymus. — 76 τοῖςι δ' ἀνιςτάμενος μετέφη κρείων Ἀγαμέμνων Massiliensis, Chia, Zenodotus. — 77 αὐτόθεν ἐξ ἕδρης, οὐδ' ἐν μέςςοιςιν ἀναςτάς: οὕτως καὶ παρ' Ἀριςτοφάνει Didymus. Ἀρίςταρχος παρενέθηκε τὸν „αὐτόθεν ἐξ ἕδρης" teste Alexandro Cotyaensi. Ζηνοδότος τοῦτον οὐκ ἔγραφε Aristonicus. μῆνιν ἀναςτενάχων καὶ ὑφ' ἕλκεος ἄλγεα πάςχων Chia cum Massiliensi teste Didymo. — 79 ἀκούειν: οὕτως ἀρίςταρχος. ἄλλοι δὲ ἀκουέμεν Didymus, conf. ad vs. 30. — 80 ὑββάλλειν: ὐββάλλειν Herodianus, ψιλῶς. ἐπιςταμένῳ περ ἐόντι Aristarchus. hanc scripturam tuentur Archias et Dionysius Sidonius apud Apoll. Soph. 156, 26. — 86 παρὰ ἀριςτοφάνει καὶ τῇ χίᾳ νεικείουςιν Didymus. — 87 ἠεροφοῖτις Herodianus: alii ἡ ἐροφοῖτις.

ἤματι τῷ, ὅτ' Ἀχιλλῆος γέρας αὐτὸς ἀπηύρων.
ἀλλὰ τί κεν ῥέξαιμι; θεὸς διὰ πάντα τελευτᾷ.
πρέςβα Διὸς θυγάτηρ ἄτη, ἣ πάντας ἀᾶται,
οὐλομένη· τῇ μέν θ' ἁπαλοὶ πόδες· οὐ γὰρ ἐπ' οὔδει
πίλναται, ἀλλ' ἄρα ἥ γε κατ' ἀνδρῶν κράατα βαίνει
βλάπτους' ἀνθρώπους· κατὰ δ' οὖν ἕτερόν γε πέδηςε.
καὶ γὰρ δή νύ ποτε Ζεὺς ἄςατο, τόν περ ἄριςτον
ἀνδρῶν ἠδὲ θεῶν φας' ἔμμεναι· ἀλλ' ἄρα καὶ τὸν
Ἥρη θῆλυς ἐοῦςα δολοφροςύνῃς ἀπάτηςεν
ἤματι τῷ, ὅτ' ἔμελλε βίην Ἡρακληείην
Ἀλκμήνη τέξεςθαι ἐυςτεφάνῳ ἐνὶ Θήβῃ.
ἤ τοι ὅ γ' εὐχόμενος μετέφη πάντεςςι θεοῖςι·
κέκλυτέ μευ, πάντές τε θεοὶ πᾶςαί τε θέαιναι,
ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ ςτήθεςςιν ἀνώγει.
ςήμερον ἄνδρα φόως δὲ μογοςτόκος εἰλείθυια
ἐκφανεῖ, ὃς πάντεςςι περικτιόνεςςιν ἀνάξει,
τῶν ἀνδρῶν γενεῆς, οἵ θ' αἵματος ἐξ ἐμεῦ εἰςί.
τὸν δὲ δολοφρονέουςα προςηύδα πότνια Ἥρη·

V. L. 89 ἤματι D ἀχϊλῆος C. — 90 δῖα CH. — 92 τῇ ACDEGHL Barocc. Vat. Townl. Frgm. Mosc. τῆς S edd. vett. τῆς Plato Conviv. 195 D. οὔδει: οὔδεος Plato Conv. 195 D. Stob. Flor. 63, 36. — 93 βαίνοι G. — 94 κατα CH γ' ἐπέδηςε ACDE Barocc. Cant. Mor. Vrat. b. d. A. γ' ἐπέδηςεν H. γε πέδηςε G. γε πέδηςεν E 1174, 1 L Apoll. Soph. 96, 28. — 95 Ζεὺς: Ζῆν' ACDEGHLS Ven. B. Townl. Lips. Cant. Harl. Vrat. d. Frgm. Mosc. ἄςατο: ἀάςςατο G Flor. Rom. — 96 φάς' CH. φᾶς' L. φαςιν G. φαςὶν E Rom. — 97 δολοφροςύνῃ Vrat. b. A. Flor. δολοφροςύνης' E. δολοφροςύνην Cant. ἠπάτηςεν L. — 99 τεύξεςθαι H. εὐςτεφάνω DGH. ἐνι A. — 100 ἤτοι libri. θεοῖςι ACDEGH. — 101 πάντές τε E. πάντες τὲ A. πάντες θεοὶ D. — 102 ἐνι A. ςτήθεςςιν ἀνώγει ACDHL Lips. Flor. Rom. ςτήθεςςι κελεύει GS Cant. Vat. Vrat. b. A. Frgm. Mosc. κελεύοι A in marg. — 103 φόως δὲ ADG: vulgo φόωςδε. μογοςτόκος A. εἰλείθεια E. — 104 ἀνάξει: ἀνέξει Vrat. b. ἀέξει Vrat. A. — 105 οἵ δ' G. ἐξεμεῦ A. εἰςί ACH Apoll. de Pron. 137 A. εἰςι E. εἰςίν G Apoll. de Synt. 164, 21. 165, 22. de Pron. 138 A. εἰςιν DH. — 106 τόνδε G.

A. c. 90 κεν: κε Aristarchus, conf. H. U. 61. γράφεται κατ' ἔνια „θεοὺς διὰ πάντα τελευτᾷ". ἐν δέ τιςι „θεοὺς διὰ πάντα τέτυκται" Didymus. Hellanicus θεόςδια, τὰ θεόςδοτα Schol. B. Eust. 1173, 24. — 92 τῇ: οὕτως ἀρίςταρχος, ἄλλοι δὲ τῆς μέν θ' ἁπαλοί Didymus. Ἀριςτοφάνης τῇ μέν Schol. Townl. apud Cram. An. Par. III, 290, 9. — 94 ἀθετεῖται Aristonicus. — 95 ἀρίςταρχος Ζεὺς ἄςατο Didymus. ἔν τιςι τῶν εἰκαιοτέρων Ζῆν' Schol. A. — 96 φας': φαμὲν Chia. ἀλλ' ἄρα: ἀλλά νυ Aristophanes. — 105 οἵ θ': παρὰ ἀριςτοφάνει ἔξω τοῦ θ̄ οἵ αἵματος Didymus. ἐμεῦ: πρὸς ἐνίων διὰ τοῦ ο̄ ἐγράφετο (ἐμοῖ') Apollonius de Pron. 137 A.

ψευςτήςεις, οὐδ' αὖτε τέλος μύθῳ ἐπιθήςεις.
εἰ δ' ἄγε νῦν μοι ὄμοςςον Ὀλύμπιε καρτερὸν ὅρκον,
ἦ μὲν τὸν πάντεςςι περικτιόνεςςιν ἀνάξειν,
ὅς κεν ἐπ' ἤματι τῷδε πέςῃ μετὰ ποςςὶ γυναικὸς
τῶν ἀνδρῶν, οἳ ςῆς ἐξ αἵματός εἰςι γενέθλης.
ὣς ἔφατο· Ζεὺς δ' οὔ τι δολοφροςύνην ἐνόηςεν,
ἀλλ' ὄμοςεν μέγαν ὅρκον, ἔπειτα δὲ πολλὸν ἀάςθη.
Ἥρη δ' ἀίξαςα λίπεν ῥίον Οὐλύμποιο,
καρπαλίμως δ' ἵκετ' Ἄργος Ἀχαιικόν, ἔνθ' ἄρα ᾔδη
ἰφθίμην ἄλοχον Cθενέλου Περςηιάδαο.
ἣ δ' ἐκύει φίλον υἱόν, ὃ δ' ἕβδομος ἑςτήκει μείς·
ἐκ δ' ἄγαγε πρὸ φόως δὲ καὶ ἠλιτόμηνον ἐόντα,
Ἀλκμήνης δ' ἀπέπαυςε τόκον, ςχέθε δ' εἰλειθυίας.
αὐτὴ δ' ἀγγελέουςα Δία Κρονίωνα προςηύδα·
Ζεῦ πάτερ, ἀργικέραυνε, ἔπος τί τοι ἐν φρεςὶ θήςω.
ἤδη ἀνὴρ γέγον' ἐςθλός, ὃς Ἀργείοιςιν ἀνάξει,
Εὐρυςθεύς, Cθενέλοιο πάις Περςηιάδαο,
ςὸν γένος· οὔ οἱ ἀεικὲς ἀναςςέμεν Ἀργείοιςιν.
ὣς φάτο, τὸν δ' ἄχος ὀξὺ κατὰ φρένα τύψε βαθεῖαν.

V. L. 107 μύθου D. — 108 εἶ δ' L. ἐν ἄλλῳ αἶ δ' ἄγε νῦν A. ἄγε δή μοι Vrat. d. κρατερὸν CGH Lips. — 109 ἢ μὲν D (accentus 2. man.). ἢ μὴν in libris meis non reperi. — 110 ὅς κεν: ὅς τις Schol. δ 477. Cram. An. Par. III, 23, 11 (ex Porphyrio). ὅς τ' Schol. P 263. μετὰ et παρὰ Schol. δ 477. — 111 αἵματος εἰςὶ DL. — 112 δολοφροςύνης Bachm. Anecd. II, 84, 17. — 113 ὄμοςε E Vrat. A. — 115 ἀχαϊκὸν GS Lips. ᾔδη L. ᾔδει Vrat. b. ᾔδεε Vrat. A. — 116 περςϊάδαο C. περςηΐδαο D. — 117 ἥδ' CGL. δὲ κύει AD 1. man. H Vrat. d. ceteri δ' ἐκύει. ὃ δ' D. ὅδ' CGL. ἑςτήκει A Townl. Vrat. b. Lips. Frgm. Mosc. εἱςτήκει CDEGHLS. ἱςτήκει Et. Orionis 192, 29. — 118 προφόως δὲ AD Et. Gud. 242, 33. πρὸ φόωςδε E Townl. Frgm. Mosc Rom. προφόωςδε CG Apoll. Soph. 136, 8. Et. Mg. 428, 16. Schol. Π 188. προφόως Schol. T 104. ἄγαγε φόωςδε H Lips. ἤγαγε φόωςδε L. ἠλιτόμηνον A. hunc et sequentem habet H in marg. man. rec. — 119 εἰληθυίας Eust. 1175. 12; sed 1174. 21 et 1175, 45 εἰλειθυίας. 121 τί ςοι H. ἐνιφρεςὶ D. ἐνὶ φρεςὶ Lips. Flor. — 122 γέγονεν L Lips. Vrat. A. — 123 περςηΐδαο D. — 124 ἀργείοιςιν: ἀνθρώποιςιν Et. Mg. 21, 53. — 125 ἄχος βαθὺ C. κατα D.

A. c. 107 ψευςτήςεις Aristarchus: alii ψεύςτης εἶ vel εἴς. — 117 μείς: ἐν τῇ χίᾳ μής Didymus. forma ionica μείς legitur apud Hesiodum Op. 557. Hymn. in Merc. 11. Anacreont. Frgm. 6, 1 ed. Bergk. — 118 πρὸ φόως δέ, conf. ad Π 188. hoc loco Aristarchus πρὸ admisit et interpretatus est πρὸ τῶν μηνῶν. — 124 ἀργείοιςιν: κατ' ἐνίας τῶν ἐκδόςεων ἀνθρώποιςιν Didymus.

αὐτίκα δ' εἷλ' ἄτην κεφαλῆς λιπαροπλοκάμοιο
χωόμενος φρεςὶν ᾗςι, καὶ ὤμοςε καρτερὸν ὅρκον,
μή ποτ' ἐς Οὔλυμπόν τε καὶ οὐρανὸν ἀςτερόεντα
αὖτις ἐλεύςεςθαι ἄτην, ἣ πάντας ἀᾶται.
ὣς εἰπὼν ἔρριψεν ἀπ' οὐρανοῦ ἀςτερόεντος
χειρὶ περιςτρέψας· τάχα δ' ἵκετο ἔργ' ἀνθρώπων.
τὴν αἰεὶ ςτενάχεςχ', ὅθ' ἑὸν φίλον υἱὸν ὁρῷτο
ἔργον ἀεικὲς ἔχοντα ὑπ' Εὐρυςθῆος ἀέθλων.
ὣς καὶ ἐγών, ὅτε δὴ αὖτε μέγας κορυθαίολος Ἕκτωρ
Ἀργείους ὀλέκεςκεν ἐπὶ πρυμνῇςι νέεςςιν,
οὐ δυνάμην λελαθέςθ' ἄτης, ᾗ πρῶτον ἀάςθην.
ἀλλ' ἐπεὶ ἀαςάμην, καί μευ φρένας ἐξέλετο Ζεύς,
ἂψ ἐθέλω ἀρέςαι, δόμεναί τ' ἀπερείςι' ἄποινα·
ἀλλ' ὄρςευ πόλεμον δέ, καὶ ἄλλους ὄρνυθι λαούς.
δῶρα δ' ἐγὼν ὅδε πάντα παραςχέμεν, ὅςςα τοι ἐλθὼν
χθιζὸς ἐνὶ κλιςίῃςιν ὑπέςχετο δῖος Ὀδυςςεύς.
εἰ δ' ἐθέλεις, ἐπίμεινον, ἐπειγόμενός περ ἄρηος·
δῶρα δέ τοι θεράποντες ἐμῆς παρὰ νηὸς ἑλόντες
οἴςους', ὄφρα ἴδηαι ὅ τοι μενοεικέα δώςω.
τὸν δ' ἀπαμειβόμενος προςέφη πόδας ὠκὺς Ἀχιλλεύς·

V. ʟ. 126 abhinc usque ad vs. 326 cod. A manu recentiore est scriptus. desunt scholia et signa critica. — 126 εἶλεν G. κεφαλῇ L. — 127 κρατερὸν AC Lips. — 129 αὖθϊς C. ἐλεύςεςθ' AD. — 131 περιτρέψας Harlei. ταχέως Lips. ἵκετ' L Lips. — 133 ὑπ': πρὸς AS Cant. — 134 * ὅτε δὴ: libri ὅτε δ'. κορυθαιόλος ADG Lips. Frgm. Mosc. — 135 ὤλεςκεν AC Vat. Townl. ὄλεςκεν S. ὀλέςεςκεν Frgm. Mosc. ὀλόχεςκεν H. ὀλέεςκεν E et olim vulgo. ὀλέκεςκεν D Harl. Mor. πρύμνηςι libri. — 136 λελαθέςθαι ACEH. λαθέςθ' L Lips. ᾗ: ἣ L. ἣν DE 1176, 8 Frgm. Mosc. τὴν Eust. 1174, 29 Vrat. A. τῇ Vrat. b. — 137 καί μευ: καί με DH Barocc. non male, conf. Ο 460. Π 58. Ρ 678; sed praestat altera scriptura, ut Ι 377 ἐκ γάρ εὑ φρένας εἵλετο μητίετα Ζεύς. C 311 ἐκ γάρ cφεων φρένας εἵλετο. Hes. Scut. 89 τοῦ μὲν φρένας ἐξέλετο Ζεύς. dativi exemplum habes Ζ 234 Γλαύκῳ φρένας ἐξέλετο Ζεύς. — 139 πόλεμον δὲ D. ΠΟΛΕΜΟΝ ΔῈ Syr. ὄρνιθε A — 140 ἐγὼν: ἐγὼ Eust. 1176, 20; 22. ὅδε: ὧδε D. τάδε H 1. man. Syr. Vrat. d. παραςχέμεν L Syr. Lips. ceteri παραςχεῖν cum Bachm. Anecd. II, 94, 1. ὅςςά τοι CDH. — 141 ἐνι D. — 142 δὲ θέλεις AE ter S Vrat. A. — 143 παρὰ: ἀπὸ Syr. Vrat. A. — 144 οἴςουςι D. — 145 ἀχϊλεύς C. ΤῸΝΔ' ΗΜΕΊΒΕΤ' ΕΠΕΙΤΑΠΟΔΆΡΚΗϹ ΔΪΟϹ ΑΧΙΛΛΕΥϹ Syr.

A. c. 137 post hunc Dioscurides Isocratis discipulus legerat versum „ἢ οἴνῳ μεθύων, ἤ μ' ἔβλαψαν θεοὶ αὐτοί“ teste Eust. 1176, 11. de quo vide adnot. ad Ι 119.

Ἀτρείδη κύδιςτε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
δῶρα μέν, αἴ κ' ἐθέληςθα, παραςχέμεν, ὡς ἐπιεικές,
ἤ τ' ἐχέμεν, πάρα ςοί. νῦν δὲ μνηςώμεθα χάρμης
αἶψα μάλ'· οὐ γὰρ χρὴ κλοτοπεύειν ἐνθάδ' ἐόντας
οὐδὲ διατρίβειν· ἔτι γὰρ μέγα ἔργον ἄρεκτον·
ὥς κέ τις αὖτ' Ἀχιλῆα μετὰ πρώτοιςιν ἴδηται
ἔγχεϊ χαλκείῳ Τρώων ὀλέκοντα φάλαγγας.
ὧδέ τις ὑμείων μεμνημένος ἀνδρὶ μαχέςθω.
τὸν δ' ἀπαμειβόμενος προςέφη πολύμητις Ὀδυςςεύς·
μὴ δὴ οὕτως, ἀγαθός περ ἐών, θεοείκελ' Ἀχιλλεῦ,
νήςτιας ὄτρυνε προτὶ Ἴλιον υἷας Ἀχαιῶν
Τρωςὶ μαχηςομένους, ἐπεὶ οὐκ ὀλίγον χρόνον ἔςται
φύλοπις, εὖτ' ἂν πρῶτον ὁμιλήςωςι φάλαγγες
ἀνδρῶν, ἐν δὲ θεὸς πνεύςῃ μένος ἀμφοτέροιςιν.
ἀλλὰ πάςαςθαι ἄνωχθι θοῇς ἐπὶ νηυςὶν Ἀχαιοὺς
ςίτου καὶ οἴνοιο· τὸ γὰρ μένος ἐςτὶ καὶ ἀλκή.
οὐ γὰρ ἀνὴρ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
ἄκμηνος ςίτοιο δυνήςεται ἄντα μάχεςθαι·
εἴ περ γὰρ θυμῷ γε μενοινάᾳ πολεμίζειν,
ἀλλά τε λάθρῃ γυῖα βαρύνεται, ἠδὲ κιχάνει
δίψα τε καὶ λιμός, βλάβεται δέ τε γούνατ' ἰόντι.
ὃς δέ κ' ἀνὴρ οἴνοιο κορεςςάμενος καὶ ἐδωδῆς
ἀνδράςι δυςμενέεςςι πανημέριος πολεμίζῃ,
θαρςαλέον νύ οἱ ἦτορ ἐνὶ φρεςίν, οὐδέ τι γυῖα

V. ʟ. 147 κε θέληιςθα D Syr. Lips. — 148 εἴ τ' ἐχέμεν CG Barocc. Harl. ἤτεχέμεν D. παρὰ ACDE 1176, 48 GHL Syr. τὸ παρὰ ςοὶ γράφεται καὶ πάρα ςοι Eust 1176, 57. — 149 μάλα H. κλυτοπεύειν Vat. — 151 ὥς κε τις G. δέ τις H ex corr. — 152 τρῴων CL. — 153 ὣς δέ τις D ex corr. EH. ὡς δέ τις D 1. man. Rom. ὧδέ τις ACGL Barocc. Townl. Frgm. Mosc. ὑμέων E. μάχεςθαι Vat. — 155 μὴ δὴ Eust. 1177, 53: libri μὴ δ'. ΘΕΟΊΚΕΛ Syr. (ε 2. man. add.). ἀχϊλεῦ C. ἀχιλεῦ D. — 156 πρὸ τὶ C. — 157 μαχηςαμένους D: ceteri libri mei μαχηςομένους cum E Barocc. Mor. Lips. Vat. Harl. Vrat. A. Frgm. Mosc. Rom. μαχηςόμενος Cant. — 159 πνεύςει Barocc. ἀμφοτέρηςιν Cant. — 161 ἀλκί D. — 162 ΓΑΡ' Syr. ἦμαρ D. ΗΜΑΡ' Syr. ἦμαρ καὶ εἰς L. — 163 ςίτοιο: δόρποιο Suidas I, 1, 168, 2. — 164 πτολεμίζειν C. — 165 λάθρη AC. — 166 δίψά τε C. τε omitt. Eust. 1177, 35. Flor. Apoll. Soph. 51, 29. δέ οἱ Eust. 1410, 18. — 168 πολεμίζει E bis; sed 1180, 17 πολεμίζῃ. πανημέριον πολεμίζει Schol. Ζ 265. — 169 νύ τοι Townl. Pseudoplut. 159, 16. ΗΤΟΡ' Syr. ἐνι D.

A. c. 147 πάρα Schol. B.

πρὶν κάμνει, πρὶν πάντας ἐρωῆςαι πολέμοιο.
ἀλλ' ἄγε λαὸν μὲν cκέδαcον καὶ δεῖπνον ἄνωχθι
ὅπλεcθαι· τὰ δὲ δῶρα ἄναξ ἀνδρῶν Ἀγαμέμνων
οἰcέτω ἐc μέccην ἀγορήν, ἵνα πάντεc Ἀχαιοὶ
ὀφθαλμοῖcιν ἴδωcι, cὺ δὲ φρεcὶ cῇcιν ἰανθῇc.
ὀμνυέτω δέ τοι ὅρκον ἐν Ἀργείοιcιν ἀναcτάc,
μή ποτε τῆc εὐνῆc ἐπιβήμεναι ἠδὲ μιγῆναι·
[ἣ θέμιc ἐcτὶν ἄναξ ἤτ' ἀνδρῶν ἤτε γυναικῶν·]
καὶ δὲ cοὶ αὐτῷ θυμὸc ἐνὶ φρεcὶν ἵλαοc ἔcτω.
αὐτὰρ ἔπειτά cε δαιτὶ ἐνὶ κλιcίῃc ἀρεcάcθω
πιείρῃ, ἵνα μή τι δίκηc ἐπιδευὲc ἔχῃcθα.
Ἀτρείδη, cὺ δ' ἔπειτα δικαιότεροc καὶ ἐπ' ἄλλῳ
ἔccεαι· οὐ μὲν γάρ τι νεμεccητὸν βαcιλῆα
ἄνδρ' ἀπαρέccαcθαι, ὅτε τιc πρότεροc χαλεπήνῃ.
τὸν δ' αὖτε προcέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
χαίρω cεῦ Λαερτιάδη τὸν μῦθον ἀκούcαc·
ἐν μοίρῃ γὰρ πάντα διίκεο καὶ κατέλεξαc.
ταῦτα δ' ἐγὼν ἐθέλω ὀμόcαι, κέλεται δέ με θυμόc,
οὐδ' ἐπιορκήcω πρὸc δαίμονοc. αὐτὰρ Ἀχιλλεὺc
μιμνέτω αὐτόθι τεῖοc ἐπειγόμενόc περ ἄρηοc·
μίμνετε δ' ἄλλοι πάντεc ἀολλέεc, ὄφρά κε δῶρα

V. L. 171 κέδαcον Harl. — 173 ἐν μέccῃ (H μέcῃ) ἀγορῇ H Vrat. d. — 174 ὀφθαλμοῖcι A. ἴδωcιν D. φρεcὶ cῇcιν ACDEHS Townl. Ven. B. Frgm. Mosc. φρεcὶν ἧcιν GL Vrat. A. Flor. Rom. — 175 δέ τοι ἔργον D. δ' ὅρκον C omisso τοι. — 177 omittunt ADHL Syr. Harl. Lips. Vrat. d. Frgm. Mosc. ἡ θέμιc CEGS. ἠδ' — ἠδὲ C Cant. in marg. ἤτ' — ἠδὲ S Townl. — 178 δέ cοι H. ἐνι D. ἔcται L. — 179 ἐνι D. κλιcίηc' E. κλιcίῃ Lips. — 181 ἀτρείδη omitt. A et in extremo versu addit ἔccεαι. — 182 ἔccεαι: ἀτρείδη A. νεμεcητὸν C. — 183 ἄνδρα παρέccαcθαι H. ἀπαρέcαcθαι DE. ἐπαρέccαcθαι L Vrat. A. ἐπαρέcαcθαι Lips. Vrat. b. ὅτέ τιc AH. τῖc C χαλεπήνη ACH. — 186 διΐκεο πάντα D. — 187 ὀμόcαι D. — 188 πρὸc δαίμοναc Vat. ἀχϊλεὺc C. — 189 * αὐτόθι τεῖοc: αὖθι τέωc περ ACDHS Syr. (ΠΕΡ') Townl. Vrat. d. Frgm. Mosc. Flor. τέωc δὲ Vat. τέωc γε EG Rom. Lips. (?). τέωc γ' L. τέωc Ven. B. τέωc καὶ Vrat. b. A. ex Vrat. d. Heynius τέωc περ et infra τέωc καὶ attulit. cui fidem non habeo, nam in H, qui ex eodem autographo ortus est, τέωc περ scriptum est. ΠΕΡ' bis Syr. — 190 ΑΟΛΛΕΕC Syr. bis omisso πάντεc. ὄφρά κε CDH. ὄφρα καὶ S. ΟΦΡΑΤΑ Syr. εἰcόκε Mor.

A. c. 189 τέωc: δίχα τοῦ πέρ· ἐν δὲ ταῖc εἰκαιοτέραιc μετὰ τοῦ πέρ Schol. B. equidem non dubito scripturam δίχα τοῦ πέρ fuisse Aristarcheam, nam omnibus fere locis αἱ εἰκαιότεραι opponuntur Aristarchi editioni, conf. H. T. pg. 97. sed quum τέωc metro repugnet, τεῖοc et cum G. Hermanno αὐτόθι pro αὖθι scripsi, conf. Thiersch. Gramm. Gr. § 168, 10, not. H. U. 234.

ἐκ κλιcίηc ἔλθῃcι, καὶ ὅρκια πιcτὰ τάμωμεν.
cοὶ δ' αὐτῷ τόδ' ἐγὼν ἐπιτέλλομαι ἠδὲ κελεύω·
κρινάμενοc κούρηταc ἀριcτῆαc Παναχαιῶν
δῶρα ἐμῆc παρὰ νηὸc ἐνεικέμεν, ὅcc' Ἀχιλῆι
χθιζὸν ὑπέcτημεν δώcειν, ἀγέμεν τε γυναῖκαc.
Ταλθύβιοc δέ μοι ὦκα κατὰ cτρατὸν εὐρὺν Ἀχαιῶν
κάπρον ἑτοιμαcάτω, ταμέειν Διί τ' ἠελίῳ τε.
τὸν δ' ἀπαμειβόμενοc προcέφη πόδαc ὠκὺc Ἀχιλλεύc·
Ἀτρείδη κύδιcτε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
ἄλλοτέ περ καὶ μᾶλλον ὀφέλλετε ταῦτα πένεcθαι,
ὁππότε τιc μεταπαυcωλὴ πολέμοιο γένηται,
καὶ μένοc οὐ τόcον ᾖcιν ἐνὶ cτήθεccιν ἐμοῖcι.
νῦν δ' οἳ μὲν κέαται δεδαϊγμένοι, οὓc ἐδάμαccεν
Ἕκτωρ Πριαμίδηc, ὅτε οἱ Ζεὺc κῦδοc ἔδωκεν,
ὑμεῖc δ' ἐc βρωτὺν ὀτρύνετον. ἦ τ' ἂν ἐγώ γε
νῦν μὲν ἀνώγοιμι πτολεμίζειν υἷαc Ἀχαιῶν
νήcτιαc ἀκμήνουc, ἅμα δ' ἠελίῳ καταδύντι
τεύξεcθαι μέγα δόρπον, ἐπὴν τιcαίμεθα λώβην.
πρὶν δ' οὔ πωc ἂν ἐμοί γε φίλον κατὰ λαιμὸν ἰείη
οὐ πόcιc οὐδὲ βρῶcιc, ἑταίρου τεθνηῶτοc,

V. L. 191 ἔλθωcι Rom. libri ἔλθῃcι. — 194 ΔΩΡΑ^{Δ} Syr. (Δ 2. man.). γρ. καὶ δῶρα δ' ἐμῆc Eust. 1179, 34. δῶρα θοῆc Strabo X, 467. ἐνεικέμεν ACDG: ἐνεγκέμεν E bis HL Lips. Flor. Rom. ἐνεγκεῖν Strabo X, 467. a vero aberrat Heynius affirmans „ἐνεγκέμεν lectio est codd. et edd. Flor. Rom." ὅc' C. — 195 χθιζοὶ Strabo l. l. ἀγέμεν δὲ DE. τὲ C. — 198 ἀχϊλέύc C. ΑΧΙΛC Syr. quod perinde est. — 200 ὀφέλλεται H 1. man. ταῦτα: πάντα Barocc. γενέcθαι H Vrat. d. — 201 ὁππότέ A. τῖc C. μετὰ παυcωλὴ AL Vrat. A. — 202 τόcον ἐcτὶν L. εἶcιν Harl. Vat. Lips. ἐνι D. ἐμοῖcι ACDE Syr. — 203 ἐδάμαcεν E. — 204 ὅτέ οἱ CGL. — 205 βροτὺν L Lips. ἦτ' D. ἔγωγε libri. — 206 πολεμίζειν E Syr. Lips. Townl. Frgm. Mosc — 208 τεύξαcθαι Cant. Barocc. Mor. Harl. Ven. B. Flor. τεύξ^{α}εcθαι A. — 209 κατα CH. ἰείη DH ex corr. L Townl. Frgm. Mosc. ἱείη AEG Et. Mg. 467, 44 et olim vulgo. ἰῆναι C. ἵειν H 1. man. — 210 τεθνηῶτοc AH Vrat. A. τεθνηῶτοc L. τεθνειῶτοc CDEG Syr.

A. c. 194 ἐνεικέμεν Schol. V. — 205 ὀτρύνετον tuetur Schol. B ὑμεῖc: πρὸc Ὀδυccέα καὶ Ἀγαμέμνονα. mallem ὀτρύνετε. — 208 quid sibi velit Schol. V οἱ δὲ γράφουcι μετα, μετὰ τὸ νικῆcαι non liquet. Heynius putavit fuisse qui μετὰ pro μέγα scriberent. fortasse referendum est ad vs. 201 μετὰ παυcωλὴ πολέμοιο γένηται, conf. B 386 οὐ γὰρ παυcωλή γε μετέccεται. — 209 ἰείη, conf. Hesych. ἰείη· πορεύοιτο διὰ ψιλῆc. Schol. V ἰείη ψιλῶc· καὶ παράκειται τὸ ἰέναι ἀπαρέμφατον. Et. Mg. 467, 44 κατὰ λαιμὸν ἰείη (sic): ὡc ἀπὸ τοῦ τίθημι τιθείη, οὕτωc ἀπὸ τοῦ ἵημι ἰείη τὸ ἀπιέναι.

ὅϲ μοι ἐνὶ κλιϲίῃ δεδαϊγμένοϲ ὀξέϊ χαλκῷ
κεῖται, ἀνὰ πρόθυρον τετραμμένοϲ, ἀμφὶ δ' ἑταῖροι
μύρονται· τό μοι οὔ τι μετὰ φρεϲὶ ταῦτα μέμηλεν,
ἀλλὰ φόνοϲ τε καὶ αἷμα καὶ ἀργαλέοϲ ϲτόνοϲ ἀνδρῶν.
τὸν δ' ἀπαμειβόμενοϲ προϲέφη πολύμητιϲ Ὀδυϲϲεύϲ·
ὦ Ἀχιλεῦ, Πηλέοϲ υἱέ, μέγα φέρτατ' Ἀχαιῶν,
κρείϲϲων εἰϲ ἐμέθεν καὶ φέρτεροϲ οὐκ ὀλίγον περ
ἔγχει, ἐγὼ δέ κε ϲεῖο νοήματί γε προβαλοίμην
πολλόν, ἐπεὶ πρότεροϲ γενόμην καὶ πλείονα οἶδα.
τῶ τοι ἐπιτλήτω κραδίη μύθοιϲιν ἐμοῖϲιν.
αἶψά τε φυλόπιδοϲ πέλεται κόροϲ ἀνθρώποιϲιν,
ἧϲ τε πλείϲτην μὲν καλάμην χθονὶ χαλκὸϲ ἔχευεν,
ἄμητοϲ δ' ὀλίγιϲτοϲ, ἐπὴν κλίνῃϲι τάλαντα
Ζεύϲ, ὅϲ τ' ἀνθρώπων ταμίηϲ πολέμοιο τέτυκται.
γαϲτέρι δ' οὔ πωϲ ἔϲτι νέκυν πενθῆϲαι Ἀχαιούϲ·
λίην γὰρ πολλοὶ καὶ ἐπήτριμοι ἤματα πάντα
πίπτουϲιν· πότε κέν τιϲ ἀναπνεύϲειε πόνοιο;
ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν, ὅϲ κε θάνῃϲι,
νηλέα θυμὸν ἔχονταϲ, ἐπ' ἤματι δακρύϲανταϲ·
ὅϲϲοι δ' ἂν πολέμοιο περὶ ϲτυγεροῖο λίπωνται,
μεμνῆϲθαι πόϲιοϲ καὶ ἐδητύοϲ, ὄφρ' ἔτι μᾶλλον
ἀνδράϲι δυϲμενέεϲϲι μαχώμεθα νωλεμὲϲ αἰεί,
ἑϲϲάμενοι χροῒ χαλκὸν ἀτειρέα. μὴ δέ τιϲ ἄλλην
λαῶν ὀτρυντὺν ποτιδέγμενοϲ ἰϲχαναάϲθω·

V. L. 211 ἐνι D. ΚΛΙϹΙΗΙϹ Syr. αἴθοπι χαλκῶι D. — 212 ἀνα D. προθύροιϲι S Cant. ἀμφι D. — 213 τῷ μοι Cant. Vat. οὔ τοι G. μετα D. — 214 φόνοϲ: πόνοϲ L Harl. — 216 ἀχϊλλεῦ H. πηλέοϲ ACLS Cant. Vat. Ven. B. Frgm. Mosc. Vrat. b. A. πηλέωϲ DEGH Syr. πηλέωϲ υἱὲ μέγα κῦδοϲ Ἀχαιῶν Plutarchus de Aud. poët. 13. μέγα φίλτατ' Vrat. d. — 217 εἶϲ CD: vulgo εἰϲ, ita AEGHL. φέρτατοϲ Barocc. Flor. — 218 γε Syr. Harl. Lips. Townl. Vrat. A. Bachm. Anecd. II, 30, 22. κε CH Ven. B. Vat. Frgm. Mosc. Vrat. d. κεν ADEGS Flor. Rom. Schol. N 355. — 220 τῶ CHL. τῷ AEG. τώ D. ΤΩ Syr. — 221 αἶψά τε: καὶ δὴ Rhet. Gr. III, 235, 11. ΑΪΨΑΔΕ Syr. ΑΝΘΡΩΠΟΙϹΙ Syr. — 223 ὀλιγοϲτὸϲ H. — 225 ἐϲτὶ ACDGHL. — 226 πολλοί τε καὶ L Lips. ἥματα D. — 227 ΠΙΠΤΟΥϹΙ Syr. πίπτουϲι E. — 228 κατθάπτειν S Townl. θάνηϲι ACDGH Syr. Stob. Floril. 123, 8. — 229 ἥματι D. ἤμαϲι L. δακρύϲεν-ταϲ G. — 230 περι AC Syr. — 231 ἐδυτῆοϲ L. ἐδιωδῆϲ Vrat. A. — 232 νηλεὲϲ αἰεὶ D. — 233 ἐϲϲάμενοι D. μὴ δέ ACGL. τιϲ: τι A. — 234 ὀτρῦν-τὴν C Vrat. A.

A. c. 218 προβαλοίμην, πολλὸν ἐπεὶ Aristocles, aequalis Strabonis cf. XIV, 655.

ἧδε γὰρ ὀτρυντὺϲ κακὸν ἔϲϲεται, ὅϲ κε λίπηται
νηυϲὶν ἐπ' Ἀργείων· ἀλλ' ἀθρόοι ὁρμηθέντεϲ
Τρωϲὶν ἐφ' ἱπποδάμοιϲιν ἐγείρομεν ὀξὺν ἄρηα.
ἦ, καὶ Νέϲτοροϲ υἷαϲ ὀπάϲϲατο κυδαλίμοιο,
Φυλεΐδην τε Μέγητα Θόαντά τε Μηριόνην τε
καὶ Κρειοντιάδην Λυκομήδεα καὶ Μελάνιππον.
βὰν δ' ἴμεν ἐϲ κλιϲίην Ἀγαμέμνονοϲ Ἀτρεΐδαο.
αὐτίκ' ἔπειθ' ἅμα μῦθοϲ ἔην, τετέλεϲτο δὲ ἔργον·
ἑπτὰ μὲν ἐκ κλιϲίηϲ τρίποδαϲ φέρον, οὕϲ οἱ ὑπέϲτη,
αἴθωναϲ δὲ λέβηταϲ ἐείκοϲι, δώδεκα δ' ἵππουϲ·
ἐκ δ' ἄγον αἶψα γυναῖκαϲ ἀμύμονα ἔργα ἰδυίαϲ
ἕπτ', ἀτὰρ ὀγδοάτην Βριϲηΐδα καλλιπάρῃον.
χρυϲοῦ δὲ ϲτήϲαϲ Ὀδυϲεὺϲ δέκα πάντα τάλαντα
ἦρχ', ἅμα δ' ἄλλοι δῶρα φέρον κούρητεϲ Ἀχαιῶν·
καὶ τὰ μὲν ἐν μέϲϲῃ ἀγορῇ θέϲαν, ἂν δ' Ἀγαμέμνων
ἵϲτατο· Ταλθύβιοϲ δὲ θεῷ ἐναλίγκιοϲ αὐδὴν
κάπρον ἔχων ἐν χερϲὶ παρίϲτατο ποιμένι λαῶν.
Ἀτρεΐδηϲ δὲ ἐρυϲϲάμενοϲ χείρεϲϲι μάχαιραν,
ἥ οἱ πὰρ ξίφεοϲ μέγα κουλεὸν αἰὲν ἄωρτο,

V. L. 235 ἧδε D: vulgo ἥδε. ἔϲϲεται: ἕϲπεται Vrat. A. ὅϲ κεν D. — 236 νηυϲὶ παρ' CL Barocc. Harl. Mor. ὁρμηϲθέντεϲ Lips. — 237 τρῳ-ϲὶν L. ἐφιπποδάμοιϲιν D. — 239 τε μέγην τε Vat. καὶ μελάνιππον C pro μηριόνην τε. — 240 omitt. C. — 242 αὐτίκ' ἔπειτά γε μῦθοϲ Plutarchus de Se ipsum citra inv. laud. 19. μῦθον (ϲ) H. — 243 ἐϲ κλιϲίην Vrat. d ΟϹΟΙΫΠΕϹΤ. Syr. — 244 αἴθοναϲ A. — 245 ἀμύμονα ACH sup. LS Syr. Cant. Mor. Townl. 1. man. Frgm. Mosc. ἀμύμοναϲ DGH 1. man. et pars librorum Heynii. ἔργ' εἰδυίαϲ ACDGHL Syr. et olim vulgo. — 247 ὀδυϲϲεὺϲ DEH Syr. Flor. Rom. — 248 ἄλλα L. δῶρα omitt. L Lips. ἀχαιοὶ Vrat. d. — 249 ἀν δ' ACDHL. ἐν δ' Barocc. — 250 αὐδὴν: ἄν-την Townl. — 251 χερϲὶ GL Lips. Athenaeus XIV, 660: χειρὶ CDHS Syr. Cant. Mor. Vat. Vrat. b. d. A. Frgm. Mosc. Flor. ἐγχειρὶ A. — 252 ἐρυϲάμενοϲ Lips. ξίφεϲϲι μάχαιραν D. — 253 παρ H. μέγαν κολεὸν L. μέγαν E. ἄωρτο ACEHS Syr. Cant. Barocc. Mor. Townl. Vat. Frgm. Mosc. Vrat. b. d. A. ἄορτο DGL. Lips. Flor.

A. c. 239 Μέγητα: Μέγην τε Zenodotus, conf. Schol. Κ 175. Ν 692. — 245 ἀμύμοναϲ Aristarchus teste Didymo ad Ι 128. ὅτι ἐντεῦθεν πλανηθεὶϲ Ζηνόδοτοϲ ϲυναριθμεῖϲθαι ἐν ταῖϲ ἑπτὰ καὶ τὴν Βριϲηΐδα ἔδοξε. καὶ ἐν ἄλλοιϲ γράφει „ἐκ δ' ἄγεν ἑπτὰ (sic) γυναῖκαϲ ἀμύμονα ἔργ' εἰδυίαϲ, ἕξ, ἀτὰρ ἑβδομάτην Βριϲηΐδα καλλίπαρηον“ Aristonicus ad Ι 131. — 246 ὅτι Ζηνόδοτοϲ ἐλέγχεται γράφων „ἕξ, ἀτὰρ ἑβδομάτην Βριϲηΐδα“. χωρὶϲ γάρ εἰϲιν αἱ ἑπτά Aristonicus ad Ι 638. conf. Schol. V ad Τ 246.

κάπρου ἀπὸ τρίχαϲ ἀρξάμενοϲ, Διὶ χεῖραϲ ἀναϲχὼν
εὔχετο· τοὶ δ' ἄρα πάντεϲ ἐπ' αὐτόφιν εἵατο ϲιγῇ
Ἀργεῖοι κατὰ μοῖραν, ἀκούοντεϲ βαϲιλῆοϲ.
εὐξάμενοϲ δ' ἄρα εἶπεν ἰδὼν εἰϲ οὐρανὸν εὐρύν·
ἴϲτω νῦν Ζεὺϲ πρῶτα, θεῶν ὕπατοϲ καὶ ἄριϲτοϲ,
γῆ τε καὶ ἠέλιοϲ καὶ ἐρινύεϲ, αἵ θ' ὑπὸ γαῖαν
ἀνθρώπουϲ τίνυνται, ὅτιϲ κ' ἐπίορκον ὀμόϲϲῃ,
μὴ μὲν ἐγὼ κούρῃ Βριϲηίδι χεῖρ' ἐπένεικα,
οὔτ' εὐνῆϲ πρόφαϲιν κεχρημένοϲ οὔτέ τευ ἄλλου·
ἀλλ' ἔμεν' ἀπροτίμαϲτοϲ ἐνὶ κλιϲίῃϲιν ἐμῇϲιν.
εἰ δέ τι τῶνδ' ἐπίορκον, ἐμοὶ θεοὶ ἄλγεα δοῖεν
πολλὰ μάλ', ὅϲϲα διδοῦϲιν ὅ τέ ϲφ' ἀλίτηται ὀμόϲϲαϲ.
ἦ, καὶ ἀπὸ ϲτόμαχον κάπρου τάμε νηλέι χαλκῷ·
τὸν μὲν Ταλθύβιοϲ πολιῆϲ ἁλὸϲ ἐϲ μέγα λαῖτμα
ῥῖψ' ἐπιδινήϲαϲ, βόϲιν ἰχθύϲιν· αὐτὰρ Ἀχιλλεὺϲ

V. l. 254 ἀπο CGH. — 255 οἱ δ' E. ΑΜΑΠΑΝΤΕϹ Syr. ἅμα πάντεϲ Vrat. d. ὑπ' αὐτόφιν HL Lips. Vat. αὐτόφι ϲιγῆι εἵατο D. εἴατο CL. — 256 κατα CD. — 259 ἐρινύεϲ AHL 1. man. (?) Townl. Frgm. Mosc. ἐριννύεϲ CDEGL ex corr. Syr. Schol. Θ 1. ὑπὸ γαίηι C. — 260 τίνονται H. τίνωνται Harl. Vat. τίννυνται edd. vett. Et. Gud. 654, 6. ὅϲτιϲ CGL Lips. Eust. 1183, 35. Et Gud. 654, 6. ὅϲ τῖϲ H. κ' omitt. L Lips. Eust. 1183, 35. ὀμόϲϲει Eust. 1183, 35. ὀμόϲει 1183, 36. — 261 ἐπένεικα DH. ἐπενείκαι L. vulgo ἐπενεῖκαι cum ACEGS Syr. Lips. Harl. Townl. Frgm. Mosc. Vrat. b. Flor. Rom. Et. Mg. 586, 26. Et. Gud. 390, 26. Eust. 1317, 6. Cram. Ep. 269, 26. ἐπενεγκεῖν Eust 809, 22. — 262 οὔτ': εἴτ' ἢ οὔτ' Eust. οὔτέ τευ ACDE 1183, 34 GL. ΟΥΤΕΤΕΥ Syr. οὔτϊ τευ H. εἴ τε ἢ οὔτέ Eust. 1183, 25. — 263 ἐνι D. ΕΜΗΙϹΙ Syr. ἐνὶ μεγάροιϲιν ἐμοῖϲιν Et. Gud. 94, 45. 621, 45. ἐνὶ μεγάροιϲ Et. Mg. 133, 4. — 264 δ' ἔτι D. ἐμοὶ θεὸϲ ἄλγεα δοίη et in versu seq. δίδωϲιν Eust. suo more, addit enim ἀλλ' Ὅμηροϲ πληθυντικῶϲ γράφει θεοὶ ἄλγεα δοῖεν ὅϲϲα διδοῦϲι — 265 * ὅ τέ ϲφ': ὅτι ϲφ' CL 1. man. Townl. ὅϲτιϲ ϲφ' AG Flor. ὅϲ τῖϲ ϲφ' H. ΔΙΔΟΥϹΙΝΑΤΙϹΦ Syr. ceteri ὅτιϲ ϲφ'. ὀμόϲαϲ Lips. Flor. — 266 ἀπο HL. ἀπὸ ϲφάραγον Pausanias V, 24, 11. — 268 ῥῖψ' AE Pausanias: ῥίψ' CDGHL Bachm. Anecd. II, 94, 14. ἴχθῦϲϊν C. ἀχϊλεὺϲ C.

A. c. 261 ἐπένεικα restitui ex libris duobus, conf. O 41 μὴ δι' ἐμὴν ἰότητα Ποϲειδάων ἐνοϲίχθων πημαίνει Τρῶαϲ, qui locus nostro est simillimus. K 330 μὴ μὲν τοῖϲ ἵπποιϲιν ἀνὴρ ἐποχήϲεται ἄλλοϲ. ἐπενεῖκα (sic) editores a Stephano usque ad Ernestium: vitiosam scripturam μὴ ἐγὼ ἐπενεῖκαι primus revocavit Heynius ex edd. Flor. Rom. et libris mss. — 265 ὅ τέ ϲφ', quae genuina lectio videtur esse, ad quam proxime accedit scriptura trium librorum ὅτι ϲφ', restitui ut μ 40. π 228. υ 188. χ 415. ψ 66, ubi scripturae ὅ τέ ϲφεαϲ auctor est Charax apud Bekk. An. 1154, variantibus pariter libris inter ὅτι ὅτιϲ ὅϲτιϲ conf. H. T. 413.

ἀνϲτὰϲ Ἀργείοιϲι φιλοπτολέμοιϲι μετηύδα·
Ζεῦ πάτερ, ἦ μεγάλαϲ ἄταϲ ἄνδρεϲϲι διδοῖϲθα.
οὐκ ἂν δή ποτε θυμὸν ἐνὶ ϲτήθεϲϲιν ἐμοῖϲιν
Ἀτρείδηϲ ὤρινε διαμπερέϲ, οὐδέ κε κούρην
ἦγεν ἐμεῦ ἀέκοντοϲ ἀμήχανοϲ· ἀλλά ποθι Ζεὺϲ
ἤθελ' Ἀχαιοῖϲιν θάνατον πολέεϲϲι γενέϲθαι.
νῦν δ' ἔρχεϲθ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν ἄρηα.
ὣϲ ἄρ' ἐφώνηϲεν, λῦϲεν δ' ἀγορὴν αἰψηρήν.
οἳ μὲν ἄρ' ἐϲκίδναντο ἑὴν ἐπὶ νῆα ἕκαϲτοϲ,
δῶρα δὲ Μυρμιδόνεϲ μεγαλήτορεϲ ἀμφεπένοντο,
βὰν δ' ἐπὶ νῆα φέροντεϲ Ἀχιλλῆοϲ θείοιο·
καὶ τὰ μὲν ἐν κλιϲίῃϲι θέϲαν, κάθιϲαν δὲ γυναῖκαϲ,
ἵππουϲ δ' εἰϲ ἀγέλην ἔλαϲαν θεράποντεϲ ἀγαυοί.
Βριϲηὶϲ δ' ἄρ' ἔπειτ', ἰκέλη χρυϲέῃ Ἀφροδίτῃ,
ὡϲ ἴδε Πάτροκλον δεδαϊγμένον ὀξέι χαλκῷ,
ἀμφ' αὐτῷ χυμένη λίγ' ἐκώκυε, χερϲὶ δ' ἄμυϲϲε
ϲτήθεά τ' ἠδ' ἁπαλὴν δειρὴν ἰδὲ καλὰ πρόϲωπα.
εἶπε δ' ἄρα κλαίουϲα γυνὴ ἐικυῖα θεῇϲι·
Πάτροκλέ μοι δειλῇ πλεῖϲτον κεχαριϲμένε θυμῷ,
ζωὸν μέν ϲε ἔλειπον ἐγὼ κλιϲίηθεν ἰοῦϲα,

V. l. 269 ἀναϲτὰϲ C. φιλοπολέμοιϲι Lips. — 270 ἄνδρεϲι Lips. δίδοιϲθα CDLS Vrat d. A. Flor. — 271 ἐνι D. — 272 ἀτρείδηϲ ὤτρυνε C. — 273 ἄκοντοϲ Lips. Vrat. A. — 274 ἀχαιοῖϲι DE Lips. — 276 ἂρ DGH. λύϲεν D. λῦϲε Schol. Θ 399 λῦϲαν Suidas I, 2, 70, 13. II, 2, 1051, 10. λύϲαν Zonar. Lex. 86. Apoll. Soph. 17. 20. Cram. An. Par. IV, 101, 18. libri praeter D λῦϲεν cum Hesych. I, 90. Apoll. Soph. 150, 8. Bachm. Anecd. II, 51, 16. Schol. θ 38. λαιψηραν D. λαιψηρὴν Vrat. d. ceteri αἰψηρήν cum Apoll. Soph. 17. 20. 150, 8. Suid. I, 2, 70, 13. II, 2, 1051, 10. Hesych. I, 90. Schol. Δ 182. Θ 399. θ 38. Zonar. 86. Cram. An. Par. IV, 101, 18. Bachm. Anecd. II, 51, 16. — 277 οἳ μὲν C. ἂρ ADGH. ἄρα ϲκίδναντο L. ἐϲκίδνοντο G. — 278 δῷρα G. — 279 βᾶν δ' ἐπι D. ἀχϊλῆοϲ C. — 280 κάθεϲαν L Lips. — 282 ἂρ ADGHL. ἔπειθ' HLS Flor. Rom. ἄρ' ἔθ' Lips. ἱκέλη AGHLS edd. vett. χρυϲῇ ACDEGHL et Heynii libri. — 284 λίγα κώκυε L. ἄμυϲϲε ACDEGHL. — 286 θέηϲι ACEGH. — 287 πάτροκλέ μοι libri cum Apoll. de Pron. 67, C. Bekk. An. 633, 24. 827, 5. 828, 19. 1153. Drac. de Metr. 5, 24. 152, 1. Eust. 1278, 16. πάντων κεχαριϲμένε H Vrat. d. — 288 ϲε ἔλειπον CEG: ϲ' ἔλιπον A Townl. Lips. Vrat. d. A. Schol. Soph. El. 1127. ϲε ἔλιπον DHLS.

A. c. 276 αἰψηρήν Aristarchus testibus Hesychio I, 90 et Apoll. Soph. 17, 20. vide adn. ad β 257. — 288 ϲε ἔλειπον: Bothius, qui in hiatu insuaviore offendit, in peius mutavit ϲ' ἔλλειπον, quod idem est ac ἐνέλειπον. hiatum in hac sede iustum esse confirmatur his exemplis:

νῦν δέ ϲε τεθνηῶτα κιχάνομαι, ὄρχαμε λαῶν,
ἄψ ἀνιοῦϲ᾽· ὥϲ μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί.
ἄνδρα μέν, ᾧ ἔδοϲάν με πατὴρ καὶ πότνια μήτηρ,
εἶδον πρὸ πτόλιοϲ δεδαϊγμένον ὀξέι χαλκῷ,
τρεῖϲ τε καϲιγνήτουϲ, τούϲ μοι μία γείνατο μήτηρ,
κηδείουϲ, οἳ πάντεϲ ὀλέθριον ἦμαρ ἐπέϲπον.
οὐδὲ μὲν οὐδέ μ᾽ ἔαϲκεϲ, ὅτ᾽ ἄνδρ᾽ ἐμὸν ὠκὺϲ Ἀχιλλεὺϲ
ἔκτεινεν, πέρϲεν δὲ πόλιν θείοιο Μύνητοϲ,
κλαίειν, ἀλλά μ᾽ ἔφαϲκεϲ Ἀχιλλῆοϲ θείοιο
κουριδίην ἄλοχον θήϲειν, ἄξειν τ᾽ ἐνὶ νηυϲὶν
ἐϲ Φθίην, δαίϲειν δὲ γάμον μετὰ Μυρμιδόνεϲϲι.
τῷ ϲ᾽ ἄμοτον κλαίω τεθνηότα μείλιχον αἰεί.
ὣϲ ἔφατο κλαίουϲ᾽, ἐπὶ δὲ ϲτενάχοντο γυναῖκεϲ,
Πάτροκλον πρόφαϲιν, ϲφῶν δ᾽ αὐτῶν κήδε᾽ ἑκάϲτη.
αὐτὸν δ᾽ ἀμφὶ γέροντεϲ Ἀχαιῶν ἠγερέθοντο
λιϲϲόμενοι δειπνῆϲαι· ὃ δ᾽ ἠρνεῖτο ϲτεναχίζων·
λίϲϲομαι, εἴ τιϲ ἐμοί γε φίλων ἐπιπείθεθ᾽ ἑταίρων,
μή με πρὶν ϲίτοιο κελεύετε μηδὲ ποτῆτοϲ
ἄϲαϲθαι φίλον ἦτορ, ἐπεί μ᾽ ἄχοϲ αἰνὸν ἱκάνει.
δύντα δ᾽ ἐϲ ἠέλιον μενέω καὶ τλήϲομαι ἔμπηϲ.

V. l. 289 ϲε: τε E. τεθνηῶτα AHLS Cant. Lips. Townl. Mor. Vrat. d. τεθνειῶτα CDEG edd. vett. — 292 προ AD. πόλιοϲ G Flor. χαλκοῦ D. — 293 τοὺϲ: οὓϲ L. — 294 κηδείουϲ θ᾽ Townl. ἦμαρ D. ἐπέϲπων CHL Harl. Lips. Vrat. b. d. — 295 οὐδ᾽ ἔμ᾽ G Cram. Ep. 168, 22 et olim vulgo. correxit Heynius ex Rom. Ven. Townl. Vrat. b. A. Frgm. Mosc. quibus addo CDEHLS Strab. XIII, 584. 612. ἀχϊλεὺϲ C. — 296 πέρϲε D. — 297 ἀλλά μ᾽ ACDEHLS Cant. Mor. Vat. Townl. Vrat. b. A. Rom. ἀλλ᾽ ἐμ᾽ G. ἀλλ᾽ ἔμ᾽ editores ante Heynium. ἀχϊλῆοϲ C. — 298 ἄξειν δ᾽ DGHS. ἐπὶ νηυϲὶν Barocc. — 299 μυρμιδόνεϲϲι ACEH. — 300 τῶ CDGHL. τῷ AE τεθνηότα AH. τεθνειότα CG Townl. τεθνηῶτα L Lips. τεθνειῶτα DE Vrat. A. τεθνηκότα Cant. — 301 ἐπϊ CD. δὲ ϲτενάχοντο ADE 1186, 42 GLS: δ᾽ ἐϲτενάχοντο CE 1185, 34 H Lips. Vrat. d. A. — 303 ἀμφι DGH. — 304 ὃ δ᾽ D Et. Gud. 652, 53. ὅδ᾽ AC GHL. ϲτοναχίζων L Mor. Bachm. An. II, 84, 21. — 305 εἴ τίϲ μοι L. εἴ τϊϲ ἐμεῖο H Vrat. d. εἴ τιϲ ἐμοὶ Lips. — 306 habet H in marg. man. rec. μήτε πρὶν L. μὴ δὲ ACDGHL. — 307 φῖλον G. — 308 δῦντα C.

A. c. βάϲκ᾽ ἴθι οὖλε ὄνειρε Β 8. ἦ τοιόϲδε ἐὼν Γ 46. χειρὸϲ ἑλοῦϲα ἀτὰρ Δ 542. δὸϲ δέ τέ μ᾽ ἄνδρα ἑλεῖν Ε 118. Ἴλιον αἰπὺ ἕλοιεν Ο 71 (?). θῆκε γυναῖκα ἄγεϲθαι Ψ 263. ἵπποι δ᾽ αὖτε ἔαϲι Ψ 480. οἳ δ᾽ εἰϲ ἄϲτυ ἔλων Ω 696. τίϲ δαίϲ, τίϲ δὲ ὅμιλοϲ α 225 (?). ὀψά τε οἷα ἔδουϲι γ 480. οὐ μέν ϲ᾽ οὐδὲ ἐῶϲι δ 805. ἀμφ᾽ Ὀδυϲῆι ἐμεῖο ε 287. ἧϲθαι μηδὲ ἐᾶν κ 536. ἐντύνοντο ἄριϲτον π 2. τὸν ξεῖνον δὲ ἐῶμεν ϲ 420. ἔνθ᾽ Ὀδυϲῆα ἐγών τ 185. Ζεῦ πάτερ ἦ ῥα ἔτ᾽ ἐϲτὲ ω 351.

ὣϲ εἰπὼν ἄλλουϲ μὲν ἀπεϲκέδαϲεν βαϲιλῆαϲ,
δοιὼ δ᾽ Ἀτρείδα μενέτην καὶ δῖοϲ Ὀδυϲϲεύϲ,
Νέϲτωρ Ἰδομενεύϲ τε γέρων θ᾽ ἱππηλάτα Φοῖνιξ,
τέρποντεϲ πυκινῶϲ ἀκαχήμενον· οὐδέ τι θυμῷ
τέρπετο, πρὶν πολέμου ϲτόμα δύμεναι αἱματόεντοϲ.
μνηϲάμενοϲ δ᾽ ἁδινῶϲ ἀνενείκατο φώνηϲέν τε·
ἦ ῥά νύ μοί ποτε καὶ ϲὺ δυϲάμμορε, φίλταθ᾽ ἑταίρων,
αὐτὸϲ ἐνὶ κλιϲίῃ λαρὸν παρὰ δεῖπνον ἔθηκαϲ
αἶψα καὶ ὀτραλέωϲ, ὁπότε ϲπερχοίατ᾽ Ἀχαιοὶ
Τρωϲὶν ἐφ᾽ ἱπποδάμοιϲι φέρειν πολύδακρυν ἄρηα.
νῦν δὲ ϲὺ μὲν κεῖϲαι δεδαϊγμένοϲ, αὐτὰρ ἐμὸν κῆρ
ἄκμηνον πόϲιοϲ καὶ ἐδητύοϲ, ἔνδον ἐόντων,
ϲῇ ποθῇ. οὐ μὲν γάρ τι κακώτερον ἄλλο πάθοιμι,
οὐδ᾽ εἴ κεν τοῦ πατρὸϲ ἀποφθιμένοιο πυθοίμην,
ὅϲ που νῦν Φθίηφι τέρεν κατὰ δάκρυον εἴβει
χήτει τοιοῦδ᾽ υἷοϲ· ὃ δ᾽ ἀλλοδαπῷ ἐνὶ δήμῳ
εἵνεκα ῥιγεδανῆϲ Ἑλένηϲ Τρωϲὶν πολεμίζω·
ἠὲ τόν, ὃϲ Ϲκύρῳ μοι ἔνι τρέφεται φίλοϲ υἱόϲ,
εἴ που ἔτι ζώει γε Νεοπτόλεμοϲ θεοειδήϲ.
πρὶν μὲν γάρ μοι θυμὸϲ ἐνὶ ϲτήθεϲϲιν ἐώλπει
οἶον ἐμὲ φθίϲεϲθαι ἀπ᾽ Ἄργεοϲ ἱπποβότοιο
αὐτοῦ ἐνὶ Τροίῃ, ϲὲ δέ τε Φθίην δὲ νέεϲθαι,
ὡϲ ἄν μοι τὸν παῖδα θοῇ ϲὺν νηὶ μελαίνῃ
Ϲκυρόθεν ἐξαγάγοιϲ καί οἱ δείξειαϲ ἕκαϲτα,

V. l. 310 δύω A. ἀτρείδα ACELS Harl. Cant. Mor. Lips. Townl. Frgm. Mosc. Ven. B. Vrat. b. A. ἀτρείδαι G. ἀτρεῖδαι DH et olim vulgo. — 311 νέϲτωρ τ᾽ Harl. — 312 τέρπονται D. οὐδ᾽ ὅγε θυμῷ L. — 314 ἀνενήγκατο Zon. Lex. 216. ἀνενήκατο Apoll. Soph. 34, 28. — 315 ῥα G. μοι ποτὲ ADGHL. — 316 ἐνι D. ἐν A. ἐνὶ κλιϲίῃϲι et γρ. ἐνὶ κλιϲίῃ Eust. 1186, 49. παρα CGH. — 318 τρῳϲὶν L. — 319 ἐμοὶ κῆρ Townl. — 321 τι omitt. D. κακότερον D. — 322 πϊθοίμην C. πυθοίμϊν G. — 323 φθίῃφι CE. κατα CDGHL. — 324 χήτει ACDE 1186. 24; 61; 63 GHL Vrat. A. Flor. Rom. conf. Ζ 463. ὃ δ᾽ D. ὅδ᾽ ACGHL. ἐνι D. — 325 τρωϲὶ DEH Vat. πτολεμίζω H Vat. — 326 ἔνι A Cant. Mor. Vat. Vrat. d. Bachm. Anecd. II, 160, 9. ἐνὶ H. ἐνιτρέφεται CDEGL Lips. edd. vett. — 327 ζῴη C. ζώῃ Townl. νεοπτόλεμοϲ A (abhinc 1. man.). — 328 μὲν omitt. H. ἐνι AD. — 329 ἄπ᾽ H. — 330 ἐνι AD. ἐν S. ϲὲ δέ τι Rom. φθίην δὲ ADG. — 331 ἐνινηῖ A: ceteri ϲὺν νηῖ. γρ. ϲυννηῖ A. conf. α 182. γ 61. 302. 323. κ 332. ω 152. 427.

A. c. 327 καὶ Ἀριϲτοφάνηϲ προηθέτει τὸν ϲτίχον. ὥϲ φηϲι Καλλίϲτρατοϲ. τεκμήριον δὲ τῆϲ διαϲκευῆϲ τὸ καὶ ἑτέρωϲ φέρεϲθαι τὸν ϲτίχον „εἴ που ἔτι ζώει γε Πυρῆϲ ἐμὸϲ ὃν κατέλειπον“ Didymus.

κτῆϲιν ἐμὴν δμῳάϲ τε καὶ ὑψερεφὲϲ μέγα δῶμα.
ἤδη γὰρ Πηλῆά γ' ὀίομαι ἢ κατὰ πάμπαν
τεθνάμεν, ἤ που τυτθὸν ἔτι ζώοντ' ἀκάχηϲθαι
γήραΐ τε ϲτυγερῷ, καὶ ἐμὴν ποτιδέγμενον αἰεὶ
λυγρὴν ἀγγελίην, ὅτ' ἀποφθιμένοιο πύθηται.
ὣϲ ἔφατο κλαίων, ἐπὶ δὲ ϲτενάχοντο γέροντεϲ,
μνηϲάμενοι τὰ ἕκαϲτοϲ ἐνὶ μεγάροιϲιν ἔλειπον.
μυρομένουϲ δ' ἄρα τούϲ γε ἰδὼν ἐλέηϲε Κρονίων,
αἶψα δ' Ἀθηναίην ἔπεα πτερόεντα προϲηύδα·
τέκνον ἐμόν, δὴ πάμπαν ἀποίχεαι ἀνδρὸϲ ἑῆοϲ.
ἦ νύ τοι οὐκέτι πάγχυ μετὰ φρεϲὶ μέμβλετ' Ἀχιλλεύϲ;
κεῖνοϲ ὅ γε προπάροιθε νεῶν ὀρθοκραιράων
ἧϲται ὀδυρόμενοϲ ἕταρον φίλον· οἱ δὲ δὴ ἄλλοι
οἴχονται μετὰ δεῖπνον, ὃ δ' ἄκμηνοϲ καὶ ἄπαϲτοϲ.
ἀλλ' ἴθι οἱ νέκτάρ τε καὶ ἀμβροϲίην ἐρατεινὴν
ϲτάξον ἐνὶ ϲτήθεϲϲ', ἵνα μή μιν λιμὸϲ ἵκηται.
ὣϲ εἰπὼν ὤτρυνε πάροϲ μεμαυῖαν Ἀθήνην·
ἣ δ' ἅρπῃ ἐικυῖα τανυπτέρυγι λιγυφώνῳ
οὐρανοῦ ἐκκατέπαλτο δι' αἰθέροϲ. αὐτὰρ Ἀχαιοὶ
αὐτίκα θωρήϲϲοντο κατὰ ϲτρατόν· ἣ δ' Ἀχιλῆι
νέκταρ ἐνὶ ϲτήθεϲϲι καὶ ἀμβροϲίην ἐρατεινὴν
ϲτάξ', ἵνα μή μιν λιμὸϲ ἀτερπὴϲ γούναθ' ἵκηται,

V. L. 333 ὑψηρεφὲϲ C 1. man. DG. ὑψιρεφὲϲ C ex corr. L Lips. — 334 κατα DH. — 335 τεθνάναι et ἀκαχεῖϲθαι Vrat. A. — 336 λυγρῷ Eust. 1186, 39; sed 1187, 37 et 38 ϲτυγερῷ. προτιδέγμενον D Syr. — 337 πύθηται ACDEL Syr. Cant. Mor Barocc. Harl. Lips. Vat. Townl. Frgm. Mosc. Vrat. b. A. Rom. πύθοιτο GH et editores ante Heynium. — 338 ὡϲ A. ἐπι ACDH. δ' ἐϲτενάχοντο CH Vrat. A. — 339 μνηϲάμενοϲ C. ἐνι AD. ἐνῖμμεγάροιϲϊν H. ἔλειπον E Rom. ἔλειπε ACS Syr. Cant. Lips. Frgm. Mosc. ἔλιπεν DG. ceteri ἔλειπεν. — 341 προϲηῦδα D. — 342 ἑῆοϲ ACEGHL. vulgo ἑῆοϲ, ita Zonar. Lex. 620. — 343 ἠ A. οὐκ ἔτι AH. μετα AH. ἀχϊλεύϲ C. — 344 ὀρθοκραιράων A. — 345 ἧϲτο L. — 346 μετα ADH. ὃ δ' D. ὅδ' CHL. — 348 ἐνι AD. — 349 ὡϲ A. — 350 ἥδ' CGHL. ἅρπη H. τανϋπτέρῦγϊ H. λυγιφώνῳ E. — 351 ἐκ κατέπαλτο ACDEGHL Schol. A 497. conf. Δ 508. Η 21. recentiores nonnulli ἒκ κατέπαλτο. — 352 κατα A. ἥδ' GHL. ἡδ' C. — 353 ἐνι D. — 354 ἵκηται libri omnes: editores post Wolfium ἵκοιτο. de coniunctivo conf. H. U. 292. Ι 98. Ν 649. Υ 126. 185. Β 3. Ι 494. 690. Ο 23. 598. Π 650. Ϲ 190. Χ 282.

A. c. 333 οὕτωϲ ἀρίϲταρχοϲ δμῶαϲ ἔξω τοῦ ῑ Didymus. — 335 ἀκάχηϲθαι: ἀκαχῆϲθαι Ptolem. Ascalonita, cf. Schol. δ 806. — 342 ἑῆοϲ: ἑοῖο Zenodotus.

αὐτὴ δὲ πρὸϲ πατρὸϲ ἐριϲθενέοϲ πυκινὸν δῶ
ᾤχετο. τοὶ δ' ἀπάνευθε νεῶν ἐχέοντο θοάων.
ὡϲ δ' ὅτε ταρφειαὶ νιφάδεϲ Διὸϲ ἐκποτέονται,
ψυχραί, ὑπὸ ῥιπῆϲ αἰθρηγενέοϲ βορέαο,
ὣϲ τότε ταρφειαὶ κόρυθεϲ λαμπρὸν γανόωϲαι
νηῶν ἐκφορέοντο καὶ ἀϲπίδεϲ ὀμφαλόεϲϲαι
θώρηκέϲ τε κραταιγύαλοι καὶ μείλινα δοῦρα.
αἴγλη δ' οὐρανὸν ἷκε, γέλαϲϲε δὲ πᾶϲα περὶ χθὼν
χαλκοῦ ὑπὸ ϲτεροπῆϲ· ὑπὸ δὲ κτύποϲ ὤρνυτο ποϲϲὶν
ἀνδρῶν· ἐν δὲ μέϲοιϲι κορύϲϲετο δῖοϲ Ἀχιλλεύϲ.
τοῦ καὶ ὀδόντων μὲν καναχὴ πέλε· τὼ δέ οἱ ὄϲϲε
λαμπέϲθην ὡϲ εἴ τε πυρὸϲ ϲέλαϲ, ἐν δέ οἱ ἦτορ
δῦν' ἄχοϲ ἄτλητον· ὃ δ' ἄρα Τρωϲὶν μενεαίνων
δύϲετο δῶρα θεοῦ, τά οἱ Ἥφαιϲτοϲ κάμε τεύχων.
κνημῖδαϲ μὲν πρῶτα περὶ κνήμηϲιν ἔθηκε
καλάϲ, ἀργυρέοιϲιν ἐπιϲφυρίοιϲ ἀραρυίαϲ·
δεύτερον αὖ θώρηκα περὶ ϲτήθεϲϲιν ἔδυνεν.
ἀμφὶ δ' ἄρ' ὤμοιϲιν βάλετο ξίφοϲ ἀργυρόηλον
χάλκεον· αὐτὰρ ἔπειτα ϲάκοϲ μέγα τε ϲτιβαρόν τε
εἵλετο, τοῦ δ' ἀπάνευθε ϲέλαϲ γένετ' ἠύτε μήνηϲ.
ὡϲ δ' ὅτ' ἂν ἐκ πόντοιο ϲέλαϲ ναύτῃϲι φανήῃ

V. L. 355 ἐν ἄλλῳ αὐτὴ (cod. αὐτῆι) δ' αὖ A. — 357 ἐκπετέονται Vrat. b. A. ἐκποτέωνται nullus. — 358 ὑπὸ Barocc. Mor. ΥΠΟ Syr. ὑπὸ ἢ ὑπαὶ E. ὑπαὶ ACGHLS et Heynii libri. ὑπαιριπῆϲ D. — 359 ὡϲ A. — 360 ἐκ νηῶν φορέοντο Lips. hic versus in L post 361 est collocatus. — 361 κραταιγύαλοι A. κραταιγῖαλοι C. μήλιναι C. post hunc insertus erat in codd. Barocc. Mor. Vrat. A. ἐκ νηῶν ἐχέοντο βοὴ δ' ἄϲβεϲτοϲ ὀρώρει. — 362 ἶκε A. ἵκε C. γέλαϲε Rhet. Gr. III, 232, 18. περι ACDEGH Syr. γέλαϲε δὲ χθὼν παμμήτωρ Schol. Theocr. I, 31. — 363 ὑπο A bis. ὑπ' ἀϲτεροπῆϲ D. ὄρνυτο A. ποϲὶν E. ποϲϲὶ H. — 364 ἀχϊλεύϲ C. — 366 ὡϲ εἴ τε AH: vulgo ὡϲείτε. ΗΤΟΡ' Syr. — 367 ὅδ' CGHL. τρῳϲὶν L. τρωϲὶ CDG Lips. Vrat. A. — 368 θεοῖο L Lips. οἱ omitt. D. — 369 κνημῖδαϲ H. πρώτιϲτα C. περι D. ἔθηκε ACDGH Syr. — 370 ἐπιϲφηρίοιϲ C ex corr. G. — 371 ἔδυνε A Syr. — 372 ἀμφι D. ἂρ DGHL. ὤμοιϲι D. — 373 μέγά τε C. — 375 ὅταν ACEGL. ΟΤΑΝ Syr. φανήῃ DH. φανήιηι A. φανήη Vrat. b. d. φανήη L Lips. Townl. ΦΑΝΗΗ Syr. φανείη CEGS et olim vulgo.

A. c. 357 Aristarchus et Ptolem. Ascalonita ταρφειαί: ταρφεῖαι Dionysius Thrax, conf. Schol. Μ 158. — 365—368 ἀθετοῦνται. ὁ δὲ Ϲιδώνιοϲ ἠθετηκέναι μὲν τὸ πρῶτόν φηϲιν αὐτοὺϲ τὸν Ἀρίϲταρχον, ὕϲτερον δὲ περιελεῖν τοὺϲ ὀβελούϲ, ποιητικὸν νομίϲαντα τὸ τοιοῦτο. ὁ μέντοι Ἀμμώνιοϲ ἐν τῷ περὶ τῆϲ ἐπεκδοθείϲηϲ διορθώϲεωϲ οὐδὲν τοιοῦτο λέγει Aristonicus. — 375 φανήῃ conf. H. T. 405.

καιομένοιο πυρός· τὸ δὲ καίεται ὑψόθ' ὄρεϲφι
ϲταθμῷ ἐν οἰοπόλῳ· τοὺϲ δ' οὐκ ἐθέλονταϲ ἄελλαι
πόντον ἐπ' ἰχθυόεντα φίλων ἀπάνευθε φέρουϲιν·
ὣϲ ἀπ' Ἀχιλλῆοϲ ϲάκεοϲ ϲέλαϲ αἰθέρ' ἵκανε
καλοῦ δαιδαλέου. περὶ δὲ τρυφάλειαν ἀείραϲ
κρατὶ θέτο βριαρήν· ἡ δ' ἀϲτὴρ ὣϲ ἀπέλαμπεν
ἵππουριϲ τρυφάλεια, περιϲϲείοντο δ' ἔθειραι
χρύϲεαι, ἃϲ Ἥφαιϲτοϲ ἵει λόφον ἀμφὶ θαμειάϲ.
πειρήθη δ' ἕο αὐτοῦ ἐν ἔντεϲι δῖοϲ Ἀχιλλεύϲ,
εἰ οἷ ἐφαρμόϲϲειε καὶ ἐντρέχοι ἀγλαὰ γυῖα·
τῷ δ' εὖτε πτερὰ γίγνετ', ἄειρε δὲ ποιμένα λαῶν.
ἐκ δ' ἄρα ϲύριγγοϲ πατρώιον ἐϲπάϲατ' ἔγχοϲ,
βριθὺ μέγα ϲτιβαρόν· τὸ μὲν οὐ δύνατ' ἄλλοϲ Ἀχαιῶν
πάλλειν, ἀλλά μιν οἶοϲ ἐπίϲτατο πῆλαι Ἀχιλλεύϲ,
Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ πόρε Χείρων
Πηλίου ἐκ κορυφῆϲ, φόνον ἔμμεναι ἡρώεϲϲιν.

V. l. 376 τόδε A. τό τε Townl. ὄρεϲφι ACDGHL Syr. — 377 οἰοπόλωι A. οὔκε θέλλονταϲ D. — 378 φέρουϲι D. φέρωϲι Vrat. d. — 379 ὑπ' S. ἀχϊλῆοϲ C Lips. ϲάκεοϲ: ΚΕΦΑΛΗϹ Syr. ἵκανε CDGH Syr. — 380 δαιδαλαίου C. — 381 βρ'ˀρὰν H. ἤδ' CGHL. ὡϲ G. — 382 περιϲείοντο EG Lips. Vrat. A. — 383 χρυϲείαι CH. ἵει A. ἄμφι H. ἀμφϊ CD. — 384 δ' ἕο αὐτοῦ ACDEHL Syr.: δέ οἱ αὐτοῦ GS Cant. Townl. Flor. ἀχϊλεὺϲ C. — 385 εἴ οἱ CDEGHL. ἐφαρμόϲειε CGH Lips. Vrat. A. ἐντρέχει Barocc. γυῖα ACDE Syr. Harl. Townl. Frgm. Mosc. Rom. δῶρα GHLS Lips. Cant. Vrat. d. Flor. — 386 εὖτε CDEL Syr. Lips. Townl. Vat. Frgm. Mosc. Ven. B. Vrat. b. Schol. Γ 10. Ε 453. Et. Mg. 398, 50. ηὖτε AS. ἠὖτε GH Flor. αὖτε Townl. ἦτε Vrat. Δ. γίγνετ' EL Syr. Rom. γίνετ' ACDGH Et. Mg. 398, 50. γίνετο Schol. Ε 453. γίνεται Schol. Γ 10. — 387 ἐϲπάϲετ' H. πατρώϊον ἔγχοϲ ἔρυϲϲεν Apoll. Soph. 147, 6. — 389 ἀχϊλεύϲ C. — 390 πόρε L Syr. Lips. τάμε ACDGHS Schol. Pind. Nem. III, 55. — 391 ἐκ κορυφῆϲ A.

A. c. 376 ἀρίϲταρχοϲ τό τε καίεται Didymus. — 384 οὕτωϲ ἕο αὐτοῦ αἱ ἀριϲτάρχου· Ζηνόδοτοϲ ἑοῦ αὐτοῦ Didymus. δὲ οἷ αὐτοῦ Ptolem. Ascalonita teste Herodiano. — 386 εὖτε Aristarchus: ὥϲτε Aristophanes. αἱ ἀπὸ τῶν πόλεων, „τῶν δ' αὖτε". πρότερον γράφων ὁ Ἀρίϲταρχοϲ „τῷ δ' εὖτε" μετέγραψεν ὕϲτερον „τῷ δ' αὖτε", ἐμφαντικώτερον νομίϲαϲ εἶναι ὑπακουομένου τοῦ ὡϲ Didymus. — 388—391 ἀθετοῦνται ϲτίχοι τέϲϲαρεϲ. ἐνταῦθα μὲν αὐτοὺϲ Ζηνόδοτοϲ καταλέλοιπεν, ἐπὶ δὲ τοῦ Πατρόκλου (Π 141—144) ἠθέτηκεν Aristonicus. in cod. A quinque versus (387—391) obelis sunt notati, adscripto scholio Didymi οὐδὲ ἐν ταῖϲ ἄλλαιϲ ἦϲαν οἱ ἀθετούμενοι. — 390 καὶ πόρε χείρων A in marg. utrumque Aristarchus teste Didymo ad Π 143. — 391 ἐκ κορυφῆϲ: οὕτωϲ πληθυντικῶϲ αἱ ἀριϲτάρχου Didymus.

ἵππουϲ δ' Αὐτομέδων τε καὶ Ἄλκιμοϲ ἀμφιέποντεϲ
ζεύγνυον· ἀμφὶ δὲ καλὰ λέπαδν' ἕϲαν, ἐν δὲ χαλινοὺϲ
γαμφηλῇϲ ἔβαλον, κατὰ δ' ἡνία τεῖναν ὀπίϲϲω
κολλητὸν ποτὶ δίφρον. ὃ δὲ μάϲτιγα φαεινὴν
χειρὶ λαβὼν ἀραρυῖαν ἐφ' ἵπποιιν ἀνόρουϲεν,
Αὐτομέδων· ὄπιθεν δὲ κορυϲϲάμενοϲ βῆ Ἀχιλλεύϲ,
τεύχεϲι παμφαίνων ὥϲ τ' ἠλέκτωρ Ὑπερίων.
ϲμερδαλέον δ' ἵπποιϲιν ἐκέκλετο πατρὸϲ ἑοῖο·
Ξάνθέ τε καὶ Βαλίε, τηλεκλυτὰ τέκνα Ποδάργηϲ,
ἄλλωϲ δὴ φράζεϲθε ϲαωϲέμεν ἡνιοχῆα
ἂψ Δαναῶν ἐϲ ὅμιλον, ἐπεί χ' ἕωμεν πολέμοιο,
μὴ δ' ὡϲ Πάτροκλον λίπετ' αὐτόθι τεθνηῶτα.
τὸν δ' ἄρ' ὑπὸ ζυγόφι προϲέφη πόδαϲ αἰόλοϲ ἵπποϲ
Ξάνθοϲ, ἄφαρ δ' ἤμυϲε καρήατι· πᾶϲα δέ χαίτη
ζεύγληϲ ἐξεριποῦϲα παρὰ ζυγὸν οὖδαϲ ἵκανεν·

V. l. 392 τε καὶ: ἠδ' Rhet. Gr. III, 106, 13. ἀμφιέποντε C. — 393 ζεύγνυϲαν G et olim vulgo. restituit Heynius ζεύγνυον ex Barocc. Lips. Mor. Harl. Vat. Frgm. Mosc. Vrat. A. b. d. Rom., quibus addo ACDEHLS Syr. ἄμφι D. λέπαδνα L. ἕϲαν AC: ἔϲαν DEGHL. supra ἕϲαν glossa est in A περιέβαλον. — 394 γαμφηλῇϲ' GH. κατα CL. τεῖνεν C. — 395 ΠΡΟΤΙ Syr. ἐπὶ Harl. ὃ δὲ C. ὅδ' ἄρα G Flor. — 396 ἵπποιϲιν C Harl. — 397 ὄπιϲθεν D Lips. ἀχϊλεύϲ C. — 398 τεύχεϲι λαμπόμενοϲ DS Cant. Vat. — 399 ϲμαρδαλέον S. — 400 ξάνθέ τε ACD. βάλιε Apoll. Soph. 43, 35. — 401 ἡνιοχῆα ACEH Rom. ἡνιοχῆαϲ DGLS Syr. Lips. Flor. εἰ δὲ γράφει ϲαωϲέμεν ἡνιοχῆαϲ Eust. 1190, 15. — 402 ἂψ δαναῶν: ἐν ἄλλῳ ἂψ λαῶν A. χ' ἑῶμεν ACE 1190, 14; 18 G Flor. Rom. Et. Mg. 16, 43. 307, 37. 403, 3. Et. Gud. 286, 25. Et. Or. 59, 2. Χ' ΕΩ͂ΜΕΝ Syr. χ' ἕωμεν S. χ' ἕωμεν H. χ' ἕομεν L. χ' ἑο̄μεν Lips. χέωμεν D. ἕωμεν A in marg. κ' ἑῶμεν Vrat. A. Et. Gud. 224, 4. 624, 43. Cram. Ep. 216, 33. Apoll. Soph. 80, 28. ἑῶμεν Lips. in marg. κ' ἕωμεν Schol. BL ad Β 432. ἐπεὶ κεῶμεν Et. Or. 105, 17. κ' ἕομεν Et. Gud. 8, 23. γρ. ἐπεὶ κ' ἕομεν C in marg. man. rec. Hesychii cod. (II, 140 ed. M. Schmidt.) ἐπείχεομεν. τὸ δὲ ἕομεν γράφεται μάλιϲτα ἑῶμεν Eust. 1190, 17. — 403 μὴ δ' CDGHL. αὐτοῦ AGL Syr. Lips. αὐτόθι CDEH. γρ. λίπετ' αὐτόθι A. αὐτόθι editores usque ad Wolfium, qui αὐτοῦ induxit. εἴπετ' αὐτόθι τεθνειῶτι Schol. Θ 18. τεθνηῶτα HLS Lips. Cant. Mor. Vrat. d. τεθνειῶτα A. τεθνειῶτα CDEG edd. vett. ΤΕΘΝΕΙΩ . . Syr. — 404 ἂρ ADEGHL. ὑπο EH. ζυγόφιν CDEGHL, vide H. U. 45. αἴολοϲ L. — 406 παρὰ: περὶ E.

A. c. 393 οὕτωϲ διὰ τοῦ ο̄ ζεύγνυον Didymus. — 400 Βαλία Bentleius, quem secutus est Bothe. de ε̄ ante τ̄ producto vide Ο 478. Φ 474. H. U. 66. — 402 δαϲυντέον τὸ ἑῶμεν Schol. A. τινὲϲ χέομεν Schol. V.

αὐδήεντα δ' ἔθηκε θεὰ λευκώλενος Ἥρη·
καὶ λίην c' ἔτι νῦν γε caώcoμεν ὄβριμ' Ἀχιλλεῦ·
ἀλλά τοι ἐγγύθεν ἦμαρ ὀλέθριον· οὐδέ τοι ἡμεῖc
αἴτιοι, ἀλλὰ θεόc τε μέγαc καὶ μοῖρα κραταιή.
οὐδὲ γὰρ ἡμετέρῃ βραδυτῆτί τε νωχελίῃ τε
Τρῶεc ἀπ' ὤμοιιν Πατρόκλου τεύχε' ἕλοντο·
ἀλλὰ θεῶν ὤριcτοc, ὃν ἠύκομοc τέκε Λητώ,
ἔκταν' ἐνὶ προμάχοιcι καὶ Ἕκτορι κῦδοc ἔδωκε.
νῶι δὲ καί κεν ἅμα πνοιῇ Ζεφύροιο θέοιμεν,
ἥν περ ἐλαφροτάτην φάc' ἔμμεναι· ἀλλὰ cοὶ αὐτῷ
μόρcιμόν ἐcτι θεῷ τε καὶ ἀνέρι ἶφι δαμῆναι.
ὣc ἄρα φωνήcαντοc ἐρινύεc ἔcχεθον αὐδήν.
τὸν δὲ μέγ' ὀχθήcαc προcέφη πόδαc ὠκὺc Ἀχιλλεύc·
Ξάνθε, τί μοι θάνατον μαντεύεαι; οὐδέ τί cε χρή.
εὖ νύ τοι οἶδα καὶ αὐτόc, ὅ μοι μόροc ἐνθάδ' ὀλέcθαι,
νόcφι φίλου πατρὸc καὶ μητέροc· ἀλλὰ καὶ ἔμπηc
οὐ λήξω πρὶν Τρῶαc ἅδην ἐλάcαι πολέμοιο.
ἦ ῥα, καὶ ἐν πρώτοιc ἰάχων ἔχε μώνυχαc ἵππουc.

ΙΛΙΑΔΟC Υ.

Ὣc οἳ μὲν παρὰ νηυcὶ κορωνίcι θωρήccοντο
ἀμφὶ cὲ Πηλέοc υἱὲ μάχηc ἀκόρητον Ἀχαιοί,

V. l. 408 ὄμβριμ' CHL. ἀχῖλεῦ C. — 409 ἀλλ' ἤ τοι L Lips. ἦμαρ ἐγγύθεν G. ὀλέθριον ἀλλ' οὔτοι ἡμεῖc H. οὐδέ τοι ACDES Cant. Harl. Vat. Townl. Frgm. Mosc. Vrat. A. οὐδέ τι GL Lips. Flor. et olim vulgo. — 410 θεόc τίc L. — 411 τε ante νωχελίῃ omitt. L Lips. Vrat. A. — 412 τρῷεc L. πάτροκλον Eust. — 413 ὤριcτοc AE Rom. ἄριcτοc G. — 414 ἐνι AD. ἔδωκε CDEG Syr. — 415 θέοιμεν (ω supra scr.) A. θέωμεν C. — 416 ΤΗΝΠΕΡ Syr. τόνπερ ἐλαφρότατόν φαc' Schol. Apoll. Rhod. II, 276. φᾶc' L. ἀλλά cοι GH. — 417 τε omitt. L Lips. — 418 ὡc A. ἐρινύεc ADH Townl. Vrat. d. Schol. Τ 407. ἐριννύεc CEGL edd. vett. ἔcχεδον L. — 419 τόνδε G. ἀχῖλεύc C. — 420 οὐδέ τι cε ACDGHL. τι cὲ E. — 422 μητρὸc L. — 423 τρῷαc L. τρωcὶν Barocc. ἅδην G Townl. ᾆδην C. άδην A. ἐλάcω ἢ μᾶλλον ἐλάcαι Eust. — 424 ῥὰ CGL.

A. c. 407 ἀθετεῖται, conf. Schol. Τ 418. — 416, 417 ἀθετοῦνται Aristonicus.

V. l. 1 Ὡc A. οἳ μὲν C. παρα H. — 2 omitt. Schol. Κ 167. πηλέωc E Mor. Apoll. Soph. 20, 22. Schol. Ν 621. ἀκόρητοι H Vrat. A. Townl. pro var. lect. Flor. Pseudoplut. 117, 35.

A. c. 2 ἐὰν πληθυντικῶc γράφηται ἀκόρητοι, cυνάψομεν τῇ τελευταίᾳ λέξει ὡc ἂν ἐπιθετικὸν ἐκείνηc· ἐὰν δὲ ἑνικῶc, βραχὺ διαcτελοῦμεν Nicanor.

Τρῶεc δ' αὖθ' ἑτέρωθεν ἐπὶ θρῳcμῷ πεδίοιο.
Ζεὺc δὲ Θέμιcτα κέλευcε θεοὺc ἀγορὴν δὲ καλέccαι
κρατὸc ἀπ' Οὐλύμποιο πολυπτύχου· ἣ δ' ἄρα πάντῃ
φοιτήcαcα κέλευcε Διὸc πρὸc δῶμα νέεcθαι.
οὔτέ τιc οὖν ποταμῶν ἀπέην νόcφ' Ὠκεανοῖο,
οὔτ' ἄρα νυμφάων, αἵ τ' ἄλcεα καλὰ νέμονται
καὶ πηγὰc ποταμῶν καὶ πίcεα ποιήεντα.
ἐλθόντεc δ' ἐc δῶμα Διὸc νεφεληγερέταο
ξεcτῇc αἰθούcῃcιν ἐνίζανον, ἃc Διὶ πατρὶ
Ἥφαιcτοc ποίηcεν ἰδυίῃcι πραπίδεccιν.
ὣc οἳ μὲν Διὸc ἔνδον ἀγηγέρατ'· οὐδ' ἐνοcίχθων
νηκούcτηcε θεᾶc, ἀλλ' ἐξ ἁλὸc ἦλθε μετ' αὐτούc,
ἷζε δ' ἄρ' ἐν μέccοιcι, Διὸc δ' ἐξείρετο βουλήν·
τίπτ' αὖτ' ἀργικέραυνε θεοὺc ἀγορὴν δὲ κάλεccαc;
ἦ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζειc;
τῶν γὰρ νῦν ἄγχιcτα μάχη πόλεμόc τε δέδηε.
τὸν δ' ἀπαμειβόμενοc προcέφη νεφεληγερέτα Ζεύc·
ἔγνωc ἐννοcίγαιε ἐμὴν ἐν cτήθεcι βουλήν,

V. l. 3 τρῷεc L. δ' αὖ L. ἐπι D. θρωιcμῶι A: ceteri θρωcμῷ. post hunc insertus est in C man. rec. versus ἕκτορϊ θωρήccοντο μετὰ πρώτοιcϊν ἐόντϊ. — 4 θέμιcτι GS Townl. Cant. Flor. Schol. Λ 807. Ζεὺc δ' ἐκέλευcε θέμιcτι Lips. θέμιcτ' ἐκέλευcε Pseudoplut. 132, 36. κέλευcε ADEGHLS Schol. Λ 807. Apoll. Soph. 86, 34. Cram. An. Ox. III, 232, 8. κέλευε C. ἀγορὴν δὲ AD. — 5 ἥδ' CHL. πάντῃ AEGH Syr. ceteri πάντη. — 7 οὔτέ τιc AC. τῖc H. — 8 αἵ τ' ACD Barocc. Vrat. b. A. Mosc. 2. ταί τ' EGHLS Syr. — 9 πίcεα ADE Rom. Et. Mg. 673, 16. Et. Gud. 529, 52. Cram. Ep. 63, 25. πήcεα L. πείccεα (ϊ supra scr.) H. πίccεα Harl. πείccεα Vrat. d. πείcεα CG Syr. Lips. Cant. Vrat. A. Mosc. 2. Flor. Plutarchus de Defectu oracul. 11. Apoll. Soph. 129, 21, conf. Ζ 124. πιήεντα L Et. Mg. 673, 16. — 10 νεφεληγερέταο A. — 11 αἰθούccῃcιν A Syr. ἐνίζανον AC: ceteri ἐφίζανον. ἔνιοι ἐφίζανον A in marg. — 12 ποίηcεν ἰδυίῃcι ADEGLS Hesych. s. v. Ἥφαιcτοc. ἰδυίῃcιν Lips. ἰδυίοιcϊ (ϊ supra scr.) H. εἰδυίηιcι (ϊ supra scr.) C. ΠΟΙΗC' ΕΙΔΥΙΗΙCΙ Syr. conf. ad Α 608. — 13 οἳ μὲν C. ἔνδον omitt. Syr. ΑΓΗΓΕΡΑΟ Syr. — 15 ἷζε CDGHL. ἶζε A. ἀρ A, ἂρ DGHL. ἐξήρετο CL Barocc. Mor. Lips. — 16 αὖτ' libri mei praeter G, Barocc. Lips. Mor. Harl. Vat. αὖ EG Flor. Rom. ἀγορὴν δὲ AD. κάλεcαc E Lips. ἀγορήνδ' ἐκάλεccαc GH Flor. Pseudoplut. 132, 37. ita editores usque ad Heynium, qui ἀγορήνδε κάλεccαc reduxit. — 17 ἤ EGL. τί L. τρῴων L. — 18 ΤΩΓΑΡ Syr. δέδηε ACGL Syr. δέδῃε H. — 20 ἐνὶ EL Lips.

A. c. 11 ἐνίζανον: ἐφίζανον Zenodotus. — 12 οὕτωc διὰ τοῦ ῑ τὸ ἰδυίῃcι καὶ τέλειον τὸ ποίηcε[ν] Didymus, conf. Eust. 1193, 25.

ὧν ἕνεκα ξυνάγειρα· μέλουςί μοι ὀλλύμενοί περ.
ἀλλ' ἦ τοι μὲν ἐγὼ μενέω πτυχὶ Οὐλύμποιο
ἥμενος, ἔνθ' ὁρόων φρένα τέρψομαι· οἱ δὲ δὴ ἄλλοι
ἔρχεςθ', ὄφρ' ἂν ἵκηςθε μετὰ Τρῶας καὶ Ἀχαιούς,
ἀμφοτέροιςι δ' ἀρήγεθ', ὅπῃ νόος ἐςτὶν ἑκάςτου.
εἰ γὰρ Ἀχιλλεὺς οἶος ἐπὶ Τρώεςςι μαχεῖται,
οὐδὲ μίνυνθ' ἕξουςι ποδώκεα Πηλεΐωνα.
καὶ δέ τέ μιν καὶ πρόςθεν ὑποτρομέεςκον ὁρῶντες·
νῦν δ', ὅτε δὴ καὶ θυμὸν ἑταίρου χώεται αἰνῶς,
δείδω μὴ καὶ τεῖχος ὑπὲρ μόρον ἐξαλαπάξῃ.
ὣς ἔφατο Κρονίδης, πόλεμον δ' ἀλίαςτον ἔγειρε.
βὰν δ' ἴμεναι πόλεμον δὲ θεοὶ δίχα θυμὸν ἔχοντες·
Ἥρη μὲν μετ' ἀγῶνα νεῶν καὶ Παλλὰς Ἀθήνη
ἠδὲ Ποςειδάων γαιήοχος ἠδ' ἐριούνης
Ἑρμείας, ὃς ἐπὶ φρεςὶ πευκαλίμῃςι κέκαςται·
Ἥφαιςτος δ' ἅμα τοῖςι κίε cθένεϊ βλεμεαίνων,
χωλεύων, ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί·
ἐς δὲ Τρῶας Ἄρης κορυθαίολος, αὐτὰρ ἅμ' αὐτῷ
Φοῖβος ἀκερςεκόμης ἠδ' Ἄρτεμις ἰοχέαιρα
Λητώ τε Ξάνθός τε φιλομμειδής τ' Ἀφροδίτη.

V. ι. 21 μέλλουςί C. — 24 ὄφραν D. μετα A. τρῷας L. — 25 ὅπῃ AE 1193, 41 Schol. Θ 5. O 234. ὅπη CDE 1194, 3 GHL Syr. — 26 ἀχϊλεὺς C. ἐπι A. ἐνὶ Vrat. b. A. τρῴεςςι L. μάχηται C 1. man. — 28 δέ τε μιν DH. δέ τι S. — 30 ὑπὲρ μόρον ACGHL Schol. Υ 125. Cram. Ep. 423, 16. ὑπερμόρον D. ΥΠΕΡΜΟΡΟΝ Syr. ὑπέρμορον ES Cant. Rom. — 31 ὡς A. κρονΐδης πόλεμόνδε θεοὶ δῖ H. ἔγειρε ACDGL Syr. ἄγειρε Vrat. d. ὄρωρε Vat. — 32 πόλεμον δὲ AD. ΠΟΛΕΜΟΝΔΈ Syr. — 33 παλὰς L. — 34 ποςιδάων A Syr. ποςειδ A in marg. ἡ δὲ — ἠδ' H. — 35 ἐπι A. ἐνὶ GHLS. ἐνι D. πευκαλίμοιςι L. κέκαςται HL Lips. Vrat. b. d. Mosc. 2. Flor. Rom. κέκαςτο ACDEGS Syr. — 36 ἅμα: ἄρα Cant. — 37 ὑπο ADH. ἀραιαί A: ceteri ἀραιαί. — 38 τρῷας L. κορυθαιόλος A. κορυθαιόλος DEGH Flor. Rom. ΑΥΤᾺΡ' Syr. — 39 ἠδ' Apoll. Soph. 19, 26. — 40 ξάνθός τε ACD. ξανθός τε H. φιλομειδής EGL Townl. Lips. edd. vett.

A. c. 28 ἀρίςταρχος καὶ δέ τι μιν διὰ τοῦ ῑ Didymus. — 30 ὑπέρμορον Aristarchus, Aristophanes, Ptolem. Ascalonita cum plerisque: ὑπὲρ μόρον Heliodorus, conf. Schol. B 155. Apoll. Soph. 160, 18. Cram. Epim. 442, 32. Eust. 1193, 57. τινὲς γράφουςιν „οὐ μέντοι μοῖρ' ἐςτὶν ἔτι ζωοῦ Ἀχιλῆος Ἰλίου ἐκπέρθαι εὐναιόμενον πτολίεθρον. πέρςει δουράτεος ἵππος καὶ μῆτις Ἐπειοῦ" Schol. V. — 35 ἀρίςταρχος κέκαςται, οὐ διὰ τοῦ ō κέκαςτο Didymus.

εἷως μὲν ῥ' ἀπάνευθε θεοὶ θνητῶν ἔςαν ἀνδρῶν,
τεῖος Ἀχαιοὶ μὲν μέγ' ἐκύδανον, οὕνεκ' Ἀχιλλεὺς
ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς·
Τρῶας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαςτον,
δειδιότας, ὅθ' ὁρῶντο ποδώκεα Πηλεΐωνα
τεύχεςι λαμπόμενον, βροτολοιγῷ ἶςον Ἄρηι.
αὐτὰρ ἐπεὶ μεθ' ὅμιλον Ὀλύμπιοι ἤλυθον ἀνδρῶν,
ὦρτο δ' Ἔρις κρατερὴ λαοςςόος, αὖε δ' Ἀθήνη,
ςτᾶς' ὁτὲ μὲν παρὰ τάφρον ὀρυκτὴν τείχεο ἐκτός,
ἄλλοτ' ἐπ' ἀκτάων ἐριδούπων μακρὸν ἀύτει.
αὖε δ' Ἄρης ἑτέρωθεν ἐρεμνῇ λαίλαπι ἶςος
ὀξύ, κατ' ἀκροτάτης πόλιος Τρώεςςι κελεύων,
ἄλλοτε πὰρ Σιμόεντι θέων ἐπὶ Καλλικολώνῃ.
ὣς τοὺς ἀμφοτέρους μάκαρες θεοὶ ὀτρύναντες
ςύμβαλον, ἐν δ' αὐτοῖς ἔριδα ῥήγνυντο βαρεῖαν.
δεινὸν δὲ βρόντηςε πατὴρ ἀνδρῶν τε θεῶν τε
ὑψόθεν· αὐτὰρ νέρθε Ποςειδάων ἐτίναξε
γαῖαν ἀπειρεςίην ὀρέων τ' αἰπεινὰ κάρηνα.
πάντες δ' ἐςςείοντο πόδες πολυπίδακος Ἴδης
καὶ κορυφαί, Τρώων τε πόλις καὶ νῆες Ἀχαιῶν.

V. ι. 41 ἕως G. — 42 * τεῖος: τέως CDHL et Heynii omnes. ΤΕΙΩϹ Syr. τέως δ' AGS. ἐν ἄλλῳ τόφρα δ' ἀχαιοὶ μὲν μέγ' ἐκύδανον A. μέγ' ἐκύδανον ADGHS. μέγα κύδανον CEL Lips. Harl. Vrat. b. A. ἀχϊλεὺς C. — 43 ΑΠΈΠΑΥΤ' Syr. conf. C 248. — 44 τρῷας L. τρόμος δεινὸς L Lips. ἐπήλυθε C Mosc. 2. — 44—46 omitt. Syr. add. 2. man. in marg. — 48 λαοςςόος A. — 49 ὅτε AC 1. man. G Syr. ὅτὲ H. ἐντός Barocc. — 50 ἐριγδούπων Lips. — 51 ὦρτο δ' Ἄρης Strabo XIII, 597. — 52 πόλεως DES Rom. τρῴεςςι L. — 53 παρ DH. θεῶν ADL Ven. B. Harl. Hesych. II, 312. Suidas II, 1, 43, 13: θέων CH Syr. θέον G. θέων ἢ θεῶν Eust. 1195, 26. τὸ δὲ θεῶν ἐπὶ καλλικολώνῃ γράφεται καὶ θέων ἤτοι τρέχων Eust. 1195, 39. καλλικολώνηι A. — 54 ὡς A. μάκαροι S. ὀτρύναντες CD. ὀτρύναντες A. ceteri ὀτρύνοντες. — 56 δὲ βρόντηςε A Syr. Vrat. b. δ' ἐβρόντηςε CEGHLS. ἐβρόντηςε D. ΠΑΤΗΡ' Syr. — 57 ΝΕΡΘΕ Syr. ἔνερθε ceteri. ποςιδάων A Syr. ποςειδ A in marg. ἐτίναξε ACDEG Syr. — 58 ἐπεινὰ L Lips. — 59 πολυπίδακος A. πολυπίδακος CL Syr. Lips. Ven. B. Townl. Bekk. An. 738, 25: πολυπιδάκου DEGHS edd. vett. Rhet. Gr. III, 192, 7. 228, 10. 246, 15. — 60 τριψων L. πόλεις A Vrat. b. sed A in marg. πόλις. καὶ τεῖχος S Cant.

A. c. 42 τεῖος, conf. H. U. 234. — 53 θεῶν Aristarchus: Herodianus θέων. — 57 ἔνερθε: ἀρίςταρχος ἰακῶς αὐτὰρ νέρθε Didymus. — 59 οὕτως ἀρίςταρχος πολυπίδακος, ἄλλοι δὲ πολυπιδάκου Didymus.

ἔδειϲεν δ' ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδωνεύϲ,
δείϲαϲ δ' ἐκ θρόνου ἆλτο καὶ ἴαχε, μή οἱ ὕπερθε
γαῖαν ἀναῤῥήξειε Ποϲειδάων ἐνοϲίχθων,
οἰκία δὲ θνητοῖϲι καὶ ἀθανάτοιϲι φανείη
ϲμερδαλέ' εὐρώεντα, τά τε ϲτυγέουϲι θεοί περ.
τόϲϲοϲ ἄρα κτύποϲ ὦρτο θεῶν ἔριδι ξυνιόντων.
ἦ τοι μὲν γὰρ ἔναντα Ποϲειδάωνοϲ ἄνακτοϲ
ἵϲτατ' Ἀπόλλων Φοῖβοϲ ἔχων ἰὰ πτερόεντα,
ἄντα δ' Ἐνυαλίοιο θεὰ γλαυκῶπιϲ Ἀθήνη·
Ἥρῃ δ' ἀντέϲτη χρυϲηλάκατοϲ κελαδεινὴ
Ἄρτεμιϲ ἰοχέαιρα, καϲιγνήτη ἑκάτοιο·
Λητοῖ δ' ἀντέϲτη ϲῶκοϲ ἐριούνιοϲ Ἑρμῆϲ,
ἄντα δ' ἄρ' Ἡφαίϲτοιο μέγαϲ ποταμὸϲ βαθυδίνηϲ,
ὃν Ξάνθον καλέουϲι θεοί, ἄνδρεϲ δὲ Ϲκάμανδρον.
ὣϲ οἱ μὲν θεοὶ ἄντα θεῶν ἴϲαν· αὐτὰρ Ἀχιλλεὺϲ
Ἕκτοροϲ ἄντα μάλιϲτα λιλαίετο δῦναι ὅμιλον
Πριαμίδεω· τοῦ γάρ ῥα μάλιϲτά ἑ θυμὸϲ ἀνώγει
αἵματοϲ ἆϲαι Ἄρηα ταλαύρινον πολεμιϲτήν.
Αἰνείαν δ' ἰθὺϲ λαοϲϲόοϲ ὦρϲεν Ἀπόλλων
ἀντία Πηλείωνοϲ, ἐνῆκε δέ οἱ μένοϲ ἠύ·
υἱεῖ δὲ Πριάμοιο Λυκάονι εἴϲατο φωνήν·
τῷ μιν ἐειϲάμενοϲ προϲέφη Διὸϲ υἱὸϲ Ἀπόλλων·
Αἰνεία, Τρώων βουληφόρε, ποῦ τοι ἀπειλαί,

V. L. 61 ἔδδειϲεν libri. ἔδδειϲε E. ἄναξ ἀνέρων L. — 62 ἆλτο C. οἱ omitt. D. μή οἱ ἔπειτα Rhet. Gr. I, 254, 21. ὕπερθε ACDGH Syr. — 63 ποϲιδάων A Syr. ποϲειδ A in marg. — 64 φανείη CEG Plato Rep. III, 386 D: φανήηι D. φανήῃ H Townl. φανήῃ L Syr. Lips. Mosc. 2. φανῄη Harl. φανῄη Vrat. b. d. φανήιηι A. — 65 ΠΕΡ' Syr — 66 ϲυνιόντων E. — 67 ποϲιδάωνοϲ A Syr. ποϲειδ A in marg. — 69 ἐνυάλοιο L. — 70 ἀντέϲτη χρυϲηλάκατοϲ A. — 71 ἄρτεμιϲ ἀγροτέρη Apoll. Soph. 97, 31, conf. Φ 471. ἑκάτη τε D, corr. eadem manus ἑκάτοιο. — 72 ἀντέϲτη A. — 73 ἂρ HL. — 74 κάμανδρον L Harlei. — 75 ὡϲ A. οἳ μὲν C. ΑΥΤᾺΡ' Syr. ἀχϊλεὺϲ C. — 77 πριαμίδου Vrat. A. γὰρ ῥὰ L. μάλιϲτά ἑ C Ven. B. Mosc. 2. μάλιϲτά γε ADEGHLS Syr. — 79 λαοϲϲόοϲ A. — 80 ἐνῆκε A. — 81 υἱέϊ CDGHLS, conf. Γ 174. Φ 141. δ 10. Ξ 115. Ω 61. — 83 τρῴων L.

A. c. 62 ἆλτο: ἐν ἄλλῳ ἐκ θρόνου ὦρτο, οὕτωϲ καὶ ἡ μαϲϲαλιωτική Didymus. — 72 ϲῶκοϲ: ϲωκὸϲ Tyrannio. — 77 ἀρίϲταρχοϲ μάλιϲτά ἑ, μάλιϲτα αὐτόν Didymus.

ἃϲ Τρώων βαϲιλεῦϲιν ὑπίϲχεο οἰνοποτάζων,
Πηλείδεω Ἀχιλῆοϲ ἐναντίβιον πολεμίξειν;
τὸν δ' αὖτ' Αἰνείαϲ ἀπαμειβόμενοϲ προϲέειπε·
Πριαμίδη, τί με ταῦτα καὶ οὐκ ἐθέλοντα κελεύειϲ,
ἀντία Πηλείωνοϲ ὑπερθύμοιο μάχεϲθαι;
οὐ μὲν γὰρ νῦν πρῶτα ποδώκεοϲ ἄντ' Ἀχιλῆοϲ
ϲτήϲομαι, ἀλλ' ἤδη με καὶ ἄλλοτε δουρὶ φόβηϲεν
ἐξ Ἴδηϲ, ὅτε βουϲὶν ἐπήλυθεν ἡμετέρῃϲι,
πέρϲε δὲ Λυρνηϲϲὸν καὶ Πήδαϲον· αὐτὰρ ἐμὲ Ζεὺϲ
εἰρύϲαθ', ὅϲ μοι ἐπῶρϲε μένοϲ λαιψηρά τε γοῦνα.
ἦ κ' ἐδάμην ὑπὸ χερϲὶν Ἀχιλλῆοϲ καὶ Ἀθήνηϲ,
ἥ οἱ πρόϲθεν ἰοῦϲα τίθει φάοϲ ἠδὲ κέλευεν
ἔγχεϊ χαλκείῳ Λέλεγαϲ καὶ Τρῶαϲ ἐναίρειν.
τῶ οὐκ ἔϲτ' Ἀχιλῆοϲ ἐναντίον ἄνδρα μάχεϲθαι·
αἰεὶ γὰρ πάρα εἷϲ γε θεῶν, ὃϲ λοιγὸν ἀμύνει.
καὶ δ' ἄλλωϲ τοῦ γ' ἰθὺ βέλοϲ πέτετ', οὐδ' ἀπολήγει
πρὶν χροὸϲ ἀνδρομέοιο διελθέμεν. εἰ δὲ θεόϲ περ
ἶϲον τείνειεν πολέμου τέλοϲ, οὔ με μάλα ῥέα
νικήϲει, οὐδ' εἰ παγχάλκεοϲ εὔχεται εἶναι.
τὸν δ' αὖτε προϲέειπεν ἄναξ Διὸϲ υἱὸϲ Ἀπόλλων·
ἥρωϲ, ἀλλ' ἄγε καὶ ϲὺ θεοῖϲ αἰειγενέτῃϲιν

V. L. 84 ἃϲ ACDGHLS Cant. Barocc. Mor. Ven. B. Vat. Vrat. b. d. A. Suidas II, 2, 292, 21. τὰϲ E Syr. edd. vett. correxit Heynius. τρῴων L. ὑπίϲχεο ACDH ex corr. Townl. Mosc. 2. Ven. B. Vrat. d. ὑπέϲχεο EGLS Syr. Suidas l. l. conf. Ψ 195. — 85 * πολεμίξειν: libri πολεμίζειν, conf. Β 328. Κ 451. Ν 644. Ο 179. Ω 667. — 86 πρόϲέειπε ACDGH Syr. — 87 τί με omitt. L. — 89 νῦν omitt. S. γὰρ δὴ DG Flor. πρῶτον C. ἀχιλλῆοϲ E. — 91 ἡμετέρῃϲι CDE Syr. — 92 λυρνηϲὸν L. πήδαϲϲον C. — 93 ἐνῶρϲε Townl. τε omitt. C. γούνατα L. — 94 ἦ κε δάμην H. ἀχϊλῆοϲ C. — 95 φάοϲ εἶδ' G. ἧδε κέλευεν H. ΗΔΕΚΈΛΕΥΕΝ Syr. vulgo ἠδ' ἐκέλευεν. ἐκέλευϲεν D Mor. Mosc. 2. — 96 λέλεξαϲ L. τρῷαϲ L. — 97 τῶ ACDHL Syr. τῷ G. ἀχιλλῆοϲ E. — 98 omitt. D. — 99 δ' ἄλλων G. τοῦδ' C Schol. Φ 169. ἰθὺ DEHL: ἰθὺϲ CG Syr. edd. vett. Schol. Φ 169 (Aristonici). an τοῦ ἰθὺϲ πέτεται βέλοϲ? ἐν ἄλλῳ ἰθὺ χωρὶϲ τοῦ ϲ̄ A. — 100 διελθέμεν DEHLS Lips. edd. vett. διελθεῖν ACG. γρ. διελθέμεν A. — 101 τείνειε CDE Syr. Lips. Flor. Rom. οὔ κε AC Harl. Townl. οὔ με καὶ μάλα L Lips. ῥεῖα GL Lips. Rom. — 102 νικήϲει: νικήϲῃ Vat. Bentleius νικήϲει'. — 103 ΆΝΑΞ ΑΝΔΡΩΝ ΑΓΑΜΕΜΝΟΝ Syr. suprascr. 2. man. ΕΚΑΕΡΓΟϹΑΠΟΛΛΩΝ. — 104 ἀλλά γε CDH et olim vulgo. ἀλλ' ἄγε AEGL Rom. Harlei. αἰειγενέτοιϲιν L.

A. c. 84 οὕτωϲ διὰ τοῦ ῑ ὑπίϲχεο Didymus.

εὔχεο· καὶ δὲ cέ φαcι Διὸc κούρηc Ἀφροδίτηc
ἐκγεγάμεν, κεῖνοc δὲ χερείονοc ἐκ θεοῦ ἐcτιν.
ἣ μὲν γὰρ Διόc ἐcθ', ἣ δ' ἐξ ἁλίοιο γέροντοc.
ἀλλ' ἰθὺc φέρε χαλκὸν ἀτειρέα, μηδέ cε πάμπαν
λευγαλέοιc ἐπέεccιν ἀποτρεπέτω καὶ ἀρειῇ.
ὣc εἰπὼν ἔμπνευcε μένοc μέγα ποιμένι λαῶν,
βῆ δὲ διὰ προμάχων κεκορυθμένοc αἴθοπι χαλκῷ.
οὐδ' ἔλαθ' Ἀγχίcαο πάιc λευκώλενον Ἥρην
ἀντία Πηλείωνοc ἰὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν·
ἣ δ' ἄμυδιc cτήcαcα θεοὺc μετὰ μῦθον ἔειπε·
φράζεcθον δὴ cφῶι, Ποcείδαον καὶ Ἀθήνη,
ἐν φρεcὶν ὑμετέρηcιν, ὅπωc ἔcται τάδε ἔργα.
Αἰνείαc ὅδ' ἔβη κεκορυθμένοc αἴθοπι χαλκῷ
ἀντία Πηλείωνοc, ἀνῆκε δὲ Φοῖβοc Ἀπόλλων·
ἀλλ' ἄγεθ', ἡμεῖc πέρ μιν ἀποτρωπῶμεν ὀπίccω
αὐτόθεν· ἤ τιc ἔπειτα καὶ ἡμείων Ἀχιλῆι
παρcταίη, δοίη δὲ κράτοc μέγα, μηδέ τι θυμῷ
δευέcθω, ἵνα εἰδῇ ὅ μιν φιλέουcιν ἄριcτοι
ἀθανάτων, οἳ δ' αὖτ' ἀνεμώλιοι, οἳ τὸ πάροc περ
Τρωcὶν ἀμύνουcιν πόλεμον καὶ δηιοτῆτα.
πάντεc δ' Οὐλύμποιο κατήλθομεν ἀντιόωντεc
τῆcδε μάχηc, ἵνα μή τι μετὰ Τρώεccι πάθηcι
cήμερον· ὕcτερον αὖτε τὰ πείcεται ἅccά οἱ αἶcα
γεινομένῳ ἐπένηcε λίνῳ, ὅτε μιν τέκε μήτηρ.

V. l. 105 δέ cε φαcὶ CGHL. δὲ cὲ φαcὶ ADE. — 106 ἐcτιν CDHL. ἐcτίν AG. ἔcτιν E. — 107 ἡ μὲν C. ἔcθ' ADE: ceteri ἐcθ'. ἠδ' CGL. — 108 μὴ δέ CHL Et. Mg. 139, 25. — 110 ώc A. — 111 δια A. — 113 ἐλθὼν pro ἰὼν H. ἀναουλαμὸν D. — 114 ἡ δ' D. ἠδ' CGHL. καλέcαcα ACDGHLS Syr. et Heynii omnes. μετα CDH Syr. ἔειπε ACDGH Syr. — 115 ποcίδαον A Syr. ποcειδ A in marg. ποcειδάων L Cant. Harl. — 116 ἡμετέρηcιν E. — 119 ἀποτροπῶμεν G. ἀποτροπόωμεν S Cant. — 120 [η] εἴ τιc S. εἴτιc Cant. Vat. ἀχιλλῆϊ D. — 121 παρcταίηι A. μὴ δέ CL. — 123 οἳ δ' D. οἵδ' CGL. τοπάροc DL. ΠΕΡ' Syr. — 124 τρῳcὶν L. ἀμύνουcι D Lips. — 126 τῆc δὲ G. πάθηcι ACDEG. ΠΑΘΗCΙ Syr. πάθη τε Lips. ἵνα μὴ — cήμερον (127) omitt. L. — 127 ἅccά οἱ CDG. ὅccά L. — 128 γεινομένῳ libri, Bachm. Anecd. II, 107, 16. Euseb. Praep. Ev. VI, 8, 2; 5. Plutarchus Consol. ad Apoll. 31. γεινομένου Schol. Theocr. I, 129. conf. Κ 71. Ψ 79. Ω 210. δ 208. η 198.

V. l. 105 δὲ cέ Ptolem. Ascalonita. — 114 ἀρίcταρχοc ἄμυδιc cτήcαcα Didymus. Zenodotus ἡ δ' ἄμυδιc καλέcαcα θεοὺc ῥεῖα ζώονταc teste Didymo et Aristonico. ἣ δ' Aristarchus et Herodianus. ἄμυδιc Herodianus, ψιλῶc. — 125—128 ἀθετοῦνται cτίχοι τέccαρεc Aristonicus. — 128 asteriscus; ὀρθῶc Ω 210.

εἰ δ' Ἀχιλεὺc οὐ ταῦτα θεῶν ἐκ πεύcεται ὀμφῆc,
δείcετ' ἔπειθ', ὅτε κέν τιc ἐναντίβιον θεὸc ἔλθῃ
ἐν πολέμῳ· χαλεποὶ δὲ θεοὶ φαίνεcθαι ἐναργεῖc.
τὴν δ' ἠμείβετ' ἔπειτα Ποcειδάων ἐνοcίχθων·
Ἥρη, μὴ χαλέπαινε παρὲκ νόον· οὐδέ τί cε χρή.
οὐκ ἂν ἐγώ γ' ἐθέλοιμι θεοὺc ἔριδι ξυνελάccαι
[ἡμέαc τοὺc ἄλλουc, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰμεν]·
ἀλλ' ἡμεῖc μὲν ἔπειτα καθεζώμεcθα κιόντεc
ἐκ πάτου ἐc cκοπιήν, πόλεμοc δ' ἄνδρεccι μελήcει.
εἰ δέ κ' Ἄρηc ἄρχωcι μάχηc ἢ Φοῖβοc Ἀπόλλων,
ἢ Ἀχιλῆ' ἴcχωcι καὶ οὐκ εἰῶcι μάχεcθαι,
αὐτίκ' ἔπειτα καὶ ἄμμι παρ' αὐτόφι νεῖκοc ὀρεῖται
φυλόπιδοc· μάλα δ' ὦκα διακρινθένταc ὀίω
ἂψ ἴμεν Οὔλυμπον δὲ θεῶν μεθ' ὁμήγυριν ἄλλων,
ἡμετέρηc ὑπὸ χερcὶν ἀναγκαίηφι δαμένταc.
ὣc ἄρα φωνήcαc ἡγήcατο κυανοχαίτηc
τεῖχοc ἐc ἀμφίχυτον Ἡρακλῆοc θείοιο,
ὑψηλόν, τό ῥά οἱ Τρῶεc καὶ Παλλὰc Ἀθήνη
ποίεον, ὄφρα τὸ κῆτοc ὑπεκπροφυγὼν ἀλέαιτο,

V. l. 130 ἔλθοι L Lips. — 131 χαλεπὸν D. φαίνεcθ' C. — 132 ποcιδάων A Syr. — 133 πάρεκ G Flor. παρεκ CDL. παρέκνοον S Cant. οὐδέ τι cε ACDGL. οὐδέ τέ cε E. — 134 ξυνελάcαι Vrat. A. edd. vett. — 135 omitt. CD in textu EL Vat. Townl. Vrat. b. d. Lips. in t. Cant. in t. Harl. in t.: habent AGHS Syr. Mor. Barocc. Mosc. 2. Flor. et in margine D Lips. Cant. Harl. in G et Flor. adscriptum est νόθοc. ἐπειὴ A. ΕΠΕῚΗ Syr. ἦμεν edd. εἶμεν Barocc. — 136 καθεζώμεθα EG. — 137 ἐ[c]κοπιήν L. — 138 ἠδέ κ' L. ἄρχωcι CDEHS Syr. Rom. Herodianus περὶ cχημάτων 61, 13 ed. Dind. Lesbonax π. cχημ. 180. Schol. Theocr. VI, 1. Schol. Ε 162. 774. C 514. Rhet. Gr. III, 101, 27. Eust. 1160, 2. ἄρχωιcι A. ἄρχηcι A in marg. LS Cant. Harl. Flor. Tzetzes Alleg. 330. ἤ: ἰδὲ S Cant. — 139 ἀχιλῆ D. — 140 παραυτόφι AD. παρ' αὐτόθι C. ὄρηται ἢ ὀρεῖται E. libri ὀρεῖται cum Et. Mg. 633, 13. γράφεται καὶ ἐτύχθη Paris. — 141 διακριθένταc CDL Cant. Mor. Lips. Rom. Eust. 1200, 48; sed 1200, 56 διακρινθήμεναι ὀΐω. — 142 οὔλυμπον δὲ AD. — 143 ὕπο A. ἀνάγκῃ ἶφι ACDGLS Syr. ἀνάγκηc ἶφι Harl. ἀνάγκῃ ἦφι Flor. ἶφι E, omisso ἀνάγκῃ. γρ. ἀναγκαίηφι A, ita H Vrat. d. δαμένтεc D. — 144 κυανοχαίτηc A. — 145 ἡρακλεῖοc L. — 146 τρῷεc L. — 147 ἀλέαιτο AHLS Syr. Lips. Vat. ἀλέοιτο DG edd. vett. Schol. Pind. Nem. I, 96. Plutarchus Plat. Quaest. 3, 4. ἀλέcαιτο ἢ ἀλέοιτο Eust. ἀλέηται Barocc. Mor. ἀλέατο C.

A. c. 138 ἀρίcταρχοc προκρίνει τὴν διὰ τοῦ ω̄ γραφήν· γράφεcθαι φηcι καὶ διὰ τοῦ η̄ ἄρχηcι Didymus. ἄρχηcι Zenodotus. τινὲc δὲ γράφουcιν ἄρχηcι Eust. 1200, 55. ἢ Φοῖβοc Ἀπόλλων· οὕτωc Ἀρίcταρχοc. γράφεται εἰ δέ κεν ὣc ἄρχωcιν Ἄρηc καὶ Φοῖβοc Ἀπόλλων Schol. V.

ὁππότε μιν ϲεύαιτο ἀπ' ἠιόνοϲ πεδίον δέ.
ἔνθα Ποϲειδάων κατ' ἄρ' ἕζετο καὶ θεοὶ ἄλλοι,
ἀμφὶ δ' ἄρ' ἄρρηκτον νεφέλην ὤμοιϲιν ἕϲαντο·
οἳ δ' ἑτέρωϲε καθῖζον ἐπ' ὀφρύϲι Καλλικολώνηϲ
ἀμφὶ ϲέ, ἤϊε Φοῖβε καὶ Ἄρηα πτολίπορθον.
ὣϲ οἳ μέν ῥ' ἑκάτερθε καθείατο μητιόωντεϲ
βουλάϲ· ἀρχέμεναι δὲ δυϲηλεγέοϲ πολέμοιο
ὤκνεον ἀμφότεροι, Ζεὺϲ δ' ἥμενοϲ ὕψι κέλευε.
τῶν δ' ἅπαν ἐπλήϲθη πεδίον, καὶ λάμπετο χαλκῷ,
ἀνδρῶν ἠδ' ἵππων· κάρκαιρε δὲ γαῖα πόδεϲϲιν
ὀρνυμένων ἄμυδιϲ. δύο δ' ἀνέρεϲ ἔξοχ' ἄριϲτοι
ἐϲ μέϲον ἀμφοτέρων ϲυνίτην μεμαῶτε μάχεϲθαι,
Αἰνείαϲ τ' Ἀγχιϲιάδηϲ καὶ δῖοϲ Ἀχιλλεύϲ.
Αἰνείαϲ δὲ πρῶτοϲ ἀπειλήϲαϲ ἐβεβήκει,
νευϲτάζων κόρυθι βριαρῇ· ἀτὰρ ἀϲπίδα θοῦριν
πρόϲθεν ἔχε ϲτέρνοιο, τίναϲϲε δὲ χάλκεον ἔγχοϲ.
Πηλείδηϲ δ' ἑτέρωθεν ἐναντίον ὦρτο λέων ὥϲ,
ϲίντηϲ, ὅν τε καὶ ἄνδρεϲ ἀποκτάμεναι μεμάαϲιν
ἀγρόμενοι πᾶϲ δῆμοϲ· ὁ δὲ πρῶτον μὲν ἀτίζων
ἔρχεται, ἀλλ' ὅτε κέν τιϲ ἀρηιθόων αἰζηῶν

V. L. 148 ϲεύετο D. ϲεύατο Vat. ϲεύοιτο Harl. Vrat. A. πεδίον δέ A. — 149 ποϲιδάων A Syr. ἀρ A. ἆρ GL. καταρέζετο CD. ΚΑΤΑΡΕΖΕΤΟ Syr. — 150 ἀμφι D. ἆρ ADGL. πάντεϲ δὲ ἄῤῥηκτον E. — 151 οἵδ' CGL. κάθιζον CDEGL. ἑτέρωϲ ἐκάθιζον Schol. Υ 53. καλλικολώνηϲ AC. — 152 ἀμφι A. — 153 ὥϲ AD 1. man. μέν ῥ' ἀπάνευθε S Cant. Vrat. d. καθήατο LS Barocc. Mor. Lips. — 155 ὄκνεον Townl. κέλευε ACDGL Syr. — 156 καὶ ἐλάμπετο ACDEGLS. ΕΛΑΜΠ . . . Syr. — 158 δύω C. δύω D. γράφεται καὶ ἄμυδιϲ δὲ δύ' ἀνέρεϲ Paris. — 159 ἀμφοτέρω G. — 160 versus, quem omitt. Barocc., in Syr. et Cant. ante 159 est collocatus. τ' omitt. L. ἀχϊλεύϲ C. δῖοϲ ὀδυϲϲεύϲ D. — 162 κόρυθα βριαρήν Zonar. Lex. 1409. ΑΤΑΡ' Syr. αὐτὰρ C. — 163 γραφεταὶ καὶ τινάϲϲων Paris. — 164 ὡϲ A. — 165 μεμάαϲι D. — 166 ἀγρόμενοϲ Eust. 28, 46. ὁ δὲ κρειῶν (κρεῖον Lips.) ἐρατίζων L Lips. — 167 ἀρκιθόων G.

A. c. 152 ἤϊε Aristarchus: ἠϊε Crates et Herodianus, cf. H. T. 274. — 155 κατ' ἔνια διὰ τοῦ ο̄ ὄκνεον Didymus. — 156 ἀρίϲταρχοϲ ἰακῶϲ λάμπετω Didymus, conf. Ζ 319. Θ 494. Ξ 35. Ψ 163. δ 659. Β 510. Ν 260. sed plerumque in hac sede post καὶ augmentum non solet omitti, conf. Λ 106. Ν 609. Ψ 617. Ω 571. β 106. ζ 9. 10. η 61. ν 206. ρ 367. 412. τ 151. ω 141. 444. H. U. 86. — 166 ἀγρόμενοι Aristarchus.

δουρὶ βάλῃ, ἐάλη τε χανών, περί τ' ἀφρὸϲ ὀδόνταϲ
γίγνεται, ἐν δέ τέ οἱ κραδίῃ ϲτένει ἄλκιμον ἦτορ,
οὐρῇ δὲ πλευράϲ τε καὶ ἰϲχία ἀμφοτέρωθεν
μαϲτίεται, ἓε δ' αὐτὸν ἐποτρύνει μαχέϲαϲθαι,
γλαυκιόων δ' ἰθὺϲ φέρεται μένει, ἤν τινα πέφνῃ
ἀνδρῶν, ἢ αὐτὸϲ φθίεται πρώτῳ ἐν ὁμίλῳ·
ὣϲ Ἀχιλῆ' ὤτρυνε μένοϲ καὶ θυμὸϲ ἀγήνωρ
ἀντίον ἐλθέμεναι μεγαλήτοροϲ Αἰνείαο.
οἳ δ' ὅτε δὴ ϲχεδὸν ἦϲαν ἐπ' ἀλλήλοιϲιν ἰόντεϲ,
τὸν πρότεροϲ προϲέειπε ποδάρκηϲ δῖοϲ Ἀχιλλεύϲ·
Αἰνεία, τί ϲὺ τόϲϲον ὁμίλου πολλὸν ἐπελθὼν
ἔϲτηϲ; ἦ ϲέ γε θυμὸϲ ἐμοὶ μαχέϲαϲθαι ἀνώγει
ἐλπόμενον Τρώεϲϲιν ἀνάξειν ἱπποδάμοιϲι
τιμῆϲ τῆϲ Πριάμου; ἀτὰρ εἴ κεν ἔμ' ἐξεναρίξηϲ,
οὔ τοι τοὔνεκά γε Πρίαμοϲ γέραϲ ἐν χερὶ θήϲει·
εἰϲὶν γάρ οἱ παῖδεϲ, ὁ δ' ἔμπεδοϲ οὐδ' ἀεϲίφρων.
ἦ νύ τί τοι Τρῶεϲ τέμενοϲ τάμον ἔξοχον ἄλλων,
καλὸν φυταλιῆϲ καὶ ἀρούρηϲ, ὄφρα νέμηαι,
αἴ κεν ἐμὲ κτείνῃϲ; χαλεπῶϲ δέ ϲ' ἔολπα τὸ ῥέξειν.

V. L. 168 ἑάλη G. ἐάλη τὲ C. — 169 γίγνεται L Syr. γίνεται ACDEGH Lips. Rom. ἔν δέ τε A. ΘΒΡΙΜΟΝΗ͂ΤΟΡ' Syr. — 170 οὐρῇ τὲ L. πλευρὰϲ καὶ L Cram. An. Ox. III, 111, 22. ἰϲχίον Rhet. Gr. I, 264, 27. — 171 μαϲτίεται αἰὲ δ' αὐτὸν D. μαϲτίετ' αἰὲν δ' S Cant. αἰεὶ δ' Vrat. A. ἓε L Et. Mg. 66. 6. 642, 6. Apollon. de Pron. 58 B. 103 A. 107 A. Cram. Ep. 301, 26. αἰεὶ δ' αὐτὸν Schol. Nicand. Ther. 123. ἐπὶ δ' αὐτὸν Cram. An. Ox. III, 111, 23. μαχέεϲθαι CL Lips. Harl. Barocc. μάχεϲθαι S. ἐποτρύνει καὶ ἀνώγει Bachm. Anecd. II, 70, 5. — 174 ὡϲ AD 1. man. ἀχιλῆ D Schol. Ο 339. — 176 οἵδ' CGL. — 177 ἀχϊλεύϲ C. — 178 τί ϲυ A. τί νυ Lips. τόϲον G. ἀπελθὼν L Harl. Vat. ἐπελθὼν (α supra) A. — 179 ἢ CEGL. μάχεϲθαι S. — 180 τρῴεϲϲιν L. ἱπποδάμοιϲι CD. ἱπποδάμοιϲι A. — 181 εἴ περ E. εἴ κεν μ' ἐξεναρίζηϲ Vrat. A. ἐξεναρίξειϲ ES Cant. Barocc. Mor. — 182 τοὔνεκά ϲε L. χειρὶ C. χερϲὶ DEG Vrat. A. Flor. Rom. — 183 εἰϲὶν ACLS Cant. Mor. Barocc. Vat. Lips. Townl. εἰϲὶ DEGH edd. vett. γὰρ οἳ H. ὃ δ' D. ὅδ' CGH Vrat. A. ἀεϲϲίφρων C. — 184 ἤ E. νύ τι τοι ACG. νύ τι ϲοι L. τρῷεϲ L. — 185 καλὸν: ἐϲθλὸν AC Barocc. Mor. γρ. καλὸν A. — 186 κτείνειϲ D. τὸ ῥέξαι H (αι 2. man.). τόδ' ἔρδειν L. τόδ' ἔρξειν Barocc. τόδε ῥέξειν Lips.

A. c. 170 γρ. ἀμφοτέρωϲε ἔν τιϲιν οὐ φαυλῶϲ Didymus. — 174 Ἀχιλῆ': alii Ἀχιλῆ, conf. Schol. Ο 339. — 180—186 ἀθετοῦνται Aristonicus.

ἤδη μὲν cέ γέ φημι καὶ ἄλλοτε δουρὶ φοβῆcαι.
ἦ οὐ μέμνῃ, ὅτε πέρ cε βοῶν ἄπο μοῦνον ἐόντα
cεῦα κατ' Ἰδαίων ὀρέων ταχέεccι πόδεccι
καρπαλίμωc; τότε δ' οὔ τι μετατροπαλίζεο φεύγων.
ἔνθεν δ' ἐc Λυρνηccὸν ὑπέκφυγεc· αὐτὰρ ἐγὼ τὴν
πέρcα μεθορμηθεὶc cὺν Ἀθήνῃ καὶ Διὶ πατρί,
ληιάδαc δὲ γυναῖκαc ἐλεύθερον ἦμαρ ἀπούραc
ἦγον· ἀτὰρ cὲ Ζεὺc ἐρρύcατο καὶ θεοὶ ἄλλοι.
ἀλλ' οὐ νῦν cε ῥύεcθαι ὀίομαι, ὡc ἐνὶ θυμῷ
βάλλεαι· ἀλλά c' ἐγώ γ' ἀναχωρήcαντα κελεύω
ἐc πληθὺν ἰέναι, μὴ δ' ἀντίοc ἵcταc' ἐμεῖο,
πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιοc ἔγνω.
τὸν δ' αὖτ' Αἰνείαc ἀπαμείβετο φώνηcέν τε·
Πηλεΐδη, μὴ δή μ' ἐπέεccί γε νηπύτιον ὣc
ἔλπεο δειδίξεcθαι, ἐπεὶ cάφα οἶδα καὶ αὐτὸc
ἠμὲν κερτομίαc ἠδ' αἴcυλα μυθήcαcθαι.
ἴδμεν δ' ἀλλήλων γενεήν, ἴδμεν δὲ τοκῆαc,
πρόκλυτ' ἀκούοντεc ἔπεα θνητῶν ἀνθρώπων·
ὄψει δ' οὔτ' ἄρ πω cὺ ἐμοὺc ἴδεc οὔτ' ἄρ' ἐγὼ cούc·
φαcὶ cὲ μὲν Πηλῆοc ἀμύμονοc ἔκγονον εἶναι,
μητρὸc δ' ἐκ Θέτιδοc καλλιπλοκάμου ἁλοcύδνηc·
αὐτὰρ ἐγὼν υἱὸc μεγαλήτοροc Ἀγχίcαο

V. L. 187 μέν cέ γε φημὶ AH. μέν cε γε φημὶ C. 2. man. (1. man. omitt. γε) L. φημὴ G. vulgo μὲν cέ γε φημί. φοβῆcαι DHLS Cant. Harl. Vat. Lips. Mosc. 2. Vrat. d. A. φόβηcα ACE bis G edd. vett. — 188 ἢ CDEGHL. ὅτϊ H. ἀπὸ L. — 189 πόδεccι ACDEG Strabo XIII, 607. πόδεcι H. — 190 τότε δ': πρὶν δ' Et. Mg. 345, 36. Et. Or. 62, 28. μετετροπαλίζεο CDGS Cant. Harl. Mosc. 2. Flor. hunc versum omittit Strabo XIII, 607. — 191 ἔνθεν: κεῖθεν Strabo l. l. λυρνηcὸν L Lips. λυρνηcὸν [c] C. — 193 ἥμαρ D. — 194 ἐρρύcατο omnes, conf. ad B 859. — 195 cε ῥύεcθαι ACEGHL Barocc. Harl. Townl. Vrat. A. c' ἐρύεcθ' D. νῦν ἐρύεcθαι S. ἐνι D. — 196 ἀναχορήcαντα G. κελεύω: κέλομαι E Rom. — 197 μὴ δ' CDHL. ἐμοῖο E ter Vrat. b. — 200 μ' omitt. S Cant. ὡc A. — 201 δειδίξεcθαι [α] A. — 202 ἦ μὲν A. ἦμὲν H. — 205 οὐτάρ D. οἶδαc [ϊ, εc] C. ἄρ ἐγὼ ADEGHL. hunc versum omitt. Pseudoplut. 61, 35. — 206 πηλεῖοc G. εὔγονοc G. — 207 μητρόc τ' ACL Mor.

A. c. 188 ἡ ῥιανοῦ καὶ ἀριcτοφάνουc βοῶν ἔπι οὐκ ἀχαρίτωc Didymus. ἐν τῇ Χίᾳ δὲ βοῶν ἔπι Schol. AB. ἄπο Herodianus: alii ἀπὸ. — 195 cε ῥύεcθαι: οὕτωc ἀρίcταρχοc ἐρύεcθαι χωρὶc τοῦ cε Didymus. — 195—198 ἀθετοῦνται, asterisci; ὀρθῶc P 30—33. — 205—209 ἀθετοῦνται cτίχοι πέντε Aristonicus.

εὔχομαι ἐκγεγάμεν, μήτηρ δέ μοί ἐcτ' Ἀφροδίτη·
τῶν δὴ νῦν ἕτεροί γε φίλον παῖδα κλαύcονται
cήμερον· οὐ γάρ φημ' ἐπέεccί γε νηπυτίοιcιν
ὧδε διακρινθέντε μάχηc ἐξ ἀπονέεcθαι.
εἰ δ' ἐθέλειc, καὶ ταῦτα δαήμεναι, ὄφρ' ἐὺ εἰδῇc
ἡμετέρην γενεήν, πολλοὶ δέ μιν ἄνδρεc ἴcαcι·
Δάρδανον αὖ πρῶτον τέκετο νεφεληγερέτα Ζεύc,
κτίccε δὲ Δαρδανίην, ἐπεὶ οὔ πω Ἴλιοc ἱρὴ
ἐν πεδίῳ πεπόλιcτο, πόλιc μερόπων ἀνθρώπων,
ἀλλ' ἔθ' ὑπωρείαc ᾤκεον πολυπίδακοc Ἴδηc.
Δάρδανοc αὖ τέκεθ' υἱὸν Ἐριχθόνιον βαcιλῆα,
ὃc δὴ ἀφνειότατοc γένετο θνητῶν ἀνθρώπων·
τοῦ τριcχίλιαι ἵπποι ἕλοc κάτα βουκολέοντο
θήλειαι, πώλοιcιν ἀγαλλόμεναι ἀταλῇcι.
τάων καὶ Βορέηc ἠράccατο βοcκομενάων,
ἵππῳ δ' εἰcάμενοc παρελέξατο κυανοχαίτῃ·
αἱ δ' ὑποκυcάμεναι ἔτεκον δυοκαίδεκα πώλουc.

V. L. 209 δέ μοι ἔcτ' CGHL. — 210 ἕταροί γε CD. — 211 γὰρ φήμ' D. ἐπέεccί τε Barocc. — 212 διακριθέντε CEG Barocc. Rom. διακριθέντεc HL. διακρινθέντεc Lips. ἐξαπονέεcθαι ACDEGHLS. — 214 ἴcαcι D. — 215 αὖ: ἄρ LS Cant. Lips. Vrat. d. ἀῦ [ρ] A. τέκετο: τέτοκεν Tzetzes Alleg. 378. νεφεληγερέτα A. — 216 κτίcε E Vrat. A. Flor. κτίζε G. — 218 ἀλλ' ἴθ' G. αἵ ῥά θ' ὑπωρείαc Apoll. Soph. 160, 16. ᾤκεον libri mei, Strabo XIII, 592. Apoll. Soph. ᾤκουν E Plato Legg. III, 681 E. πολυπίδακοc AL Mor. Harl. Lips. πολυπίδάκοc [ου] C (ου 2. man. add.): πολυπιδάκου DEGHS edd. vett. Apoll. Soph. 160, 16. Plato l. l. Strabo XIII, 592. Pseudoplut. 61, 41. γρ. πολυπιδάκου A. — 221 τριcχίλιοι Maximus Tyrius Diss. XXXIX, 1. κάτα ADG: καταβουκολέοντο CE HL Vrat. A. Mor. Rom. Max. Tyr. l. l. — 222 ἀταλῇcι ACDE. ἀταλῆcιν H. ἀταλοῖcιν L Barocc. Lips. Vrat. b. ἀπαλῇcι G. ἀπαλοῖcιν Vrat A. — 223 ἠράcατο [c] L. ἠράcατο Lips. ἠρήcατο S. — 224 huic subiunctus est in C man. rec. S in marg. versus ἐν μαλακῷ λειμῶνι καὶ ἄνθεcιν εἰαρινοῖcιν, quem codd. Cant. Harlei. post 223 habent. — 225 αἳ δ' ADH. αἵδ' CGL. ὑποκυccάμενοι CGLS Lips. edd. vett. ὑποκυcάμενοι ADEH. δύοκαίδεκα A. δυοκαίδεκα CL.

A. c. 213 εἰ δ' ἐθέλειc, καὶ ταῦτα δαήμεναι Aristarchus (ἀπαρέμφατον ἀντὶ προcτακτικοῦ Aristonicus), vide Nicanorem ad Z 150. Aristarchus εἰδῇc: εἴδηc Tyrannio, conf. Schol. Z 150. α 174. — 218 πολυπίδακοc Aristarchus, cf. H. T. 343. — 221 κάτα Herodianus. — 224 τινὲc γράφουcιν „ἵππῳ δ' εἰcάμενοc ἐμίγη φιλότητι καὶ εὐνῇ" Schol. A. altera scriptura est Aristarchi. — 225 δυοκαίδεκα: δύο καὶ δέκα Pamphilus, conf. H. T. 228.

αἳ δ' ὅτε μὲν cκιρτῷεν ἐπὶ ζείδωρον ἄρουραν,
ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέον οὐδὲ κατέκλων·
ἀλλ' ὅτε δὴ cκιρτῷεν ἐπ' εὐρέα νῶτα θαλάccηc,
ἄκρον ἔπι ῥηγμῖνοc ἁλὸc πολιοῖο θέεcκον.
Τρῶα δ' Ἐριχθόνιοc τέκετο Τρώεccιν ἄνακτα·
Τρωὸc δ' αὖ τρεῖc παῖδεc ἀμύμονεc ἐξεγένοντο,
Ἶλόc τ' Ἀccάρακόc τε καὶ ἀντίθεοc Γανυμήδηc,
ὃc δὴ κάλλιcτοc γένετο θνητῶν ἀνθρώπων·
τὸν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν
κάλλεοc εἵνεκα οἷο, ἵν' ἀθανάτοιcι μετείη.
Ἶλοc δ' αὖ τέκεθ' υἱὸν ἀμύμονα Λαομέδοντα,
Λαομέδων δ' ἄρα Τιθωνὸν τέκετο Πρίαμόν τε
Λάμπόν τε Κλυτίον θ' Ἱκετάονά τ', ὄζον Ἄρηοc.
Ἀccάρακοc δὲ Κάπυν, ὁ δ' ἄρ' Ἀγχίcην τέκε παῖδα·
αὐτὰρ ἔμ' Ἀγχίcηc, Πρίαμοc δ' ἔτεχ' Ἕκτορα δῖον.
ταύτηc τοι γενεῆc τε καὶ αἵματοc εὔχομαι εἶναι.
Ζεὺc δ' ἀρετὴν ἄνδρεccιν ὀφέλλει τε μινύθει τε,
ὅππωc κεν ἐθέληcιν· ὁ γὰρ κάρτιcτοc ἁπάντων.
ἀλλ' ἄγε μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὥc,
ἑcταότ' ἐν μέccῃ ὑcμίνῃ δηιοτῆτοc.
ἔcτι γὰρ ἀμφοτέροιcιν ὀνείδεα μυθήcαcθαι

V. L. 226 αἳ δ' D. αἵδ' CGHL. ἀλλ' ὅτε δὴ Rhet. Gr. III, 221, 25. ὅτε μὲν (δη supra) A. αἵδ' ὅτε δὴ Schol. Apoll. Rhod. I, 184. ἐπ' εὐρέα νῶτα θαλάccηc D et in marg. man. rec. γράφεται καὶ ἐπὶ ζήδ ἄρουραν. — 227 καρπῶν S Flor. — 229 * ἔπι: libri ἐπὶ. — 230 τρῷα L. ἐριχθώνιοc D. τρῴεccιν L. — 231 τρῳὸc L. τρωῒ Et. Gud. 537, 10. Cram. Ep. 404, 29. ἀμύμονεc ACDEGS edd. vett. Et. Gud. 537, 10. Cram. Ep. 404, 29: ἀμύμονοc HL Vrat. b. A. Mosc. 2. conf. Λ 692. Ξ 115. — 232 ἴλλοc GS Lips. Cant. Vrat. d. Flor. — 233 δὴ καὶ κάλλιcτοc H. — 234 τὸν libri, Apollon. de Pron. 60 A. Schol. Apoll. Rhod. III, 114. ὃν καὶ Apoll. de Synt. 153, 1. Euseb. Praep. Ev. VIII, 14, 7. ἀνηρείψαντο A. — 235 οὕνεκα E. μετείῃ G. — 236 ἴλλοc GS Lips. Cant. Vrat. d. Flor. — 238 λάμπόν τε A. κλύτιόν L. κλυτίον τ' Lips. — 239 ὃ δ' DL. ὅδ' CH. ἄρ ADEGHL. ἀγχίcιν A. — 240 δὲ τέχ' Vrat. d. — 242 δ' ἄνδρεccιν D. ἄνδρεcιν Lips. — 243 ὅπωc E. ὃ ACDGHL Orionis Anthologignomicum V, 13 (ed. Meinecke. pg. 256). κράτιcτοc DH. κ' ὄχ' ἄριcτοc AC. ἐν ἄλλῳ ὁ γάρ κ' ὄχ' ἄριcτοc ἁπάντων A ut in textu. — 244 ἀλλά γε DL.

A. c. 228 ἀρίcταρχοc ἀλλ' ὅτε δέ, ἄλλοι δὲ ἀλλ' ὅτε δὴ διὰ τοῦ η̄ Didymus. — 234 κατ' ἔνια τὸν μὲν ἀνηρείψαντο Didymus. ἀνηρείψαντο Aristarchus: ἂν ἠρείψαντο Apollonius Theonis. — 235 asteriscus; οὐκ ὀρθῶc ο 251.

πολλὰ μάλ'· οὐδ' ἂν νηῦc ἑκατόζυγοc ἄχθοc ἄροιτο.
cτρεπτὴ δὲ γλῶcc' ἐcτὶ βροτῶν, πολέεc δ' ἔνι μῦθοι
παντοῖοι, ἐπέων δὲ πολὺc νομὸc ἔνθα καὶ ἔνθα.
ὁπποῖόν κ' εἴπηcθα ἔποc, τοῖόν κ' ἐπακούcαιc.
ἀλλὰ τί ἦ ἔριδαc καὶ νείκεα νῶιν ἀνάγκη
νεικεῖν ἀλλήλοιcιν ἐναντίον, ὥc τε γυναῖκαc,
αἵ τε χολωcάμεναι ἔριδοc πέρι θυμοβόροιο
νεικεῦc' ἀλλήλῃcι μέcην ἐc ἄγυιαν ἰοῦcαι,
πόλλ' ἐτεά τε καὶ οὐκί· χόλοc δέ τε καὶ τὰ κελεύει.
ἀλκῆc δ' οὔ μ' ἐπέεccιν ἀποτρέψειc μεμαῶτα
πρὶν χαλκῷ μαχέcαcθαι ἐναντίον· ἀλλ' ἄγε θᾶccον
γευcόμεθ' ἀλλήλων χαλκήρεcιν ἐγχείῃcιν.
ἦ ῥα, καὶ ἐν δεινῷ cάκει ἤλαcεν ὄβριμον ἔγχοc,
cμερδαλέῳ· μέγα δ' ἀμφὶ cάκοc μύκε δουρὸc ἀκωκῇ.

V. L. 247 οὐδ' αὖ D. ἑκατόζυγοc A. ἑκατόζυγοc CDEGHS Townl. Vrat. d. A. Flor. Rom. ἑκατόνζυγοc L Lips. Schol. Pind. Pyth. IV, 501. ἄροιτεο G. — 248 τρεπτὴ H Vrat. d. δέ τε γλῶcc' D. ἐνι D. ἐνὶ Pseudoplut. 151, 51. — 250 ὁποῖον EL Lips. ἐπακούcῃc Pseudoplut. 151, 51. Eust. 1312, 43. — 251 τί ἢ A. τιὴ E: κατὰ δέ τινα τῶν ἀντιγράφων γράφεται ἀλλὰ τίη Eust. 1206, 57. καὶ νείκεα: ἐν ἄλλῳ καὶ ὀνείδεα A. ἀνάγκῃ AG. — 252 γυναῖκεc Vrat. A. — 253 περὶ EL. περι D. θυμοβόροιο C. — 254 ἀγυιὰν CL. — 255 πόλλ' ἐτεά τε καὶ οὐκί A in marg. C post ras. DEGHLS et Heynii libri. πολλὰ τά τε καὶ οὐκὶ A Ven. B et fortasse C 1. man. χόλοc δὲ καὶ C. κατακελεύει D pro καὶ τὰ κελεύει. — 256 ἐπέεccι μεταcτρέψειc AC. γρ. ἀποcτρέψειc A, ita E Cant. Vat. Mosc. 2. ἀποτρέψῃc Vrat. A. ἀποτρέψειc μεμαῶτα ἐπέεccιν D. — 257 μαχέεcθαι Harl. ἀλλά γε D. θάccον G. — 259 ῥὰ CDGHL. δινῶι A. ἤλαcε χάλκεον DL Lips. edd. vett. ἤλαcεν ὄβριμον AEGHS Cant. Mor. Harl. Vrat. A. Mosc. 2. ὄμβριμον C Cram. An. Par. III, 26, 32. — 260 cμερδαλέον G Cant. Vrat. A. Flor. cμερδαλέῳ (ον supra) H. cμαρδαλέον S. ἀμφι D. μῦκε G. ἀκωκὴ EGLS.

A. c. 251—255 ἀθετοῦνται Aristonicus. — 251 τί ἤ: ὁ η̄ τῷ μὲν τί ὑποταccόμενοc ὀξύνεται, τῷ δὲ ἐπεί περιcπᾶται Cram. An. Par. III, 291, 8. conf. Schol. A. — 255 πολλὰ τά τε καὶ οὐκί: οὕτωc ἀρίcταρχοc. ἄλλοι δὲ πολλά τ'ε εόντα ταδ' οὐκί (sic) Didymus. οὕτωc Ἀρίcταρχοc πολλὰ τά τε καὶ οὐκί, τά τε ταῖc ἀληθείαιc ὄντα καὶ μή. τὰ δὲ φαυλότερα τῶν ἀντιγράφων „ἐτεά“ ἔχει, τουτέcτιν ἀληθῆ Schol. A. τὰ δὲ εἰκαιότερα τῶν ἀντιγράφων πόλλ' ἔτεά τοι Cram. An. Par. III, 291, 10. ἐν δὲ τῷ πολλὰ „ἐτεά τε καὶ οὐκί“ γράφουcιν οἱ παλαιοί, ὅτι τὰ τῶν ἀντιγράφων εἰκαιότερα ἔχουcι τὴν τοιαύτην γραφήν, τὰ δὲ ἀκριβέcτερα οὐχ οὕτωc, ἀλλ' ὅτι „πολλά τε ὄντα καὶ οὐκί“, ὅ ἐcτι πολλὰ ἀληθῆ καὶ ψευδῆ Eust. 1206, 64. πολλά τε ὄντα καὶ οὐκί: οὕτωc αἱ Ἀριcτάρχου, ἀντὶ τοῦ τά τε τῆc ἀληθείαc ὄντα καὶ οὔ Schol. V, cui fides est nulla. — 259 δεινῷ cάκεϊ ἔλαc' Aristarchus teste Didymo. conf. Cram. An. Par. III, 291, 11. Eust. 1207, 7.

Πηλείδης δὲ cάκος μὲν ἀπὸ ἕο χειρὶ παχείῃ
ἔcχετο ταρβήcαc· φάτο γὰρ δολιχόcκιον ἔγχος
ῥέα διελεύcεcθαι μεγαλήτοροc Αἰνείαο,
νήπιοc, οὐδ' ἐνόηcε κατὰ φρένα καὶ κατὰ θυμόν,
ὡc οὐ ῥηίδι' ἐcτὶ θεῶν ἐρικυδέα δῶρα
ἀνδράcι γε θνητοῖcι δαμήμεναι οὐδ' ὑποείκειν.
οὐδὲ τότ' Αἰνείαο δαΐφρονοc ὄβριμον ἔγχοc
ῥῆξε cάκοc· χρυcὸc γὰρ ἐρύκακε, δῶρα θεοῖο·
ἀλλὰ δύω μὲν ἔλαccε διὰ πτύχαc, αἱ δ' ἄρ' ἔτι τρεῖc
ἦcαν, ἐπεὶ πέντε πτύχαc ἤλαcε κυλλοποδίων,
τὰc δύο χαλκείαc, δύο δ' ἔνδοθι καccιτέροιο,
τὴν δὲ μίαν χρυcέην· τῇ ῥ' ἔcχετο μείλινον ἔγχοc.
    δεύτεροc αὖτ' Ἀχιλεὺc προΐει δολιχόcκιον ἔγχοc,
καὶ βάλεν Αἰνείαο κατ' ἀcπίδα πάντοc' ἐίcην,
ἄντυγ' ὕπο πρώτην, ᾗ λεπτότατοc θέε χαλκόc,
λεπτοτάτη δ' ἐπέην ῥινὸc βοόc· ἡ δὲ διὰ πρὸ
Πηλιὰc ἤιξεν μελίη, λάκε δ' ἀcπὶc ὑπ' αὐτῆc.
Αἰνείαc δ' ἐάλη καὶ ἀπὸ ἕθεν ἀcπίδ' ἀνέcχε
δείcαc· ἐγχείη δ' ἄρ' ὑπὲρ νώτου ἐνὶ γαίῃ
ἔcτη ἱεμένη, διὰ δ' ἀμφοτέρουc ἕλε κύκλουc

V. L. 261 πηλείδηc μὲν cάκοc ἀπὸ ἕο D. — 262 δολιχόcκιον A. — 263 ῥεῖα δ' ἐλεύcεcθαι ACDGH. ῥεῖα διελεύcεcθαι S Townl. Schol. Λ 439. ῥέα δι' ἐλεύcεcθαι Lips. ῥέα διελεύcεcθαι L. — 264 καταφρένα D. — 267 ὄμβριμον CHL Lips. — 269 δύο E bis S Lips. Schol. Φ 165. Cram. An. Par. III, 26, 35. ἔλαcε E Vrat. A. δια AH. αἳ δ' D. αἵδ' CGH. ἆρ ADEG. αἳ γὰρ L. τινὲc γράφουcι δύο μὲν θλάcε (sic) Eust. 1208, 9. — 270 ἐπὶ G. — 272 χρυcῆν ACDEGHL Schol. Δ 138. Υ 271. χρυcέην Heyne. μείλινον ACEH Vrat. A. Mosc. 2. Rom. Porphyrius ad Υ 271. χάλκεον DGL cum aliis. Aristoteles Poët. 25. — 273 ἀχιλλεὺc D Rom. δολιχόcκιον A. — 274 πάντοcε ἴcην DEGLS Lips. Vrat. A. πάντοcε, ἶcην A. — 275 ὑπὸ CDEGHL. ὕπο A. — 276 ἣ δὲ CG. διὰ πρὸ G Schol. Π 669. Υ 323. vulgo διαπρὸ, ita ACDEHL Rom. — 277 ἤϊξε DEGL 1. man. Lips. Flor. — 278 ἐάλη L. ἀπὸ: ὑπὸ Bekk. Anecd. 1146. ἀνέcχε ACEGL. — 279 ἆρ ACDEGHL. ὕπερ A. ἐνι AD. — 280 ἰεμένη D. δια CDL.

A. c. 261 ἕο: ὅτι Ζηνόδοτοc γράφει ἀπὸ οὗ Aristonicus, conf. Apoll. de Pron. 97 A. de Synt. 163, 10. 164, 3. — 263 ἀρίcταρχοc ἔξω τοῦ ῑ ῥέα Didymus, conf. Ν 144. — 265 δῶρα: ἔν τιcιν ἔργα Schol. A. — 269 δύω μὲν θλάccε Autochthon grammaticus teste Eust. 1207, 49. — 269—272 ἀθετοῦνται cτίχοι τέccαρεc Aristonicus. προηθετοῦντο παρ' ἐνίοιc τῶν cοφιcτῶν. ἐν ἐνίοιc δὲ οὐδὲ ἐφέροντο Schol. V. conf. Schol. Φ 165. 594. — 273 Ζηνόδοτοc μετεποίηcεν „Ἀχιλεὺc μελίην ἰθυπτίωνα ἀcπίδα νύξ' ἐc χαλκὸν ἀμύμονοc Αἰνείαο Aristonicus, conf. Schol. Townl. apud Cram. An. Par. III, 291, 14 Ζηνόδοτοc δεύτερον αὖτ' Ἀχιλεὺc μελίην ἰθυπτίονα ἔπειτα νύξε χαλκὸν ἀμύμονοc Αἰνείαο.

ἀcπίδοc ἀμφιβρότηc· ὁ δ' ἀλευάμενοc δόρυ μακρὸν
ἔcτη, κὰδ δ' ἄχοc οἱ χύτο μύριον ὀφθαλμοῖcι,
ταρβήcαc ὅ οἱ ἄγχι πάγη βέλοc. αὐτὰρ Ἀχιλλεὺc
ἐμμεμαὼc ἐπόρουcεν ἐρυccάμενοc ξίφοc ὀξύ,
cμερδαλέα ἰάχων· ὁ δὲ χερμάδιον λάβε χειρὶ
Αἰνείαc, μέγα ἔργον, ὃ οὐ δύο γ' ἄνδρε φέροιεν,
οἷοι νῦν βροτοί εἰc'· ὁ δέ μιν ῥέα πάλλε καὶ οἶοc.
ἔνθά κεν Αἰνείαc μὲν ἐπεccύμενον βάλε πέτρῳ
ἢ κόρυθ' ἠὲ cάκοc, τό οἱ ἤρκεcε λυγρὸν ὄλεθρον,
τὸν δέ κε Πηλείδηc cχεδὸν ἄορι θυμὸν ἀπηύρα,
εἰ μὴ ἄρ' ὀξὺ νόηcε Ποcειδάων ἐνοcίχθων.
αὐτίκα δ' ἀθανάτοιcι θεοῖc μετὰ μῦθον ἔειπεν·
    ὢ πόποι, ἦ μοι ἄχοc μεγαλήτοροc Αἰνείαο,
ὃc τάχα Πηλείωνι δαμεὶc Ἄϊδοc δὲ κάτειcι,
πειθόμενοc μύθοιcιν Ἀπόλλωνοc ἑκάτοιο,
νήπιοc, οὐδέ τί οἱ χραιcμήcει λυγρὸν ὄλεθρον.
ἀλλὰ τί ἢ νῦν οὗτοc ἀναίτιοc ἄλγεα πάcχει,
μὰψ ἕνεκ' ἀλλοτρίων ἀχέων; κεχαριcμένα δ' αἰεὶ
δῶρα θεοῖcι δίδωcι, τοὶ οὐρανὸν εὐρὺν ἔχουcιν.
ἀλλ' ἄγεθ' ἡμεῖc πέρ μιν ὑπ' ἐκ θανάτου ἀγάγωμεν,
μή πωc καὶ Κρονίδηc κεχολώcεται, αἴ κεν Ἀχιλλεὺc
τόνδε κατακτείνῃ· μόριμον δέ οἵ ἐcτ' ἀλέαcθαι,
ὄφρα μὴ ἄcπερμοc γενεὴ καὶ ἄφαντοc ὄληται
Δαρδάνου, ὃν Κρονίδηc περὶ πάντων φίλατο παίδων,
οἳ ἕθεν ἐξεγένοντο γυναικῶν τε θνητάων.

V. L. 281 ὃ δ' D. ὅδ' CGHL. — 282 καδδ' ACDGHL. οἷ L. ὀφθαλμοῖcι ACDG. — 283 οἳ οἱ ἄγχι G. ἀχϊλεὺc C. — 284 ἀπόρουcεν H Vrat. d. ἐρυcάμενοc E. ξΰφοc H. — 285 ὃ δὲ C. — 286 δύω ἄνδρε Barocc. ἄνδρεc Lips. — 287 habet A in margine. νυν A. τῶν οἱ νῦν βροτοί εἰcι Pseudoplut. 115, 49. βροτοί εἰcὶ D. ὅδέ C. — 288 ἔνθά κεν ACDHL. ἐπεccύμενοc S ex corr. Cant. — 291 ἀρ A. ἆρ CDGHL. — 292 μετα C. κατα S. μετᾰ θέ ων ἔειπεν (sic) H. — 293 ὦ AD. ἦ μοι D. — 294 ἄϊδοc δὲ AD. κάτειcι ACDEG. — 295 habet Cant. in margine. — 296 οὐδέ τι οἱ CGHL. οὐδέ τιc οἱ S. — 297 τί ἡ A. τιὴ ἢ τίη Eust. — 299 ἔχουcι D Vrat. A. — 300 ὑπ' ἐκ ACDEGL. ὕπεκ H. — 301 εἴ κεν D. εἴ περ Mor. ἀχϊλεὺc C. — 302 μόριμον E Rom. μόρcιμον ACDGHLS Lips. Flor. cum libris Heynii. δέ οἱ ἔcτ' CDGHL. δέ οἱ ἐcτιν E. — 303 ὥc κε μὴ ἄcπερμοc γενεὴ μετόπιcθεν ὄληται Maximus Tyr. Diss. XXVI, 9. — 304 πέρι L. — 305 οἵ ἑθεν A. οἱ ἕθεν DH. οἳ ἕθεν CEL.

A. c. 282 κὰδ δ' ἀχλὺc χύτο Bentleius, conf. 321. Ε 696. Π 344. κὰδ δ' ἄρ' ἄχοc χύτο Hermannus. — 303 ἄcπερμοc γενεὴ καὶ ἄφαντοc: ἄφαντοc γενεὴ δμηθέντοc Aristarchus.

ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων·
νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεccιν ἀνάξει
καὶ παίδων παῖδες, τοί κεν μετόπιcθε γένωνται.
τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπιc πότνια Ἥρη·
ἐννοcίγαι', αὐτὸc cὺ μετὰ φρεcὶ cῇcι νόηcον
Αἰνείαν, ἤ κέν μιν ἐρύcceαι, ἦ κεν ἐάcῃc
[Πηλείδῃ Ἀχιλῆι δαμήμεναι ἐcθλὸν ἐόντα].
ἦ τοι μὲν γὰρ νῶι πολέαc ὠμόccαμεν ὅρκουc
πᾶcι μετ' ἀθανάτοιcιν, ἐγὼ καὶ Παλλὰc Ἀθήνη,
μή ποτ' ἐπὶ Τρώεccιν ἀλεξήcειν κακὸν ἦμαρ,
μηδ' ὁπότ' ἂν Τροίη μαλερῷ πυρὶ πᾶcα δάηται
δαιομένη, δαίωcι δ' ἀρήιοι υἷεc Ἀχαιῶν.
αὐτὰρ ἐπεὶ τό γ' ἄκουcε Ποcειδάων ἐνοcίχθων,
βῆ ῥ' ἴμεν ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων,
ἷξε δ' ὅθ' Αἰνείαc ἠδ' ὁ κλυτὸc ἦεν Ἀχιλλεύc.
αὐτίκα τῷ μὲν ἔπειτα κατ' ὀφθαλμῶν χέεν ἀχλὺν
Πηλείδῃ Ἀχιλῆι· ὃ δὲ μελίην εὔχαλκον
ἀcπίδοc ἐξέρυcεν μεγαλήτοροc Αἰνείαο·

V. L. 307 δὲ omitt. Et. Mg. 608, 53. Bekk. An. 769, 27. Cram. An. Ox. III, 356, 8. δὴ omitt. Et. Gud. 412, 38. βίῃ GL. τρώεccιν L. — 308 παίδων παῖδεc ACD ex corr. E Syr. Mor. Barocc. Vrat. b. Mosc. 2. Strabo XIII, 608: παῖδεc παίδων D 1. man. GHLS Lips. Flor. Bekk. An. 769, 28. τοὶ καὶ μετόπιcθε Mosc. 2. μετόπιcθεν E. ΜΕΤΟΠΙCΘΕΛΙΠΩΝΤΑΙ Syr. μετόπιcθεν ἔcονται Bekk. An. 769, 28. — 309 ἥρηι D. — 310 μετα DH. φρεcῖ coῖcῖ H. — 311 εἴ κεν μιν Harl. ἐρύcεαι C. ἐάcειc ADEHS Syr. Lips. ἐάcῃc [ει] C. ἐάcῃc GL Vrat. A. Mosc. 2. — 312 omittunt AC 1. man. DEHLS Syr. Lips. Mosc. 2. Vrat. b. habent GC 2. man. Vrat. d. in marg. — 313 ἤτοι libri. * πολέαc: πολεῖc ACDEG HLS Syr. ὠμόcαμεν G Flor. — 314 μεταθανάτοιcιν A. — 315 ἐπι D. τρώεccιν L. — 316 μὴδ' CDGHL. ὁπότ' ἂν H 1. man. ὁπότ' αν A. ὁπόταν CDEGH ex corr. L. hunc et sequentem vers. omitt. Syr. sed videntur 2. man. in margine additi. — 317 δαιομένη[κ]· δαίωcι[κ] A. δαίουcι E bis. ἀρήϊοι H. — 318 ποcιδάων A et in marg. ποcείδ. ΠΟCΙ[ε]ΔΑΩΝ Syr. ε 2. man. add. — 319 βῆ δ' E. ἀνα D. — 320 ἷξε A. ἵξε CDGH. ἠδὲ κλυτὸc L Lips. ἀχϊλεύc C post ras. — 321 τῶ D. τωι C. ὀφθαλμὸν D. — 322 ὃ δὲ C. ἐΰχαλκον L, ceteri εὔχαλκον. — 323 ἐξέρυcε CD Syr. Flor. Rom.

A. c. 306 παρὰ ἀριcτοφάνει ἤχθαιρε Didymus. Aristarchus fortasse ἔχθηρε conf. Schol. P 270. — 307 τινὲc γράφουcιν Αἰνείαο γένοc πάντεccιν ἀνάξει Eust. 1209, 16. τινὲc δὲ γράφουcιν Αἰνείαο γένοc πάντεccιν ἀνάξει, καὶ παῖδεc παίδων, τοὺc Ῥωμαίουc λέγοντεc Strabo XIII, 608. μεταγράφουcί τινεc Αἰνείω γενεὴ πάντεccιν ἀνάξει Schol. AB. — 308 γένωνται: αἱ διὰ τῶν πόλεων λίπωνται εἶχον Didymus.

καὶ τὴν μὲν προπάροιθε ποδῶν Ἀχιλῆοc ἔθηκεν,
Αἰνείαν δ' ἔcceυεν ἀπὸ χθονὸc ὑψόc' ἀείραc.
πολλὰc δὲ cτίχαc ἡρώων, πολλὰc δὲ καὶ ἵππων
Αἰνείαc ὑπερᾶλτο θεοῦ ἀπὸ χειρὸc ὀρούcαc,
ἷξε δ' ἐπ' ἐcχατιὴν πολυάικοc πολέμοιο,
ἔνθά τε Καύκωνεc πόλεμον μέτα θωρήccοντο.
τῷ δὲ μάλ' ἐγγύθεν ἦλθε Ποcειδάων ἐνοcίχθων,
καί μιν φωνήcαc ἔπεα πτερόεντα προcηύδα·
Αἰνεία, τίc c' ὧδε θεῶν ἀτέοντα κελεύει
ἀντία Πηλείωνοc ὑπερθύμοιο μάχεcθαι,
ὃc cεῦ ἅμα κρείccων καὶ φίλτεροc ἀθανάτοιcιν;
ἀλλ' ἀναχωρῆcαι, ὅτε κεν cυμβλήcεαι αὐτῷ,
μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄϊδοc εἰcαφίκηαι.
αὐτὰρ ἐπεί κ' Ἀχιλεὺc θάνατον καὶ πότμον ἐπίcπῃ,
θαρcήcαc δὴ ἔπειτα μετὰ πρώτοιcι μάχεcθαι·
οὐ μὲν γάρ τίc c' ἄλλοc Ἀχαιῶν ἐξεναρίξει.
ὣc εἰπὼν λίπεν αὐτόθ', ἐπεὶ διεπέφραδε πάντα.

V. L. 324 προπάροιθεν E Lips. — 325 δ' ἔcceυεν ACDHS Syr. Barocc. Harl. Cant. Mor. Townl. Vrat. b. d. A. Mosc. 2. Eust. 1209, 49. ἔcευεν 1210, 45. δ' ἐπέcευεν G Flor. et olim vulgo. δαπέcceυεν L. ἀπο A. ὕψοc Lips. — 327 ΥΠΕΡΑΛΤΟ Syr. ἄπὸ A. ἀπο G. — 328 ἷξε A. ἵξε DGH. — 329 ἔνθα δὲ CDL Syr. et olim vulgo. ἐνθάδε Cram. An. Par. III, 27, 5. ἔνθα κε S Cant. Harl. μέτα AH. μέγαν Cram. An. Par. III, 27, 5. μεταθωρήccοντο CDGL Syr. conf. N 301. — 330 ΠΟCΙΔΑΩΝ Syr. — 332 τίc ὧδε Apoll. Soph. 46, 4. ἀτέοντα ACDEHS Syr. χατέοντα L Lips. Mor. Harl. Barocc. θεῶν ἀέκητι G. γρ. ἀέκητι C man. rec. ἀέκοντα Cant. — 333 ἀντία πηλείωνοc ὑπερθύμοιο μάχεcθαι AE Harl. Vrat. b. A. Mosc. 2. ἀντί' ἀχιλλῆοc (ἀχιλῆοc CDS) πολεμίζειν ἠδὲ μάχεcθαι CDGHLS Syr. editores ante Wolfium. ἐν ἄλλῳ ἀντὶ τοῦ (sic) ἀχιλῆοc πολεμίζειν ἠδὲ μάχεcθαι A. — 335 ὅτε κεν: ὅτε δὴ CD. cυμβλήcεαι AG. cυμβλήcεται Lips. ξυμβλήcεαι CDEHL Townl. Vrat. A. Mosc. 2. cυμβήcεαι S. ξυμβήcεαι Mor. — 336 ὑπερ AD. ἐξαφίκειε C 1. man. — 337 ἀχιλλεὺc EG Rom. — 338 θαῤῥήcαc Harl. δ' ἤπειτα CDG HL Vrat. A. Lips. δ' ήπειτα A. δή' πειτα E. δήπειτα Vrat. b. d. ΔΗΠΕΙΤΑ Syr. „in codd. plerisque scriptum est δ' ἤπειτα, etiam in edd. excepta Romana, e qua defendit Barnes δὴ 'πειτα" Heyne. μετὰ τρώεccι Syr. Mor. Barocc. Townl. — 339 τϊc c' C. c' omitt. DHL Lips. Syr., in quo c̄ man. rec. additum videtur. ἄλλων C. — 340 ώc A.

A. c. 322—324 ἀθετοῦνται cτίχοι τρεῖc Aristonicus. — 331 παρὰ Ζηνοδότῳ καί μιν νεικείων, παρὰ ῥιανῷ τὸν καὶ νεικείων Didymus, conf. Cram. An. Par. III, 291, 17. — 332 ἀτέοντα οὕτωc ἐν πάcαιc Didymus, conf. Apoll. Soph. 46, 4. Et. Mg. 168, 28. Schol. ABV. Eust. 1210, 60. — 334 cεῦ, non cευ, Herodianus.

αἷψα δ' ἔπειτ' Ἀχιλῆος ἀπ' ὀφθαλμῶν σκέδας' ἀχλὺν
θεσπεσίην· ὃ δ' ἔπειτα μέγ' ἔξιδεν ὀφθαλμοῖσιν,
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι.
ἔγχος μὲν τόδε κεῖται ἐπὶ χθονός, οὐδέ τι φῶτα
λεύσσω, τῷ ἐφέηκα κατακτάμεναι μενεαίνων.
ἦ ῥα καὶ Αἰνείας φίλος ἀθανάτοισι θεοῖσιν
ἦεν· ἀτάρ μιν ἔφην μάψ αὔτως εὐχετάασθαι.
ἐῤῥέτω· οὔ οἱ θυμὸς ἐμεῦ ἔτι πειρηθῆναι
ἔσσεται, ὃς καὶ νῦν φύγεν ἄσμενος ἐκ θανάτοιο.
ἀλλ' ἄγε δὴ Δαναοῖσι φιλοπτολέμοισι κελεύσας
τῶν ἄλλων Τρώων πειρήσομαι ἀντίος ἐλθών.
ἦ, καὶ ἐπὶ στίχας ἆλτο, κέλευε δὲ φωτὶ ἑκάστῳ·
μηκέτι νῦν Τρώων ἑκὰς ἕστατε δῖοι Ἀχαιοί,
ἀλλ' ἄγ' ἀνὴρ ἄντ' ἀνδρὸς ἴτω, μεμάτω δὲ μάχεσθαι.
ἀργαλέον δέ μοί ἐστι καὶ ἰφθίμῳ περ ἐόντι
τοσσοῦσδ' ἀνθρώπους ἐφέπειν καὶ πᾶσι μάχεσθαι·
οὐδέ κ' Ἄρης, ὅς περ θεὸς ἄμβροτος, οὐδέ κ' Ἀθήνη
τοσσῆσδ' ὑσμίνης ἐφέποι στόμα καὶ πονέοιτο·
ἀλλ' ὅσσον μὲν ἐγὼ δύναμαι χερσίν τε ποσίν τε
καὶ σθένει, οὔ μέ τί φημι μεθησέμεν οὐδ' ἠβαιόν,
ἀλλὰ μάλα στιχὸς εἶμι διαμπερές, οὐδέ τιν' οἴω
Τρώων χαιρήσειν, ὅς τις σχεδὸν ἔγχεος ἔλθῃ.

V. L. 341 ἀπ': ἐπ' H Lips. ЄСΚЄΔΑС' Syr. ἐκέδας' A. — 342 ὃ δ' D. ὅδ' CGHL. — 344 ὣ A. Ω̃ Syr. ἢ D. — 345 ἐπι AD. χθονὶ Barocc. οὐδ' ἔτι Barocc. — 347 ἤ ῥὰ CDGHL. θεοῖσι CD Syr. — 348 αὔτως EGH. ЄΥΧЄΤΑΑСΘЄ Syr. — 350 ὡς καὶ Harl. ἄσμενος φύγεν ἐκ D. — 351 ἀλλά γε H. — 352 τρῴων L. ἀντία L. — 353 ἅλτο C. — 354 μὴ κέ τι AG. τρώιων CL. τρῶας D. — 355 ἀλλά γ' H Vrat. d. A. ΑΝΗΡ' Syr. ἄντ' (α) A. — 356 δέ μοι ἐστὶ ACDEGHL. — 357 τόσσουσδ' ACD. τόσσους H Harl. Mor. Mosc. 2. Vrat. b. d. A. ἀνθρώπων Harl. — 358 ὥσπερ Tzetzes Alleg. 440. ἄβροτος Mor. — 359 τόσσης δ' ACDGH Vrat. A. ΤΟССΗС Syr. τόσσης Harl. Mor. Mosc. 2. Vrat. b. d. τοσσῆς δ' EL. ἐφέποι τόγε vel τόδε L. — 360 ὅσον D. μὲν omitt. C. χερσί τε ποσί τε E. — 361 οὔ μ' ἔτι φημὶ ACDGHLS et Heynii libri. ΜЄ́ΤΙΦΗΜῚ Syr. μέ τι φημὶ E Rom. — 362 ὀΐω DGL. — 363 τρῴων L. ὅς κεν L. ὅστις (κεν) A. ὅστϊς κεν C. ἔγχεος: ἀντίος L. ἔλθοι L Barocc. Vrat. b. A. Mosc. 2. ἔλθηι (ο) A.

A. c. 357 τοσσοῦσδ' Ptolem. Ascalonita: τόσσουσδ' Aristarchus.

ὣς φάτ' ἐποτρύνων· Τρώεσσι δὲ φαίδιμος Ἕκτωρ
κέκλεθ' ὁμοκλήσας, φάτο δ' ἴμεναι ἄντ' Ἀχιλῆος·
Τρῶες ὑπέρθυμοι, μὴ δείδιτε Πηλεΐωνα.
καί κεν ἐγὼν ἐπέεσσι καὶ ἀθανάτοισι μαχοίμην·
ἔγχεϊ δ' ἀργαλέον, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσιν.
οὐδ' Ἀχιλεὺς πάντεσσι τέλος μύθοις ἐπιθήσει,
ἀλλὰ τὸ μὲν τελέει, τὸ δὲ καὶ μεσσηγὺ κολούει.
τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ.
ὣς φάτ' ἐποτρύνων, οἱ δ' ἀντίοι ἔγχε' ἄειραν
Τρῶες· τῶν δ' ἄμυδις μίχθη μένος, ὦρτο δ' ἀυτή.
καὶ τότ' ἄρ' Ἕκτορα εἶπε παραστὰς Φοῖβος Ἀπόλλων·
Ἕκτορ, μηκέτι πάμπαν Ἀχιλλῆϊ προμάχιζε,
ἀλλὰ κατὰ πληθύν τε καὶ ἐκ φλοίσβοιο δέδεξο,
μή πώς σ' ἠὲ βάλῃ ἠὲ σχεδὸν ἄορι τύψῃ.
ὣς ἔφαθ', Ἕκτωρ δ' αὖτις ἐδύσετο οὐλαμὸν ἀνδρῶν
ταρβήσας, ὅτ' ἄκουσε θεοῦ ὄπα φωνήσαντος.
ἐν δ' Ἀχιλεὺς Τρώεσσι θόρε φρεσὶν εἱμένος ἀλκήν,
σμερδαλέα ἰάχων, πρῶτον δ' ἕλεν Ἰφιτίωνα,
ἐσθλὸν Ὀτρυντεΐδην, πολέων ἡγήτορα λαῶν,
ὃν νύμφη τέκε νηῒς Ὀτρυντῆϊ πτολιπόρθῳ
Τμώλῳ ὕπο νιφόεντι, Ὕδης ἐν πίονι δήμῳ.

V. L. 364 ὡς A. τρῴεσσι L. — 365 ἵμεναι CDEGHL post ras. S Syr. conf. ad Π 145. ἴμμεναι Heyne, quem omnes fere recentiores secuti sunt. — 366 τρῷες L. δείδητε C 1. man. — 367 ἐγὼ H. — 368 ἐπεὶ ἦ D. ἐπειῆ A Rom. ἐπεὶ ἡ C: ceteri ἐπειή. πολυφέρτεροι G. πολυφέρτερος ἐστὶν D. — 369 μύθοισι τέλος πάντεσσ' L. — 370 μεσηγὺ D. κολήει G. κολούσει Townl. — 371 τοῦ C man. rec. DE ter GHS Syr. Heynii libri. Athenaeus VII, 298. Herodianus π. σχημάτων 56, 14 (ed. Dind.). Schol. Theocr. IX, 2. Pseudoplut. 111, 50. Rhet. Gr. II, 336, 30; 433, 29. III, 20, 3; 71, 14; 97, 1. τῷ AC 1. man. L. ἐν ἄλλῳ τοῦ δ' ἐγὼ A. ЄΟΙΚЄ Syr. — 373 ὡς A. οἵδ' CGH. ἔγχε' ἄειραν: γρ. ἔσταν ἀχαιῶν A. — 374 τρῷες L. — 375 ἄρ ADGHL. ἕκτορι (α) S. — 376 ἀχιλῆϊ CG Syr. — 377 κατα AD. — 378 μή πως σ' ACDEGL Syr. μήπως H Vrat. A. omisso σ'. τύψει Townl. — 379 ὡς A. αὖθϊς CH. ἐδύσετο ADE Vrat. A. ἐδύσσετο L Lips. ἐδύσατο CGHS Syr. — 381 ἓν δ' A. ЄΝΘ' Syr. ἀχιλλεὺς E Lips. τρῴεσσι L. — 383 ὀτρυντΐδην C Lips. — 385 ὑπὸ ACDGH Syr. ὕπο E. ὑπαὶ L. Ὕλης Vrat. A. Schol. Β 500.

A. c. 371 τοῦ, conf. Β 185. Ε 256. 301. Η 98. 160. Λ 219. 594. Ρ 8. 31. 69. Υ 197. Χ 113. — 384 ὄν: ἔν τισι τῶν φαύλων ἀντιγράφων τόν διὰ τοῦ τ̄ Schol. A. — 385 Ὕδης: οὕτως ὕδης διὰ τοῦ δ, τῆς λυδίας Didymus, conf. Apoll. Soph. 157, 15. Strabo IX, 407.

τὸν δ' ἰθὺϲ μεμαῶτα βάλ' ἔγχεϊ δῖοϲ Ἀχιλλεὺϲ
μέϲϲην κὰκ κεφαλήν· ἣ δ' ἄνδιχα πᾶϲα κεάϲθη.
δούπηϲεν δὲ πεϲών, ὃ δ' ἐπεύξατο δῖοϲ Ἀχιλλεύϲ·
κεῖϲαι Ὀτρυντείδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν·
ἐνθάδε τοι θάνατοϲ, γενεὴ δέ τοί ἐϲτ' ἐπὶ λίμνῃ
Γυγαίῃ, ὅθι τοι τέμενοϲ πατρώϊόν ἐϲτιν,
Ὕλλῳ ἐπ' ἰχθυόεντι καὶ Ἕρμῳ δινήεντι.
ὣϲ ἔφατ' εὐχόμενοϲ, τὸν δὲ ϲκότοϲ ὄϲϲε κάλυψε.
τὸν μὲν Ἀχαιῶν ἵπποι ἐπιϲϲώτροιϲ δατέοντο
πρώτῃ ἐν ὑϲμίνῃ· ὃ δ' ἐπ' αὐτῷ Δημολέοντα,
ἐϲθλὸν ἀλεξητῆρα μάχηϲ, Ἀντήνοροϲ υἱόν,
νύξε κατὰ κρόταφον κυνέηϲ διὰ χαλκοπαρήου.
οὐδ' ἄρα χαλκείη κόρυϲ ἔϲχεθεν, ἀλλὰ δι' αὐτῆϲ
αἰχμὴ ἱεμένη ῥῆξ' ὀϲτέον, ἐγκέφαλοϲ δὲ
ἔνδον ἅπαϲ πεπάλακτο· δάμαϲϲε δέ μιν μεμαῶτα.
Ἱπποδάμαντα δ' ἔπειτα καθ' ἵππων ἀΐξαντα,
πρόϲθεν ἕθεν φεύγοντα, μετάφρενον οὔταϲε δουρί.
αὐτὰρ ὃ θυμὸν ἄιϲθε καὶ ἤρυγεν, ὡϲ ὅτε ταῦροϲ
ἤρυγεν ἑλκόμενοϲ Ἑλικώνιον ἀμφὶ ἄνακτα
κούρων ἑλκόντων· γάνυται δέ τε τοῖϲ ἐνοϲίχθων·

V. ι. 386 τόν ῥ' G. τόνδε θὺϲ μεμαῶτα H. ἀχϊλεύϲ C. — 387 κακκεφαλήν ACDGL. κἀκκεφαλήν H. ἢ δ' D. ἤδ' CGHL. — 388 δούπηϲε EG. ὃ δ' DL. ὅδ' CH. ἀχϊλεύϲ C. — 389 ΚΕΙϹ' Syr. ὀτρυντίδη C Lips. ὀτρυντείδηι A. — 390 ἔνθα δέ τοι H Schol. Ι 398. ἐνθα δέ τοι D. ΕΝΘΑΔΈΤΟΙ Syr. ἐνεὴ G. δέ τοι ἔϲτ' ADEGHL. δέ οἵ ἐϲτ' Schol. Δ 60. δ' ἔϲτ' C omisso τοι. — 391 ΕϹΤΙ Syr. πατρώϊον ἐϲτὶν GL. — 392 δηνήεντι G. — 393 ὡϲ A. φάτ' ἐπευχόμενοϲ Heyne. Clarke. nescio unde. ἔφατ' εὐχόμενοϲ libri mei. ὄϲϲε κάλυψε ACG Syr. κάλυψεν DH. ὄϲϲ' ἐκάλυψε S Vrat. A. Lips. Flor. Rom. ὄϲϲ' ἐκάλυψεν L. — 394 ὀπιϲϲώτροιϲ A Syr. ἐπὶ ϲώτροιϲ D. ἐπιϲϲώτροιϲι Rom., quod ferri potest, si δατεῦντο scribitur ut Ψ 121. α 112. — 395 ὃ δ' D 2. man. ὅδ' CGHL. ἐπαυτῶι D. δημολόεντα Mosc. 2. — 396 omitt. D. — 397 νῦξε G. κατα A. δια DH. χαλκοπαρήου HL: ceteri χαλκοπαρήου. — 399 ἱεμένη DG Townl. Vrat. d. — 400 δάμαϲε E. — 401 δ' ἔπειτα omitt. L Lips. ἀΐξαντα ACL Lips. Vrat. b. Mosc. 2. ἀΐϲϲοντα DGHS. γρ. ἀΐϲϲοντα A. — 402 πρόϲθεν ἔνθεν D. — 403 ὃ ACDGHL Et. Mg. 43, 23. — 404 ἑλικώνιον ἀμφιάνακτα D. ἀμφι, ἄνακτα A. — 405 δέ γε Et. Mg. 221, 17. δὲ τοῖϲ L Lips.

A. c. 390 ἐνθάδε Herodianus cum Ptolem. Ascalonita. ἔνθα δέ Schol. A ad Ι 398. — 395 δημολέοντα: οὕτωϲ ἀρίϲταρχοϲ· τινὲϲ δὲ δηϊλέοντα Didymus, conf. Schol. Townl. apud Cram. An. Par. III, 291, 23.

ὣϲ ἄρα τόν γ' ἐρυγόντα λίπ' ὀϲτέα θυμὸϲ ἀγήνωρ.
αὐτὰρ ὃ βῆ ϲὺν δουρὶ μετ' ἀντίθεον Πολύδωρον
Πριαμίδην. τὸν δ' οὔ τι πατὴρ εἴαϲκε μάχεϲθαι,
οὕνεκά οἱ μετὰ παιϲὶ νεώτατοϲ ἔϲκε γόνοιο,
καί οἱ φίλτατοϲ ἔϲκε, πόδεϲϲι δὲ πάνταϲ ἐνίκα·
δὴ τότε νηπιέῃϲι ποδῶν ἀρετὴν ἀναφαίνων
θῦνε διὰ προμάχων, εἵωϲ φίλον ὤλεϲε θυμόν.
τὸν βάλε μέϲϲον ἄκοντι ποδάρκηϲ δῖοϲ Ἀχιλλεὺϲ
νῶτα παραΐϲϲοντοϲ, ὅθι ζωϲτῆροϲ ὀχῆεϲ
χρύϲειοι ϲύνεχον καὶ διπλόοϲ ἤντετο θώρηξ·
ἀντικρὺ δὲ διέϲχε παρ' ὀμφαλὸν ἔγχεοϲ αἰχμή,
γνὺξ δ' ἔριπ' οἰμώξαϲ, νεφέλη δέ μιν ἀμφεκάλυψε
κυανέη, προτὶ οἷ δὲ λάβ' ἔντερα χερϲὶ λιαϲθείϲ.
Ἕκτωρ δ' ὡϲ ἐνόηϲε καϲίγνητον Πολύδωρον
ἔντερα χερϲὶν ἔχοντα, λιαζόμενον ποτὶ γαίῃ,
κάρ ῥά οἱ ὀφθαλμῶν κέχυτ' ἀχλύϲ· οὐδ' ἄρ' ἔτ' ἔτλη
δηρὸν ἑκὰϲ ϲτρωφᾶϲθ', ἀλλ' ἀντίοϲ ἦλθ' Ἀχιλῆι
ὀξὺ δόρυ κραδάων, φλογὶ εἴκελοϲ. αὐτὰρ Ἀχιλλεὺϲ
ὡϲ εἶδ', ὣϲ ἀνέπαλτο, καὶ εὐχόμενοϲ ἔποϲ ηὔδα·
ἐγγὺϲ ἀνήρ, ὃϲ ἐμόν γε μάλιϲτ' ἐϲεμάϲϲατο θυμόν,
ὅϲ μοι ἑταῖρον ἔπεφνε τετιμένον· οὐδ' ἂν ἔτι δὴν
ἀλλήλουϲ πτώϲϲοιμεν ἀνὰ πτολέμοιο γεφύραϲ.

V. ι. 406 ὡϲ AD 1. man. — 407 ὃ CDGHL. ϲυν A. — 409 μετα D. παιϲὶ ACEL Syr. Vrat. A. Flor. Rom. πᾶϲι DGH. τρωϲὶ Cant. — 410 πάντεϲ L. — 412 θύνε H. δια A. — 413 μέϲον DE Lips. ἀχϊλεύϲ C. — 414 παραΐϲϲοντα EH Townl. Vrat. A. Mosc. 2. παραΐϲϲοντ' Vrat. b. — 417 ἀμφ' ἐκάλυψε A. ἀμφεκάλυψε CDGH. ἐπεκάλυψεν ἢ μᾶλλον ἀμφεκάλυψε E. — 418 προτιὸι D. ποτὶ CH. δὲ, λάβ' L. δὲ λάβ' Vrat. b. ΔΕΛΑΒ Syr. ceteri δ' ἔλαβ'. ἔντερα: ἔντεα Schol. A 368. — 420 δϊαζόμενον G. ποτὶ ACGHLS. ποτι D. ΠΡΟΤῚ Syr. ποτὶ γαίην Zonar. Lex. 119. — 421 καρ, ρά A. κὰρ ῥά C. καῤῥά GH. κὰρ ῥά L apostropho post ρ eraso. ΚΕΧΥΤΟΧΛΟΌϹ Syr. κέχυτο χλοὸϲ Lips. κέχυτο χόλοϲ Harl. ὰρ A. ἄρ DL. ἔτ' omitt. L Lips. — 422 δηλὸν ἑκὰϲ H. ἀχιλῆϊ ACGL Syr. Flor. Rom. ἀχιλῆοϲ DHS Cant. Harl. Townl. Lips. Vrat. A. Mosc. 2. ἀχιλλέωϲ E. — 423 δόρυ omitt. C. ἴκελοϲ E 1214, 40 G. ἴκελοϲ E 1215, 17. ῙΚΕΛΟϹ Syr. ἀχιλεὺϲ C. — 424 ὡϲ bis ACDEGHL. ὡϲ ἴδεν Hesych. IV, 336. ὡϲ ἴδεν ἤγουν ὡϲ εἶδ' E. — 425, 426 omitt. Syr. relicta lacuna. — 425 ἐπεμαϲϲάτο Mor. Schol. Nicand. Alex. 137. — 426 οὐδ' ἄρ ACDEGHS. οὐδ' ἂν L Harl. — 427 ἀλλήλῳ G. πτώϲϲιμεν G. ἄνα ADG.

A. c. 414 οὕτωϲ κατὰ γενικὴν παραΐϲϲοντοϲ Didymus, conf. H. S. pg. 226 *. — 426 ἀρίϲταρχοϲ οὐδ' ἂν ἔτι δὴν διὰ τοῦ ᾱν Didymus.

ἦ, καὶ ὑπόδρα ἰδὼν προϲεφώνεεν Ἕκτορα δῖον·
ἆϲϲον ἴθ', ὥϲ κεν θᾶϲϲον ὀλέθρου πείραθ' ἵκηαι.
τὸν δ' οὐ ταρβήϲαϲ προϲέφη κορυθαίολοϲ Ἕκτωρ·
Πηλεΐδη, μὴ δή μ' ἐπέεϲϲί γε νηπύτιον ὥϲ
ἔλπεο δειδίξεϲθαι, ἐπεὶ ϲάφα οἶδα καὶ αὐτὸϲ
ἠμὲν κερτομίαϲ ἠδ' αἴϲυλα μυθήϲαϲθαι.
οἶδα δ' ὅτι ϲὺ μὲν ἐϲθλόϲ, ἐγὼ δὲ ϲέθεν πολὺ χείρων.
ἀλλ' ἦ τοι μὲν ταῦτα θεῶν ἐν γούναϲι κεῖται,
αἴ κέ ϲε χειρότερόϲ περ ἐὼν ἀπὸ θυμὸν ἕλωμαι
δουρὶ βαλών, ἐπεὶ ἦ καὶ ἐμὸν βέλοϲ ὀξὺ πάροιθεν.
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δόρυ, καὶ τό γ' Ἀθήνη
πνοιῇ Ἀχιλλῆοϲ πάλιν ἔτραπε κυδαλίμοιο,
ἦκα μάλα ψύξαϲα· τὸ δ' ἂψ ἵκεθ' Ἕκτορα δῖον,
αὐτοῦ δὲ προπάροιθε ποδῶν πέϲεν. αὐτὰρ Ἀχιλλεὺϲ
ἐμμεμαὼϲ ἐπόρουϲε κατακτάμεναι μενεαίνων,
ϲμερδαλέα ἰάχων· τὸν δ' ἐξήρπαξεν Ἀπόλλων
ῥεῖα μάλ' ὥϲ τε θεόϲ, ἐκάλυψε δ' ἄρ' ἠέρι πολλῇ.
τρὶϲ μὲν ἔπειτ' ἐπόρουϲε ποδάρκηϲ δῖοϲ Ἀχιλλεὺϲ
ἔγχεϊ χαλκείῳ, τρὶϲ δ' ἠέρα τύψε βαθεῖαν.
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέϲϲυτο δαίμονι ἶϲοϲ,
δεινὰ δ' ὁμοκλήϲαϲ ἔπεα πτερόεντα προϲηύδα·
ἐξ αὖ νῦν ἔφυγεϲ θάνατον κύον· ἦ τέ τοι ἄγχι
ἦλθε κακόν· νῦν αὖτέ ϲ' ἐρύϲατο Φοῖβοϲ Ἀπόλλων,
ᾧ μέλλειϲ εὔχεϲθαι ἰὼν ἐϲ δοῦπον ἀκόντων.
ἦ θήν ϲ' ἐξανύω γε καὶ ὕϲτερον ἀντιβολήϲαϲ,

V. ʟ. 429 ἄϲϲον AD. ἆϲϲον ἦθ' (ἴ supra) C. κε G Flor. — 430 κορυθαιόλοϲ AD (?) G Flor. Rom. — 131 ὡϲ A. — 432 δειδίξαϲθαι H 1. man. Syr. — 435 libri ἤτοι. ἐπὶ γούναϲι Mor. Barocc. κεῖνται Lips. — 436 αἴ κε ϲε DGH. αἴ κε ϲὲ L. ἀπο AD. — 437 ἐπεὶ ἢ D. ἐπεὶ ἡ C spiritu deleto. ἐπειὴ A. πάροιθε Lips. — 438 ἣ ῥὰ CD 2. man. GHL. ἦρα A. — 439 ἀχιλῆοϲ CG. — 440 ἧκα Et. Gud. 239, 6; 18. ξύϲαϲα C et man. rec. γρ. ψύξαϲα. — 441 ἀχϊλεὺϲ C. — 442 ἀπόρουϲε S Cant. — 443 ἐξήρπαξ D. ἐξήρπαϲεν L. — 444 ἂρ ACDEGHL. πολλῇ omitt. H. — 445 ἀχϊλεύϲ C. — 447 omittunt D 1. man. EHLS Syr. Lips. Townl. Rom. habent A (adscripto signo) CD in marg. 3. man. G Flor. — 449 ἐξ αὖδα νῦν H. αὖ δὴ νῦν ἔφυγεϲ Vrat. d. — 450 ἦλθε versui praecedenti additum in D. αὖτε γ' L. ἐρύϲατο CDEGHLS Townl. Vrat. b. d. ἐρύϲϲατο A et γρ. ἐρύϲατο. ЄΡ . . . . . . Syr. conf. Β 859. Є 344. Λ 363. Ο 290. Υ 194. α 6. ξ 279. χ 372.

A. c. 451 ἐν ἄλλοιϲ οὗτοϲ ὁ ϲτίχοϲ οὐ κεῖται Schol. ap. Bekk. — 452 ἤ Herodianus.

εἴ πού τιϲ καὶ ἐμοί γε θεῶν ἐπιτάῤῥοθόϲ ἐϲτι.
νῦν αὖ τοὺϲ ἄλλουϲ ἐπιείϲομαι, ὅν κε κιχείω.
ὣϲ εἰπὼν Δρύοπ' οὖτα κατ' αὐχένα μέϲϲον ἄκοντι·
ἤριπε δὲ προπάροιθε ποδῶν. ὃ δὲ τὸν μὲν ἔαϲε,
Δημοῦχον δὲ Φιλητορίδην, ἠύν τε μέγαν τε,
κὰγ γόνυ δουρὶ βαλὼν ἠρύκακε, τὸν μὲν ἔπειτα
οὐτάζων ξίφεϊ μεγάλῳ ἐξαίνυτο θυμόν.
αὐτὰρ ὃ Λαόγονον καὶ Δάρδανον, υἷε Βίαντοϲ,
ἄμφω ἐφορμηθεὶϲ ἐξ ἵππων ὦϲε χαμᾶζε,
τὸν μὲν δουρὶ βαλών, τὸν δὲ ϲχεδὸν ἄορι τύψαϲ.
Τρῶα δ' Ἀλαϲτορίδην· ὃ μὲν ἀντίοϲ ἤλυθε γούνων,
εἴ πωϲ εὖ πεφίδοιτο, λαβών, καὶ ζωὸν ἀφείη,
μηδὲ κατακτείνειεν ὁμηλικίην ἐλεήϲαϲ,
νήπιοϲ, οὐδὲ τὸ ᾔδη, ὃ οὐ πείϲεϲθαι ἔμελλεν·
οὐ γάρ τι γλυκύθυμοϲ ἀνὴρ ἦν οὐδ' ἀγανόφρων,
ἀλλὰ μάλ' ἐμμεμαώϲ. ὃ μὲν ἥπτετο χείρεϲι γούνων,
ἱέμενοϲ λίϲϲεϲθ', ὃ δὲ φαϲγάνῳ οὖτα καθ' ἧπαρ·
ἐκ δέ οἱ ἧπαρ ὄλιϲθεν, ἀτὰρ μέλαν αἷμα κατ' αὐτοῦ
κόλπον ἐνέπληϲεν· τὸν δὲ ϲκότοϲ ὄϲϲε κάλυψε

V. ʟ. 453 εἴ που τιϲ ACDGL. εἴ που τῖϲ H. ἔμοιγε libri. θεὸϲ E. ἐπιτάρροθοϲ ἐϲτὶ G. ἐϲτι ACD Syr. εἴη L Lips. Vrat. b. A. — 454 αὐ τοὺϲ ἄλλουϲ Harl. Vrat. b. A. Mosc. 2. τοὺϲ ἄλλουϲ E. δ' ἄλλουϲ τρώων ACDGH Syr. δ' ἄλλουϲ τρῷαϲ L. δ' ἄλλουϲ τρῶαϲ S. γρ. νῦν αὐτουϲ ἄλλουϲ A. ΚΙΧΕΙΩΙ Syr. — 455 ὡϲ A. οὗτα L. — 456 ὃ δὲ C. ἔαϲε AC DL Syr. ἔαϲϲε G edd. vett. — 457 δὴ μοῦχον G. φιλοντορίδην Vrat. A. — 458 καγγόνυ ACG. κ' ἀγγόνϋ H. κὰκ γόνυ L. κακγόνυ D Syr. Lips. Harl. Mosc. 2. ἐρύκατε G. — 459 οὔταζον D. — 460 ὃ ACDHL. λαόγονον προπαροξύνεται ἐν τοῖϲ ἀκριβεϲτέροιϲ τῶν ἀντιγράφων teste Eust. 1213, 42. — 461 ἐξίππων D. χαμᾶζε AD Syr. χαμάζε CGHL. — 463 τρῷα L. ὃ μὲν C. ἦλθε C. — 464 εἴ πωϲ εὖ ACDGHS Apoll. Soph. 78, 21. εἴ πώϲ εὐ Eust. 1217, 34. Apoll. de Pron. 97 B. εἴ πωϲ εὖ ἢ εἴ πώϲ εὐ Eust. 1217, 12. ЄΙΠΩϹЄΥ Syr. εἴ πωϲ οἱ L Harl. Lips. πεφίειδοιτο D. ἀφίη C. τινὰ τῶν ἀντιγράφων ἀφήῃ Eust. 1217, 37. — 465 μὴ δὲ CGHL. — 466 ΗΔΗ Syr. ᾖδη L. οὐ omitt. C. — 467 οὐ γάρ τοι L. οὐ γάρ τιϲ καὶ οὐ γὰρ ἔτι A in marg. ΑΝΗΡ' Syr. — 468 ὃ μὲν C. χερϲὶ E. — 469 ἱέμενοϲ D Townl. ὃ δὲ C. οὗτα CDL. καθῆπαρ A. ΗΠΑΡ' Syr. — 470 ἧπαρ ἦλθεν ἀτὰρ H. — 471 ἐνέπρηϲεν H Vrat. d. Townl. ἐνέπληϲεν (ρ supra) A. ἐνέπληϲε G Lips. Flor. Rom. ὄϲϲε κάλυψε ACE 1213, 31 GH Syr. κάλυψεν D. ὄϲϲ' ἐκάλυψε E 1213, 57 Lips. Townl. ἐκάλυψεν L.

A. c. 454 ὅν κε κιχείω Aristarchus. — 464 εἴ πώϲ εὐ Ptolemaeus Ascalonita: εἴ πωϲ εὐ Herodianus. scribendum est εὖ, conf. H. U. 141. — 471 ἐνέπληϲεν: ἐνέπρηϲεν Aristarchus et Philoxenus, conf. Schol. Β 415.

θυμοῦ δευόμενον. ὃ δὲ Μούλιον οὖτα παραϲτὰϲ
δουρὶ κατ' οὖϲ· εἶθαρ δὲ δι' οὔατοϲ ἦλθ' ἑτέροιο
αἰχμὴ χαλκείη. ὃ δ' Ἀγήνοροϲ υἱὸν Ἔχεκλον
μέϲϲην κὰκ κεφαλὴν ξίφει ἤλαϲε κωπήεντι,
πᾶν δ' ὑπεθερμάνθη ξίφοϲ αἵματι· τὸν δὲ κατ' ὄϲϲε
ἔλλαβε πορφύρεοϲ θάνατοϲ καὶ μοῖρα κραταιή.
Δευκαλίωνα δ' ἔπειθ', ἵνα τε ξυνέχουϲι τένοντεϲ
ἀγκῶνοϲ, τῇ τόν γε φίληϲ διὰ χειρὸϲ ἔπειρεν
αἰχμῇ χαλκείῃ· ὃ δέ μιν μένε χεῖρα βαρυνθείϲ,
πρόϲθ' ὁρόων θάνατον· ὃ δὲ φαϲγάνῳ αὐχένα θείναϲ
τῆλ' αὐτῇ πήληκι κάρη βάλε· μυελὸϲ αὖτε
ϲφονδυλίων ἔκπαλθ', ὃ δ' ἐπὶ χθονὶ κεῖτο τανυϲθείϲ.
αὐτὰρ ὃ βῆ ῥ' ἰέναι μετ' ἀμύμονα Πείρεω υἱόν,
Ῥίγμον, ὃϲ ἐκ Θρῄκηϲ ἐριβώλακοϲ εἰληλούθει·
τὸν βάλε μέϲϲον ἄκοντι, πάγη δ' ἐν νηδύι χαλκόϲ,
ἤριπε δ' ἐξ ὀχέων. ὃ δ' Ἀρηίθοον θεράποντα

V. l. 472 οὖτα CL. — 473 κατ' DGHLS Syr.: παρ' AC. γρ. καὶ κατ' οὖϲ A. ἑτάροιο D. — 474 ὃ δ' D. ὅδ' CGHL. — 475 μέϲϲον H. κακκεφαλὴν ACDGHL Syr. κωπήεντι G. — 476 τόνδε G. — 478 τένοντεϲ D ϲ̄ 2. man. addito. τένοντε Vrat. b. A. — 479 ΜΕϹΗϹΔΙΑ ΧΕΙΡΟϹ ΕΛΑϹϹΕΝ Syr. δϊα H. — 480 αἰχμῇ χαλκείῃ libri mei cum Eust. ΑΙΧΜῊΧΑΛΚΕΊΗ Syr. dativum restituit Wolfius adversus Heynium adnotantem „est αἰχμῇ χαλκείῃ in Mosc. 2. alludunt et alii cum un. Vindob." qui si Eustathium inspexisset, scriptum reperisset pg. 1217, 50 Δευκαλίωνα φίληϲ διὰ χειρὸϲ ὁ Ἀχιλλεὺϲ ἔπειρεν αἰχμῇ χαλκείῃ. ὃ δέ: οἱ δὲ G. — 482 μήλϊκι G. — 483 ϲπονδυλίων G. ὃ δ' D. ὅδ' CHL. — 484 ὃ ACDGHL. ῥ' omitt. L. βῆ τ' ἰέναι Lips. ῥ' ἴέμεναι H. πείρεω libri. — 485 θράκηϲ Harl. — 486 ἐν: ἐνὶ S Cant. Vat. Vrat. b. A. νηδύϊ DGHLS Cant. Vat. edd. vett. πνεύμονι AC Syr. Harl. Mor. Mosc. 2. Vrat. b. A. ἐν ἄλλῳ ἐν νηδύϊ χαλκόϲ A. — 487 ὃ δ' DH. ὅδ' CGL. ἀρηῖθοον D in quo accent. 2. man. add.

A. c. 480 αἰχμῇ χαλκείῃ est vera scriptura, nam πείρω non dicitur de hasta, sed de pugnatore ut Π 405. conf. πεῖράν τ' ὀβελοῖϲιν Η 317. Ω 623. τ 422. περὶ δουρὶ πεπαρμένη Φ 577, coll. Α 465. Β 428. γ 462. μ 365. ξ 430. — 481 πρόϲθ' ὁρόων: Ζηνόδοτοϲ χωρὶϲ τοῦ θ πρόϲ' ὁρόων (an πρόϲϲω ὁρῶν?) Schol. V. — 484 οὕτω πείρεω ὡϲ ἀπ' εὐθείαϲ τῆϲ πείρεωϲ Didymus, conf. Schol. Ϲ 100. ὅτι Ζηνόδοτοϲ γράφει Πείρεωϲ υἱόν Aristonicus. — 486 ἐν νηδύϊ scribendum est, nam in medio corpore h. e. in ventre Rigmus erat vulneratus, conf. Ν 397 δουρὶ μέϲον περόνηϲε, μέϲῃ δ' ἐν γαϲτέρι πῆξεν. Υ 413 sqq. τὸν βάλε μέϲϲον ἄκοντι . . . . . ἀντικρὺ δὲ διέϲχε παρ' ὀμφαλὸν ἔγχεοϲ αἰχμή. Δ 528 βάλε δουρὶ ϲτερνὸν ὑπὲρ μαζοῖο, πάγη δ' ἐν πνεύμονι χαλκόϲ. scripturam νηδύϊ etiam Grashofus postulat in libello „das Fuhrwerk bei Homer" pg. 28, not. 23. νηδύϊ in editionibus ferebatur usque ad Wolfium, qui motus auctoritate meliorum librorum scripturam πνεύμονι intulit. hunc secuti sunt editores recentiores.

ἂψ ἵππουϲ ϲτρέψαντα μετάφρενον ὀξέι δουρὶ
νύξ', ἀπὸ δ' ἅρματοϲ ὦϲε· κυκήθηϲαν δέ οἱ ἵπποι.
ὡϲ δ' ἀναμαιμάει βαθέ' ἄγκεα θεϲπιδαὲϲ πῦρ
οὔρεοϲ ἀζαλέοιο, βαθεῖα δὲ καίεται ὕλη,
πάντῃ τε κλονέων ἄνεμοϲ φλόγα εἰλυφάζει,
ὣϲ ὅ γε πάντῃ θῦνε ϲὺν ἔγχεϊ δαίμονι ἶϲοϲ,
κτεινομένουϲ ἐφέπων· ῥέε δ' αἵματι γαῖα μέλαινα.
ὡϲ δ' ὅτε τιϲ ζεύξῃ βόαϲ ἄρϲεναϲ εὐρυμετώπουϲ
τριβέμεναι κρῖ λευκὸν ἐυκτιμένῃ ἐν ἀλωῇ,
ῥίμφά τε λέπτ' ἐγένοντο βοῶν ὑπὸ πόϲϲ' ἐριμύκων,
ὣϲ ὑπ' Ἀχιλλῆοϲ μεγαθύμου μώνυχεϲ ἵπποι
ϲτεῖβον ὁμοῦ νέκυάϲ τε καὶ ἀϲπίδαϲ· αἵματι δ' ἄξων
νέρθεν ἅπαϲ πεπάλακτο καὶ ἄντυγεϲ αἱ περὶ δίφρον,
ἃϲ ἄρ' ἀφ' ἱππείων ὁπλέων ῥαθάμιγγεϲ ἔβαλλον
αἵ τ' ἀπ' ἐπιϲϲώτρων· ὃ δὲ ἵετο κῦδοϲ ἀρέϲθαι
Πηλείδηϲ, λύθρῳ δὲ παλάϲϲετο χεῖραϲ ἀάπτουϲ.

V. l. 488 τρέψαντα E. — 489 ἀπο DH. — 490 ἄγγεα C. — 491 ἐζαλέοιο G. καίται G. — 492 πάντη AEG: ceteri πάντῃ. — 493 ὡϲ AD 1. man. πάντη AEG: ceteri πάντῃ. — 494 ἐφ' ἕπων A. — 495 τῖϲ C. ζεύξει C. ἄρρεναϲ H Vrat. d. εὐρυμετώπουϲ A. — 496 ἐϋκτιμένῃ ACDGLS Lips. Townl. Vrat. d. Flor. Rom. εὐκτιμένῃ H. ἐϋτροχάλῳ Vrat. b. ΕΥΤΡΟΧΑΛΩΙ Syr. ἐϋκτιμένῃ ἢ ἐϋτροχάλῳ Eust. 1218, 18 et 25. γρ. ἐϋτροχάλωι ἐν ἀλωιῆι A. ἀλωῇ libri. ἀλωῇ Vrat. b. d. — 497 ῥίμφά τε ACD. — 498 ὡϲ AD 1. man. ἀχϊλῆοϲ C Flor. ἀχιλλέωϲ E. — 499 ϹΤΙΒΟΝ Syr. — 500 αἳ A. περι AD. — 501 ἂρ DGL. ὀπλέων L. ὁπλέων omitt. H. — 502 ΟΠΙϹϹΏΤΡΩΝ Syr. ὃ δὲ C. ἵετο CD. — 503 δ' ἐπαλάϲϲετο G.

A. c. 502 ἀπ' ἐπιϲϲώτρων Aristarchus, conf. ad Λ 537.

ΙΛΙΑΔΟϹ Φ.

Ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐυῤῥεῖοϲ ποταμοῖο,
Ξάνθου δινήεντοϲ, ὃν ἀθάνατοϲ τέκετο Ζεύϲ,
ἔνθα διατμήξαϲ τοὺϲ μὲν πεδίον δὲ δίωκε

V. l. 1 ἶξον D Ven. B. Et. Mg. 683, 6. ἶξον A. ἐϋρρῆοϲ L Lips. — 3 πεδίονδε δίωκε E 1219, 63 G Harl. Vrat. b. Lips. δίωκεν E 1219, 59 L Schol. Π 394. πεδίονδ' ἐδίωκε ACDS Ven. B. ἐδίωκεν H. ΠΕΔΊΟΝΔΕΔΙΩΚΕ Syr. πεδίονδε ἐδίωκε Eust. 1219, 35.

A. c. 1 πόρον: ῥόον Aristophanes. — 2 ἀθάνατοϲ: ἀθάνατον Zenodotus, conf. Β 741. Π 174.

πρὸς πόλιν, ᾗ περ Ἀχαιοὶ ἀτυζόμενοι φοβέοντο
ἤματι τῷ προτέρῳ, ὅτε μαίνετο φαίδιμος Ἕκτωρ·
τῇ ῥ' οἵ γε προχέοντο πεφυζότες, ἠέρα δ' Ἥρη
πίτνα πρόσθε βαθεῖαν ἐρυκέμεν· ἡμίσεες δὲ
ἐς ποταμὸν εἰλεῦντο βαθύρροον ἀργυροδίνην,
ἐν δ' ἔπεσον μεγάλῳ πατάγῳ, βράχε δ' αἰπὰ ῥέεθρα,
ὄχθαι δ' ἀμφὶ περὶ μεγάλ' ἴαχον· οἳ δ' ἀλαλητῷ
ἔννεον ἔνθα καὶ ἔνθα ἑλισσόμενοι περὶ δίνας.
ὡς δ' ὅθ' ὑπὸ ῥιπῆς πυρὸς ἀκρίδες ἠερέθονται
φευγέμεναι ποταμὸν δέ· τὸ δὲ φλέγει ἀκάματον πῦρ
ὄρμενον ἐξαίφνης, ταὶ δὲ πτώσσουσι καθ' ὕδωρ·
ὣς ὑπ' Ἀχιλλῆος Ξάνθου βαθυδινήεντος
πλῆτο ῥόος κελάδων ἐπιμὶξ ἵππων τε καὶ ἀνδρῶν.
αὐτὰρ ὁ διογενὴς δόρυ μὲν λίπεν αὐτοῦ ἐπ' ὄχθῃ
κεκλιμένον μυρίκῃσιν, ὃ δ' ἔσθορε δαίμονι ἶσος,
φάσγανον οἶον ἔχων, κακὰ δὲ φρεσὶ μήδετο ἔργα,
τύπτε δ' ἐπιστροφάδην· τῶν δὲ στόνος ὤρνυτ' ἀεικὴς
ἄορι θεινομένων, ἐρυθαίνετο δ' αἵματι ὕδωρ.

V. l. 4 ἀχαιοί ADG Syr. οἱ ἄλλοι CHLS Ven. B. Lips. Townl. Vrat. b. d. A. Mosc. 2. ἀχαιοὶ ἢ κατά τινας οἱ ἄλλοι Eust. 1219, 37. γρ. ἥιπερ οἱ ἄλλοι A. — 5 ἥματι DH. ὅτ' ἐμαίνετο ACE Ven. B. Flor. Rom. Schol. β 1. ΟΤΕΜΑΙΝΕΤΟ Syr. — 6 πεφυγότες Tzetzes Alleg. 13. — 7 πρόσθεν H. πρός τε L. — 8 εἰλεῦντο EL Vrat. b. — 9 ἓν δ' A. — 10 ἀμφι περὶ A. ἀμφιπερι DL. ἀμφὶ περι CH. οἵ δ' D. οἵδ' CGHL. — 11 ἔνεον H. ἐλισσόμενοι ACGHL. περὶ ACG Ven. B. κατὰ DELS Lips. κατα H Syr. γρ. κατὰ δίνας A. — 12 ὑπὸ ADH Syr. Lips. Vrat. b. d. Mosc. 2. ὑπαὶ CGLS. ὑπὸ ἢ ὑπαὶ Eust. ἠερέθοντο L Lips. — 13 ποταμὸν δὲ AD. ΠΟΤΑΜΟΝΔΕ Syr. — 14 ὅρμενον CD. ὅρμονον [με] H. — 15 ὡς A. ἀχῖλῆος C. βαθυδινήεντος A. ὑπὸ δινήεντος D. — 16 κελάδον [ω] H. ἵππων τὲ ACH. — 17 ὁ ACDGHL Et. Mg. 645, 20. ΕΝΟΧΘΗ Syr. ἐπ' ὄχθαις G Flor. ἐπ' ὄχθῃ ACDEHLS Cant. Mor. Barocc. Harl. Lips. Vrat. A. Mosc. 2. Et. Mg. 645, 20. — 18 κεκλϋμένον H. ὁ δ' D. ὅδ' CGHL. ἔσθορε ACHLS Syr. Cant. Mor. Barocc. Harl. Lips. Townl. Vrat. A. ἔνθορε D. γρ. καὶ ἔνθορε A. ἔσθορεν ἢ ἔνθορε Eust. 1221, 4. ἔκθορε G Flor. γρ. καὶ ἔκθορε Townl. — 20 ἐπιστροφάδην C. ὄρνυτ' E. — 21 conf. ad K 484.

A. c. 11 ἔννεον: ἔνιαι τῶν κατὰ πόλεις νήχοντ' Didymus. — 12 ὑπὸ, conf. H. U. 62. — 18 ὁ δ': ὁδ' Pythocles. ἔσθορε δαίμονι ἶσος: ἐν ἐνίαις δ' αἶψ' ἐσόρουσεν Schol. A. ἔνιοι δὲ γράφουσιν αὐτὸς δ' αἶψ' ἐπόρουσεν, quod Bekkerus ad vs. 33 rettulit. Heynius suspicatur scriptum fuisse αὐτὸς δ' αἶψ' ἐσόρουσεν Ἀχιλλεὺς δαίμονι ἶσος.

ὡς δ' ὑπὸ δελφῖνος μεγακήτεος ἰχθύες ἄλλοι
φεύγοντες πιμπλᾶσι μυχοὺς λιμένος εὐόρμου,
δειδιότες· μάλα γάρ τε κατεσθίει ὅν κε λάβῃσιν·
ὣς Τρῶες ποταμοῖο κατὰ δεινοῖο ῥέεθρα
πτῶσσον ὑπὸ κρημνούς. ὃ δ' ἐπεὶ κάμε χεῖρας ἐναίρων,
ζωοὺς ἐκ ποταμοῖο δυώδεκα λέξατο κούρους
ποινὴν Πατρόκλοιο Μενοιτιάδαο θανόντος.
τοὺς ἐξῆγε θύραζε τεθηπότας ἠύτε νεβρούς,
δῆσε δ' ὀπίσσω χεῖρας ἐυτμήτοισιν ἱμᾶσι,
τοὺς αὐτοὶ φορέεσκον ἐπὶ στρεπτοῖσι χιτῶσι,
δῶκε δ' ἑταίροισιν κατάγειν κοίλας ἐπὶ νῆας.
αὐτὰρ ὃ ἂψ ἐπόρουσε δαϊζέμεναι μενεαίνων.
ἔνθ' υἱεῖ Πριάμοιο συνήντετο Δαρδανίδαο
ἐκ ποταμοῦ φεύγοντι, Λυκάονι, τόν ῥά ποτ' αὐτὸς
ἦγε λαβὼν ἐκ πατρὸς ἀλωῆς οὐκ ἐθέλοντα,
ἐννύχιος προμολών· ὃ δ' ἐρινεὸν ὀξέι χαλκῷ
τάμνε νέους ὅρπηκας, ἵν' ἅρματος ἄντυγες εἶεν·
τῷ δ' ἄρ' ἀνώιστον κακὸν ἤλυθε δῖος Ἀχιλλεύς.
καὶ τότε μέν μιν Λῆμνον ἐυκτιμένην ἐπέρασσε
νηυσὶν ἄγων, ἀτὰρ υἱὸς Ἰήσονος ὦνον ἔδωκε·
κεῖθεν δὲ ξεῖνός μιν ἐλύσατο, πολλὰ δ' ἔδωκεν,

V. l. 22 ΩϹΥΠΟ Syr. ὑπο AH. μεγακήτεος A. ἰχθῦες C. — 23 πιπλᾶσι [μ] L. ἐπιπλᾶσι Townl. εὐόρμους Barocc. — 24 γάρ κε Barocc. Mor. γάρ τι Eust. 1221, 37. κατέσθει Vrat. A. ὅν τε Townl. ηνκε λάβησιν G. λάβῃσι Lips. Townl. — 25 ὡς A. τρῷες L. κατα D. δινοῖο AD HS Vrat. b. d. τινὲς τὸ δεινοῖο δι' ἰῶτα γράφουσι Eust. 1221, 40. — 27 δυώδεκα L. — 28 πεινὴν [οι] H. — 29 τοὺς δ' E. τούσδ' Harl. θήραζε L. — 30 εὐτμῆσῖν H. ἱμᾶσι CEG. ϊμᾶσι A. ΙΜΑϹΙ Syr. ἱμᾶσιν D. — 31 χιτῶσι ACDEGH Syr. — 32 ἑταίροισι DEH Vrat. A. Flor. Rom. ἐπϊ H. — 33 ὁ CDGHL. δαϊξέμεναι Vrat. d. γρ. κατακτάμεναι A. — 34 υἷι S Cant. non male, conf. B 791. H. U. 46. δαρδανίδεω D. — 35 τὸν ῥὰ L. — 36 ἀλωιῆς AD. ἀλωιῆς C. ἀλωῆς L. ἀλῳῆς E. — 37 ὁ δ' D. ὅδ' CGHL. — 38 τάμνε, νέους A. ὅρπηκας E 1221, 61. Apoll. Soph. 150, 13. εἶεν: ἦεν GL Vrat. A. — 39 ἆρ ADEGL. ἀνώϊστον A. ἀχϊλεύς C. — 40 μιν omitt. L. εὐκτιμένην H. ἐπέρασσε ACD Syr. ἐπέρασσεν EHL Vrat. A. ἐπέρησε G. ἐπέρασε Flor. Rom. — 41 ἔδωκε ACDGH Syr. — 42 ἔδωκε D. πολλά δε δῶκεν G.

A. c. 33 δαϊζέμεναι Aristarchus. — 38 ὅρπηκας Herodianus cum Ptol. Ascalonita et paradosi: τινὲς ἠθέλησαν δασύνειν Schol. A.

Ἴμβριος Ἠετίων, πέμψεν δ' ἐς δῖαν Ἀρίσβην·
ἔνθεν ὑπεκπροφυγὼν πατρώιον ἵκετο δῶμα.
ἕνδεκα δ' ἤματα θυμὸν ἐτέρπετο οἷσι φίλοισιν
ἐλθὼν ἐκ Λήμνοιο· δυωδεκάτῃ δέ μιν αὖτις
χερσὶν Ἀχιλλῆος θεὸς ἔμβαλεν, ὅς μιν ἔμελλε
πέμψειν εἰς Ἀίδαο καὶ οὐκ ἐθέλοντα νέεσθαι.
τὸν δ' ὡς οὖν ἐνόησε ποδάρκης δῖος Ἀχιλλεὺς
γυμνόν, ἄτερ κόρυθός τε καὶ ἀσπίδος, οὐδ' ἔχεν ἔγχος,
ἀλλὰ τὰ μέν ῥ' ἀπὸ πάντα χαμαὶ βάλε· τεῖρε γὰρ ἱδρὼς
φεύγοντ' ἐκ ποταμοῦ, κάματος δ' ὑπὸ γούνατ' ἐδάμνα·
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
ἦ μάλα δὴ Τρῶες μεγαλήτορες, οὕς περ ἔπεφνον,
αὖτις ἀναστήσονται ὑπὸ ζόφου ἠερόεντος,
οἷον δὴ καὶ ὅδ' ἦλθε φυγὼν ὕπο νηλεὲς ἦμαρ,
Λῆμνον ἐς ἠγαθέην πεπερημένος· οὐδέ μιν ἔσχε
πόντος ἁλὸς πολιῆς, ὃ πολέας ἀέκοντας ἐρύκει.
ἀλλ' ἄγε δὴ καὶ δουρὸς ἀκωκῆς ἡμετέροιο
γεύσεται, ὄφρα ἴδωμαι ἐνὶ φρεσὶν ἠδὲ δαείω,
ἤ ἄρ' ὁμῶς καὶ κεῖθεν ἐλεύσεται, ἦ μιν ἐρύξει
γῆ φυσίζοος, ἥ τε κατὰ κρατερόν περ ἐρύκει.
ὣς ὥρμαινε μένων· ὁ δέ οἱ σχεδὸν ἦλθε τεθηπώς,
γούνων ἅψασθαι μεμαώς, περὶ δ' ἤθελε θυμῷ
ἐκφυγέειν θάνατόν τε κακὸν καὶ κῆρα μέλαιναν.
ἤ τοι ὁ μὲν δόρυ μακρὸν ἀνέσχετο δῖος Ἀχιλλεὺς

V. l. 43 πέμψε DE Flor. — 44 ὑπὲκ προφυγὼν A. — 45 ἥματα D. θυμὸς G. — 46 αὖθϊς C Vrat. A. — 47 ἀχῒλῆος C Flor. ἀχῒλλέως H. θοὸς ἔμβαλεν G. ἔμελλε ACDG Syr. — 48 οὐκεθέλοντα G ut 36. — 49 ἀχῒλεὺς C. — 50 ατερ H. — 51 ἄπο D. δὲ ἱδρὼς Harl. — 52 ὑπο CD. — 53 προςὸν D. πρὸν ὃν G. — 54 ὦ πόποι ADH. — 55 τρῷες L. ΠΕΡ' Syr. — 56 αὖθϊς C. ὑπο AH. — 57 ὑπο AGH Syr. Flor. ὑπὸ CDL. — 58 ἔσχε ACDEHL Syr. — 59 * πολέας: πολεῖς ACDGHLS Syr. Plutarchus de Exilio 12. ὃς πολεῖς E 1223, 2. ὃς πολλοὺς E 1223, 20. ἐρύκοι H. — 61 ἐνι AD. — 62 ἆρ ADEGHL. καὶ κεῖθεν ACDE 1223, 6 GH. ΚΑΙΚΕΙΘΕΝ Syr. κἀκεῖθεν E 1223, 31 Lips. κᾀκεῖθεν L Vrat. d. ΕΡΥΚΕΙ Syr. — 63 φυσίζωος CDL Barocc. Lips. Townl. κατὰ omitt. DHL Lips. καὶ pro κατὰ C. — 64 ὡς A. — 65 περι CDH. πέρι Flor. Mosc. 2. — 67 ὃ μὲν H. ἀνέσχετο: ἀνέσχεθε Vrat. b. Mosc. 2. ἀνέσχετο ἢ ἀνέσχεθε E. ἀχῒλεύς C.

A. c. 57 ὕπο: ὑπὸ Herodianus. — 59 πολέας Wolfius ex em. conf. Ν 734. Ο 66. Υ 313. Φ 131. — 62 καὶ κεῖθεν: ἐκ πλήρους τὸν καί σύνδεσμον ἀρίσταρχος Didymus.

οὐτάμεναι μεμαώς, ὁ δ' ὑπέδραμε καὶ λάβε γούνων
κύψας· ἐγχείη δ' ἄρ' ὑπὲρ νώτου ἐνὶ γαίῃ
ἔστη ἱεμένη χροὸς ἄμεναι ἀνδρομέοιο.
αὐτὰρ ὁ τῇ ἑτέρῃ μὲν ἑλὼν ἐλλίσσετο γούνων,
τῇ δ' ἑτέρῃ ἔχεν ἔγχος ἀκαχμένον οὐδὲ μεθίει·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
γουνοῦμαί σ' Ἀχιλεῦ· σὺ δέ μ' αἴδεο καί μ' ἐλέησον·
ἀντί τοί εἰμ' ἱκέταο διοτρεφὲς αἰδοίοιο.
πὰρ γὰρ σοὶ πρώτῳ πασάμην Δημήτερος ἀκτὴν
ἤματι τῷ, ὅτε μ' εἷλες ἐυκτιμένῃ ἐν ἀλωῇ,
καί μ' ἐπέρασσας ἄνευθεν ἄγων πατρός τε φίλων τε
Λῆμνον ἐς ἠγαθέην, ἑκατόμβοιον δέ τοι ἦλφον.
νῦν δὲ λύμην τρὶς τόσσα πορών· ἠὼς δέ μοί ἐστιν
ἥδε δυωδεκάτη, ὅτ' ἐς Ἴλιον εἰλήλουθα
πολλὰ παθών· νῦν αὖ με τεῇς ἐν χερσὶν ἔθηκε
μοῖρ' ὀλοή· μέλλω που ἀπεχθέσθαι Διὶ πατρί,
ὅς με σοὶ αὖτις ἔδωκε· μινυνθάδιον δέ με μήτηρ

V. l. 68 ὁ δ' D. ὅδ' CGHL. λάβε: βάλε G. — 69 ἆρ ADEGHL. νῶτον H. ἐνι AD. — 69—71 habet H in marg. man. rec. scriptos. — 70 ϊεμένη A. ἰεμένη D. ἄμεναι C Syr. Townl. Vrat. b. Mosc. 2. Apoll. Soph. 26, 19. Cram. Ep. 342, 27. Cram. An. Par. IV, 17, 27 (χροῦς). Hesychius. ἀμεναι AD. ἄμμεναι ἢ ἄμεναι E. ἄμμεναι GHL Rom. ἅμμεναι S Vrat. A. Flor. ἥμεναι Cant. Barocc. et γρ. ἄμμεναι. ἔμμεναι Cram. An. Ox. III, 77, 18. — 71 ὁ ACDGHL. ἐλίσσετο CDGHLS. ἐλίσσετο E Rom. — 72 ἔσχεν E. ἕλεν Harl. μεθείῃ H Vrat. b. d. μεθίῃ S. — 73 φωνήσας AC Syr. Ven. B. Barocc. Mor. λισσόμενος DEGLS Lips. καί ῥ' ὀλοφυρόμενος H Vrat. d. γρ. καί μιν λισσόμενος A. — 74 ἀχιλλεῦ E Rom. — 75 τοι εἶμ' A. τοι εἴμ' Et. Mg. 111, 31. τοι εἶμ' CDEGHL. τοί εἰμ' Apoll. Soph. 31, 12. Schol. Θ 163. — 76 παρ D. πάντα pro πὰρ H. πρῶτον Rom. Eust. 1223, 62. 1224, 34. sed 1224, 32 πρώτῳ. — 77 ἥματι D. εὐκτιμένη D. ἀλῳῆ AE bis H: vulgo ἀλωῇ. C ἀλωῆι. — 78 μ' ἐπέρασσας libri mei. μ' ἐπέρασας Harl. Townl. Apoll. Soph. 71, 13. ἐν ἄλλῳ καί με περασας A. φίλον τε D. — 79 ἑκατόνβοιον L Lips. ἑκατόμβοιον D, spir. 2. man. — 80 δὲ, λύμην AC Ven. B. δὲ λύμην DEHL Syr. Cant. Harl. Vrat. A. Mosc. 2. Schol. Ω 1. δ' ἐλύμην S Lips. Schol. Φ 99. Et. Mg. 333, 44. 572, 12. παρὼν D. δέ μοι ἐστὶν CL Schol. θ 1. Et. Mg. 440, 46. Et. Gud. 252, 59 (ἐστι). — 81 ἦδε AD: ceteri ἥδε. — 82 αὖτε με D. ΑΫΤΕΜΕCΗC Syr. ἔθηκε ACEG Syr. — 84 μέ σοι E 1225, 5. αὖθις CE 1225, 8, sed 1225, 5 αὖτις. ἔδωκε libri. ΜΗΤΗΡ' Syr.

A. c. 73 τοῦτον προστιθέασί τινες οὐ φερόμενον ἐν ταῖς Ἀριστάρχου Didymus. ἐν δέ τισι καὶ ῥ' ὀλοφυρόμενος. ἄλλοι (?) καί μιν λισσόμενος Schol. A. — 80 δὲ λύμην, non δ' ἐλύμην traditum fuisse confirmatur errore grammaticorum, qui hanc formam pro optativo acceperunt, quos refellit Etym. Mg. 333, 44. — 84 ἔδωκε: ἀρίσταρχος ἰακῶς δῶκε Didymus.

γείνατο Λαοθόη, θυγάτηρ Ἄλταο γέροντος,
Ἄλτεω, ὃς Λελέγεσσι φιλοπτολέμοισιν ἀνάσσει
Πήδασον αἰπήεσσαν ἔχων ἐπὶ Σατνιόεντι.
τοῦ δ' ἔχε θυγατέρα Πρίαμος, πολλὰς δὲ καὶ ἄλλας·
τῆς δὲ δύω γενόμεσθα, σὺ δ' ἄμφω δειροτομήσεις.
ἤ τοι τὸν πρώτοισι μετὰ πρυλέεσσι δάμασσας,
ἀντίθεον Πολύδωρον, ἐπεὶ βάλες ὀξέι δουρί·
νῦν δὲ δὴ ἐνθάδ' ἐμοὶ κακὸν ἔσσεται· οὐ γὰρ ὀίω
σὰς χεῖρας φεύξεσθαι, ἐπεί ῥ' ἐπέλασσέ γε δαίμων.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι·
μή με κτεῖν', ἐπεὶ οὐχ ὁμογάστριος Ἕκτορός εἰμι,
ὅς τοι ἑταῖρον ἔπεφνεν ἐνηέα τε κρατερόν τε.
ὣς ἄρα μιν Πριάμοιο προσηύδα φαίδιμος υἱὸς
λισσόμενος ἐπέεσσιν, ἀμείλικτον δ' ὄπ' ἄκουσε·
νήπιε, μή μοι ἄποινα πιφαύσκεο μηδ' ἀγόρευε·
πρὶν μὲν γὰρ Πάτροκλον ἐπισπεῖν αἴσιμον ἦμαρ,
τόφρα τί μοι πεφιδέσθαι ἐνὶ φρεσὶ φίλτερον ἦεν
Τρώων, καὶ πολλοὺς ζωοὺς ἕλον ἠδὲ πέρασσα·

V. l. 85 λαοδόκη Vrat. b. ΘΥΓΑΤΗΡ' Syr. — 86 ἄλταο C. ἄλταω G. ἄνασσε LS Syr. Lips. — 87 πήδασσον EG Flor. Rom. ἐπὶ: ὑπο AH Syr. ὑπὸ CDEGLS. — 88 ἔσχε H. — 89 τῆς δὲ ACG: ceteri τῆσδε. — 90 μετα H. δάμασας E Flor. — 91 ὀξέϊ χαλκῷ Harl. pro var. lect. — 92 ἐνθάδ' ἐμοὶ ACH: ἐνθάδε μοι E bis GLS Lips. ἔνθα δέ μοι D. ΕΝΘΑΔΕΜΟΙ Syr. ἔσσεαι L Lips. ἐν ἄλλῳ κακὸν ἔσσεαι A. — 93 ἐπέλασσε με Vrat. A. — 94 ἐνι AD. σῇσι ACDH Syr. — 96 omitt. Vrat. b. ὅς τις Cant. ἐνηέά τε C. addit post hunc Syr. ΩΙ ΣΥΜΑΛΙΣΤΑΧΟΛΩΑΙ ΕΝΙ ΦΡΕΣΙΝ ΟΙΔΑΚΑΙ ΑΥΤΟΣ. — 97 ὡς A. — 98 ἄκουσε ACDEGHL Syr. — 99 μή μοι ταῦτα ἢ μή μοι ἄποινα E. πιφάσκεο G. μὴ δ' ACD GL. — 100 αἴσιμον ACDEHLS Syr. Cant. Lips. Ven. B. Mosc. 2. Vrat. b. d. A. Flor. Rom. μόρσιμον G. ἤμαρ D. Η̃ΜΑΡ' Syr. — 101 τόφρα δέ μοι H Vrat. d. ἐν ἄλλῳ τόφρα δέ μοι A. ἐνι AD. ἦεν: Η̃Ε Syr. — 102 τρῴων L. ἤδ' H. ἠδ' D, acc. 2. man. ἐπέρασσα CDGHLS. ἐπέρασα AE. ΗΔΕΠΕΡΑΣΣΑ Syr. ἐν ἄλλῳ ἠδε περασσα A.

A. c. 86 ἔνιαι τῶν κατὰ πόλεις ἄνασσε Didymus. — 87 ἐπὶ Strabo XIII, 605 et 619. γράφουσι δέ τινες οὐκ εὖ ὑπὸ Σατνιόεντι, ὡς ὑπὸ ὄρει Σατνιόεντι κειμένης τῆς πόλεως· οὐδὲν δ' ἐστὶν ὄρος ἐνταῦθα Σατνιόεις προσαγορευόμενον. ἀλλὰ ποταμός, ἐφ' ᾧ ἵδρυται ἡ πόλις Strabo XIII, 605. conf. Schol. V ἐπὶ τοῖς ποταμοῖς φαμεν κεῖσθαι τὰς πόλεις. Eust. 1225, 48 λέγει δὲ (ὁ γεωγράφος) καὶ ὅτι γράφουσί τινες Πήδασον ὑποσατνιόεντα. unde apparet, Eustathium verba Strabonis non plane intellexisse. — 88 ἐν τῇ μασσαλιωτικῇ πολλῶν τε καὶ ἄλλων Didymus. — 95 οὐχ ὁμογάστριος: Zenodotus οὐκ ἰογάστριος, conf. Aristonicum ad Ω 47.

νῦν δ' οὐκ ἔσθ' ὅς τις θάνατον φύγῃ, ὅν κε θεός γε
Ἰλίου προπάροιθεν ἐμῇς ἐν χερσὶ βάλῃσι,
καὶ πάντων Τρώων, περὶ δ' αὖ Πριάμοιό γε παίδων.
ἀλλὰ φίλος θάνε καὶ σύ· τί ἦ ὀλοφύρεαι οὕτως;
κάτθανε καὶ Πάτροκλος, ὅ περ σέο πολλὸν ἀμείνων.
οὐχ ὁράᾳς οἷος καὶ ἐγὼ καλός τε μέγας τε;
πατρὸς δ' εἴμ' ἀγαθοῖο, θεὰ δέ με γείνατο μήτηρ·
ἀλλ' ἔπι τοι καὶ ἐμοὶ θάνατος καὶ μοῖρα κραταιή.
ἔσσεται ἢ ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ,
ὁππότε τις καὶ ἐμεῖο Ἄρη ἐκ θυμὸν ἕληται
ἢ ὅ γε δουρὶ βαλὼν ἢ ἀπὸ νευρῆφιν ὀιστῷ.
ὣς φάτο, τοῦ δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ·
ἔγχος μέν ῥ' ἀφέηκεν, ὁ δ' ἕζετο χεῖρε πετάσσας
ἀμφοτέρας. Ἀχιλεὺς δὲ ἐρυσσάμενος ξίφος ὀξὺ
τύψε κατὰ κληῖδα παρ' αὐχένα, πᾶν δέ οἱ εἴσω
δῦ ξίφος ἄμφηκες· ὁ δ' ἄρα πρηνὴς ἐπὶ γαίῃ
κεῖτο ταθείς, ἐκ δ' αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν.
τὸν δ' Ἀχιλεὺς ποταμὸν δὲ λαβὼν ποδὸς ἧκε φέρεσθαι,

V. l. 103 ὅς τις: ὅς γε C. ὅς κεν E Rom. φύγῃ ACEGHLS Lips. Cant. Mor. Harl. Vrat. b. d. Mosc. 2. φύγοι DS Syr. Vrat. A. θοός γε G. — 104 ἐν: ἐνὶ Vrat. A. βάλῃσι ACDEGHL Syr. — 105 καὶ πάντων ACDHLS Syr. Mor. Barocc. Harl. Townl. Flor. Rom. καὶ πάντων ἢ συμπάντων E. συμπάντων G. γρ. καὶ συμπάντων A. τρῴων L. περὶ CL Syr. περι A. alii πέρι. — 106 τί ἡ A: ceteri τίη. οὕτως: αὔτως EG Flor. Rom. Diog. Laert. IX, 11, 6. — 107 ἀμείνω D. — 108 ΚΑΙΕΓῺ Syr.: καγὼ AD. κἀγὼ CEHLS Schol. Ε 256. Ν 769. Eust. 546, 11. 959, 29. Rhet. Gr. II, 558, 12. III, 4, 12. Et. Mg. 637, 43. κᾀγὼ G. — 109 εἶμ' CDEGH. εἶμ' A. με γείνατο ACDELS Syr. Cant. Lips. Vrat. b. A. Mosc. 2. μ' ἐγείνατο GH edd. vett. ΜΗΤΗΡ' Syr. — 110 ἐπὶ ACEG. ἐπεὶ DL. ἐπὶ σοὶ Harl. ἔπι H. κἀμοὶ G: ceteri καὶ ἐμοί. — 111 ἠὼς Apoll. Soph. 85, 23. δείλη CDG Ven. B. Mor. Vrat. A. Schol. Ζ 201. Η 433. Θ 66. Phot. Lex. 62. Cram. Ep. 175, 12. δείλης AE 1226, 29 HLS Syr. Lips. Townl. Apoll. Soph. 85, 23. Et. Mg. 261, 24. Schol. Κ 252 bis. Suidas I, 2, 866, 3. δείλη, κατὰ δέ τινας δείλης E 1225, 35. ΗΜΑΡ' Syr. — 112 ὁππότέ τις G. τίς C. ἐμοῖο C. ἄρῃ ACDH Ven. B. Lips. Harl. Townl. Vrat. b. d. Mosc. 2. ἄρη S. ἄρης G Flor. ἄρει L Syr. Eust. 1225, 36. 1226, 32. utrumque Eust. 1226, 33. — 113 ἀπο H. νευρῆιφϊν C. — 114 ὡς A. ΗΤΟΡ' Syr. — 115 ὁ δ' D. ὅδ' CGHL. πετάσας E. — 116 ἀχιλλεὺς GH Lips. Rom. δὲ: δ' CH. ἐρυσάμενος CG Lips. — 117 κατα D. κληῖδα CDGH. παραυχένα A. — 118 ὁ δ' D. ὅδ' CGHL. ἀμφὶ γαίῃ L Lips. — 119 γαῖα L. — 120 ἀχιλλεὺς Lips. Rom. ποταμὸν δὲ AD. ΠΟΤΑΜΟΝΔῈ Syr.

A. c. 106 οὕτω διὰ τοῦ ο̄ ἅπασαι οὕτως Didymus. — 110 ἔπι Nicias cum Aristarcho: alii ἐπί. — 111 ἀρίσταρχος χωρὶς τοῦ σ̄ δείλη Didymus. — 112 ἄρῃ conf. Ε 757. 909. Φ 431.

καί οἱ ἐπευχόμενος ἔπεα πτερόεντ' ἀγόρευεν·
ἐνταυθοῖ νῦν κεῖco μετ' ἰχθύcιν, οἵ c' ὠτειλὴν
αἷμ' ἀπολιχμήcονται ἀκηδέεc· οὐδέ cε μήτηρ
ἐνθεμένη λεχέεccι γοήcεται, ἀλλὰ Cκάμανδροc
οἴcει δινήειc εἴcω ἁλὸc εὐρέα κόλπον.
θρῴcκων τιc κατὰ κῦμα μέλαιναν φρῖχ' ὑπαΐξει
ἰχθύc, ὅc κε φάγῃcι Λυκάονοc ἀργέτα δημόν.
φθείρεcθ', εἰc ὅ κεν ἄcτυ κιχείομεν Ἰλίου ἱρῆc,
ὑμεῖc μὲν φεύγοντεc, ἐγὼ δ' ὄπιθεν κεραΐζων.
οὐδ' ὑμῖν ποταμόc περ ἐΰρροοc ἀργυροδίνηc
ἀρκέcει, ᾧ δὴ δηθὰ πολέαc ἱερεύετε ταύρουc,
ζωοὺc δ' ἐν δίνῃcι καθίετε μώνυχαc ἵππουc.

V. l. 121 πτερόεντα προcηύδα Barocc. Vrat. b. A. Mosc. 2. γρ. ἔπεα πτερόεντα προcηύδα A. — 122 ἰχθῦcιν C. ὠτειλὴν AD Schol. O 24. Ζ 224: ὠτειλῆc CEGHL Syr. Ven. B. Lips. Schol. Φ 126. ξ 178. — 123 ἀπολικμήcονται Vrat. A. Schol. O 24. ΜΉΤΗΡ' Syr. — 124 λεχέεcι D. κάμανδροc L Harl. γοήcεται ἥ τὸ πάροc περ γείνατο κοῦρον ἐόντα [καὶ ἔτρεφεν] ἀλλὰ cκάμανδροc C, in quo est lacuna post ἐόντα. — 125 ἁλὸc εἴcω Vrat. A. εὐρέα πόντον C. — 126 θρῴcκων AE: ceteri θρώcκων. τῖc C. τὶc L. κατα AD. μέλαινα S. φρῖ[κ]χ' A. ὑπαΐξει ACGL Mor. Cant. Ven. B Lips. Flor. φρῖχ' ὑπαλύξει DHS Rom. Schol. Ζ 459. Ψ 692. ὑπαλύξει ἢ ὑπαΐξει Eust. 1227, 5 et 6. ὑπαλύξαc Apoll. Soph. 165, 16. ἄλλοι δὲ ὑπαΐξει γράφουcιν Eust. 1227, 14. — 127 ἰχθῦc AC 1. man. D. ὥc κε L Lips. Eust. 1227, 17. ἔνια δὲ τῶν ἀντιγράφων τὸ ὥc κε διὰ τοῦ ō μικροῦ γράφουcιν Eust. 1227, 8. λυκάωνοc G. — 128 εἰc ὅ κεν A: ceteri εἰcόκεν. — 129 ὄπιcθε D. — 130 εὔροοc G. ἐΰρρoc H. ἐΰροοc E. — 131 πολεῖc ADEGHLS Syr. Lips. πολλοὺc C. ἱερεύεται G. — 132 καθείετε G.

A. c. 122 ἐνταυθοῖ: ἐνταῦθοι Dionysius Thrax, Timarchus, Aristoteles (?) Schol. apud Cram. An. Par. III, 291, 27. διχῶc κεῖcο καὶ ἧcο Didymus (?) conf. Schol. B. οὕτωc διὰ τοῦ ν̄ ὠτειλήν ἅπαcαι Didymus. — 126 ὑπαΐξει: οὕτωc ἀρίcταρχοc, ἄλλοι δὲ ὑπαλύξει Didymus. — φρῖχ' ὑπαλύξει Philetas et Callistratus teste Aristonico, conf. etiam Schol. Ζ 459. οὕτωc αἱ 'Αριcτάρχου „μέλαιναν φρῖκ' ἐπαΐξει". ἡ δὲ Χία „μελαίνη φρῖχ' (μελαίνῃ φρίχ' ?) ὑπαΐξει." οὕτω δὲ αὐτὸc 'Αρίcταρχοc ἐξηγήcατο Schol. Townl. apud Cram. An. Par. III, 292, 4. ὁ μὲν 'Αρίcταρχοc φρῖκ' ἐπαΐξει, οἱ δὲ ἄλλοι ὑπαΐξει Schol. B. Aristarchum ὑπαΐξει scripsisse tradiderunt Didymus et Aristonicus, idque confirmat Porphyrius, qui Aristophanem quoque ita legisse testatur ('Αριcτοφάνηc βούλεται τὸν ἰχθὺν θρώcκειν κατὰ κῦμα καὶ ὑπαΐccειν τὴν φρῖκα); itaque Schol. B. et Townl. fides nulla est habenda. de Philetae scriptura ὑπαλύξει in scholiis nulla est discrepantia. quid in Chia scriptum fuerit, non liquet. — 127 ὅc Aristarchus: ὥc Aristophanes. — 130—135 'Αριcτοφάνηc ἠθέτηκεν Schol. V. μήποτε μέντοι καὶ ὁ 'Αρίcταρχοc cυγκατέθετο τῇ ἀθετήcει, μηδὲν ἀντειπὼν τῷ 'Αριcτοφάνει Didymus. — 131 'Αρίcταρχοc πολέαc· ἔνιοι δὲ πολεῖc Didymus, conf. Schol. A 559.

ἀλλὰ καὶ ὧc ὀλέεcθε κακὸν μόρον, εἰc ὅ κε πάντεc
τίcετε Πατρόκλοιο φόνον καὶ λοιγὸν 'Αχαιῶν,
οὓc ἐπὶ νηυcὶ θοῇcιν ἐπέφνετε νόcφιν ἐμεῖο.
ὣc ἄρ' ἔφη, ποταμὸc δὲ χολώcατο κηρόθι μᾶλλον,
ὥρμηνεν δ' ἀνὰ θυμόν, ὅπωc παύcειε πόνοιο
δῖον 'Αχιλλῆα, Τρώεccι δὲ λοιγὸν ἀλάλκοι.
τόφρα δὲ Πηλέοc υἱὸc ἔχων δολιχόcκιον ἔγχοc
'Αcτεροπαίῳ ἐπᾶλτο, κατακτάμεναι μενεαίνων,
υἱέι Πηλεγόνοc· τὸν δ' 'Αξιὸc εὐρυρέεθροc
γείνατο καὶ Περίβοια, 'Ακεccαμενοῖο θυγατρῶν
πρεcβυτάτη· τῇ γάρ ῥα μίγη ποταμὸc βαθυδίνηc.
τῷ ῥ' 'Αχιλεὺc ἐπόρουcεν, ὁ δ' ἀντίοc ἐκ ποταμοῖο
ἔcτη ἔχων δύο δοῦρε· μένοc δέ οἱ ἐν φρεcὶ θῆκε
Ξάνθοc, ἐπεὶ κεχόλωτο δαϊκταμένων αἰζηῶν,
τοὺc 'Αχιλεὺc ἐδάιζε κατὰ ῥόον οὐδ' ἐλέαιρεν.
οἱ δ' ὅτε δὴ cχεδὸν ἦcαν ἐπ' ἀλλήλοιcιν ἰόντεc,
τὸν πρότεροc προcέειπε ποδάρκηc δῖοc 'Αχιλλεύc·
τίc πόθεν εἰc ἀνδρῶν, ὅ μευ ἔτληc ἀντίοc ἐλθεῖν;
δυcτήνων δέ τε παῖδεc ἐμῷ μένει ἀντιόωcι.
τὸν δ' αὖ Πηλεγόνοc προcεφώνεε φαίδιμοc υἱόc·
Πηλείδη μεγάθυμε, τί ἦ γενεὴν ἐρεείνειc;

V. l. 133 ὦc A Ven. B.: ceteri ὧc. ὀλέεcθαι D. εἰc ὅ κε A. — 135 ἐπι AG. ἐπέφνετο H. — 136 ώc A. ἆρ G. δ' ἐχολώcατο L Tzetzes Alleg. 31. — 137 ὥρμηνεν CH Tzetzes All. 32. ἀνα D. πόνοιο: ΦΟΝΟΙΟ Syr. conf. 249, ita Ven. B. Harl. Vrat. b. A. Mosc. 2. — 138 ἀχϊλῆα C. τρῴεccι L. θυμὸν ἀλάλκοι L Lips. λοιγὸν ἀμύνῃ E Rom. — 139 δολιχόcκιον A. — 140 ἐπάλτο G. — 141 ἄξιοc CDES. εὐρυ[×]ρέεθροc (sic) D. — 142 ἀκεcαμενοῖο G. ἀκεccαμένοιο Lips. ἀκαccαμενοῖο Vrat. A. θυγάτηρ S. — 143 γὰρ ῥὰ L. ῥα μίγη: ἐν ἄλλωι τῆι γάρ ῥ' ἐμίγη A. — 144 τῷ ῥ' C Lips. Barocc. Vrat. b. Mosc. 2. τῶ ῥ' AL Syr. τῷ δ' DEGHS. ἀχϊλλεὺc H Rom. ὃ δ' D. ὅδ' CGHL. — 145 δύω D. ἐμφρεcὶ A. ἐνὶ φρεcὶ D. θῆκε ACDEGH Syr. — 146 δαῒ κταμένων CH. — 147 ἐδάϊζε ACDEGHS Syr. Vrat. b. d. A. Mosc. 2. Flor. ἐδάϊξε L Rom. καταρρόον C. κατα[×]ρρόον D (sic). κατὰρρόον H. — 148 omitt. Syr. οἳ δ' L. οἵδ' CH. — 149 πρότερον προcέφη Mosc. 2. προcέειπεν omisso ποδάρκηc H. ἀχϊλεύc C. — 150 εἶc A: ceteri εἶc. ἀντίοc[ν] A. ἀντίον Mosc. 2. ἐλθὼν D. — 151 ἀντιόωcι ACDG Plutarchus de Se ips. citra invid. laud. 16. — 152 προcεφώνει C. — 153 τί ἤ A: ceteri τίη.

A. c. 137 πόνοιο: φόνοιο, conf. ad 249. — 141 Πηλεγόνοc Herodianus cum Ptol. Ascalonita. — 142 'Ακεccαμενοῖο Herodianus, conf. Eust. 1228, 20. — 146 δαῒ κταμένων, conf. ad 301. — 150 εἰc veteres, conf. H. T. 241.

εἴμ' ἐκ Παιονίης ἐριβώλου, τηλόθ' ἐούcης,
Παίονας ἄνδρας ἄγων δολιχεγχέας· ἥδε δέ μοι νῦν
ἠὼc ἑνδεκάτη, ὅτ' ἐc Ἴλιον εἰλήλουθα.
αὐτὰρ ἐμοὶ γενεὴ ἐξ Ἀξιοῦ εὐρὺ ῥέοντοc,
[Ἀξιοῦ, ὃc κάλλιcτον ὕδωρ ἐπὶ γαῖαν ἵηcιν,]
ὃc τέκε Πηλεγόνα κλυτὸν ἔγχεϊ· τὸν δ' ἐμέ φαcι
γείναcθαι· νῦν αὖτε μαχώμεθα φαίδιμ' Ἀχιλλεῦ.
ὣc φάτ' ἀπειλήcαc, ὁ δ' ἀνέcχετο δῖοc Ἀχιλλεὺc
Πηλιάδα μελίην· ὁ δ' ἁμαρτῇ δούραcιν ἀμφὶc
ἥρωc Ἀcτεροπαῖοc, ἐπεὶ περιδέξιοc ἦεν·
καί ῥ' ἑτέρῳ μὲν δουρὶ cάκοc βάλεν, οὐδὲ διὰ πρὸ
ῥῆξε cάκοc· χρυcὸc γὰρ ἐρύκακε, δῶρα θεοῖο·
τῷ δ' ἑτέρῳ μιν πῆχυν ἐπιγράβδην βάλε χειρὸc
δεξιτερῆc, cύτο δ' αἷμα κελαινεφέc· ἡ δ' ὑπὲρ αὐτοῦ
γαίῃ ἐνεcτήρικτο λιλαιομένη χροὸc ἆcαι.
δεύτεροc αὖτ' Ἀχιλεὺc μελίην ἰθυπτίωνα
Ἀcτεροπαίῳ ἐφῆκε κατακτάμεναι μενεαίνων.
καὶ τοῦ μέν ῥ' ἀφάμαρτεν, ὁ δ' ὑψηλὴν βάλεν ὄχθην,

V. l. 154 εἰμ' A. εἶμ' CEG. — 155 ἔχων AC. ἄνδραc ἄγων A in marg. δολιχεγχέαc A. ἧδε AD: ceteri ἥδε. — 156 ἐνδεκάτη D. ἐc: εἰc EGL Lips. Flor. Rom. — 157 ἐμὴ γενεὴ Vrat. A. Mosc. 2. ἀξίου CDES. ἐξαξίου A. εὐρὺ ῥέοντοc ACDEGHL. — 158 omitt. ADH in t. Syr. Lips. in t. Townl. Vrat. d.: habent CEGH in marg. 2. man. L Lips. in marg. ἀξίου CES. ὃc: οὗ C. ἐπὶ γαῖαν ἵηcι GH, ceteri ἵηcιν: ἐπικίδναται αἶαν C Ven. B. — 159 δέ με ACE Ven. B. Vrat. A. Mosc. 2. Rom. δ' ἐμὲ DGHL Vrat. b. d. Flor. φαcὶ ACDEGHL. ΦΑCΙ Syr. — 160 γείνεcθαι AC Ven. B. γείναcθαι A in marg. νῦν δ' Harl. ἀχϊλεῦ C. — 161 ὥc A. ὁ δ' D. ὅδ' CGHL. — 162 ὁ δ' D. ὅδ' CGH. ἁμαρτῇ ADE Rom. Apoll. Soph. 24, 29. ἀμαρτῇ GL Cant. Harl. Mor. Vrat b. A. Lips. Flor. ἁμαρτῆ C. ὁμαρτῇ HS. ΟΜΑΡΤΗ Syr. ἁμαρτὴ et ἀμφὶ Et. Gud. 42, 31. — 163 περιδέξιοc A. — 164 διὰ πρὸ DG: ceteri διαπρὸ. — 166 ἐπιγραύδην L Lips. Vrat. b. ἐπιγραύδων Vrat. A. ἐπιγράμβδην Apoll. Soph. 72, 27. — 167 cύτο: χύτο Vrat. A. ἣ δ' L. ἧδ' C. — 168 ἐν ἐcτήρικτο L. ἐνcτήρικτο CH. — 169 ἀχιλλεὺc D Flor. — 170 ἐφέηκε D. — 171 ῥ' omitt. E. ὁ δ' D. ὅδ' CGHL.

A. c. 158 φέρει καὶ τὸ ἔποc καὶ Εὔδοξοc δίχα τοῦ ν̄ „Ἀξιοῦ [οὗ] κάλλιcτον ὕδωρ ἐπικίδναται Αἶα“ Schol. B. idem Schol. λ 239. conf. adnot. ad Β 850. — 159 δ' ἐμέ: δέ με Ptol. Ascalonita. — 162 ἁμαρτῇ Herodianus cum Ptol. Ascalonita: ἁμαρτὴ Aristarchus, conf. Schol. Ε 556. Eust. 1229, 18. Zonar. Lex. 164. Cram. An. Par. III, 292, 7. ἀμφὶc: ἄμφω Massiliensis. — 163 περιδέξιοc Herodianus: πέρι δέξιοc Ptolemaeus Pindarion. — 169 ἰθυπτίωνα Aristarchus teste Aristonico, qui hanc scripturam tuetur allato Υ 99 τοῦ γ' ἰθὺ βέλοc πέτετ'. Zenodotus ἰθυκτίωνα. erravit Eustathius 1229, 42, qui cum Schol. B Aristarcho scripturam Zenodoti tribuit, sed conf. ad Υ 273.

μεccοπαλὲc δ' ἄρ' ἔθηκε κατ' ὄχθηc μείλινον ἔγχοc.
Πηλείδηc δ' ἄορ ὀξὺ ἐρυccάμενοc παρὰ μηροῦ
ἆλτ' ἐπί οἱ μεμαώc· ὁ δ' ἄρα μελίην Ἀχιλῆοc
οὐ δύνατ' ἐκ κρημνοῖο ἐρύccαι χειρὶ παχείῃ·
τρὶc μέν μιν πελέμιξεν ἐρύccεcθαι μενεαίνων,
τρὶc δὲ μεθῆκε βίηc· τὸ δὲ τέτρατον ἤθελε θυμῷ
ἆξαι ἐπιγνάμψαc δόρυ μείλινον Αἰακίδαο,
ἀλλὰ πρὶν Ἀχιλεὺc cχεδὸν ἄορι θυμὸν ἀπηύρα.
γαcτέρα γάρ μιν τύψε παρ' ὀμφαλόν, ἐκ δ' ἄρα πᾶcαι
χύντο χαμαὶ χολάδεc· τὸν δὲ cκότοc ὄccε κάλυψεν
ἀcθμαίνοντ'· Ἀχιλεὺc δ' ἄρ' ἐνὶ cτήθεccιν ὀρούcαc
τεύχεά τ' ἐξενάριξε καὶ εὐχόμενοc ἔποc ηὔδα·
κεῖc' οὕτω· χαλεπόν τοι ἐριcθενέοc Κρονίωνοc
παιcὶν ἐριζέμεναι ποταμοῖό περ ἐκγεγαῶτι.
φῆcθα cὺ μὲν ποταμοῦ γένοc ἔμμεναι εὐρὺ ῥέοντοc,
αὐτὰρ ἐγὼ γενεὴν μεγάλου Διὸc εὔχομαι εἶναι.
τίκτέ μ' ἀνὴρ πολλοῖcιν ἀνάccων Μυρμιδόνεccι,

V. l. 172 μεccοπαλὲc A. μεccοπαλὲc C Syr. Ven. B. Mosc. 2. pr. man. Apoll. Soph. 111, 28. Hesychius III, 94: ceteri μεccοπαγὲc cum Schol. Φ 10. ἂρ DEGL. — 173 ἐρυcάμενοc DE. — 174 ἆλτ' C. ἆλτο L. ἐπί οἱ ACDHL: ἐπὶ οἷ G Lips. Schol. Α 368. ὁ δ' AD. ὅδ' CGHL. — 175 ἐρύcαι EGL 1. man. Lips. Flor. — 176 ἐρύccεcθαι ACL 2. man. Syr. ἐρύcεcθαι ES Barocc. Cant. Mor. Mosc. 2. Vrat. b. ἐρύccαcθαι DH. ἐρύcαcθαι GL 1. man. Lips. Flor. Rom. — 177 * βίηc (Lips.?): βίῃ AC EHS Syr. Ven. B. Rom. βίη DGL Cant. Harl. Flor. τέταρτον CD Lips. Flor. — 178 ἄξαι ACDEGHL Syr. ἐπιγνάψαc L. — 179 ἀλλά ἑ πρὶν S Cant. ἀχιλλεὺc DE Lips. — 180 γαcτέρι Mosc. 2. πᾶcαι sequenti versui additum est in D. — 181 χύντο AEHL Syr. χῦντο CDG Ven. B. ΚΑΛΥΨΕ Syr. ὄcc' ἐκάλυψεν L Lips. Vrat. A. — 182 ἂρ ADGHL. γὰρ Barocc. δ' ἐνὶ C omisso ἄρ'. ἐνι AD. cτήθεcιν G. ὀρούcαc CG Syr. Ven. B. ὀρούων DHL Lips. Vrat. A. ὀρούcαc [ων] A. — 184 οὕτω ADEGHL Lips. Ven. B. edd. vett. Tzetzes Alleg 49. οὕτωc C. in Syr. est lacuna usque ad τοι. χαλεπόν τι L. — 185 ΠΕΡ' Syr. ἐκγεγαῶτι ACDEHL Syr. Ven. B: ἐκγεγαῶτα GL Lips. — 186 φῆcθα ACDG Syr. φῇcθα HL. φῆcθαι E. εὐρὺ ῥέοντοc ACDEGHL. ΕΥΡΥΡΈΟΝΤΟC Syr. — 188 τίκτέ μ' ADH. ΑΝΗΡ' Syr. μυρμιδόνεccι ACDG Syr.

A. c. 172 οὕτωc ἀρίcταρχοc μεccοπαλέc Didymus. — 174 ἐπί οἱ Herodianus, conf. Lehrs. Quaest. Ep. 119. — 177 βίηc, quod φ 126 libri praeter unum omnes exhibent, hoc loco restituit Bekkerus, nam μεθίημι ubique genetivo iungitur. — 183 ἐξενάριξε: ἐν ἐνίαιc διὰ τοῦ ξ̄ ἐξενάριζε Didymus. — 185 οὕτωc κατὰ δοτικὴν ἐκγεγαῶτι αἱ Ἀριcτάρχου Didymus. — 186 φῆcθα: φῄcθα Tyrannio.

Πηλεὺc Αἰακίδηc· ὁ δ' ἄρ' Αἰακὸc ἐκ Διὸc ἦεν.
τῷ κρείccων μὲν Ζεὺc ποταμῶν ἁλιμυρηέντων,
κρείccων αὖτε Διὸc γενεὴ ποταμοῖο τέτυκται.
καὶ γὰρ cοὶ ποταμόc γε πάρα μέγαc, εἰ δύναταί τι
χραιcμεῖν· ἀλλ' οὐκ ἔcτι Διὶ Κρονίωνι μάχεcθαι,
τῷ οὐδὲ κρείων Ἀχελώιοc ἰcοφαρίζει,
οὔτε βαθυῤῥείταο μέγα cθένοc Ὠκεανοῖο,
ἐξ οὗ περ πάντεc ποταμοὶ καὶ πᾶcα θάλαccα
καὶ πᾶcαι κρῆναι καὶ φρείατα μακρὰ νάουcιν·
ἀλλὰ καὶ ὃc δείδοικε Διὸc μεγάλοιο κεραυνὸν
δεινήν τε βροντήν, ὅτ' ἀπ' οὐρανόθεν cμαραγήcη.
ἦ ῥα, καὶ ἐκ κρημνοῖο ἐρύccατο χάλκεον ἔγχοc,
τὸν δὲ κατ' αὐτόθι λεῖπεν, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
κείμενον ἐν ψαμάθοιcι, δίαινε δέ μιν μέλαν ὕδωρ.
τὸν μὲν ἄρ' ἐγχέλυέc τε καὶ ἰχθύεc ἀμφεπένοντο,
δημὸν ἐρεπτόμενοι ἐπινεφρίδιον κείροντεc.
αὐτὰρ ὃ βῆ ῥ' ἰέναι μετὰ Παίοναc ἱπποκορυcτάc,
οἵ ῥ' ἔτι πὰρ ποταμὸν πεφοβήατο δινήεντα,

V. L. 189 ὃ δ' D. ὅδ' CGHL. ἂρ ADEHL. διὸc εἶναι L. ἦν E. — 190 τῶ ACL. τῷ DEGH. in Syr. est lacuna. ἁλιμυρηέντων A. ἁλϊμοιρηέντων C Ven. B. Mosc. 2. ἁλιμυρϊέντων G. ἁλὶ μυριέντων Et. Gud. 400, 10. — 191 δ' αὖτε ACDEHLS Ven. B. Lips. ΔΑΫΤΕ Syr. — 192 γάρ cοι DEHL Tzetzes Alleg. 71. γε omitt. C. μέγαc πάρα G. δύναταί τοι S Cant. δύναταί τιc Vrat. d. — 194 οὐδὲ ACDEGHS Syr. Cant. Mor. Townl. Vrat. b. Ven. B. Cram. Ep. 306, 27. Et. Mg. 181, 14. Schol. Ξ 434. δ' οὐδὲ Vrat. A. Apoll. de Synt. 90, 13: οὔτε HL Lips. — 195 οὔτε L Lips. οὐδὲ (τ superscr.) A: ceteri οὐδὲ. — 196 πᾶcαί τε θάλαccαι Vrat. A. — 197 φρέατα D. νάουcι CD. νέουcι Cant. — 198 ὃc δείδοικε libri praeter D cum Apoll. de Pron. 5 A. Cram. Epim. 359, 8. Et. Mg. 635, 16. Zonar. Lex. 1473. ὡc δείδοικε D. ὅc γε δέδοικε Tzetzes Alleg. 77. — 199 ἀπ' omitt. G Flor. cμαραγήcει CES Cant. Mor. Barocc. Vrat. A. cυρραγήcη Tzetzes Alleg. 78. — 200 ἦ ῥὰ CGHL. ἐρύcατο G Lips. ὄμβριμον ἔγχοc L. — 201 καταυτόθι G Syr. Flor. λίπεν D. λεῖπε Lips. — 202 ΔΙΑΙΝΕΙ Ambr. ΎΔΩΡ' Syr. φίλον ἦτορ C et in marg. man. rec. γρ. μέλαν ὕδωρ. — 203 ἄρ ADGHL. ἀμφ' ἐπένοντο H Syr. — 204 ΕΠΕΙΝΕΦΡΊΔΙΟΝ Syr. κείραντεc (ον superscr.) L. — 205 ὃ ACDGHL. βῆ ῥ' CDGH Syr. βῆ A Ambr. L Lips. Ven. B. — 206 παρ AD.

A. c. 190 ἁλιμυρηέντων Aristarchus. — 191 ἀρίcταρχοc ἔξω τοῦ δὲ κρείccων αὖτε Didymus. — 195 οὐδὲ: ἀρίcταρχοc οὔτε βαθυρρείταο Didymus. Ζηνόδοτοc αὐτὸν οὐκ ἔγραφε Aristonicus.

ὡc εἶδον τὸν ἄριcτον ἐνὶ κρατερῇ ὑcμίνῃ
χέρc' ὕπο Πηλεΐδαο καὶ ἄορι ἶφι δαμέντα.
ἔνθ' ἕλε Θερcίλοχόν τε Μύδωνά τε Ἀcτύπυλόν τε
Μνῆcόν τε Θραcίον τε καὶ Αἴνιον ἠδ' Ὀφελέcτην·
καί νύ κ' ἔτι πλέοναc κτάνε Παίοναc ὠκὺc Ἀχιλλεύc,
εἰ μὴ χωcάμενοc προcέφη ποταμὸc βαθυδίνηc,
ἀνέρι εἰcάμενοc, βαθέηc δ' ἐκ φθέγξατο δίνηc·
ὦ Ἀχιλεῦ, περὶ μὲν κρατέειc, περὶ δ' αἴcυλα ῥέζειc
ἀνδρῶν· αἰεὶ γάρ τοι ἀμύνουcιν θεοὶ αὐτοί.
εἴ τοι Τρῶαc ἔδωκε Κρόνου παῖc πάνταc ὀλέccαι,
ἐξ ἐμέθεν γ' ἐλάcαc πεδίον κάτα μέρμερα ῥέζε·
πλήθει γὰρ δή μοι νεκύων ἐρατεινὰ ῥέεθρα,
οὐδέ τί πῃ δύναμαι προχέειν ῥόον εἰc ἅλα δῖαν
cτεινόμενοc νεκύεccι, cὺ δὲ κτείνειc ἀιδήλωc.
ἀλλ' ἄγε δὴ καὶ ἔαcον· ἄγη μ' ἔχει ὄρχαμε λαῶν.
τὸν δ' ἀπαμειβόμενοc προcέφη πόδαc ὠκὺc Ἀχιλλεύc·
ἔcται ταῦτα Cκάμανδρε διοτρεφέc, ὡc cὺ κελεύειc.
Τρῶαc δ' οὐ πρὶν λήξω ὑπερφιάλουc ἐναρίζων,
πρὶν ἔλcαι κατὰ ἄcτυ καὶ Ἕκτορι πειρηθῆναι
ἀντιβίην, ἤ κέν με δαμάccεται, ἦ κεν ἐγὼ τόν.
ὣc εἰπὼν Τρώεccιν ἐπέccυτο δαίμονι ἶcοc.

V. L. 207 ἴ̆δον C. ἐνι AD. ὑcμένηι H. — 208 ὑπὸ ACDL. ὕπο H Syr. — 209 ἕλετ' ὀρcίλοχον Vrat. b. — 210 θράcιόν GL. θραcίων D. ἤ̆δ' H. — 211 νύ κέ τι D. ἔκτανε AC. ἀχιλεὺc C. — 212 ΠΡΟCΈΦΗ ΞΑΝΘΟC Syr. suprascr. 2. man. ποταμοc. — 213 ΕΙΔΟΜΕΝΟC Ambr. γρ. καὶ εἰδόμενοc A. βαθείηc ἐκφέγξατο L. δ' ἐφθέγξατο ACDGHS Ven. B. Lips. Tzetz. Alleg. 86. ΔΕΦΘΈΓΞΑΤΟ Syr. „ἐκφθέγξατο edidit Barnesius ex emendatione Isaaci Casauboni“ Clarke. — 214 περϊ μὲν CD. πέρϊ (× superscr.) μὲν H (sic) πέρι bis GL Flor. Rhet. Gr. III, 374, 10. πέρι δ' H. — 215 ἀμύνουcι CDEGHL Vrat. A. Flor. Rom. — 216 εἴ cοι EG. τρῷαc L. — 217 κατα DL. κατὰ H. ῥέζειν D Rom. ῥέζειν ἤγουν ῥέζε E. ῥέξε (α superscr.) H 1. man. nunc ῥέξαι. — 218 αἰπεινὰ ῥέεθρα Vrat. A. ῥέεθρον H. — 219 οὐδέ τι πῃ ADGH. οὐδέ τι πη CL. οὐδέ τί πῃ E. οὐδέ τί πῃ Schol. Π 71. οὐδέ τι πῆ Rhet. Gr. III, 374, 16. — 220 δεινόμενοc Vrat. d. — 221 ἔᾳccον C. — 222 ἀχϊλεύc C. — 223 κάμανδρε L Harl. — 224 τρῷαc L. — 225 ἔλcαι CH. ἐλάcαι S Cant. Harl. ἔλcαι, ὅ ἐcτιν ἐλάcαι cυγκλεῖcαι E, conf. adnot. ad ε 132. η 250. — 226 εἴ κέν με D. — 227 ὡc A. τρῴεccιν L.

A. L. 213 τὸ δὲ βαθέηc χωρὶc τοῦ δ Schol. A. — 217 οὕτω διὰ τοῦ γε ἐμέθεν γ' ἐλάcαc Didymus. τινὲc πελάcαc Schol. V. — 221 ἔαcον: alii ἔαcον teste Schol. V.

καὶ τότ' Ἀπόλλωνα προσέφη ποταμὸς βαθυδίνης·
ὢ πόποι ἀργυρότοξε, Διὸς τέκος, οὐ σύ γε βουλὰς
εἰρύσαο Κρονίωνος, ὅ τοι μάλα πόλλ' ἐπέτελλε
Τρωσὶ παρεστάμεναι καὶ ἀμύνειν, εἰς ὅ κεν ἔλθῃ
δείελος ὀψὲ δύων, σκιάσῃ δ' ἐρίβωλον ἄρουραν.
ἦ, καὶ Ἀχιλλεὺς μὲν δουρὶ κλυτὸς ἔνθορε μέσσῳ
κρημνοῦ ἀπαΐξας· ὁ δ' ἐπέσσυτο οἴδματι θύων,
πάντα δ' ὄρινε ῥέεθρα κυκώμενος, ὦσε δὲ νεκροὺς
πολλούς, οἵ ῥα κατ' αὐτὸν ἅλις ἔσαν, οὓς κτάν' Ἀχιλλεύς·
τοὺς ἔκβαλλε θύραζε μεμυκὼς ἠύτε ταῦρος,
χέρσον δέ· ζωοὺς δὲ σάω κατὰ καλὰ ῥέεθρα,
κρύπτων ἐν δίνῃσι βαθείῃσιν μεγάλῃσι.
δεινὸν δ' ἀμφ' Ἀχιλῆα κυκώμενον ἵστατο κῦμα,
ὤθει δ' ἐν σάκεϊ πίπτων ῥόος, οὐδὲ πόδεσσιν
εἶχε στηρίξασθαι. ὁ δὲ πτελέην ἕλε χερσὶν
εὐφυέα μεγάλην· ἡ δ' ἐκ ῥιζέων ἐριποῦσα
κρημνὸν ἅπαντα διῶσεν, ἐπέσχε δὲ καλὰ ῥέεθρα
ὄζοισιν πυκινοῖσι, γεφύρωσεν δέ μιν αὐτὸν
εἴσω πᾶσ' ἐριποῦσ'· ὁ δ' ἄρ' ἐκ δίνης ἀνορούσας

V. l. 229 ὦ πόποι ADH. ὦ πόσοι G. βουλὴν E. — 230 ὅ, τι L. ὅτϊ H Lips. ἐπέτελλε ACDEGL Syr. — 231 τρωςὶ L. παριστάμεναι ACG Ven. B. εἰς ὅ κεν A Et. Mg. 33, 48. ἔλθοι C Vrat. A. — 232 σκιάσει D. — 233 ἀχϊλεὺς C. δουρὶ κλυτὸς ADEH Rom. — 234 ἀπαΐξας (ε supra) A. ἐπαΐξας S Mor. Barocc. ὑπαΐξας L Lips. Harl. ἀπαΐσσων G Flor. ὃ δ' D. ὅδ' CGHL. θύιων A. — 236 οἳ ῥὰ L ἅλις D ex corr. ἦσαν C. ἔσαν ἅλις E Harl. Mosc. 2. ἀχιλεύς C. — 237 ἔκβαλε CE Vrat. A. ἐν ἄλλῳ τοὺς ἐξῆγε A. — 238 χέρσον δέ ADG. δὲ, σάω H. δὲ ante σάω omitt. D 1. man. δὲ σάω ACD 2. man. E Syr. Ven. B. Lips. Townl. Harl. Vrat. d. A. Rom. Cram. An. Par. III, 28, 6. δ' ἐσάω GLS Schol. Φ 343. κατα (ω supra) AH. — 239 omitt. C. κρύπτον H. βαθείῃσι ADE Vrat. A. Schol. λ 243. μεγάλῃσι ADEGH Syr. — 240 ἵστατο ῥεῦμα S Cant. — 241 ὤθει C ex corr., 1. man. ὅθϊ. — 242 εἶχε: εἶα L Lips. στηρίζεσθαι Dion. Halic. de Comp. verb. XVI. ὁ δὲ CH. ἕλε H 1. man. ἔχε 2. man. εἷλε C. — 243 ἠδ' CGHL. * ῥιζέων: ῥιζῶν libri. — 245 ὄζοισι EG Lips. Flor. Rom. ὄξοισι H. γεφύρωσε CDEH Lips. Flor. Rom. ἐν ἄλλῳ γεφύρωσεν δὲ κέλευθον A, conf. O 357. — 246 ἐριποῦσα H. ὁ δ' D. ὅδ' CGHL. ἄρ ADEGHL. ἐκ λίμνης DEHL Lips. Ven. B. γρ. καὶ ἐκ δίνης E 1235, 26, ita AC Syr. Harl. Mor. Mosc. 2. ἐν δίνῃς Vrat. A.

A. c. 232 τὸ ὀψὲ δύων ἐν δυσὶ μέρεσι λόγου Herodianus, conf. Eust. 1235, 4. — 243 ῥιζέων, conf. ad Λ 69. — 246 ἀρίσταρχος ἐν δίνης (sic), ἄλλοι ἐκ λίμνης Didymus. ὅτι διχῶς γράφεται ἐκ λίμνης καὶ ἐκ δίνης Aristonicus? ἐκ λίμνης: οὕτως ἡ γραφή· οἱ δὲ ἐκ δίνης. τινὲς δὲ καὶ ῥιπῆς γράφουσιν Schol. V.

ἤιξεν πεδίοιο ποσὶ κραιπνοῖσι πέτεσθαι,
δείσας. οὐδέ τ' ἔληγε θεὸς μέγας, ὦρτο δ' ἐπ' αὐτῷ
ἀκροκελαινιόων, ἵνα μιν παύσειε πόνοιο
δῖον Ἀχιλλῆα, Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι.
Πηλείδης δ' ἀπόρουσεν ὅσον τ' ἐπὶ δουρὸς ἐρωή,
αἰετοῦ οἴματ' ἔχων μέλανος, τοῦ θηρητῆρος,
ὅς θ' ἅμα κάρτιστός τε καὶ ὤκιστος πετεηνῶν·
τῷ εἰκὼς ἤιξεν, ἐπὶ στήθεσσι δὲ χαλκὸς
σμερδαλέον κονάβιζεν· ὕπαιθα δὲ τοῖο λιασθεὶς
φεῦγ', ὁ δ' ὄπισθε ῥέων ἕπετο μεγάλῳ ὀρυμαγδῷ.
ὡς δ' ὅτ' ἀνὴρ ὀχετηγὸς ἀπὸ κρήνης μελανύδρου
ἂμ φυτὰ καὶ κήπους ὕδατι ῥόον ἡγεμονεύῃ
χερσὶ μάκελλαν ἔχων, ἀμάρης ἐξ ἔχματα βάλλων·

V. l. 247 ἤϊξε CDE. πέτεσθαι: ἐν ἄλλῳ φέρεσθαι A. — 248 θεὸς μέγας ACDEH Syr. Ven. B. Vrat. b d. μέγας θεὸς GL Lips. edd. vett. ἐπ' αὐτῷ ACDGHL Ven. B. Lips. Cant. Mor. Harl. Townl. Vrat. b. d. ἐπ' αὐτὸν E Syr. Rom., quod editores receperunt praeter Hoffmannum. ὦρτο δ' ἐπ' αὐτούς legitur Ε 590. Λ 343; sed usitatior est dativus, conf. Ε 629. Μ 293. Ξ 401. Ο 579. 726. Ρ 677. 725. κ 214. χ 80. Annal. Gymn. Austr. 1870, pg. 90 et 105. — 249 ἀκροκελαινιόων A. πόνοιο libri cum Apoll. Soph. 20, 4. Cram. An. Ox. III, 261, 23: ΦΟΝΟΙΟ Syr. — 250 omitt. H in textu, habet in marg. man. rec. scr. ἀχϊλῆα C. τρώεσσι L. — 251 ἔπι D. ἐρωή: ἐρωὴν ADG. ἐρωὴν ἢ ἐρωὴ Eust. 1235, 31. — 252 ΟΪΜΆΤ' Syr. — 253 ὤσθ (ο supra) H. — 254 ἔπι AD. στήθεσφι D. στήθεσι E. — 256 ὁ δ' D. ὅδ' CGHL. ὀρυγμαδῷ G 1. man. H. μεγάλω ἀλαλητῶ C. — 257 ΑΝῊΡ' Syr. — 258 ἀμφυτὰ ACDEG Syr. Et. Mg. 77, 14. ἂμ φυτὰ L. ἀνφυτὰ H. ἂν φυτὰ Cant Vrat. A. ὕδατι ACDEH Ven. B. Barocc. Harl Townl. ὕδατος GLS Syr. Et Mg. 77, 15. ἡγεμονεύῃ AD EH Syr. Harl. Vrat. d. Mosc. 2. ἡγεμονεύει CGLS Lips. Et. Mg. 77, 15. ἡγεμονεύοι Vrat. A. — 259 ἀμάρης A. ἐξ omitt. C. ἐξέχματα H. ΔΕΞ Syr. δ' omitt. ACDEGHLS Ven. B. Lips. Cant. Mor. Mosc. 2. Flor. Rom. Apoll. Soph. 25, 23. 80, 21. Et. Mg. 77, 15. Eust. 904, 2. δ' receperunt. Barnes. Clarke. Heyne. eiecit Wolfius.

A. c. 247 πεδίοιο Aristarchus: alii πεδίον δέ. — 249 οὕτως πόνοιο αἱ Ἀριστάρχου διὰ τοῦ π̄. Ἀριστοφάνης φόνοιο, καὶ λόγον ἔχει Didymus. — 251 ἐρωή: conf. ὅσον τ' ἐπὶ δουρὸς ἐρωὴ γίγνεται Ο 358. ὅσσόν τ' ἐπὶ οὖρα πέλονται Κ 351. ἕστηκε ξύλον ὅσον τ' ὄργυια Ψ 327. ἐρωήν defendi non potest analogia locorum ι 325 ὅσον τ' ὄργυιαν ἐγὼν ἀπέκοψα. κ 167 πεῖσμα δ' ὅσον τ' ὄργυιαν πλεξάμενος. κ 113 γυναῖκα εὗρον ὅσην τ' ὄρεος κορυφήν. ι 321 τὸ μὲν ἄμμες ἐίσκομεν εἰσορόωντες ὅσσόν θ' ἱστὸν νηός. — 252 οἴματ' Aristarchus: ὄμματ' Philetas, conf. Ariston. ad Χ 308. Eust. 1235, 39. μέλανος τοῦ Herodianus: μελανός του Aristarchus. μελανόστου Aristoteles, conf. Eust. 1235, 41. τινὲς δὲ γράφουσι μελανόσσου Schol. D. Cram. An. Par. III, 27, 21, conf. Eust. 1235, 43.

τοῦ μέν τε προρέοντος ὑπὸ ψηφῖδες ἅπασαι
ὀχλεῦνται· τὸ δέ τ' ὦκα κατειβόμενον κελαρύζει
χώρῳ ἔνι προαλεῖ, φθάνει δέ τε καὶ τὸν ἄγοντα·
ὣς αἰεὶ Ἀχιλῆα κιχήσατο κῦμα ῥόοιο
καὶ λαιψηρὸν ἐόντα· θεοὶ δέ τε φέρτεροι ἀνδρῶν.
ὁσσάκι δ' ὁρμήσειε ποδάρκης δῖος Ἀχιλλεὺς
στῆναι ἐναντίβιον, καὶ γνώμεναι, εἴ μιν ἅπαντες
ἀθάνατοι φοβέουσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
τοσσάκι μιν μέγα κῦμα διιπετέος ποταμοῖο
πλάζ' ὤμους καθύπερθεν· ὃ δ' ὑψόσε ποσσὶν ἐπήδα
θυμῷ ἀνιάζων· ποταμὸς δ' ὑπὸ γούνατ' ἐδάμνα
λάβρος ὕπαιθα ῥέων, κονίη δ' ὑπέρεπτε ποδοῖιν.
Πηλείδης δ' ᾤμωξεν ἰδὼν εἰς οὐρανὸν εὐρύν·
Ζεῦ πάτερ, ὥς οὔ τίς με θεῶν ἐλεεινὸν ὑπέστη
ἐκ ποταμοῖο σαῶσαι· ἔπειτα δὲ καί τι πάθοιμι.
ἄλλος δ' οὔ τίς μοι τόσον αἴτιος Οὐρανιώνων,
ἀλλὰ φίλη μήτηρ, ἥ με ψεύδεσσιν ἔθελγεν·
ἥ μ' ἔφατο Τρώων ὑπὸ τείχεϊ θωρηκτάων
λαιψηροῖς ὀλέεσθαι Ἀπόλλωνος βελέεσσιν.
ὥς μ' ὄφελ' Ἕκτωρ κτεῖναι, ὃς ἐνθάδε γ' ἔτραφ' ἄριστος·
τῶ κ' ἀγαθὸς μὲν ἔπεφν', ἀγαθὸν δέ κεν ἐξενάριξε.
νῦν δέ με λευγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι

V. l. 260 μέν τοι H. προῤῥέοντος AG. ὑπο CDEGHL Syr. ψηφίδες CDGHL. — 262 ἐνι AD. ἐνὶ CEGHL. τε omitt. Vrat. A. Flor. — 263 ὡς AD 1. man. ἀεὶ H. ΚΎΜΑ Syr. — 265 ὡρμήσειε C. ἀχϊλεὺς C. — 267 τοῖ A. ἔχουσι ACDEG Syr. — 269 καθΰπερθεν A. καθ' ὕπερθεν D. ὃ δ' D. ὅδ' CGL. — 270 ὑπο ADGH Syr. — 271 ὑπέριπτε L Lips. γρ. καὶ ὑπέρεπτεν (ὑπέριπτε?) ἀντὶ τοῦ ὑφήρπαζεν Schol. Paris. — 273 ΠΆΤΕΡ' Syr. — 277 τρῴων L. ὗπο H. — 279 κτεῖν' D, apostr. add. 2. man. γ' ἔτραφ' AD Mor. τέτραφ' A in marg. CEGHLS Lips. Schol. Ψ 348. τ' ἐτράφ' Townl. ἐν ἄλλῳ ἐνθάδε τέτραφ' ἄριστος A. ΕΝΘΑΔΕ ΤΕΤΡΑΦ Syr. — 280 τῶ ACDGHL. ΤΩ Syr, τῷ E. ἀγαθὸν μὲν E bis. ἔπεφν D. ἔπεφνεν L. ἀγαθὸς δέ κεν E bis. ἐξενάριξε ACDEG Syr. — 281 εἴμαρτο D. εἵμαρτο ὀλέσθαι H Vrat. d.

A. c. 260 τὸ προρέοντος οὐ διπλασιάζει τὸ ρ̄. ἔνια δὲ τῶν ἀντιγράφων Ἀττικῶς διπλάζοντα τοῦτο συνίζησιν ποιοῦσι τῶν μετ' αὐτὸ δύο συλλαβῶν Eust. 1235, 63. — 262 οὕτω φθάνει διὰ τοῦ ἑτέρου ε̄, οὐ φθανέει Didymus. Zenodotus φθανέει teste Schol. V. conf. Ariston. ad Ι 506. — 265 γράφεται καὶ οἰμήσειε· προκρίνει δὲ τὴν διὰ τοῦ ρ̄ γραφὴν Ἀρίσταρχος Didymus. — 279 γ' ἔτραφ' scribendum est notione intransitiva ut Β 661. Ε 555. Η 199. Ζ 436. γ 28. Herodianus γ' ἐτράφ' (= ἐτράφη). οἱ πολλοὶ τέτραφ' ἄριστος ἀπὸ τοῦ τ̄ ποιοῦντες τὴν ἀρχήν Herodianus. — 281 ὀλέσθαι Demetrius Ixion in eodem versu ε 312.

ἐρχθέντ' ἐν μεγάλῳ ποταμῷ, ὥς παῖδα συφορβόν,
ὅν ῥά τ' ἔναυλος ἀποέρσῃ χειμῶνι περῶντα.
ὣς φάτο, τῷ δὲ μάλ' ὦκα Ποσειδάων καὶ Ἀθήνη
στήτην ἐγγὺς ἰόντε, δέμας δ' ἄνδρεσσιν ἐίκτην,
χειρὶ δὲ χεῖρα λαβόντες ἐπιστώσαντ' ἐπέεσσι.
τοῖσι δὲ μύθων ἦρχε Ποσειδάων ἐνοσίχθων·
Πηλείδη, μήτ' ἄρ τι λίην τρέε μήτέ τι τάρβει·
τοίω γάρ τοι νῶι θεῶν ἐπιταῤῥόθω εἰμέν,
Ζηνὸς ἐπαινήσαντος, ἐγὼ καὶ Παλλὰς Ἀθήνη·
ὡς οὔ τοι ποταμῷ γε δαμήμεναι αἴσιμόν ἐστιν.
ἀλλ' ὅδε μὲν τάχα λωφήσει, σὺ δὲ εἴσεαι αὐτός·
αὐτάρ τοι πυκινῶς ὑποθησόμεθ', αἴ κε πίθηαι·
μὴ πρὶν παύειν χεῖρας ὁμοιίου πολέμοιο,
πρὶν κατὰ Ἰλιόφι κλυτὰ τείχεα λαὸν ἐέλσαι
Τρωικόν, ὅς κε φύγῃσι. σὺ δ' Ἕκτορι θυμὸν ἀπούρας
ἂψ ἐπὶ νῆας ἴμεν· δίδομεν δέ τοι εὖχος ἀρέσθαι.
τὼ μὲν ἄρ' ὣς εἰπόντε μετ' ἀθανάτους ἀπεβήτην,
αὐτὰρ ὃ βῆ, μέγα γάρ ῥα θεῶν ὤτρυνεν ἐφετμή,
ἐς πεδίον· τὸ δὲ πᾶν πλῆθ' ὕδατος ἐκχυμένοιο,
πολλὰ δὲ τεύχεα καλὰ δαϊκταμένων αἰζηῶν

V. l. 283 ἀποέρσῃ AE 1236, 65 S Syr. Barocc. Mor. Harl. Townl. Vrat. b. d. A. ἀπὸ ἔρσῃ D, spir. man. rec. ἀποἔρσῃ H. ἀποέρσει CE 1236, 26 GL Et. Mg. 377, 42. Schol. Ζ 348. ἀποερσεῖ Lips. περώντα G. περόωντα S. — 284 ὡς A. τὼ δὲ C. ποσιδάων A Syr. ποσειδ A in marg. — 285 ἰόντες G Flor. ἔϊκτον Vrat. b. — 286 ἐπέεσσι ACDGH Syr. — 287 ποσιδάων A Syr., A in marg. ποσειδ. — 288 μήμ ἄρτι G. άρ, τι A. ἄρ, τι H. μήτέ τι ACDE 1237, 29 H Et. Gud. 653, 5. μὴ τέ τι G. μήτ' ἔτι L. μηδέ τι Eust. 1237, 13. — 289 τοίω γάρ $\overset{οι}{τι}$ D. ἐπιτάρροθοί εἰμεν D Vrat. A. — 291 αἴσιμον ἐστὶν L. — 292 σὺ δ' C. — 293 αὐτάρ τοι EHL Lips. edd. vett. αὐτὰρ τοι G. αὐτάρ $\overset{c}{τοι}$ A. αὐτάρ τοι σοὶ D. αὐτάρ σοι C Ven. B. Syr. ὑποθήσομαι D. $\overset{co}{πῖθηαι}$ C, co add. 2. man. — 294 παύσειν S. ψαύειν L Lips. πτολέμοιο DGH. — 295 ΙΛΙΌΦΙ Syr. ἰλιόφιν ACDEGHL edd. vett. — 296 τρῳϊκὸν L. ἀπηύρας Harl. — 297 ἐπι D. νῆας ἴναι L Lips. — 298 ἄρ ADGHL. ὡς AD. — 299 ὃ ACDGHL. μέγα: ΜΑΛΑ Syr. γάρ ῥὰ L. — 300 κεχυμένοιο C. — 301 δαΐ, κταμένων A. δαΐ κταμένων CH.

A. c. 282 ψιλωτέον τὸ ἐρχθέντ' Schol. A. εἰρχθέντ' ed. Massiliensis. — 290 ἀθετεῖται Aristonicus. — 293 τοι: αὐτὰρ σοὶ Bekk. 2. Dindorf. — 297 ἂψ ἐπὶ νῆας ἴμεν, conf. C 14. — 301 δαΐ κταμένων: ἄμεινων κατὰ διάλυσιν, ὡς ἄρηϊ κταμένῳ (Χ 72)· οὐδὲν γὰρ πλέον ἐκ τῆς συνθέσεως Herodianus, cf. H. T. 312.

πλῶον καὶ νέκυες. τοῦ δ' ὑψόcε γούνατ' ἐπήδα
πρὸc ῥόον ἀίccοντοc ἀν' ἰθύν, οὐδέ μιν ἴcχεν
εὐρὺ ῥέων ποταμόc· μέγα γὰρ cθένοc ἔμβαλ' Ἀθήνη.
οὐδὲ Ϲκάμανδροc ἔληγε τὸ ὃν μένοc, ἀλλ' ἔτι μᾶλλον
χώετο Πηλείωνι, κόρυccε δὲ κῦμα ῥόοιο
ὑψόc' ἀειρόμενοc, Ϲιμόεντι δὲ κέκλετ' ἀύcαc·
φίλε καcίγνητε, cθένοc ἀνέροc ἀμφότεροί περ
cχῶμεν, ἐπεὶ τάχα ἄcτυ μέγα Πριάμοιο ἄνακτοc
ἐκπέρcει, Τρῶεc δὲ κατὰ μόθον οὐ μενέουcιν.
ἀλλ' ἐπάμυνε τάχιcτα, καὶ ἐμπίμπληθι ῥέεθρα
ὕδατοc ἐκ πηγέων, πάνταc δ' ὀρόθυνον ἐναύλουc,
ἵcτη δὲ μέγα κῦμα, πολὺν δ' ὀρυμαγδὸν ὄρινε
φιτρῶν καὶ λάων, ἵνα παύcομεν ἄγριον ἄνδρα,
ὃc δὴ νῦν κρατέει, μέμονεν δ' ὅ γε ἶcα θεοῖcι.
φημὶ γὰρ οὔτε βίην χραιcμηcέμεν οὔτέ τι εἶδοc,
οὔτε τὰ τεύχεα καλά, τά που μάλα νειόθι λίμνηc
κείcεθ' ὑπ' ἰλῦοc κεκαλυμμένα· κὰδ δέ μιν αὐτὸν
εἰλύcω ψαμάθοιcιν ἅλιc, χέραδοc περιχεύαc
μυρίον, οὐδέ οἱ ὀcτέ' ἐπιcτήcονται Ἀχαιοὶ
ἀλλέξαι· τόccην οἱ ἄcιν καθύπερθε καλύψω.

V. l. 303 ἀνιθύν D. ἔcχε G Syr. Lips. ἴcχεν S. — 304 εὐρὺ ῥέων ACDEGL. μέγα δὲ S. — 305 κάμανδροc L Harl. τεὸν μένοc G Schol. Ν 424. — 308 φῖλε AL Syr. — 310 ἐκπέρcαι [ει] H. ἐκπέρcαι Vrat. d. τρῷεc L. κατα A. ΜΕΝΕΟΥϹΙ Syr. — 311 ΕΠΑΜΥΝΑΙ Syr. ἐκπίμπληθϊ C. ἐμπῖπληθει H. ΕΜΠΙΠΛΗΘΕΙ Syr. ἐπίπληθε L. ceteri ἐμπίπληθι, quod correxi, poëta enim forma πίπλημι non utitur, conf. Α 104. Ι 679. Φ 23. δ 662. κ 248. υ 349. de $\bar{\mu}$ in libris mss. omisso conf. Α 569. Β 572. Ε 662. Η 188. 259. 272. Ο 521. Ρ 413. 427. 465. Φ 178. Ψ 334. 338 et quae exempla congessi H. U. 224, sq. — 313 δὲ omitt. H. ὀρυγμαδὸν CGH Flor. — 314 παύcωμεν DH. παύcομαι G. — 315 μέμονε E. μέμηνε L. μέμηνεν Lips. ἶcα D. θεοῖcι ACDE Syr. — 316 οὔτέ τι ACHL. — 317 τὰ omitt. CH. — 318 ἰλῦοc ADL Ven. B. ἰλύοc CEGH Et. Mg. 477, 18. Et. Gud. 283, 25. ΕΙΛΎΟϹ Syr. καδδέ ACDGHL Syr. κὰδ δέ E Apoll. de Pron. 47 A. 102 B. de Synt. 142, 10. de Adv. 550, 31. — 319 εἰλύcω [ῃ] L. εἰλύccω Harl. ἅλιc, χέραδοc A. χεράδοc H. — 320 ὀcτε' D. — 321 ἀλέξαι H. ἄcην L Lips. edd. vett. καθ' ὕπερθε C. ἐφύπερθε Cram. Ep. 225, 8.

A. c. 303 ἔcχεν libri: ἀρίcταρχοc διὰ τοῦ ῑ ἴcχεν Didymus. — 308 φῖλε, conf. ad Δ 155. Ε 359. — 319 διχῶc ἡ γραφή (εἰλύcω et ἰλύcω) Schol. V, conf. Eust. 1238, 4. χέραδοc Aristarchus, non χεράδοc. — 321 ἀρίcταρχοc ἀνλέξαι διὰ τοῦ $\bar{\nu}$ Didymus.

αὐτοῦ οἱ καὶ cῆμα τετεύξεται, οὐδέ τί μιν χρεὼ
ἔcται τυμβοχόηc, ὅτε μιν θάπτωcιν Ἀχαιοί.
ἦ, καὶ ἐπῶρτ' Ἀχιλῆι κυκώμενοc, ὑψόcε θύων,
μορμύρων ἀφρῷ τε καὶ αἵματι καὶ νεκύεccιν.
πορφύρεον δ' ἄρα κῦμα διιπετέοc ποταμοῖο
ἵcτατ' ἀειρόμενον, κατὰ δ' ᾕρεε Πηλεΐωνα.
Ἥρη δὲ μέγ' ἄυcε περιδείcαc' Ἀχιλῆι,
μή μιν ἀποέρcειε μέγαc ποταμὸc βαθυδίνηc.
αὐτίκα δ' Ἥφαιcτον προcεφώνεεν, ὃν φίλον υἱόν·
ὄρcεο κυλλοπόδιον, ἐμὸν τέκοc· ἄντα cέθεν γὰρ
Ξάνθον δινήεντα μάχῃ ἠίcκομεν εἶναι·
ἀλλ' ἐπάμυνε τάχιcτα, πιφαύcκεο δὲ φλόγα πολλήν.
αὐτὰρ ἐγὼ Ζεφύροιο καὶ ἀργεcτᾶο νότοιο
εἴcομαι ἐξ ἁλόθεν χαλεπὴν ὄρcουcα θύελλαν,
ἥ κεν ἀπὸ Τρώων κεφαλὰc καὶ τεύχεα κήαι
φλέγμα κακὸν φορέουcα. cὺ δὲ Ξάνθοιο παρ' ὄχθαc
δένδρεα καῖ', ἐν δ' αὐτὸν ἵει πυρί· μὴ δέ cε πάμπαν
μειλιχίοιc ἐπέεccιν ἀποτρεπέτω καὶ ἀρειῇ·
μὴ δὲ πρὶν ἀπόπαυε τεὸν μένοc, ἀλλ' ὁπότ' ἂν δὴ

V. l. 322 cῆμα: μοῖρα Et. Mg. 169, 18. οὐδέ τι μιν ACDHL. — 323 θυμβοχοῆc CDEGHLS Syr. edd. vett. τυμβοχοῆc' A. θάπτουcιν CEL Lips. Harl. Mosc. 2. — 324 θύιων A. — 325 νεκύεccι ACDE Syr. — 327 ἀειράμενον D. κατα CDL. ἥρρεε D. ᾔρεε H. ἤρεε L. ἥρει Lips. — 328 δὲ: δ' αὖ Tzetzes Alleg. 140. περιδείcαc' Lips. περιδείcαc L: ceteri περιδδείcαc'. ἀχιλλῆϊ E. ἀχϊλῆοc C. — 330 ἥφαιcτοc προcεφώνεε φίλον G. προcεφώνεε D Flor. Rom. προcεφώνει Tzetzes Alleg. 141. — 331 κυλλοποδίον D ex corr. Lips. — 332 μάχην D. εἴcκομεν H. ἠΐcκομαι S. ἠΐcκομεν ἢ εἴcκομεν E 1238, 29. — 333 πιcαύcκεο G. — 334 ἀργεcτᾶο ACDEGHL Mosc. 2. Rom. Strabo I, 29. ἀργέcταο Lips. Flor. — 335 ἴcομαι Et. Mg. 306, 14. Zonar. Lex. 634. ἐξαλόθεν AD. ὀρέουcα θύελλαν Pseudoplut. 129, 14. — 336 ἀπο C. τρῴων L. ΚΉΑΙ Syr. κήαι G Ven. B. Lips. κῄαι E. κῆαι ADH. κῆαι L. κῆαι [ε] C. κῆε Townl. κῆε Vrat. b. — 338 ἓν A. ἵει A. μὴ δέ AEGH. — 339 ἀποτρεπέτῳ G. — 340 μὴ δὲ ACDEGHL Ven. B. Lips. ΜῊΔΕ Syr. ὁπότ' ἂν ADEH Vrat. b. d. ὁπόταν CGL Syr.

A. c. 323 τυμβοχόηc Crates: τυμβοχοῆc' Aristarchus, Ptolem. Ascalonita, Herodianus cum plerisque, conf. Zonar. Lex. 1757. Eust. 1238, 18. Lobeck. ad Phryn. 498. H. S. 249. — 331 ἀθετεῖται Aristonicus. τὸ δὲ κυλλοπόδιον Ἀρίcταρχοc προπαροξύνει, ᾧ καὶ ἐπείcθημεν Herodianus. — 335 ὄρcουcα: ὄρcαcα Zenodotus. — 336 ἥ κεν: ἥ κεν Zenodotus teste Aristonico ad vs. 335. προπεριcπαcτέον τὸ κῆαι· ἔcτι γὰρ ἀπαρέμφατον Herodianus.

φθέγξομ' ἐγὼν ἰάχουcα, τότε cχεῖν ἀκάματον πῦρ.
ὣc ἔφαθ', Ἥφαιcτοc δὲ τιτύcκετο θεcπιδαὲc πῦρ.
πρῶτα μὲν ἐν πεδίῳ πῦρ δαίετο, καῖε δὲ νεκροὺc
πολλούc, οἵ ῥα κατ' αὐτὸν ἅλιc ἔcαν, οὓc κτάν' Ἀχιλλεύc.
πᾶν δ' ἐξηράνθη πεδίον, cχέτο δ' ἀγλαὸν ὕδωρ.
ὡc δ' ὅτ' ὀπωρινὸc βορέηc νεοαρδέ' ἀλωὴν
αἶψ' ἀνξηράνῃ· χαίρει δέ μιν ὅc τιc ἐθείρῃ·
ὣc ἐξηράνθη πεδίον πᾶν, κὰδ δ' ἄρα νεκροὺc
κῆεν· ὃ δ' ἐc ποταμὸν τρέψε φλόγα παμφανόωcαν.
καίοντο πτελέαι τε καὶ ἰτέαι ἠδὲ μυρῖκαι,
καίετο δὲ λωτόc τε ἰδὲ θρύνον ἠδὲ κύπειρον,
τὰ περὶ καλὰ ῥέεθρα ἅλιc ποταμοῖο πεφύκει·
τείροντ' ἐγχέλυέc τε καὶ ἰχθύεc οἱ κατὰ δίναc,
οἳ κατὰ καλὰ ῥέεθρα κυβίcτων ἔνθα καὶ ἔνθα
πνοιῇ τειρόμενοι πολυμήτιοc Ἡφαίcτοιο.
καίετο δ' ἶc ποταμοῖο ἔποc τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
Ἥφαιcτ', οὔ τιc coί γε θεῶν δύνατ' ἀντιφερίζειν,

V. ι. 342 omitt. Barocc. ὡc A. — 343 καίετο Vrat. A. καῖε ἢ δαῖε E. δαῖε Vrat. b. A. Mosc. 2. — 344 οἳ ῥὰ DL. κατ' αὐτὸν ADEG HLS Syr. et Heynii libri. κατ' αὐτὸ||| C post ras. ἧcαν C. ἀχϊλεύc C. — 345 ΥΔΩΡ' Syr. — 346 ἀλῳὴν AE. ἀλωιὴν C. ἀλωὴν Vrat. b. ceteri ἀλωήν. — 347 ἀν, ξηράνηι A. ἂν ξηράνῃ DEG Townl. Vrat. b. d. Mosc. 2. Flor. Rom. ἀνξηράνῃ HLS. ΑΝΞΗΡΑΝΗΙ Syr. ἀνξηράνει C. αἶψα ξηραίνῃ Vrat. A. ἐθείρῃ ACGH Syr. Cant. Mor. Harl. Vrat. b. A. Mosc. 2. Apoll. Soph. 63, 10. ἐθείρει D ex corr. eiusdem man. EL Lips. — 348 ὡc A. καδδάρα A Syr. καδδ' ἄρα CDGHL. — 349 κῆεν GHL. κῆε E. ὃ δ' D. ὅδ' CGHL. ἀνποταμὸν H. τρέψεν A Syr. Vrat. A. — 350 est lacuna in Syr. αἱ δὲ μυρῖκαι L. αἵδε μυρῖκαι Lips. μυρίκαι CE GL. — 351 δὴ λωτόc τε G. τε ἰδὲ ACDHL Flor. Rom. Heracl. Alleg. c. 11. τε ἠδὲ EG. ἰδὲ Schol. Nicandr. Theriac. 200. κύπερον D. — 352 περι D. — 353 cείροντ' G. οἳ CDE 1239, 63 GL Ven. B. Lips. κατα D. — 354 κατα D. — 356 ὀνόμαζε DH. — 357 ἰcοφαρίζειν Harl. Mosc. 2. ἀντιφερίζειν ἢ ἰcοφαρίζειν Eust. 1240, 39.

A. c. 344 κατ' αὐτὸν dedi ex libris et recepissem αὐτὸ ex cod. C, si poëta hac forma esset usus. recentiores fere omnes ex coniectura Wolfii κατ' αὐτόθι scripserunt, quibus assentiri non possum; nam ubi κατ' αὐτόθι legitur, κατά cum verbo (λείπειν, ἕζεcθαι, μένειν) est iungendum, conf. H. U. 246. Heynius, quem secuti sunt Bothe, Hoffmann, Düntzer, hunc versum ex vs. 236 interpolatum esse putat. — 346 ἔνιοι δὲ νεοαλδέα διὰ τοῦ λ̄, νεοαύξητον Apoll. Soph. 116, 5. — 347 ἀρίcταρχοc αἶψ' ἀνξηράνῃ Didymus. ἐξαυαίνῃ Aristophanes. — 351 τε ἰδὲ: τ' ἠδὲ, conf. ad P 534. 351 κύπειρον: αἱ ἐκ τῶν πόλεων κύπαιρον (cod. κύπαρον) εἶχον Didymus, conf. Eust. 1239, 62. Cram. Epim. 112, 8. — 355 οὕτωc πνοιῇ, ἔν τιcι δὲ ῥιπῇ Didymus. — 356 καίετο δ' ἶc: καί ἑ τόδ' ἶc Ptolemaeus Pindarion.

οὐδ' ἂν ἐγὼ coί γ' ὧδε πυρὶ φλεγέθοντι μαχοίμην.
λῆγ' ἔριδοc, Τρῶαc δὲ καὶ αὐτίκα δῖοc Ἀχιλλεὺc
ἄcτεοc ἐξελάcειε· τί μοι ἔριδοc καὶ ἀρωγῆc;
φῆ πυρὶ καιόμενοc, ἀνὰ δ' ἔφλυε καλὰ ῥέεθρα.
ὡc δὲ λέβηc ζεῖ ἔνδον ἐπειγόμενοc πυρὶ πολλῷ,
κνίcην μελδόμενοc ἁπαλοτρεφέοc cιάλοιο
πάντοθεν ἀμβολάδην, ὑπὸ δὲ ξύλα κάγκανα κεῖται,
ὣc τοῦ καλὰ ῥέεθρα πυρὶ φλέγετο, ζέε δ' ὕδωρ·
οὐδ' ἔθελε προρέειν, ἀλλ' ἴcχετο· τεῖρε δ' ἀυτμὴ
Ἡφαίcτοιο βίηφι πολύφρονοc. αὐτὰρ ὅ γ' Ἥρην
πολλὰ λιccόμενοc ἔπεα πτερόεντα προcηύδα·
Ἥρη, τίπτε cὸc υἱὸc ἐμὸν ῥόον ἔχραε κήδειν
ἐξ ἄλλων; οὐ μέν τοι ἐγὼ τόcον αἴτιόc εἰμι,
ὅccον οἱ ἄλλοι πάντεc, ὅcοι Τρώεccιν ἀρωγοί.
ἀλλ' ἤ τοι μὲν ἐγὼν ἀποπαύcομαι, εἰ cὺ κελεύειc,
παυέcθω δὲ καὶ οὗτοc. ἐγὼ δ' ἐπὶ καὶ τόδ' ὀμοῦμαι,
μή ποτ' ἐπὶ Τρώεccιν ἀλεξήcειν κακὸν ἦμαρ,
μηδ' ὁπότ' ἂν Τροίη μαλερῷ πυρὶ πᾶcα δάηται
καιομένη, καίωcι δ' ἀρήιοι υἷεc Ἀχαιῶν.
αὐτὰρ ἐπεὶ τό γ' ἄκουcε θεὰ λευκώλενοc Ἥρη,
αὐτίκ' ἄρ' Ἥφαιcτον προcεφώνεεν, ὃν φίλον υἱόν·
Ἥφαιcτε, cχέο, τέκνον ἀγακλεέc· οὐ γὰρ ἔοικεν
ἀθάνατον θεὸν ὧδε βροτῶν ἕνεκα cτυφελίζειν.

V. ι. 358 coὶ δ' D. πυριφλεγέθοντι CDL. — 359 τρῳ̃αc L. ἀχϊλεὺc C. — 360 ΚΑῚ ΑΫ́ΤΗϹ Syr. — 361 ἀνα ACDGL. ΑΝᾺ ΔЄΦΛΥЄ Syr. δ' ἔφλυνε Zonar. Lex. 1524. ἂν δ' ἔφλυε Vrat. b. — 363 κνίcην ACD. κνίccην G Syr. κνίccῃ E bis edd. vett. Macrob. Sat. V, 11, 23. Eust. 1312, 27. κνίccῃ LS Lips. κνῖcῃ H Suidas II, 1, 760, 17. κνίcῃ Apoll. Soph. 110, 32. Athenaeus I, 25. ἁπαλοτρεφέοc A. ἁπαλητρεφέοc L. — 364 ὑπο AL Syr. — 365 ὡc A. ΥΔΩΡ' Syr. — 366 ἠδ' ἔθελε L. οὐδ' ἐθέλει Schol. Arist. Av. 582. Suidas II, 1, 1207, 18. προχέειν Harl. Mosc. 2. — 368 post πολλὰ 2. man. add. τε in L. — 370 ἐξάλλων D. — 371 τρῴεccιν L. — 372 ἐγὼ E. ἀποπαύομαι L Lips. — 373 ἐπι C Syr. ἐπὶ τοῦτο ὀμοῦμαι L. ἐπὶ τόδ' ὀμοῦμαι Lips. — 374 ЄΠΙ Syr. τρῴεccιν L. ἧμαρ D. — 375 μὴ δ' ACDGHL. ὁπότ' ἂν ADH. ὁπόταν CEGL Syr. τροίηι D. — 376 καιομένη ADEGHLS Syr. δαιομένη C Ven. B. Harl. Mosc. 2. καίωcι ADEGHLS Syr. δαίωcι Ven. B. Harl. Mosc. 2. δαίουcι C, conf. Υ 317. — 378 ἄρ ADGHL. — 380 ὧδε omitt. C. cτυφελίξειν HS Cant. Vrat. d. A.

A. c. 363 κνίcην: οὕτωc ἀρίcταρχοc· ἄλλοι δὲ κνίcηc Didymus. Ἑρμογένηc ἐν τῷ περὶ τῶν προβλημάτων γράφει κνίcῃ μελδόμενοc (μελδομένου V) Schol. BV.

ὣϲ ἔφαθ', Ἥφαιϲτοϲ δὲ κατέϲβεϲε θεϲπιδαὲϲ πῦρ,
ἄψοῤῥον δ' ἄρα κῦμα κατέϲϲυτο καλὰ ῥέεθρα.
αὐτὰρ ἐπεὶ Ξάνθοιο δάμη μένοϲ, οἳ μὲν ἔπειτα
παυϲάϲθην· Ἥρη γὰρ ἐρύκακε χωομένη περ.
ἐν δ' ἄλλοιϲι θεοῖϲιν ἔριϲ πέϲε βεβριθυῖα
ἀργαλέη, δίχα δέ ϲφιν ἐνὶ φρεϲὶ θυμὸϲ ἄητο·
ϲὺν δ' ἔπεϲον μεγάλῳ πατάγῳ, βράχε δ' εὐρεῖα χθών,
ἀμφὶ δὲ ϲάλπιγξεν μέγαϲ οὐρανόϲ. ἄιε δὲ Ζεὺϲ
ἥμενοϲ Οὐλύμπῳ· ἐγέλαϲϲε δέ οἱ φίλον ἦτορ
γηθοϲύνῃ, ὅθ' ὁρᾶτο θεοὺϲ ἔριδι ξυνιόνταϲ.
ἔνθ' οἵ γ' οὐκέτι δηρὸν ἀφέϲταϲαν· ἦρχε γὰρ Ἄρηϲ
ῥινοτόροϲ, καὶ πρῶτοϲ Ἀθηναίῃ ἐπόρουϲε
χάλκεον ἔγχοϲ ἔχων, καὶ ὀνείδειον φάτο μῦθον·
τίπτ' αὖτ' ὦ κυνάμυια θεοὺϲ ἔριθι ξυνελαύνειϲ
θάρϲοϲ ἄητον ἔχουϲα, μέγαϲ δέ ϲε θυμὸϲ ἀνῆκεν;
ἦ οὐ μέμνῃ ὅτε Τυδείδην Διομήδε' ἀνῆκαϲ
οὐτάμεναι, αὐτὴ δὲ πανόψιον ἔγχοϲ ἑλοῦϲα
ἰθὺϲ ἐμεῦ ὦϲαϲ, διὰ δὲ χρόα καλὸν ἔδαψαϲ;
τῶ ϲ' αὖ νῦν ὀίω ἀποτιϲέμεν, ὅϲϲά μ' ἔοργαϲ.
ὣϲ εἰπὼν οὔτηϲε κατ' αἰγίδα θυϲϲανόεϲϲαν

V. L. 381 ὡϲ A. — 383 post ΑΥΤΑΡ est lacuna in Syr. οἳ μὲν C. — 385 ἒν A. πέϲεν D. — 386 δέ ϲφιϲιν CG Flor. ἐνι AD. — 387 ϲυν D. ΔΕΠΕϹΟΝ Syr. conf. Η 256. πατάγῳ ACH Syr. Barocc. Mor. Vrat. b. A. ὁμάδῳ DGLS Lips. Ven. B. Eust. 1195, 56. γρ. ὁμάδω A. πατάγω ἢ ὁμάδῳ Eust. 1242, 16, — 388 ἀμφι C Syr. δὲ ϲάλπιγξεν ACDGHS Apoll. Soph. 16, 1. ΔΕϹΑΛΠΙΓΞΕΝ Syr. δ' ἐϲάλπιγξεν L Vrat. A. Rom. Rhet. Gr. I, 254, 19. II, 361, 8. δ' ἐϲάλπιγξε Eust. 1195, 56. 1242, 17. Tzetzes Alleg. 152. οὐρανὸϲ οὔλυμπόϲ τε Rhet Gr. I, 254, 19. — 390 ὁρᾶιτο A. ὁρῶτο G. ὁρῷτο Flor. Vrat. b. 1. man. — 391 οὔτοι pro οἵ γ' C. ἦρχε δὲ Vrat. A. — 392 ῥηνοτόροϲ L. ἐπόρουϲε CDEG Syr. Tzetz. Alleg. 156. — 393 ΟΝΙΔΕΙΟΝ Ambros. ὀνείδιον EHS Syr. Mor. Vrat. d. φᾶτο D. — 394 αὖτ': αὖ CGH Ven. B. Tzetzes Alleg. 158. ὦ omitt. H Rom. κυνάμυια ἢ κατά τιναϲ κυνόμυια E. ἕτεροι δὲ διὰ τοῦ ῑ γράφουϲι (κινάμυια) Eust. 1243, 25. θεοὺϲ: θεὰ L. — 395 ἀνῆκε H. ΘΥΜΟϹΑΝΩΓΕΙ Syr. — 396 ἢ οὐ CDEG. ΜΕΜΝΗ Ambros. — 397 δὲ omitt. L. πανόψιον A. — 398 ὤϲαϲ C. δια D. — 399 τῶ ACDGHL. ΤΩ Ambros. τῷ E. οἴω CD. ἀποτινέμεν Vrat. b. ὅϲϲά μ' AL. ΟϹϹΑΕΟΡΓΑϹ Ambros. addito μ' man. rec. — 400 ὡϲ A. οὔτιϲε D. αἰγίδα GH. ΚΑΤΑΙΓΙΔΑ Ambros. ἀϲπίδα CDELS Tzetzes Alleg. 164. καταϲπίδα A. γρ. κατ' αἰγίδα AS. κατ' αἰγίδα τινὲϲ γράφουϲιν Eust. 1243, 50. θυϲανόεϲϲαν Tzetzes Alleg. 164.

A. c. 390 ὅθ': ὅ θ'? conf. θ 78. λ 540. ὁρᾶτο, conf. Α 56. 198. — 397 οὕτωϲ ἀρίϲταρχοϲ πανόψιον Didymus. Antimachus ὑπονόϲφιον teste Schol. B. conf. Eust. 1243, 40.

ϲμερδαλέην, ἣν οὐδὲ Διὸϲ δάμνηϲι κεραυνόϲ·
τῇ μιν Ἄρηϲ οὔτηϲε μιαιφόνοϲ ἔγχεϊ μακρῷ.
ἡ δ' ἀναχαϲϲαμένη λίθον εἵλετο χειρὶ παχείῃ
κείμενον ἐν πεδίῳ, μέλανα, τρηχύν τε μέγαν τε,
τόν ῥ' ἄνδρεϲ πρότεροι θέϲαν ἔμμεναι οὖρον ἀρούρηϲ·
τῷ βάλε θοῦρον Ἄρηα κατ' αὐχένα, λῦϲε δὲ γυῖα.
ἑπτὰ δ' ἐπέϲχε πέλεθρα πεϲών, ἐκόνιϲε δὲ χαίταϲ,
τεύχεά τ' ἀμφαράβηϲε· γέλαϲϲε δὲ Παλλὰϲ Ἀθήνη,
καί οἱ ἐπευχομένη ἔπεα πτερόεντα προϲηύδα·
νηπύτι', οὐδέ νύ πώ περ ἐπεφράϲω, ὅϲϲον ἀρείων
εὔχομ' ἐγὼν ἔμεναι, ὅτι μοι μένοϲ ἰϲοφαρίζειϲ.
οὕτω κεν τῆϲ μητρὸϲ ἐρινύαϲ ἐξαποτίνοιϲ,
ἥ τοι χωομένη κακὰ μήδεται, οὕνεκ' Ἀχαιοὺϲ
κάλλιπεϲ, αὐτὰρ Τρωϲὶν ὑπερφιάλοιϲιν ἀμύνειϲ.
ὣϲ ἄρα φωνήϲαϲα πάλιν τρέπεν ὄϲϲε φαεινώ.
τὸν δ' ἄγε χειρὸϲ ἑλοῦϲα Διὸϲ θυγάτηρ Ἀφροδίτη
πυκνὰ μάλα ϲτενάχοντα· μόγιϲ δ' ἐϲαγείρετο θυμόν.
τὴν δ' ὡϲ οὖν ἐνόηϲε θεὰ λευκώλενοϲ Ἥρη,
αὐτίκ' Ἀθηναίην ἔπεα πτερόεντα προϲηύδα·
ὢ πόποι, αἰγιόχοιο Διὸϲ τέκοϲ, ἀτρυτώνη,
καὶ δὴ αὖθ' ἡ κυνάμυια ἄγει βροτολοιγὸν Ἄρηα

V. L. 401 τὴν Vrat. A. Schol. Ο 229. δάμνηιϲι A Ambr. D. δάμνηϲι
ε η
E: ceteri δάμνηϲι. — 402 μιν A. οὔταϲε C. — 403 ἣδ' CGHL. χειρὶ παχείῃ: ΠΑΛΛΑϹΑΘΗΝΗ Ambr. ἐν ἄλλῳ παλλὰϲ ἀθήνη A. — 405 τὸν δ' Apoll. Soph. 125, 4. ΡΑΝΔΡΕϹ Ambr. πρότερον Apoll. Soph. 125, 4. Tzetzes Alleg. 169. — 406 καταυχένα Ambr. H. λῆϲε G. — 407 μέλαθρα Lips.
πελε
μέλαθρα L. ἐπέλεθρα G. ἐκόνιϲε ADE bis HL Mosc. 2. Flor. Heracl. Alleg. cap. 52. ἐκόνιϲϲε CGS. ΕΚΟΝΕΙϹΕ Ambr. — 408 ΔΑΜΦΑΡΑΒΗϹΕ Ambr. ἀμφ' ἀράβηϲε AC. — 409 καί μιν A Mor. Vrat. A. γρ. καί οἱ A. — 410 νυ D. πω CG. ἀρείον G. — 411 ἰϲοφαρίζειϲ A Barocc. Mor. Harl. Vrat. b. A. Mosc. 2. ἰϲοφαρίζει Cram. An. Ox. I, 329, 24. ἀντιφερίζειϲ CDGLS. ἀντιφερίζει H. ἰϲοφαρίζειϲ ἢ ἀντιφερίζειϲ E. ἐν ἄλλῳ ἀντιφαρίζειϲ (sic) A. — 412 ἐρινύαϲ ACDH Townl. Vrat. A. Flor.: ἐριννύαϲ EGL Lips. ἐξαποτίϲοιϲ E. — 414 τρῳϲὶν L. ἀμύνειϲ: γρ. καὶ ἀρήγειϲ A, ita Harl. Vrat. b. A. Mosc. 2. — 415 ὡϲ A. τράπεν CGHS edd. vett. τρέπεν ADEL Lips. Harl. Mor. Vrat. A. — 416 γρ. φιλομμειδὴϲ ἀφροδίτη A, ita Harl. Vrat. b. A. Mosc. 2. — 417 μόγιϲ: μόλιϲ H. ἐϲαγείρετο A Townl.: ἐϲαγείρατο CE bis GHLS Lips. Ven. B. Schol. Α 593. Tzetzes Alleg. 244. ἐϲ ἀγείρατο D. — 420 ὦ AD. — 421 δὴ: libri δ'. δ' αὖ Schol. Β 381. κυνόμυια L Lips. conf. 394. γρ. τὴν κυναμυιαν A.

A. c. 401 δάμνηϲι Aristarchus? conf. ad Ε 746. H. T. 221

δηίου ἐκ πολέμοιο κατὰ κλόνον· ἀλλὰ μέτελθε.
ὣc φάτ', Ἀθηναίη δὲ μετέccυτο, χαῖρε δὲ θυμῷ,
καί ῥ' ἐπιειcαμένη πρὸc cτήθεα χειρὶ παχείῃ
ἤλαcε· τῆc δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
τὼ μὲν ἄρ' ἄμφω κεῖντο ἐπὶ χθονὶ πουλυβοτείρῃ,
ἣ δ' ἄρ' ἐπευχομένη ἔπεα πτερόεντ' ἀγόρευε·
τοιοῦτοι νῦν πάντεc, ὅcοι Τρώεccιν ἀρωγοί,
εἶεν, ὅτ' Ἀργείοιcι μαχοίατο θωρηκτῇcιν,
ὧδέ τε θαρcαλέοι καὶ τλήμονεc, ὡc Ἀφροδίτη
ἦλθεν Ἄρῃ ἐπίκουροc, ἐμῷ μένει ἀντιόωcα·
τῶ κεν δὴ πάλαι ἄμμεc ἐπαυcάμεθα πτολέμοιο
Ἰλίου ἐκπέρcαντεc ἐυκτίμενον πτολίεθρον.
[ὣc φάτο, μείδηcεν δὲ θεὰ λευκώλενοc Ἥρη.]
αὐτὰρ Ἀπόλλωνα προcέφη κρείων ἐνοcίχθων·
Φοῖβε, τί ἢ δὴ νῶι διέcταμεν; οὐδὲ ἔοικεν
ἀρξάντων ἑτέρων· τὸ μὲν αἴcχιον, αἴ κ' ἀμαχητὶ
ἴομεν Οὔλυμπον δὲ Διὸc ποτὶ χαλκοβατὲc δῶ.
ἄρχε· cὺ γὰρ γενεῆφι νεώτεροc· οὐ γὰρ ἐμοί γε
καλόν, ἐπεὶ πρότεροc γενόμην καὶ πλείονα οἶδα.
νηπύτι', ὡc ἄνοον κραδίην ἔχεc· οὐδέ νυ τῶν περ
μέμνηαι, ὅcα δὴ πάθομεν κακὰ Ἴλιον ἀμφὶ

V. L. 422 κατα D. μετέλθε G. — 423 ώc A. ἔφατ' H. — 425 τῆcδ' H, add. c̄ 2. man. τὴν δ' Vrat. b. — 426 ἂρ DEGHL. κεῖτο C. ἐπὶ EG Barocc. Harl. Vrat. b. A. Mosc. 2. Heracl. Alleg. c. 54. ἐπι A: ποτὶ CHLS Lips. Ven. B. ποτι D. γρ. ποτιχθονὶ A. πολϋβοτείρη H. — 427 ἥδ' CGHL. ἂρ ADG. ἀγόρευε CG: ceteri ἀγόρευεν. γρ. πτερόεντα προcηύδα A, ita Lips. Vrat. b. A. Mosc. 2. — 428 τρῴεccιν L. — 429 omitt. Vrat. b. 1. man. θωρηκτοῖcιν S Mor. Barocc. edd. vett. — 430 ὦιδέ A. ὁδέ τε H. — 431 ἄρηι A Harl. Townl. Mosc 2. ἄρηϊ S. ἄρῃ H Schol. H 453. ἄρη DL Vrat. b. d. ἄρη' Lips. ἄρηα G, conf. 112. ἄρει C. ἐν ἄλλῳ ἦλθεν ἐπίουροc A. — 432 τῶ ACDGHL. τῷ E. κε G Flor. ἐπαύμεθα πολέμοιο E. πολέμοιο Lips. Flor. Rom. — 433 γρ. ἴλιον A, ita L. εὐκτῖμενον H. — 434 omitt. ACDH in textu Ven. B. Harl. Vrat. b. d. Mosc. 2. habent GH in marg. LS Lips. Cant. Townl. ὣc ἔφαθ' ἡ δ' ἐγέλαcε HS. ὣc ἔφαθ' ἡδ' ἐγέλαccε Cant. Townl. μείδηcε G. μήδηcε Flor. Rom. — 436 τί ἢ A. τίη D, gravi supra η̄ eraso. ceteri τίη. δὴ omitt. L. γρ. ἀφέcταμεν Vrat. b. — 438 οὔλυμπον δὲ AD. ποτι AD. — 439 γενεῆφι CEH. ἔμοιγε libri. — 440 πρῶτοc Townl. — 441 ἔcχεc G Flor. — 442 κακὰ πάθομεν C Ven. B. ἀμφι D. ἀμφὶc Cant. Townl.

A. c. 433 Ἴλιον Aristarchea lectio videtur, conf. Schol. B 133. — 442 οὕτωc ἐνταῦθα μέμνηαι, διπλῆ γὰρ ἡ χρῆcιc Didymus, conf. μέμνηcαι Ψ 648. ceteris locis μέμνῃ legitur O 18. Υ 188. Φ 396. ω 115, vide Didym. ad O 18.

μοῦνοι νῶι θεῶν, ὅτ' ἀγήνορι Λαομέδοντι
πὰρ Διὸc ἐλθόντεc θητεύcαμεν εἰc ἐνιαυτὸν
μιcθῷ ἔπι ῥητῷ· ὃ δὲ cημαίνων ἐπέτελλεν.
ἤ τοι ἐγὼ Τρώεccι πόλιν πέρι τεῖχοc ἔδειμα
εὐρύ τε καὶ μάλα καλόν, ἵν' ἄρρηκτοc πόλιc εἴη·
Φοῖβε, cὺ δ' εἰλίποδαc ἕλικαc βοῦc βουκολέεcκεc
Ἴδηc ἐν κνημοῖcι πολυπτύχου ὑληέccηc.
ἀλλ' ὅτε δὴ μιcθοῖο τέλοc πολυγηθέεc ὧραι
ἐξέφερον, τότε νῶι βιήcατο μιcθὸν ἅπαντα
Λαομέδων ἔκπαγλοc, ἀπειλήcαc δ' ἀπέπεμπε.
cὺν μὲν ὅ γ' ἠπείληcε πόδαc καὶ χεῖραc ὕπερθε
δήcειν, καὶ περάαν νήcων ἔπι τηλεδαπάων·
cτεῦτο δ' ὅ γ' ἀμφοτέρων ἀπολεψέμεν οὔατα χαλκῷ.
νῶι δέ τ' ἄψορροι κίομεν κεκοτηότι θυμῷ,
μιcθοῦ χωόμενοι, τὸν ὑποcτὰc οὐκ ἐτέλεccε.
τοῦ δὴ νῦν λαοῖcι φέρειc χάριν, οὐδὲ μεθ' ἡμέων
πειρᾷ ὥc κε Τρῶεc ὑπερφίαλοι ἀπόλωνται
πρόχνυ κακῶc cὺν παιcὶ καὶ αἰδοίῃc ἀλόχοιcι.

V. L. 443 μοῦνοι νῦν G. νῶι omitt. C. — 444 παρ D. — 445 ἐπι A. ἐπὶ CEGL. ἐπιρρητῶι D. ἐπϊρρητῷ H. ἐπιῤῥητῷ Townl. ἐπί ῥ' ῥητῷ Cant. ἐπιρητῷ Vrat. d. ὃ δὲ C. — 446 τρῴεccι L. πόλει H Vrat. d. πόλιν καὶ E Rom. περι AH. περὶ CDL Vrat. b. A. Mosc. 2. Ven. B. Flor. πέρι GS Cant. Mor. Harl. Flor. — 448 εἰλίποδαc L. βουκόλεεc H. βουκολέεcκε D. — 450 πολυγηθέοc Vrat. b. τινὲc δὲ πολυγηθέοc γράφουcιν Eust. 1246, 8. — 451 τῶτε A. ἐβιάcατο E 1245, 32. 1246, 15; sed 1246, 17 βιήcατο. — 452 ἀπέπεμπε ACDEGHL: ἀπέπεμψεν Vrat. b. A. — 453 cὺν μὲν AC 1. man. L Lips. Harl. Townl. Mosc. 2. Ven. B. cὺ||| μὲν D post ras. coὶ μὲν EGHS Vrat. b. edd. vett. ὅδ' Vrat. b. ὕπερθε ACEG: ceteri ὕπερθεν. — 454 νήcω H. ἐπι ADH. ἐπὶ CEGL Tzetzes Alleg. 309. θηλυτεράων Et. Mg. 451, 6. — 455 ἀποκόψειν A Barocc. ἀποκοψέμεν CDGHS et Heynii libri. Tzetzes Alleg. 310. ἀπολεψέμεν L Lips. ἀποκοψέμεν ἢ ἀπολεψέμεν Eust. 1245, 38. γρ. ἀπολεψέμεν οὔατα A. τὸ δὲ ἀποκοψέμεν τινὲc ἀπολεψέμεν γράφουcιν Eust. 1246, 26. τινὲc ἀπολεψέμεν ἔγραψαν· ἄλλοι δὲ ἀπολουcέμεν, ἤτοι κολοβώcειν Eust. 1246, 37. — 456 νῶϊ δ' ἄψοῤῥοι DL. νῶϊ δὲ ἄψορροι Lips. καὶ κοτϊότϊ H. — 457 ἐτέλεccε ACDG. ἐτέλεcε E bis. Tzetzes Alleg. 312. — 459 πειρᾷc L Lips. Harl. Vrat. b. A. κεν ACDEGH, conf. Δ 66. 71. 95. K 282. τρῷεc L. ἀπώλονται H. — 460 ἀλόχοιcι ACDEGH.

A. c. 446 γρ. πόλει, ὡc ἀριcτοφάνηc Didymus. περὶ Herodianus. — 454 οὕτωc ἀρίcταρχοc τηλεδαπάων· αἱ ἀπὸ τῶν πόλεων θηλυτεράων Didymus. — 455 ὅτι καταχρηcτικῶc ἀπολεψέμεν ἀντὶ τοῦ ἀποκόψειν Aristonicus. Aristarchus igitur ἀπολεψέμεν scripsit et interpretatus est ἀποκόψειν. ex hac interpretatione ortae sunt scripturae ἀποκόψειν et ἀποκοψέμεν, quod non raro factum esse docent exempla, quae attuli in Proleg. ad Hom. Odyss. XXVII.

τὸν δ' αὖτε προϲέειπεν ἄναξ ἑκάεργοϲ Ἀπόλλων·
ἐννοϲίγαι', οὐκ ἄν με ϲαόφρονα μυθήϲαιο
ἔμμεναι, εἰ δὴ ϲοί γε βροτῶν ἕνεκα πτολεμίξω
δειλῶν, οἳ φύλλοιϲιν ἐοικότεϲ ἄλλοτε μέν τε
ζαφλεγέεϲ τελέθουϲιν, ἀρούρηϲ καρπὸν ἔδοντεϲ,
ἄλλοτε δὲ φθινύθουϲιν ἀκήριοι. ἀλλὰ τάχιϲτα
παυϲώμεϲθα μάχηϲ· οἳ δ' αὐτοὶ δηριαάϲθων.
ὣϲ ἄρα φωνήϲαϲ πάλιν ἐτράπετ'· αἴδετο γάρ ῥα
πατροκαϲιγνήτοιο μιγήμεναι ἐν παλάμηϲι.
τὸν δὲ καϲιγνήτη μάλα νείκεϲε, πότνια θηρῶν,
Ἄρτεμιϲ ἀγροτέρη, καὶ ὀνείδειον φάτο μῦθον·
φεύγειϲ δή, ἑκάεργε, Ποϲειδάωνι δὲ νίκην
πᾶϲαν ἐπέτρεψαϲ, μέλεον δέ οἱ εὖχοϲ ἔδωκαϲ.
νηπύτιε, τί νυ τόξον ἔχειϲ ἀνεμώλιον αὔτωϲ;
μή ϲευ νῦν ἔτι πατρὸϲ ἐνὶ μεγάροιϲιν ἀκούϲω
εὐχομένου, ὡϲ τὸ πρὶν ἐν ἀθανάτοιϲι θεοῖϲιν,
ἄντα Ποϲειδάωνοϲ ἐναντίβιον πολεμίζειν.
ὣϲ φάτο, τὴν δ' οὔ τι προϲέφη ἑκάεργοϲ Ἀπόλλων,
ἀλλὰ χολωϲαμένη Διὸϲ αἰδοίη παράκοιτιϲ
[νείκεϲεν ἰοχέαιραν ὀνειδείοιϲ ἐπέεϲϲι]·
πῶϲ δὲ ϲὺ νῦν μέμοναϲ κύον ἀδδεὲϲ ἀντί' ἐμεῖο

V. L. 461 ἄναξ διὸϲ υἱὸϲ ἀπόλλων C Ven. B. — 463 δή ϲοι C omisso γε. πτολεμίξω ADEHS Cant. Townl. πολεμίξω Barocc. Vrat. d. Flor. πολεμίζω G. de εἰ δή cum ind. fut. iuncto conf. Α 61. 294. Ν 375. Ω 57. φ 170. ω 434; de futuro πολεμίξω Β 328. Κ 451. Ν 644. Ο 179. Ω 667. — 466 δὲ ACL Syr. Lips. Ven. B. Mor. Stob. Floril. 98, 52. δ' αὖ DEGHS. γρ. ἀλλˣ ὅτε δ' αὖ A. ἀκήριοι οὐδέ τιϲ ἀλκή Plutarchus Consol. ad Apoll. 6. Stob Floril. l. l. τάχιϲτα omitt. H. — 467 παυϲώμεϲθα AGL Syr. Ven. B. Rom. παυϲώμεθα E Vrat. d. παυώμεϲθα CD Cant. Lips. Mor. Townl Vrat. A. παυόμεθα Flor. παυώμεθα H. οἳ δ' H. οἵδ' CGL. — 468 ὡϲ A. γὰρ ῥὰ L. — 469 παλάμηϲι ACDG Syr. παλάμῃ H. — 471 ἄρτεμιϲ ἰοχέαιρα Vrat. b. ΟΝΕΙΔΙΟΝ Syr. idem E. conf. 393. — 472 ποϲιδάωνι A Syr. ποϲειδ A in marg. — 473 δέ οἱ καῦχοϲ L. — 474 αὔτωϲ EGH. αὔτωϲ A. ΑΥΤΩϹ Syr. — 475 ἐνι AD. — 476 τοπρὶν L. θεοῖϲι D. — 477 ποϲιδάωνοϲ AD. ποϲειδ A in marg. πτολεμίξειν D. πολεμίξειν Flor. — 478 ὡϲ A. τηνδ' D. ΤῸΝΔ Syr. οὔτοι L. — 479 αἰδοίη: κυδρὴ E Rom. — 480 omitt. ACDEL Syr. Ven. B. Lips. Harl. Townl. Rom. habent GHS Vrat. b. d. A. Flor. νοίκεϲεν G. ὀνειδίοιϲ G Vrat. b. d. A. — 481 δὲ omitt. C. νῦν omitt. Syr. ἀντίον C.

A. c. 469 μιγήμεναι: τινὲϲ γράφουϲι δαμήμεναι Schol. V. — 471 ἀθετεῖται ὅτι περιϲϲόϲ Aristonicus. ὀνείδειον, ὡϲ τέλειον καὶ ὄρειον Schol. AV. — 475—477 ἀθετοῦνται ϲτίχοι τρεῖϲ Aristonicus. — 480 aberat ab editione Aristarchi teste Aristonico ad vs. 479.

ϲτήϲεϲθαι; χαλεπή τοι ἐγὼ μένοϲ ἀντιφέρεϲθαι
τοξοφόρῳ περ ἐούϲῃ, ἐπεί ϲε λέοντα γυναιξὶ
Ζεὺϲ θῆκεν, καὶ ἔδωκε κατακτάμεν, ἥν κ' ἐθέληϲθα.
ἦ τοι βέλτερόν ἐϲτι κατ' οὔρεα θῆραϲ ἐναίρειν
ἀγροτέραϲ τ' ἐλάφουϲ ἢ κρείϲϲοϲιν ἶφι μάχεϲθαι.
εἰ δ' ἐθέλειϲ, πολέμοιο δαήμεναι, ὄφρ' εὖ εἰδῇϲ,
ὅϲϲον φερτέρη εἴμ', ὅτι μοι μένοϲ ἀντιφερίζειϲ.
ἦ ῥα, καὶ ἀμφοτέραϲ ἐπὶ καρπῷ χεῖραϲ ἔμαρπτε
ϲκαιῇ, δεξιτερῇ δ' ἄρ' ἀπ' ὤμων αἴνυτο τόξα,
αὐτοῖϲιν δ' ἄρ' ἔθεινε παρ' οὔατα μειδιόωϲα
ἐντροπαλιζομένην· ταχέεϲ δ' ἔκπιπτον ὀιϲτοί.
δακρυόεϲϲα δ' ὕπαιθα θεὰ φύγεν ὥϲ τε πέλεια,
ἥ ῥά θ' ὑπ' ἴρηκοϲ κοίλην εἰϲέπτατο πέτρην,
χηραμόν· οὐδ' ἄρα τῇ γε ἁλώμεναι αἴϲιμον ἦεν·
ὣϲ ἣ δακρυόεϲϲα φύγεν, λίπε δ' αὐτόθι τόξα.
Λητὼ δὲ προϲέειπε διάκτοροϲ ἀργεϊφόντηϲ·
Λητοῖ, ἐγὼ δέ τοι οὔ τι μαχήϲομαι· ἀργαλέον δὲ
πληκτίζεϲθ' ἀλόχοιϲι Διὸϲ νεφεληγερέταο·
ἀλλὰ μάλα πρόφραϲϲα μετ' ἀθανάτοιϲι θεοῖϲιν
εὔχεϲθαι ἐμὲ νικῆϲαι κρατερῆφι βίηφιν.
ὣϲ ἄρ' ἔφη, Λητὼ δὲ ϲυναίνυτο καμπύλα τόξα

V. L. 482 ϲτήϲαϲθαι Eust. 1248, 10, sed 1247, 42 ϲτήϲεϲθαι. ἀντιφερίζειν Vrat. b. d. A. Eust. 1248, 10. ἀντιφέρεϲθαι ἢ ἀντιφερίζειν 1247, 44. — 483 γυναιξὶ ACDEGL Syr. — 484 θῆκε C Flor. Rom. ἔδω H. ἔδωκεν D. κατακτάμεν' E. ἥν κ' ἐθέληϲθα Harl. ΚΕΘΕΛΗϹΘΑ Syr. — 485 ἦτοι libri. βέλτερον ἐϲτὶ L. — 486 ἢ κρεῖϲϲον D. — 487 δὲ θέλειϲ E 1247, 58; sed 1248, 25 et 27 δ' ἐθέλειϲ. ἐθέλειϲ. πολέμοιο A. ἐθέλειϲ, πολέμοιο Ven. B. — 488 φέρτεροϲ Vrat. A. εἶμ' A. εἶμ' DL. ΌΤΙΜΕΝΟϹΜΟΙ Syr. — 489 ἦ ῥὰ CDGL. ἐπι D. ἔμαρπτε ACDEG Syr. — 490 ἆρ ADEGHL. — 491 αὐτοῖϲι EG Flor. Rom. ἆρ ADEGHL. παρούατα D. — 492 ἐντροπαλιζομένη S Syr. Cant. Harl. Townl. Mosc. 2. ταχέωϲ E. — 493 ἀκρυόεϲϲα δ' ἔπειτα A in marg. ἔπειτα E. — 495 ἁλώμεναι L. αλώμεναι A. — 496 ἣ ACDGHL. λίπεν δ' H. λίπεν αὐτόθι D. — 498 δέ τι Bekk. Anecd. 1246. μαχέϲϲομαι Harl. Mosc. 2. μαχέϲομαι Bekk. An. 1246. ἀργαλέον γὰρ A Mor. Vrat. A. Schol. Φ 468. ΓΑΡ' Syr. γρ. ἀργαλέον δὲ A. — 500 πρόφραϲα L Lips. Flor. μεταθανάτοιϲϊ H. — 501 νικήϲειν C Ven. B. κρατερῆφι CEH. βίηφι ADL. βίηφι CEH Syr. βήηφι G. — 502 ὡϲ A. ἆρ DGL. λητῶ G. ϲυναίνοιτο C. ἐξαίνυτο Et. Mg. 36, 40. Et. Gud. 18, 49.

A. c. 487 ἐθέλειϲ, πολέμοιο δαήμεναι Aristarchus, conf. Ariston. ὅτι ἀντὶ τοῦ δάηθι προϲτακτικοῦ et Nicanorem, vide Υ 213. — 492 οὕτω τὸ ἐντροπαλιζομένην διὰ τοῦ ν̄ Didymus.

πεπτεῶτ᾽ ἄλλυδις ἄλλα μετὰ στροφάλιγγι κονίης.
ἣ μὲν τόξα λαβοῦσα πάλιν κίε θυγατέρος ἧς·
ἣ δ᾽ ἄρ᾽ Ὄλυμπον ἵκανε Διὸς ποτὶ χαλκοβατὲς δῶ,
δακρυόεσσα δὲ πατρὸς ἐφέζετο γούναςι κούρη,
ἀμφὶ δ᾽ ἄρ᾽ ἀμβρόσιος ἑανὸς τρέμε· τὴν δὲ προτὶ οἷ
εἷλε πατὴρ Κρονίδης, καὶ ἀνείρετο ἡδὺ γελάσσας·
τίς νύ σε τοιάδ᾽ ἔρεξε φίλον τέκος Οὐρανιώνων
[μαψιδίως, ὡς εἴ τι κακὸν ῥέζουσαν ἐνωπῇ];
τὸν δ᾽ αὖτε προσέειπεν ἐυστέφανος κελαδεινή·
σή μ᾽ ἄλοχος στυφέλιξε πάτερ, λευκώλενος Ἥρη,
ἐξ ἧς ἀθανάτοισιν ἔρις καὶ νεῖκος ἐφῆπται.
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
αὐτὰρ Ἀπόλλων Φοῖβος ἐδύσετο Ἴλιον ἱρήν·
μέμβλετο γάρ οἱ τεῖχος ἐυδμήτοιο πόληος,
μὴ Δαναοὶ πέρσειαν ὑπὲρ μόρον ἤματι κείνῳ.
οἱ δ᾽ ἄλλοι πρὸς Ὄλυμπον ἴσαν θεοὶ αἰὲν ἐόντες,
οἳ μὲν χωόμενοι, οἳ δὲ μέγα κυδιόωντες·
κὰδ δ᾽ ἵζον παρὰ πατρὶ κελαινεφεῖ. αὐτὰρ Ἀχιλλεὺς
Τρῶας ὁμῶς αὐτούς τ᾽ ὄλεκεν καὶ μώνυχας ἵππους.
ὡς δ᾽ ὅτε καπνὸς ἰὼν εἰς οὐρανὸν εὐρὺν ἵκηται

V. l. 503 πεπτῶτ᾽ L Lips. Vrat. A. γρ. καὶ πεπτῶτα A. πεπτεότ᾽ CS. πεπτεότα E. πεπταῶτ᾽ Mosc. 2. πεπτηῶτ᾽ Vrat. b. πεπτεῶτ᾽ AD GHS Syr. Harl. μετά: ἐν E. μετα CL. — 504 ἣ μὲν C. ἧε pro ἧς L. — 505 ἥδ᾽ CGHL. ἄρ ADGHL. οὔλυμπον C Syr. — 507 ἀμφι AD. ἄρ DE GHL. προτὶ οἷ libri omnes, conf. ω 347, ubi libri meliores in hac scriptura consentiunt. mallem ποτὶ, conf. H. U. 255. — 508 ἀνήρετο CEGL: ceteri ἀνείρετο cum Harl. Cant. Vrat. b. d. A. γελάσας E Flor. Rom. — 510 omitt. ACD in textu EHL Syr. Lips. Harl. Vrat. b. d. Mosc. 2. Ven. B. habent D in marg. man. rec. G Townl. Vrat. A. ὡς εἴ τι G Townl. ἐνωπὶ Vrat. A. — 511 εὐστέφανος DH. — 513 εξῆς D. — 514 ὡς AD 1. man. οἳ μὲν C. — 515 ἐδύσσετο C. δύσσετο S. — 516 εὐδμήτοιο H. — 517 ὑπερμόρον AD Lips. ὑπέρμορον S Cant. Mor. ΥΠΕΡΜΟΡΟΝ Syr. ἤματι D. — 519 οἳ δὲ C. — 520 καδδ᾽ ACDGH Syr. κὰδδ᾽ L. ἵζον CH Lips. Ven. B. ἵζον D. παρ A. ζηνὶ A Mor. παρὰ πατρὶ CD GHLS Syr. ὅτι παρα πατρὶ A in marg. ἀχϊλεὺς C. — 521 τρῶας L. θ᾽ ὁμῶς C. αὐτός τ᾽ Vrat. b. — 522 ἱκάνει ACDEGHLS Syr. et Heynii libri. γρ. ἵκηται A. conf. Σ 207, ubi omnes libri ἵκηται habent, quod etiam Aristarchus scripsit.

A. c. 503 πεπτεῶτ᾽: conf. πεπτεῶτας χ 384. ἑστεῶθ᾽ ψ 46. ἑστεῶτ᾽ ω 204. — 513 πληθυντικῶς νείκεα αἱ ἀριστάρχου Didymus. — 517 ὑπὲρ μόρον, conf. H. T. 370. — 520 haud scio an παρὰ πατρὶ genuina sit lectio et Ζηνὶ glossema.

ἄστεος αἰθομένοιο, θεῶν δέ ἑ μῆνις ἀνῆκε,
πᾶσι δ᾽ ἔθηκε πόνον, πολλοῖσι δὲ κήδε᾽ ἐφῆκεν,
ὡς Ἀχιλεὺς Τρώεσσι πόνον καὶ κήδε᾽ ἔθηκεν.
ἑστήκει δ᾽ ὁ γέρων Πρίαμος θείου ἐπὶ πύργου,
ἐς δ᾽ ἐνόης᾽ Ἀχιλῆα πελώριον· αὐτὰρ ὑπ᾽ αὐτοῦ
Τρῶες ἄφαρ κλονέοντο πεφυζότες, οὐδέ τις ἀλκὴ
γίγνεθ᾽· ὃ δ᾽ οἰμώξας ἀπὸ πύργου βαῖνε χαμᾶζε,
ὀτρύνων παρὰ τεῖχος ἀγακλειτοὺς πυλαωρούς·
πεπταμένας ἐν χερσὶ πύλας ἔχετ᾽, εἰς ὅ κε λαοὶ
ἔλθωσι προτὶ ἄστυ πεφυζότες· ἦ γὰρ Ἀχιλλεὺς
ἐγγὺς ὅδε κλονέων· νῦν οἴω λοίγι᾽ ἔσεσθαι.
αὐτὰρ ἐπεί κ᾽ ἐς τεῖχος ἀναπνεύσωσιν ἀλέντες,
αὖτις ἐπανθέμεναι σανίδας πυκινῶς ἀραρυίας·
δείδια γὰρ μὴ οὖλος ἀνὴρ ἐς τεῖχος ἅληται.
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄνεσάν τε πύλας καὶ ἀπῶσαν ὀχῆας·
αἳ δὲ πετασθεῖσαι τεῦξαν φάος. αὐτὰρ Ἀπόλλων
ἀντίος ἐξέθορε, Τρώων ἵνα λοιγὸν ἀλάλκοι.
οἳ δ᾽ ἰθὺς πόλιος καὶ τείχεος ὑψηλοῖο
δίψῃ καρχαλέοι, κεκονιμένοι ἐκ πεδίοιο,

V. l. 523 θεοῦ E. ἀνῆκε ACEG Syr. — 524 omitt. L. πᾶσϊν C. δὲ θῆκε Lips. ἐφῆκε G. ΕΦΗΚΕ Syr. — 525 post 526 collocatus in Syr. omitt. Townl. 1. man. ἀχιλλεὺς EH Lips. τρῴεσσι L. πόνον: φόνον A Harl. Mor. πολύστονα κήδεα θῆκεν L Lips. κήδε᾽ ἔφηκεν (sic) H. γρ. ἔτευξεν A. — 526 εἱστήκει CDEGHL. ΙϹΤΗΚΕΙ Syr. conf. Μ 446. Χ 36. ἑστήκει soli A Vrat. A. ἐπι D. — 528 τρῷες L. δ᾽ ἄφαρ C. — 529 γίγνεθ᾽ L: γίνεθ᾽ ACDGH Syr. γίνεται E. ὃ δ᾽ D. ὅδ᾽ CGHL. χαμᾶζε ADEG: χαμάζε CHL. ΧΑΜΑΖΕ Syr. — 530 ὀτρύνων AD: ὀτρυνέων CEGHLS Syr. παρα A. ἀγακλυτοὺς L. — 531 εἰς ὅ κε A: ceteri εἰσόκε cum Schol. Μ 122. — 532 ἔλθωσι libri: ἔλθωσιν Schol. Μ 122. προτιάστυ AD. ΓΑΡ᾽ Syr. ἀχϊλεὺς C. — 533 ὧδε D. ὅδὲ G. κλονέει C Ven. B. Vrat. A. ὀΐω G. ὀΐω ἤ οἴω E. — 534 εἰς E. ἀλέντες GL Flor. Schol. Μ 122. αλέντες A. — 535 αὖθϊς C. ἔπ᾽ ἀψ A. ἐπ᾽ ἄψ CDEG. ἐπὰψ HLS. ΕΠΑΨ᾽ Syr. et θέμεναι omnes. ἐν ἄλλῳ ἐπανθέμεναι A. ἐπιθέμεναι Schol. Μ 122. — 536 ἄληται AC. άληται D. ceteri ἅληται. — 537 ὡς A. οἵδ᾽ CGHL. — 538 αἳ δὲ C. — 539 ὣς pro ἀντίος H. τρῴων L.
οι η
ἀλάλκη L. ἀμύναι CS Cant. Townl. Vrat. d. Ven. B. ἀμύναι H. ἐν ἄλλῳ λοιγὸν ἀμύναι A. — 540 οἳ δ᾽ D. οἵδ᾽ CH. εὐθὺς H. πόληος D. — 541 δίψει Barocc. Vrat. A. καρφαλέοι G Vrat. A. Flor. Rom. ΚΕΚΟΝΙΜΜΕΝΟΙ Syr. κεκονημένοι C.

A. c. 530 οὕτως ἀρίσταρχος ἔξω τοῦ $\overline{\epsilon}$ ὀτρύνων· ἄλλοι δὲ ὀτρυνέων Didymus. — 535 οὕτως Ἀρίσταρχος ἐπανθέμεναι διὰ τοῦ $\overline{\nu}$, οἷον ἀναθεῖναι. τινὲς δὲ τῶν κατὰ πόλεις ἐπ᾽ ἄψ θέμεναι Didymus. — 536 ψιλῶς τὸ ἄληται Schol. B, conf. Λ 192. — 538 ὅτι Ζηνόδοτος τοὺς [β΄] στίχους (538, 539) ἠθέτηκε Aristonicus.

φεῦγον· ὃ δὲ σφεδανὸν ἔφεπ' ἔγχεϊ· λύσσα δέ οἱ κῆρ
αἰὲν ἔχε κρατερή, μενέαινε δὲ κῦδος ἀρέσθαι.
ἔνθά κεν ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν,
εἰ μὴ Ἀπόλλων Φοῖβος Ἀγήνορα δῖον ἀνῆκε,
φῶτ' Ἀντήνορος υἱὸν ἀμύμονά τε κρατερόν τε.
ἐν μέν οἱ κραδίῃ θάρσος βάλε, πὰρ δέ οἱ αὐτὸς
ἔστη, ὅπως θανάτοιο βαρείας κῆρας ἀλάλκοι,
φηγῷ κεκλιμένος· κεκάλυπτο δ' ἄρ' ἠέρι πολλῇ.
αὐτὰρ ὅ γ' ὡς ἐνόησεν Ἀχιλλῆα πτολίπορθον,
ἔστη, πολλὰ δέ οἱ κραδίη πόρφυρε μένοντι·
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
ὤ μοι ἐγών· εἰ μέν κεν ὑπὸ κρατεροῦ Ἀχιλῆος
φεύγω, τῇ περ οἱ ἄλλοι ἀτυζόμενοι φοβέονται,
αἱρήσει με καὶ ὧς, καὶ ἀνάλκιδα δειροτομήσει.
εἰ δ' ἂν ἐγὼ τούτους μὲν ὑποκλονέεσθαι ἐάσω
Πηλείδῃ Ἀχιλῆι, ποσὶν δ' ἀπὸ τείχεος ἄλλῃ
φεύγω πρὸς πεδίον Ἰλήιον, ὄφρ' ἂν ἵκωμαι
Ἴδης τε κνημοὺς κατά τε ῥωπήια δύω·
ἑσπέριος δ' ἂν ἔπειτα λοεσσάμενος ποταμοῖο,
ἱδρῶ ἀποψυχθείς, προτὶ Ἴλιον ἀπονεοίμην.
ἀλλὰ τί ἤ μοι ταῦτα φίλος διελέξατο θυμός;

V. l. 542 ὃ δὲ C. σφεδανῶν AL Syr. Townl. 1. man. Ven. B. σφεδανῶς C, ὀν suprascr. 2. man. ceteri σφεδανὸν. ἐπ' pro ἔφεπ' L. — 544 ἔνθά κεν ACDL. — 545 ἀνῆκε ACDGH Syr. — 547 ἓν A. θράσος EH παρ D. — 548 κῆρας AE: χεῖρας CDGHLS Syr. — 548—550 omitt. Townl. 1. man. — 549 ἆρ ADGHL. — 550 ἀχιλῆα CG. Flor. Rom. — 551 πόρφυρε κιόντι Barocc. Schol. Λ 269, conf. δ 427. 572. κ 309. — 552 ἆρ L. προσὸν D. — 553 ὤιμοι AC. ὤμοι E. ὑπο H. ἀπὸ G. — 554 τοίπερ οἱ C. κλονέονται AG Syr. Mor. Barocc.: φοβέονται CDHLS Ven. B. φοβέοντο Lips. γρ. φοβέονται A. φοβέονται ἢ κλονέονται E. — 555 ὧς D. ὡς A. ceteri ὧς. καὶ ὧς omitt. H. — 557 ποσσὶ E. ποσὶ Flor. Rom. ἀπο AH. τῦχεος H. — 559 ἴδης τὲ ACH. — 560 ἂν: ἆρ D. ἄρ' Vrat. A. — 561 ἱδρῶτα Cram. An. Ox. II, 425, 16. προτὶ AEHLS Syr. Ven. B. Lips. προτιίλιον D. ποτὶ CG Flor. — 562 τί ἤ A. ceteri τίη. τί E. θυμῶι D.

A. c. 542 οὕτω σφεδανὸ (sic) Didymus. ὅτι σφεδανῶν σφοδρῶς διώκων Aristonicus. ἐπίρρημα ἀντὶ τοῦ σφεδανῶς. οἱ δὲ σφεδανῶν γράφουσιν, ἵν' ᾖ μετοχή Schol. B. Ἡρόδωρος καὶ Ἀπίων ἐκτείνουσι τὸ σφεδανῶν ὡς μετοχήν, λέγοντες εἰλῆφθαι τὴν λέξιν ἀντὶ τοῦ σφοδρῶς διώκων Eust. 1250, 56. conf. H. T. 354. — 550 πτολίπορθον: τινὲς δὲ Ἀχιλλέα Πηλείωνα ποιοῦσι ξενισθέντες πρὸς τὸ ἐπίθετον Schol. AV. — 558 Ἰλήιον Aristarchus: Crates Ἰδήιον.

μή μ' ἀπαειρόμενον πόλιος πεδίον δὲ νοήσῃ,
καί με μεταΐξας μάρψῃ ταχέεσσι πόδεσσιν.
οὐκέτ' ἔπειτ' ἔσται θάνατον καὶ κῆρας ἀλύξαι·
λίην γὰρ κρατερὸς περὶ πάντων ἔστ' ἀνθρώπων.
εἰ δέ κέν οἱ προπάροιθε πόλιος κατεναντίον ἔλθω·
καὶ γάρ θην τούτῳ τρωτὸς χρὼς ὀξέι χαλκῷ,
ἐν δὲ ἴα ψυχή, θνητὸν δέ ἕ φασ' ἄνθρωποι
ἔμμεναι· αὐτάρ οἱ Κρονίδης Ζεὺς κῦδος ὀπάζει.
ὣς εἰπὼν Ἀχιλῆα ἀλεὶς μένεν, ἐν δέ οἱ ἦτορ
ἄλκιμον ὡρμᾶτο πτολεμίζειν ἠδὲ μάχεσθαι.
ἠύτε πάρδαλις εἶσι βαθείης ἐκ ξυλόχοιο
ἀνδρὸς θηρητῆρος ἐναντίον, οὐδέ τι θυμῷ
ταρβεῖ οὐδὲ φοβεῖται, ἐπεί κεν ὑλαγμὸν ἀκούσῃ·
εἴ περ γὰρ φθάμενός μιν ἢ οὐτάσῃ ἠὲ βάλῃσιν,
ἀλλά τε καὶ περὶ δουρὶ πεπαρμένη οὐκ ἀπολήγει
ἀλκῆς, πρίν γ' ἠὲ ξυμβλήμεναι ἠὲ δαμῆναι·

V. l. 563 ἀπαειρόμενον A. πόληος D. 1. man. πόλεως E 1261, 9; sed 1251, 12 πόλιος. πεδίον δὲ ADGH. ΠΕΔΙΟΝΔΈ Syr. — 564 μάρψει S. πόδεσσι D. — 565 οὐκ ἔτι G. ἔσεται Barocc. κῦρας H. — 566 κρατερῶς L. πέρι L. περϊ C. — 567 δέ κεν οἱ ACDE: ceteri δέ κέν οἱ. H εἰ δ' αὐτω. πόλιυς ACDEH Syr. Ven. B. Vrat. A. edd. vett. πόλεος L. πόληος G Lips. conf. B 811. κατ' ἐναντίον ES. κατεναντίος L Lips. πεδίον δὲ νοήσηι D et in marg. κατ' ἐναντί' ἔλθω. — 568 γὰρ δὴ E. γάρ τ' ἦν Schol. Δ 510. — 569 ἓν A. δέ ἑ φασ' CGH. δέ ἑ φασ' A. δέ ἑ φὰς D. δέ ἑ φάς' E. ΔΈ ΕΦΑϹ' Syr. — 571 ὡς A. ἀλεὶς G. ΑΛΙϹ Syr. ἨΤΟΡ' Syr. — 572 πολεμίζειν S Syr. Townl. Flor. — 573 πάρδαλις GHL Lips. πόρδαλις ACDES Syr. Harl. Townl. Vrat. d. A. Mosc. 2. Flor. Rom. — 576 κτάμενός Vrat. b. ἢ omitt. Syr. οὐτάσει C. — 577 ΟΥΚ' Syr.

A. c. 567 κεν ante οἱ libris invitis non mutavi, quamquam ceteris locis excepto Ψ 540 scriptura κε praevalet, conf. Ζ 281. Ι 155. 157. γ 258 (GINV κεν). δ 174. ι 458. δαΐέ οἱ Ε 4. — 569 de hiatu ἐν δὲ ἴα conf. Ι 319 ἐν δὲ ἰῇ (sed Λ 174 τῇ δέ τ' ἰῇ. Π 173 τῆς μὲν ἰῆς). Α 533 Ζεὺς δὲ ἑὸν (ἐϜὸν, non Ϝεὸν). Β 165. 181 μηδὲ ἔα. Θ 428 νῶϊ ἐῶ. Ι 420. 687 χεῖρα ἑὴν. Ρ 16 τῶ με ἔα. Τ 194 δῶρα ἐμῆς. Χ 339 μή με ἔα. Ψ 278 πατρὶ ἐμῷ (sed c 140 πατρί τ' ἐμῷ). Ω 335 ἀνδρὶ ἑταιρίσσαι. θ 524 ὅς τε ἑῆς. ν 133 πάγχυ ἐπεὶ. itaque causa non est, cur cum Heynio μία aut ἐν δέ τ' ἴα scribamus. — 570 ἀθετεῖται Aristonicus. — 573 διὰ τοῦ ᾱ πάρδαλις εἶχον αἱ ἀριστάρχου Didymus. — 575 Ἀρίσταρχός τινάς φησι γράφειν κυνυλαγμόν. οὕτω καὶ Ζηνόδοτος. καὶ Στησίχορος δὲ ἔοικεν οὕτως ἀνεγνωκέναι· φησὶ γοῦν ἀπειρεσίοιο κυνυλαγμοῖο (ἀπειρεσίου κυνυλαγμοῦ Eust. 1251, 61) Schol. BV. — 576 αἱ ἀπὸ τῶν πόλεων φθάμενός τις Schol. V.

ὣϲ Ἀντήνοροϲ υἱὸϲ ἀγαυοῦ, δῖοϲ Ἀγήνωρ,
οὐκ ἔθελεν φεύγειν, πρὶν πειρήϲαιτ' Ἀχιλῆοϲ,
ἀλλ' ὅ γ' ἄρ' ἀϲπίδα μὲν πρόϲθ' ἔϲχετο πάντοϲ' ἐίϲην,
ἐγχείῃ δ' αὐτοῖο τιτύϲκετο, καὶ μέγ' ἀύτει·
ἦ δή που μάλ' ἔολπαϲ ἐνὶ φρεϲὶ φαίδιμ' Ἀχιλλεῦ
ἤματι τῷδε πόλιν πέρϲειν Τρώων ἀγερώχων,
νηπύτι', ἦ τ' ἔτι πολλὰ τετεύξεται ἄλγε' ἐπ' αὐτῇ.
ἐν γάρ οἱ πολέεϲ τε καὶ ἄλκιμοι ἀνέρεϲ εἰμέν,
οἳ καὶ πρόϲθε φίλων τοκέων ἀλόχων τε καὶ υἱῶν
Ἴλιον εἰρυόμεϲθα· ϲὺ δ' ἐνθάδε πότμον ἐφέψειϲ,
ὧδ' ἔκπαγλοϲ ἐὼν καὶ θαρϲαλέοϲ πολεμιϲτήϲ.
ἦ ῥα, καὶ ὀξὺν ἄκοντα βαρείηϲ χειρὸϲ ἀφῆκε,
καί ῥ' ἔβαλε κνήμην ὑπὸ γούνατοϲ οὐδ' ἀφάμαρτεν.
ἀμφὶ δέ οἱ κνημὶϲ νεοτεύκτου καϲϲιτέροιο

V. l. 579 ὡϲ A. — 580 ἔθελε E Syr. Flor. Rom. φυγέειν Ven. B. πειρήϲετ' H. πειρῆϲαι Vrat. b. — 581 ὃ γὰρ ACDGHLS. ΟΓΑΡ Syr. ὅγ' ἂρ Lips. πρόϲθε ϲχέτο Harl. Vrat. b. A. Mosc. 2. πάντοϲε, ἴϲην A. πάντοϲε ἴϲην DGLS. ΠΑΝΤΟϹ' ЄΙϹΗΝ Syr. — 583, 584 absunt a Syr. relicta lacuna. — 583 ἢ δή: γρ. ἤδη A. ἢ δή που[β′] ἢ ἤδη[α′] που E. ἐνι AD. ἀχϊλεῦ C. — 584 ἤματι D. τῷ δὲ G. τρώων πόλιν πέρϲειν D. πέρϲαι Vrat. A. τρώων L. — 585 ἢ μάλα A Harl. γρ. ἢ τέ τι πολλὰ A. ἦ τέ τι L Lips. ΗΤЄΤΙ Syr. ἦτ' ἔτι H. τετεύξεαι HL Lips. Harl. Vrat. d. ἐπαυτῆι A. αὐτῆϲ Lips. ἔτ' αὐτῇ Vrat. b. — 586 γάρ οἱ AD 1. man. EGL Syr. γάρ ρ' οἱ C. γὰρ ῥ' οἱ Ven. B. γάρ ῥ' οἱ Mosc. 2. γάρ τοι D ex corr. HS Townl. Lips. Vrat. d. ἄνδρεϲ εἰμὲν L Lips. ἐν ἄλλῳ ἄνδρεϲ ἔνειμεν (cod. ἔνειμαν) A. — 587 οἵ κε AD Syr. ὅἵ κεν CGHLS. οἱ πρόϲθεν E. οἳ καὶ nullus. τεκέων Lips. τὲ H. τὸ τοκέων ἀλόχων τε καὶ υἱῶν ἔν τιϲιν ἀντιγράφοιϲ μετὰ τὸ ἀλόχων ἔχει κείμενον τὸ τοκέων Eust. 1252, 18. — 588 εὐρυϲόμεϲθα CG Ven. B. Flor. εὐρυόμεϲθα ἢ εὐρυϲόμεθα (sic) E. — 589 ἔπαγλϲϲ G. — 590 ἢ ῥὰ CDGHL. βαρείηϲ: παχείηϲ CD Harl. Vrat. b. Mosc. 2. γρ. παχείηϲ χειρὸϲ A. τινὰ δὲ τῶν ἀντιγράφων παχείηϲ χειρὸϲ γράφουϲιν Eust. 1252, 20. ἀφῆκε ACEGH Syr. — 591 ἀφάμαρτε L Syr. — 592 ἀμφι CDG. δέ μιν: δέ οἱ H Vrat. d.

A. c. 583 τινὲϲ τὸ ἤδη χρονικὸν ἐκδέχονται καὶ παροξύνουϲιν, οὐκ εὖ· ἄμεινον γὰρ περιϲπᾶν Herodianus. — 586 ἀνέρεϲ εἰμέν: ἐν ταῖϲ πλείοϲιν οὕτωϲ ἐφέρετο ἄνδρεϲ ἔνειμεν, καὶ μήποτε οὐ καλῶϲ Didymus. conf B 131. Є 477. — 587 οὕτωϲ αἱ Ἀριϲτάρχου οἳ καὶ πρόϲθε· ἔν τιϲι δὲ τῶν εἰκαιοτέρων οἵ κε πρόϲθε Schol. B. — 588 ἐφέψειϲ: Νικίαϲ ἀναϲτρέφει τὴν πρόθεϲιν, οὐκ εὖ Herodianus. — 592 δέ οἱ dedi ex libris duobus, quum accusativum exemplis firmatum non viderem, sed dativum, ut Μ 396. Ν 181. Ξ 420 ἀμφὶ δέ οἱ βράχε τεύχεα. Ν 805 ἀμφὶ δέ οἱ κροτάφοιϲι φαεινὴ ϲείετο πήληξ. Ϲ 205 ἀμφὶ δὲ οἱ κεφαλῇ νέφοϲ ἔϲτεφε. his valde dissimiles sunt loci quibus accusativus legitur ut Ζ 117 ἀμφὶ δέ μιν ϲφυρὰ τύπτε καὶ αὐχένα δέρμα κελαινόν. Π 414. 580 ἀμφὶ δέ μιν (δέ οἱ Ν 544) θάνατοϲ χύτο. Ω 588 ἀμφὶ δέ μιν φᾶροϲ καλὸν βάλεν. γ 467. θ 455. κ 365. 452. ν 434. 436. ξ 320. 342. ψ 155. Ο 153.

ϲμερδαλέον κονάβηϲε· πάλιν δ' ἀπὸ χαλκὸϲ ὄρουϲε
βλημένου, οὐδ' ἐπέρηϲε, θεοῦ δ' ἠρύκακε δῶρα.
Πηλείδηϲ δ' ὡρμήϲατ' Ἀγήνοροϲ ἀντιθέοιο
δεύτεροϲ· οὐδέ τ' ἔαϲεν Ἀπόλλων κῦδοϲ ἀρέϲθαι,
ἀλλά μιν ἐξήρπαξε, κάλυψε δ' ἄρ' ἠέρι πολλῇ,
ἡϲύχιον δ' ἄρα μιν πολέμου ἔκπεμπε νέεϲθαι.
αὐτὰρ ὃ Πηλείωνα δόλῳ ἀποέργαθε λαοῦ·
αὐτῷ γὰρ ἑκάεργοϲ Ἀγήνορι πάντα ἐοικὼϲ
ἔϲτη πρόϲθε ποδῶν· ὃ δ' ἐπέϲϲυτο ποϲϲὶ διώκειν.
εἷοϲ ὃ τὸν πεδίοιο διώκετο πυροφόροιο,
τρέψαϲ πὰρ ποταμὸν βαθυδινήεντα Ϲκάμανδρον,
τυτθὸν ὑπεκπροθέοντα· δόλῳ δ' ἄρ' ἔθελγεν Ἀπόλλων,
ὡϲ αἰεὶ ἔλποιτο κιχήϲεϲθαι ποϲὶν οἷϲι·
τόφρ' ἄλλοι Τρῶεϲ πεφοβημένοι ἦλθον ὁμίλῳ
ἀϲπάϲιοι προτὶ ἄϲτυ, πόλιϲ δ' ἔμπλητο ἀλέντων.
οὐδ' ἄρα τοί γ' ἔτλαν πόλιοϲ καὶ τείχεοϲ ἐκτὸϲ
μεῖναι ἔτ' ἀλλήλουϲ, καὶ γνώμεναι, ὅϲ τε πεφεύγοι
ὅϲ τ' ἔθαν' ἐν πολέμῳ· ἀλλ' ἐϲϲυμένωϲ ἐϲέχυντο
ἐϲ πόλιν, ὅν τινα τῶν γε πόδεϲ καὶ γοῦνα ϲαώϲαι.

V. l. 593 κονάβιζε D. ἀπο CDH Syr. ὄρουϲε ACDEGH Syr. — 594 omitt. A in textu. ΟΥΔЄΠЄΡΗϹЄ Syr. δὲ ἐρύκακε L. δ' ἐρύκακε Lips. — 596 οὐδ' ἔτ' Vrat. A. ἔαϲϲεν E Rom. ἐν ἄλλῳ ἔαϲεν ἄναξ διὸϲ υἱὸϲ ἀπόλλων A. — 597 κάλυψε δ' ἄρ': γρ. καὶ καλύψαϲ A. ἂρ ADEG HL. πολλῖ H. — 598 omittit L. ἔκπεμπε ACDGHS. ЄΚΠЄΜΠЄ Syr. ἐξέπεμπε E bis. — 599 ὁ CDGHL. λαῷ L Lips. — 600 γὰρ ACDL Syr. Lips. Vrat. A. Ven. B. γάρ ῥ' EGHS edd. vett. — 601 ὁ δ' DGL. ὅδ' CH. διώκων Vrat. b. — 602 * εἷοϲ: libri ἕωϲ. ὁ ACDGHL. — 603 τρέψαϲ libri praeter G, in quo est ϲτρέψαϲ, quod in Ald. 2. transiit. παρ DH. πὰρ' A. κάμανδρον L Harl. — 604 δόλῳ γὰρ GH Flor. Schol. Χ 15. ἂρ ADEL. — 605 ὧϲ D. ἐέλποιτο S. ἔλποτο[ε] H. ποϲϲὶν ἑοῖϲιν G. οἶϲι AC. — 606 ἄλλοι πάντεϲ C Ven. B. τρῷεϲ L. — 607 πρὸ τὶ C. προτιάϲτυ D. πόλιϲ: γρ. πύλαι A. δ' ἔμπληϲτο Lips. Mor. Barocc. δ' ἔπληϲτο L. ἀλέντων G. — 608 ἂρ τοί γ' L. — 609 μεῖναι ἐπαλλήλουϲ H Vrat. b. d. μεῖναί τ' ἀλλήλουϲ Schol. Λ 171. γνῶναι E. ὅϲ τέ περ φεύγει Schol. Λ 171. πεφεύγει D. — 610 ἐϲϲυμένωϲ A Barocc. Mor. ἀϲπαϲίωϲ CDEGHL Syr. Lips. Ven. B. edd. vett. γρ. ἀϲπαϲίωϲ A. ἐπέχυντο Vrat. A. — 611 εἰϲ Eust. 1253, 7; sed 1253, 9 ἐϲ. γε omitt. L Lips. γοῦνα ϲάωϲαν ACEGHLS Syr. Lips. Ven. B. edd. vett. γοῦν' ἐϲάωϲαν D.

A. c. 600 γὰρ ἑκάεργοϲ: οὕτωϲ ἀρίϲταρχοϲ, ἄλλοι δὲ αὐτῷ γάρ ῥ' ἐκ Didymus. — 607 πόλιϲ δ' ἔμπλητο: παρὰ Ἀντιμάχῳ καὶ Ῥιανῷ πύλαι δ' ἔμπληντο Didymus. — 611 ἀρίϲταρχοϲ εὐκτικῶϲ ϲαώϲαι ἀντὶ τοῦ ϲαώϲειαν Didymus.

ΙΛΙΑΔΟϹ Χ.

Ὣϲ οἳ μὲν κατὰ ἄϲτυ πεφυζότεϲ ἠΰτε νεβροὶ
ἱδρῶ ἀπεψύχοντο πίον τ' ἀκέοντό τε δίψαν,
κεκλιμένοι καλῇϲιν ἐπάλξεϲιν· αὐτὰρ Ἀχαιοὶ
τείχεοϲ ἄϲϲον ἴϲαν ϲάκε' ὤμοιϲι κλίναντεϲ.
Ἕκτορα δ' αὐτοῦ μεῖναι ὀλοιὴ μοῖρα πέδηϲεν,
Ἰλίου προπάροιθε πυλάων τε Ϲκαιάων.
αὐτὰρ Πηλείωνα προϲηύδα Φοῖβοϲ Ἀπόλλων·
τίπτέ με Πηλέοϲ υἱὲ ποϲὶν ταχέεϲϲι διώκειϲ,
αὐτὸϲ θνητὸϲ ἐὼν θεὸν ἄμβροτον; οὐδέ νύ πώ με
ἔγνωϲ ὡϲ θεόϲ εἰμι, ϲὺ δ' ἀϲπερχὲϲ μενεαίνειϲ.
ἦ νύ τοι οὔ τι μέλει Τρώων πόνοϲ, οὓϲ ἐφόβηϲαϲ,
οἳ δή τοι εἰϲ ἄϲτυ ἄλεν, ϲὺ δὲ δεῦρο λιάϲθηϲ.
οὐ μέν με κτενέειϲ, ἐπεὶ οὔ τοι μόρϲιμόϲ εἰμι.
τὸν δὲ μέγ' ὀχθήϲαϲ προϲέφη πόδαϲ ὠκὺϲ Ἀχιλλεύϲ·
ἔβλαψάϲ μ' ἑκάεργε, θεῶν ὀλοώτατε πάντων,
ἐνθάδε νῦν τρέψαϲ ἀπὸ τείχεοϲ· ἦ κ' ἔτι πολλοὶ
γαῖαν ὀδὰξ εἷλον πρὶν Ἴλιον εἰϲαφικέϲθαι.

V. L. 1 ὡϲ A. κατα A. — 2 ἱδρῷ G. ἀπεψύχοντο (ν superscr.) A. ἀνεψύχοντο Vrat. A. γρ. καὶ ἀνεψύχοντο Lips. — 3 καλοῖϲιν L. — 4 ἄϲϲον AD. — 5 μείναι G. ὀλοιὴ AG. ὀλο|||ὴ D post ras. ΟΛΟΗ Ambros. Syr. ὀλοὴ CEHL Townl. Lips. Harl. Ven. B. Paris. B. edd. vett. ὀλωὴ Vrat. A. ὀλωῆ Paris. GI. ὀλοῆ Par. A. * μοῖρα πέδηϲεν: libri μοῖρ' ἐπέδηϲεν. — 6 τὲ C. — 7 αὐτὰρ ὃ H. ΑΥΤΑΡ Ο Ambr. ΑΥΤᾺΡ Ο Syr. προϲηῦδα D. — 8 τίπτέ με ACDL Tzetzes Alleg. 9. ποϲϲὶ E. — 9 ἄβροτον Barocc. νυ πῶ με CG. νυ πώ με DHL. ΝΥΤΩΜЄ Syr. — 10 θεὸϲ εἰμὶ L. subiungit huic Syr. versum ἸΛΙΟΥ ЄΞΑΛΑΠΑΞΑΙ ЄΥΚΤΙΜЄΝΟΝ ΠΤΟΛΙЄΘΡΟΝ, qui legitur Δ 33. Θ 288. — 11 ἤ C. 2. man. DL Schol. Z 465. νύ τι D. ἐνούτοι οὔτϊ H. superscr. 2. man. ἦ νυ. μέλλει DG. τρῴων L. — 12 ΟΙΔ' ΗΤΟΙ Syr. ἅλεν G. ἁλεν C utroque spiritu. ἄλεν ceteri cum Et. Mg. 59, 4 (ψιλοῦται). δεῦρο λιάϲθηϲ CDEG Syr. Ven. B. δεῦρ' ἐλιάϲθηϲ AHLS Lips. Vrat. A. Rom. „ed. Rom. cum plerisque codd.“ Heyne. conf. Ω 106 δεῦρο κάλεϲϲα. — 13 γάρ με Rom. κτανέειϲ G. οὔ τϊ H. — 14 ἀχϊλεύϲ C. — 15 ὀλοώτατε: alii δολοώτατε teste Eust. 1254, 31. — 16 ἔνθα δὲ Schol. I 398. ἀπο H. ἦ κέ τι DH. — 17 ἕλον C. προτι pro πρὶν D. εἰϲ ἀφικέϲθαι A.

A. c. 2 διχῶϲ ἀνεψύχοντο καὶ ἀπεψύχοντο· χαριεϲτέρα δὲ ἡ διὰ τοῦ ν̄ Didymus, conf. Є 795. Λ 621. Φ 561. — 12 ἄλεν, vide Herod. ad Λ 192. — 15 τινὲϲ δὲ δολιώτατε Schol. B.

νῦν δ' ἐμὲ μὲν μέγα κῦδοϲ ἀφείλεο, τοὺϲ δὲ ϲάωϲαϲ
ῥηιδίωϲ, ἐπεὶ οὔ τι τίϲιν γ' ἔδειϲαϲ ὀπίϲϲω.
ἦ ϲ' ἂν τιϲαίμην, εἴ μοι δύναμίϲ γε παρείη.
ὣϲ εἰπὼν προτὶ ἄϲτυ μέγα φρονέων ἐβεβήκει,
ϲευάμενοϲ ὥϲ θ' ἵπποϲ ἀεθλοφόροϲ ϲὺν ὄχεϲφιν,
ὅϲ ῥά τε ῥεῖα θέῃϲι τιταινόμενοϲ πεδίοιο·
ὣϲ Ἀχιλεὺϲ λαιψηρὰ πόδαϲ καὶ γούνατ' ἐνώμα.
τὸν δ' ὁ γέρων Πρίαμοϲ πρῶτοϲ ἴδεν ὀφθαλμοῖϲι,
παμφαίνονθ' ὥϲ τ' ἀϲτέρ', ἐπεϲϲύμενον πεδίοιο,
ὅϲ ῥά τ' ὀπώρηϲ εἶϲιν, ἀρίζηλοι δέ οἱ αὐγαὶ
φαίνονται πολλοῖϲι μετ' ἀϲτράϲι νυκτὸϲ ἀμολγῷ·
ὅν τε κύν' Ὠρίωνοϲ ἐπίκληϲιν καλέουϲι.
λαμπρότατοϲ μὲν ὅ γ' ἐϲτί, κακὸν δέ τε ϲῆμα τέτυκται,
καί τε φέρει πολλὸν πυρετὸν δειλοῖϲι βροτοῖϲιν·
ὣϲ τοῦ χαλκὸϲ ἔλαμπε περὶ ϲτήθεϲϲι θέοντοϲ.
ᾤμωξεν δ' ὁ γέρων, κεφαλὴν δ' ὅ γε κόψατο χερϲὶν
ὑψόϲ' ἀναϲχόμενοϲ, μέγα δ' οἰμώξαϲ ἐγεγώνει,
λιϲϲόμενοϲ φίλον υἱόν· ὃ δὲ προπάροιθε πυλάων
ἑϲτήκει, ἄμοτον μεμαὼϲ Ἀχιλῆι μάχεϲθαι.

V. L. 18 ΑΦЄΙΛΑΟ Ambros. δὲ ϲάωϲαϲ Paris. C: ceteri δ' ἐϲάωϲαϲ. — 19 ЄΔΔЄΙϹΑΝ Ambr. ceteri ἔδδειϲαϲ. ὀπίϲω G Flor. — 20 εἴ μοι: εἰ μὴ D. ΠΑΡЄΙΗΙ Ambr. Syr. — 21 ὡϲ A. προτιάϲτυ D. — 22 ϲευόμενοϲ H. ἀεθλοφόροϲ A. ὄχεϲφι C. — 23 ῥά omitt. D. ΘЄΗϹΙ Ambr. — 24 ὡϲ A. ἀχιλλεὺϲ E. λαιψηρὰ χεῖραϲ C. — 25 εἶδεν CE. ἰδὼν H. ὀφθαλμοῖϲι A Ambr. CDE Syr. ὀφθαλμῇϲιν H. — 27 ὀπώρῃ H. ΙϹΙΝ (Є superscr.) Syr. ε add. 2. man. — 28 ἄϲτραϲι E bis Et. Gud. 458, 46. — 29 καλέουϲι ACE: ceteri καλέουϲιν. καλέονται Et. Mg. 549, 42. — 30 λαμπρότεροϲ Et. Mg. 484, 44. ὅγ' CD ex corr. EGS Syr. Ven. B. Lips. Pseudoplut. 158, 32. Et. Mg. 484, 44. μέν οἱ D 1. man. ὅδ' AHL Barocc. Harl. Vrat. b. Mosc. 2. Paris. B. F. H. τε omitt. C. — 31 πουλὺν Paris. D. Schol. Λ 62. — 32 ὡϲ A. ἔλαμπεν ἐνι D. περι A. — 33 ὅγ' ἐκόψατο Vrat A. ὅ γε λάζετο L Lips. Paris. A. C. ΧЄΡϹΙ Syr. — 34 ὕψοϲ L Lips. — 35 ὃ δὲ C. — 36 ἑϲτήκει A Harl. Vrat. b. εἱϲτήκει CDEGHLS Lips. Ven. B. ΙϹΤΗΚЄΙ Syr. conf. Φ 526.

A. c. 28 Aristarchus ἀϲτράϲι: ἄϲτραϲι Philoxenus et Herodianus cum plerisque. — 29 κύν' Ὠρίωνοϲ: κυνωρίωνοϲ Dion. Sidonius ὑφ' ἕν. — 36 οὕτωϲ ἀρίϲταρχοϲ ἑϲτήκει ἄνευ τοῦ ῑ Didymus. ἑϲτήκει editores ante Bekkerum, qui scripturam ἑϲτήκειν intulit, quam recentiores receperunt. ν̄ paragogico opus non esse in caesura semiternaria confirmant cum multi loci, quos enumeravi in Annal. Gymn. Austr. 1871. pg. 498, tum haec exempla: ἑϲτήκει Ρ 133. ϲ 344. βεβλήκει χ 258. 275. Є 661 (βεβλήκειν Aristarchus ut Ψ 691 ἑϲτήκειν). vide Bekk. Hom. Bl. pg. 29. H. T. 194.

τὸν δ' ὁ γέρων ἐλεεινὰ προςηύδα χεῖρας ὀρεγνύς·
    Ἕκτορ, μή μοι μίμνε, φίλον τέκος, ἀνέρα τοῦτον
οἶος ἄνευθ' ἄλλων, ἵνα μὴ τάχα πότμον ἐπίςπῃς
Πηλείωνι δαμείς, ἐπεὶ ἦ πολὺ φέρτερός ἐςτι,
ςχέτλιος· αἴθε θεοῖςι φίλος τοςςόνδε γένοιτο
ὅςςον ἐμοί· τάχα κέν ἑ κύνες καὶ γῦπες ἔδοιεν
κείμενον· ἦ κέ μοι αἰνὸν ἀπὸ πραπίδων ἄχος ἔλθοι·
ὅς μ' υἱῶν πολλῶν τε καὶ ἐςθλῶν εὖνιν ἔθηκε,
κτείνων καὶ περνὰς νήςων ἔπι τηλεδαπάων.
καὶ γὰρ νῦν δύο παῖδε, Λυκάονα καὶ Πολύδωρον,
οὐ δύναμαι ἰδέειν Τρώων εἰς ἄςτυ ἀλέντων,
τούς μοι Λαοθόη τέκετο, κρείουςα γυναικῶν.
ἀλλ' εἰ μὲν ζώουςι μετὰ ςτρατῷ, ἦ τ' ἂν ἔπειτα
χαλκοῦ τε χρυςοῦ τ' ἀπολυςόμεθ'· ἔςτι γὰρ ἔνδον·
πολλὰ γὰρ ὤπαςε παιδὶ γέρων ὀνομάκλυτος Ἄλτης.
εἰ δ' ἤδη τεθνᾶςι καὶ εἰν Ἀίδαο δόμοιςιν,
ἄλγος ἐμῷ θυμῷ καὶ μητέρι, τοὶ τεκόμεςθα·
λαοῖςιν δ' ἄλλοιςι μινυνθαδιώτερον ἄλγος
ἔςςεται, ἢν μὴ καὶ ςὺ θάνῃς Ἀχιλῆι δαμαςθείς.
ἀλλ' εἰςέρχεο τεῖχος ἐμὸν τέκος, ὄφρα ςαώςῃς
Τρῶας καὶ Τρῳάς, μὴ δὲ μέγα κῦδος ὀρέξῃς

V. L. 38 ἕκτωρ Lips. μί μοι D. — 39 ἄνευ L. — 40 ἐπεὶ ἦ A: ceteri ἐπειή. πολυφέρτερός D. ἐςτι ACDEH Syr. φέρτερος ἐςτὶν L. — 41 θεοῖς G Flor. — 42 ἔδονται ADEGHLS Syr. Lips. Ven. B. et Heynii libri. ἔδ^{ω}ονται C. ἔδωνται Paris. B. — 43 ἤ κεν C. ἔλθῃ Harl. Vrat. d. Mosc. 2. — 44 ἔθηκε ACEG Syr. — 45 ἐπὶ CDEGHL Et. Mg. 36, 42. Et. Gud. 18, 51. Zonar. Lex. 92. Cram. An. Par. IV, 102, 35. ἔπι A Cram. Ep. 72, 32. ἐπ' ἀλλοδαπάων Eust. 1222, 27. — 47 τρώιων L. ἀλέντων G. — 48 οὕς μοι D Vrat. A.: ceteri τούς. λαοθέη Barocc. λαοδόκη Paris. G. — 49 ςτρατῷ ἢ ςτρατὸν E. ἢ τἂν A. — 50 τε ἀπολυςόμεθα G. ἐν ἄλλῳ ἀπολύςομεν A. ΓΑΡ' Syr. — 51 ὀνομάκλυτος AC. ὄνομα κλυτὸς L. — 52 καὶν ἀΐδαο H. — 54 λαοῖςϊ H Flor. Rom. — 55 ἔςται E. — 57 τρῷας L. τρωιὰς ACL. τρωϊὰς H. τρῳὰς Townl. ceteri τρωὰς. τροιάς Vrat. d. ΤΡΩΑϹ bis Syr. μὴ δὲ ACDGHL Lips. Ven. B.

A. c. 42 ἔδονται: ἀρίςταρχος ἔδοιεν Didymus. τάχα κεν omnibus fere locis cum optativo iungitur, conf. Α 205. Β 373. Δ 290. Η 158. Λ 654. Π 71. 723. β 76. μ 387. ο 536. ρ 164. τ 310. φ 374. χ 78. 134. excipiuntur Ν 676. Π 617. Ψ 606. ψ 23, ubi indicativo aoristi est adpositum. — 45 τηλεδαπάων: τινὲς θηλυτεράων Schol. V, conf. ad Φ 454. — 48 οὕτως ἀρίςταρχος διὰ τοῦ τ̄, ἄλλοι δὲ οὕς μοι Didymus. — 51 γέρων: αἱ ἀπὸ τῶν πολέων παιδὶ φίλῳ Didymus. Aristarchus ὀνομάκλυτος, ὑφ' ἕν.

Πηλείδῃ, αὐτὸς δὲ φίλης αἰῶνος ἀμερθῇς.
πρὸς δ' ἐμὲ τὸν δύςτηνον ἔτι φρονέοντ' ἐλέηςον,
δύςμορον, ὅν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ
αἴςῃ ἐν ἀργαλέῃ φθίςει κακὰ πόλλ' ἐπιδόντα,
υἷάς τ' ὀλλυμένους ἑλκηθείςας τε θύγατρας,
καὶ θαλάμους κεραϊζομένους, καὶ νήπια τέκνα
βαλλόμενα προτὶ γαίῃ ἐν αἰνῇ δηιοτῆτι,
ἑλκομένας τε νυοὺς ὀλοῇς ὑπὸ χερςὶν Ἀχαιῶν.
αὐτὸν δ' ἂν πύματόν με κύνες πρώτῃςι θύρῃςιν
ὠμηςταὶ ἐρύουςιν, ἐπεί κέ τις ὀξέι χαλκῷ
τύψας ἠὲ βαλὼν ῥεθέων ἐκ θυμὸν ἕληται,
οὓς τρέφον ἐν μεγάροιςι τραπεζῆας θυραωρούς,
οἵ κ' ἐμὸν αἷμα πιόντες, ἀλύςςοντες περὶ θυμῷ,
κείςοντ' ἐν προθύροιςι. νέῳ δέ τε πάντ' ἐπέοικεν,
ἀρηικταμένῳ, δεδαϊγμένῳ ὀξέι χαλκῷ
κεῖςθαι· πάντα δὲ καλὰ θανόντί περ, ὅττι φανήῃ·

V. L. 59 δ' ἐμὲ ADH Syr. Bachm. Anecd. II, 425, 24. Draco de Metr. 140, 11. „sicque legunt optimus quisque" Heyne. δέ με ἢ δ' ἐμὲ Eust 1255, 60. δέ με CGLS Lips. Bachm. Anecd. II, 183, 24. Plutarchus Cons. ad Apoll. 24. φρονέων L Lips. Paris A. C. in marg. ἐλέηςον ADEGH Harl. Townl. Vrat. A. Mosc. 2. sex Paris. Plutarchus l. l. ἐλέαιρε CLS Lips. et olim vulgo. Bachm. Anecd. II, 183, 24; 425, 25. — 60 ὃν ῥὰ G. — 61 νούςῳ ἐν Pseudoplut. 119, 6. δύῃ ἐν Stobaeus Flor. 104, 1. ἐναργαλέῃ H. — 61 ἐπ' ιδόντα A. — 62 ἑλκϋθείςάς τε C. ἑλκυθεῖςαι Vrat. A. ἑλκυθείςας H Rom. ἑλκηςθείςας Cant. Mosc. 2. ἑλκυςθείςας Flor. — 64 βαλλώμενα H. ποτὶ GHS Flor. ποτι D. προτὶ ἄςτυ Stobaeus l. l. — 65 ὑπο AGH. — 66 αὐτὸν τ' (sic) D. πύματόν τε Townl. — 67 ἐρύςουςιν L. ἐρύςουςι Lips. Vrat. A. Paris. B. C. ἐρύςωςιν Plutarchus Consol. ad Apoll. 24. ἐπεὶ εἴ κε τις D. ἐπεί με τις Barocc. — 69 ἐνι D. ΘΥΡΑΩΡΟΥϹ Syr. πυλαωρούς ACDEGHLS. τὸ δὲ πυλαωροὺς θυραωροὺς οἱ πλείονες γράφουςι Eust. 1257, 36. — 70, 71 omitt. D in textu, adscripsit margini man. 3. — 70 πίνοντες ἢ πιόντες E. περι A. — 71 κείςονται H. προθύρῃςι S. — 72 ἄρηϊ κταμένῳ ACGLS. ἀρηικταμένων D. ἀρϊηκταμένῳ H. ἄρηϊ κταμένῳ ἢ ςυνθέτως ἀρηικταμένῳ E. ἄρει κτεινομένῳ Barocc. ceteri ἀρηϊκταμένῳ. — 73 φανήηι A. φανήῃ D Lips. Vrat. d. Mosc. 2. Paris. A. φανή^{ει}η Paris. L. φανήῃ Townl. Ven. B. φανήη H. φανείῃ CE bis GLS. in Syr. excidit verbum.

A. c. 59 ἐμὲ: οὕτως ὀρθοτονητέον Schol. A. τινὲς ἔτι ζώοντ' ἐλέηςον Schol. V. — 67 ὠμηςταὶ Aristarchus et Herodianus: ὠμῆςται Tyrannio. ἐρύουςιν Aristarchus: Alexio ἐρυοῦςιν, conf. ad Λ 454. — 69 ἀρίςταρχος θυραωρούς, θυροφύλακας Didymus, idem Herodianus teste Schol. B. — 72 ἄρηϊ κταμένῳ Herodianus ad Φ 301, conf. Φ 112 ὀππότε τις καὶ ἐμεῖο ἄρῃ ἐκ θυμὸν ἕληται· quod quamquam ex duabus integris dictionibus constat, tamen sub uno accentu protulimus, ut ἀρηίφιλος, ἀρηίθοος, ἀρηίφατος. — 73 οὕτως ἀρίςταρχος φανήῃ διὰ τῶν δύο η̄ Didymus.

ἀλλ' ὅτε δὴ πολιόν τε κάρη πολιόν τε γένειον,
αἰδῶ τ' αἰϲχύνωϲι κύνεϲ κταμένοιο γέροντοϲ,
τοῦτο δὴ οἴκτιϲτον πέλεται δειλοῖϲι βροτοῖϲιν.
ἦ ῥ' ὁ γέρων, πολιὰϲ δ' ἄρ' ἀνὰ τρίχαϲ ἕλκετο χερϲὶ
τίλλων ἐκ κεφαλῆϲ· οὐδ' Ἕκτορι θυμὸν ἔπειθε.
μήτηρ δ' αὖθ' ἑτέρωθεν ὀδύρετο δάκρυ χέουϲα,
κόλπον ἀνιεμένη, ἑτέρηφι δὲ μαζὸν ἀνέϲχε·
καί μιν δάκρυ χέουϲ' ἔπεα πτερόεντα προϲηύδα·
Ἕκτορ, τέκνον ἐμόν, τάδε τ' αἴδεο καί μ' ἐλέηϲον
αὐτήν, εἴ ποτέ τοι λαθικηδέα μαζὸν ἐπέϲχον.
τῶν μνῆϲαι φίλε τέκνον, ἄμυνε δὲ δήιον ἄνδρα
τείχεοϲ ἐντὸϲ ἐών, μὴ δὲ πρόμοϲ ἵϲταϲο τούτῳ.
ϲχέτλιοϲ· εἴ περ γάρ ϲε κατακτάνῃ, οὔ ϲ' ἔτ' ἐγώ γε
κλαύϲομαι ἐν λεχέεϲϲι φίλον θάλοϲ, ὃν τέκον αὐτή,
οὐδ' ἄλοχοϲ πολύδωροϲ· ἄνευθε δέ ϲε μέγα νῶιν
Ἀργείων παρὰ νηυϲὶ κύνεϲ ταχέεϲ κατέδονται.
ὣϲ τώ γε κλαίοντε προϲαυδήτην φίλον υἱόν,
πολλὰ λιϲϲομένω· οὐδ' Ἕκτορι θυμὸν ἔπειθον,
ἀλλ' ὅ γε μίμν' Ἀχιλῆα πελώριον ἆϲϲον ἰόντα.
ὡϲ δὲ δράκων ἐπὶ χειῇ ὀρέϲτεροϲ ἄνδρα μένῃϲι,
βεβρωκὼϲ κακὰ φάρμακ', ἔδυ δέ τέ μιν χόλοϲ αἰνόϲ·

V. L. 75 αἰδῷ G. αἰϲχύνουϲι CS Cant. Vrat. A. Ven. B. Paris. D. κύνεϲ: παῖδεϲ C. — 76 οἴκτιϲτον G. — 77 ἄρ AGL. δὰρ D. ἄρ' omitt. CEH. Vrat. A. ἀνα AD. χερϲὶ AEGL Syr. χειρὶ Par. B. — 78 ἔπειθε ACEGHL Syr. — 79 δακρυχέουϲα A. ceteri δακρυχέουϲα. δάκρυα λείβων Paris. G. — 80 ἀνίεμένη A. ἑτέρηφι CDEH Apoll. Soph. 34, 33. Schol. β 300. ΕΤΕΡΗΙΦΙ Syr. ἀνέϲχε ACDEGL Syr. Schol. β 300. — 81 δακρυχέουϲ' A. ceteri δακρυχέουϲ'. — 82 τάδ' αἴδεο C. τάδέ τ' L. — 83 εἴ ποτέ τι L. λαθικηδέα A. — 83 ἐπέϲχον: οὕτω γὰρ δεῖ γράφειν, οὐ μὴν ἀνέϲχον, ὥϲ τινα τῶν ἀντιγράφων βούλονται Eust. 1258, 61. — 84 φίλον τέκνον G Lips. Rom. Vrat. A. Paris. A. B. C. E. — 85 ἐὼν AC Ven. B. Barocc. Mor. Harl. ἰὼν DEGHLS Syr. Lips. edd. vett. μὴ δὲ ACDE bis GHL Lips. Vrat. A. Flor. Rom. — 86 γὰρ omitt. Syr. κατακτείνῃ CE. κατακτενεῖ Harl. κατακτάνοι Paris. H. ϲέ τ' EGL Syr. οὔ ϲε τ' D Lips. οὔτε ϲ' Paris. C. οὔ ϲ' ἔτ' ACH Vrat. A. libri ἔγωγε. — 87 φίλον τέκοϲ A Townl. Paris. G. I. γρ. φίλον θάλοϲ A. — 88 νῶϊ C. — 90 ὡϲ AD 1. man. τόγε A. προϲηυδήτην Paris. B. male. — 91 λιϲϲομένῳ G. — 92 ἀχιλλῆα E. ἄϲϲον AD. — 93 μένῃϲι ACDEGHL Syr. — 94 δέ τε μιν ACDL. δέ omitt. H.

A. c. 83 οὕτωϲ διὰ τοῦ τ̄ εἴ ποτέ τοι Didymus. — 85 ἐών: οὕτωϲ ἀρίϲταρχοϲ, ἄλλοι δὲ ἰών Didymus. — 93 ἔν τιϲι τῶν ἀπὸ τῶν πόλεων ὀρέϲτερον ἄνδρα δοκεύοι (alt. Schol. δοκεύῃ) Didymus.

ϲμερδαλέον δὲ δέδορκεν ἑλιϲϲόμενοϲ περὶ χειῇ·
ὣϲ Ἕκτωρ ἄϲβεϲτον ἔχων μένοϲ οὐχ ὑπεχώρει,
πύργῳ ἔπι προὔχοντι φαεινὴν ἀϲπίδ' ἐρείϲαϲ.
ὀχθήϲαϲ δ' ἄρα εἶπε πρὸϲ ὃν μεγαλήτορα θυμόν·
ὤ μοι ἐγών, εἰ μέν κε πύλαϲ καὶ τείχεα δύω,
Πουλυδάμαϲ μοι πρῶτοϲ ἐλεγχείην ἀναθήϲει,
ὅϲ μ' ἐκέλευε Τρωϲὶ ποτὶ πτόλιν ἡγήϲαϲθαι
νύχθ' ὕπο τῆνδ' ὀλοήν, ὅτε τ' ὤρετο δῖοϲ Ἀχιλλεύϲ.
ἀλλ' ἐγὼ οὐ πιθόμην· ἦ τ' ἂν πολὺ κέρδιον ἦεν.
νῦν δ' ἐπεὶ ὤλεϲα λαὸν ἀταϲθαλίῃϲιν ἐμῇϲιν,
αἰδέομαι Τρῶαϲ καὶ Τρῳάδαϲ ἑλκεϲιπέπλουϲ,
μή ποτέ τιϲ εἴπῃϲι κακώτεροϲ ἄλλοϲ ἐμεῖο·
Ἕκτωρ ἧφι βίηφι πιθήϲαϲ ὤλεϲε λαόν.
ὣϲ ἐρέουϲιν· ἐμοὶ δὲ τότ' ἂν πολὺ κέρδιον εἴη
ἄντην ἢ Ἀχιλῆα κατακτείναντα νέεϲθαι,
ἠέ κεν αὐτῷ ὀλέϲθαι ἐυκλειῶϲ πρὸ πόληοϲ.
εἰ δέ κεν ἀϲπίδα μὲν καταθείομαι ὀμφαλόεϲϲαν
καὶ κόρυθα βριαρήν, δόρυ δὲ πρὸϲ τεῖχοϲ ἐρείϲαϲ
αὐτὸϲ ἰὼν Ἀχιλῆοϲ ἀμύμονοϲ ἀντίοϲ ἔλθω,

V. L. 95 ϹΜΕΡΔΑΛΕΟϹ Syr. ἐλιϲϲόμενοϲ CDL. — 96 ΟΥΧ' Syr. οὐχ' Eust. 176, 29. — 97 ἐπι D. ἐπὶ CE bis GHL. — 98 προϲ A. προϲὸν D. — 99 ὤιμοι AD. ᾤμοι E. τΰχεα H. — 100 πολυδάμαϲ E. μοι omitt. C. πρῶτοϲ ἢ πρῶτον E. μοι ἔπειτα Et. Gud. 159, 1. μέν μοι ἔπειτ' Cram. Ep. 143, 7. ἀναθήϲει Eust. 1260, 45 cum libris. καταχεύει Eust. 1260, 50. καταχεύει ἢ ἀναθήϲει 1260, 26. — 101 τρῳϲὶ L. τρωϲὶν D. ποτι AD Syr. προτὶ L Lips. ἡγήϲεϲθαι E. — 102 ὑπὸ ACDE bis GHL Syr. τῆνδ' A, ceteri τήνδ'. D τὴν. νύχθ' ὑπὸ λυγαίην (= ϲκοτεινήν) Et. Mg. 571, 22 diserte. ἀχϊλεύϲ C. — 103 πειθόμην D. πολυκέρδιον CDG. — 104 ἀμῇϲιν G. — 105 τρῷαϲ L. τρωιαδαϲ A Vrat. A. τρωϊάδαϲ CDGHL Lips. Vrat. b. d. Paris. C. Flor. τρωάδαϲ E bis Syr. Cicero ad Atticum II, 5, 1. conf. ad Z 442. ἑλκεϲιπέπλουϲ AL. — 106 κακότεροϲ C. ἐμοῖο Barocc. — 107 ἧφι G. ἧι D. ἧφι βίηφι CEH Syr. Et. Gud. 411, 13. Cram. Epim. 293, 19. ἶφι βίηφι Apoll. Soph. 87, 8. — 108 πολυκέρδιον CDG. — 109 κατακτείναντι E Harl. Mosc. 2. Rom. — 110 αὐτῷ ACDEGH Syr. Ven. B. αὐτὸν L Lips. Harl. Vrat. A. Mosc. 2. εὐκλειῶϲ H. προ AD Syr. — 111 μὲν omitt. GL Lips. Flor. καταθείωμαι G Flor. ὀμφαλόεϲϲαν: ΟΠΛΆΤΕ ΠΑΝΤΑ Syr. — 112 ἐρύϲαϲ L Lips. — 113 ἀντίοϲ: ἀντίον C Ven. B. Vrat. A. Paris. B. F.

A. c. 108 κέρδιον: αἱ κατὰ ἄνδρα πολὺ κάλλιον Didymus. — 109 διχῶϲ καὶ κατακτείναντι Didymus. — 110 αὐτῷ Aristarchus, conf. Ariston. ὅτι ὁ κὲν περιϲϲόϲ. καὶ ὅτι ἀμφίβολον πότερον ἐμοὶ αὐτῷ ὀλέϲθαι, ἢ καθ' Ὁμηρικὴν ϲυνήθειαν ἀντὶ τοῦ ὑπ' αὐτοῦ ὀλέϲθαι.

καί οἱ ὑπόϲχωμαι Ἑλένην καὶ κτήμαθ' ἅμ' αὐτῇ,
πάντα μάλ' ὅϲϲά τ' Ἀλέξανδροϲ κοίληϲ ἐνὶ νηυϲὶν
ἠγάγετο Τροίην δ', ἥ τ' ἔπλετο νείκεοϲ ἀρχή,
δωϲέμεν Ἀτρείδηϲιν ἄγειν, ἅμα δ' ἀμφὶϲ Ἀχαιοῖϲ
ἄλλ' ἀποδάϲϲεϲθαι, ὅϲα τε πτόλιϲ ἥδε κέκευθε·
Τρωϲὶν δ' αὖ μετόπιϲθε γερούϲιον ὅρκον ἕλωμαι
μή τι κατακρύψειν, ἀλλ' ἄνδιχα πάντα δάϲαϲθαι·
[κτῆϲιν ὅϲην πτολίεθρον ἐπήρατον ἐντὸϲ ἐέργει·]
ἀλλὰ τί ἤ μοι ταῦτα φίλοϲ διελέξατο θυμόϲ;
μή μιν ἐγὼ μὲν ἵκωμαι ἰών, ὁ δέ μ' οὐκ ἐλεήϲει
οὐδέ τί μ' αἰδέϲεται, κτενέει δέ με γυμνὸν ἐόντα
αὔτωϲ ὥϲ τε γυναῖκα, ἐπεί κ' ἀπὸ τεύχεα δύω.
οὐ μέν πωϲ νῦν ἔϲτιν ἀπὸ δρυὸϲ οὐδ' ἀπὸ πέτρηϲ
τῷ ὀαριζέμεναι, ἅ τε παρθένοϲ ἠίθεόϲ τε,
παρθένοϲ ἠίθεόϲ τ' ὀαρίζετον ἀλλήλοιιν.
βέλτερον αὖτ' ἔριδι ξυνελαυνέμεν ὅττι τάχιϲτα·
εἴδομεν, ὁπποτέρῳ κεν Ὀλύμπιοϲ εὖχοϲ ὀρέξῃ.
ὣϲ ὥρμαινε μένων, ὁ δέ οἱ ϲχεδὸν ἦλθεν Ἀχιλλεὺϲ
ἶϲοϲ Ἐνυαλίῳ, κορυθάικι πτολεμιϲτῇ,
ϲείων Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον
δεινήν· ἀμφὶ δὲ χαλκὸϲ ἐλάμπετο εἴκελοϲ αὐγῇ

V. L. 115 ὅϲϲά τ' ACG. ὅϲϲ' L Lips. ἐπὶ [ν] A. ἐπὶ D. — 116 τροίην δ': τροίην L Lips., quod placet. — 117 ἅμα τ' DEHS Ven. B. Lips. [τ'] ἅμα δ' L. — 118 ἀποδάϲϲαϲθαι ADGS Harl Flor. ἀποδάϲαϲθαι HL Lips. Vrat. A. ἀποδάϲεϲθαι E. ἀποδάϲϲεϲθαι C Ven. B. ὅϲϲα πτόλιϲ AELS Ven. B. Lips. Townl. Leid. ὅϲά τε DH. τε omitt. C. γρ. ὅϲα τε πτόλιϲ A, ita Vrat. b. d. A. κέκευθε ACDGH. — 119 τρωϲὶν L. τρωϲὶ CEH. ἕλωμαι: γρ. ὀμοῦμαι A. — 121 omitt. ADH: habent CEGL Lips. Ven. B. Vrat. b. ἔεργε Vrat. b. — 122 τί ἡ A: ceteri τίη. — 123 ἐγώ μιν D. μὲν omitt. L Lips. ὁ δέ G. — 124 οὐδέ τι μ' ACDEGL. αἰδήϲεται G. κτανέει Apoll. Soph. 15, 5. — 125 αὔτωϲ EG Ven. B. 2. man. Schol. K 167. α 1. ἄπο ACDHL. — 126 ἐϲτὶν L Et. Mg. 123, 22. ἐϲτιν CDGH. ἀποδρυὸϲ G. ἀποπέτρηϲ A. — 128 ἀλλήλοιϊν AG Harl. Vrat. A. Leid. Paris H. ἀλλήλοιϲιν EHLS Rhet. Gr. III, 243, 5. ἀλλήλοιϲι CD Ven. B Lips. — 129 ὅττι τάχιϲτα: ἐν ἄλλῳ ὄφρα τάχιϲτα A. — 130 ὀρέξοι L Lips. Paris. A. C. E. H. ὀρέξει E 1260, 60. 1261, 8. Harl. — 131 ὡϲ A. ὃ L. ἀχϊλεύϲ C. — 132 εἶϲοϲ H. κορυθάϊκι A. πολεμιϲτῆι C Flor. — 133 κατα A. — 134 ἀμφι D. ἴκελοϲ E Vrat. A. Rom. Flor. Rhet. Gr. III, 225, 13. [ϊ] εἴκελοϲ C. ἴκελοϲ G.

A. c. 118 ἀρίϲταρχοϲ ἀλλ' ἀποδάϲϲεϲθαι διὰ τοῦ ε̄ Didymus — 122 οὕτω χωρὶϲ τοῦ δ̄ ἀλλα τιη μοι Didymus. — 123 ἵκωμαι: τινὲϲ ὡϲ φιλῶμαι ἀναγινώϲκουϲιν Herodianus.

ἢ πυρὸϲ αἰθομένου ἢ ἠελίου ἀνιόντοϲ.
Ἕκτορα δ', ὡϲ ἐνόηϲεν, ἕλε τρόμοϲ· οὐδ' ἄρ' ἔτ' ἔτλη
αὖθι μένειν, ὀπίϲω δὲ πύλαϲ λίπε, βῆ δὲ φοβηθείϲ.
Πηλείδηϲ δ' ἐπόρουϲε ποϲὶ κραιπνοῖϲι πεποιθώϲ.
ἠύτε κίρκοϲ ὄρεϲφιν, ἐλαφρότατοϲ πετεηνῶν,
ῥηιδίωϲ οἴμηϲε μετὰ τρήρωνα πέλειαν·
ἡ δέ θ' ὕπαιθα φοβεῖται, ὁ δ' ἐγγύθεν ὀξὺ λεληκὼϲ
ταρφέ' ἐπαΐϲϲει, ἑλέειν τέ ἑ θυμὸϲ ἀνώγει·
ὣϲ ἄρ' ὅ γ' ἐμμεμαὼϲ ἰθὺϲ πέτετο, τρέϲε δ' Ἕκτωρ
τεῖχοϲ ὕπο Τρώων, λαιψηρὰ δὲ γούνατ' ἐνώμα.
οἱ δὲ παρὰ ϲκοπιὴν καὶ ἐρινεὸν ἠνεμόεντα
τείχεοϲ αἰὲν ὑπ' ἐκ κατ' ἀμαξιτὸν ἐϲϲεύοντο,
κρουνὼ δ' ἵκανον καλλιρρόω· ἔνθα δὲ πηγαὶ
δοιαὶ ἀναΐϲϲουϲι Cκαμάνδρου δινήεντοϲ.
ἡ μὲν γάρ θ' ὕδατι λιαρῷ ῥέει, ἀμφὶ δὲ καπνὸϲ
γίγνεται ἐξ αὐτῆϲ ὡϲ εἰ πυρὸϲ αἰθομένοιο·
ἡ δ' ἑτέρη θέρεϊ προρέει εἰκυῖα χαλάζῃ,
ἢ χιόνι ψυχρῇ, ἢ ἐξ ὕδατοϲ κρυϲτάλλῳ.
ἔνθα δ' ἐπ' αὐτάων πλυνοὶ εὐρέεϲ ἐγγὺϲ ἔαϲι,
καλοὶ λαΐνεοι, ὅθι εἵματα ϲιγαλόεντα
πλύνεϲκον Τρώων ἄλοχοι καλαί τε θύγατρεϲ
τὸ πρὶν ἐπ' εἰρήνηϲ, πρὶν ἐλθεῖν υἷαϲ Ἀχαιῶν.
τῇ ῥα παραδραμέτην, φεύγων, ὁ δ' ὄπιϲθε διώκων·

V. L. 135 αἰθομένου ACDEGHS Cant. Harl. Vrat. b. d. A. Mosc. 2. Ven. B. novem Paris.: αἰθομένοιο L Lips. — 136 ἂρ DEGHL. ἔτ' omitt. C Vrat. A. οὐδ' ἄρα γ' ἔτλη Pseudoplut. 136, 28. — 137 μένων L. ὀπίϲϲω L Lips. — 139 πετεηνῶν G. πετεεινῶν S Cant. — 140 ῥηδίωϲ G. ἤμϊϲε C. — 141 ὁ δ' D. ὅδ' ACGHL. ὀξὺ κεκληγώϲ Paris. F. — 143 ὡϲ AD 1. man. ἂρ ADGHL. ὅγε μεμαὼϲ S. οἵ γ' ἐμμεμαὼϲ D. πέτατο Paris. J. L. τρέπετο Par. C. τρέϲε: τρέε Mor. — 144 τεῖχοϲ DEGHLS Lips. τείχει C Ven. B. Paris. F. τεῖχοϲ [ει] A. τείχη Mor. Barocc. τείχεοϲ Vrat. b. ὑπὸ ACDE bis GHL. τρῴων L. λαιθηρὰ GH. — 145 οἳ δὲ C. παρα A. [ϲϲαν] ἠνεμόεντα A. — 146 ἄϲτεοϲ Schol. O 4. ὑπ' ἐκ EHL Lexicon περὶ πνευμάτων ed. Valck. pg. 211. ὑπὲκ' A. ὕπεκ C. ὑπεκ D. ὑπὲκ G Schol. O 4. ὑπὲρ G Flor. καταμαξιτὸν L. — 147 κρουῷ . . . . καλιρρόῳ G Townl. Paris. H. ἔνθα δὲ ADEGLS Porphyrius. ἐνθάδε CH. ἔνθα τε nullus. — 148 δοιαὶ ἀΐϲϲουϲι E. καμάνδρου L Harl. — 149 ἢ μὲν C. χλιαρῷ L Lips. Paris. A. H. ἀμφι AD. — 150 γίγνεται L Athenaeus II, 41. γίνεται ACDEGH. ὡϲει DG. ceteri ὡϲεὶ. — 151 ἣ Apoll. Soph. 82, 3. προῤέει G. — 153 ἔαϲι ACDEG. — 154 εἵματα D (acc. et spir. add. 2. man.). — 155 τρῴων L. — 156 τοπρὶν L. — 157 ῥὰ H. παραδραμέτην libri. ὁ δ' DL. ὅδ' CH.

πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ' ἀμείνων
καρπαλίμως, ἐπεὶ οὐχ ἱερήιον οὐδὲ βοείην
ἀρνύσθην, ἅ τε ποσσὶν ἀέθλια γίγνεται ἀνδρῶν,
ἀλλὰ περὶ ψυχῆς θέον Ἕκτορος ἱπποδάμοιο.
ὡς δ' ὅτ' ἀεθλοφόροι περὶ τέρματα μώνυχες ἵπποι
ῥίμφα μάλα τρωχῶσι· τὸ δὲ μέγα κεῖται ἄεθλον,
ἢ τρίπος ἠὲ γυνή, ἀνδρὸς κατατεθνηῶτος·
ὣς τὼ τρὶς Πριάμοιο πόλιν πέρι δινηθήτην
καρπαλίμοισι πόδεσσι· θεοὶ δ' ἐς πάντες ὁρῶντο.
τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
ὢ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος
ὀφθαλμοῖσιν ὁρῶμαι· ἐμὸν δ' ὀλοφύρεται ἦτορ
Ἕκτορος, ὅς μοι πολλὰ βοῶν ἐπὶ μηρί' ἔκηεν
Ἴδης ἐν κορυφῇσι πολυπτύχου, ἄλλοτε δ' αὖτε
ἐν πόλει ἀκροτάτῃ· νῦν αὖτέ ἑ δῖος Ἀχιλλεὺς
ἄστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκει.
ἀλλ' ἄγετε φράζεσθε θεοὶ καὶ μητιάασθε,
ἠέ μιν ἐκ θανάτοιο σαώσομεν, ἦέ μιν ἤδη
Πηλείδῃ Ἀχιλῆι δαμάσσομεν ἐσθλὸν ἐόντα.
τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·

V. L. 158 δίωκε[ν] δὲ μέγ' L. — 159 οὐχ' E Flor. Rom. ἱρήϊον Vrat. b. ἱερήτιον L. — 160 ἅ, τε A. ὅτε D. ποσὶν Vrat. A. Flor. Rom. γίγνεται L: γίνεται ACDEGH. — 162 ὡς δέ τ' Schol. X 190. ἀεθλοφόροι H. ἀεθλοφόρϊ G. περι AD. τέρμασϊ C (Medic. apud Heynium, quem librum eundem esse puto). — 163 τὸ δὴ κεῖται μέγ' ἄεθλον L Lips. (τὸ δὲ). — 164 τρίπους H Schol. ρ 222. κατατεθνηῶτος HS Cant. Barocc. Mor. Harl. Lips. Vrat. b. d. Mosc. 2. Paris. A. C. G. J. κατατεθνηῶτος L. κατατεθνει[η]ῶτος A. κατατεθνειῶτος CDEG. — 165 τῷ G. τρεῖς L Lips. Tzetzes Alleg. 32. πέρι Cant. Mor. Harl. Vrat. b. περὶ A. περιδινηθήτην CDEGHL Lips. Ven. B. Tzetzes Alleg. 32. — 166 δ' ἓς A. δ' ἐς S Vrat. b. A. Par. C. G. K. δέ ἑ Vrat. d. δὲ (omisso τε) DHL. δέ τε CG Ven. B. — 168 ὢ πόποι ADG. περὶ τεῖχος: περὶ ἄστυ Plato Rep. III, 388 C. — 170 ἐπι D. — 171 ἴδης ἐν κνημοῖσι D. κορυφοῖσι L. — 172 ἑ omitt. A. ἀχϊλεὺς C. — 173 περὶ ACDGHL. ποσσὶν D. ποσὶ Vrat. A. Flor. διώκειν L. — 174 ἀλλ' ἄγε D. — 175 ἢ ἔμιν A. — 176 δαμάσομεν D. — 177 προσέειπεν D.

A. c. 158 ἐν ἐνίοις δὲ φέρεται στίχος ὑπὸ τοῦτον εὐτελὴς „φεῦγ' υἱὸς Πριάμοιο, δίωκε δὲ δῖος Ἀχιλλεύς“ Aristonicus. — 166 δέ τε pro genuina lectione non habeo, quia τε in libris melioribus omittitur; itaque recepi ex optimo codice δ' ἐς, quod sententia postulat; nam simplex ὁρᾶν est videre, ἐσορᾶν spectare. conf. Δ 4. 9. Ω 23. θ 341.

ὢ πάτερ ἀργικέραυνε, κελαινεφές, οἷον ἔειπες·
ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσῃ,
ἂψ ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι;
ἔρδ'· ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.
τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
θάρσει τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῷ
πρόφρονι μυθέομαι· ἐθέλω δέ τοι ἤπιος εἶναι·
ἔρξον, ὅπῃ δή τοι νόος ἔπλετο, μὴ δέ τ' ἐρώει.
ὣς εἰπὼν ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην·
βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀίξασα.
Ἕκτορα δ' ἀσπερχὲς κλονέων ἔφεπ' ὠκὺς Ἀχιλλεύς.
ὡς δ' ὅτε νεβρὸν ὄρεσφι κύων ἐλάφοιο δίηται,
ὄρσας ἐξ εὐνῆς, διά τ' ἄγκεα καὶ διὰ βήσσας·
τὸν δ' εἴ πέρ τε λάθῃσι καταπτήξας ὑπὸ θάμνῳ,
ἀλλά τ' ἀνιχνεύων θέει ἔμπεδον, ὄφρά κεν εὕρῃ·
ὣς Ἕκτωρ οὐ λῆθε ποδώκεα Πηλεΐωνα.
ὁσσάκι δ' ὁρμήσειε πυλάων Δαρδανιάων
ἀντίον ἀίξασθαι ἐυδμήτους ὑπὸ πύργους,
εἴ πως οἱ καθύπερθεν ἀλάλκοιεν βελέεσσι,
τοσσάκι μιν προπάροιθεν ἀποστρέψασκε παραφθὰς
πρὸς πεδίον· αὐτὸς δὲ ποτὶ πτόλιος πέτετ' αἰεί.

V. L. 178 ἔειπας D. — 180 ἐξαλῦσαι H. — 181 ἀτ' ἄρ L. „οὔτι multi pro οὔτοι“ Heyne. libri mei οὔτοι. — 182 νεφεληγερέτα A. — 183 τριπτογένεια G. τριττογένεια Flor. Rom. οὐ νύ CDEH. νύ τοι GHL. — 184 ἤπϊος H. — 185 ἔρξον C. ὅπῃ AEH: ὅπη CDGL. μὴ δέ τ' ACDGHL Ven. B. — 186 ὡς A. ὤτρυνεν D. ὄτρυνε Vrat. d. — 187 δε κατουλύμποιο A. ὀλύμποιο H. — 188 ἀχϊλεύς C. — 188 ἔφεπ' — 189 κύων omitt. H in textu — 190 ὄρσας' G. διαβήσσας D. — 191 εἴ πέρ τε ACDE. εἰ πέρ τε G Syr. ὑπο AH Syr. — 192 ἐξϊχνεύων H. ὄφρά κεν CDE. εὕροι L Lips. Vrat. b. Paris. A. — 193 ὡς A. — 194 ὁσσάκις ὁρμήσειε E. ὁρμήσαιτο L Lips. Paris. A. — 195 ἀντίος H Vrat. d. ἀΐξεσθαι D. εὐδμήτους H. ὑπὸ AD Syr. Mor. Harl. Vrat. d. A. Paris. G. H. J. ὑπο H: ἐπὶ CEGLS Lips. — 196 εἴ πως οἳ G: εἴ πως οἱ CDL. vulgo εἴ πώς οἱ. βελέεσσι ACDG Syr. — 197 ἀποτρέψασκε H Syr. παραστὰς GL Lips. Paris. A. C. L. ΠΑΡΑΦΘΙC Syr. — 198 πεδίον γ' G: ceteri πεδίον cum Lips. Vrat. A. Flor. Rom. ποτι A. προτι D. ΠΕΤΑΤ Syr.

A. c. 183, 184 asterisci: οὐκ ὀρθῶς Θ 39, 40. ὁ νοῦς ἀσαφής, ὅντινα ἀγνοήσαντες ἠθέτησαν τὰ ἔπη Porphyrius. — 196 εἴ πως οἳ, conf. H. U. 144. — 197 ἀποστρέψασκε: καὶ παραστρέψασκε διχῶς Schol. A. — 198 οὕτως διὰ τοῦ ε̄ πέτετο Didymus.

ὡς δ' ἐν ὀνείρῳ οὐ δύναται φεύγοντα διώκειν·
οὔτ' ἄρ' ὁ τὸν δύναται ὑποφεύγειν οὔθ' ὁ διώκειν·
ὣς ὁ τὸν οὐ δύνατο μάρψαι ποςίν, οὐδ' ὃς ἀλύξαι.
πῶς δέ κεν Ἕκτωρ κῆρας ὑπεξέφυγεν θανάτοιο,
εἰ μή οἱ πύματόν τε καὶ ὕςτατον ἤντετ' Ἀπόλλων
ἐγγύθεν, ὅς οἱ ἐπῶρςε μένος λαιψηρά τε γοῦνα;
λαοῖςιν δ' ἀνένευε καρήατι δῖος Ἀχιλλεύς,
οὐδ' ἔα ἱέμεναι ἐπὶ Ἕκτορι πικρὰ βέλεμνα,
μή τις κῦδος ἄροιτο βαλών, ὁ δὲ δεύτερος ἔλθοι.
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπὶ κρουνοὺς ἀφίκοντο,
καὶ τότε δὴ χρύςεια πατὴρ ἐτίταινε τάλαντα,
ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο,
τὴν μὲν Ἀχιλλῆος, τὴν δ' Ἕκτορος ἱπποδάμοιο,
ἕλκε δὲ μέςςα λαβών· ῥέπε δ' Ἕκτορος αἴςιμον ἦμαρ,
ᾤχετο δ' εἰς Ἀίδαο, λίπεν δέ ἑ Φοῖβος Ἀπόλλων.
Πηλείωνα δ' ἵκανε θεὰ γλαυκῶπις Ἀθήνη,
ἀγχοῦ δ' ἱςταμένη ἔπεα πτερόεντα προςηύδα·
νῦν δὴ νῶί γ' ἔολπα διίφιλε φαίδιμ' Ἀχιλλεῦ
οἴςεςθαι μέγα κῦδος Ἀχαιοῖςι προτὶ νῆας,
Ἕκτορα δῃώςαντε μάχης ἆτόν περ ἐόντα.

V. L. 200 ἄρ ACEGHL. οὔταρ D. ὃ ACDHL. ΤΟΝΟΥ ΔΥΝΑΤΑΙ Syr. οὔθ' ὃ ACDGHL. — 201 ὡς A. ὃ DGHL Lips. ῥα ACE Ven. B. Vrat. b. Paris. B. F. G. J. ΩCPA Syr. ἐν ἄλλῳ ὡς ὁ τὸν A. δύναται L. — 202 ὑπεξέφυγε E bis Vrat. A. Flor. Rom. ΥΠΕΞΈΦΕΡΕ Syr. — 203 μή οἱ Tzetzes Alleg. 86. — 204 ὥς οἱ Tzetzes Alleg. 87. — 205 λαοῖςιν CGH supra 2. man. Ven. B. λαοῖςι Flor. Rom. ἄλλοιςιν ADH 1. man. L Syr. Barocc. Harl. Mor. Vrat. d. Paris. A. G. J. Mosc. 2. pro var. lect. ἄλλοιςιν ἢ μάλιςτα λαοῖςι Eust. ἀνένευςε H Vrat. d. ἀχϊλεύς C. — 206 εἴα G. ἱέμεναι D. ϊέμεναι A. ἕμεναι E. — 207 ἄροιτο ἑλὼν S Cant. ἔλθῃ Vrat. b. — 209 omittit H in textu, habet in marg. man. rec. ἐτίτανε G. — 210 ἓν D. δὲ τίθει S Mosc. 2. Ven. B. ΔΕΤΙΘΕΙ Syr. τανηλεγέος A. — 211 ἀχϊλῆος CE. ἀνδροφόνοιο Maximus Tyr. Diss. X, 8. — 212 habet A in marg. ἕλκε omnes. δ' αἴςιμον ἕκτορος H Vrat. d. ῏ΗΜΑΡ' Syr. — 213 λίπεν δ' G. — 216 διῗ φίλε ACDEGHL Syr. ἀχϊλεῦ C. — 217 ἀχαιοῖςι προτὶ EGL Lips. Ven. B. προτι AD. ΑΧΑΙΟΪ́CΙΝ ΠΡΟΤῚ Syr. ἀχαιοῖςιν ποτὶ HS Cant. — 218 δηϊώςαντε CEG edd. vett. δηώςαντα L Lips. ἄτον C. ἄατον Barocc. Mor. Vrat. b.

A. c. 199—201 ἀθετοῦνται ςτίχοι τρεῖς Aristonicus. — 202 ὑπεξέφυγεν: ἀρίςταρχος ὑπεξέφερεν Didymus. — 212 μέςςα: Χρύςιππος ῥῦμα γράφει, τὴν γὰρ ῥοπὴν τοῦ ζυγοῦ ῥῦμα καλεῖςθαι Schol. V. — 216 νῶΐ γ': ὅτι Ζηνόδοτος γράφει νῶϊν Aristonicus.

οὔ οἱ νῦν ἔτι γ' ἔςτι πεφυγμένον ἄμμε γενέςθαι,
οὐδ' εἴ κεν μάλα πολλὰ πάθοι ἑκάεργος Ἀπόλλων
προπροκυλινδόμενος πατρὸς Διὸς αἰγιόχοιο.
ἀλλὰ cὺ μὲν νῦν cτῆθι καὶ ἄμπνυε, τόνδε δ' ἐγώ τοι
οἰχομένη πεπιθήςω ἐναντίβιον μαχέςαςθαι.
ὣς φάτ' Ἀθηναίη, ὁ δ' ἐπείθετο, χαῖρε δὲ θυμῷ,
cτῆ δ' ἄρ' ἐπὶ μελίης χαλκογλώχινος ἐρειςθείς.
ἡ δ' ἄρα τὸν μὲν ἔλειπε, κιχήςατο δ' Ἕκτορα δῖον
Δηιφόβῳ ἐικυῖα δέμας καὶ ἀτειρέα φωνήν·
ἀγχοῦ δ' ἱςταμένη ἔπεα πτερόεντα προςηύδα·
ἠθεῖ', ἦ μάλα δή ςε βιάζεται ὠκὺς Ἀχιλλεὺς
ἄςτυ πέρι Πριάμοιο ποςὶν ταχέεςςι διώκων·
ἀλλ' ἄγε δὴ cτέωμεν καὶ ἀλεξώμεςθα μένοντες.
τὴν δ' αὖτε προςέειπε μέγας κορυθαίολος Ἕκτωρ·
Δηΐφοβ', ἦ μέν μοι τὸ πάρος πολὺ φίλτατος ἦςθα
γνωτῶν, οὓς Ἑκάβη ἠδὲ Πρίαμος τέκε παῖδας·
νῦν δ' ἔτι καὶ μᾶλλον νοέω φρεςὶ τιμήςαςθαι,
ὃς ἔτλης ἐμεῦ εἵνεκ', ἐπεὶ ἴδες ὀφθαλμοῖςι,
τείχεος ἐξελθεῖν, ἄλλοι δ' ἔντοςθε μένουςι.
τὴν δ' αὖτε προςέειπε θεὰ γλαυκῶπις Ἀθήνη·

V. L. 219 οὔ οἱ: οὔ τοι H Vrat. d. ἐςτὶ ACDEGHL. ἄμμε EGH Syr. Ven. B. Townl. ἄμμι ACDLS Lips. Cant. Mor. Vrat. b. d. Paris. A. C. F. — 220 πάθοι CE 1267, 30 S Syr. Ven. B. πάθοι (ει supra) A. πάθῃ DHL Lips. Barocc. Mor. Vrat. d. Mosc. 2. Paris. A. B. C. F. — 221 προπροκυλινδόμενος A. προκυλινδόμενος S Lips. διὸς ἀντϊόχοιο H. 1. man. — 222 τονδέδ' C. τόνδετ' D Syr. τὸν δέ τ' Vrat. A. τόνδ' ἐγώ L. — 224 ὡς A. ὃ δ' G. ὅδ' CDH. δὲ, πείθετο L. δὲ πείθετο Lips. Paris. A. C. ΟΔΕ ΠΕΊΘΕΤΟ Syr. — 225 ἄρ ADEGHL. χαλκογλώχινος A. ἐριςθεὶς AG. — 226 ἥδ' CHL. ἔλιπε DHL. — 227 ΔΗῙΦΟΒΩΙΔ Syr. — 229 ἠθεῖος μάλα Et. Gud. 238, 20. ἤ D. βιάζετο L Lips. Cant. ἀχϊλεύς C. — 230 περὶ ACDHL. περι G. — 231 cτέωμεν ADEGH Syr. Schol. O 297. Et. Mg. 727, 28. cταίωμεν Vrat. A.: cτέομεν CL Lips. Ven. B. Harl. Mosc. 2. Vrat. b. Paris. A. B. C. F. H. conf. Λ 348. ἀλεξώμεθα EGH. — 232 τὸν δ' DS Vrat. A. κορυθαιόλος A. κορυθαιόλος DH Flor. Rom. — 233 τοπάρος L. πολυφίλτατος D Syr. — 235 νῦν δέ τι Ven. B. τιμήςεςθαι E Rom. — 236 ὅς: ὥς E Rom. ὡς C Townl. Ven. B. ὡς (o supra) H. εἶδες D. ὀφθαλμοῖςι ACDG. — 237 ἔντοςθί L. μένουςι ACDG Syr. — 238 προςέειπεν D.

A. c. 231 in eodem versu Λ 348 Zenodotum μένοντε scripsisse traditum est, conf. ad Λ 348. — 236 de productione syllabae ὅς in arsi primi pedis conf. quae ad I 5 adnotavimus.

ἠθεῖ', ἦ μὲν πολλὰ πατὴρ καὶ πότνια μήτηρ
λίςςονθ' ἑξείης γουνούμενοι, ἀμφὶ δ' ἑταῖροι,
αὖθι μένειν· τοῖον γὰρ ὑποτρομέουςιν ἅπαντες·
ἀλλ' ἐμὸς ἔνδοθι θυμὸς ἐτείρετο πένθεϊ λυγρῷ.
νῦν δ' ἰθὺς μεμαῶτε μαχώμεθα, μηδέ τι δούρων
ἔςτω φειδωλή, ἵνα εἴδομεν, ἤ κεν Ἀχιλλεὺς
νῶϊ κατακτείνας ἔναρα βροτόεντα φέρηται
νῆας ἔπι γλαφυράς, ἦ κεν cῷ δουρὶ δαμείη.
ὣς φαμένη καὶ κερδοςύνῃ ἡγήςατ' Ἀθήνη.
οἳ δ' ὅτε δὴ cχεδὸν ἦςαν ἐπ' ἀλλήλοιςιν ἰόντες,
τὸν πρότερος προςέειπε μέγας κορυθαίολος Ἕκτωρ·
οὔ c' ἔτι Πηλέος υἱὲ φοβήςομαι, ὡς τὸ πάρος περ
τρὶς περὶ ἄςτυ μέγα Πριάμου δίον, οὐδέ ποτ' ἔτλην
μεῖναι ἐπερχόμενον· νῦν αὖτέ με θυμὸς ἀνῆκε
cτήμεναι ἀντία ςεῖο· ἕλοιμί κεν, ἤ κεν ἁλοίην.
ἀλλ' ἄγε δεῦρο θεοὺς ἐπιδώμεθα· τοὶ γὰρ ἄριςτοι
μάρτυροι ἔςςονται καὶ ἐπίςκοποι ἁρμονιάων·
οὐ γὰρ ἐγώ c' ἔκπαγλον ἀεικιῶ, αἴ κεν ἐμοὶ Ζεὺς
δώῃ καμμονίην, cὴν δὲ ψυχὴν ἀφέλωμαι·
ἀλλ' ἐπεὶ ἄρ κέ ςε ςυλήςω κλυτὰ τεύχε' Ἀχιλλεῦ,

V. L. 240 λίcονθ' D. — 243 μαχόμεθα G. μὴ δέ τι G. ΜΗΔΕΤΙ Syr. μὴ δ' ἔτι CDE. ceteri μηδέ τι. „Codd. et edd. in μηδέ τι consentiunt" Heyne. — 244 εἴδωμεν D. * ἤ κεν: libri εἴ κεν. ἀχϊλεὺς C. — 246 ἐπὶ ACDGHL Syr. * ἤ κεν: libri ἤ κεν. C εἴ κεν. δαμείη CDGLS Syr. Ven. B. δαμείηι A. δαμείῃ H. δαμήῃ Lips. (?) — 247 ὡς A. κερδοcύνηι (c) A. — 248 οἳ δ' L. οἵδ' CH. — 249 προcέειπεν D. κορυθαιόλος A. κορυθαιόλος D Flor. Rom. — 250 πηλέως Cant. Barocc. τοπάρος L. — 251 πριάμοιο H. δῖον GH Lips. Vrat. A. — 252 νῦν δ' αὖτε Vrat. b. ἀνῆκε A. ἀνῆκε CEG Syr. — 253 cτῆναι Vrat. b. ἀλοίμην L Lips. ἀλοίμην (βω) Flor. — 254 ἐπιδωcόμεθ' οἳ γὰρ H. ἐπιδωcόμεθ' οἱ Vrat. d. τοιγὰρ G. — 255 ἔcονται CE Flor. Rom. — 256 ΕΚΠΑΓΚΛΟΝ Syr. ἀεικιῶι H. — 257 δώιηι A. δώηι D. δώῃ Cram. Epim. 430, 31. δώη CGL Lips. ΔΩΗΙ Syr. δώcει H Vrat. d. δῴη E bis. — 258 ἀχϊλεῦ C.

A. c. 246 δαμείη editum erat usque ad Wolfium, qui scripturam δαμήῃ intulit. hunc secuti sunt recentiores. sed nihil cogit a scriptura consensu librorum firmata recedere; nam optativus quoque in enuntiationibus interrogativis admittitur, sicut ο 300 ὁρμαίνων ἤ κεν θάνατον φύγοι ἦ κεν ἁλώῃ· C 307 ἀλλὰ μάλ' ἄντην cτήcομαι, ἤ κε φέρῃcι μέγα κράτοc, ἦ κε φεροίμην. vide H. U. 236. — 247 τινὲς πληθυντικῶς κερδοςύνῃς Schol. A. — 251 γρ. καὶ δίες, καὶ οὕτως εἶχον αἱ χαριέςτεραι Didymus. — 255 μάρτυροι: μάρτυρες Zenodotus, vide Β 302. Γ 280.

νεκρὸν Ἀχαιοῖςιν δώςω πάλιν· ὣς δὲ cὺ ῥέζειν.
τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προςέφη πόδας ὠκὺς Ἀχιλλεύς
Ἕκτορ, μή μοι, ἄλαςτε, ςυνημοςύνας ἀγόρευε.
ὡς οὐκ ἔςτι λέουςι καὶ ἀνδράςιν ὅρκια πιςτά,
οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουςιν,
ἀλλὰ κακὰ φρονέουςι διαμπερὲς ἀλλήλοιςιν,
ὣς οὐκ ἔςτ' ἐμὲ καὶ cὲ φιλήμεναι, οὔτέ τι νῶϊν
ὅρκια ἔςςονται, πρίν γ' ἢ ἕτερόν γε πεςόντα
αἵματος ἆςαι Ἄρηα, ταλαύρινον πολεμιςτήν.
παντοίης ἀρετῆς μιμνήςκεο· νῦν ςε μάλα χρὴ
αἰχμητήν τ' ἔμεναι καὶ θαρςαλέον πολεμιςτήν.
οὔ τοι ἔτ' ἔςθ' ὑπάλυξις, ἄφαρ δέ ςε Παλλὰς Ἀθήνη
ἔγχει ἐμῷ δαμάᾳ· νῦν δ' ἀθρόα πάντ' ἀποτίςεις
κήδε' ἐμῶν ἑτάρων, οὓς ἔκτανες ἔγχεϊ θύων.
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόςκιον ἔγχος.
καὶ τὸ μὲν ἄντα ἰδὼν ἠλεύατο φαίδιμος Ἕκτωρ·
ἕζετο γὰρ προϊδών, τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχος,
ἐν γαίῃ δ' ἐπάγη· ἀνὰ δ' ἥρπαςε Παλλὰς Ἀθήνη,

V. L. 259 ἀχαιοῖcι DE Flor. Rom. ὡς AC. ῥέξειν S Lips. Barocc. Mor. Vrat. b. A. Paris. A. B. C. D. L. ῥέξῃς Paris. F. ῥέζε Paris. H. — 260 ἄρ ACDGHL. ἀχϊλεύς C. — 261 ἔκτωρ Apoll. Soph. 147, 10. cυνήμοcύνας A. cυνημοcύνας τ' DS Cant. (τε) Apoll. Soph. 147, 10. μεθημοcύνας Vrat. A. — 262 καὶ ἄρναcιν Plato Phaedr. 241 D. — 263 καὶ ἄνδρες C 1. man. (nunc ἄρδ|||ες) Barocc. Mor. Schol. Aristoph. Pac. 1076. — 265 ὡς HL. οὔτε τι EGHS Syr. Ven B. οὔτέ τε C. οὔτε τι (δ) A. οὐδέ τι DL Lips. Barocc. Vrat. d. Paris. C. D. οὐδ' ἔτι Vrat. b. — 266 ὅρκια γ' D. ἔcονται CDE. πρίν γ': πρὶν E. ΠΡΙΝΗ (Γ) Syr. (γ add. 2. man.) — 269 ἔμμεναι D Lips. θαρραλέον D. — 270 ἔτ' omitt. CGL Lips. Ven. B. Flor. „vulgg. edd. Flor. Aldd. et hinc ductae cum parte Codd. sine ἔτ'" Heyne. — 271 δαμάᾳ: δαμάcῃ Barocc. Mor. νῦν δ': νῦν Barocc. Paris. C. — 272 omittit Paris. L. θύιων A Harl. — 273 ῥὰ CDGHL. — 274 ἀλεύατο D. — 275 ἕζετο: ἅζετο Cant. ἐν ἄλλῳ μείλινον ἔγχος A. — 276 ἀνα CDH. ἤρπαcε D.

A. c. 261 cυνήμοcύνας Herodianus. — 266 Heynius turpi hiatu ὅρκια ἔccονται laesus coniecit ὅρκιον ἐccεῖται. sed idem turpis hiatus in eadem sede persaepe recurrit, conf. Α 532 εἰς ἅλα ἆλτο. Ε 90 οὔτ' ἄρα ἕρκεα. Ι 247 ἀλλ' ἄνα εἰ. Ξ 182 ἐν δ' ἄρα ἕρματα. Π 404 ἡνία ἠίχθηcαν. Ε 723 χάλκεα ὀκτάκνημα. Ο 227 ἔπλετο ὅττι. Ψ 71 θάπτέ με ὅττι. γ 480 ὄψά τε οἷα. δ 543 μηκέτι Ἀτρέος. η 217 ἔπλετο ἤ. ο 327 ἔπλετο ἤ. c 323 παῖδα δὲ ὣc. τ 1. 51. υ 1 αὐτὰρ ὃ ἐν. Α 333. 393. Β 105. 107. 152. Γ 349. 379. Ε 142. Ζ 123. Θ 271. 423. 446. Ν 399. Ο 247. 365. Π 309. 583. Ρ 45. 583. Υ 152. Φ 33. Ω 387. γ 160. ζ 224. η 230. θ 547. ι 261. κ 246. ξ 1. ρ 5. 443. τ 231. φ 72.

ἂψ δ' Ἀχιλῆι δίδου, λάθε δ' Ἕκτορα, ποιμένα λαῶν.
Ἕκτωρ δὲ προςέειπεν ἀμύμονα Πηλεΐωνα·
ἤμβροτες, οὐδ' ἄρα πώ τι θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ
ἐκ Διὸς ἠείδεις τὸν ἐμὸν μόρον· ἦ τοι ἔφης γε.
ἀλλά τις ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο μύθων,
ὄφρά ς' ὑποδείςας μένεος ἀλκῆς τε λάθωμαι.
οὐ μέν μοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξεις,
ἀλλ' ἰθὺς μεμαῶτι διὰ ςτήθεςφιν ἔλαςςον,
εἴ τοι ἔδωκε θεός· νῦν αὖτ' ἐμὸν ἔγχος ἄλευαι
χάλκεον. ὡς δή μιν ςῷ ἐνὶ χροῒ πᾶν κομίςαιο.
καί κεν ἐλαφρότερος πόλεμος Τρώεςςι γένοιτο
ςεῖο καταφθιμένοιο· ςὺ γάρ ςφιςι πῆμα μέγιςτον.
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόςκιον ἔγχος,
καὶ βάλε Πηλείδαο μέςον ςάκος οὐδ' ἀφάμαρτε·
τῆλε δ' ἀπεπλάγχθη ςάκεος δόρυ. χώςατο δ' Ἕκτωρ,
ὅττί ῥά οἱ βέλος ὠκὺ ἐτώςιον ἔκφυγε χειρός,
ςτῆ δὲ κατηφήςας, οὐδ' ἄλλ' ἔχε μείλινον ἔγχος.
Δηίφοβον δ' ἐκάλει λευκάςπιδα μακρὸν ἀΰςας·
ἤτεέ μιν δόρυ μακρόν· ὁ δ' οὔ τί οἱ ἐγγύθεν ἦεν.
Ἕκτωρ δ' ἔγνω ᾗςιν ἐνὶ φρεςὶ φώνηςέν τε·
ὢ πόποι, ἦ μάλα δή με θεοὶ θάνατον δὲ κάλεςςαν·

V. L. 279 πῶ C. πω D. ἀχϊλεῦ C. — 280 ἠείδειc CE 1269, 29; 32. H Syr. Lips. Rom. ἠιεΐδειc A. ἠεΐδειc D 1. man. ἢ εἴδειc D. 2. man. ἠΐδειc L. ἢ εἴδειc Paris. D. ἢ ἴδηc Paris. K. ᾔδειc Vrat. A. ἠείδηc G Ven. B. Leid. Flor. conf. ad ι 206. — 281 μύθων (οιc) A. μύθοιc ἢ μύθῳ ἢ μύθων Eust. 1269, 33; sed 1269, 49 μύθων. — 282 ὄφρά AH. ὑποδδείcαc libri. μένεόc τ' Vrat. A, conf. Z 265. λάθωμαι ADEHL Lips. λαθοίμην CG Syr. Ven. B. Paris. F. — 284 μεμαῶτα Lips. (?) Par. C. Townl. (?). δια D. ἔλαccε L Lips. — 285 ἄλευαι AEH Syr. Herodianus ad A 302: ἄλευε CDGLS Lips. Vrat. A. Paris. C. L. edd. vett. — 286 ἐνὶ S Cant.: ceteri ἐν. πᾶν κομιccαι (τα) L (τα et alterum c̄ 2. man.). κομίcαι Lips. — 287 καί κεν: ἐν ἄλλῳ καί cφιν A. ἐλαφρότατοc D. τριψεccι L. — 288 cοῖο G. κατακταμένοιο Paris. K. γὰρ cφίcι GL. — 289 ῥὰ CDGHL. δολιχόcκιον A. — 290 βάλεν D. βάλει (οι) H. ἀφάμαρτε ACGHL Syr. — 291 ἀπεπλάχθη C Vrat. d. Paris. L. — 294 δὲ κάλει D. ΔЄΚΑΛЄΙ Syr. λευκάcπιδα A. — 295 ηίτεε δέ μιν D. ὁ δ' D. ὅδ' CGHL. — 296 ἐνι AD. — 297 ὢ πόποι AD Syr. θάνατον δὲ A. θάνατον δε D. κάλεccαν ADL Harl. Paris. C. E. J. θάνατόν δ' ἐκάλεccαν CGHS. θεὸc θάνατονδ' ἐκάλεcε E. θεὰ θάνατονδ' ἐκάλεccε Lips.

A. c. 294 ἐκάλει: ἐβόα αἱ [ἀπὸ] τῶν πόλεων Schol. V.

Δηίφοβον γὰρ ἐγώ γε φάμην ἥρωα παρεῖναι·
ἀλλ' ὃ μὲν ἐν τείχει, ἐμὲ δ' ἐξαπάτηςεν Ἀθήνη.
νῦν δὲ δὴ ἐγγύθι μοι θάνατος κακός, οὐδέ τ' ἄνευθεν,
οὐδ' ἀλέη· ἦ γάρ ῥα πάλαι τό γε φίλτερον ἦεν
Ζηνί τε καὶ Διὸς υἷι ἑκηβόλῳ, οἵ με πάρος γε
πρόφρονες εἰρύατο· νῦν αὖτέ με μοῖρα κιχάνει.
μὴ μὰν ἀςπουδί γε καὶ ἀκλειῶς ἀπολοίμην,
ἀλλὰ μέγα ῥέξας τι καὶ ἐςςομένοιςι πυθέςθαι.
ὣς ἄρα φωνήςας εἰρύςςατο φάςγανον ὀξύ,
τό οἱ ὑπὸ λαπάρην τέτατο μέγα τε ςτιβαρόν τε,
οἴμηςεν δὲ ἀλεὶς ὥς τ' αἰετὸς ὑψιπετήεις,
ὅς τ' εἶςιν πεδίον δὲ διὰ νεφέων ἐρεβεννῶν
ἁρπάξων ἢ ἄρν' ἀμαλὴν ἢ πτῶκα λαγωόν·
ὣς Ἕκτωρ οἴμηςε τινάςςων φάςγανον ὀξύ.
ὡρμήθη δ' Ἀχιλεύς, μένεος δ' ἐμπλήςατο θυμὸν
ἀγρίου, πρόςθεν δὲ ςάκος ςτέρνοιο κάλυψε
καλὸν δαιδάλεον, κόρυθι δ' ἐπένευε φαεινῇ
τετραφάλῳ· καλαὶ δὲ περιςςείοντο ἔθειραι
χρύςεαι, ἃς Ἥφαιςτος ἵει λόφον ἀμφὶ θαμειάς.
οἷος δ' ἀςτὴρ εἶςι μετ' ἀςτράςι νυκτὸς ἀμολγῷ

V. L. 298 * ἐγώ γε φάμην: libri ἔγωγ' ἐφάμην. Syr. ЄΓΩΓЄ ΦΑΜΗΝ. γὰρ ὧδ' ἐφάμην Vrat. A. — 299 ὃ μὲν D. — 300 ὁ δὲ δὴ H pro νῦν δὲ δὴ. — 301 ἀλέῃ G. ἡ γάρ ῥα D. γὰρ ῥὰ L. τόγε πάλαι C. τότε Barocc. Mor. Townl. φέρτερον Vrat. A. — 302 υἶι CLS Ven. B. Cant. Lips. Townl. Paris. A. B. C. D. E. K. υἱεῖ ADGH Syr. conf. H. U. 46. 166. λ 273. πάροc περ CH. — 303 προφρονέωc DH. εἰρύατο ACDHS Syr. Cant. Mor. Harl Vrat. b. d. Mosc. 2. sex Pariss. εἰρύcατο Townl. εἰρύαται GL Lips. Flor. Rom. — 304 μη A. μή μ' ἀν D. μὴ δὴ E. ἀcπουδί A Syr. Ven. B. Paris. L. Cicero ad Atticum X, 1, 1. ἀcπουδεί CDEGHLS Lips. et Heynii libri. Pseudoplut. 156, 52. Cicero ad Famil. XIII, 15, 2. conf. Θ 512. — 305 ΡΕΞЄϹ Syr. — 306 ὡc A. εἰρύcατο CD. εἰρύατο Vrat. b. — 307 ὑπο AD. ὑπαὶ L. οἱ omitt. H. μέγά τε C. — 308 ἁλεὶc CGL Lips. Et. Mg. 618, 9. „in multis ἁλεὶc“ Heyne. ὑψιπέτειc D. — 309 εἶcι E Vrat. A. πεδίον δὲ AG. ἐρεβενῶν D. — 310 ἁρπάξων AEGL Syr. Flor. Rom. Bachm. Anecd. II, 33, 31. ἁρπάζων CDHS Cant. Lips. Vrat. A. d. Townl. Paris. K. L. Apoll. Soph. 28, 18. ἀμαλὴν: ἀπαλὴν L Lips. — 311 ὡc D 1. man. οἴμηcε: ὥρμηcε H. — 312 ὁρμήθη E 1271, 17; sed 1270, 40 ὡρμήθη. ἀχιλλεὺc EH. — 313 πρόcθε C. κάλυψε ACEG Syr. — 314 ἐπένευcε C. — 315 περιcείοντο DEHL Vrat A. περὶ cείοντο Harl. — 316 omitt. A in textu, D in textu. H Vrat. d. Paris. J. ἀμφι A. θαμείαc E Syr. — 317 ἄcτραcι CEGL Lips.

A. c. 298 γε φάμην, conf. H. T. 424 et locos ibi laudatos K 446 cφωε πόρεν. I 177 τε πίον. A 464. B 427 μῆρα κάη. I 492. Ψ 607 πολλὰ πάθον. Ψ 440 γε φάμεν. c 68 τε φάνεν. H. U. 99. — 315 καλαὶ: αἱ πλείουc δειναὶ δὲ Didymus. — 317 ἀcτράcι Aristarchus, conf. ad X 28

ἕcπεροc, ὃc κάλλιcτοc ἐν οὐρανῷ ἵcταται ἀcτήρ,
ὣc αἰχμῆc ἀπέλαμπ' εὐήκεοc, ἣν ἄρ' Ἀχιλλεὺc
πάλλεν δεξιτερῇ φρονέων κακὸν Ἕκτορι δίῳ,
εἰcορόων χρόα καλόν, ὅπῃ εἴξειε μάλιcτα.
τοῦ δὲ καὶ ἄλλο τόcον μὲν ἔχε χρόα χάλκεα τεύχεα,
καλά, τὰ Πατρόκλοιο βίην ἐνάριξε κατακτάc·
φαίνετο δ', ᾗ κληῗδεc ἀπ' ὤμων αὐχέν' ἔχουcι
λαυκανίην, ἵνα τε ψυχῆc ὤκιcτοc ὄλεθροc·
τῇ ῥ' ἐπὶ οἷ μεμαῶτ' ἔλαc' ἔγχεϊ δῖοc Ἀχιλλεύc,
ἀντικρὺ δ' ἁπαλοῖο δι' αὐχένοc ἤλυθ' ἀκωκή·
οὐδ' ἄρ' ἀπ' ἀcφάραγον μελίη τάμε χαλκοβάρεια,
ὄφρά τί μιν προτιείποι ἀμειβόμενοc ἐπέεccιν.
ἤριπε δ' ἐν κονίηc· ὃ δ' ἐπεύξατο δῖοc Ἀχιλλεύc·
"Ἕκτορ, ἀτάρ που ἔφηc Πατροκλῆ' ἐξεναρίζων
cῶc ἔccεcθ', ἐμὲ δ' οὐδὲν ὀπίζεο νόcφιν ἐόντα,

V. ι. 319 ὡc D 1. man. ἀπέλαμπεν EHL Lips. ἔλαμπ' C. ἂρ ADE. ἀχϊλεὺc C. — 320 πάλεν D. — 321 ὅπη AE: ceteri ὅπῃ. — 322 τοῦδε A. τεύχεα Vrat. b.: τεύχη ACDEGHLS Syr. conf. H 207. ω 534. Ω 7. — 323 ἐξενάριξε DL Lips. — 324 φαίνετο omnes. δ' ἧ C. κληῗδεc C. ἀπώμων D. ἔχουcι ACEG Syr. ἔχουcαι D. — 325 λαυκανίην A Syr. Mor. Barocc. Par. D. λαυκανίηc C 1. man. DGHL Ven. B. Lips. Townl. Rom. λαυκανίαc E. λευκανίηc C post. ras. S Cant. Vrat. b. A. Mosc. 2. Paris. E. Flor. Et. Orionis 92, 20. λευκανίη Hesychius III, 28. — 326 ἐπι οἷ AD. ἐπί οἱ CGH. μεμαῶτ': μεμαὼc GHS. ἔλαc' ἕκτορα D. ἀχϊλεύc C. — 328 ἂρ CDEGHL. ἂρ ἀποcφάραγον Apoll. Soph. 147, 29. τινὲc τῶν παλαιῶν ἀπὸ cφάραγον Eust. 1272, 9. μελίη τάμε χαλκοβαρείη Et. Mg. 160, 50. — 329 ὀφρά Et. Mg. 160, 51. προτιεῖποι D (spir. 2. man.). προτὶ εἴποι H. ceteri προτιείποι cum Et. Mg. 160, 51. Apoll. Soph. 147, 32. ποτιείποι S. προτιείπῃ Vrat. A. Mosc. 2. Paris. C. ἐπέεccι H Et. Mg. 160, 51. — 330 κονίῃc' AHL Lips. κονίῃcιν C. ὃ δ' A. ὅδ'
χε
CGHL. ἐπεύξατο A. ἀχϊλεύc C. — 331 ἔφηc libri cum Flor. Rom. ἔφηcθα edd. ab Ald. 2. usque ad Clarkium. πατροκλῆϊ ξεναρΐζων H. ἐξεναρίζων A. — 332 ἔcεcθ' DG Lips. Vrat. A. ἔcεcθαι E. „Multi ἔcεcθαι" Heyne.

A. c. 324 ἔν τιcι τῶν ὑπομνημάτων φαῖνεν δ' ᾗ (cod. δὲ) κληῗδεc, ἵν ᾗ ἐπὶ τῶν τευχέων· τὰ τεύχη οὐκ ἐκάλυπτε τὴν λαυκανίην, ἀλλ' ἐποίει φαίνεcθαι Didymus. ἔν τιcι φαῖνον δ' ᾗ κληῗδεc (cod. κληῗδεcιν) Schol. V. τὸ μὲν ἄλλο cῶμα ἐcκέπτειο. ἐκεῖνοc δὲ ὁ τόποc ἐφαίνετο, ὅπου αἱ κληῗδεc τῆc λαυκανίηc τὸν αὐχένα cυνέχουcιν Schol. B. erant igitur tres scripturae: 1. φαίνετο λαυκανίην (Aristarchea?); 2. φαίνετο λαυκανίηc (ἡ κοινή); 3. φαῖνεν (vel φαῖνον) λαυκανίην (in commentariis Aristarchi), quam Bekkerus in editione altera recepit. conf. H. S. 19. Hoffmann. XXI. u. XXII. Buch der Ilias pg. 199 sqq. — 326 ὀρθοτονητέον τὴν οἷ Schol. V. — 329 ἀθετεῖται Aristonicus.

νήπιε· τοῖο δ' ἄνευθεν ἀοccητὴρ μέγ' ἀμείνων
νηυcὶν ἔπι γλαφυρῇcιν ἐγὼ μετόπιcθε λελείμμην,
ὅc τοι γούνατ' ἔλυcα. cὲ μὲν κύνεc ἠδ' οἰωνοὶ
ἑλκήcουc' ἀικῶc, τὸν δὲ κτεριοῦcιν Ἀχαιοί.
τὸν δ' ὀλιγοδρανέων προcέφη κορυθαιόλοc Ἕκτωρ·
λίccομ' ὑπὲρ ψυχῆc καὶ γούνων cῶν τε τοκήων,
μή με ἔα παρὰ νηυcὶ κύναc καταδάψαι Ἀχαιῶν,
ἀλλὰ cὺ μὲν χαλκόν τε ἅλιc χρυcόν τε δέδεξο
δῶρα, τά τοι δώcουcι πατὴρ καὶ πότνια μήτηρ,
cῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρόc με
Τρῶεc καὶ Τρώων ἄλοχοι λελάχωcι θανόντα.
τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προcέφη πόδαc ὠκὺc Ἀχιλλεύc·
μή με κύον γούνων γουνάζεο μηδὲ τοκήων·
αἴ γάρ πωc αὐτόν με μένοc καὶ θυμὸc ἀνείη
ὤμ' ἀποταμνόμενον κρέα ἔδμεναι, οἷά μ' ἔοργαc·
ὣc οὐκ ἔcθ' ὃc cῆc γε κύναc κεφαλῆc ἀπαλάλκοι,
οὐδ' εἴ κεν δεκάκιc τε καὶ εἰκοcινήριτ' ἄποινα
cτήcωc' ἐνθάδ' ἄγοντεc, ὑπόcχωνται δὲ καὶ ἄλλα·

V. ι. 333 ἀοccοτὴρ H. — 334 ἔπὶ ACDGHL. μετ' ὄπιcθε H. μετόπιcθεν E. λελείμην Lips. — 335 ΩCΤΟΙ Syr. cε A. — 336 ἑλκύcουc' CHS Mor. Barocc. Vrat. A. octo Pariss. ἀεικῶc EH Syr. Barocc. Mor. Vrat. d. A. τὸ ἀεικῶc ἐνταῦθα φέρεται διὰ μόνου τοῦ ῑ κατὰ τὴν παραλήγουcαν ἔν τιcιν ἀντιγράφοιc Eust. 1172, 25. κτερεοῦcιν L. — 337 ὀλιγοδρανέων A. κορυθαιόλοc D Flor. Rom. — 339 μή μ' C Paris. C. παρα A. ἀχαιῶν omitt. H. — 340 ΧΡΥCΟΝΤΕΑΛΙC ΧΑΛΚΟΝΤΕ Syr. τε δέχεcθαι H. — 341 τά cοι L Lips. Paris. A. B. — 343 τρῶιεc καὶ τρώιων CL. — 344 τὸν δὲ καὶ ὑπόδρα H. ἂρ ACDGL. ἐν ἄλλῳ τὸν δ' ἀπαμειβόμενοc A. ἀχϊλεύc C. — 345 κύων D Mor. Barocc. Vrat. d. Leid. μὴ δὲ ACDHL. μή δε Ven. B. — 346 γὰρ (acc. 2. man.) πῶc D. ἀνείη CD EGHL Lips. Townl. ΑΝΕΙΗΙ Syr. ἀνήηι A. ἀνήη Harl. Mosc. 2. Vrat. A. Paris. F. J. γρ. καὶ διὰ τοῦ η̄ Eust. 1273, 28. — 347 ὦμ' E Vrat. b. d. Mosc. 2. Rom. ἀποτεμνόμενον D Mor. Barocc. Lips. ὅcca μ' ἔοργαc H Vrat. d. — 348 ὡc CD 1. man. ES. — 349 εἰκοcινήριτ' A. — 350 cτήcοντ' Paris. F. ὑπόcχονται E Barocc. Vrat. A.

A. c. 336 οἱ περὶ Ἀντίμαχον ἐπὶ τὸ γνωριμώτερον ἑλκήcουcι κακῶc Didymus. — 339 de hiatu μή με ἔα, qui Heynio vitiosus videtur, conf. P 16 τῶ με ἔα. B 165. 181 μὴ δὲ ἔα. Θ 428 νῶϊ ἐῶ. [Ψ 73 ποταμοῖο ἐῶcιν. δ 805 οὐδὲ ἐῶcι. κ 536 μηδὲ ἐᾶν. ξ 420 ξεῖνον δὲ ἐῶμεν.] A 533 Ζεὺc δὲ ἑϜὸν. I 319 ἐν δὲ ἰῇ. I 420. 687 χεῖρα ἑϜὴν. T 194 δῶρα ἐμῆc. Φ 569 ἐν δὲ ἴα. Ψ 278 πατρὶ ἐμῷ. Ω 335 ἀνδρὶ ἑταιρίccαι. θ 524 ὅc τε ἑϜῆc. ν 133 πάγχυ ἐπεί. ξ 69 πρόχνυ ἐπεί. — 348 Ἀρίcταρχοc ὡc χωρὶc τῆc βαρείαc Schol. Paris. βέλτιον πρὸ τούτου cτίζειν καὶ τὸ ὡc εἰc τὸ οὕτω μεταλαμβάνειν Nicanor. — 349 τὸ εἰκοcινήριτ' ὑφ' ἓν ἀναγνωcτέον Schol. B.

οὐδ' εἴ κέν c' αὐτὸν χρυcῷ ἐρύcαcθαι ἀνώγοι
Δαρδανίδης Πρίαμος· οὐδ' ὧς cέ γε πότνια μήτηρ
ἐνθεμένη λεχέεccι γοήcεται, ὃν τέκεν αὐτή,
ἀλλὰ κύνες cε καὶ οἰωνοὶ κατὰ πάντα δάcονται.
τὸν δὲ καταθνήcκων προcέφη κορυθαίολος Ἕκτωρ·
ἦ c' εὖ γιγνώcκων προτιόccομαι, οὐδ' ἄρ' ἔμελλον
πείcειν· ἦ γὰρ coί γε cιδήρεος ἐν φρεcὶ θυμός.
φράζεο νῦν, μή τοί τι θεῶν μήνιμα γένωμαι
ἤματι τῷ, ὅτε κέν cε Πάρις καὶ Φοῖβος Ἀπόλλων
ἐcθλὸν ἐόντ' ὀλέcωcιν ἐνὶ Cκαιῇcι πύλῃcιν.
ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε·
ψυχὴ δ' ἐκ ῥεθέων πταμένη Ἄϊδος δὲ βεβήκει,
ὃν πότμον γοόωcα, λιποῦc' ἀνδροτῆτα καὶ ἥβην.
τὸν καὶ τεθνηῶτα προcηύδα δῖος Ἀχιλλεύς·
τέθναθι· κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ
Ζεὺς ἐθέλῃ τελέcαι ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι.
ἦ ῥα, καὶ ἐκ νεκροῖο ἐρύccατο χάλκεον ἔγχος,
καὶ τό γ' ἄνευθεν ἔθηχ', ὃ δ' ἀπ' ὤμων τεύχε' ἐcύλα
αἱματόεντ'· ἄλλοι δὲ περίδραμον υἷες Ἀχαιῶν,
οἳ καὶ θηήcαντο φυὴν καὶ εἶδος ἀγητὸν

V. L. 351 εἴ κέν c' αὐτὸν ACE Ven. B Bachm. Anecd. II, 62, 12. εἴ κεν c' αὐτὸν Apoll. de Pron. 57 C. εἴ κεν cαυτὸν GHL Lips. Schol. Θ 233. cαυτῶι D. ἐρίcαcθαι Lips. Vrat. b. ἀνώγῃ L Lips. Paris. A. ἀνώγει Vrat. d. Paris. D. E. F. H. K. Rom. — 352 ὡc AD: ceteri ὧc. — 354 τὲ H. κατα ACDGH Syr. — 355 καταθνήιcκων A. τὸν δ' ὀλιγοδρανέων H. τόccα δ' ὀλιγοδρανέων Vrat. d. κορυθαίολος A. κορυθαιόλος D Flor. Rom. — 356 γιγνώcκων L: γινώcκων ACDEGH Syr. οὐδ' ἄρ ACDEGL. οὐ γὰρ H Vrat. d. — 357 ἐν φρεcὶ ACDGHL Syr. Barocc. Mor. Lips. Vrat. b. d. Ven. B. Paris. A. C. F. ἔνδοθι E ter S edd. vett. conf. X 242. τ 377. A 243. β 315. θ 577. — 358 μή τοι τι DHL. μή τϊ τοι C. μή τί τοι θεοῦ E. τι omitt. G. — 359 ἤματι D. — 360 ἐνι AD Syr. ἐπὶ Schol. Pind. Nem. VII, 58. — 361 κάλυψε CEG. — 362 ἅϊδος δὲ AD. — 363 omitt. D in textu, habet in marg. 3. man. ἂν δροτῆτα H. ΑΝΔΡΟΤΗ͂ΤΑ Syr. ἀνδροτῆτα ceteri, conf. Π 857. — 364 τεθνηῶτα LS Lips. Cant. Mor. sex Paris.
η
τεθνειῶτα A. τεθνειῶτα CDGH Syr. προcηῦδα D. ἀχϊλεύc C. — 365 δέξομαι: τεύξομαι Paris. L. — 366 ἐθέλει Vrat. A. Paris. J. ἐθέλοι Paris. K. — 367 ῥὰ CGHL. ἐρύcατο C Vrat. A. Lips. — 368 καὶ τόδ' L Lips. Mosc. 2. ΈΘΗΚ' Syr. ὃ δ' D. ὅδ' CG HL. ἀπ': ἄρ ἀπ' C. — 369 δε D. — 370 οἵ κέ (Ven. B. κε) ἐ θηήcαντο C Ven. B. ita G. Hermannus Opusc. IV, 24 ex coniectura. οἳ καὶ ἐθηήcαντο Schol. O 265. ceteri οἳ καὶ θηήcαντο cum Schol. Λ 1.

A. c. 356 τὸν ἦ cύνδεcμον περιcπαcτέον Herodianus.

Ἕκτορος· οὐδ' ἄρα οἵ τις ἀνουτητί γε παρέcτη.
ὧδε δέ τις εἴπεcκεν ἰδὼν ἐς πληcίον ἄλλον·
ὢ πόποι, ἦ μάλα δὴ μαλακώτερος ἀμφαφάαcθαι
Ἕκτωρ ἢ ὅτε νῆας ἐνέπρηcεν πυρὶ κηλέῳ.
ὣς ἄρα τις εἴπεcκε καὶ οὐτήcαcκε παραcτάς.
τὸν δ' ἐπεὶ ἐξενάριξε ποδάρκης δῖος Ἀχιλλεύς,
cτὰς ἐν Ἀχαιοῖcιν ἔπεα πτερόεντ' ἀγόρευεν·
ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
ἐπεὶ δὴ τόνδ' ἄνδρα θεοὶ δαμάcαcθαι ἔδωκαν,
ὃς κακὰ πόλλ' ἔρδεcκεν, ὅς' οὐ cύμπαντες οἱ ἄλλοι,
εἰ δ' ἄγετ' ἀμφὶ πόλιν cὺν τεύχεcι πειρηθέωμεν,
ὄφρα κέ τι γνῶμεν Τρώων νόον, ὅν τιν' ἔχουcιν,
ἢ καταλείψουcιν πόλιν ἄκρην τοῦδε πεcόντος,
ἦε μένειν μεμάαcι καὶ Ἕκτορος οὐκέτ' ἐόντος.
ἀλλὰ τί ἦ μοι ταῦτα φίλος διελέξατο θυμός;
κεῖται πὰρ νήεccι νέκυς ἄκλαυτος, ἄθαπτος,
Πάτροκλος· τοῦ δ' οὐκ ἐπιλήcομαι, ὄφρ' ἂν ἐγώ γε
ζωοῖcιν μετέω καί μοι φίλα γούνατ' ὀρώρῃ.

V. L. 371 ἄρά C. οἱ τίc CDG. οἳ τίc H. ἄρα γέ τις Paris. F. — 372 ἄλλων D. — 373 ὦ πόποι AD. — 374 ἐνέπρηcε EGH Flor. Rom.
θ
ἐνέπρηcεν A. ἐνέπρηθεν Barocc. Harl. Vrat. A. Mosc. 2. Paris. G. H. J. K. — 375 ὡc A. τῖc C. — 376 ἐξενάρηξε G. ἀχϊλεὺc C. — 377 ἀγόρευεν libri mei: πτερόεντα προcηύδα Mor. — 378 ὦ φίλοι ἥρωεc· δαναοί· θεράποντες ἄρηος C. idem Flor. Rom. Ald. 1. — 379 ἐπεὶ D, omisso δὴ. δαμάαcθαι Cant. — 380 ἔῤῥεξεν A. Mor. Barocc. Harl. ἔῤῥεξεν ἢ ἔρδεcκεν Eust. 1274. 45. ἔρδεcκεν CDE 1274, 53 GHLS Lips. Ven. B. γρ. ἔρδεcκεν A. ὃc οὐ D. οἱ omitt. C. — 381 εἴδ' CGL. cυν D. * πειρηθέωμεν: libri πειρηθῶμεν. — 382 ὄφρά A. κ' ἔτι ALS Cant. Mor. Lips. Ven. B. ὄφρα ἔτι E. ceteri κέ τι· τρῴων L. — 383 καταλείψουcι DE Vrat. A. Lips. καταλείψωcιν H Vrat. d. — 384 ἦε A: ceteri ἠέ. — 385 τί ἤ A: ceteri τίη. τί μοι D. — 386 παρ AD. παρὰ G Flor. ἄκλαυτος ADEL Lips. Vrat. d. Rom. ἄκλαυcτος CGHS Ven. B. Flor. conf. δ 494. λ 54. 72. — 387 ὄφραν D. ἔγωγε libri. — 388 ζωὸc ἐν ἀργείοιcι φιλοπτολέμοιcι μετείω C Ven. B (φιλοπολέμοιcι). Vrat. b. A. ὅτι ζωὸc ἐν ἀργείοιcι φιλοπτολέμοιcι μετείω A. ζωὸc ἐν ἀργείοιcι φιλοπτολέμοιcι μετείω ἢ καθ' ἑτέραν γραφὴν ζωοῖcι μετέω καί μοι φίλα γούνατ' ὀρώρῃ Eust. 1274, 65. ὀριώρει DS Paris. G. H. J.

A. c. 375 ἀθετεῖται Victor. in margine. expunxit Senacherim conf. Schol. Leid. — 378 Zenodotus Ἀτρείδη τε καὶ ἄλλοι ἀριcτῆες Παναχαιῶν. — 379 ὅτι cπανίωc Ὅμηρος κακομέτρους ποιεῖ Aristonicus, qui affert Ψ 2. μ 423. conf. ad I 5. — 381 πειρηθέωμεν scripsit Bekk. 2. ex coniectura, quod analogia cogit: conf. cτέωμεν Λ 348. X 231. φθέωμεν π 383. κτέωμεν χ 216. θέωμεν ω 485. νεμεccηθέωμεν Ω 53 (ita Aristarchus; libri ῶμεν). excipitur δαῶμεν B 299. μεθῶμεν K 449, quod Bekkerus non tetigit, mutandum est in μεθέωμεν. ἀφῶμεν Hymn. VII, 22 in medio relinquo. — 388 scriptura in textum recepta Aristarchea

εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν Ἀίδαο,
αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μεμνήcομ' ἑταίρου.
νῦν δ' ἄγ' ἀείδοντες παιήονα, κοῦροι Ἀχαιῶν,
νηυcὶν ἔπι γλαφυρῇcι νεώμεθα, τόνδε δ' ἄγωμεν.
ἠράμεθα μέγα κῦδος· ἐπέφνομεν Ἕκτορα δῖον,
ᾧ Τρῶες κατὰ ἄcτυ θεῷ ὣc εὐχετόωντο.
ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα.
ἀμφοτέρων μετόπιcθε ποδῶν τέτρηνε τένοντε
ἐc cφυρὸν ἐκ πτέρνης, βοέους δ' ἐξῆπτεν ἱμάντας,
ἐκ δίφροιο δ' ἔδηcε, κάρη δ' ἕλκεcθαι ἔαcεν·
ἐc δίφρον δ' ἀναβάc, ἀνά τε κλυτὰ τεύχε' ἀείρας,
μάcτιξέν ῥ' ἐλάαν, τὼ δ' οὐκ ἀέκοντε πετέcθην.
τοῦ δ' ἦν ἑλκομένοιο κονίcαλος, ἀμφὶ δὲ χαῖται
κυάνεαι πίτναντο, κάρη δ' ἅπαν ἐν κονίῃcι
κεῖτο πάρος χαρίεν· τότε δὲ Ζεὺc δυcμενέεccι
δῶκεν ἀεικίccαcθαι ἑῇ ἐν πατρίδι γαίῃ.
ὣc τοῦ μὲν κεκόνιτο κάρη ἅπαν· ἡ δέ νυ μήτηρ
τίλλε κόμην, ἀπὸ δὲ λιπαρὴν ἔρριψε καλύπτρην
τηλόcε, κώκυcεν δὲ μάλα μέγα παῖδ' ἐcιδοῦcα.

V. L. 389 καταλήθοιτ' Vrat. d. καταλήθη Schol. X 52. — 390 καὶ κεῖθι ACELS Cant. Harl. Lips. Ven B. Paris. F. H. editores ante Heynium κᾀκεῖθι. κάκεῖθι DGH Plutarchus Non posse suaviter vivi s. E. — 392 ἐπὶ ACEGHL. ἐπι D. τὸν δέ δ' D. τὸν δέ τ' H. — 393 ἠράμεθα ACG. κῆδος G. — 394 τρῷες L. ὡc AD. Tzetzes Alleg. 162. — 395 ῥὰ CGHL. μήcατο D. — 396 ἀμφοτέρω L Lips. Paris. C. τένοντας DH Vrat. d. Dion. Halicarn. de Comp. Verb. XVIII. — 397 ἐκ cφυρῶν C Ven.
c
B. ἐcφῦρὸν L. βοΐους Cant. δ' omitt. Harl. — 398 ἔαcεν: ἔccευεν Paris. E. — 399 aberat a Paris. B. ἀνα D. — 400 μάcτιζεν Paris. D. ῥ' ACL Lips. Ven. B. Paris. F. J. K. δ' EGHS Vrat. A. δελάαν D. ἀέκοντε Harl. Mor. Cant. Paris. K. Dion. Halic. l. l. οὐκάκοντε D. ceteri ἄκοντε. — 401 κονίccαλος ELS. ἀμφι D. — 402 πίτναντο LS Lips. Townl. Paris. C. πίλναντο AC Ven. B. Vrat. b. πίπναντο G. πίμπλαντο E 1276, 27. DH Vrat. d. A. Paris. E. F. L. Flor. Rom. πίμπλαντο ἢ πίλναντο Eust. 1276, 12. ἔν τιcι πίμπλαντο A. πίπλαντο Dion. Halic. l. l. κονίῃcι ACDEGH. — 403 δυcμενέεccι ACDEGHL. ἐν ἄλλῳ τερπικέραυνος A. — 404 ἀϊκίccαcθαι αἰεὶ ἐν D. ἀεικῖcαcθαι H Vrat. A. Apoll. de Synt. 157, 25. — 405 ὡc AD 1. man. κεκόνϊcτο H Vrat. d. κεκονίατο D. — 406 καλύπτραν L Lips. — 407 κώκυcε E Vrat. A. ἐc ἰδοῦcα D.

A. c. videtur et pro ὅτι in Schol. A reponendum est οὕτωc, ut sit Didymi. ὅτι et οὕτωc in Schol. A haud raro permutata sunt, ut B 347. Γ 306. 368. Δ 170. Є 684. Θ 428. K 18. 225. 445. Λ 307. 348. P 125. Φ 246. X 26. vide Lehrs. Arist. pg. 14 * * (ed. II.) H. T. 131. — 393, 394 ἀθετοῦνται cτίχοι δύο Aristonicus.

ᾤμωξεν δ' ἐλεεινὰ πατὴρ φίλος, ἀμφὶ δὲ λαοὶ
κωκυτῷ τ' εἴχοντο καὶ οἰμωγῇ κατὰ ἄcτυ.
τῷ δὲ μάλιcτ' ἄρ' ἔην ἐναλίγκιον, ὡc εἰ ἅπαcα
Ἴλιοc ὀφρυόεccα πυρὶ cμύχοιτο κατ' ἄκρης.
λαοὶ μέν ῥα γέροντα μόγιc ἔχον ἀcχαλόωντα,
ἐξελθεῖν μεμαῶτα πυλάων Δαρδανιάων.
πάντας δὲ λιτάνευε κυλινδόμενος κατὰ κόπρον,
ἐξονομακλήδην ὀνομάζων ἄνδρα ἕκαcτον·
cχέcθε φίλοι, καί μ' οἶον ἐάcατε, κηδόμενοί περ,
ἐξελθόντα πόληος ἱκέcθ' ἐπὶ νῆαc Ἀχαιῶν.
λίccωμ' ἀνέρα τοῦτον ἀτάcθαλον ὀβριμοεργόν,
ἤν πωc ἡλικίην αἰδέccεται ἠδ' ἐλεήcῃ
γῆρας. καὶ δέ νυ τῷ γε πατὴρ τοιόcδε τέτυκται,
Πηλεύc, ὅc μιν ἔτικτε καὶ ἔτρεφε πῆμα γενέcθαι
Τρωcί· μάλιcτα δ' ἐμοὶ περὶ πάντων ἄλγε' ἔθηκε.
τόccουc γάρ μοι παῖδαc ἀπέκτανε τηλεθάονταc·

V. L. 408 ᾤμωξε E Vrat. A. ἀμφι D. — 409 εἴχοντο: ὤχοντο Mor. οἰμογῇ G. — 410 ἄρ ADEGH. μάλιcτ' αἰεὶ (ἀεὶ Lips.) ἐναλίγκιον L Lips.
ῐ
ὡcεὶ DEGL. — 411 πυρῇ C. cμήχοιτο DG Flor. Paris. A. K. μύχοιτο Vrat. b. κατάκρηc E Vrat. b. Rom. — 412 μὲν ῥὰ GL. μόγιc AG Mor. Vrat. b. Paris. G. H. J. μόλιc CDEHLS Lips. Ven. B. conf. Φ 417. γ 119. τ 189. — 414 δὲ λιτάνευε Vrat. b. δ' ἐλιτάνευε DEHLS Lips. Cant. Townl. Vrat. d. ἐλιτάνευcε Vrat. A. conf. η 145. κατα AD. — 416 cχέθε C. κηδόμενοί EGHL Lips. κηδόμενόν ACD Ven. B. Vrat. A. Maxim. Tyrius Diss. VI, 7. „est lectio codd. omnium meliorum" Heyne. — 417 πόλιοc C Ven. B. — 418 λίccωμ' ACDL Lips. λίccομ' GH Vrat. b. d. A. ex corr. Flor. Rom. quinque Paris. λίccομαι E ter S. Vrat. A. 1. man. λίccομαι ἀνέρα τοῦτον ἢ κατά τινα τῶν ἀντιγράφων λίccωμ' ἀνέρα Eust. 1277, 55. ὀμβριμοεργὸν CL Lips. Mor. Barocc. Paris. C. D. F. καὶ βριμοεργὸν S. — 419 ἠδ' D, acc. man. rec. — 420 τῷ γε DHE
δ
Vrat. b. d. τῶι γε A. ceteri τῷδε. — 422 τρωcὶ L. μάλιcθα G. πέρι L. ἄλγε' ἔθηκε ADE 1277, 30; 35; 37. GL. ἔθηκεν H. ἄλγεα θῆκε C Ven. B. Townl. ἄλγεα θῆκεν ἢ ἄλγε' ἔθηκε Eust. 1277, 23. — 423 ἀπέκτεινε CG Flor. Rom. ἐπέκτανε E.

A. c. 410 τινὲc περιεργῶc διὰ μόνον τοῦ ῑ γράφοντεc (ὡc ῐ) ἀποδιδόαcιν ὡc αὐτὴ ἅπαcα Schol. A. — 411 cμύχοιτο: οὕτωc ἀρίcταρχοc cμύχοιτο (vel cμώχοιτο, nam scriptura vocalis mediae est ambigua) Didymus. Ἀρίcταρχοc cμώχοιτο ἀντὶ τοῦ cμύχοιτο Schol. B, quod scholium in Veneto B. non exstat, conf. Hoffmann. XXI. u. XXII. Buch der Ilias pg. 158. Aristarchum cμύχοιτο scripsisse confirmatur apposito οὕτωc, quo scholiasta non utitur, nisi in textu ipsa Aristarchi lectio fertur (H. T. 125) et confirmatur schol. Ι 653 οὕτωc cμύξαι Ἀρίcταρχοc. — 414 δὲ λιτάνευε conf. H. U. 51. — 416 ἀρίcταρχοc πληθυντικῶc κηδόμενοί περ Didymus.

τῶν πάντων οὐ τόϲϲον ὀδύρομαι ἀχνύμενόϲ περ,
ὡϲ ἑνόϲ, οὗ μ' ἄχοϲ ὀξὺ κατοίϲεται Ἄϊδοϲ εἴϲω,
Ἕκτοροϲ· ὡϲ ὄφελεν θανέειν ἐν χερϲὶν ἐμῇϲι·
τῶ κε κορεϲϲάμεθα κλαίοντέ τε μυρομένω τε,
μήτηρ θ', ἥ μιν ἔτικτε δυϲάμμοροϲ, ἠδ' ἐγὼ αὐτόϲ.
ὣϲ ἔφατο κλαίων, ἐπὶ δὲ ϲτενάχοντο πολῖται·
Τρῳῇϲιν δ' Ἑκάβη ἁδινοῦ ἐξῆρχε γόοιο·
τέκνον, ἐγὼ δειλή· τί νυ βείομαι αἰνὰ παθοῦϲα,
ϲεῦ ἀποτεθνηῶτοϲ; ὅ μοι νύκτάϲ τε καὶ ἦμαρ
εὐχωλὴ κατὰ ἄϲτυ πελέϲκεο, πᾶϲί τ' ὄνειαρ,
Τρωϲί τε καὶ Τρῳῇϲι κατὰ πτόλιν, οἵ ϲε θεὸν ὣϲ
δειδέχατ'· ἦ γὰρ καί ϲφι μάλα μέγα κῦδοϲ ἔηϲθα
ζωὸϲ ἐών· νῦν αὖ θάνατοϲ καὶ μοῖρα κιχάνει.

V. ι. 425 ὧϲ D. κατοΐϲετει D. κατ' οἴϲεται H. ἄϊδόϲδε C. ἄιδοϲ δὲ Ven. B. — 426 ὄφελε G Vrat. A. ὤφελε E. ὄφελλε Rom. ἐμῆϲι AC DE Vrat. A. — 427 τῶ ACGHL. τῷ E. τώ D. — 428 θ' omitt. D. — 429 ὡϲ AD 1. man. φάτο D. ἐπι AD. δε D. δ' ἐϲτενάχοντο EH Lips. Vrat. A. γυναῖκεϲ D et man rec. γρ. καὶ πολίται. γρ. γέροντεϲ A. πολίται G. — 430 τρωιῆϲιν A. τρῳῆϲιν L. αδινοῦ A. — 431 ἕκτορ ἐγώ Et. Mg. 198, 8. ἕκτορ τέκνον ἐμόν, τί νυ βείομαι Et. Mg. 496, 17. ἕκτωρ ἐγώ, τὸ γὰρ βέω corrupte Et. Gud. 109, 27. βείομαι ACEGL Ven. B. Lips. Paris. C. 1. man. D. J. Et. Mg. 198, 8. 496, 17. Schol. Π 852. βῖομαι H, ει add. man. rec. Paris. E. βίομαι D Cant. Mor. Vrat. d. A. Paris. A. C. man. sec. schol. ε 299. παθοῦϲα libri. — 432 ἀποτεθνηῶτοϲ Vrat. b. Paris. A. B. C. F. J. ἀποτεθνῃῶτοϲ L. ἀποτεθνηῶτοϲ A. ἀποτεθνειῶτοϲ CDE bis GH. νύκτάϲ τε A. ἦμαρ D. — 433 πελέϲκετο C. — 434 τρῳϲὶ L. τρωιῆϲι AL. κατα AD. πόλιν D. ὡϲ A. — 435 γὰρ καί DL Lips. Barocc. Mor. Paris. A. ceteri γὰρ κέ, inepte. ἔηιϲθα A. — 436 νῦν δ' αὖ L Lips. Vrat. A. Paris. A C.

A. c. 430 ἀδινοῦ: Ἀρίϲταρχοϲ ἀθρόου Schol. V, cui fidem non habeo. ἀθρόου est glossa, conf. Schol. A ad Ψ 17 ἀδινοῦ: ἀθρόου, οἰκτροῦ. Apoll. Soph. 9, 4 ἀδινοῖο γόοιο, τοῦ ἀθρόωϲ ἐκχεομένου. Et. Mg. 17, 36. Suidas I, 1, 105, 7. — 431 ἀρίϲταρχοϲ διὰ τοῦ η̄ βήομαι, βιώϲομαι (cod. βηωϲομαι) Didymus. τὸ δὲ βείομαι Ἀρίϲταρχοϲ διὰ τοῦ ἰῶτα γράφει, ἵν' ᾖ πῶϲ βιώϲομαι καὶ ζήϲομαι ϲοῦ θανόντοϲ. τὸ δὲ αἰνὰ παθοῦϲα τεκοῦϲα γράφει Schol. BV. non adducor ut credam Aristarchum βείομαι scripsisse, obstant enim testimonia scholiorum, et si βείομαι scripsisset scholio A additum fuisset οὕτωϲ, i. e. sicut in textu. restant scripturae βίομαι et βήομαι; hanc Aristarcho tribuo, qui in formis huic similibus ε̄ non in εῑ sed in η̄ producere solebat, conf. περιϲτήωϲ' Ρ 95. μιγήῃϲ, ἀνήῃ, φανήῃ (H. U. 153 sq.) ἔκηα λ 76. ν 24. τεθνηώϲ (H. T. 282). de βίομαι dubito an genuina sit lectio, nam forma primitiva βέομαι Ο 194 (βέῃ Π 852. Ω 131) facere non potest βίομαι, sed βείομαι vel βήομαι. nec βιόμεϲθα (quod Wolfius in βεόμεϲθα mutavit) Hymn. in Apoll. Pyth. 350. in auxilium vocari potest, habet enim ῑ correptum, quum nostro loco ῑ sit productum. βείομαι Aristarcho addixit Hoffmannus, βίομαι Heynius, βήομαι vel βίομαι Bekkerus.

ὣϲ ἔφατο κλαίουϲ', ἄλοχοϲ δ' οὔ πώ τι πέπυϲτο
Ἕκτοροϲ· οὐ γάρ οἵ τιϲ ἐτήτυμοϲ ἄγγελοϲ ἐλθὼν
ἤγγειλ' ὅττί ῥά οἱ πόϲιϲ ἔκτοθι μίμνε πυλάων,
ἀλλ' ἥ γ' ἱϲτὸν ὕφαινε μυχῷ δόμου ὑψηλοῖο
δίπλακα πορφυρέην, ἐν δὲ θρόνα ποικίλ' ἔπαϲϲε.
κέκλετο δ' ἀμφιπόλοιϲιν ἐυπλοκάμοιϲ κατὰ δῶμα
ἀμφὶ πυρὶ ϲτῆϲαι τρίποδα μέγαν, ὄφρα πέλοιτο
Ἕκτορι θερμὰ λοετρὰ μάχηϲ ἐκ νοϲτήϲαντι,
νηπίη, οὐδ' ἐνόηϲεν ὅ μιν μάλα τῆλε λοετρῶν
χερϲὶν Ἀχιλλῆοϲ δάμαϲε γλαυκῶπιϲ Ἀθήνη.
κωκυτοῦ δ' ἤκουϲε καὶ οἰμωγῆϲ ἀπὸ πύργου·
τῆϲ δ' ἐλελίχθη γυῖα, χαμαὶ δέ οἱ ἔκπεϲε κερκίϲ.
ἡ δ' αὖτιϲ δμῳῇϲιν ἐυπλοκάμοιϲι μετηύδα·
δεῦτε, δύω μοι ἕπεϲθον, ἴδωμ' ὅτιν' ἔργα τέτυκται.
αἰδοίηϲ ἑκυρῆϲ ὀπὸϲ ἔκλυον, ἐν δέ μοι αὐτῇ
ϲτήθεϲι πάλλεται ἦτορ ἀνὰ ϲτόμα, νέρθε δὲ γοῦνα
πήγνυται· ἐγγὺϲ δή τι κακὸν Πριάμοιο τέκεϲϲιν.

V. ι. 437 ὡϲ AD 1. man. φάτο D ut 429. — 438 οἱ τῖϲ C. οἱ τϊϲ H. γάρ πωϲ ἐτήτυμον ἄγγελον ηλθεν (inscriptis ε in η et ω in ε ut sit ἐλθὼν) D. — 440 ἥφαινε G. — 441 πορφυρέην ACDELS Lips. Ven. B. Barocc. Mor. Harl. Townl. Vrat. b. Mosc. 2. octo Pariss. μαρμαρέην GH edd. vett. γράφεται καὶ μαρμαρέην Vict. θρόνα: θρόα CLS Ven. B. Paris. L. 1. man. ἔπαϲϲε ACDEGL. — 442 εὐπλοκάμοιϲ H. ἐϋπλοκάμοιϲι L. κατα AD 1. man. δῶμα: δῶ H. — 443 ἀμφι AD 1. man. πυρὴν Mosc. 2. πέλοι H. — 444 ἐκνοϲτήϲαντι ACDGHL: ἐκ νοϲτήϲαντι nullus. conf. Ε 157. Ρ 207. Ω 705. μάχηϲ in A post νοϲτήϲαντι collocatum correxit librarius suprascriptis numeris I et II. — 446 ἀχϊλῆοϲ CD. δάμαϲεν GHL. — 449 ἥδ' CGL. αὖθϊϲ C. αὖτϊ H. δμωιῆϲιν solus A. εὐπλοκάμοιϲι DH. — 450 ὅτιν' ACEGH Ven. B. Townl. 1. man. ὅτι DL Lips. Vrat. A. Paris. B. ὅτινα Paris. F. ἅτιν' Vrat. b. Paris. E. — 451 αἰδοίνηϲ G. ἐν δέ μοι ACDEGHS. ἐν δ' ἐμοὶ L Lips. — 452 ϲτήθεϲϲι C. ἀνα D. δὲ omitt. L.

A. c. 450 pro ὅτιν' ἔργα Hoffmannus olim (Quaest. Hom. § 201, 9) scribendum esse coniecerat τίνα ἔργα, nunc scripturam ὅτι ἔργα potiorem habet, quam defendit analogia locorum κ 44 ὅττι τάδ' ἐϲτίν. Ϲ 128 ταῦτα ἐτήτυμον (qui locus est aliter explicandus). Χ 73 πάντα, ὅττι. cui assentirer, si substantivo ἔργα pronomen esset additum ὅτι τάδ' ἔργα τέτυκται, ut explicandum sit „quaenam sit haec res"; sed ut nunc est, sententia postulat pronomen relativum „videbo, quae res acciderint". ceterum hoc loco non solum in ἔργα sed etiam in ἴδωμι neglectum est digammum. — 451 pro δέ μοι αὐτῇ recentiores editores ex deterioribus libris receperunt δ' ἐμοί, qua forma non opus esse docent haec exempla: οὐδέ μοι αὐτῇ ε 190. ἀλλά μοι αὐτῷ ο 371. δέ μοι αὐτῷ ψ 281. Ζ 338. αὐτῷ μοι ἐπέϲϲυτο Ε 459. 884. μή τί μοι αὐτῷ ε 179. κ 374. plura exempla congessimus H. U. pg. 136 sqq.

αἲ γὰρ ἀπ' οὔατος εἴη ἐμεῦ ἔπος· ἀλλὰ μάλ' αἰνῶς
δείδω, μὴ δή μοι θραϲὺν Ἕκτορα δῖος Ἀχιλλεὺς
μοῦνον ἀποτμήξας πόλιος πεδίον δὲ δίηται,
καὶ δή μιν καταπαύςῃ ἀγηνορίης ἀλεγεινῆς,
ἥ μιν ἔχεςκ', ἐπεὶ οὔ ποτ' ἐνὶ πληθυῖ μένεν ἀνδρῶν,
ἀλλὰ πολὺ προθέεςκε, τὸ ὃν μένος οὐδενὶ εἴκων.
ὣς φαμένη μεγάροιο διέςςυτο μαινάδι ἴςη,
παλλομένη κραδίην· ἅμα δ' ἀμφίπολοι κίον αὐτῇ.
αὐτὰρ ἐπεὶ πύργόν τε καὶ ἀνδρῶν ἷξεν ὅμιλον,
ἔςτη παπτήναϲ' ἐπὶ τείχεϊ, τὸν δὲ νόηςεν
ἑλκόμενον πρόςθεν πόλιος· ταχέες δέ μιν ἵπποι
ἕλκον ἀκηδέςτως κοίλας ἐπὶ νῆας Ἀχαιῶν.
τὴν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν,
ἤριπε δ' ἐξοπίςω, ἀπὸ δὲ ψυχὴν ἐκάπυςςε.
τῆλε δ' ἀπὸ κρατὸς βάλε δέςματα ςιγαλόεντα,
ἄμπυκα κεκρύφαλόν τε ἰδὲ πλεκτὴν ἀναδέςμην
κρήδεμνόν θ', ὅ ῥά οἱ δῶκε χρυςέη Ἀφροδίτη
ἤματι τῷ, ὅτε μιν κορυθαίολος ἠγάγεθ' Ἕκτωρ
ἐκ δόμου Ἠετίωνος, ἐπεὶ πόρε μυρία ἕδνα.
ἀμφὶ δέ μιν γαλόῳ τε καὶ εἰνατέρες ἅλις ἔςταν,

V. ι. 454 εἴη ἔπος ἐμεῦ Vrat. b. — 455 ἀχϊλεὺς C. — 456 πεδίον δὲ AG. πεδίοιο Vrat. d. — 457 καταπαύςει EL Vrat. A. — 458 ἐνι AD ex corr. ἐν D 1. man. πληθύϊ ACDE ter GH. πλήθει S Cant. Mor. μένεν CELS Ven. B. μένε D. μέν' AH Flor. μὲν G. — 459 ἀλλα A. τεὸν μένος DH. — 460 ὡς A. ἴςηι ADL. — 461 κραδίη D. κραδίῃ Mosc. 2. conf. παλλόμεναι κραδίην Quint. Smyrn. XIII, 115. ἐκ πλήγη φρένας N 394. Π 403. κατεπλήγη φίλον ἦτορ Γ 31. ἄχεϊ βεβολημένος ἦτορ Ι 9. — 462 πύργόν τε AC. πύργων D. ἵξεν DH. ἶξεν A. — 463 παπτήιναϲ' C. δ' ἐνόηςεν libri. — 464 habet H in marg. man. rec. πρόςθε DE. — 465 κοῖλας D. ἐπῖ H. — 466 τήνδε G. ἐκάλυψε A Vrat. A. — 467 ἀπο H. ἐκάπυςςε AEGL. — 468 ἀπο A. βάλε L Lips. Paris. A. C. χέε ACD EGH Ven. B. ςχέε S. — 469 τε ἰδὲ ACDHL Lips. Ven. B. Harl. Flor. Rom. Apoll. Soph. 25, 7 et 33. 2. „vitiose ubique legitur τε ἰδὲ cum hiatu" Heyne. τε ἠδὲ EG. τ' ἠδὲ Schol. Pind. Olymp. V, 15. VII, 118. — 470 τε ὁ ῥά D. ὃ ῥά οἱ C. χρυςῆ ACEGHLS. χρυςὴ D. — 471 ἤματι D. ὅτέ μιν H. κορυθαιόλος A. κορυθαιόλος DH. — 472 ἔδνα CG. ἑδνα D. — 473 ἀμφι D. γαλόων τε D. γρ. ἅλις ἦςαν A. ita Flor. Rom. Paris. L. ἔςαν E Vrat. d. A.

A. c. 458 πληθυῖ bisyllabum est ut λ 514 ἐνὶ πληθυῖ μένεν ἀνδρῶν. π 105 με πληθυῖ θαμαςαίατο, ubi octo libri πληθύι. conf. θρήνυι ρ 504. ὀρχηςτυῖ ρ 605 (ὀρχηςτύι quinque). ἰξυῖ ε 231. κ 544. πλήθει legitur P 330. Ψ 639. — 468 ἀρίςταρχος βάλε δέςματα, αἱ δὲ κοιναὶ χέε Didymus. — 470 θ': ἐκ πλήρους ὁ τέ ςύνδεςμος κρήδεμνόν τε, οὕτως ἅπαςαι Didymus. — 473 γαλόῳ veteres, non γάλοῳ.

αἵ ἑ μετὰ ςφίςιν εἶχον ἀτυζομένην ἀπολέςθαι.
ἡ δ' ἐπεὶ οὖν ἔμπνυτο καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
ἀμβλήδην γοόωςα μετὰ Τρῳῇςιν ἔειπεν·
Ἕκτορ, ἐγὼ δύςτηνος· ἰῇ ἄρα γεινόμεθ' αἴςῃ
ἀμφότεροι, ςὺ μὲν ἐν Τροίῃ Πριάμου κατὰ δῶμα,
αὐτὰρ ἐγὼ Θήβῃςιν ὑπὸ Πλάκῳ ὑληέςςῃ
ἐν δόμῳ Ἠετίωνος, ὅ μ' ἔτρεφε τυτθὸν ἐοῦςαν,
δύςμορος αἰνόμορον· ὡς μὴ ὤφελλε τεκέςθαι.
νῦν δὲ ςὺ μὲν Ἀίδαο δόμους ὑπὸ κεύθεςι γαίης
ἔρχεαι, αὐτὰρ ἐμὲ ςτυγερῷ ἐνὶ πένθεϊ λείπεις
χήρην ἐν μεγάροιςι. πάις δ' ἔτι νήπιος αὔτως,
ὃν τέκομεν ςύ τ' ἐγώ τε δυςάμμοροι· οὔτε ςὺ τούτῳ
ἔςςεαι Ἕκτορ ὄνειαρ, ἐπεὶ θάνες, οὔτε ςοὶ οὗτος.
ἤν περ γὰρ πόλεμόν γε φύγῃ πολύδακρυν Ἀχαιῶν,
αἰεί τοι τούτῳ γε πόνος καὶ κήδε' ὀπίςςω
ἔςςοντ'· ἄλλοι γάρ οἱ ἀπουρίςςουςιν ἀρούρας.

V. ι. 474 μετα D. μετά ςφιςϊν H. μεταςφῆϲ' ἔχον L. μετὰ ςφῆϲ' ἔχον Lips. ςφῆςιν C. ἀτυζομένης L. ἀπολέςθαι ἢ ὀλέεςθαι E. — 475 ἣ δ' D acc. man. rec. ἥδ' CGL. ἐπείρ' Apoll. Soph. 8, 22. ἀλλ' ἐπεὶ H Vrat. d. * ἔμπνυτο: libri ἄμπνυτο. θυμὸν Schol. X 468. Flor. Rom. ἄγερθεν L. — 476 τρωιῇςιν A: ceteri τρωῇςιν. μετα D. δμωῇςιν DL Lips. Paris. A. C. Dion. Halic. de Comp. Verb. XV. Apoll. Soph. 26, 28. — 477 γεινόμεθ' ACE Lips. Ven. B. Strabo XIII, 585. γινόμεθ' G Vrat. A. Schol. Z 422. γεινάμεθ' Paris. E. ἄρ ἐγεινόμεθ' H. ἀρὰ νυκτὶ γεινόμεςθα D conf. K 71. Υ 128. Ψ 79. Ω 210. δ 208. η 198. — 478 κατα D. — 479 θήβηφι L. ὑποπλάκῳ CDEHL. — 480 ὅ μ' D 1. man. cum plerisque. ὅς μ' D ex corr. H. με τρέφε Lips. Paris. A. C. ἐόντα C. — 481 δύςμορον Mosc. 2. Harl. ὤφελε D. ὤφειλε Paris. A. ὡς μὴ ὄφελεν τεκέεςθαι Paris. E. — 482 πῶς δὲ ςὺ H. μὲν: μέν ῥ' C Ven. B. Harl. Mor. Mosc. 2. quattuor Pariss. ὑπο A. κεύθεςςϊ C. — 483 ἐνι AD. ἐν Vrat. A. Flor. — 484 παῖς D. δέ τι DH. δέ τε S Cant. Paris. D. δέ γε Paris. C. αὔτως AEGH Ven. B. ex corr. — 485 τε omitt. L Lips. τοῦτο D. — 486 οὕτως D. — 487 ἢν γὰρ δὴ AH ex corr. ἥν περ γὰρ δὴ Paris K. ceteri ἥν περ γὰρ. γρ. ἥν περ γὰρ A. πόλεμόν τε Lips. (?) Vrat. d. Paris. A. G. J. K. Rom. πολέμου φύγῃ D ex corr. φύγοι Barocc. Mor. — 488 τοι omitt. H. Flor. αἰεὶ δὴ Paris. E. ἐν ἄλλῳ ἀλλ' ἤτοι τούτῳ A. — 489 ἀπουρίςςουςιν AEGHL Schol. A 356. Hesychius I, 262 et plerique Heynii libri. ἀπουρίςουςιν DS Vrat. A. Apoll. Soph. 39, 3. ἀπουρήςουςιν C Ven. B. Harl. Mosc. 2. Paris. B. H.

A. c. 475 διὰ τοῦ ε̄ Ἀρίςταρχος ἔμπνυτο Didymus, conf. Ε 697. ε 458. — 478 κατὰ δῶμα: αἱ κοινότεραι πριάμου ἐνὶ οἴκῳ Didymus. — 480 ὅτι ἀντὶ τοῦ τυτθὴν καὶ ὅτι τὸ ὅ ἀντὶ τοῦ ὅς Aristonicus. ὅ μ' est igitur lectio Aristarchea, conf. H. T. 326. Didym. ad α 300. — 487—499 ἀθετοῦνται ςτίχοι ιγ' Aristonicus, conf. Apoll. Soph. 159, 3.

ἦμαρ δ' ὀρφανικὸν παναφήλικα παῖδα τίθηcι·
πάντα δ' ὑπεμνήμυκε, δεδάκρυνται δὲ παρειαί.
δευόμενοc δέ τ' ἄνειcι πάιc ἐc πατρὸc ἑταίρουc,
ἄλλον μὲν χλαίνηc ἐρύων, ἄλλον δὲ χιτῶνοc·
τῶν δ' ἐλεηcάντων κοτύλην τιc τυτθὸν ἐπέcχε,
χείλεα μέν τ' ἐδίην', ὑπερῴην δ' οὐκ ἐδίηνε.
τὸν δὲ καὶ ἀμφιθαλὴc ἐκ δαιτύοc ἐcτυφέλιξε,
χερcὶν πεπληγὼc καὶ ὀνειδείοιcιν ἐνίccων·
ἔρρ' οὕτωc· οὐ cόc γε πατὴρ μεταδαίνυται ἡμῖν.
δακρυόειc δέ τ' ἄνειcι πάιc ἐc μητέρα χήρην,
Ἀcτυάναξ, ὃc πρὶν μὲν ἑοῦ ἐπὶ γούναcι πατρὸc
μυελὸν οἶον ἔδεcκε καὶ οἰῶν πίονα δημόν·
αὐτὰρ ὅθ' ὕπνοc ἕλοι, παύcαιτό τε νηπιαχεύων,
εὕδεcκ' ἐν λέκτροιcιν, ἐν ἀγκαλίδεccι τιθήνηc,
εὐνῇ ἔνι μαλακῇ, θαλέων ἐμπληcάμενοc κῆρ.
νῦν δ' ἂν πολλὰ πάθηcι φίλου ἀπὸ πατρὸc ἁμαρτών,
Ἀcτυάναξ, ὃν Τρῶεc ἐπίκληcιν καλέουcιν·
οἶοc γάρ cφιν ἔρυcο πύλαc καὶ τείχεα μακρά.
νῦν δὲ cὲ μὲν παρὰ νηυcὶ κορωνίcι νόcφι τοκήων
αἰόλαι εὐλαὶ ἔδονται, ἐπεί κε κύνεc κορέcωνται,
γυμνόν· ἀτάρ τοι εἵματ' ἐνὶ μεγάροιcι κέονται

V. ι. 490 ἦμαρ D. παναφήλικα A. τίθηcι ACDEGH. — 491 ὑπεμνήμυκε libri cum Apoll. Soph. 67, 18. 159, 4. Hesych. IV, 202. Et. Mg. 777, 47. ὑπομνήμυκε Harl. Mosc. 2. Paris. H. δεδάκρυντο Apoll. Soph. 159, 6. παρειά C Ven. B. Harl. Mosc. 2. Paris. H. — 494 τῖc CD. τυτθὸν omitt. D. ἐπέcχε ACDEGH. — 495 μέν τε δίηνε D 1. man. et δίην' ex corr. τε δίην' Vrat. d. τ' ἐδίηνεν L Lips. τ' ἐδίῃν' C Maxim. Tyr. Diss. V, 5. ἐδίηνε ADE. ἐδίῃνε CGH. ἐδίῃνεν Maxim. Tyr. l. l. — 496 ἀμφιθαλῆc G. ἐcτυφέλιξε ACDEGHL. — 497 χερcὶ DEGL Lips. ὀνειδείοιc H. ὀνειδίοιc E Lips. ὀνειδίοιcιν Harl. ἐνίccων D. 1. man. cum plerisque. ἐνίcπων D ex corr. S Cant. Vrat. b. A. — 498 οὕτωc: οὗτοc CDH. „nusquam reperio ἔῤῥ' οὗτοc" Heyne, quod non miror. μετὰ δαίνυται A Vrat. d. — 499 ἐc: πρὸc Vrat. A. — 500 ἀcτυάναξ A. ἐπι DH. γούνατα H Vrat. d.
τα αι
γούναcι A. — 502 παύcετό C. νήπι' ἀχεύων Paris. G. J. — 503 εὕδεcκεν λέκτροιcιν Mosc. 2. εὕδεcκεν ἐν E. ἐναγκαλίδεccι D. — 504 ἐνι AD. ἐνὶ CEGHL. — 505 ἀπο AC. — 506 ἀcτυάναξ A. τρῷεc L. ὃν πάντεc Mor. Barocc. γρ. τρῶεc Barocc. — 507 γάρ μιν D. ἔρῡcο C. — 508 δέ cε G. παρα A. — 509 omitt. Lips. in textu, habet in marg. man. rec. κορέcωνται AEGH. κορέccωνται D. κορέcονται C Harl. Lips. Vrat. d. Mosc. 2. Ven. B. sex Pariss. κορέccονται L. — 510 ἀτάρ μοι Pseudoplut. 155, 49. ἐνι AD. κεοντο H.

A. c. 491 ἀρίcταρχοc οὐδετέρωc παρειά Didymus, conf. H. T. 332.

λεπτά τε καὶ χαρίεντα, τετυγμένα χερcὶ γυναικῶν.
ἀλλ' ἤ τοι τάδε πάντα καταφλέξω πυρὶ κηλέῳ,
οὐδὲν cοί γ' ὄφελοc, ἐπεὶ οὐκ ἐγκείcεαι αὐτοῖc,
ἀλλὰ πρὸc Τρώων καὶ Τρωιάδων κλέοc εἶναι.
ὣc ἔφατο κλαίουc', ἐπὶ δὲ cτενάχοντο γυναῖκεc.

ΙΛΙΑΔΟC Ψ.

Ὣc οἱ μὲν cτενάχοντο κατὰ πτόλιν· αὐτὰρ Ἀχαιοὶ
ἐπεὶ δὴ νῆάc τε καὶ Ἑλλήcποντον ἵκοντο,
οἱ μὲν ἄρ' ἐcκίδναντο ἑὴν ἐπὶ νῆα ἕκαcτοc.
Μυρμιδόναc δ' οὐκ εἴα ἀποcκίδναcθαι Ἀχιλλεύc,
ἀλλ' ὅ γε οἷc ἑτάροιcι φιλοπτολέμοιcι μετηύδα·
Μυρμιδόνεc ταχύπωλοι, ἐμοὶ ἐρίηρεc ἑταῖροι,
μὴ δή πω ὑπ' ὄχεcφι λυώμεθα μώνυχαc ἵππουc,
ἀλλ' αὐτοῖc ἵπποιcι καὶ ἅρμαcιν ἆccον ἰόντεc
Πάτροκλον κλαίωμεν· ὃ γὰρ γέραc ἐcτὶ θανόντων.
αὐτὰρ ἐπεί κ' ὀλοοῖο τεταρπώμεcθα γόοιο,
ἵππουc λυcάμενοι δορπήcομεν ἐνθάδε πάντεc.
ὣc ἔφαθ', οἱ δ' ᾤμωξαν ἀολλέεc, ἦρχε δ' Ἀχιλλεύc.
οἱ δὲ τρὶc περὶ νεκρὸν ἐύτριχαc ἤλαcαν ἵππουc
μυρόμενοι· μετὰ δέ cφι Θέτιc γόου ἵμερον ὦρcε.
δεύοντο ψάμαθοι, δεύοντο δὲ τεύχεα φωτῶν
δάκρυcι· τοῖον γὰρ πόθεον μήcτωρα φόβοιο.
τοῖcι δὲ Πηλείδηc ἁδινοῦ ἐξῆρχε γόοιο,
χεῖραc ἐπ' ἀνδροφόνουc θέμενοc cτήθεccιν ἑταίρου·

V. ι. 512 ἤτοι libri. κηλεῷ CG. κηλειῶ H. — 513 οὐδέ cοι ὄφελοc D. ὄφελοc τ' Ven. B. addito τ' man. rec. — 514 προc A. τρῴων L. — 515 ὡc AD 1. man. φάτο D, ut 429, 437. κλαίουcα C. ἐπι DHL. δ' ἐcτενάχοντο E 1277, 28 H Lips. Vrat. A. γῦναικῶν H.

V. ι. 1 Ὧc A. — 2 ἐπεὶ δὴ Pseudoplut. 173, 42. libri ἐπειδὴ. ἐππειδὴ S. — 3 οἳ μὲν C. ἆρ ADGHL. ἐπι AD. — 4 ἀχῖλεὺc C. — 7 omittunt H Vrat. d. μηδέπω Bekk. An. 1147. ὑπόχεcφι D. — 8 ἄccον AD. — 9 κλαίομεν D. ὃ ACDEGHL. — 10 ἐπεὶ τ' L. τεταρπώμεθα AC.
c
τεταρπώμεθα D. — 12 ὡc A. οἳ δ' D. οἵδ' C. ἀχϊλεύc C. — 13 οἳ δὲ C. περι A. εὔτρϊχαc H. — 14 μετα AD. γόου θέτϊc C. ὦρcε ACDEGH. — 17 αδινοῦ A, ceteri ἀδινοῦ. — 18 ἐπ': ἀπ' G.

A. c. 18 οὕτωc ἀρίcταρχοc cὺν τῷ c̄ ἐπ' ἀνδροφόνουc Didymus.

χαῖρέ μοι ὦ Πάτροκλε καὶ εἰν Ἀΐδαο δόμοισι·
πάντα γὰρ ἤδη τοι τελέω, τὰ πάροιθεν ὑπέστην,
Ἕκτορα δεῦρ' ἐρύσας δώσειν κυσὶν ὠμὰ δάσασθαι,
δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσειν
Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείς.
ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα,
πρηνέα πὰρ λεχέεσσι Μενοιτιάδαο τανύσσας
ἐν κονίῃς. οἳ δ' ἔντε' ἀφωπλίζοντο ἕκαστος
χάλκεα μαρμαίροντα, λύον δ' ὑψηχέας ἵππους,
κὰδ δ' ἷζον παρὰ νηὶ ποδώκεος Αἰακίδαο
μυρίοι· αὐτὰρ ὃ τοῖσι τάφον μενοεικέα δαίνυ.
πολλοὶ μὲν βόες ἀργοὶ ὀρέχθεον ἀμφὶ σιδήρῳ
σφαζόμενοι, πολλοὶ δ' ὄιες καὶ μηκάδες αἶγες·
πολλοὶ δ' ἀργιόδοντες ὕες, θαλέθοντες ἀλοιφῇ,
εὑόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο·
πάντῃ δ' ἀμφὶ νέκυν κοτυλήρυτον ἔρρεεν αἷμα.
αὐτὰρ τόν γε ἄνακτα ποδώκεα Πηλεΐωνα
εἰς Ἀγαμέμνονα δῖον ἄγον βασιλῆες Ἀχαιῶν,
σπουδῇ παρπεπιθόντες ἑταίρου χωόμενον κῆρ.
οἳ δ' ὅτε δὴ κλισίην Ἀγαμέμνονος ἷξον ἰόντες,
αὐτίκα κηρύκεσσι λιγυφθόγγοισι κέλευσαν
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, εἰ·πεπίθοιεν

V. L. 19 δόμοισι ACDEG. — 20 σοι G Flor. τελέω (σω supra) H. τὰ, πάροιθεν L. προπάροιθεν Lips. ὑπέστη D. — 22 ἀποδειροτομήσω Vrat. d. — 23 τρῴων L. σέθε H 1. man. — 24 ῥὰ GHL. — 25 παρ D. παρελεχέεσσϊ H. τανύσας E Lips. Vrat. A. — 26 κονίῃσι E. κονίης' GL. οἵδ' CGL. ἕκαστος: ἕκαστοι GS Cant. Harl. Townl. Vrat. A. Flor. γρ. ἕκαστοι A. — 27 λύοντο δὲ μώνυχας ἵππους GS Cant. Mor. Barocc. Townl. Vrat. A. Flor. γρ. λύοντο δὲ μώνυχας ἵππους A. ὑψιχέας D. — 28 καδδ' ACDHL. καδδΐζον G. ἶζον A. ἰζον D. ἷζον CHL. παρα A. — 29 ὃ ACDGHL. δαῖνυ D 1. man. G. — 30 ἀργοὶ omitt. D. ἀμφι A. — 32 ἀργειόδοντες ὗες C. — 33 ευόμενοι A. δια A. — 34 πάντῃ AE Athenaeus XI, 478. ceteri πάντη· ἀμφι A. κοτυλήρυτον A. κοτυλήρυτον EH Apoll. Soph. 103, 21. Cram. An. Ox. III, 122, 14. Athenaeus. κοτυλήῤῥυτον DL C 1. man. (?) Lips. Vrat. A. Ven. B. κοτυλΐρρΰτον C post ras. κοτυλύρυτον G. ἔῤῥεεν: ῥέεν D. — 37 παρπεπίθοντες C. — 38 οἳ δ' L. οἵδ' C. ἵξον A. ἵξον CL post ras. ἶζον D. ἷζον G. — 39 κέλευσαν ACS Harl. Cant. Mor. Mosc. 2. Vrat. b. Ven. B. κέλευσεν EGHL Flor. Rom. κέλευσε D. — 40 ἀμφι AD.

A. c. 30 τινὲς ἀθετοῦσιν Schol. V. — 34 κοτυλἤρυτον Aristarchus, non κοτυλήρυτον. — 39 ἀρίσταρχος κέλευσαν πληθυντικῶς Didymus. ἐκέλευσαν πληθυντικῶς, οἱ βασιλεῖς, ὡς Ἡρωδιανός Schol. B.

Πηλείδην λούσασθαι ἄπο βρότον αἱματόεντα.
αὐτὰρ ὅ γ' ἠρνεῖτο στερεῶς, ἐπὶ δ' ὅρκον ὄμοσσεν·
οὐ μὰ Ζῆν', ὅς τίς τε θεῶν ὕπατος καὶ ἄριστος,
οὐ θέμις ἐστὶ λοετρὰ καρήατος ἆσσον ἱκέσθαι,
πρίν γ' ἐνὶ Πάτροκλον θέμεναι πυρὶ σῆμά τε χεῦαι
κείρασθαί τε κόμην, ἐπεὶ οὔ μ' ἔτι δεύτερον ὧδε
ἵξετ' ἄχος κραδίην, ὄφρα ζωοῖσι μετείω.
ἀλλ' ἦ τοι νῦν μὲν στυγερῇ πειθώμεθα δαιτί·
ἠῶθεν δ' ὄτρυνον ἄναξ ἀνδρῶν Ἀγάμεμνον
ὕλην τ' ἀξέμεναι παρά τε σχεῖν, ὅσσ' ἐπιεικὲς
νεκρὸν ἔχοντα νέεσθαι ὑπὸ ζόφον ἠερόεντα,
ὄφρ' ἦ τοι τοῦτον μὲν ἐπιφλέγῃ ἀκάματον πῦρ
θᾶσσον ἀπ' ὀφθαλμῶν, λαοὶ δ' ἐπὶ ἔργα τράπωνται.
ὣς ἔφαθ, οἳ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο.
ἐσσυμένως δ' ἄρα δόρπον ἐφοπλίσσαντες ἕκαστοι
δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐίσης.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
οἳ μὲν κακκείοντες ἔβαν κλισίην δὲ ἕκαστος,
Πηλείδης δ' ἐπὶ θινὶ πολυφλοίσβοιο θαλάσσης
κεῖτο βαρὺ στενάχων, πολέσιν μετὰ Μυρμιδόνεσσιν,
ἐν καθαρῷ, ὅθι κύματ' ἐπ' ἠιόνος κλύζεσκον.
εὖτε τὸν ὕπνος ἔμαρπτε λύων μελεδήματα θυμοῦ,

V. L. 41 ἄπὸ H. ἀπὸ E. ἀπὸ CDGL. — 42 αὐτὰρ ὃ D Vrat. b. d. ἐπϊ CDH. ὃρκον D. ὤμοσεν E. — 43 οὐ ACEHL. οὔ μα D. μα A. ὅς τῖς C: ceteri ὅστις. τε omitt. EL. — 44 ἄσσον AD. — 45 ἐνι AD. πυρὶ omitt. H. χεῦαι ADS Cant. Harl. Mosc. 2. Vrat. A. Flor. Rom. τ' εχεῦαι H. χεῦσαι CGL. — 46 κείρεσθαί H Vrat. d. οὐδέ με δεύτερον H Vrat. d. ἐν ἄλλῳ ἐπεὶ οὔ τι με A. — 47 εἵξετ' E. μετϊείω H. — 48 ἀλλάγε δὴ νῦν μὲν D. μὲν νῦν G: ceteri νῦν μὲν cum Barocc. Harl. Townl. Mosc. 2. Vrat. b. d. — 50 ὅσσ' AC. ὅσ' D post. ras. ὡς EGHLS Schol. Ψ 139 et Heynii libri; ita editores usque ad Bekkerum. — 51 ὑπο A. — 52 ἤτοι libri. ἐπιφλέγει Barocc. Townl. — 53 ἐπι D. ἐπιέργα A. — 54 ὡς AD 1. man. οἳ δ' L. οἵδ' C. ἠδ' ἐπίθοντο libri. — 55 ἐφοπλίσαντες CEG. ἐφοπλίσαντο D. ἐφωπλίσαντο Eust. 1285, 42. ἐφοπλίσσαντο Bentleius versu sequenti eiecto. — 56 οὐδ' ἔτι A. — 57 ἐξέρον DH. ἕντο DL Syr. ἔντο Flor. Rom. — 58 κλισίην δὲ AG. ΚΛΙΣΙΗΝΔΈ Syr. κλισίην δ' L. οἶκονδε D. — 59 ἐπι A. — 60 βαρὺ στενάχων AE: βαρυστενάχων CDGHL Syr. πολέσι G Flor. Rom. πολλοῖσι D. μετα AD. — 61 ὅτι δὴ κύματ' D. ΟΘΙΔῊ Syr. ἐπ' ἠϊόνας Vrat. b. d. ἀπ' ἠϊόνος Vrat. A. κλύζεσκεν C Eust. 1287, 26 Harl. ἐκλύζεσκον Lips. κλύζεσκον (ε supra) A, adscripto in margine διχ[ῶς]. ceteri κλύζεσκον cum Eust. 1287, 30.

A. c. 48 οὕτως πειθώμεθα, οὐ τερπώμεθα Didymus.

νήδυμος ἀμφιχυθείς, μάλα γὰρ κάμε φαίδιμα γυῖα
Ἕκτορ' ἐπαΐσσων προτὶ Ἴλιον ἠνεμόεσσαν,
ἦλθε δ' ἐπὶ ψυχὴ Πατροκλῆος δειλοῖο,
πάντ' αὐτῷ μέγεθός τε καὶ ὄμματα κάλ' ἐικυῖα,
καὶ φωνήν, καὶ τοῖα περὶ χροῒ εἵματα ἕστο·
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔειπεν·
εὕδεις, αὐτὰρ ἐμεῖο λελασμένος ἔπλευ Ἀχιλλεῦ.
οὐ μέν μευ ζώοντος ἀκήδεις, ἀλλὰ θανόντος·
θάπτέ με ὅττι τάχιστα, πύλας Ἀίδαο περήσω.
τῆλέ με εἴργουσι ψυχαί, εἴδωλα καμόντων,
οὐδέ μέ πω μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσιν,
ἀλλ' αὕτως ἀλάλημαι ἀν' εὐρυπυλὲς Ἄϊδος δῶ.
καί μοι δὸς τὴν χεῖρ', ὀλοφύρομαι· οὐ γὰρ ἔτ' αὖτις
νίσομαι ἐξ Ἀίδαο, ἐπήν με πυρὸς λελάχητε.
οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
βουλὰς ἑζόμενοι βουλεύσομεν, ἀλλ' ἐμὲ μὲν κὴρ
ἀμφέχανε στυγερή, ἥ περ λάχε γεινόμενόν περ·
καὶ δὲ σοὶ αὐτῷ μοῖρα θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ
τείχει ὕπο Τρώων εὐηγενέων ἀπολέσθαι.

V. L. 63 κήδυμος G. — 64 προτιΐλιον D. ποτὶ L Lips. — 65 ἐπῒ H. ψυχῇ D ex corr. L. — 66 καλλ' G. καλά οἰκυῖα H. — 67 τοῖος L. περι D. — 68 omittunt H Vrat. d. στῆι A. ἆρ ADEGL. ὕπερ A. προς C. — 69 ἐμοῖο Barocc. Vrat. b. ἀχϊλεῦ C. — 70 μέν με C. ἐκήδεις L. — 71 θάπτέ με ὅτι A. θάπτε ὅττι με G. περῆσαι G Flor. — 72 με εἴργουσι ACDEGL Pseudoplut. 133, 39. Schol. β 183. εἴργουσιν H. μ' ἐέργουσι Dindorfius. ψυχαὶ καὶ εἴδωλα S. — 73 οὐδέ με ACDGHL. πω ACDEH LS Syr. Schol. ω 187. πως G. Heynius ex solo Harl. πω laudat. μίγεσθαι H. μίσγεσθ' D. — 74 αὔτως EGH Schol. Κ 167. αὐτως A. ἀνευρυπυλὲς A. — 75 εἴ μοι δὸς H. αὖθϊς CL. — 76 νίσομαι ACDEH ex corr. Townl. Vrat. b. d. A. νίσσομαι GH ex corr. LS. ΝΕΙΣΣΟΜΑΙ Syr. conf. Eust. 1288, 55. νείομαι Harl. Mosc. 2. ἐπεί Vrat. A. λελάχηται D Vrat. d. λελάχητε ^{αι} H, αι 2. man. add. — 77 ΟΎ Syr. μὲν γὰρ: γὰρ ἔτι Aeschines contra Timarchum § 149. Rhet. Gr. II, 450, 29. γρ. οὐ γὰρ ἔτι A. — 79 ἀμφ' ἔχανε C. ΑΜΦ' ΕΧΑΝΕ Syr. ἐμφέχανε H. ἀμφέλαχε Townl. γεινόμενον omnes. — 80 δε AD. δέ σοι H. ΕΠΙΙ ^{ε} ΚΕΛ' Syr., add. ε 2. man. ἀχϊλεῦ C. — 81 τείχε' L. τείχη D. ὑπὸ ACDGHL. ὕπο Schol. Ζ 488. 518. τρῴων L. εὐηγενέων libri omnes cum Schol. Ζ 488. 518. Λ 786. Et. Mg. 390, 34. Aeschin. l. l.

A. c. 63 Aristarchus νήδυμος. — 73 οὐδέ με, non οὐδ' ἐμὲ Herodianus. — 76 νίσομαι conf. H. T. 316. 317. — 77 μὲν γὰρ: ἔν τισι τῶν πολιτικῶν οὐ γὰρ ἔτι Didymus. — 81 εὐηγενέων: εὐηφενέων Aristophanes et Rhianus.

ἄλλο δέ τοι ἐρέω καὶ ἐφήσομαι, αἴ κε πίθηαι.
μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ' Ἀχιλλεῦ,
ἀλλ' ὁμοῦ, ὡς τράφομέν περ ἐν ὑμετέροισι δόμοισιν,
εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος
ἤγαγεν ὑμέτερον δ' ἀνδροκτασίης ὕπο λυγρῆς,
ἤματι τῷ, ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος,
νήπιος, οὐκ ἐθέλων, ἀμφ' ἀστραγάλοισι χολωθείς·
ἔνθά με δεξάμενος ἐν δώμασιν ἱππότα Πηλεὺς
ἔτραφέ τ' ἐνδυκέως καὶ σὸν θεράποντ' ὀνόμηνεν·
ὣς δὲ καὶ ὀστέα νῶιν ὁμὴ σορὸς ἀμφικαλύπτοι
χρύσεος ἀμφιφορεύς, τόν τοι πόρε πότνια μήτηρ.
τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
τίπτέ μοι ἠθείη κεφαλὴ δεῦρ' εἰλήλουθας,
καί μοι ταῦτα ἕκαστ' ἐπιτέλλεαι; αὐτὰρ ἐγώ τοι
πάντα μάλ' ἐκτελέω καὶ πείσομαι, ὡς σὺ κελεύεις.
ἀλλά μοι ἆσσον στῆθι· μίνυνθά περ ἀμφιβαλόντε
ἀλλήλους ὀλοοῖο τεταρπώμεσθα γόοιο.

V. L. 82 καὶ ἐφήσομαι, αἴ κε πίθηαι: σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν Aeschines. — 83 τιθείμεναι L Lips. cum Eust. 1289, 41. τιθήμεν' C. ὄστε' D. ἀχϊλεῦ C. — 84 ἐτράφην περ ADHS Townl. Cant. Vrat. d. A. Lucianus 48, 47. Bekk. Anecd. 948, 27. ὡς οὐ τράφην περ Cram. Epim. 28, 6. ἐτράφημεν CEGL Lips. Syr. Plato Phaedon. 72 C. Suidas II, 1, 1116, 3. Phot. Lex. 244. γρ. ἐτράφημεν A. ἐν: ἐφ' Plato. ἡμετέροισι Phot. Lex. δόμοισι D Syr. ἀλλ' ἵνα πέρ σε καὶ αὐτὸν ὁμοίη γαῖα κεκεύθῃ χρυσέῳ ἐν ἀμφιφορεῖ, τόν τοι πορε πότνια μήτηρ, ὡς ὁμοῦ ἐτράφεμέν περ ἐν ὑμετέροισι δόμοισιν Aeschines. — 85 ἐξοπόεντος D. — 86 ὑμέτερον δ' A. ἡμέτερον δ' D. ὑμέτερον δῶ Vrat. A. ὑπὸ ACDGHL Syr. — 87 ἤματι D. ὅτϊ H. ἐφιδάμαντος Harl. — 88 νήπιον D Vrat. d. — 89 ἔνθά με AC. ἐνθά με H. δεξάμενον L Lips. δόμοισιν D Lips. — 90 ἔτραφέ: ἔτρεφέ GLS Aeschines. ἔτρεφ' C. ὀνόμηνεν H. ΟΝΌΜΗΝΕ Syr. — 91 ὡς ACDGHL. ἀμφικαλύπτει ^{οι} L. — 93 ἀχϊλεύς C. — 94 τίπτέ μοι AC Et. Mg. 422, 10. τῦπτέ H. ἠλήλουθας E. — 95 ταῦτ' L Lips. ἐγώ σοι Vrat. A. — 96 ὥς με L. ἐν ἄλλῳ ὥς με κελεύεις A. — 97 ἄσσον A. ἄσσον D. ἀμφιβαλόντε ADE 1288, 19 GH Syr. ἀμφιβαλόντες CLS Lips. Eust. 1290, 32 Harl. Cant. Townl. Mosc. 2. Vrat. d. — 98 ὀλοοῖο: ἐν ἄλλῳ κρυεροῖο A. τεταρπώμεθα Eust. 1288, 19. ὀλοοῖό τε ταρπώμεθα Eust. 1290, 32.

A. c. 84 scripsi ὡς τράφομέν περ ex coniectura, nam περ in optimis libris legitur, et ε̄ augmenti in verbo τρέφειν nusquam apud Homerum corripitur. accedit quod numerus singularis ἐτράφην sententiae parum convenit, et ἔτραφον notione intransitiva etiam aliis locis (Β 661. Φ 279) a librariis parum eruditis depravatum est, vide adnot. ad Β 661. Φ 279. — 92 ἀθετεῖται Aristonicus. ἐν πάσαις (sc. exemplaribus recensionis Aristarcheae) οὐκ ἦν ὁ στίχος Schol. V. — 94 ἠθείη: Χαμαιλέων γράφει ὦ θείη κεφαλή Aristonicus, conf. Eust. 1290, 29.

νήδυμος ἀμφιχυθείς, μάλα γὰρ κάμε φαίδιμα γυῖα
Ἕκτορ᾽ ἐπαΐσσων προτὶ Ἴλιον ἠνεμόεσσαν,
ἦλθε δ᾽ ἐπὶ ψυχὴ Πατροκλῆος δειλοῖο,
πάντ᾽ αὐτῷ μέγεθός τε καὶ ὄμματα κάλ᾽ ἐικυῖα,
καὶ φωνήν, καὶ τοῖα περὶ χροῒ εἵματα ἔστο·
στῆ δ᾽ ἄρ᾽ ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔειπεν·
εὕδεις, αὐτὰρ ἐμεῖο λελασμένος ἔπλευ Ἀχιλλεῦ.
οὐ μέν μευ ζώοντος ἀκήδεις, ἀλλὰ θανόντος·
θάπτέ με ὅττι τάχιστα, πύλας Ἀΐδαο περήσω.
τῆλέ με εἴργουσι ψυχαί, εἴδωλα καμόντων,
οὐδέ μέ πω μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσιν,
ἀλλ᾽ αὔτως ἀλάλημαι ἀν᾽ εὐρυπυλὲς Ἄϊδος δῶ.
καί μοι δὸς τὴν χεῖρ᾽, ὀλοφύρομαι· οὐ γὰρ ἔτ᾽ αὖτις
νίσομαι ἐξ Ἀΐδαο, ἐπήν με πυρὸς λελάχητε.
οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
βουλὰς ἑζόμενοι βουλεύσομεν, ἀλλ᾽ ἐμὲ μὲν κὴρ
ἀμφέχανε στυγερή, ἥ περ λάχε γεινόμενόν περ·
καὶ δὲ σοὶ αὐτῷ μοῖρα θεοῖς ἐπιείκελ᾽ Ἀχιλλεῦ
τείχει ὕπο Τρώων εὐηγενέων ἀπολέσθαι.

V. L. 63 κήδυμος G. — 64 προτιΐλιον D. ποτὶ L Lips. — 65 ἐπῒ H. ψυχῇ D ex corr. L. — 66 καλλ᾽ G. καλά οἰκυῖα H. — 67 τοῖος L. περι D. — 68 omittunt H Vrat. d. στῆι A. ἂρ ADEGL. ὑπερ A. προς C. — 69 ἐμοῖο Barocc. Vrat. b. ἀχϊλεῦ C. — 70 μέν με C. ἐκήδεις L. — 71 θάπτέ με ὅτι A. θάπτε ὅττι με G. περῆσαι G Flor. — 72 με εἴργουσι ACDEGL Pseudoplut. 133, 39. Schol. β 183. εἴργουσιν H. μ᾽ ἐέργουσι Dindorfius. ψυχαὶ καὶ εἴδωλα S. — 73 οὐδέ με ACDGHL. πω ACDEH LS Syr. Schol. ω 187. πως G. Heynius ex solo Harl. πω laudat. μίγεσθαι H. μίσγεσθ᾽ D. — 74 αὔτως EGH Schol. K 167. αύτως A. ἀνευρυπυλὲς A. — 75 εἴ μοι δὸς H. αὖθϊς CL. — 76 νίσομαι ACDEH ex corr. Townl. Vrat. b. d. A. νίσσομαι GH ex corr. LS. ΝΕΙϹϹΟΜΑΙ Syr. conf. Eust. 1288, 55. νείομαι Harl. Mosc. 2. ἐπεί Vrat. A. λελάχηται D Vrat. d. λελάχητε [αι] H, αι 2. man. add. — 77 ΟΎ Syr. μὲν γὰρ: γὰρ ἔτι Aeschines contra Timarchum § 149. Rhet. Gr. II, 450, 29. γρ. οὐ γὰρ ἔτι A. — 79 ἀμφ᾽ ἔχανε C. ΑΜΦ᾽ ΈΧΑΝΕ Syr. ἐμφέχανε H. ἀμφέλαχε Townl. γεινόμενον omnes. — 80 δε AD. δέ σοι H. ΕΠΙΙΚΕΛ᾽ [ε] Syr., add. ε 2. man. ἀχϊλεῦ C. — 81 τείχε᾽ L. τείχη D. ὑπὸ ACDGHL. ὕπο Schol. Z 488. 518. τρῴων L. εὐηγενέων libri omnes cum Schol. Z 488. 518. Λ 786. Et. Mg. 390, 34. Aeschin. l. l.

A. c. 63 Aristarchus νήδυμος. — 73 οὐδέ με, non οὐδ᾽ ἐμὲ Herodianus. — 76 νίσομαι conf. H. T. 316. 317. — 77 μὲν γὰρ: ἔν τισι τῶν πολιτικῶν οὐ γὰρ ἔτι Didymus. — 81 εὐηγενέων: εὐηφενέων Aristophanes et Rhianus.

ἄλλο δέ τοι ἐρέω καὶ ἐφήσομαι, αἴ κε πίθηαι.
μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ᾽ Ἀχιλλεῦ,
ἀλλ᾽ ὁμοῦ, ὡς τράφομέν περ ἐν ὑμετέροισι δόμοισιν,
εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος
ἤγαγεν ὑμέτερον δ᾽ ἀνδροκτασίης ὕπο λυγρῆς,
ἤματι τῷ, ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος,
νήπιος, οὐκ ἐθέλων, ἀμφ᾽ ἀστραγάλοισι χολωθείς·
ἔνθά με δεξάμενος ἐν δώμασιν ἱππότα Πηλεὺς
ἔτραφέ τ᾽ ἐνδυκέως καὶ σὸν θεράποντ᾽ ὀνόμηνεν·
ὣς δὲ καὶ ὀστέα νῶιν ὁμὴ σορὸς ἀμφικαλύπτοι
χρύσεος ἀμφιφορεύς, τόν τοι πόρε πότνια μήτηρ.
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
τίπτέ μοι ἠθείη κεφαλὴ δεῦρ᾽ εἰλήλουθας,
καί μοι ταῦτα ἕκαστ᾽ ἐπιτέλλεαι; αὐτὰρ ἐγώ τοι
πάντα μάλ᾽ ἐκτελέω καὶ πείσομαι, ὡς σὺ κελεύεις.
ἀλλά μοι ἆσσον στῆθι· μίνυνθά περ ἀμφιβαλόντε
ἀλλήλους ὀλοοῖο τεταρπώμεσθα γόοιο.

V. L. 82 καὶ ἐφήσομαι, αἴ κε πίθηαι: σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν Aeschines. — 83 τιθείμεναι L Lips. cum Eust. 1289, 41. τιθήμεν᾽ C. ὅστε᾽ D. ἀχϊλεῦ C. — 84 ἐτράφην περ ADHS Townl. Cant. Vrat. d. A. Lucianus 48, 47. Bekk. Anecd. 948, 27. ὡς οὐ τράφην περ Cram. Epim. 28, 6. ἐτράφημεν CEGL Lips. Syr. Plato Phaedon. 72 C. Suidas II, 1, 1116, 3. Phot. Lex. 244. γρ. ἐτράφημεν A. ἐν: ἐφ᾽ Plato. ἡμετέροισι Phot. Lex. δόμοισι D Syr. ἀλλ᾽ ἵνα πέρ σε καὶ αὐτὸν ὁμοίη γαῖα κεκεύθῃ χρυσέῳ ἐν ἀμφιφορεῖ, τόν τοι πορε πότνια μήτηρ, ὡς ὁμοῦ ἐτράφεμέν περ ἐν ὑμετέροισι δόμοισιν Aeschines. — 85 ἐξοπόεντος D. — 86 ὑμέτερον δ᾽ A. ἡμέτερον δ᾽ D. ὑμέτερον δῶ Vrat. A. ὑπὸ ACDGHL Syr. — 87 ἤματι D. ὅτϊ H. ἐφιδάμαντος Harl. — 88 νήπιον D Vrat. d. — 89 ἔνθά με AC. ἐνθά με H. δεξάμενον L Lips. δόμοισιν D Lips. — 90 ἔτραφέ: ἔτρεφέ GLS Aeschines. ἔτρεφ᾽ C. ὀνόμῃνεν H. ΟΝΌΜΗΝΕ Syr. — 91 ὡς ACDGHL. ἀμφικαλύπτει [οι] L. — 93 ἀχϊλεύς C. — 94 τίπτέ μοι AC Et. Mg. 422, 10. τῦπτέ H. ἠλήλουθας E. — 95 ταῦτ᾽ L Lips. ἐγώ σοι Vrat. A. — 96 ὥς με L. ἐν ἄλλῳ ὥς με κελεύεις A. — 97 ἁσσον A. ἄσσον D. ἀμφιβαλόντε ADE 1288, 19 GH Syr. ἀμφιβαλόντες CLS Lips. Eust. 1290, 32 Harl. Cant. Townl. Mosc. 2. Vrat. d. — 98 ὀλοοῖο: ἐν ἄλλῳ κρυεροῖο A. τεταρπώμεθα Eust. 1288, 19. ὀλοοῖό τε ταρπώμεθα Eust. 1290, 32.

A. c. 84 scripsi ὡς τράφομέν περ ex coniectura, nam περ in optimis libris legitur, et ε augmenti in verbo τρέφειν nusquam apud Homerum corripitur. accedit quod numerus singularis ἐτράφην sententiae parum convenit, et ἔτραφον notione intransitiva etiam aliis locis (B 661. Φ 279) a librariis parum eruditis depravatum est, vide adnot. ad B 661. Φ 279. — 92 ἀθετεῖται Aristonicus. ἐν πάσαις (sc. exemplaribus recensionis Aristarcheae) οὐκ ἦν ὁ στίχος Schol. V. — 94 ἠθείη: Χαμαιλέων γράφει ὦ θείη κεφαλή Aristonicus, conf. Eust. 1290, 29.

ὣϲ ἄρα φωνήϲαϲ ὠρέξατο χερϲὶ φίληϲιν,
οὐδ' ἔλαβε· ψυχὴ δὲ κατὰ χθονὸϲ ἠύτε καπνὸϲ
ᾤχετο τετριγυῖα. ταφὼν δ' ἀνόρουϲεν Ἀχιλλεὺϲ
χερϲί τε ϲυμπλατάγηϲεν, ἔποϲ δ' ὀλοφυδνὸν ἔειπεν·
ὢ πόποι, ἦ ῥά τίϲ ἐϲτι καὶ εἰν Ἀίδαο δόμοιϲι
ψυχὴ καὶ εἴδωλον, ἀτὰρ φρένεϲ οὐκ ἔνι πάμπαν.
παννυχίη γάρ μοι Πατροκλῆοϲ δειλοῖο
ψυχὴ ἐφεϲτήκει γοόωϲά τε μυρομένη τε,
καί μοι ἕκαϲτ' ἐπέτελλεν, ἔικτο δὲ θέϲκελον αὐτῷ.
ὣϲ φάτο, τοῖϲι δὲ πᾶϲιν ὑφ' ἵμερον ὦρϲε γόοιο.
μυρομένοιϲι δὲ τοῖϲι φάνη ῥοδοδάκτυλοϲ ἠὼϲ
ἀμφὶ νέκυν ἐλεεινόν. ἀτὰρ κρείων Ἀγαμέμνων
οὐρῆάϲ τ' ὤτρυνε καὶ ἀνέραϲ ἀξέμεν ὕλην
πάντοθεν ἐκ κλιϲιῶν· ἐπὶ δ' ἀνὴρ ἐϲθλὸϲ ὀρώρει,
Μηριόνηϲ, θεράπων ἀγαπήνοροϲ Ἰδομενῆοϲ.
οἱ δ' ἴϲαν ὑλοτόμουϲ πελέκεαϲ ἐν χερϲὶν ἔχοντεϲ
ϲειράϲ τ' εὐπλέκτουϲ· πρὸ δ' ἄρ' οὐρῆεϲ κίον αὐτῶν·
πολλὰ δ' ἄναντα κάταντα πάραντά τε δόχμιά τ' ἦλθον.
ἀλλ' ὅτε δὴ κνημοὺϲ προϲέβαν πολυπίδακοϲ Ἴδηϲ,
αὐτίκ' ἄρα δρῦϲ ὑψικόμουϲ ταναήκεϊ χαλκῷ
τάμνον ἐπειγόμενοι· ταὶ δὲ μεγάλα κτυπέουϲαι

V. L. 99 ὡϲ AD 1. man. φίληιϲι D Syr. — 100 ΟΥΔΕΛΑΒΕ Syr. κατα D Syr. — 101 ἀχῖλεύϲ C. — 102 ϲυμπατάγηϲεν S Cant. Lips. Mor. Vrat. b. A. ἔποϲ τ' D. ὀλοφυδρὸν Lips. — 103 ὢ πόποι ADH. ῥά τιϲ ἐϲτὶ ACD (ἐϲτι) E. ῥα τὶϲ ἐϲτὶ G. ῥα τῖϲ ἐϲτϊ H. ῥά τι ἐϲτὶ L Lips. Vrat. A. εἰναΐδαο A. δόμοιϲι ACDG Syr. — 104 αὐτὰρ C. — 106 ἐφεϲτήκει Eust. 1290, 55: ἐφειϲτήκει ACE 1288, 13 GHL. ἐφείϲτηκε D. ΕΦ' ΙϹΤΗΚΕΙ Syr. conf. Μ 446. Φ 526. Χ 36. — 107 ἑκὰϲ D. ἔεικτο H. εἶητο D (dare volebat εἶκτο). — 108 ὡϲ A. ὑφίμερον DG. ἐφ' ἵμερον E. ῖμερον A. — 109 τοῖϲι μέλαϲ ἐπὶ ἕϲπεροϲ ἦλθε Plutarchus Consol. ad Apoll. 26. — 110 ἀμφι A. αὐτὰρ C, conf 104. — 111 ἐξέμεν G. ἀξέμεν' Vrat. A. Lips. — 112 κλιϲιῶν CL Syr. κλιϲέων AS. κλιϲιέων EGH. κλιϲίεων D. ἐπι D. — 114 οἳ δ' D. οἵδ' CGL. — 115 τ' omitt. H. ἐϋπλέκτουϲ CDG Flor. προ CD. ἂρ ADEGHL. — 117 προϲέβηϲαν C. πολυπίδακοϲ ACEGHL Syr. πολυπιδάκου DS Townl. — 118 παναϊκέι L.

A. c. 104 ἐνϲέϲειϲται ἐκ τῆϲ Ὀδυϲϲείαϲ ὁ ϲτίχοϲ, ἐκεῖ γὰρ τὰϲ ψυχὰϲ εἴδωλα ϲκιώδη, φρονήϲεωϲ ἀμέτοχα, ὑπέθετο . . . . . οὕτωϲ Ἀριϲτοφάνηϲ ὁ γραμματικόϲ Schol. A, conf. κ 494. 495. λ 222. — 106 ὁ ἀρίϲταρχοϲ ἐφεϲτήκει χωρὶϲ τοῦ ῑ Didymus. — 111 κατὰ πολλὰ τῶν ἀντιγράφων οὐρῆαϲ ὤτρυνεν ἔξω τοῦ τε̄ Schol. A. productio syllabae ᾱϲ in caesura semiternaria facta est ut Ζ 240. 366. Υ 45. conf. Annal. Gymn. Austr. 1871, pg. 502. — 117 πολυπίδακοϲ: οὕτωϲ ἀρίϲταρχοϲ, ἄλλοι δὲ πολυπιδάκου Didymus.

πῖπτον. τὰϲ μὲν ἔπειτα διαπλήϲϲοντεϲ Ἀχαιοὶ
ἔκδεον ἡμιόνων· ταὶ δὲ χθόνα ποϲϲὶ δατεῦντο
ἐλδόμεναι πεδίοιο διὰ ῥωπήια πυκνά.
πάντεϲ δ' ὑλοτόμοι φιτροὺϲ φέρον· ὣϲ γὰρ ἀνώγει
Μηριόνηϲ, θεράπων ἀγαπήνοροϲ Ἰδομενῆοϲ.
κὰδ δ' ἄρ' ἀκτῆϲ βάλλον ἐπιϲχερώ, ἔνθ' ἄρ' Ἀχιλλεὺϲ
φράϲϲατο Πατρόκλῳ μέγα ἠρίον ἠδὲ οἷ αὐτῷ.
αὐτὰρ ἐπεὶ πάντη παρακάββαλον ἄϲπετον ὕλην,
εἵατ' ἄρ' αὖθι μένοντεϲ ἀολλέεϲ. αὐτὰρ Ἀχιλλεὺϲ
αὐτίκα Μυρμιδόνεϲϲι φιλοπτολέμοιϲι κέλευϲε
χαλκὸν ζώννυϲθαι, ζεῦξαι δ' ὑπ' ὄχεϲφιν ἕκαϲτον
ἵππουϲ· οἱ δ' ὤρνυντο καὶ ἐν τεύχεϲϲιν ἔδυνον,
ἂν δ' ἔβαν ἐν δίφροιϲι παραιβάται ἡνίοχοί τε.
πρόϲθε μὲν ἱππῆεϲ, μετὰ δὲ νέφοϲ εἵπετο πεζῶν,
μυρίοι· ἐν δὲ μέϲοιϲι φέρον Πάτροκλον ἑταῖροι.
θριξὶ δὲ πάντα νέκυν καταείνυϲαν, ἃϲ ἐπέβαλλον
κειρόμενοι· ὄπιθεν δὲ κάρη ἔχε δῖοϲ Ἀχιλλεὺϲ
ἀχνύμενοϲ· ἕταρον γὰρ ἀμύμονα πέμπ' Ἄϊδοϲ δέ.

V. L. 120 πῖπτον AE: πίπτον CDHL. τίπτον G. διαπλήϲϲοντεϲ ACDEHL Apoll. Soph. 58, 18. Schol. θ 507. διαπλήϲοντεϲ G . . . . . ΠΛΙϹϹΟΝΤΕϹ Syr. ἕτεροι δὲ ἀντὶ τοῦ διαπλήϲϲοντεϲ διαρρήϲϲοντεϲ γράφουϲιν Eust. 1291, 53. — 121 ἡμιόνουϲ D. ται δὲ L. χθόνια G. ποϲὶ DEH. — 122 ἑλδόμεναι L. ελδόμεναι A. ελκόμεναι D, κ post ras. διαρρωπήϊα Apoll. Soph. 139, 25. — 123 φῦτροὺϲ L. ὡϲ AD. — 125 καδδ' ACDHL. ἂρ ADEGHL. βάλον CL. ΕΠΙϹΧΕΡΩΙ Syr. ἐπὶ ϲχερὼ C. ἂρ ADGL. ἀχῖλεὺϲ C. — 126 οἶ omitt. G. ἠδέ οἱ DHL. — 127 πάντη AEG: ceteri πάντη. παρακάββαλον ACDEL. παρακάββϊλον H. παρακάμβαλον GS Syr. Cant. Harl. Mosc. 2. περικάμβαλον Vrat. A. — 128 εἵατ' C. εἶατ' D. ἂρ ACDGHL. ἀχῖλεὺϲ C. — 129 κέλευϲε ADEGL Syr. κέλευϲεν H. κέλευε C Mor. Barocc. μετηύδα Vrat. b. — 130 χαλκὸν ἢ χαλκῷ Eust. χαλκῷ Vrat. A. conf. ad Ε 857. ζεῦξαί θ' CHS Syr. Cant. ζεῦξαί θ' [δ'] A. ὑπόχεϲφιν DH. — 131 οἳ δ' DL. οἵδ' CH. οἱ δ' ὄτρυνον Lips. καί γ' ἐν τεύχεϲιν H. τεύχεϲιν E Flor. Rom. — 132 ἀν CDGH. ἐν L. ἀνδίφροιϲι D. παραβάται L Lips. Mosc. 2. — 133 μετα A. — 134 μύρϊοι G. — 135 δ' ἐπῖ πάντα H. καταεῖνυον A. καταείνυον CDE bis GHLS Syr. et Heynii libri. Apoll. Soph. 97, 4. Et. Mg. 494, 54. Schol. Θ 58. Υ 387. Eust. 1871, 37. καταείλυον Vrat. A. — 136 ὄπιϲθεν D. ὄπιϲθεν G Flor. ὄπιθε Lips. ἔχε: ϲχέθε S Cant. Townl. ἀχῖλεύϲ C. — 137 ἄϊδοϲ δέ AD: ceteri ἀϊδόϲδε. ἄϊδοϲ δῶ H Syr. Vrat. b. d.

A. c. 120 διαπλήϲϲοντεϲ: οὕτωϲ ἀρίϲταρχοϲ, ἄλλοι δὲ διαπλίϲϲοντεϲ διὰ τοῦ ῑ Didymus. — 135 καταείνυον: ἔν τιϲι δὲ καταείλυον, τουτέϲτιν εἵλουν· Ἀρίϲταρχοϲ δὲ καταείνυϲαν Didymus. — 137 ἄϊδοϲ δέ: οὕτωϲ ἡρωδιανόϲ, ἄλλοι δὲ ἄϊδοϲ δῶ Schol. A, conf. С 385.

οἳ δ' ὅτε χῶρον ἵκανον ὅθί cφιcι πέφραδ' Ἀχιλλεύc,
κάτθεcαν, αἶψα δέ οἱ μενοεικέα νήεον ὕλην.
ἔνθ' αὖτ' ἄλλ' ἐνόηcε ποδάρκηc δῖοc Ἀχιλλεύc·
cτὰc ἀπάνευθε πυρῆc ξανθὴν ἀπεκείρατο χαίτην,
τήν ῥα Cπερχειῷ ποταμῷ τρέφε τηλεθόωcαν·
ὀχθήcαc δ' ἄρα εἶπεν ἰδὼν ἐπὶ οἴνοπα πόντον·
Cπερχεί', ἄλλωc coί γε πατὴρ ἠρήcατο Πηλεύc,
κεῖcέ με νοcτήcαντα φίλην ἐc πατρίδα γαῖαν
coί τε κόμην κερέειν ῥέξειν θ' ἱερὴν ἑκατόμβην,
πεντήκοντα δ' ἔνορχα παρ' αὐτόθι μῆλ' ἱερεύcειν
ἐc πηγάc, ὅθι τοι τέμενοc βωμόc τε θυήειc.
ὧc ἠρᾶθ' ὁ γέρων, cὺ δέ οἱ νόον οὐκ ἐτέλεccαc.
νῦν δ' ἐπεὶ οὐ νέομαί γε φίλην ἐc πατρίδα γαῖαν,
Πατρόκλῳ ἥρωι κόμην ὀπάcαιμι φέρεcθαι.
ὧc εἰπὼν ἐν χερcὶ κόμην ἑτάροιο φίλοιο
θῆκεν, τοῖcι δὲ πᾶcιν ὑφ' ἵμερον ὦρcε γόοιο.
καί νύ κ' ὀδυρομένοιcιν ἔδυ φάοc ἠελίοιο,
εἰ μὴ Ἀχιλλεὺc αἶψ' Ἀγαμέμνονι εἶπε παραcτάc·
Ἀτρεΐδη, coὶ γάρ τε μάλιcτά γε λαὸc Ἀχαιῶν
πείcονται μύθοιcι, γόοιο μὲν ἔcτι καὶ ἆcαι.
νῦν δ' ἀπὸ πυρκαϊῆc cκέδαcον καὶ δεῖπνον ἄνωχθι
ὅπλεcθαι· τάδε δ' ἀμφιπονηcόμεθ' οἷcι μάλιcτα
κήδεόc ἐcτι νέκυc· παρὰ δ' οἱ ταγοὶ ἄμμι μενόντων.
αὐτὰρ ἐπεὶ τό γ' ἄκουcεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,

V. l. 138 οἳ δ' D, acc. 2. man. οἵδ' CGHL. ὅτε δὴ χῶρον C. ἵκοντο AH Vrat. d. γρ. ἵκανον A, conf. C 520. ὅθί cφιcι AD ex corr. H Schol. Z 367: vulgo ὅθι cφίcι. ἀχϊλεὺc C. — 139 νήνεον E. — 140 ἀχϊλεύc C. — 141 ἀπεχείρατο G. — 142 τὴν ῥὰ L. — 143 ΟΧΗCAC Syr. ἐπι D. εἶπε πρὸc ὃν μεγαλήτορα θυμὸν Vrat. b. — 146 κορέειν C. — 147 παρ' αὐτόθι ACEGH Syr. Schol. Theocr. III, 4. Et. Mg. 344, 34. παρ' αὐτόφι LS Lips. Townl. παρ' αὖθι Vrat. b. παρ' αὐτίκα D. ἐν ἄλλῳ παραυτίκα A. — 148 ὅθῖ τοι H. — 149 ὡc D 1. man. — 152 ὡc A. versum omittunt D 1. man. et Lips. in textu; habet uterque in margine. — 153 θῆκε E. ὑφίμερον D. ἐφ' ἵμερον H Vrat. d. — 154 ἔδυ φάοc ἠελίοιο D post ras. man. rec. — 155 ἀχϊλεὺc C. — 156 coὶ γάρ τε: coὶ μέν τε CEHL Lips. Vrat. b. d. Mosc. 2. μέν γε D. — 157 habet H in marg. man. rec. πείcωνται Vrat. A. μέν ἐcτι ACDGL. — 158 ἀπο A. πυρκαϊὴν C. — 159 τὰ δέ τ' G. — 160 κΰδεόc L. παρα CD. οἵ, ταγοὶ A. οἱ ταγοὶ DE Mor. Mosc. 2. Rom. vulgo οἵ τ' ἀγοὶ. — 161 τόδ' Vrat. A.

A. c. 147 παρ' αὐτόφι legitur M 302. N 42. Y 140. Ψ 640. — 160 οἱ ταγοὶ Aristarchus: οἵ τ' ἀγοὶ Dionysius (Sidonius?).

αὐτίκα λαὸν μὲν cκέδαcεν κατὰ νῆαc ἐΐcαc,
κηδεμόνεc δὲ παρ' αὖθι μένον καὶ νήεον ὕλην,
ποίηcαν δὲ πυρὴν ἑκατόμποδον ἔνθα καὶ ἔνθα,
ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέcαν ἀχνύμενοι κῆρ.
πολλὰ δὲ ἴφια μῆλα καὶ εἰλίποδαc ἕλικαc βοῦc
πρόcθε πυρῆc ἔδερόν τε καὶ ἄμφεπον· ἐκ δ' ἄρα πάντων
δημὸν ἑλὼν ἐκάλυψε νέκυν μεγάθυμοc Ἀχιλλεὺc
ἐc πόδαc ἐκ κεφαλῆc, περὶ δὲ δρατὰ cώματα νήει.
ἐν δ' ἐτίθει μέλιτοc καὶ ἀλείφατοc ἀμφιφορῆαc,
πρὸc λέχεα κλίνων· πίcυραc δ' ἐριαύχεναc ἵππουc
ἐccυμένωc ἐνέβαλλε πυρῇ μεγάλα cτεναχίζων.
ἐννέα τῷ γε ἄνακτι τραπεζῆεc κύνεc ἦcαν·
καὶ μὲν τῶν ἐνέβαλλε πυρῇ δύο δειροτομήcαc,
δώδεκα δὲ Τρώων μεγαθύμων υἱέαc ἐcθλοὺc
χαλκῷ δηϊόων· κακὰ δὲ φρεcὶ μήδετο ἔργα.
ἐν δὲ πυρὸc μένοc ἧκε cιδήρεον, ὄφρα νέμοιτο.
ᾤμωξέν τ' ἄρ' ἔπειτα, φίλον δ' ὀνόμηνεν ἑταῖρον·
χαῖρέ μοι ὦ Πάτροκλε καὶ εἰν Ἀΐδαο δόμοιcι·
πάντα γὰρ ἤδη τοι τελέω, τὰ πάροιθεν ὑπέcτην.
δώδεκα μὲν Τρώων μεγαθύμων υἱέαc ἐcθλούc,
τοὺc ἅμα coὶ πάνταc πῦρ ἐcθίει· Ἕκτορα δ' οὔ τι
δώcω Πριαμίδην πυρὶ δαπτέμεν, ἀλλὰ κύνεccιν.

V. l. 163 ἡγεμόνεc Vrat. A. παραῦθι ADL. — 164 ἑκατόμποδον ELS Cant. man. rec. ἑκατόμπεδον (ο suprascr.) H Lips. ἑκατόμπεδον A. ἑκατόμπεδον CDG Syr. — 165 ἓν A. KHP' Syr. — 166 εἰλίποδαc EGL. ΚΑΙΕΛΙΚΑC Syr. — 167 πρόcθε bis legitur in H omisso πυρῆc. ἄμφενον H. — 168 ἀχϊλεύc C. — 169 περὶ: παρὰ Zonar. Lex. 572. cώματ' ἀνήει Vrat. b. νήει omitt. H. — 170 δ' ἐτίθει ACDEH Vrat. b. d. A. Mosc. 2. Rom. ΔΕΤΙΘΕΙ Syr. δὲ τίθει GLS Lips. conf. C 541. 561. 607. ἀμφιφορεῖc H ex corr. — 172 ἐνέβαλε EG. πυρὶ CLS Vrat. b. d. cτοναχίζων CD post ras. EL: cτεναχίζων AGHS Cant. Mor. Vrat. d. — 173, 174 omitt. D in textu, habet in marg. man. rec. — 174 καὶ τούτων E. τῶν ἐννέα βάλε πυρὶ Vrat. A. πυρὶ CL. — 175 τρῴων L. — 178 ἂρ ADGHL. φίλον τ' CD. — 179 εἰναΐδαο AD. δόμοιcι ACDEGHLS. — 180 τοι omitt. L Lips. Vrat. A. τελέω τὰ (ἃ E) πάροιθεν: τετελεcμένα ὥcπερ S Syr. (ΠΕΡ') Cant. Townl. ἐν ἄλλῳ τετελεcμένα ὥcπερ ὑπέcτην A. — 181 τρῴων L. — 182 coι DGH. οὔ τι: οὔτοι C. — 183 πρϊαμΐδῃ (ν suprascr.) H, ν 2. man.

A. c. 169 δρατά: τὰ πολλὰ τῶν ὑπομνημάτων διὰ τοῦ ε̄ δρετά Didymus.

ὣc φάτ' ἀπειλήcαc· τὸν δ' οὐ κύνεc ἀμφεπένοντο,
ἀλλὰ κύναc μὲν ἄλαλκε Διὸc θυγάτηρ Ἀφροδίτη
ἤματα καὶ νύκταc, ῥοδόεντι δὲ χρῖεν ἐλαίῳ
ἀμβροcίῳ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυcτάζων.
τῷ δ' ἐπὶ κυάνεον νέφοc ἤγαγε Φοῖβοc Ἀπόλλων
οὐρανόθεν πεδίον δέ, κάλυψε δὲ χῶρον ἅπαντα,
ὅccον ἐπεῖχε νέκυc, μὴ πρὶν μένοc ἠελίοιο
cκήλει' ἀμφὶ περὶ χρόα ἴνεcιν ἠδὲ μέλεccιν.
οὐδὲ πυρὴ Πατρόκλου ἐκαίετο τεθνηῶτοc.
ἔνθ' αὖτ' ἄλλ' ἐνόηcε ποδάρκηc δῖοc Ἀχιλλεύc·
cτὰc ἀπάνευθε πυρῆc δοιοῖc ἠρᾶτ' ἀνέμοιcι,
βορέῃ καὶ Ζεφύρῳ, καὶ ὑπίcχετο ἱερὰ καλά·
πολλὰ δὲ καὶ cπένδων χρυcέῳ δέπαϊ λιτάνευεν
ἐλθεῖν, ὄφρα τάχιcτα πυρὶ φλεγεθοίατο νεκροί,
ὕλη τε cεύαιτο καήμεναι. ὠκέα δ' Ἶριc
ἀράων ἀίουcα μετάγγελοc ἦλθ' ἀνέμοιcιν.

V. L. 184 ΑΜΦ'.ΕΠΕΝΟΝΤΟ Syr. ἀμφιέποντο Tzetzes Alleg. 29. — 186 δὲ χρῖεν ADEL Apoll. Soph. 139, 11. Schol. Ξ 172. δὲ χρίεν CGS. δὲ χρεῖcεν H. δ' ἔχριεν Athenaeus XV, 688. — 187 ἑλκυcτάζων L. — 188 ἐπι DG. — 189 πεδίον δὲ A. κάλυψεν δ' ἄρα χῶρον D. — 190 ὅcον E. — 191 cκήλει' A. cκήλει D Syr. Townl. cκήλη' H. cκήλη E Plutarchus Quaest. conv. III, 10, 2, 3. cκήλη CGLS Et. Mg. 716, 39. cκλήλη Lips. ἀμφι DG. περι ADG. μέλεcιν D. — 192 πυρὶ GL. πυρὴ D, η post ras. ἐκαίετο ADH Syr. Barocc. Mor. καίετο CEGLS Townl. Vrat. A.
η
τεθνηῶτοc LS Lips. Cant. τεθνειῶτοc A. τεθνειῶτοc CDGH Syr. — 193 ἀχϊλεύc C. — 194 cτᾶc D. ἀνέμοιcι ACDEG. — 195 βορέῃ ACDEG HL Syr. conf. ad Ι 5. ὑπίcχετο ACL Lips. ὑπέcχετο ἢ ὑπίcχετο Eust. ceteri ὑπέcχετο. — 196 δέπαϊ, λατάνευεν C. ἐλιτάνευεν D. ἐλλιτάνευεν H, sed in utroque δέπαϊ, conf. κ 316, ubi ACDEHIKLMNQRV δέπαϊ ὄφρα πίοιμι exhibent. — 197 ἐλθέμεν ADGHL Syr. ἐλθεῖν CE bis Harl. Townl. Mosc. 2. Vrat. A. Flor. γρ. ἐλθεῖν A. νεκροὶ ADH: νεκρὸν CE GL Syr. Heynius νεκροὶ ex solo Veneto A laudat. — 198 τε cεύαιτο E Flor. τ' ἐccεύαιτο AGS Townl. ΤΕϹΕΥΑΙΤΟ Syr. τ' ἐccεύατο C Vrat.
οι
d. τ' ἐcεύατο H. τ' ἐccεύετο D 2. man. L. τ' ἐccεύατο Mosc. 2. τ' ἐccεύοιτο Rom. τ' ἐccεύοντο D 1. man. ἐν ἄλλῳ ὕλη τὲ cεύαιτο A. — 199 μετ' ἀγγελοc A. μετ' ἄγγελοc CDHS Cant. Mor. Harl. Townl. Vrat. b. d. Tzetzes Alleg. 64. τινὰ δὲ τῶν ἀντιγράφων ἐν δυcὶ μέρεcι λόγου ἔχει τὸ μετ' ἄγγελοc Eust. 1296, 8. conf. 1009, 49. ἦλθεν L.

A. c. 195 ὑπίcχετο, conf. ad Υ 84. ubi Aristarchus ὑπίcχεο scripsit. — 197 ἐλθεῖν scripsi ut 209, ubi libri in eo consentiunt. — 198 οὕτω δὲ (τε cεύαιτο?) καὶ ἔξω τοῦ ν̄ ὕλη Didymus. χωρὶc δὲ τοῦ ν̄ τὸ ὕλη. οἱ δὲ ὕλην τ' ἐccεύοντο (?) ἀντὶ τοῦ ὁρμήcειαν οἱ ἄνεμοι καίειν τὴν ὕλην Schol. AV. de scriptura τε cεύαιτο conf. Ρ 463. haec Aristarchi fuit, quia sola cum ὕλη convenit.

οἳ μὲν ἄρα Ζεφύροιο δυcαέοc ἀθρόοι ἔνδον
εἰλαπίνην δαίνυντο· θέουcα δὲ Ἶριc ἐπέcτη
βηλῷ ἔπι λιθέῳ. τοὶ δ' ὡc ἴδον ὀφθαλμοῖcι,
πάντεc ἀνήϊξαν, κάλεόν τέ μιν εἰc ἓ ἕκαcτοc·
ἡ δ' αὖθ' ἕζεcθαι μὲν ἀνήνατο, εἶπε δὲ μῦθον·
οὐχ ἕδοc· εἶμι γὰρ αὖτιc ἐπ' Ὠκεανοῖο ῥέεθρα,
Αἰθιόπων ἐc γαῖαν, ὅθι ῥέζουc' ἑκατόμβαc
ἀθανάτοιc, ἵνα δὴ καὶ ἐγὼ μεταδαίcομαι ἱρῶν.
ἀλλ' Ἀχιλεὺc βορέην ἠδὲ Ζέφυρον κελαδεινὸν
ἐλθεῖν ἀρᾶται, καὶ ὑπίcχεται ἱερὰ καλά,
ὄφρα πυρὴν ὄρcητε καήμεναι, ᾗ ἔνι κεῖται
Πάτροκλοc, τὸν πάντεc ἀναcτενάχουcιν Ἀχαιοί.
ἡ μὲν ἄρ' ὣc εἰποῦc' ἀπεβήcετο, τοὶ δ' ὀρέοντο
ἠχῇ θεcπεcίῃ, νέφεα κλονέοντε πάροιθεν.
αἶψα δὲ πόντον ἵκανον ἀήμεναι, ὦρτο δὲ κῦμα
πνοιῇ ὕπο λιγυρῇ· Τροίην δ' ἐρίβωλον ἱκέcθην,
ἐν δὲ πυρῇ πεcέτην, μέγα δ' ἴαχε θεcπιδαὲc πῦρ.
παννύχιοι δ' ἄρα τοί γε πυρῆc ἄμυδιc φλόγ' ἔβαλλον
φυcῶντεc λιγέωc· ὁ δὲ πάννυχοc ὠκὺc Ἀχιλλεὺc
χρυcέου ἐκ κρητῆροc, ἑλὼν δέπαc ἀμφικύπελλον,
οἶνον ἀφυccόμενοc χαμάδιc χέε, δεῦε δὲ γαῖαν,

V. L. 200 Ζεφύρου H. — 200—202 omitt. Vrat. b. — 201 ὑπέcτη HS Vrat. d. — 202 ἐπὶ ACDEGL Et. Mg. 186, 19. Et. Gud. 102, 41. Zonar. Lex. 373. ἐπι H Syr. οὐδῷ ἐπὶ Et. Mg. 196, 30. εἶδον D. ὀφθαλμοῖcι ACDEG. Syr. — 203 κάλεόν τέ libri mei cum Townl. Vrat. d. Apoll. Soph. 61, 19. Apollon. de Pron. 53 A. κάλεον δέ Et. Mg. 294,
α
37. εἰc ἑ G. ἓ ἕκαcτοc A. εἲc ἕκαcτοc D. ἓ omitt. DL Syr. — 204 ἤδ' CD. 2. man. L. ΑΥ Syr. ἀνήνατο ACE 1295, 61 H. εἶπε τὲ L. τε S Syr. Townl. Vrat. A. — 205 ΟΥΧ' Syr. ΓΑΡ' Syr. αὖθιc CG. αὖθι AH Vrat. d. γρ. αὖτιc A. ἐπ': ἀπ' G. ῥέεθρα: ῥεέθρων Apoll. Soph. 62, 18. ῥοάων C. — 206 ῥέξουc' Mosc. 2. — 208 ἀχϊλλεὺc H. — 209 ὑπίcχηται D. ὑπίcχετο Lips. — 210 ὄρcῃ τε G. ἐνὶ DL. ἐνϊ H. — 212 ἢ μὲν C. ἂρ ADGHL. ὧc omitt. H. ὡc AD. ἀπεβήcατο D Barocc. Harl. Lips. 1. man. Vrat. b. ἀνεβήcατο S. οἰδ' E Pseudoplut. 129, 18. ἐρέοντο H. — 213 πνοιῇ ὑπὸ λιγυρῇ νέφεα κλονέοντεc ὄπιcθεν Pseudoplut. 129, 18. — 215 ὑπὸ ACDEGL. ὑπο H Syr. — 216 πυρῇ AD ex corr. EGHL Mor. Cant. Rom. πυρὶ CD 1. man. S Syr. Vrat. A. ΠΥΡ' Syr. — 217 habet H in marg. man. rec. scr. — 218 φυccῶντεc L Lips. ὁ δὲ C. ἀχϊλεὺc C. — 219 ἑλὼν ACDGH Barocc. Harl. Mor. Mosc. 2. Vrat. d. ἔχων
ο
ELS Lips. ἐν ἄλλῳ ἔχων A. — 220 ἀφυccόμενοc DG. ἀφυccάμενοc A. ceteri ἀφυccάμενοc cum Harl. Mosc. 2. Vrat. d. χαμᾶδιc D. χέε: χεῦε G. Flor.

A. c. 206 γρ. ἐc δῆμον, ὡc αἱ ἀπὸ τῶν πόλεων Didymus. — 220 ἀφυccόμενοc, conf. Γ 295 οἶνον δ' ἐκ κρητῆροc ἀφυccόμενοι (ita

ψυχὴν κικλήϲκων Πατροκλῆοϲ δειλοῖο.
ὡϲ δὲ πατὴρ οὗ παιδὸϲ ὀδύρεται ὀϲτέα καίων,
νυμφίου, ὅϲ τε θανὼν δειλοὺϲ ἀκάχηϲε τοκῆαϲ,
ὣϲ Ἀχιλεὺϲ ἑτάροιο ὀδύρετο ὀϲτέα καίων,
ἑρπύζων παρὰ πυρκαϊήν, ἁδινὰ ϲτεναχίζων.
ἦμοϲ δ' ἑωϲφόροϲ εἶϲι φόωϲ ἐρέων ἐπὶ γαῖαν,
ὅν τε μέτα κροκόπεπλοϲ ὑπεὶρ ἅλα κίδναται ἠώϲ,
τῆμοϲ πυρκαϊὴ ἐμαραίνετο, παύϲατο δὲ φλόξ.
οἱ δ' ἄνεμοι πάλιν αὖτιϲ ἔβαν οἶκον δὲ νέεϲθαι
Θρηίκιον κατὰ πόντον· ὁ δ' ἔϲτενεν οἴδματι θύων.
Πηλείδηϲ δ' ἀπὸ πυρκαϊῆϲ ἑτέρωϲε λιαϲθεὶϲ
κλίνθη κεκμηώϲ, ἐπὶ δὲ γλυκὺϲ ὕπνοϲ ὄρουϲεν.
οἳ δ' ἀμφ' Ἀτρείωνα ἀολλέεϲ ἠγερέθοντο·
τῶν μιν ἐπερχομένων ὅμαδοϲ καὶ δοῦποϲ ἔγειρεν.
ἕζετο δ' ὀρθωθεὶϲ καί ϲφεαϲ πρὸϲ μῦθον ἔειπεν·
Ἀτρείδη τε καὶ ἄλλοι ἀριϲτῆεϲ Παναχαιῶν,
πρῶτον μὲν κατὰ κυρκαϊὴν ϲβέϲατ' αἴθοπι οἴνῳ
πᾶϲαν, ὁπόϲϲον ἐπέϲχε πυρὸϲ μένοϲ· αὐτὰρ ἔπειτα
ὀϲτέα Πατρόκλοιο Μενοιτιάδαο λέγωμεν
εὖ διαγιγνώϲκοντεϲ· ἀριφραδέα δὲ τέτυκται·
ἐν μέϲϲῃ γὰρ ἔκειτο πυρῇ, τοὶ δ' ἄλλοι ἄνευθεν
ἐϲχατιῇ καίοντ' ἐπιμίξ, ἵπποι τε καὶ ἄνδρεϲ.
καὶ τὰ μὲν ἐν χρυϲέῃ φιάλῃ καὶ δίπλακι δημῷ

V. L. 221 πατροκλοῖο E. — 222—228 maximam partem mutilos habet Syr. ut 113—122. — 223 ὥϲτε D. addit Plutarchus Consol. ad Apoll. 30. ἄῤῥητον δὲ τοκεῦϲι γόον καὶ πένθοϲ ἔθηκε. — 224 ὡϲ A. ἀχιλλεὺϲ E Lips. ὀδύρετο ἑτάροιο C. — 225 ἑρπΐζων H. παρα A. αδινὰ A: ceteri ἀδινὰ. ϲτοναχίζων CEL Rom. — 226 δ' omitt. Schol. Θ 1. ἑωϲφόροϲ D, spir. 2. man. — 227 μέτα Schol. Θ 1. β 1. μετὰ ACEL. μετα DGH. ὑπειράλα D. ὑπειρ A. κίδνατο Schol. Θ 1. β 1. — 228 πυρκαϊὴ D. ΦΛΟΞ' Syr. — 229 αὖθιϲ CE. οἶκον δὲ A. ΟΙΚΟΝΔΈ Syr. οἶκονδε CDL.
μετα
νέεϲθαι: ἕκαϲτοϲ Barocc. Mor. — 230 κατα A. ὃ δ' D. ὅδ' CGHL. ἔϲταινεν L. θύιων A. — 231 ἀπο A. ἑτέρωθι Eust. 1296, 60, sed 1296, 61 ἑτέρωϲε. — 232 ἐπι A. κεκμηκὼϲ Harl. Mor. Vrat. A. — 233 οἵδ' GHL. — 234 ὅμαδοϲ D, acc. et spir. 2. man. δοῦποϲ ὄρωρεν C. ἔγερθεν et γρ. ἔγειρεν Vrat. A. — 235 καὶ ϲφέαϲ HL. — 236 ἀτρεῖδαι Harl. Mosc. 2. conf. 272. 658. Α 17. Η 327. 385. τὲ H. παναχαιῶν A. — 237 κατα ACH. ϲφέϲατ' G. αἴθοπα οἶνον D. — 239 λέγομεν H. — 240 διαγιγνώϲκοντεϲ AEL Syr. διαγινώϲκοντεϲ CDGH. — 241 οἱ δ' Eust. 1294, 6. — 242 ἐπὶ μὶξ G. τὲ καὶ ACH. καὶ omitt. G.

A. c. Aristarchus) δεπάεϲϲιν ἔκχεον. Κ 579 ἀπὸ δὲ κρητῆροϲ Ἀθήνῃ πλείου ἀφυϲϲόμενοι (οὕτωϲ ἀρίϲταρχοϲ) λεῖβον μελιηδέα οἶνον.

θείομεν, εἰϲ ὅ κεν αὐτὸϲ ἐγὼν Ἄϊδι κεύθωμαι.
τύμβον δ' οὐ μάλα πολλὸν ἐγὼ πονέεϲθαι ἄνωγα,
ἀλλ' ἐπιεικέα τοῖον· ἔπειτα δὲ καὶ τὸν Ἀχαιοὶ
εὐρύν θ' ὑψηλόν τε τιθήμεναι, οἵ κεν ἐμεῖο
δεύτεροι ἐν νήεϲϲι πολυκλήιϲι λίπηϲθε.
ὣϲ ἔφαθ', οἳ δ' ἐπίθοντο ποδώκεϊ Πηλεΐωνι.
πρῶτον μὲν κατὰ πυρκαϊὴν ϲβέϲαν αἴθοπι οἴνῳ,
ὅϲϲον ἐπὶ φλὸξ ἦλθε, βαθεῖα δὲ κάππεϲε τέφρη·
κλαίοντεϲ δ' ἑτάροιο ἐνηέοϲ ὀϲτέα λευκὰ
ἄλλεγον ἐϲ χρυϲέην φιάλην καὶ δίπλακα δημόν,
ἐν κλιϲίῃϲι δὲ θέντεϲ ἑανῷ λιτὶ κάλυψαν·
τορνώϲαντο δὲ ϲῆμα θεμείλιά τε προβάλοντο
ἀμφὶ πυρήν· εἶθαρ δὲ χυτὴν ἐπὶ γαῖαν ἔχευαν.
χεύαντεϲ δὲ τὸ ϲῆμα πάλιν κίον. αὐτὰρ Ἀχιλλεὺϲ
αὐτοῦ λαὸν ἔρυκε καὶ ἵζανεν εὐρὺν ἀγῶνα,
νηῶν δ' ἔκφερ' ἄεθλα, λέβητάϲ τε τρίποδάϲ τε,
ἵππουϲ θ' ἡμιόνουϲ τε βοῶν τ' ἴφθιμα κάρηνα,
ἠδὲ γυναῖκαϲ ἐυζώνουϲ πολιόν τε ϲίδηρον.
ἱππεῦϲιν μὲν πρῶτα ποδώκεϲιν ἀγλά' ἄεθλα
θῆκε γυναῖκα ἄγεϲθαι ἀμύμονα ἔργα ἰδυῖαν
καὶ τρίποδ' ὠτώεντα δυωκαιεικοϲίμετρον,

V. L. 244 εἰϲ ὅ κεν A: ceteri εἰϲόκεν. ἐγὼ CEL Vrat. A. ἐν ἄλλῳ αὐτὸϲ ἰὼν A. κεύθωμαι CDEGHLS Syr. Cant. Mor. Barocc. Harl. Townl. Mosc. 2. κεύθομαι Zonar. Lex. 1200. κλεύθωμαι A. κλεύθομαι Et. Mg. 517, 45. conf. Hesych. II, 491. — 247 ἐμοῖο G Barocc. Vrat. d. — 248 δεύτερον D Eust. 1298, 2; sed 1298, 9 δεύτεροι. ἐν omitt. H. πολϋκληῖϲϊ H. πολυκληῖϲι G. λῖπεϲθε H Vrat. d. — 249 ὡϲ A. οἵδ' CGHL. ΔΕΠΙΘΟΝΤΟ Syr. ἐπείθοντο H. — 250 κατα AC Syr. — 251 ἐπι ACDEGHL
τ
post ras. Syr. βαθεία τε D. δὲ A. ἐν ἄλλῳ κάππεϲεν ὕλη A. — 252 κλαίοντοϲ L. — 253 ϲύλλεγον Mor. ἐϲ omitt. H. χρύϲην A. χρυϲὴν D. χρυϲίην L. — 254 κλιϲίῃ EHL. ἐϲ κλιϲίην Vrat. A. δ' ἐνθέντεϲ L Lips. ἑανῷ L Lips. Flor. εανῶι D. — 255 τόρνωϲάν τε Et. Mg. 762, 26. θε-
τ
μείλια δὲ A. προβάλλοντο DH. — 256 ἀμφι AD. ἐπι DH. ἔχευϲαν Lips. 1. man. — 257 χεύανδεϲ A. ἀχϊλεὺϲ C. — 261 εὐζώνουϲ H. — 262 ἱππεῦϲι DEH Flor. ἀγλὰ DH. ἀγλαὰ C. — 263 ἔργ' εἰδυῖαν ACDGHL Syr. ἔργα εἰδυῖαν E bis. — 264 ὠτόεντα D Lips. δύω καὶ εἰκοϲίμετρον A. δύω καὶ εἰκοϲίμετρον CD (δύο) EGHL. τινὲϲ προάγουϲιν ὑφ' ἓν ὡϲ μίαν

A. c. 244 ὅτι κατὰ ϲυγκοπὴν κλεύθωμαι ἀντὶ τοῦ κελεύθωμαι, οἷον πορεύομαι Aristonicus. ἀντὶ τοῦ κελεύθωμαι, πορεύομαι. τινὲϲ δὲ κεύθωμαι, οὐκ εὖ Schol. V. — 254 λιτὶ Aristarchus. — 259—261 obelos habent adpictos in A, ad quos excidit scholium Aristonici. καὶ παρὰ Ἀριϲτοφάνει ἠθέτηται τοῦτο Schol. V. — 262 ἱππεῦϲιν: τινὲϲ ἵπποιϲι Schol. V. — 264 οὐατόεντα Heynius coniecit non male, comparato θὴρ οὐατόειϲ, quo Callimachus usus est teste Eustathio. δυωκαιεικοϲίμετρον: ὑφ' ἓν ὡϲ

τῷ πρώτῳ· ἀτὰρ αὖ τῷ δευτέρῳ ἵππον ἔθηκεν
ἑξέτε' ἀδμήτην, βρέφος ἡμίονον κυέουσαν·
αὐτὰρ τῷ τριτάτῳ ἄπυρον κατέθηκε λέβητα
καλόν, τέσσαρα μέτρα κεχανδότα, λευκὸν ἔτ' αὔτως·
τῷ δὲ τετάρτῳ θῆκε δύω χρυσοῖο τάλαντα,
πέμπτῳ δ' ἀμφίθετον φιάλην ἀπύρωτον ἔθηκε.
στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
Ἀτρείδη τε καὶ ἄλλοι ἐυκνήμιδες Ἀχαιοί,
ἱππῆας τάδ' ἄεθλα δεδεγμένα κεῖτ' ἐν ἀγῶνι.
εἰ μὲν νῦν ἐπὶ ἄλλῳ ἀεθλεύοιμεν Ἀχαιοί,
ἦ τ' ἂν ἐγὼ τὰ πρῶτα λαβὼν κλισίην δὲ φεροίμην.
ἴστε γὰρ ὅσσον ἐμοὶ ἀρετῇ περιβάλλετον ἵπποι·
ἀθάνατοί τε γάρ εἰσι, Ποσειδάων δὲ πόρ' αὐτοὺς
πατρὶ ἐμῷ Πηλῆι, ὃ δ' αὖτ' ἐμοὶ ἐγγυάλιξεν.
ἀλλ' ἤ τοι μὲν ἐγὼ μενέω καὶ μώνυχες ἵπποι·
τοίου γὰρ κλέος ἐσθλὸν ἀπώλεσαν ἡνιόχοιο,
ἠπίου, ὅ σφωιν μάλα πολλάκις ὑγρὸν ἔλαιον
χαιτάων κατέχευε, λοέσσας ὕδατι λευκῷ.
τὸν τώ γ' ἑσταότες πενθείετον, οὔδεϊ δέ σφιν

V. l. λέξιν δυωκαιεικοσίμετρον Eust. 1299, 39. — 265 αὐτὰρ τῶι C. αὐτὰρ H Lips. — 266 ἑξετέ' A. ceteri ἑξέτε'. — 267 ΑΠΥΡΩΤΟΝ Syr. ex 270. — 268 αὔτως G. αὐτως A. — 269 δύο CE Syr. Et. Mg. 744, 45. Philemon gramm. 149, 217. Eust. 699, 17. — 270 ἔθηκε ACE. — 272 ΑΤΡΕΙΔΑΊ Syr. ἀτρείδα Lips. τε omitt. D. τὲ H. ἀριστῆες παναχαιῶν D Cant. Mosc. 2. Vrat. b. γρ. καὶ ἄλλοι ἀριστῆες παναχαιῶν A. εὐκνήμιδες HL. — 273 omittit Syr. τά τ' H. — 274 μέν νῦν C. — 275 ταπρῶτα H. κλισίην δὲ A. ΚΛΙCΙΗΝΔΈ Syr. — 277 ΓΆΡ' ЄΙCΙ Syr. ποσιδάων A Syr. ποσειδ A in marg. δὲ πόρ' DH Schol. Π 867. ΔЄΠΟΡ Syr. ceteri δ' ἔπορ'. conf. Β 35 δὲ λίπ' αὐτοῦ. αὐτὼ Schol. Π 867. — 278 ὃ δ' D. ὅδ' CGHL. — 279 μώνϋχες H. — 280 κλέος ACH Mor. Barocc. σθένος DGLS Syr. σθένος ἢ κλέος E. γρ. τοίου γὰρ σθένος A. — 281 ὅς σφωιν A. ΟСΣΦΩΙΝ Syr. ὃς σφῶϊν EGL. ὃ σφῶϊ D (σ superscr.), gravis et σ̄ add. 2. man. ὃς φῶϊν H. — 283 ἑσταῶτες E. ἑσταῶτε Lips. Mosc. 2. πενθήετον Mor. Harl. Mosc. 2. ποθείετον Townl. σφι AC. — 283, 284 omittit Syr. in textu, margini adscripsit man. rec.

A. c. τὸ δυωκαιεικοσίπηχυ (O 678) Schol. V. — 266 ἑξετέ' Herodianus cum paradosi: ἑξέτε' Ptolem. Ascalonita, conf. Eust. 1299, 41. — 273 διχῶς Ἀρίσταρχος δεδεγμένα καὶ δεδεχμένα Didymus, conf. H. T. 224. — 281 ὅ σφωιν: οὕτως καὶ δι' ἑνὸς σ̄, ὡς τὸ ὅ σφιν ἐϋφρονέων ἀγορήσατο (A 73) Didymus. conf. H. T. 326. ἐγκλιτικῶς τὴν σφωϊν ἀντωνυμίαν ἀναγνωστέον Herodianus. — 283 vera scriptura est πενθείετον, quod factum est a πενθείω, ut τελείεται (ξ 160, τ 305. 561), τελείει (Ζ 234. ψ 161) a τελείω, νεικείειν (Β 277. Ο 210), νεικείῃσι (Α 579), πλείειν (ο 34), πνείει (Ρ 447, σ 131), ἐγχείῃ (ι 10) a

χαῖται ἐρηρέδαται, τὼ δ' ἕστατον ἀχνυμένω κῆρ.
ἄλλοι δὲ στέλλεσθε κατὰ στρατόν, ὅς τις Ἀχαιῶν
ἵπποισίν τε πέποιθε καὶ ἅρμασι κολλητοῖσιν.
ὣς φάτο Πηλείδης, ταχέες δ' ἱππῆες ἄγερθεν.
ὦρτο πολὺ πρῶτος μὲν ἄναξ ἀνδρῶν Εὔμηλος,
Ἀδμήτου φίλος υἱός, ὃς ἱπποσύνῃ ἐκέκαστο·
τῷ δ' ἐπὶ Τυδείδης ὦρτο κρατερὸς Διομήδης,
ἵππους δὲ Τρῳοὺς ὕπαγε ζυγόν, οὕς ποτ' ἀπηύρα
Αἰνείαν, ἀτὰρ αὐτὸν ὑπεξεσάωσεν Ἀπόλλων.
τῷ δ' ἄρ' ἐπ' Ἀτρείδης ὦρτο ξανθὸς Μενέλαος
διογενής, ὑπὸ δὲ ζυγὸν ἤγαγεν ὠκέας ἵππους,
Αἴθην τὴν Ἀγαμεμνονέην τὸν ἑόν τε Πόδαργον·
τὴν Ἀγαμέμνονι δῶκ' Ἀγχισιάδης Ἐχέπωλος
δῶρ', ἵνα μή οἱ ἕποιθ' ὑπὸ Ἴλιον ἠνεμόεσσαν,
ἀλλ' αὐτοῦ τέρποιτο μένων· μέγα γάρ οἱ ἔδωκε
Ζεὺς ἄφενος, ναῖεν δ' ὅ γ' ἐν εὐρυχόρῳ Σικυῶνι·
τὴν ὅ γ' ὑπὸ ζυγὸν ἦγε, μέγα δρόμου ἰσχανόωσαν.
Ἀντίλοχος δὲ τέταρτος ἐύτριχας ὡπλίσαθ' ἵππους,
Νέστορος ἀγλαὸς υἱός, ὑπερθύμοιο ἄνακτος,
τοῦ Νηληιάδαο· Πυλοιγενέες δέ οἱ ἵπποι
ὠκύποδες φέρον ἅρμα. πατὴρ δέ οἱ ἄγχι παραστὰς
μυθεῖτ' εἰς ἀγαθὰ φρονέων νοέοντι καὶ αὐτῷ·
Ἀντίλοχ', ἤ τοι μέν σε νέον περ ἐόντα φίλησαν

V. l. 284 ἐρηρέαται L Lips. ἔστατον DH. ἑστατον A. — 285 ἀλλ' ἄγε δὴ στέλλεσθε L Lips. κατα AD. — 286 ἵπποισι D. κολλητοῖσι H. — 287 ὡς A. ἄγερθεν ACDEHS Syr. Vrat. A. Rom. Schol. Δ 182. Θ 399. Ψ 30. ἔγερθεν GL Mor. Harl. Townl. Lips. Flor. — 288 πολυπρῶτος D. πρότερος C. ΑΝΑΞ' Syr. — 289 ἀδρήστου φίλος D. — 290 ἐπι CD. — 291 τρωιοὺς AL. τρωϊοὺς H. τρωΐους Townl. τρωοὺς CDEG Syr. Cram. Epim. 407, 15. — 292 αὐτὰρ E. — 293 ἂρ DGHL. ἐπατρείδης G. — 295 τονεὸν D. — 296 τὴν: ἣν E. ἐγχεσιάδης L. — 297 ὑποΐλιον D. — 298 ἔδωκε ACDEG Syr. — 299 ἄφενον L Lips. ναῖε D. — 300 τὴν πόθ' G. ἐν ἄλλῳ τὴν τόθ' A. μετὰ δρόμου H. ἰχανόωσαν AD Syr. quod scribi iubet G. Hermannus ad Aesch. Suppl. 816. — 303 πυλοιγενέες (οιγ ligatured) A. πυλοιγενέες EH Syr. Vrat. d. πυληγενέες CDGLS Lips. Flor. et Heynii libri. γρ. καὶ παλαιγενέες Schol. V. — 304 φέρον omitt. Syr. 1. man. — 306 ἐόντα, φίλησαν D, diastole 2. man. add. ceteri ἐόντ' ἐφίλησαν. EH ἐφίλησε.

A. c. νεικείω, πλείω, πνείω, ἐγχείω, quorum ε̄ in ει̅ producitur. — 287 ἄγερθεν: οὕτως ἀρίσταρχος, ἄλλοι δὲ ἔγερθεν Didymus. male alterum Schol. A. οὕτως ἔγερθεν διὰ τοῦ ε̄ αἱ Ἀριστάρχου. — 291 τρῳοὺς: ὡς πολλοὺς ἀνεγνώσθη Herodianus. de iota adscripto conf. H. U. 214. Ε 461. Π 393. Ρ 127. 255. Σ 179.

Ζεύς τε Ποσειδάων τε, καὶ ἱπποσύνας ἐδίδαξαν
παντοίας· τῶ καί cε διδασκέμεν οὔ τι μάλα χρεώ·
οἶcθα γὰρ εὖ περὶ τέρμαθ' ἑλιccέμεν· ἀλλά τοι ἵπποι
βάρδιcτοι θείειν· τῶ τ' οἴω λοίγι' ἔcεcθαι.
τῶν δ' ἵπποι μὲν ἔαcιν ἀφάρτεροι, οὐδὲ μὲν αὐτοὶ
πλείονα ἴcαcιν cέθεν αὐτοῦ μητίcαcθαι.
ἀλλ' ἄγε δὴ cὺ φίλοc μῆτιν ἐμβάλλεο θυμῷ
παντοίην, ἵνα μή cε παρεκπροφύγηcιν ἄεθλα.
μήτι τοι δρυτόμοc μέγ' ἀμείνων ἠὲ βίηφι·
μήτι δ' αὖτε κυβερνήτηc ἐνὶ οἴνοπι πόντῳ
νῆα θοὴν ἰθύνει ἐρεχθομένην ἀνέμοιcι·
μήτι δ' ἡνίοχοc περιγίγνεται ἡνιόχοιο.
ἀλλ' ὃc μέν θ' ἵπποιcι καὶ ἅρμαcιν οἷcι πεποιθὼc
ἀφραδέωc ἐπὶ πολλὸν ἑλίccεται ἔνθα καὶ ἔνθα,
ἵπποι δὲ πλανόωνται ἀνὰ δρόμον, οὐδὲ κατίcχει·
ὃc δέ κε κέρδεα εἰδῇ ἐλαύνων ἥccοναc ἵππουc,
αἰεὶ τέρμ' ὁρόων cτρέφει ἐγγύθεν, οὐδέ ἑ λήθει,
ὅππωc τὸ πρῶτον τανύcῃ βοέοιcιν ἱμᾶcιν,

V. L. 307 ΠΟCΙΔΑΩΝ Syr. ceteri ποcειδάων, etiam A. ἐδίδαξεν A: ceteri ἐδίδαξαν. — 308 τῶ ACDHLS Syr. τῷ EG. καί cε ACDEL Syr. Harl. Lips. Townl. Mosc. 2. Vrat. b. A. κέν cε G Flor. κέ cε HS. χρεὼν Cant. Vrat. A. — 309 περι A. τέρμαθ' ἐλιccέμεν AD, apostr. et spir. 2. man. add. τέρματ' ἐλιccέμεν CHLS Townl. Vrat. b. d. ΤΕΡΜΑΤ Syr. — 310 βάρδυcτοι L. τῶ ACHL Syr. τῷ DEG. τώ Townl. κ' οἴω L Lips. Harl. Mosc. 2. τ' ὀΐω G. Γ' ΟΊΩ Syr. — 311 οὐδέ μεν C. — 312 ἴcαcι DEGL Lips. Vrat. A. Flor. Rom. ΙCCΑCΙΝ Syr. ἴccαcῖν H. ΜΗ-[c]ΤΊCΑCΘΑΙ Syr. altero c̄ 2. man. addito. — 314 ΠΑΡΕΚΠΡΟΦΥΓΟΙCΙΝ Syr. — 315 βίηφι ACDGHL. βίῃφι E Rhet. Graec. III, 107, 27. 242, 2. ΒΙΗΙΦΙ Syr. — 316 ἐνι D. ἐπὶ Vrat. A. — 317 ἐρεχθομένην: cπερχομένην Orionis Anthol. I, 23 (ed. Meinecke. pg 251). ἀνέμοιcι ACDEG. ἀνέμοιcιν L Syr. Rhet. Gr. III, 107, 28. — 318 περιγίγνεται L Syr. περιγίνεται ACDEGH Rhet Gr. III, 107, 29. Orionis Anthol. I, 23. Herodianus π. διχρόνων 282, 10. Bekk. Anecd. 1227. Et. Gud. 260, 27. Eust. 1742, 35. παραγίνεται Eust. 348, 36. — 319 ·'ΑΛΛΟC Syr. ΆΡΜΑCΙ Syr. omisso οἷcι quod add. man. rec. πεποιθώc: πέποιθε κατά τιναc Eust. 1303, 15 et 24. — 320 ἀφραδέοc G. ἐπι A. ἑλίccεται ACDHL. — 321 ἀνα AD. κατὰ δρόμον C. — 323 ἐγγύθι S. — 324 ὅπωc DE Flor. Rom. τοπρῶτον L. τὸν πρῶτον C Barocc. τοι πρῶτον Mosc. 2. τανύcει E.

A. c. 307 ὅτι Ζηνόδοτοc γράφει ἐδίδαξαν, Ἀρίcταρχοc δὲ ἑνικῶc ἐδίδαξεν ἐπὶ τοῦ Ποcειδῶνοc· ἵππειοc γάρ Aristonicus. — 310 οὕτωc θείcον (em. θείειν) A in marg. — 317 ἐρεχθομένην Aristarchus: ἐριχθομένην Apio, conf. Et. Mg. 371, 24. — 319 ἀλλ' ὃc Ptolem. Ascalonita: ἄλλοc (cod. ἄλλωc) Antigonus.

ἀλλ' ἔχει ἀcφαλέωc καὶ τὸν προὔχοντα δοκεύει.
cῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδέc, οὐδέ cε λήcει.
ἕcτηκε ξύλον αὖον, ὅcον τ' ὄργυι', ὑπὲρ αἴηc,
ἢ δρυὸc ἢ πεύκηc. τὸ μὲν οὐ καταπύθεται ὄμβρῳ,
λᾶε δὲ τοῦ ἑκάτερθεν ἐρηρέδαται δύο λευκὼ
ἐν ξυνοχῇcιν ὁδοῦ, λεῖοc δ' ἱππόδρομοc ἀμφίc,
ἤ τευ cῆμα βροτοῖο πάλαι κατατεθνηῶτοc,
ἢ τό γε νύccα τέτυκτο ἐπὶ προτέρων ἀνθρώπων,
καὶ νῦν τέρματ' ἔθηκε ποδάρκηc δῖοc Ἀχιλλεύc.
τῷ cὺ μάλ' ἐγχρίμψαc ἐλάαν cχεδὸν ἅρμα καὶ ἵππουc,
αὐτὸc δὲ κλινθῆναι ἐυπλέκτῳ ἐνὶ δίφρῳ
ἧκ' ἐπ' ἀριcτερὰ τοῖιν· ἀτὰρ τὸν δεξιὸν ἵππον
κένcαι ὁμοκλήcαc, εἶξαί τέ οἱ ἡνία χερcίν.
ἐν νύccῃ δέ τοι ἵπποc ἀριcτερὸc ἐγχριμφθήτω,
ὡc ἄν τοι πλήμνη γε δοάccεται ἄκρον ἱκέcθαι
κύκλου ποιητοῖο· λίθου δ' ἀλέαcθαι ἐπαυρεῖν,
μή πωc ἵππουc τε τρώcηc κατά θ' ἅρματα ἄξηc·
χάρμα δὲ τοῖc ἄλλοιcιν, ἐλεγχείη δὲ cοὶ αὐτῷ
ἔccεται. ἀλλὰ φίλοc φρονέων πεφυλαγμένοc εἶναι.
εἰ γάρ κ' ἐν νύccῃ γε παρεξελάcῃcθα διώκων,
οὐκ ἔcθ' ὅc κέ c' ἕλῃcι μετάλμενοc, οὐδὲ παρέλθῃ,

V. L. 326 omitt. Vrat. b. — 327 ἔcτηκε H. ὅcόν τ' AH. γαίηc D. — 329 τοῦδ' L. ἑκάτερθε L. — 331 ἤ τε D. κατατεθνῆωτοc L Lips. Cant. Mor. Vrat. A. κατατεθνειῶτοc [η] A. κατατεθνειῶτοc CDEGH. — 332 ἐπι AD. — 333 τέρμ' C. ποδώκηc S Cant. ἀχϊλεύc C. — 334 ᾧ E. ἐγχρίψαc DS Cant. Harl. Mor. Mosc. 2. Vrat. A. ἐγχριμφθεὶc L Lips. — 335 εὐπλέκτω HL. ἐϋξέcτωι ἐ|||ι (ἐπὶ?) D. ἐνϊ H. κλινθῆναι δὲ καὶ αὐτὸc ἐϋξέcτῳ Plato Ion 537 A. B. ἐϋξέcτου ἐπὶ δίφρου Xenophon Conviv. IV, 6. — 336 ἐπαριcτερὰ E. — 337 τε οἱ E. — 338 νύcῃι D. ἐγχριφθήτω DL Vrat. b. A. Lips. Flor. Rom. — 339 ὡc μή τοι Plato l. l. πλήμη L Lips. δοάccεται: διόccεται E. — 341 πωc omitt H. τὲ H. τρόcῃc G. τρώcειc Vrat. d. κατα D. — 342 ἐλεγχείη: ἀεικίη Apoll. Soph. 10, 30. δέ cοι HL. δε cοι D. — 343 ἔccεται ἢ ἔccεαι E. ἔcται Apoll. Soph. 10, 30. — 344 εἴ περ νύccῃ E. κεν νύccῃι CD. παρὲξ ἐλάcῃcθα C. — 345 ὅc χ' ἕλῃcι C. ἕλλῃcι L. παρέλθοι ACDEGHLS Cant. Mor. Harl. Townl. Lips. Mosc. 2. Vrat. b. d. A. παρέλθῃ iam a principio editum erat fortasse ex coniectura.

A. c. 327 δαcυντέον καὶ προπεριcπαcτέον τὸ αὖον Herodianus, conf. Eust. 1304, 2. ἔν τιcιν ὄργυι' ἐνὶ γαίῃ Didymus. — 332, 333 ἠὲ (ἢ τόγε E) cκίροc ἔην, νῦν αὖ θέτο τέρματ' ἀχιλλεύc Aristarchus teste Schol. V et Eust. 1304, 25.

οὐδ' εἴ κεν μετόπισθεν Ἀρίονα δῖον ἐλαύνοι,
Ἀδρήστου ταχὺν ἵππον, ὃς ἐκ θεόφιν γένος ἦεν,
ἢ τοὺς Λαομέδοντος, οἳ ἐνθάδε γ' ἔτραφεν ἐσθλοί.
ὣς εἰπὼν Νέστωρ Νηλήιος ἂψ ἐνὶ χώρῃ
ἕζετ', ἐπεὶ ᾧ παιδὶ ἑκάστου πείρατ' ἔειπε.
Μηριόνης δ' ἄρα πέμπτος ἐύτριχας ὡπλίσαθ' ἵππους.
ἂν δ' ἔβαν ἐς δίφρους, ἐν δὲ κλήρους ἐβάλοντο·
πάλλ' Ἀχιλεύς, ἐκ δὲ κλῆρος θόρε Νεστορίδαο
Ἀντιλόχου· μετὰ τὸν δὲ λάχε κρείων Εὔμηλος·
τῷ δ' ἄρ' ἐπ' Ἀτρείδης, δουρὶ κλειτὸς Μενέλαος·
τῷ δ' ἐπὶ Μηριόνης λάχ' ἐλαυνέμεν· ὕστατος αὖτε
Τυδείδης ὄχ' ἄριστος ἐὼν λάχ' ἐλαυνέμεν ἵππους.
στὰν δὲ μεταστοιχί, σήμηνε δὲ τέρματ' Ἀχιλλεὺς
τηλόθεν ἐν λείῳ πεδίῳ· παρὰ δὲ σκοπὸν εἷσεν
ἀντίθεον Φοίνικα, ὀπάονα πατρὸς ἑοῖο,
ὡς μεμνέῳτο δρόμους καὶ ἀληθείην ἀποείποι.
οἳ δ' ἅμα πάντες ἐφ' ἵπποιιν μάστιγας ἄειραν,

V. L. 346 ἀρίονα AHL Lips. Vrat. d. ceteri ἀρείονα. ἔν τισι τῶν ἀντιγράφων τὸν Ἀρείονα διὰ τοῦ ῑ καὶ ō μικροῦ γράφουσιν, ὁμοίως τῷ Ἰξίων Ἰξίονος, οἱ μέντοι πλείους καὶ ἀκριβέστεροι διὰ τῆς ει̅ διφθόγγου τὸν τοιοῦτον Ἀρείονα τυποῦσιν Eust. 1304, 63. — 348 γ' ἔτραφεν A Barocc. Mor. τέτραφεν DEGS. τε τράφεν Townl. γε τράφεν L. ἐνθάδέ
α ρ
γ' ἔτρεφεν C. ἐνθάδε τέφεν H. ἔνθαδ' ἔτραφεν Vrat. A. conf. Φ 279. — 349 ὡς A. ἐνι AD. — 350 ἔειπε ACDGH. — 351 εὔτρϊχας H. — 352 ἀν CHL. ἒν A. ἐβάλλοντο EL. — 352—357 absunt a Vrat. b. — 353 πάλ' D. ἀχιλλεὺς DG. — 354 τόνδε λάχε L post ras. Lips. Townl. ceteri τὸν δ' ἔλαχε. ἐῦμηλος G. — 355 ἄρ AGL. ἀρ H. δουρὶ κλυτὸς A. δουρικλυτὸς CDGL. δουρεικλειτὸς H. — 356 ἐπι DH. μυριόνης G. ὕστατον C. ὕστατος — ἐλαυνέμεν (357) omitt. H. — 358 μεταστοιχεὶ CE quater GHLS Lips. Schol. A 535. B 777. μεταστοιχὸν D. σήμηνε CGH. σήμησε S. σήμαινε Townl. Vrat. b. A. ἀχϊλεύς C. — 359 παρα DH. εἶσε H. —
οἳ
361 μεμνέωτο H, οἳ add. man. rec. δρόμους Et. Mg. 578, 54: libri δρόμου. ἀποείπῃ Mosc. 2. — 362 οἳ δ' L. οἵδ' CH. ἄρα ACDH Harl. Townl. Mor. Mosc. 2. Vrat. d. γρ. οἱ δ' ἅμα A, ita EGL Lips. edd. vett. ἵπποϊίν ACEGH Harl. Mor. Townl. Mosc. 2. Rom. ἐφίπποϊίν D. ἀφίπποισί L. ἐφίπποισι Et. Gud. 40, 45. ἵπποισι S Vrat. A. Eust. 878. 16.

A. c. 346 non opus est scriptura Ἀρείονα, nam Ἀρίονα solo ῐ scriptum firmatur analogia nominum Νομῑονος B 871. Δολοπίονος Ε 77. Κρονίονος Ξ 247. λ 620. Ὑπερίονος Θ 480. α 8. 24. Μολίονε Λ (322) 709. 750. Ἀμφίων Ν 692. λ 262. 283. Ἄμφῑος B 830. Ε 612: — 358 asteriscus: οὐκ ὀρθῶς 757. — 361 μεμνέῳτο Herodianus cum Ptolem. Ascalonita. δρόμους πληθυντικῶς ἀρίσταρχος Didymus, conf. H. S. 167.

πέπληγόν θ' ἱμᾶσιν, ὁμόκλησάν τ' ἐπέεσσιν
ἐσσυμένως· οἱ δ' ὦκα διέπρησσον πεδίοιο
νόσφι νεῶν ταχέως· ὑπὸ δὲ στέρνοισι κονίη
ἵστατ' ἀειρομένη ὥς τε νέφος ἠὲ θύελλα,
χαῖται δ' ἐρρώοντο μετὰ πνοιῇς ἀνέμοιο.
ἅρματα δ' ἄλλοτε μὲν χθονὶ πίλνατο πουλυβοτείρῃ,
ἄλλοτε δ' ἀΐξασκε μετήορα. τοὶ δ' ἐλατῆρες
ἕστασαν ἐν δίφροισι, πάτασσε δὲ θυμὸς ἑκάστου
νίκης ἱεμένων· κέκλοντο δὲ οἷσιν ἕκαστος
ἵπποις, οἳ δ' ἐπέτοντο κονίοντες πεδίοιο.
ἀλλ' ὅτε δὴ πύματον τέλεον δρόμον ὠκέες ἵπποι
ἂψ ἐφ' ἁλὸς πολιῆς, τότε δὴ ἀρετή γε ἑκάστου
φαίνετ', ἄφαρ δ' ἵπποισι τάθη δρόμος· ὦκα δ' ἔπειτα
αἱ Φηρητιάδαο ποδώκεες ἔκφερον ἵπποι·
τὰς δὲ μετ' ἐξέφερον Διομήδεος ἄρσενες ἵπποι,
Τρώιοι, οὐδέ τι πολλὸν ἄνευθ' ἔσαν, ἀλλὰ μάλ' ἐγγύς·
αἰεὶ γὰρ δίφρου ἐπιβησομένοισιν ἐίκτην,
πνοιῇ δ' Εὐμήλοιο μετάφρενον εὐρέε τ' ὤμω
θέρμετ'· ἐπ' αὐτῷ γὰρ κεφαλὰς καταθέντε πετέσθην.
καί νύ κεν ἢ παρέλασσ', ἢ ἀμφήριστον ἔθηκεν,
εἰ μὴ Τυδέος υἷι κοτέσσατο Φοῖβος Ἀπόλλων,
ὅς ῥά οἱ ἐκ χειρῶν ἔβαλεν μάστιγα φαεινήν.
τοῖο δ' ἀπ' ὀφθαλμῶν χύτο δάκρυα χωομένοιο·

V. L. 363 πεπληγόθ' C. — 364 οἵδ' CGHL. διέπρησον CDGL Lips. Vrat. A. — 365 ὑπο A. — 367 ἐρώωντο Eust. δὲ ῥώοντο Apoll. Soph. 139, 29. — 368 πολυβοτείρῃ D Vrat. A. — 369 μετήορα E bis. τοῖδ' A. — 370 ἔστασαν DEL Rom. ἔσταν S. δίφροις H. δὲ omitt. L. — 371 ἱεμένων D. κέκλετο C. — 372 οἳ δ' D. οἵδ' CGH. δὲ, πέτοντο L. δὲ πέτοντο Townl. Vrat. b. ceteri δ' ἐπέτοντο, conf. 449. — 373 πύματον
α
δρόμον ἔτρεχον C. — 374 ἐφαλὸς D. ἐφ' A. ἀφ' Eust. 1306, 1. ἐφ' ἢ ἀφ' 1305, 45. ἀρετή τε Vrat. b. γ' ἑκάστου H. — 376 αἱ omitt. H. — 377 omittit L. μετεξέφερον CDEGH. — 378 τρῴϊοι L. οὐδ' ἔτι Townl.
ωι
Vrat. b. ἀπάνευθεν ἦσαν E. — 379 δίφρου A. ἐπι βησομένοισιν A. ἐπϊβησομένησϊν H. — 381 καταθέντε, πετέσθην D. — 382 παρέλασσεν H Lips. Vrat. A. Flor. Rom. maior pars librorum παρέλασσ', quod recepi, conf. A 27. 151. Θ 514. Κ 505. Σ 511. Χ 135. 152. α 162. 296. β 29. 317. δ 283. λ 120. 415. 459. ξ 330. 384. ο 306. τ 192. 299. υ 130. 340. ψ 136. ω 300. 405, ubi ἤ in eadem sede ante vocalem non corripitur. — 383 ὑἱ D. — 384 ὃς ῥά οἱ C. βάλε D. ἔβαλε H Lips.

A. c. 374 αἱ πλείους ἀφ' ἁλός, καὶ μήποτε λόγον ἔχει Didymus. ἐφ' ἁλός: οὕτως Ἀρίσταρχος. οἱ δὲ πλείους ἀφ' ἁλὸς Schol. V.

οὕνεκα τὰς μὲν ὅρα ἔτι καὶ πολὺ μᾶλλον ἰούσας,
οἳ δέ οἱ ἐβλάφθησαν ἄνευ κέντροιο θέοντες.
οὐδ' ἄρ' Ἀθηναίην ἐλεφηράμενος λάθ' Ἀπόλλων
Τυδεΐδην, μάλα δ' ὦκα μετέσσυτο ποιμένα λαῶν,
δῶκε δέ οἱ μάστιγα, μένος δ' ἵπποισιν ἐνῆκεν.
ἣ δὲ μετ' Ἀδμήτου υἱὸν κοτέουσα βεβήκει,
ἵππειον δέ οἱ ἦξε θεὰ ζυγόν· αἱ δέ οἱ ἵπποι
ἀμφὶς ὁδοῦ δραμέτην, ῥυμὸς δ' ἐπὶ γαῖαν ἐλύσθη.
αὐτὸς δ' ἐκ δίφροιο παρὰ τροχὸν ἐξεκυλίσθη,
ἀγκῶνάς τε περιδρύφθη στόμα τε ῥῖνάς τε,
θρυλίχθη δὲ μέτωπον ἐπ' ὀφρύσι· τὼ δέ οἱ ὄσσε
δακρυόφι πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.
Τυδεΐδης δὲ παρατρέψας ἔχε μώνυχας ἵππους,
πολλὸν τῶν ἄλλων ἐξάλμενος· ἐν γὰρ Ἀθήνη
ἵπποις ἧκε μένος καὶ ἐπ' αὐτῷ κῦδος ἔθηκε.
τῷ δ' ἄρ' ἐπ' Ἀτρεΐδης εἶχε ξανθὸς Μενέλαος.
Ἀντίλοχος δ' ἵπποισιν ἐκέκλετο πατρὸς ἑοῖο·
ἔμβητον καὶ σφῶι· τιταίνετον ὅττι τάχιστα.
ἤ τοι μὲν κείνοισιν ἐριζέμεν οὔ τι κελεύω
Τυδεΐδεω ἵπποισι δαΐφρονος, οἷσιν Ἀθήνη
νῦν ὦρεξε τάχος καὶ ἐπ' αὐτῷ κῦδος ἔθηκεν.
ἵππους δ' Ἀτρεΐδαο κιχάνετε, μὴ δὲ λίπησθον,
καρπαλίμως, μὴ σφῶιν ἐλεγχείην καταχεύῃ
Αἴθη θῆλυς ἐοῦσα· τί ἦ λείπεσθε φέριστοι;

V. L. 386 ὅρ' ἐτϊ H. — 387 ἐβλάβησαν CGL Lips. ἐμβλάφθησαν H. θέουσαι Schol. Pind. Olymp. I, 33. — 388 ἄρ ADH. — 389 διέσσυτο D. — 390 omitt. H. ἵπποιϊν E. ἐνῆικεν A. — 391 ἢ δὲ C. ἡ δὲ κατ' Mor. κοτέουσα βεβήκει DHS Cant. Harl. Mosc. 2. Vrat. b. d A. γρ. κοτέουσα βεβήκει A. — 392 δέ οἱ ῥῆξε Vrat. A. — 393 ἐπι D. ἐλύθη C Vrat. b. — 394 παρα AD. — 395 στόμά τε CD. ῥῖνάς τε C. — 396 θρυλίχθη libri mei cum Cant. Vrat. A. Flor. Apoll. Soph. 88, 21. θρυλλίχθη E Rom. Et. Mg. 456, 46. ταῦτα ἡ πλείων χρῆσις δι' ἑνὸς λ̄ οἶδε προφέρειν Eust. 1307, 46. πρόσωπον Apoll. Soph. 88, 21. τῶ A. — 397 δακρυόφιν CDEGHL, conf. P 696. — 398 παρὰ τρέψας H. — 399 ἓν A. — 400 ἔθηκε ADG. ἔδωκε C Lips. ἔδωκεν L. — 401 ἆρ ADGHL. ἔχε GL Lips. Flor. — 402 D 1. man. ἑῆος, nunc ἑοῖο. — 403 σφῶϊν H. — 404 μὲν γὰρ κείνοισιν L Vrat. A. Flor κίνοισιν D. — 406 ἔθηκε D. ἔδωκεν CL. — 407 κιχάνετον H Vrat. A. μὴ δὲ ACDGHL. — 408 καταθείῃ Harl. — 409 τί ἡ A: ceteri τίῃ. λίπεσθε EG.

A. c. 387 δέ οἱ Aristarchus: δ' ἑοὶ Ptolem. Ascalonita. — 391 κοτέουσα βεβήκει, cf. H. U. 75. — 397 de Aristarchi scriptura ἔσκετο conf. ad P 696. — 405, 406 ἀθετοῦνται οἱ δύο Aristonicus.

ὧδε γὰρ ἐξερέω, καὶ μὴν τετελεσμένον ἔσται·
οὐ σφῶιν κομιδὴ παρὰ Νέστορι, ποιμένι λαῶν,
ἔσσεται, αὐτίκα δ' ὔμμε κατακτενεῖ ὀξέι χαλκῷ,
αἴ κ' ἀποκηδήσαντε φερώμεθα χεῖρον ἄεθλον.
ἀλλ' ἐφομαρτεῖτον καὶ σπεύδετον ὅττι τάχιστα.
ταῦτα δ' ἐγὼν αὐτὸς τεχνήσομαι ἠδὲ νοήσω,
στεινωπῷ ἐν ὁδῷ παραδύμεναι, οὐδέ με λήσει.
ὣς ἔφαθ', οἳ δὲ ἄνακτος ὑποδείσαντες ὁμοκλὴν
μᾶλλον ἐπιδραμέτην ὀλίγον χρόνον· αἶψα δ' ἔπειτα
στεῖνος ὁδοῦ κοίλης ἴδεν Ἀντίλοχος μενεχάρμης.
ῥωχμὸς ἔην γαίης, ᾗ χειμέριον ἀλὲν ὕδωρ
ἐξέρρηξεν ὁδοῖο, βάθυνε δὲ χῶρον ἅπαντα·
τῇ ῥ' εἶχεν Μενέλαος ἁματροχιὰς ἀλεείνων.
Ἀντίλοχος δὲ παρατρέψας ἔχε μώνυχας ἵππους
ἐκτὸς ὁδοῦ, ὀλίγον δὲ παρακλίνας ἐδίωκεν.
Ἀτρεΐδης δ' ἔδεισε καὶ Ἀντιλόχῳ ἐγεγώνει·
Ἀντίλοχ', ἀφραδέως ἱππάζεαι· ἀλλ' ἄνεχ' ἵππους·

V. L. 410 καί μιν D. — 411 οὐ σφωϊν D. κομιδῆ L. παρα A. περὶ Lips. — 412 ὔμμε DGH. κατακτεινεῖ H. κατακτανεῖ Vrat. A. Flor. E 1308, 29; sed 1307, 60 κατακτενεῖ — 413 ἀποκηδήσαντες Vrat. A. Flor. — 416 ἐνοδῶι D. οὐδὲ μελήσει Towni. — 417 ὡς A. οἵδ' ἄνακτος ὁμοκλήσαντες ἀπειλην C. ὑποδείσαντες GS Lips. („multi“ Heyne). ὑποδδείσαντες ADEHL. — 418 ἐπεδραμέτην D: ἐπιδραμέτην ACEGHLS. — 419 κείλης G. — 420 ῥωχμὸς libri cum Etym. Or. 140, 7. Et. Mg. 706, 4. Philem. gramm. 114, 175. Zonar. Lex. 1624. Suid. II, 2 633, 12. ῥωγμὸς Apoll. Soph. 139, 27. Et. Gud. 70, 17. Suidas II, 2, 629, 15. ἀλὲν CDE Schol. Λ 192. Cram. An. Ox. II, 336, 15. αλὲν A. ἁλὲν GHL Et. Mg. 97, 29. — 422 εἶχε E Lips. ἔχε Schol. N 326. ἔσχε Et. Mg. 143, 17. ἁματροχιὰς A. ἁματροχίας S. — 423 ἀντίλοχον G. — 424 παρεκλίνας Lips. ἐν ἄλλῳ παρακλινθεὶς A. — 425 ἔδδεισεν H: ceteri ἔδδεισε.

A. c. 414 ἐφομαρτεῖτον: διχῶς ἀλλ' ἐφαμαρτεῖτον Didymus, conf. H. T. 189. — 417 διὰ τοῦ ἑτέρου δ̄ τὸ ὑποδδείσαντες Didymus (Schol. V). — 418 ἐπεδραμέτην Aristarchus, conf. ad K 354. nunc Aristarcheam scripturam reicio, formae enim dualis, praesertim in verbis compositis, augmentum spernunt, conf. διαστήτην A 6. Π 470. προσαυδήτην Λ 136. X 90. συναντέσθην H 22. συναντήτην π 333. καταπτήτην Θ 136. ἐσιδέτην φ 222. ἐκγεγάτην κ 138. ἐσιδέσθην ω 101. συνίτην Z 120. Π 476. Υ 159. Ψ 814. ἀνστήτην A 305. καππεσέτην E 560. καδδραθέτην ο 494. ξυμβλήτην φ 15. κατθέσθην χ 141. παραδραμέτην X 157. ἐπιδραμέτην Ψ 433. 447. K 354, ubi idem est restituendum. vide ad P 530. excipitur ἀπεβήτην Φ 298. — 419 στεῖνος Herodianus. — 420 ῥωχμός: ῥωγμὸς Herodianus. — 421 ἅπαντα: ἔνερθεν Aristophanes. — 422 τῇ: ἀρίσταρχος χωρὶς τοῦ ī ἧι ῥ' εἶχεν Didymus.

στεινωπὸς γὰρ ὁδός, τάχα δ' εὐρυτέρῃ παρελάσσεις,
μή πως ἀμφοτέρους δηλήσεαι ἅρματι κύρσας.
ὣς ἔφατ', Ἀντίλοχος δ' ἔτι καὶ πολὺ μᾶλλον ἔλαυνε
κέντρῳ ἐπισπέρχων, ὡς οὐκ ἀίοντι ἐοικώς.
ὅσσα δὲ δίσκου οὖρα κατωμαδίοιο πέλονται,
ὅν τ' αἰζηὸς ἀφῆκεν ἀνὴρ πειρώμενος ἥβης,
τόσσον ἐπιδραμέτην· αἱ δ' ἠρώησαν ὀπίσσω
Ἀτρείδεω· αὐτὸς γὰρ ἑκὼν μεθέηκεν ἐλαύνειν,
μή πως συγκύρσειαν ὁδῷ ἔνι μώνυχες ἵπποι,
δίφρους τ' ἀνστρέψειαν ἐυπλεκέας, κατὰ δ' αὐτοὶ
ἐν κονίῃσι πέσοιεν ἐπειγόμενοι περὶ νίκης.
τὸν καὶ νεικείων προσέφη ξανθὸς Μενέλαος·
Ἀντίλοχ', οὔ τις σεῖο βροτῶν ὀλοώτερος ἄλλος·
ἔρρ', ἐπεὶ οὔ σ' ἔτυμόν γε φάμεν πεπνῦσθαι Ἀχαιοί.
ἀλλ' οὐ μὰν οὐδ' ὣς ἄτερ ὅρκου οἴσῃ ἄεθλον.
ὣς εἰπὼν ἵπποισιν ἐκέκλετο φώνησέν τε·
μή μοι ἐρύκεσθον μηδ' ἕστατον ἀχνυμένω κῆρ.
φθήσονται τούτοισι πόδες καὶ γοῦνα καμόντα
ἢ ὑμῖν· ἄμφω γὰρ ἀτέμβονται νεότητος.
ὣς ἔφαθ', οἳ δὲ ἄνακτος ὑποδείσαντες ὁμοκλὴν
μᾶλλον ἐπιδραμέτην, τάχα δέ σφισιν ἄγχι γένοντο.
Ἀργεῖοι δ' ἐν ἀγῶνι καθήμενοι εἰσορόωντο
ἵππους· τοὶ δ' ἐπέτοντο κονίοντες πεδίοιο.
πρῶτος δ' Ἰδομενεύς, Κρητῶν ἀγός, ἐφράσαθ' ἵππους·

V. L. 427 τάχα δευτέρῃ H. παρελάσσῃς Mor. παρελάσσαις Lips. παρελάσεις E. πελάσσεις Townl. — 428 δειλήσεαι D. — 429 ὡς A. ἔλαυνε ACDGHL. ἤλαυνε E. — 431 κατ' ὠμαδίοιο A. κατομάδϊοι C 1. man. — 432 αἰζηιὸς A. — 433 ἐπιδραμέτην ACDEGHLS. αἳ δ' D, acc. 2. man. Apoll. Soph. 84, 33. αἵδ' CL. ὀπίσω E. — 434 ἀτρείδεῳ H. — 435 συγκέρσειαν G. ἐνι D. ἐνὶ GH. — 436 ἀνατρέψειαν Vrat. A. κατα CD. — 440 γε φάμεν ACDEG. γε φαμὲν HL. scripturam γ' ἔφαμεν Dindorfius intulit. πεπνύσθαι ACDEGL. — 441 ὡς A. ceteri ὣς. οἴσει L. mallem οἴσεαι. hunc habet H in marg. man. rec. scr. — 442 ὡς A. — 443 μὴ δ'. C. ἕστατον L. — 444 φθίσονται DHLS Lips. Vrat. b. Flor. φθίσσονται Vrat. A. — 446 ὡς A. οἵδ' C. ὑποδείσαντες G. ceteri ὑποδδείσαντες. 447 ἐπιδραμέτην ACDEGHLS. σφϊσϊ H. δέ σφιν LS. σφι Lips. ἄγχ' ἐγένοντο D. — 449 οἵδ' H. οἳδ' D. ἐπέτοντο CDEH Vrat. A. δὲ πέτοντο ceteri. δὲ, πέτοντο L. οἱ δὲ πέτοντο Barocc. Vrat. b. d. conf. 372.

A. c. 427 εὐρυτέρῃ παρελάσσαι Schol. V diserte. — 440 γε φάμεν Herodianus.

ἧστο γὰρ ἐκτὸς ἀγῶνος ὑπέρτατος ἐν περιωπῇ·
τοῖο δ' ἄνευθεν ἐόντος ὁμοκλητῆρος ἀκούσας
ἔγνω, φράσσατο δ' ἵππον ἀριπρεπέα προὔχοντα,
ὃς τὸ μὲν ἄλλο τόσον φοῖνιξ ἦν, ἐν δὲ μετώπῳ
λευκὸν σῆμ' ἐτέτυκτο περίτροχον ἠύτε μήνη.
στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
οἶος ἐγὼν ἵππους αὐγάζομαι ἦε καὶ ὑμεῖς;
ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι,
ἄλλος δ' ἡνίοχος ἰνδάλλεται· αἳ δέ που αὐτοῦ
ἔβλαβεν ἐν πεδίῳ, αἳ κεῖσέ γε φέρτεραι ἦσαν.
ἦ τοι γὰρ τὰς πρῶτα ἴδον περὶ τέρμα βαλούσας,
νῦν δ' οὔ πῃ δύναμαι ἰδέειν· πάντῃ δέ μοι ὄσσε
Τρωικὸν ἂμ πεδίον παπταίνετον εἰσορόωντι.
ἦε τὸν ἡνίοχον φύγον ἡνία, οὐδὲ δυνάσθη
εὖ σχεθέειν περὶ τέρμα, καὶ οὐκ ἐτύχησεν ἑλίξας;
ἔνθά μιν ἐκπεσέειν ὀίω σύν θ' ἅρματα ἆξαι,
αἳ δ' ἐξηρώησαν, ἐπεὶ μένος ἔλλαβε θυμόν.

V. L. 452 ἰόντος D. — 453 φράσατο E Lips. — 454 τόσσον D Lips. ἄλλο δέμας Apoll. Soph. 164, 29. φοίνιξ H. — 455 σῆμα G. σῆμα τέτυκτο E Harl. Mosc. 2. Vrat. A. ceteri σῆμ' ἐτέτυκτο cum Apoll. Soph. 164. 30. Schol. C 309. μήνης Vrat. d. — 456 στῆι A. — 458 οἶος C. — 459 μοι omitt. C. παυρότεροι D. — 460 αἱ — αὐταὶ Mosc. 2. οἱ — αὐτοὶ Vrat A. — 461 γε omitt C. ΦΕΡΤΕΡΟΙ Syr. — 462 ὅσοι γὰρ τὰς πρώτας H. γὰρ στὰς πρῶτα δ' Lips. τὰ πρῶτα G. πρῶτον LS Vrat. A. περι DH. μολούσας Vrat. A. — 463 οὔπη DEL Harl. Townl. Mosc. 2. Lips.
ηι
Rom. οὔπω A. οὔπω CGHS Syr. πάντῃ AEG: ceteri πάντη. — 464 ἀμπεδίον ACDEGHL. ΑΝΠΕΔΙΟΝ Syr. εἰσορόωντε Vrat A. 2. man. — 465 φύγεν A Barocc. Vrat. d. οὐδὲ δυνάσθη ACDEGHS. ΟΥΔΕ ΔΥΝΑΣΘΗ Syr. οὐδ' ἐδυνάσθη L Lips. Townl. receptum a Bekk. 1. — 466 σχεθέην G. περι AD. ἑλίξας ACDH. — 467 ἔνθά μιν ACDH. οἴω CDH. σύν θ' ACDGL Syr. σϋν θ' H. κατά θ' ES Harl. Townl. Mosc. 2. γρ. κατα θ' ἅρματα A. ἄξαι ACDEGHL. — 468 omitt. H. in Vrat. d. ante vers. 467 est collocatus. αἳ δ' D, acc. 2. man. add. αἵδ' C. ἐξερώησαν C. ἔλαβε G.

A. c. 455 οὕτως ἰακῶς τέτυκτο ὁ Ἀρίσταρχος Didymus. — 459 παροίτεροι Aristarchus. — 461 κεῖσε: Ζηνόδοτος καὶ Ἀριστοφάνης κεῖθι, καὶ ἔστιν ἀναλογώτερον Didymus. — 463 οὕτως διὰ τοῦ η̄ (cod. N) νῦν δ' οὔπηι ἀριστοφάνης Didymus. — 464 αἱ ἀριστάρχου παπταίνετ (sic) Didymus. Ἀρίσταρχος παπταίνεται Schol. V, quod verum habeo; nam si Aristarchus παπταίνετον scripsisset scholio Didymi in cod. A praefixum esset οὕτως (i. e. sicuti in textu, in quo est παπταίνετον). — 465 φύγον Aristarchum scripsisse puto ut Θ 137. Λ 128. conf. H. T. 383 sq.

ἀλλὰ ἴδεcθε καὶ ὔμμεc ἀνacταδόν· οὐ γὰρ ἐγώ γε
εὖ διαγιγνώcκω· δοκέει δέ μοι ἔμμεναι ἀνὴρ
Αἰτωλὸc γενεήν, μετὰ δ' Ἀργείοιcιν ἀνάccει,
Τυδέοc ἱπποδάμου υἱόc, κρατερὸc Διομήδηc.
τὸν δ' αἰcχρῶc ἐνένιπεν Ὀιλῆοc ταχὺc Αἴαc·
Ἰδομενεῦ, τί πάροc λαβρεύεαι; αἳ δέ τ' ἄνευθεν
ἵπποι ἀερcίποδεc πολέοc πεδίοιο δίενται.
οὔτε νεώτατόc ἐcci μετ' Ἀργείοιcι τοcοῦτον,
οὔτέ τοι ὀξύτατον κεφαλῆc ἐκ δέρκεται ὄccε·
ἀλλ' αἰεὶ μύθοιc λαβρεύεαι. οὐδέ τί cε χρὴ
λαβραγόρην ἔμεναι· πάρα γὰρ καὶ ἀμείνονεc ἄλλοι.
ἵπποι δ' αὖτε ἔαcι παροίτεραι, αἳ τὸ πάροc περ,
Εὐμήλου, ἐν δ' αὐτὸc ἔχων εὔληρα βέβηκε.
τὸν δὲ χολωcάμενοc Κρητῶν ἀγὸc ἀντίον ηὔδα·
Αἶαν, νεῖκοc ἄριcτε, κακοφραδέc, ἄλλά τε πάντα
δεύεαι Ἀργείων, ὅτι τοι νόοc ἐcτὶν ἀπηνήc.

V. L. 469 ὔμμεc DGH Townl. ἔγωγε libri. — 470 διαγιγνώcκω L. διαγινώcκω ACDEGH Syr. ΑΝΗΡ' Syr. — 471 μετ' ἀργείοιcιν D. — 472 ἱππομάχου Vrat. A. ἱπποδάμοιο πάϊc L Lips. — 473 ἐνένιπεν ADE GH Vrat. b. d. ἐνένιcπεν CLS Syr. Lips. ἐνένιπτεν Cant. ἐνέειπεν Townl. Vrat. A. — 474 αἱ δ' ἔτ' Townl. — 475 πόλεωc Schol. C 162. δίενται (ω) A. δίωνται S Cant. ceteri δίενται cum Et Mg. 280, 58. Zonar. Lex. 555. Schol. C 162. δίωνται legitur P 110. — 476 νεώτατοc ἐccὶ GL. — 477 οὔτέ τοι ACD ex corr. E. Apoll. de Synt. 291, 12 οὔτέ τι H. οὐδέ τοι Bachm. Anecd. II, 314, 17. ἐκδέρκεται ACDEGHL Syr. Eust. 1259, 60. ἐκδέρκετον Lips. Apoll. de Synt. 291, 12. καταδέρκεται Bachm. An. II, 314, 17. — 478 μύθοιcι D. οὐδέ τι cε ACDHL. — 479 ΛΑΒΡ' ΑΓΟΡΗΝ Syr. ἔμμεναι C Flor. παρα D. — 480 δ' αὖτε CDES Mosc. 2. αὗται A Vrat. b. αὔται Mor. αὖται Lips. αὗται Vrat. A. αὐταὶ GL Townl. παροίτεροι AS. οἳ S. τοπάροc L. ΠΕΡ' Syr. — 481 βέβηκε ADG. βεβήκει Vrat. b. A. Zonar. Lex. 917. — 482 τόνδε. — 483 νεῖκοc L Syr. Barocc. Mor. Lips. Vrat. A. νείκει ACDEGHS Plutarchus de Aud. poët. 13. νείκη Harl. Mosc. 2. ἄλλά τε ACH. — 484 ἐcτιν A. ἀποινήc L.

A. c. 471 ἀθετεῖται Aristonicus. — 475 δίενται Herodianus. — 479 ἀθετεῖται Aristonicus. πάρα Herodianus. — 480 αὖτε editum erat, donec Heynius ex libris nonnullis αὐταὶ deprompsit, eumque secuti sunt recentiores. ego ad pristinam scripturam redii, nam αὐταὶ pro αἱ αὐταὶ dici non potest, et hiatus, quem offendisse neminem Heynius miratur, in hac sede est legitimus, quod exemplis firmavi in adnotatione ad T 288. accedit quod in omnibus fere libris syllaba αὐ accentum habet et in nullo legitur αὐτοί, quod respondit scripturae παροίτεροι. — 483 ἀρίcταρχοc νίκοc (sic) ἄριcτε ὡc εἶδοc ἄριcτε Didymus.

δεῦρό νυν, ἢ τρίποδοc περιδώμεθον ἠὲ λέβητοc·
ἵcτορα δ' Ἀτρείδην Ἀγαμέμνονα θείομεν ἄμφω,
ὁππότεραι πρόcθ' ἵπποι, ἵνα γνώηc ἀποτίνων.
ὣc ἔφατ', ὤρνυτο δ' αὐτίκ' Ὀιλῆοc ταχὺc Αἴαc
χωόμενοc χαλεποῖcιν ἀμείψαcθαι ἐπέεccι.
καί νύ κε δὴ προτέρω ἔτ' ἔριc γένετ' ἀμφοτέροιcιν,
εἰ μὴ Ἀχιλλεὺc αὐτὸc ἀνίcτατο καὶ φάτο μῦθον·
μηκέτι νῦν χαλεποῖcιν ἀμείβεcθον ἐπέεccιν,
Αἶαν Ἰδομενεῦ τε, κακοῖc, ἐπεὶ οὐδὲ ἔοικε.
καὶ δ' ἄλλῳ νεμεcᾶτον, ὅτιc τοιαῦτά γε ῥέζοι.
ἀλλ' ὑμεῖc ἐν ἀγῶνι καθήμενοι εἰcοράαcθε
ἵππουc· οἳ δὲ τάχ' αὐτοὶ ἐπειγόμενοι περὶ νίκηc
ἐνθάδ' ἐλεύcονται· τότε δὲ γνώcεcθε ἕκαcτοc
ἵππουc Ἀργείων, οἳ δεύτεροι οἵ τε πάροιθεν.
ὣc φάτο, Τυδείδηc δὲ μάλα cχεδὸν ἦλθε διώκων,
μάcτι δ' αἰὲν ἔλαυνε κατωμαδόν· οἱ δέ οἱ ἵπποι
ὑψόc' ἀειρέcθην ῥίμφα πρήccοντε κέλευθον.
αἰεὶ δ' ἡνίοχον κονίηc ῥαθάμιγγεc ἔβαλλον,

V. L. 485 εἰ δ' ἄγε νῦν Phot. Lex. 305. δεῦρό γε νῦν Schol. Aristoph. Acharn. 771. Equit. 788. νῦν AC. νῦν EH. περιδώμεθον A. περιδώμεθον CDEGHS Syr. Suidas II, 2, 201, 8 (unus cod. περιδώμεθα). Eust. 792, 16. 1939, 5. Phot. Lex. 305. περιδώμεθα L Barocc. Harl. Townl. Schol. Arist. Acharn. 771. Equit. 788. Hesychius I. 477. Et. Mg. 663, 50. — 486 ἵcτορα CL. — 487 ὁππότεροι Vrat. d. γνώηc Barocc. Vrat. d. γνώηc' H. γνοίηc ACDEGLS Syr. ἀπὸ τίνων E bis. — 488 ὡc A. ὤρνυτ' ὀϊλῆοc αὐτίκα L Lips. — 489 ἐπέεccι AEG. — 490 καί νύ κ' ἔτι Schol. I 192. προτέρῳ AH. ἔτ' omitt. E. — 491 ἀχῖλεὺc C. αὐτὸc omitt. C. Flor. Rom. φᾶτο D. ἐν ἄλλῳ καὶ κατέρυκε A. — 492 ἀμείψαcθαι D. ἀμείβεcθ' E. — 493 κακῶc Vrat. A. ἔοικε ACDEGH. ἔοικεν L Syr. — 494 ὅcτιc CDL. γε omitt. L Lips. ῥέζῃ H ῥέξοι S Cant. Flor. — 495 εἰcοράαcθον L Lips. — 496 οἳ δὲ C. — 497 τότε δὴ L. δὲ omitt. D. ἕκαcτοι Vrat. A. — 498 οἳ τοπάροιθεν G. τὸ πάροιθεν Flor. — 499 ὡc A. — 500 μάcτιγι ELS Townl. Vrat. A. cum aliis. μάcτιγα C. μάcτι ADGH Syr. Bekk. Anecd. 1227. Zonar. Lex. 1333. τὸ δὲ μάcτιγι μάcτι τινὲc γράφουcι διcυλλάβωc Eust. 1312. 55. μάcτι, ὡc Θέτι (C 407) Schol. A. αἱ δέ οἱ Vrat. A. — 501 πρήcοντε CD. κέλευθα Vrat. A. — 502 ῥαθ μιγγεc G.

A. c. 485 νυν Herodianus, conf. Schol. K 105. Φ 428. Bekk. An. 1147. Eust. 792, 16. H T. 318. haud scio an περιδώμεθα genuina sit lectio, hiatus enim in caesura bucolica est nullus, et formae dualis in μεθον terminatae sunt rarissimae (Soph. Elect. 950. Phil. 1079. Athen. III, 98 a). defendit περιδώμεθον G. Hermannus ad Soph. El. 938. — 490 de scriptura προτέρῳ conf H. U. 186. Schol. V ad I 192. — 500 οἱ δέ οἱ, conf. ad 387.

ἅρματα δὲ χρυϲῷ πεπυκαϲμένα καϲϲιτέρῳ τε
ἵπποιϲ ὠκυπόδεϲϲιν ἐπέτρεχον· οὐδέ τι πολλὴ
γίγνετ' ἐπιϲϲώτρων ἁρματροχιὴ κατόπιϲθεν
ἐν λεπτῇ κονίῃ· τὼ δὲ ϲπεύδοντε πετέϲθην.
ϲτῆ δὲ μέϲῳ ἐν ἀγῶνι, πολὺϲ δ' ἀνεκήκιεν ἱδρὼϲ
ἵππων ἔκ τε λόφων καὶ ἀπὸ ϲτέρνοιο χαμᾶζε.
αὐτὸϲ δ' ἐκ δίφροιο χαμαὶ θόρε παμφανόωντοϲ,
κλῖνε δ' ἄρα μάϲτιγα ποτὶ ζυγόν. οὐδὲ μάτηϲεν
ἴφθιμοϲ Ϲθένελοϲ, ἀλλ' ἐϲϲυμένωϲ λάβ' ἄεθλον,
δῶκε δ' ἄγειν ἑτάροιϲιν ὑπερθύμοιϲι γυναῖκα
καὶ τρίποδ' ὠτώεντα φέρειν· ὃ δὲ λῦεν ὑφ' ἵππουϲ.
τῷ δ' ἄρ' ἐπ' Ἀντίλοχοϲ Νηλήιοϲ ἤλαϲεν ἵππουϲ,
κέρδεϲιν, οὔ τι τάχει γε, παραφθάμενοϲ Μενέλαον.
ἀλλὰ καὶ ὣϲ Μενέλαοϲ ἔχ' ἐγγύθεν ὠκέαϲ ἵππουϲ.
ὅϲϲον δὲ τροχοῦ ἵπποϲ ἀφίϲταται, ὅϲ ῥά τ' ἄνακτα
ἕλκῃϲιν πεδίοιο τιταινόμενοϲ ϲὺν ὄχεϲφι·
τοῦ μέν τε ψαύουϲιν ἐπιϲϲώτρου τρίχεϲ ἄκραι
οὐραῖαι· ὃ δέ τ' ἄγχι μάλα τρέχει, οὐδέ τι πολλὴ
χώρη μεϲϲηγύϲ, πολέοϲ πεδίοιο θέοντοϲ·
τόϲϲον δὴ Μενέλαοϲ ἀμύμονοϲ Ἀντιλόχοιο
λείπετ'· ἀτὰρ τὰ πρῶτα καὶ ἐϲ δίϲκουρα λέλειπτο.

V. l. 503 ἅρματα δ' αὖ χαλκῷ Plutarchus Quaest. conv. IX, 15, 1, 5. ἅρματά τε Vrat. b. — 504 οὐδέ τε G. ceteri οὐδέ τι. Vrat. b. d. οὐδ' ἔτι. — 505 γίγνετ' AL: γίνετ' CDEGH Syr. Et. Mg. 145, 20. Schol. Ψ 422. Apoll. Soph. 43, 16. Ammon. de Diff. s. ἁρματροχία. ἐπιϲώτρων H Vrat. A. Apoll. Soph. 43, 16. Et. Mg. 145, 20. ὀπιϲϲώτρων D. ἁρματροχιὴ C. ἁρματροχίη Lips. Ammonius. ἁρμοτροχιὴ Eust. 1312, 52. — 506 πετέϲθην: ἐν ἄλλῳ πέτεϲθον A. — 508 ἀπο HL. χαμᾶζε ADEG: χαμάζε CHL. ΧΑΜΑΖЄ Syr. — 509 ΧΑΜЄ Ambr. παμφανόεντοϲ Lips. — 510 ΚΛЄΙΝЄ Ambr. ποτι AD. οὐδὲ μάτηϲεν ACD 1. man. GS Syr. οὐδ' ἐμάτηϲεν D ex corr. EH Mosc. 2. Vrat. A. Rom. — 512 ὑπερθύμοιϲιν D. — 513 ὠτόεντα D. ὃ δ' D. ὅδ' CG. ὃ δὲ λῦεν H. δὲ λῦεν L. ceteri δ' ἔλυεν. — 514 ἂρ ADGHL. — 515 τάχει τε H. — 515, 516 omitt. Vrat. b. — 516 ὡϲ A. — 517 ὅϲϲόν τε H. ῥα ἄνακτα E. — 518 ЄΛΚΗϹΙΝ Ambr. ἕλκηϲι DE. ϲυνόχεϲφι D Syr. ὄχεϲφι C. ceteri ὄχεϲφιν. — 519 ὀπιϲϲώτρου A. — 520 ὅ δέ τ' G. οὐδέ τε E. — 521 μεϲϲηγὺ H Vrat. b. (d?). — 522 δὴ: ΔЄ Ambr. — 523 ταπρῶτα L. δίϲκου οὖρα S. δίϲκ' οὖρα antigrapha quaedam teste Eust. 1309, 35. δίϲκουρα ἢ δίϲκ' οὖρα Eust. 1313, 65. δίϲκουρα A.

A. c. 504 ἐπέτρεχον: οὕτω δὲ διὰ τοῦ ō Didymus. ὅτι τὰ ἅρματα ἐπέτρεχον, καὶ οὐκ ἐπέτρεχεν Aristonicus. — 523 Aristarchus, Ptolem. Ascalonita, Herodianus δίϲκουρα, κατὰ ϲύνθεϲιν: alii δίϲκου οὖρα, ut supra 431.

ἀλλά μιν αἶψα κίχανεν· ὀφέλλετο γὰρ μένοϲ ἠὺ
ἵππου τῆϲ Ἀγαμεμνονέηϲ, καλλίτριχοϲ Αἴθηϲ.
εἰ δέ κ' ἔτι προτέρω γένετο δρόμοϲ ἀμφοτέροιϲι,
τῶ κέν μιν παρέλαϲϲ', οὐδ' ἀμφήριϲτον ἔθηκεν.
αὐτὰρ Μηριόνηϲ, θεράπων ἐὺϲ Ἰδομενῆοϲ,
λείπετ' ἀγακλῆοϲ Μενελάου δουρὸϲ ἐρωήν·
βάρδιϲτοι μὲν γάρ οἱ ἔϲαν καλλίτριχεϲ ἵπποι,
ἥκιϲτοϲ δ' ἦν αὐτὸϲ ἐλαυνέμεν ἅρμ' ἐν ἀγῶνι.
υἱὸϲ δ' Ἀδμήτοιο πανύϲτατοϲ ἤλυθεν ἄλλων,
ἕλκων ἅρματα καλά, ἐλαύνων πρόϲϲοθεν ἵππουϲ.
τὸν δὲ ἰδὼν ᾤκτειρε ποδάρκηϲ δῖοϲ Ἀχιλλεύϲ,
ϲτὰϲ δ' ἄρ' ἐν Ἀργείοιϲ ἔπεα πτερόεντ' ἀγόρευε·
λοῖϲθοϲ ἀνὴρ ὤριϲτοϲ ἐλαύνει μώνυχαϲ ἵππουϲ.
ἀλλ' ἄγε δή οἱ δῶμεν ἀέθλιον, ὡϲ ἐπιεικέϲ,
δεύτερ'· ἀτὰρ τὰ πρῶτα φερέϲθω Τυδέοϲ υἱόϲ.
ὣϲ ἔφαθ', οἳ δ' ἄρα πάντεϲ ἐπῄνεον ὡϲ ἐκέλευε.
καί νύ κέ οἱ πόρεν ἵππον, ἐπῄνηϲαν γὰρ Ἀχαιοί,
εἰ μὴ ἄρ' Ἀντίλοχοϲ, μεγαθύμου Νέϲτοροϲ υἱόϲ,
Πηλείδην Ἀχιλῆα δίκῃ ἠμείψατ' ἀναϲτάϲ·
ὦ Ἀχιλεῦ, μάλα τοι κεχολώϲομαι, αἴ κε τελέϲϲῃϲ
τοῦτο ἔποϲ· μέλλειϲ γὰρ ἀφαιρήϲεϲθαι ἄεθλον,
τὰ φρονέων, ὅτι οἱ βλάβεν ἅρματα καὶ ταχέ' ἵππω
αὐτόϲ τ' ἐϲθλὸϲ ἐών. ἀλλ' ὤφελεν ἀθανάτοιϲιν

V. l. 526 εἴ περ ἔτι E. προτέρωι A. προτέρῳ G. γῖνετο H. ἀμφοτέροιϲι ACDEGHL Syr. — 527 τῶ ACDHL. ΤΩ Syr. τῷ G. καί μιν H Vrat. d. Barocc. Lips. κέ μιν D Rom. κεν ACGLS Syr. — 528 ἀτὰρ D. — 530 βάρδιϲται Syr. Vrat. A. μὲν: τὴν G. γάρ οἵ H. — 531 ἤκιϲτοϲ AD Lips. ἥκιϲτοϲ CEGHL Apoll. Soph. 83, 7. Et. Mg. 424, 28. ἐναγῶνι A. — 533 πρόϲϲωθ' E Lips. Rom. — 534 ἀχϊλεύϲ C. — 535 ϲτὰϲ δ' ἐν CG Flor. ἀργείοιϲιν G Syr. Flor. ἂρ AHL. ἀγόρευε CGL. ἀγόρευεν AS post ras. Syr. πτερόεντα προϲηύδα DH Townl. Vrat. b. d. — 536 ὥριϲτοϲ AE. — 537 ἀλλά γε DH. — 539 ὡϲ A. οἵδ' CL. ἐκέλευε CEG. ἠδ' ἐκέλευον H Vrat. A. ὡϲ ἐκέλευον Vrat. d. ΗΔЄΚЄΛЄΥΟΝ Syr. ἐν ἄλλῳ ἠδὲ κέλευον A. — 540 κέ οἱ A Harl. κέν οἱ CDGHL in Syr. est lacuna. κε δὴ Vrat. A. ἐπήινεϲαν D. Lips. cum aliis. ἐπῄνεον Vrat. A. ἐν ἄλλῳ ἐπῄνηϲαν γὰρ οἱ ἄλλοι A. — 541 ἂρ ADEGHL. — 542 ΗΧΙΛΗ͂Α Syr. ἠμείψατο D. — 543 μάλά τοι D. τελέϲειϲ D. ταλάϲϲηϲ Vrat. d. — 545 ΑΡΜΑΚΑΙ Syr. ἵππῳ G.

A. c. 527 παρέλαϲϲ' οὐδ' Aristarchus: παρέλαϲϲεν ἢ Zenodotus. — 531 ἤκιϲτοϲ, non ἥκιϲτοϲ, Aristarchus. — 533 Aristarchus πρόϲϲοθεν: ὠκέαϲ Zenodotus. — 538 ὅτι ἔν τιϲιν ὑποτάϲϲονται τούτῳ „τὰ τρίτα δ' Ἀντίλοχοϲ, τέτρατα ξανθὸϲ Μενέλαοϲ, πέμπτα δὲ Μηριόνηϲ, θεράπων ἐὺϲ Ἰδομενῆοϲ“ Aristonicus. — 540 κέ οἱ conf. ad Φ 567.

εὔχεϲθαι· τῶ κ' οὔ τι πανύϲτατοϲ ἦλθε διώκων.
εἰ δέ μιν οἰκτείρειϲ καί τοι φίλοϲ ἔπλετο θυμῷ,
ἔϲτι τοι ἐν κλιϲίῃ χρυϲὸϲ πολύϲ, ἔϲτι δὲ χαλκὸϲ
καὶ πρόβατ', εἰϲὶ δέ τοι δμῳαὶ καὶ μώνυχεϲ ἵπποι·
τῶν οἱ ἔπειτ' ἀνελὼν δόμεναι καὶ μεῖζον ἄεθλον,
ἠὲ καὶ αὐτίκα νῦν, ἵνα ϲ' αἰνήϲωϲιν Ἀχαιοί.
τὴν δ' ἐγὼ οὐ δώϲω· περὶ δ' αὐτῆϲ πειρηθήτω
ἀνδρῶν ὅϲ κ' ἐθέλῃϲιν ἐμοὶ χείρεϲϲι μάχεϲθαι.
ὣϲ φάτο, μείδηϲεν δὲ ποδάρκηϲ δῖοϲ Ἀχιλλεὺϲ
χαίρων Ἀντιλόχῳ, ὅτι οἱ φίλοϲ ἦεν ἑταῖροϲ·
καί μιν ἀμειβόμενοϲ ἔπεα πτερόεντα προϲηύδα·
Ἀντίλοχ', εἰ μὲν δή με κελεύειϲ οἴκοθεν ἄλλο
Εὐμήλῳ ἐπιδοῦναι, ἐγὼ δέ κε καὶ τὸ τελέϲϲω.
δώϲω οἱ θώρηκα, τὸν Ἀϲτεροπαῖον ἀπηύρων,
χάλκεον, ᾧ πέρι χεῦμα φαεινοῦ καϲϲιτέροιο
ἀμφιδεδίνηται· πολέοϲ δέ οἱ ἄξιοϲ ἔϲται.
ἦ ῥα, καὶ Αὐτομέδοντι φίλῳ ἐκέλευϲεν ἑταίρῳ
οἰϲέμεναι κλιϲίηθεν· ὃ δ' ᾤχετο καί οἱ ἔνεικε.

V. L. 547 εὔχεϲθαι versui antecedenti additum est in L. * τῶ κ': τῶ κεν L. τῷ κεν S Lips. Mosc. 2. τῶ κεν C: ceteri τό κεν. ἤλυθεν ἄλλων D. — 548 οἰκτείρῃϲ Vrat. A. φίλοϲ AGE Harl. Townl. φίλονϲ' C (sic). φίλον DHLS. — 549 ἐϲτί τοι A. ἒν A. ἐνὶ G Flor. χρυϲὸϲ ἔϲτι δὲ πολὺϲ χαλκὸϲ A. — 550 εἰϲὶ δέ οἱ D. δὲ H, omisso οἱ. δμωιαὶ A: ceteri δμωαὶ. δμωαὶ καὶ μεῖζον ἄεθλον G. — 551 τῶν οἳ D, gravem add. 2. man. — 553 περῒ H. — 554 ὅϲ κε θέληϲιν D. ὅϲ ϲκεθέληϲιν L. — 555 ὥϲ A. μείδηϲε H. ἀχῒλεύϲ C. — 557 πτερόεντ' ἀγόρευεν Mosc. 2. — 559 κε omitt. G. τελέϲω A. τελέϲω E Flor. Rom. — 560 δώϲώ οἱ C. θώρακα L. ὃν E 1314, 49. ἀπηῦρον G Cant. — 561 περι ADGH. περὶ CEL. — 562 δέ τοι C Mosc. 2. ἄξιον ACDS Cant. Mor. Vrat. d. — 563 ῥὰ CGHL. — 564 κλῒϲῖοθεν H. ὃ δ' D, acc. man. rec. ὅδ' CGL. ἔνεικε ACD Syr. Vrat. A. Flor.

---

547 τῶ κ', ad quod deducit scriptura τῶ κεν in quinque libris, reposui; τό enim significat eam ob causam (διὰ τοῦτο) et idcirco κεν adsumere non potest, τῶ significat ita, tunc, τῶ κεν tunc sane (οὕτωϲ ἄν), conf. ϲ 402 αἴθ' ὤφελλ' ὁ ξεῖνοϲ ἀλώμενοϲ ἄλλοθ' ὀλέϲθαι, πρὶν ἐλθεῖν· τῶ κ' (quod si accidisset) οὔ τι τόϲον κέλαδον μετέθηκε. Β 250. Τ 61. α 239. γ 224. 258. ε 311. θ 467. ι 458. λ 502. ξ 369. ο 181. 537. ρ 164. 244. ϲ 375. 379. τ 310. υ 273. φ 374. χ 78. 134. ψ 23. ω 32. 285. 381. — 548 οὕτωϲ διὰ τοῦ ϲ̄ φίλοϲ πᾶϲαι εἶχον Didymus, conf. ad Π 450. — 551 μεῖζον ἄεθλον Aristarchus, teste Apoll. Soph. 11, 14. — 561 εἰϲὶν οἱ ἀνέϲτρεψαν τὴν περί. ὁ μέντοι Ἀϲκαλωνίτηϲ καὶ οἱ πλείουϲ κατὰ παρολκὴν ἐξεδέξαντο κεῖϲθαι διὰ τὸ ἀμφιδεδίνηται· διὸ οὐκ ἀναϲτρέφουϲιν Herodianus.

565 [Εὐμήλῳ δ' ἐν χερϲὶ τίθει· ὃ δὲ δέξατο χαίρων.]
τοῖϲι δὲ καὶ Μενέλαοϲ ἀνίϲτατο θυμὸν ἀχεύων,
Ἀντιλόχῳ ἄμοτον κεχολωμένοϲ· ἐν δ' ἄρα κῆρυξ
χειρὶ ϲκῆπτρον ἔθηκε, ϲιωπῆϲαί τε κέλευϲεν
Ἀργείουϲ· ὃ δ' ἔπειτα μετηύδα ἰϲόθεοϲ φώϲ·
Ἀντίλοχε, πρόϲθεν πεπνυμένε, ποῖον ἔρεξαϲ.
ἤϲχυναϲ μὲν ἐμὴν ἀρετήν, βλάψαϲ δέ μοι ἵππουϲ,
τοὺϲ ϲοὺϲ πρόϲθε βαλών, οἵ τοι πολὺ χείρονεϲ ἦϲαν.
ἀλλ' ἄγετ' Ἀργείων ἡγήτορεϲ ἠδὲ μέδοντεϲ
ἐϲ μέϲον ἀμφοτέροιϲι δικάϲϲατε, μηδ' ἐπ' ἀρωγῇ·
μή ποτέ τιϲ εἴπῃϲιν Ἀχαιῶν χαλκοχιτώνων·
Ἀντίλοχον ψεύδεϲϲι βιηϲάμενοϲ Μενέλαοϲ
οἴχεται ἵππον ἄγων, ὅτι οἱ πολὺ χείρονεϲ ἦϲαν
ἵπποι, αὐτὸϲ δὲ κρείϲϲων ἀρετῇ τε βίῃ τε.
εἰ δ' ἄγ' ἐγὼν αὐτὸϲ δικάϲω, καί μ' οὔ τινά φημι
ἄλλον ἐπιπλήξειν Δαναῶν· ἰθεῖα γὰρ ἔϲται.
Ἀντίλοχ', εἰ δ' ἄγε δεῦρο διοτρεφέϲ, ἣ θέμιϲ ἐϲτί,
ϲτὰϲ ἵππων προπάροιθε καὶ ἅρματοϲ, αὐτὰρ ἱμάϲθλην
χερϲὶν ἔχε ῥαδινήν, ᾗ περ τὸ πρόϲθεν ἔλαυνεϲ,

V. L. 565 omitt. ACH Syr. Townl. Vrat. b. A. εὐμήλου S. δὲ χερϲὶ D. χειρὶ L. ὅδ' G. δὲ, δεξατο L. δὲ δέξατο DES Mosc. 2. — 566. ἐν τοῖϲῑ δὲ H. — 567 ΚΉΡΥΞ' Syr. κήρυξ E. κῆρυξ ACDGHL. — 568 χειρὶ ACHL Barocc. Mor. Lips. Ven. B. χερϲὶ DEGS Syr. γρ. χερϲὶ A. τε κέλευϲεν D Syr. τ' ἐκέλευεν L Barocc. Lips. ceteri τ' ἐκέλευϲεν. — 569 ὅδ' CGHL. — 570 πρόϲθε E bis. — 571 ἴϲχῦναϲ H. — 572 πολοὶ H. ΧΕΙΡΟΝΕϹ ΕΙϹΙΝ Syr. — 574 μέϲϲον H. ἀμφοτέρων S. δικάϲϲετε D Vrat. A. δικάϲετε Lips. Flor. δικάϲατε Eust. 1316, 55; sed 1316', 19 δικάϲϲατε. μὴ δ' CDE 1316, 27 GHL. μηδ' AE 1316, 19 et 55. μὴ Lips. ἐπαρωγῇ D Vrat. A. — 577 ὅττι C. — 579 οὔτινα φημὶ ACDEGHL. — 580 μάλλον H. ΓΑΡ' Syr. — 581 αἴδ' CDE Townl. Rom. ceteri εἰ δ'. δύναται μὲν γραφῆναι Ἀντίλοχ' εἴδ' ἄγε, τὰ δὲ πλείω καὶ ἀκριβέϲτερα τῶν ἀντιγράφων αἰ δ' ἄγε φαϲίν Eust. 1316, 41. ἡ θέμιϲ AD. Η Syr. ἢ E 1316, 63. ἧ E bis G. ἥ CHLS. ἐϲτὶ ACDEHL Syr. — 582 πρὸ πάροιθε H. — 583 ἔχε ACDGHLS Syr. Lips. Vrat. A. Flor. Rom. et Heynii libri. ἔχεν Vrat. d. ἔχων Eust. 1316, 34. 1317, 1. ῥᾳδινὴν E. τοπρόϲθεν L. ἤλαυνεϲ H.

A. c. 568 χειρὶ conf. β 37. κ 389. ϲ 103. — 581 ἀθετεῖται Aristonicus. — 583 ἔχων Eustathium ex coniectura dedisse puto, quum libri omnes ἔχε exhibeant. retinui ἔχε cum Heynio contra editores recentiores, qui Eustathii coniecturam receperunt. Heynius αὐτὰρ ἱμάϲθλην — ἔλαυνεϲ in medio interpositum esse censet, sed non opus est hac interpretatione, nam δεῦρο loco imperativi positum est ut Ρ 685. Ψ 485. θ 145. ι 517. λ 561.

ἵππων ἁψάμενος γαιήοχον ἐννοσίγαιον
ὄμνυθι μὴ μὲν ἑκὼν τὸ ἐμὸν δόλῳ ἅρμα πεδῆσαι.
τὸν δ' αὖτ' Ἀντίλοχος πεπνυμένος ἀντίον ηὔδα·
ἄνσχεο νῦν· πολλὸν γὰρ ἔγωγε νεώτερός εἰμι
σεῖο ἄναξ Μενέλαε, σὺ δὲ πρότερος καὶ ἀρείων.
οἶσθ' οἷαι νέου ἀνδρὸς ὑπερβασίαι τελέθουσι·
κραιπνότερος μὲν γάρ τε νόος, λεπτὴ δέ τε μῆτις.
τῷ τοι ἐπιτλήτω κραδίη· ἵππον δέ τοι αὐτὸς
δώσω, τὴν ἀρόμην. εἰ καί νύ κεν οἴκοθεν ἄλλο
μεῖζον ἐπαιτήσειας, ἄφαρ κέ τοι αὐτίκα δοῦναι
βουλοίμην ἢ σοί γε διοτρεφὲς ἤματα πάντα
ἐκ θυμοῦ πεσέειν καὶ δαίμοσιν εἶναι ἀλιτρός.
ἦ ῥα, καὶ ἵππον ἄγων μεγαθύμου Νέστορος υἱὸς
ἐν χείρεσσι τίθει Μενελάου. τοῖο δὲ θυμὸς
ἰάνθη, ὡς εἴ τε περὶ σταχύεσσιν ἐέρση
ληΐου ἀλδήσκοντος, ὅτε φρίσσουσιν ἄρουραι·
ὣς ἄρα σοὶ Μενέλαε μετὰ φρεσὶ θυμὸς ἰάνθη.
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἀντίλοχε, νῦν μέν τοι ἐγὼν ὑποείξομαι αὐτὸς
χωόμενος, ἐπεὶ οὔ τι παρήορος οὐδ' ἀεσίφρων
ἦσθα πάρος· νῦν αὖτε νόον νίκησε νεοίη.
δεύτερον αὖτ' ἀλέασθαι ἀμείνονας ἠεροπεύειν.
οὐ γάρ κέν με τάχ' ἄλλος ἀνὴρ παρέπεισεν Ἀχαιῶν·
ἀλλὰ σὺ γὰρ δὴ πολλὰ πάθες καὶ πολλὰ μόγησας

V. L. 584 ἵππων δ' Vrat. A. — 585 μὴ μὲν: μηδὲν Pausanias, VII, 21, 8. τὸ 'μὸν ἅρμα δόλω L. ἅρμα δόλω D. δόλῳ omitt. C. — 586 αὖ L Lips. — 587 ἄνσχεο: ἐν ἄλλῳ ἴσχεο A. νεώτερος εἰμὶ L. — 589 οἶσθ' οἵου D. οἷα E 1317, 23. τελέθουσι ACDEGH. τελέθουσιν L Syr. Flor. — 591 τῶ ACDHL. τῷ EG. — 592 ἀράμην H. — 593 ἀπαιτήσειας ἢ μᾶλλον ἐπαιτήσειας E. ἄφαρ καί τοι C. — 596 ῥὰ CGHL. — 598 ὡς εἴ τε ACH Rom.: ceteri ὡσείτε. περι AH. ἐέρση CE Schol. Apoll. Rhod. III, 1020. — 599 φρύσσουσιν L. φρίσσωσιν Townl. Vrat. b. — 600 ὡς D 1. man. σοι DGL. [τ]σοι A. μετα AD. — 602 μέν σοι L. ἐγὼ L Lips. — 604 πᾶρος D.— 560 βέλτερον αὖτ' GLS Lips. Flor. γρ. ὕστερον A. ἀμύμονος Vrat. b. — 607 σὺ omitt. H. πόλλ' ἔπαθες καὶ πόλλ' ἐμόγησας libri.

A. c. 585 μὴ μὲν: μή τι Bekk. 2. propter digammum vocis ἑκών. Heynius μὴ σὺ suspicatur. miror nemini in mentem venisse μή με conicere, ut sit σχῆμα καθ' ὅλον καὶ μέρος. — 604 νεοίη Aristarchus: αἱ περὶ Ἀντίμαχον νόημα γράφουσι Didymus. — 607 scripsi πολλὰ πάθες καὶ πολλὰ μόγησας quae videtur Aristarchea lectio fuisse, conf. Didym. ad Ι 492.

σός τε πατὴρ ἀγαθὸς καὶ ἀδελφεὸς εἵνεκ' ἐμεῖο·
τῶ τοι λισσομένῳ ἐπιπείσομαι, ἠδὲ καὶ ἵππον
δώσω ἐμήν περ ἐοῦσαν, ἵνα γνώωσι καὶ οἵδε,
ὡς ἐμὸς οὔ ποτε θυμὸς ὑπερφίαλος καὶ ἀπηνής.
ἦ ῥα, καὶ Ἀντιλόχοιο Νοήμονι δῶκεν ἑταίρῳ
ἵππον ἄγειν· ὃ δ' ἔπειτα λέβηθ' ἕλε παμφανόωντα.
Μηριόνης δ' ἀνάειρε δύω χρυσοῖο τάλαντα
τέτρατος, ὡς ἔλασεν. πέμπτον δ' ὑπελείπετ' ἄεθλον,
ἀμφίθετος φιάλη· τὴν Νέστορι δῶκεν Ἀχιλλεὺς
Ἀργείων ἀν' ἀγῶνα φέρων, καὶ ἔειπε παραστάς·
τῆ νῦν, καὶ σοὶ τοῦτο γέρον κειμήλιον ἔστω,
Πατρόκλοιο τάφου μνῆμ' ἔμμεναι· οὐ γὰρ ἔτ' αὐτὸν
ὄψῃ ἐν Ἀργείοισι· δίδωμι δέ τοι τόδ' ἄεθλον
αὔτως· οὐ γὰρ πύξ γε μαχήσεαι, οὐδὲ παλαίσεις,
οὐδέ τ' ἀκοντιστὺν ἐσδύσεαι, οὐδὲ πόδεσσι
θεύσεαι· ἤδη γὰρ χαλεπὸν κατὰ γῆρας ἐπείγει.
ὣς εἰπὼν ἐν χερσὶ τίθει· ὃ δὲ δέξατο χαίρων,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
ναὶ δὴ ταῦτά γε πάντα τέκος κατὰ μοῖραν ἔειπες·
οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα φίλος, πόδες, οὐδέ τι χεῖρες
ὤμων ἀμφοτέρωθεν ἐπαΐσσονται ἐλαφραί.

V. L. 608 ἐμοῖο E. — 609 τῶ ACDHL. τῷ EG. ἐπιπείθομαι Townl. Vrat. b. — 610 οἶδε A. οἶδε D. ceteri οἵδε. — 612 ῥὰ CGHL. — 613 ὃ δ' D. ὅδ' CGHL. εἶλε C. — 614 δύο CDEGH. — 615 ἔλασε E Vrat. A. ὑπελῖπετ' C. — 616 ἀχϊλεύς C. — 617 ἀναγῶνα D. φέρον C. — 618 τῆι D. καί σοι E. — 619 ἔμεναι D. οὐ γὰρ εἶ H, omisso ἔτ' αὐτόν. αὖ τὸν Townl. — 620 ὄψηι AD: ceteri ὄψει. mallem ὄψεαι. τοι omitt. C. δέ σοι Plutarchus Quaest. conviv. II, 5, 1, 6. δ' ἄεθλον omitt. H. — 621 αὔτως G Flor. αὐ[ε]τως A. οὕτως H. μαχεσεαι (sic) C. μεμαχήσεαι E. — 622 ἀκοντιστὴν H. ἐσδύσεαι CS Cant. Barocc. Mor. Harl. Lips. Mosc. 2. Vrat. A. ἐσδύσσεαι EL. ἐνδύσεαι AGH Plutarchus l. l. ὑποδύσεαι D. πόδεσσι ACDEG. — 623 κατα DH. ἐπείγει ADE 1320, 29 et 51 H Rom. ἱκάνει CGL Barocc. Mor. Lips. Flor. ἔπεισιν S Cant. Harl. Mosc. 2. Vrat. A. γρ. καὶ ὀπάζει καὶ ἱκάνει et 2. man. καὶ ἔπεισι A. — 624 ὡς A. ὅδ' CDGHL. δὲ δέξατο S Cant. Mor. Townl. Vrat. b. vulgo δ' ἐδέξατο, conf. 565. 797. A 446. ο 130. — 625 πτερόεντ' ἀγόρευε Barocc. Mor. — 626 κατα AH. — 627 φίλοι C Vrat. d. οὐδέ τι ACDGHLS Lips. Harl. Ven. B. Mosc. 2. Vrat. b. d. A. Flor. οὐδ' ἔτι Barocc. οὐδέ τε E Rom. — 628 ὤμον G. ἀπαΐσσονται L. ἀπαΐσσονται ἢ ἐπαΐσσονται E.

A. c. 622 ἀρίσταρχος ἐσδύσεαι Didymus. — 623 ἐπείγει, ὀπάζει, ἱκάνει, ἔπεισιν, conf. Schol. Δ 321. Θ 103. — 627 φίλος Nicanor.

εἴθ' ὣς ἡβώοιμι βίη τέ μοι ἔμπεδος εἴη,
ὡς ὁπότε κρείοντ' Ἀμαρυγκέα θάπτον Ἐπειοὶ
Βουπρασίῳ, παῖδες δὲ θέσαν βασιλῆος ἄεθλα.
ἔνθ' οὔ τίς μοι ὁμοῖος ἀνὴρ γένετ', οὔτ' ἄρ' Ἐπειῶν
οὔτ' αὐτῶν Πυλίων οὔτ' Αἰτωλῶν μεγαθύμων.
πὺξ μὲν ἐνίκηςα Κλυτομήδεα, Ἤνοπος υἱόν,
Ἀγκαῖον δὲ πάλῃ Πλευρώνιον, ὅς μοι ἀνέςτη·
Ἴφικλον δὲ πόδεςςι παρέδραμον ἐςθλὸν ἐόντα,
δουρὶ δ' ὑπειρέβαλον Φυλῆά τε καὶ Πολύδωρον.
οἴοιςίν μ' ἵπποιςι παρήλαςαν Ἀκτορίωνε,
πλήθει πρόςθε βαλόντες, ἀγαςςάμενοι περὶ νίκης,
οὕνεκα δὴ τὰ μέγιςτα παρ' αὐτόφι λείπετ' ἄεθλα.
οἳ δ' ἄρ' ἔςαν δίδυμοι· ὃ μὲν ἔμπεδον ἡνιόχευεν,
ἔμπεδον ἡνιόχευ', ὃ δ' ἄρα μάςτιγι κέλευεν.
ὥς ποτ' ἔον· νῦν αὖτε νεώτεροι ἀντιοώντων
ἔργων τοιούτων· ἐμὲ δὲ χρὴ γήραϊ λυγρῷ
πείθεςθαι, τότε δ' αὖτε μετέπρεπον ἡρώεςςιν.
ἀλλ' ἴθι καὶ ςὸν ἑταῖρον ἀέθλοιςι κτερέιζε.
τοῦτο δ' ἐγὼ πρόφρων δέχομαι, χαίρει δέ μοι ἦτορ,
ὥς μευ ἀεὶ μέμνηςαι ἐνηέος, οὐδέ ςε λήθω
τιμῆς, ἧς τέ μ' ἔοικε τετιμῆςθαι μετ' Ἀχαιοῖς.
ςοὶ δὲ θεοὶ τῶνδ' ἀντὶ χάριν μενοεικέα δοῖεν.
ὣς φάτο, Πηλείδης δὲ πολὺν καθ' ὅμιλον Ἀχαιῶν
ᾤχετ', ἐπεὶ πάντ' αἶνον ἐπέκλυε Νηλεΐδαο.
αὐτὰρ δ᾽ πυγμαχίης ἀλεγεινῆς θῆκεν ἄεθλα·

V. L. 629 ὡς A. — 630 ὣς ἡμπότε κρείωντ' H. — 631 δὲ θέςαν HL Vrat. d. ceteri δ' ἔθεςαν. — 632 οὔ τίς μοι A: ceteri οὔτις μοι. ἆρ ACEGL. οὐ γὰρ ἐπειῶν DH. — 634 νίκηςα Townl. οἴνοπος CL Barocc. Mor. Townl. Plutarchus Quaest. conv. II, 5, 1, 7. Φαίνοπος Rhet. Gr. III, 191, 8. — 635 πάλην Vrat. d. Rhet. Gr. III, 191, 9. πάληνν H (sic). — 637 ὑπερέβαλον DGH Flor. — 639 βαλόντε Schol. Ε 856. Cram. An. Par. III, 119, 25. — 640 παρ' αὐτόθι CL Lips. Mor. Barocc. Mosc. 2. — 641 οἳ δ' DL. οἵδ' CH. ἆρ ADEGHL. — 642 omitt. Lips. ἡνϊόχευεν C. ὅδ' CGL. — 643 ὡς D 1. man. νῦν δ' Mosc. 2. αὖ C. — 646 ἀέθλοιςϊν C. — 648 ὡς μεῦ D 2. man. H. μ' αεὶ S. — 649 ἧτε Et. Mg. 748, 43. ἀχαιοὺς G Flor. Apoll. Soph. 152, 35. — 650 θεὸς . . . δοίη E suo more. ἀντϊ C. ἀντίχαριν L. — 651 ὡς A. — 653 ὃ ACDGHL. ἄεθλον CHL Barocc. Mor. Harl. Mosc. 2. Vrat. d. Flor.

A. c. 635 ἀρίςταρχος ςὺν τῷ ν̄ πάλην Didymus. — 639 ἀγαςςάμενοι: ἔν τιςι διὰ τοῦ ω̄ ἀγαςςαμένω Didymus. — 640 οὕτως δὲ παρ' αὐτόφι διὰ τοῦ φ̄ ἀντὶ τοῦ παρ' αὐτοῖς Didymus. — 648 μέμνηςαι Aristarchus, conf. ad Φ 442.

ἡμίονον ταλαεργὸν ἄγων κατέδης' ἐν ἀγῶνι
ἑξέτε' ἀδμήτην, ἥ τ' ἀλγίςτη δαμάςαςθαι·
τῷ δ' ἄρα νικηθέντι τίθει δέπας ἀμφικύπελλον.
ςτῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοιςιν ἔειπεν·
Ἀτρείδη τε καὶ ἄλλοι ἐυκνήμιδες Ἀχαιοί,
ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥ περ ἀρίςτω,
πὺξ μάλ' ἀναςχομένω πεπληγέμεν. ᾧ δέ κ' Ἀπόλλων
δώῃ καμμονίην, γνώωςι δὲ πάντες Ἀχαιοί,
ἡμίονον ταλαεργὸν ἄγων κλιςίην δὲ νεέςθω·
αὐτὰρ ὁ νικηθεὶς δέπας οἴςεται ἀμφικύπελλον.
ὣς ἔφατ', ὤρνυτο δ' αὐτίκ' ἀνὴρ ἠύς τε μέγας τε
εἰδὼς πυγμαχίης, υἱὸς Πανοπῆος Ἐπειός·
ἅψατο δ' ἡμιόνου ταλαεργοῦ φώνηςέν τε·
ἆςςον ἴτω, ὅς τις δέπας οἴςεται ἀμφικύπελλον·
ἡμίονον δ' οὔ φημί τιν' ἀξέμεν ἄλλον Ἀχαιῶν
πυγμῇ νικήςαντ', ἐπεὶ εὔχομαι εἶναι ἄριςτος.
ἦ οὐχ ἅλις ὅττι μάχης ἐπιδεύομαι; οὐδ' ἄρα πως ἦν
ἐν πάντεςς' ἔργοιςι δαήμονα φῶτα γενέςθαι.
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεςμένον ἔςται·
ἀντικρὺ χρόα τε ῥήξω ςύν τ' ὀςτέ' ἀράξω.
κηδεμόνες δέ οἱ ἐνθάδ' ἀολλέες αὖθι μενόντων,
οἵ κέ μιν ἐξοίςουςιν ἐμῆς ὑπὸ χερςὶ δαμέντα.

V. L. 654 ἄγων omitt. C. κατέθηκεν ἀγῶνι D. κατέδυςεν ἀγῶνι Vrat. d. — 655 ἑξετέ' S. ἀδμῆτιν G Vrat. d. Flor. ἀλγήςτη G. δαμάςςαςθαι G Vrat. d. — 658 ΑΤΡΕΙΔΑΙ Syr. ἀτρείδη Vrat. A. Flor. Rom. εὐκνήμιδες HL. ἀριςτῆες παναχαιῶν D. — 659 κελεύομαι Barocc. ὥςπερ A. ΠΕΡ' Syr. ἀρίςτῳ G. — 660 κ' omitt. G. — 661 ΔΩΗΙ Syr. δώιη A. δώη CDHL. δῴη E Cram. An. Par. I, 165, 18. — 662 κλιςίην δὲ AG. ΚΛΙΣΙΗΝΔΕ Syr. κλιςῖηθεν C. νεέςθω EGL Flor. Rom. φερέςθω ACDHS Syr. Cant. Townl. Vrat. b. d. ἐν ἄλλῳ νεέςθω A. — 664 ὡς A. ὣς οὔφατ' G. ὄρνυτο Vrat. A ΑΝΗΡ' Syr. — 666 ἅψατο libri cum Apoll. Soph. 85, 19. Cram. Ep. 310, 25. An. Ox. IV, 418, 31. An. Par. IV, 220, 6. Et. Mg. 23, 48. Et. Gud. 429, 16. Zonar. Lex. 58. ἥψατο Schol. Π 9. conf. Β 171. Κ 377. Ο 127. ἡμιόνων Et. Mg. 23, 48. Cram. An. Ox. IV, 418, 31. Cram. Ep. 310, 25, ubi etiam ταλαεργῶν. — 667 ἄςςον AD. — 668 οὐ AH. φημι τίν' D. ἀξέμεν' Townl. — 669 ΕΠΙΕΥΧΟΜΑΙ Syr. ε add. 2. man. εἶναι — 670 ἐπιδεύομαι et ἦν omitt. H. — 670 ἢ CDE. — 672 ᾧδε G. ΓΑΡ' Syr. τὸ δὲ καί: καὶ μὴν Syr. Townl. Vrat. b. καί μιν D. γρ. καὶ μὴν τετελεςμένον ἔςται A. — 673 χρόας τε H. ῥήξει Plutarchus de Se ipsum citra inv. laud. 13. ςυν δ' D. — 674 ἀολέες D. αὖθι omitt. C. — 675 οἱ καί μιν D. ὑπο A.

ὣϲ ἔφαθ', οἳ δ' ἄρα πάντεϲ ἀκὴν ἐγένοντο ϲιωπῇ.
Εὐρύαλοϲ δέ οἱ οἶοϲ ἀνίϲτατο, ἰϲόθεοϲ φώϲ,
Μηκιϲτέοϲ υἱὸϲ Ταλαϊονίδαο ἄνακτοϲ,
ὅϲ ποτε Θήβαϲ δ' ἦλθε δεδουπότοϲ Οἰδιπόδαο
ἐϲ τάφον· ἔνθα δὲ πάνταϲ ἐνίκα Καδμείωναϲ.
τὸν μὲν Τυδείδηϲ δουρὶ κλυτὸϲ ἀμφεπονεῖτο,
θαρϲύνων ἔπεϲιν, μέγα δ' αὐτῷ βούλετο νίκην.
ζῶμα δέ οἱ πρῶτον παρακάββαλεν, αὐτὰρ ἔπειτα
δῶκεν ἱμάνταϲ ἐυτμήτουϲ βοὸϲ ἀγραύλοιο.
τὼ δὲ ζωϲαμένω βήτην ἐϲ μέϲϲον ἀγῶνα,
ἄντα δ' ἀναϲχομένω χερϲὶ ϲτιβαρῇϲιν ἅμ' ἄμφω
ϲύν ῥ' ἔπεϲον, ϲὺν δέ ϲφι βαρεῖαι χεῖρεϲ ἔμιχθεν.
δεινὸϲ δὲ χρόμαδοϲ γενύων γένετ', ἔρρεε δ' ἱδρὼϲ
πάντοθεν ἐκ μελέων· ἐπὶ δ' ὤρνυτο δῖοϲ Ἐπειόϲ,
κόψε δὲ παπτήναντα παρήιον· οὐδ' ἄρ' ἔτι δὴν
ἑϲτήκειν· αὐτοῦ γὰρ ὑπήριπε φαίδιμα γυῖα.
ὡϲ δ' ὅθ' ὑπὸ φρικὸϲ βορέω ἀναπάλλεται ἰχθὺϲ
θίν' ἐν φυκιόεντι, μέλαν τέ ἑ κῦμα κάλυψεν,

V. L. 676 ώϲ A. οἴδ' CDGL. — 677 ἀνίϲταται Vrat. d. — 678 μηκιϲτέοϲ ACL Townl. Vrat. b. μηκιϲτέωϲ DGH Syr. Schol. λ 275. ταλαονίδαο H Flor. ταλαϊναΐδαο D. — 679 θήβαϲ δ' ACGHLS Syr. Harl. Lips. Mosc. 2. Ven. B. Vrat. b. d. A. Flor. θήβαϲ DE Rom. Schol. Ψ 679. λ 275. — 680 ἔνθά κε D. ἔνθάδε H. — 681 δουρὶ κλυτὸϲ A: ceteri δουρικλυτόϲ. ἀμφ' επονεῖτο A Syr. — 682 ἔπεϲι D Lips. — 683 παρακάμβαλεν DGHS Syr. Cant. Mosc. 2. Vrat. A. Flor. — 684 θῆκεν Et. Mg. 414, 28. εὐδμήτουϲ D Vrat. A. Flor. ἐϋδμήτουϲ Barocc. Vrat. A. — 685 τῶ H. ζωϲαμένῳ G. μέϲον CDEH Lips. — 686 ἀναϲχομένῳ G. — 687 ϲυν AD. — 688 ΈΡΡΕΔ' Syr. — 689 ἔπι CD. ὄρνυτο G. ΘΕΙΟϹ Syr. θεῖοϲ ἢ δῖοϲ E. — 690 παπτήιναντα CD. παπτήνατα G. ἂρ ADEGL. — 691 ἑϲτήκειν AL Syr. Barocc. Vrat. b. d. εἱϲτήκειν CGS et vulgo. εἱϲτήκει D. εἰϲτήκει H. ἑϲτήκει Vrat. A. εἱϲτήκει ἢ ἑϲτήκειν Eust. 1324, 2. τὸ δὲ ἑϲτήκειν δύναται μὲν καὶ δίχα τοῦ ν̄ κοινῶϲ γράφεϲθαι, ἡ δὲ ἀκρίβεια τῆϲ ἀντιγραφῆϲ μετὰ τοῦ ν̄ γράφει Eust. 1324, 40. — 692 ὑπο AH. ἰχθῦϲ AC. — 693 θῖν' DEL Mor. Mosc. 2. Vrat. b. d. A. θίν' A. ἐν ACDGL Syr. Mor. Mosc. 2. Vrat. b. d. A. ἐπὶ E. ἐπι H. ἐνὶ S Cant. φοικιόεντι D. φυκιόεντα H. θινὶ ἔπι φρικόεντι Schol. Φ 126. μέλαν τέ ἑ DHL Townl. Mosc. 2. Vrat. b. Schol. Γ 197. Φ 126. μέλαν δέ ἑ CEGLS Syr. Schol. Ε 83. γ 6. μέγα δέ ἑ A Vrat. d. γρ. μέλαν τέ ἑ A. κῦμα κάλυψεν GH Syr. Schol. Γ 197. Ε 83. κῦμ' ἐκάλυψεν ACDELS ex corr. Cant. Mor. Mosc. 3. Vrat. d. A. Rom. Schol. Φ 126. γ 6.

A. c. 678 μηκιϲτῆοϲ? conf. Α 489. Π 21. Τ 216. λ 478. Schol. V ad Π 21. — 679 οὕτωϲ θήβαϲ δὲ, εἰϲ θήβαϲ Didymus. — 691 οὕτωϲ ἔξω τοῦ ῑ ἑϲτήκειν, ἔϲτι δὲ ἰωνικόν Didymus. sufficit ἑϲτήκει in caesura semiternaria ut Ρ 133. Χ 36. — 693 τὸ τέλειον ἐπὶ θινί Schol. V.

ὣϲ πληγεὶϲ ἀνέπαλτο. ἀτὰρ μεγάθυμοϲ Ἐπειὸϲ
χερϲὶ λαβὼν ὤρθωϲε· φίλοι δ' ἀμφέϲταν ἑταῖροι,
οἵ μιν ἄγον δι' ἀγῶνοϲ ἐφελκομένοιϲι πόδεϲϲιν,
αἷμα παχὺ πτύοντα, κάρη βάλλονθ' ἑτέρωϲε·
κὰδ δ' ἀλλοφρονέοντα μετὰ ϲφίϲιν εἷϲαν ἄγοντεϲ,
αὐτοὶ δ' οἰχόμενοι κόμιϲαν δέπαϲ ἀμφικύπελλον.
Πηλείδηϲ δ' αἶψ' ἄλλα κατὰ τρίτα θῆκεν ἄεθλα,
δεικνύμενοϲ Δαναοῖϲι, παλαιμοϲύνηϲ ἀλεγεινῆϲ·
τῷ μὲν νικήϲαντι μέγαν τρίποδ' ἐμπυριβήτην,
τὸν δὲ δυωδεκάβοιον ἐνὶ ϲφίϲι τῖον Ἀχαιοί·
ἀνδρὶ δὲ νικηθέντι γυναῖκ' ἐϲ μέϲϲον ἔθηκε,
πολλὰ δ' ἐπίϲτατο ἔργα, τίον δέ ἑ τεϲϲαράβοιον.
ϲτῆ δ' ὀρθὸϲ καὶ μῦθον ἐν Ἀργείοιϲιν ἔειπεν·
ὄρνυϲθ' οἳ καὶ τούτου ἀέθλου πειρήϲεϲθον.
ὣϲ ἔφατ', ὦρτο δ' ἔπειτα μέγαϲ Τελαμώνιοϲ Αἴαϲ·
ἂν δ' Ὀδυϲεὺϲ πολύμητιϲ ἀνίϲτατο, κέρδεα εἰδώϲ.
ζωϲαμένω δ' ἄρα τώ γε βάτην ἐϲ μέϲϲον ἀγῶνα,
ἀγκὰϲ δ' ἀλλήλων λαβέτην χερϲὶ ϲτιβαρῇϲιν
ὡϲ ὅτ' ἀμείβοντεϲ, τούϲ τε κλυτὸϲ ἤραρε τέκτων,
δώματοϲ ὑψηλοῖο, βίαϲ ἀνέμων ἀλεείνων.
τετρίγει δ' ἄρα νῶτα θραϲειάων ἀπὸ χειρῶν
ἑλκόμενα ϲτερεῶϲ· κατὰ δὲ νότιοϲ ῥέεν ἱδρώϲ·
πυκναὶ δὲ ϲμώδιγγεϲ ἀνὰ πλευράϲ τε καὶ ὤμουϲ
αἵματι φοινικόεϲϲαι ἀνέδραμον· οἳ δὲ μάλ' αἰεὶ

V. L. 694 ἀνέπαλτο ἀτὰρ E 1324, 4 L. ἀνέπαλτ' ἀτὰρ D. ceteri ἀνέπαλτ' αὐτάρ. — 695 δὲ ἀφέϲταν L. ἀφέϲταϲαν Lips. ἀμφέϲταϲαν CD. — 697 βάλονθ' CD Vrat. A. Lips. ἐν ἄλλῳ βᾱλόνθ A. — 698 καδδ' AC DGL Syr. Vrat. A. καδδαλλοφρονέοντα H. ἀλλοφρονέοντα A. μετα A. — 700 κατα CGL. — 701 δαναοῖϲι et suprascr. λαοῖϲι A. παλαιϲμοϲύνηϲ libri. — 702 ἐμπυριβήτην AC. — 703 δυωδεκάβοιον AC. ἐνι A. ἐν ϲφίϲιν Apoll. Soph. 147, 19. τίον CDH. — 704 μέϲον CDEG Flor. Rom. ἔθηκε ACDEH Syr. ἔθηκαν Harl. Mosc. 2. Vrat. d. — 705 τεϲϲαράβοιον A. — 707 ὄρνυθ' S. πειρήϲεϲθε CEL Rom. — 708 ώϲ A. — 709 άν CDGHL. ὀδυϲϲεὺϲ DGH Syr. Flor. Rom. ἀνίϲτατο ἰϲόθεοϲ φῶϲ D. — 710. βήτην D. μέϲον CDEH Lips. Flor. Rom. — 711 δ' omitt. Apoll. Soph. 5, 8. Schol. Ψ 635. ϲτιβαρῆϲι DE. — 712 ώϲ δ' ὅτ' CDES Flor. Rom. et Heynii libri. ώϲ ὅτ' AGHL Lips. ἀμείβονταϲ D. τούϲ τε omitt. D. τε omitt. L. τούϲ γε G Flor. κλητὸϲ G. — 715 κατα C. νώτιοϲ D. — 716 ὀμώδιγγεϲ G. ἀνα A. — 717 οἳ δὲ C.

A. c. 694 ἀνέπαλτο ἀτὰρ unica vera est lectio et a Bekkero recepta, conf. ad Δ 542. — 701 παλαιμοϲύνηϲ Aristarchus apud Eust. 1587, 40. conf. 1325, 1. — 712 ώϲ ὅτ' Nicanor diserte.

νίκηc ἱέcθην τρίποδοc πέρι ποιητοῖο.
οὔτ' Ὀδυcεὺc δύνατο cφῆλαι οὖδεί τε πελάccαι,
οὔτ' Αἴαc δύνατο, κρατερὴ δ' ἔχεν ἶc Ὀδυcῆοc.
ἀλλ' ὅτε δή ῥ' ἀνίαζον ἐυκνήμιδαc Ἀχαιούc,
δὴ τότε μιν προcέειπε μέγαc Τελαμώνιοc Αἴαc·
διογενὲc Λαερτιάδη, πολυμήχαν' Ὀδυccεῦ,
ἤ μ' ἀνάειρ', ἢ ἐγὼ cέ· τὰ δ' αὖ Διὶ πάντα μελήcει.
ὣc εἰπὼν ἀνάειρε· δόλου δ' οὐ λήθετ' Ὀδυccεύc·
κόψ' ὄπιθεν κώληπα τυχών, ὑπέλυcε δὲ γυῖα·
κὰδ δ' ἔβαλ' ἐξοπίcω· ἐπὶ δὲ cτήθεccιν Ὀδυccεὺc
κάππεcε· λαοὶ δ' αὖ θηεῦντό τε θάμβηcάν τε.
δεύτεροc αὖτ' ἀνάειρε πολύτλαc δῖοc Ὀδυccεύc,
κίνηcεν δ' ἄρα τυτθὸν ἀπὸ χθονόc, οὐδέ τ' ἄειρεν,
ἐν δὲ γόνυ γνάμψεν· ἐπὶ δὲ χθονὶ κάππεcον ἄμφω
πληcίοι ἀλλήλοιcι, μιάνθηcαν δὲ κονίῃ.
καί νύ κε τὸ τρίτον αὖτιc ἀναΐξαντε πάλαιον,
εἰ μὴ Ἀχιλλεὺc αὐτὸc ἀνίcτατο καὶ κατέρυκε·
μηκέτ' ἐρείδεcθον, μηδὲ τρίβεcθε κακοῖcι·
νίκη δ' ἀμφοτέροιcιν· ἄεθλια δ' ἶc' ἀνελόντεc
ἔρχεcθ', ὄφρα καὶ ἄλλοι ἀεθλεύωcιν Ἀχαιοί.
ὣc ἔφαθ', οἳ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο,

V. l. 718 ἱέcθην DL. ἱ̈έcθην A. περι ADHL. περὶ C. — 719 οὔθ' ὀδυcεὺc C. ὀδυccεὺc DEH Syr. ΟΥΔΕΙΔΕ Syr. πελάcαι D. — 721 εὐκνήμιδεc ἀχαιοὶ DE Syr. (omiss. acc.) Rom. ἐϋκνήμιδαc ἀχαιοὺc ACGHLS Cant. Barocc. Mor. Harl. Lips. Mosc. 2. Vrat. b. 1. man. A. Ven. B. Flor. Eust. 1326, 46. — 722 τότέ L. προcέειπεν D. — 724 ἀνάειρε G
α ε
Flor. ἐγώ cε CD. τὰ δὲ αὖ G. — 725 ὡc A. — 726 κόμψ ὄπιθεν H. ὄπιcθε D. — 727 καδδ' ACDGH Syr. ἔπεc' A Vrat. d. γρ. καδ' ἔβαλ' A. — 728 θαύμαcάν τε Vrat. A. — 729 δεύτεροc δ' E. — 730 ἀπο A. οὐδ' ἔτ' H. ἄειρε G. — 731 κάμψεν D. γνάψεν L. ἐπι D. κάππεcαν C Flor. — 732 πληcίον D. μιάνθη L. — 733 αὖθϊc C. ἀναΐξαντε πάλαιον H Syr. Harl. Townl. Mosc. 2. Vrat. b. ἀναΐξαντεc πάλαιον G Flor. ceteri ἀναΐξαντ' ἐπάλαιον. — 734 ἀχϊλεὺc C. κατέρυκε ACEGHL Syr. — 735 μὴ κέ τ' ACD. ἐρΐδεcθον C Ven. B. ἐρίζεcθον GS Cant. Flor. μὴ δὲ CD ex corr. HL. μήδε G. κακοῖcι ACDGH Syr. — 736 Δ' ΕΙCΑΝΕΛΟΝΤΕC Syr. — 737 ἀεθλεύcωcιν DL Townl. Vrat. b. d. — 738 ὡc A. οἳ δ' L. οἵδ' CH. ἠδὲ πίθοντο H. ἤδε πίθοντο D. ceteri ἠδ' ἐπίθοντο.

A. c. 718 πέρι Herodianus: περὶ Ptolem. Ascalonita. — 721 ὅτι ἀντὶ τοῦ εἰc ἀνίαν ἦγον καὶ ἐχρόνιζον. τοῦτο δὲ μὴ νοήcαντεc μετέγραψαν ἐϋκήμιδεc Ἀχαιοί Aristonicus. — 724 ἦμ' (= ἢ ἔμ') Habron apud Apoll. de Synt. 126, 4. conf. de Pron. 51 A. — 731 ἐν: ἓν Leptines.

καὶ ῥ' ἀπομορξαμένω κονίην δύcαντο χιτῶναc.
Πηλείδηc δ' αἶψ' ἄλλα τίθει ταχυτῆτοc ἄεθλα,
ἀργύρεον κρητῆρα, τετυγμένον· ἓξ δ' ἄρα μέτρα
χάνδανεν, αὐτὰρ κάλλει ἐνίκα πᾶcαν ἐπ' αἶαν
πολλόν, ἐπεὶ Cιδόνεc πολυδαίδαλοι εὖ ἤcκηcαν,
Φοίνικεc δ' ἄγον ἄνδρεc ἐπ' ἠεροειδέα πόντον,
cτῆcαν δ' ἐν λιμένεccι, Θόαντι δὲ δῶρον ἔδωκαν·
υἷοc δὲ Πριάμοιο Λυκάονοc ὦνον ἔδωκε
Πατρόκλῳ ἥρωι Ἰηcονίδηc Εὔνηοc.
καὶ τὸν Ἀχιλλεὺc θῆκεν ἀέθλιον οὗ ἑτάροιο,
ὅc τιc ἐλαφρότατοc ποccὶ κραιπνοῖcι πέλοιτο·
δευτέρῳ αὖ βοῦν θῆκε μέγαν καὶ πίονα δημῷ,
ἡμιτάλαντον δὲ χρυcοῦ λοιcθῆι' ἔθηκεν.
cτῆ δ' ὀρθὸc καὶ μῦθον ἐν Ἀργείοιcιν ἔειπεν·
ὄρνυcθ' οἳ καὶ τούτου ἀέθλου πειρήcεcθε.
ὣc ἔφατ', ὤρνυτο δ' αὐτίκ' Ὀιλῆοc ταχὺc Αἴαc,
ἂν δ' Ὀδυcεὺc πολύμητιc, ἔπειτα δὲ Νέcτοροc υἱόc,
Ἀντίλοχοc· ὃ γὰρ αὖτε νέουc ποcὶ πάνταc ἐνίκα.
cτὰν δὲ μεταcτοιχί· cήμηνε δὲ τέρματ' Ἀχιλλεύc.
τοῖcι δ' ἀπὸ νύccηc τέτατο δρόμοc· ὦκα δ' ἔπειτα
ἔκφερ' Ὀιλιάδηc· ἐπὶ δ' ὤρνυτο δῖοc Ὀδυccεὺc

V. l. 739 ἀπομορξάμενοι D Townl. Vrat. b. 1. man. A. λύcαντο Vrat. b. λύcωcι Townl. χιτῶνα D. — 741 κρατῆρα EL Lips. — 742 ἐπαῖαν D. — 744 ἐπ': ἐc S Cant. — 746 omitt. Syr. add. 2. man. in marg. ἔδωκε ACDEGH. — 747 εὔνῆοc C. — 748 ἀχϊλεὺc C. — 749 ἐλαφρότατόc γε ποcὶ H. ποcὶ D Syr. — 750 μέγα D 1. man. πίονι L. ἐν ἄλλῳ καταπίονα A. — 751 λοιcθῆΐ' A. λοιcθῆϊ A in marg CDGHLS. λοιcθῆι E Syr. λοιcθῆ' Mosc. 2. ἔθηκε ACDEGH Syr. — 753 πειρήcεcθαι G. D ex corr. πειρήcεcθε. — 754 ὡc A. — 755 ἀν CDHL. ὀδυcεὺc C. ὀδυccεὺc H Syr. conf. 709. 719. — 756 ὃ ACDHL. ΓΑΡ' Syr. — 757 μεταcτοιχὶ A Townl. Syr. μεταcτοιχεὶ CDEGLS. μεταcτοίχει H. ἀχϊλεύc C. — 758 ἀπαὶ L. — 759 ἔκφερ' ὀϊλῆοc L Lips. ὀϊληιάδηc E. ὁ ϊλιάδηc D ex corr. man. rec. ὀϊλιάδηc 1. man. ἐπι D. ὄρνυτο Vrat. b. Rhet. Gr. III, 106, 28.

A. c. 751 λοιcθήι' i. e. λοιcθήια dictum est ut πρῶτα, δεύτερα (275. 538), conf. 785 λοιcθήιον ἔκφερ' ἄεθλον. Schol. V ita restituendum esse puto λοιcθήι': ἡ cυνήθεια [προπαροξύνει ὡc τὸ] „λοιcθήιον ἔκφερ' ἄεθλον" (785)· οὐ γὰρ κλίνει λοιcθεύc, ὥc τινεc. — 753 πειρήcεcθον Zenodotus, conf. 707. — 757 obelus cum asterisco: ὀρθῶc 358. — 759 ἔκφερ': παρὰ Ζηνοδότῳ ἔκθορ' ὁ ἰλιάδηc Didymus.

ἄγχι μάλ', ὡς ὅτε τίς τε γυναικὸς ἐυζώνοιο
στήθεός ἐστι κανών, ὅν τ' εὖ μάλα χερσὶ τανύσσῃ
πηνίον ἐξέλκουσα παρὲκ μίτον, ἀγχόθι δ' ἴσχει
στήθεος· ὣς Ὀδυσεὺς θέεν ἐγγύθεν, αὐτὰρ ὄπισθεν
ἴχνια τύπτε πόδεσσι πάρος κόνιν ἀμφιχυθῆναι·
κὰδ δ' ἄρα οἱ κεφαλῆς χέ' ἀυτμένα δῖος Ὀδυσσεὺς
αἰεὶ ῥίμφα θέων· ἴαχον δ' ἐπὶ πάντες Ἀχαιοὶ
νίκης ἱεμένῳ, μάλα δὲ σπεύδοντι κέλευον.
ἀλλ' ὅτε δὴ πύματον τέλεον δρόμον, αὐτίκ' Ὀδυσσεὺς
εὔχετ' Ἀθηναίῃ γλαυκώπιδι ὃν κατὰ θυμόν·
κλῦθι θεά, ἀγαθή μοι ἐπίῤῥοθος ἐλθὲ ποδοῖιν.
ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη,
γυῖα δ' ἔθηκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθεν.
ἀλλ' ὅτε δὴ τάχ' ἔμελλον ἐπαΐξασθαι ἄεθλον,
ἔνθ' Αἴας μὲν ὄλισθε θέων, βλάψεν γὰρ Ἀθήνη,
τῇ ῥα βοῶν κέχυτ' ὄνθος ἀποκταμένων ἐριμύκων,
οὓς ἐπὶ Πατρόκλῳ πέφνεν πόδας ὠκὺς Ἀχιλλεύς·
ἐν δ' ὄνθου βοέου πλῆτο στόμα τε ῥῖνάς τε.
κρητῆρ' αὖτ' ἀνάειρε πολύτλας δῖος Ὀδυσσεύς,
ὡς ἦλθε φθάμενος· ὃ δὲ βοῦν ἕλε φαίδιμος Αἴας.
στῆ δὲ κέρας μετὰ χερσὶν ἔχων βοὸς ἀγραύλοιο,
ὄνθον ἀποπτύων, μετὰ δ' Ἀργείοισιν ἔειπεν·
ὢ πόποι, ἦ μ' ἔβλαψε θεὰ πόδας, ἣ τὸ πάρος περ
μήτηρ ὣς Ὀδυσῆι παρίσταται ἠδ' ἐπαρήγει.
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἐπ' αὐτῷ ἡδὺ γέλασσαν.

V. ι. 760 τις H. τε omitt. DL. — 761 στήθεος ἐστὶ HL. χερσὶ ADEGH Syr. χειρὶ CLS Barocc. Rhet. Gr. III, 106, 30. τανύσσει C. τανύσει Barocc. — 762 παρεκ ACHL. παρέκμιτον D. — 763 ὡς A Syr. ὀδυσεὺς C. ὀδυσσεὺς EH. — 764 ἀμφὶ χυθῆναι D ex corr. 2. man. — 765 καδδ' ACDGL Syr. κάδδ' H. ἄρα ἐκ A et in marg. γρ. καδδάρα οἱ κεφαλῆς. ΚΕΦΑΛΗ Ambr. χέεν C. χέε D. — 766 ἀεὶ E. ἐπι DGL Syr. ЄΠЄΙ Ambr. δ' ἐν πάντες H. — 767 ἱεμένω C. ἱέμενοι D. ΙЄΜЄΝΟΙ Ambr. ἱέμενοι L Lips. Vrat. b. d. A. ἱεμένῳ ἢ ἱεμένων Eust. 1328, 40. ἐν ἄλλῳ ἱέμενοι A. δὲ omitt. D. — 769 ΑΘΗΝΑΙΗ Ambr. κατα AD. — 773 ἐπαΐξασθαι A Ambr. CD Syr. Vrat. b. d. A. ἐπαΐξεσθαι EGHL. — 774 βλάψαι D. βλάψε E. — 775 ῥὰ L. ἔχυτ' D. — 776 ἐπι AG. πέφνε CE. ἀχῖλεύς C. — 777 ἓν A. ἔνδ' H. ἔνθ' G Cant. Mor. στόμά τε C. ῥῖνές τε Syr. Harl. ῥίνάς τε C. — 779 εἷλε C. — 780 ἀγραύλιο G. — 781 ὄνθον ἢ ὄνθου Eust. — 782 ὢ πόποι ADH. ἥ μ' Schol. Ψ 405. τοπάρος DHL Syr. ΠЄΡ' Syr. — 783 ΜΗΤΗΡ' Syr. ὡς A. ὀδυσῆϊ C. ὀδυσσῆς G. — 784 ὡς A. οἵδ' CL. γέλασαν DE.

A. c. 772 obelus cum asterisco: ὀρθῶς Є 122, conf. Schol. Ν 61.

Ἀντίλοχος δ' ἄρα δὴ λοισθήιον ἔκφερ' ἄεθλον
μειδιόων, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
εἰδόσιν ὔμμ' ἐρέω πᾶσιν φίλοι, ὡς ἔτι καὶ νῦν
ἀθάνατοι τιμῶσι παλαιοτέρους ἀνθρώπους.
Αἴας μὲν γὰρ ἐμεῦ ὀλίγον προγενέστερός ἐστιν,
οὗτος δὲ προτέρης γενεῆς προτέρων τ' ἀνθρώπων·
ὠμογέροντα δέ μίν φασ' ἔμμεναι· ἀργαλέον δὲ
ποσσὶν ἐριδήσασθαι Ἀχαιοῖς, εἰ μὴ Ἀχιλλεῖ.
ὣς φάτο, κύδηνεν δὲ ποδώκεα Πηλεΐωνα.
τὸν δ' Ἀχιλεὺς μύθοισιν ἀμειβόμενος προσέειπεν·
Ἀντίλοχ', οὐ μέν τοι μέλεος εἰρήσεται αἶνος,
ἀλλά τοι ἡμιτάλαντον ἐγὼ χρυσοῦ ἐπιθήσω.
ὣς εἰπὼν ἐν χερσὶ τίθει, ὃ δὲ δέξατο χαίρων.
αὐτὰρ Πηλείδης κατὰ μὲν δολιχόσκιον ἔγχος
θῆκ' ἐς ἀγῶνα φέρων, κατὰ δ' ἀσπίδα καὶ τρυφάλειαν,
τεύχεα Σαρπήδοντος, ἅ μιν Πάτροκλος ἀπηύρα.
στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥ περ ἀρίστω,
τεύχεα ἑσσαμένω, ταμεσίχροα χαλκὸν ἑλόντε.
[ἀλλήλων προπάροιθεν ὁμίλου πειρηθῆναι.]

V. ι. 785 Δ' ΆΡΑΟΙ Syr. δ' ἄρα οἱ Vrat. A. δὴ omitt. E. — 786 ἐναργείοισιν D. — 787 ὔμμ' DH. πᾶσι CE. — 789 * ἐμεῦ: ἐμοῖ' H. ceteri ἐμεῖ', conf. ad Ζ 454. προγενέστερος ἐστὶν HL. — 790 πρότερος γενεῇ προτέρων δ' Schol. Ν 470. τ' omitt. D. — 791 δέ μιν φάσ' CEH. δέ μιν φὰσ' A. φὰς D. — 792 πᾶσιν ἐριδήσασθαι H. ἐριδδήσασθαι ES edd. vett. ἐριδδήσασθε G. εριδδήσεσθαι D. ἐριδείσασθαι Vrat. d. ἀχαιοὺς Zonar. Lex. 1472. ἀχῖλεῖ C. — 793 ὡς AD 1. man. κύδηνε EL Lips. κύδηινε C. — 794 ἀχιλλεὺς H. — 797 ὡς A. ὅδ' CGH. δὲ, δέξατο L. δὲ δέξατο Lips. Townl. Vrat. b. ceteri δ' ἐδέξατο. — 798 κατα AL. δολιχόσκιον A. — 799 κατα DL. κατ' G Flor. ἠδ' ἀσπίδα Mor. — 801 ἐναργείοισιν A. — 802 περι A. — 803 ἑλόντων D: ceteri ἑλόντε. Flor. ἑλόντες. — 804 omittunt D Vrat. A. A habet in margine adposito asterisco. ἀλλήλους A. (ων) ἀλλήλω Vrat. b.

A. c. 792 ἔν τισι τῶν ὑπομνημάτων γράφεται ἐριζήσασθαι Schol. V. — 804 συναπτέον πάντα μέχρι τοῦ χαλκὸν ἑλόντες, οὐ λείποντος τοῦ μάχεσθαι ἤ τινος τοιούτου, καὶ γὰρ μόνον αὐτὸ κελεύειν εἴωθε τιθέναι καθ' ἑαυτὸ ὁ ποιητής (laud. φ 175. Ω 90). καὶ μετ' ὀλίγον ἀφ' ἑτέρας ἀρχῆς ἀναγνωστέον ὁππότερός κε φθῇσιν Nicanor, unde apparet Nicanorem versum 804. non legisse, quod etiam Bekkerus vidit. non recte de hoc loco iudicasse Friedlaenderum, qui putavit epitomatorem omisisse, quod de versu 804. dixerit Nicanor, infinitivum pro imperativo esse accipiendum, etiam ex eo perspicitur, quod A et D versum omittunt.

ὁππότερός κε φθῇϲιν ὀρεξάμενος χρόα καλόν,
ψαύϲῃ δ' ἐνδίνων διά τ' ἔντεα καὶ μέλαν αἷμα,
τῷ μὲν ἐγὼ δώϲω τόδε φάϲγανον ἀργυρόηλον,
καλὸν Θρηίκιον, τὸ μὲν Ἀϲτεροπαῖον ἀπηύρων·
τεύχεα δ' ἀμφότεροι ξυνήια ταῦτα φερέϲθων·
καί ϲφιν δαῖτ' ἀγαθὴν παραθήϲομεν ἐν κλιϲίῃϲιν.
ὣϲ ἔφατ', ὦρτο δ' ἔπειτα μέγαϲ Τελαμώνιοϲ Αἴαϲ,
ἂν δ' ἄρα Τυδείδηϲ ὦρτο, κρατερὸϲ Διομήδηϲ.
οἳ δ' ἐπεὶ οὖν ἑκάτερθεν ὁμίλου θωρήχθηϲαν,
ἐϲ μέϲον ἀμφοτέρω ϲυνίτην μεμαῶτε μάχεϲθαι,
δεινὸν δερκομένω· θάμβοϲ δ' ἔχε πάνταϲ Ἀχαιούϲ.
ἀλλ' ὅτε δὴ ϲχεδὸν ἦϲαν ἐπ' ἀλλήλοιϲιν ἰόντεϲ,
τρὶϲ μὲν ἐπήιξαν, τρὶϲ δὲ ϲχεδὸν ὡρμήθηϲαν.
ἔνθ' Αἴαϲ μὲν ἔπειτα κατ' ἀϲπίδα πάντοϲ' ἐίϲην
νύξ', οὐδὲ χρό' ἵκανεν· ἔρυτο γὰρ ἔνδοθι θώρηξ.
Τυδείδηϲ δ' ἄρ' ἔπειτα ὑπὲρ ϲάκεοϲ μεγάλοιο
αἰὲν ἐπ' αὐχένι κῦρε φαεινοῦ δουρὸϲ ἀκωκῇ.
καὶ τότε δή ῥ' Αἴαντι περιδείϲαντεϲ Ἀχαιοὶ
παυϲαμένουϲ ἐκέλευϲαν ἀέθλια ἶϲ' ἀνελέϲθαι.
αὐτὰρ Τυδείδῃ δῶκεν μέγα φάϲγανον ἥρωϲ
ϲὺν κολεῷ τε φέρων καὶ ἐυτμήτῳ τελαμῶνι.

V. ι. 805 κεν C. Vrat. A. Schol. Ψ 824. φθήῃ Cram. Epim. 430, 21. — 806 ψαύϲει A. ψαύει Et. Orion. 52, 16. ἐνδίνων A. δια D. — 807 τὼ μὲν C. — 808 ἀπηῦρον G. ἀπηύρα D. — 810 παραθήϲομεν AC DGH Townl. Vrat. b. A. Flor. παραθήϲομαι ELS Lips. Rom. κλιϲίηιϲι D. — 811 ὡϲ A. — 812 ἀν δ' ACDGHL. ἐν δ' S Cant. — 813 οἳ δ' D. οἵδ' CGHL. — 814 ἀμφοτέρω AG Mor. Rom. ἀμφοτέρων CDEHLS Vrat. A. Lips. Flor. — 815 δερκόμενοι D Harl. Mosc. 2. Vrat. d. A. Townl. ἔχεν εἰϲορόωνταϲ Townl. ἐν ἄλλῳ δεινὸν δερκόμενοι θάμβοϲ δ' ἔχεν εἰϲορόωνταϲ A. — 816 ἦϲαν ἢ ἶϲαν E. ἰόντε H. — 817 ἐπάϊξαν H. — 818 ἔπειτα omitt. C. πάντοϲε, ἶϲην A. πάντοϲε ἴϲην DEGL. — 819 θώραξ L. — 820 ἄρ DEGHL. δὰρ A. — 821 ὑπ' αὐχένι Vrat. A. ἐπ' αὐχένι κύρϲε Vrat. d. ἀκωκῇ D ex corr. EG Et. Mg. 548, 39. ἀκωκὴν ACD 1. man. L Lips. Townl. Ven. B. Vrat. d. A. ἀκωκὴ H Vrat. b. — 822 περιδείϲαντεϲ E 1331, 36; sed 1331, 25 περιδδείϲαντεϲ cum ceteris. περὶδδείϲαντεϲ D, grav. add. 2. man. — 823 ἴϲ' ἀνάγοντεϲ D. — 824 δῶκε CD Vrat. A. Lips. Flor. — 825 κουλεῶι D. ἐϋδμήτῳ edd. vett.

A. c. 806 ἀθετεῖται, ὅτι ἐκ τῆϲ Δωλωνείαϲ (K 298) μετάκειται Aristonicus, vide ad K 298. Ἀριϲτοφάνηϲ δὲ οὕτω γράφει (μεταγράφει οὕτωϲ E) „ὁππότερόϲ κεν πρόϲθεν (πρῶτοϲ E) ἐπιγράψαϲ χρόα καλὸν φθήῃ ἐπευξάμενοϲ διά τ' ἔντεα καὶ φόνον ἀνδρόϲ (Schol. V ἀνδρῶν) Schol. V Eust. 1331, 5. — 810 ἀθετεῖται Aristonicus. — 816 conf. Ε 630. Ζ 121. — 824, 825 ἀθετεῖ Ἀρίϲταρχοϲ Schol. V. προηθετοῦντο δὲ παρὰ Ἀριϲτοφάνει Didymus.

αὐτὰρ Πηλείδηϲ θῆκεν ϲόλον αὐτοχόωνον,
ὃν πρὶν μὲν ῥίπταϲκε μέγα ϲθένοϲ Ἠετίωνοϲ·
ἀλλ' ἦ τοι τὸν ἔπεφνε ποδάρκηϲ δῖοϲ Ἀχιλλεύϲ,
τὸν δ' ἄγετ' ἐν νήεϲϲι ϲὺν ἄλλοιϲι κτεάτεϲϲι.
ϲτῆ δ' ὀρθὸϲ καὶ μῦθον ἐν Ἀργείοιϲιν ἔειπεν·
ὄρνυϲθ' οἳ καὶ τούτου ἀέθλου πειρήϲεϲθε·
εἴ οἱ καὶ μάλα πολλὸν ἀπόπροθι πίονεϲ ἀγροί,
ἕξει μιν καὶ πέντε περιπλομένουϲ ἐνιαυτοὺϲ
χρεώμενοϲ· οὐ μὲν γάρ οἱ ἀτεμβόμενόϲ γε ϲιδήρου
ποιμὴν οὐδ' ἀροτὴρ εἶϲ' ἐϲ πόλιν, ἀλλὰ παρέξει.
ὣϲ ἔφατ', ὦρτο δ' ἔπειτα μενεπτόλεμοϲ Πολυποίτηϲ,
ἂν δὲ Λεοντῆοϲ κρατερὸν μένοϲ ἀντιθέοιο,
ἂν δ' Αἴαϲ Τελαμωνιάδηϲ καὶ δῖοϲ Ἐπειόϲ.
ἑξείηϲ δ' ἵϲταντο, ϲόλον δ' ἕλε δῖοϲ Ἐπειόϲ,
ἧκε δὲ δινήϲαϲ· γέλαϲαν δ' ἐπὶ πάντεϲ Ἀχαιοί.
δεύτεροϲ αὖτ' ἀφέηκε Λεοντεύϲ, ὄζοϲ Ἄρηοϲ·
τὸ τρίτον αὖτ' ἔρριψε μέγαϲ Τελαμώνιοϲ Αἴαϲ
χειρὸϲ ἄπο ϲτιβαρῆϲ, καὶ ὑπέρβαλε ϲήματα πάντων.
ἀλλ' ὅτε δὴ ϲόλον εἷλε μενεπτόλεμοϲ Πολυποίτηϲ,
ὅϲϲόν τίϲ τ' ἔρριψε καλαύροπα βουκόλοϲ ἀνήρ·
ἡ δέ θ' ἑλιϲϲομένη πέτεται διὰ βοῦϲ ἀγελαίαϲ·
τόϲϲον παντὸϲ ἀγῶνοϲ ὑπέρβαλε· τοὶ δὲ βόηϲαν.
ἀνϲτάντεϲ δ' ἕταροι Πολυποίταο κρατεροῖο
νῆαϲ ἔπι γλαφυρὰϲ ἔφερον βαϲιλῆοϲ ἄεθλον.
αὐτὰρ ὁ τοξευτῆϲι τίθει ἰόεντα ϲίδηρον,

V. ι. 826 θῆκε CD Vrat. A. αὐτοχόωνον A. — 827 τὸν πρὶν E Townl. ὃν περὶ μὲν H. — 828 πέφνε L Mor. ἀχϊλεύϲ C. — 829 δ' ἄγαγ' S Harl. κτεάτεϲϲι ACDEGH. — 831 πειρήϲαιϲθε D. — 835 παρέξαϲ H. — 836 ὡϲ A. — 837 ἀν CDH. καρτερὸν E 1332, 29; sed 1332, 38 κρατερὸν. — 838 ἀν CDH. — 841 δεύτερον Vrat. d. A. ἐφέηκε Vrat. b. — 842 δ' αὖ E. ἔριψε A Lips. — 843 ἀπὸ DEGHL. πάντα GL. Lips. Flor. πάντα ἢ (δὴ) πάντων E. — 844 ὅτε μὲν A. ὅτε μὲν Vrat. b. ἔλλαβε pro εἷλε L. — 845 ὅϲϲόν τιϲ ἔρριψε A. ἔριψε Lips. versum omitt. Vrat. d. — 846 ἡ δέ τ' ἑλιϲϲομένη HL. ἡ δέ ἑλιϲϲομένη C. ἠδέ τελιϲϲομένη D. ἡ δέ θ' ἑλιϲϲομένη A. δια D. — 847 τοίδε βόηϲαν H: ceteri τοὶ δ' ἐβόηϲαν. — 848 πολυπύτοιο C. πολυποίτοιο S Cant. Vrat. d. — 849 ἐπὶ ACHL. ἔπι DG. — 850 δ ACDGHL. ἰόντα ϲίδηρον G.

A. c. 843 ἀθετεῖται. μετενήνεκται ἐκ τῆϲ Ὀδυϲϲείαϲ (θ 192) Aristonicus.

κὰδ δ' ἐτίθει δέκα μὲν πελέκεαϲ, δέκα δ' ἡμιπέλεκκα,
ἱϲτὸν δ' ἔϲτηϲεν νηὸϲ κυανοπρῴροιο
τηλοῦ ἐπὶ ψαμάθοιϲ, ἐκ δὲ τρήρωνα πέλειαν
λεπτῇ μηρίνθῳ δῆϲεν ποδόϲ, ἧϲ ἄρ' ἀνώγει
τοξεύειν. ὃϲ μέν κε βάλῃ τρήρωνα πέλειαν,
πάνταϲ ἀειράμενοϲ πελέκεαϲ οἶκον δὲ φερέϲθω·
ὃϲ δέ κε μηρίνθοιο τύχῃ, ὄρνιθοϲ ἁμαρτών,
ἥϲϲων γὰρ δὴ κεῖνοϲ, ὃ δ' οἴϲεται ἡμιπέλεκκα.
ὣϲ ἔφατ', ὦρτο δ' ἔπειτα βίη Τεύκροιο ἄνακτοϲ,
ἂν δ' ἄρα Μηριόνηϲ, θεράπων ἐὺϲ Ἰδομενῆοϲ.
κλήρουϲ δ' ἐν κυνέῃ χαλκήρεϊ πάλλον ἑλόντεϲ,
Τεῦκροϲ δὲ πρῶτοϲ κλήρῳ λάχεν. αὐτίκα δ' ἰὸν
ἧκεν ἐπικρατέωϲ, οὐδ' ἠπείληϲεν ἄνακτι
ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην.
ὄρνιθοϲ μὲν ἅμαρτε· μέγηρε γάρ οἱ τό γ' Ἀπόλλων·
αὐτὰρ ὃ μήρινθον βάλε πὰρ πόδα, τῇ δέδετ' ὄρνιϲ·
ἀντικρὺ δ' ἀπὸ μήρινθον τάμε πικρὸϲ ὀιϲτόϲ.
ἡ μὲν ἔπειτ' ἤιξε πρὸϲ οὐρανόν, ἡ δὲ παρείθη
μήρινθοϲ ποτὶ γαῖαν· ἀτὰρ κελάδηϲαν Ἀχαιοί.
ϲπερχόμενοϲ δ' ἄρα Μηριόνηϲ ἐξείρυϲε χειρὸϲ
τόξον· ἀτὰρ δὴ ὀιϲτὸν ἔχεν πάλαι, ὡϲ ἴθυνεν.

V. l. 851 καδδ' ACDGH. καδδετίθει L. πελέκειϲ G. πέλεκα H. πελεκέα et ἡμιπελεκέα Vrat. A. — 852 δὲ ϲτῆϲεν L Lips. δ' ἔϲτηϲε E Vrat. A, κυανοπρώιροιο A. — 853 ἐπι A. ὑπὸ D. ψαμάθηϲ S. ψαμάθηϲ Cant. ceteri ψαμάθοιϲ cum Harl. Townl. Mosc. 2. Vrat. d. A. ἓκ A. — 854 δῆϲε EL Vrat. A. ἧϲ: ἧν CD Harl. ἂρ CDG. ὡϲ ἄρ' Vrat. d. ὣϲ γὰρ L. ἐν ἄλλῳ ἧϲ γὰρ ἀνώγει A. hunc et sequentem in textu man. rec. scriptos habet H. — 855 κε λάβῃ C. — 856 οἶκον δὲ AH. οἶκονδε CD. οἰκόν δε (?) Barocc. Mor. Vrat. b. d. ΚΛΙϹΙΗΝΔῈ Syr. κλιϲίηνδε EGL et ceteri Heynii libri. κλυϲίηνδε S. φέρεϲθαι D. φέρεϲθαι ἢ φερέϲθω E. ἐν ἄλλῳ κλιϲίην δὲ φερέϲθω A. — 857 τύχοι D. ἁμαρτῶν H. — 858 δὴ omitt. C. ὅδ' CDGHL. ἡμιπέλεκα DH Vrat. A. — 859 ὡϲ A. — 860 ἀν CDGHL. — 861 πάλον D. βάλλον (cod. βάλλων) Apoll. Soph. 100, 1. conf. Γ 316. κ 206. — 864 omitt. D Syr. Townl. „est translatus ex Il. Δ 102. et habet manifesta vestigia imitationis" Heyne. κλειτὴν: ἱερὴν S. — 865 μέγηιρε C. μέγειρε D. οἱ τότ' D Vrat. A Schol. Ξ 171. Barocc. — 866 ὃ AC 2. man. DGHL. βάλλε C 2. man. παρ A. παρ' πόδαϲ D. versum omitt. C 1. man. — 867 ἀπο CD. — 868 ἣ μὲν C. ἣ δὲ C. — 869 ΠΡΟΤΙ Syr. αὐτὰρ GL Lips. Flor. — 871 αὐτὰρ L Lips. ἔχε DE Vrat. A.

A. c. 854 γράφεται καὶ ὣϲ γάρ. κατ' ἔνια δὲ δῆϲεν πόδα Didymus. — 858 ὃ δ', non ὅδ' Herodianus. — 870, 871 Massiliensis ϲπερχόμενοϲ δ' ἄρα Μηριόνηϲ ἐπεθήκατ' ὀϊϲτὸν τόξῳ· ἐν γὰρ χερϲὶν ἔχεν (πᾶϲιν ἔχε

αὐτίκα δ' ἠπείληϲεν ἑκηβόλῳ Ἀπόλλωνι
ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην.
ὕψι δ' ὑπὸ νεφέων εἶδε τρήρωνα πέλειαν·
τῇ ῥ' ὅ γε δινεύουϲαν ὑπὸ πτέρυγοϲ βάλε μέϲϲην,
ἀντικρὺ δὲ διῆλθε βέλοϲ· τὸ μὲν ἂψ ἐπὶ γαίῃ
πρόϲθεν Μηριόναο πάγη ποδόϲ· αὐτὰρ ἡ ὄρνιϲ
ἱϲτῷ ἐφεζομένη νηὸϲ κυανοπρῴροιο
αὐχέν' ἀπεκρέμαϲεν, ϲὺν δὲ πτερὰ πυκνὰ λίαϲϲεν.
ὠκὺϲ δ' ἐκ μελέων θυμὸϲ πτάτο, τῆλε δ' ἀπ' αὐτοῦ
κάππεϲε· λαοὶ δ' αὖ θηεῦντό τε θάμβηϲάν τε.
ἂν δ' ἄρα Μηριόνηϲ πελέκεαϲ δέκα πάνταϲ ἄειρε,
Τεῦκροϲ δ' ἡμιπέλεκκα φέρεν κοίλαϲ ἐπὶ νῆαϲ.
αὐτὰρ Πηλείδηϲ κατὰ μὲν δολιχόϲκιον ἔγχοϲ,
κὰδ δὲ λέβητ' ἄπυρον, βοὸϲ ἄξιον, ἀνθεμόεντα
θῆκ' ἐϲ ἀγῶνα φέρων· καί ῥ' ἥμονεϲ ἄνδρεϲ ἀνέϲταν·
ἂν μὲν ἄρ' Ἀτρείδηϲ εὐρὺ κρείων Ἀγαμέμνων,
ἂν δ' ἄρα Μηριόνηϲ, θεράπων ἐὺϲ Ἰδομενῆοϲ.
τοῖϲι δὲ καὶ μετέειπε ποδάρκηϲ δῖοϲ Ἀχιλλεύϲ·
Ἀτρείδη· ἴδμεν γὰρ ὅϲον προβέβηκαϲ ἁπάντων
ἠδ' ὅϲϲον δυνάμει τε καὶ ἥμαϲιν ἔπλευ ἄριϲτοϲ·
ἀλλὰ ϲὺ μὲν τόδ' ἄεθλον ἔχων κοίλαϲ ἐπὶ νῆαϲ

V. l. 874 ὕψει C. ΥΠΟ Syr. ὑπο H. ὑπαὶ ACELS Mor. Barocc. Townl. Cram. Ep. 418, 24. ὑπαι DG. ἴδε Lips. ἴδετο S Syr. Cant. Mor. Vrat. d. A. Flor. — 875 τήν ῥ' DGH Flor. τῆρ' ACELS Syr. Cant. Mor. Harl. Townl. Lips. Mosc. 2. Vrat. A. Rom. ὑπο AH. πτερύγοϲ E. ΛΆΒΕ pro βάλε Syr. μέϲϲηϲ C Harl. Mosc. 2. μέϲην D. μέϲϲαν H. μέϲϲον Barocc. Mor. μέϲϲηϲ ἢ μέϲϲην E 1333, 59. μέϲηϲ 1334, 26. — 876 ΑΨ' Syr. — 877 πρόϲθε D. ΑΥΤΑΡ' Syr. ἡ omitt. C. — 878 κυανοπρώροιο A. — 879 ἀπεκρέμαϲε C. ἐπεκρέμαϲεν L Lips. ὑπεκρέμαϲε E 1333, 60; sed 1334, 29 ἀπεκρέμαϲεν. λίαϲϲεν D: ceteri λίαϲθεν. — 880 ἔπτατο Townl. τῆλε: ἧδε Vrat. d. — 881 κάπεϲεν D — .882 ἀν CDGHL. ἄειρε ACGHL Syr. ἀείραϲ D. — 883 ἡμιπέλεκαϲ D. ἡμιπέλεκα G. φέρε CD. — 884 κατα L. δολιχόϲκιον A. — 885 καδδὲ ACDGHL. ΚΑΔΔΕ Syr. — 886 ἥμων' ἄνδρ' ἀνέϲταν D. — 887 ἀν CDG. ἄρ' omitt. D. εὐρὺ κρείων A: ceteri εὐρυκρείων. — 888 ἀν CDG. — 889 ἀχϊλεύϲ C. — 890 ὅϲϲον G. προβέβηκαϲ ἀχαιῶν D. — 891 ὅϲον D Rom. ἥμαϲιν D.

A. c. Schol. A. χείρεϲϲιν ἔχεν Schol. V) πάλαι, ὡϲ ἴθυνεν. Antimachus ϲπερχόμενοϲ δ' ἄρα Μηριόνηϲ ἐξείλετο τόξον χερϲίν (ἐξείρυϲε Τεύκρου τόξον· χερϲὶ δ' οἰϲτὸν E Schol. V) Schol. AV. Eust. 1334, 6. — 879 ἀρίϲταρχοϲ λίαϲϲεν Didymus. οὕτωϲ Ἀρίϲταρχοϲ διὰ τῶν δύο ϲ̄. ἡ δὲ Μαϲϲαλιωτικὴ λιάϲθη Schol. A. — 886 ἥμονεϲ Herodianus cum Aristarcho: alii ῥήμονεϲ.

ἔρχευ, ἀτὰρ δόρυ Μηριόνῃ ἥρωι πόρωμεν,
εἰ cύ γε cῷ θυμῷ ἐθέλεις· κέλομαι γὰρ ἐγώ γε.
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθηcεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
δῶκε δὲ Μηριόνῃ δόρυ χάλκεον· αὐτὰρ ὅ γ᾽ ἥρως
Ταλθυβίῳ κήρυκι δίδου περικαλλὲc ἄεθλον.

ΙΛΙΑΔΟϹ Ω.

Λῦτο δ᾽ ἀγών, λαοὶ δὲ θοὰc ἐπὶ νῆαc ἕκαcτοι
ἐcκίδναντ᾽ ἰέναι. τοὶ μὲν δόρποιο μέδοντο
ὕπνου τε γλυκεροῦ ταρπήμεναι. αὐτὰρ Ἀχιλλεὺc
κλαῖε φίλου ἑτάρου μεμνημένοc, οὐδέ μιν ὕπνοc
ᾕρει πανδαμάτωρ, ἀλλ᾽ ἐcτρέφετ᾽ ἔνθα καὶ ἔνθα,
Πατρόκλου ποθέων ἀνδροτῆτά τε καὶ μένοc ἠΰ,
ἠδ᾽ ὁπόcα τολύπευcε cὺν αὐτῷ καὶ πάθεν ἄλγεα,
ἀνδρῶν τε πτολέμουc ἀλεγεινά τε κύματα πείρων.
τῶν μιμνηcκόμενοc θαλερὸν κατὰ δάκρυον εἶβεν,
ἄλλοτ᾽ ἐπὶ πλευρὰc κατακείμενοc, ἄλλοτε δ᾽ αὖτε
ὕπτιοc, ἄλλοτε δὲ πρηνήc· τοτὲ δ᾽ ὀρθὸc ἀναcτὰc
δινεύεcκ᾽ ἀλύων παρὰ θῖν᾽ ἁλόc. οὐδέ μιν ἠὼc

V. ι. 893 πόρωμεν ἥρω D. — 894 ἐθέλοιc AGHL. ἐθέλειc CDES Syr. Cant. Harl. Townl. Mosc. 2. Vrat. b. Rom. conf. Ρ 489. ἐθέλῃ Lips. ἔγωγε libri. — 895 ὡc A. — 897 περικαλὲc H.

V. ι. 1 Λῦτο libri mei, Et. Mg. 15, 50. 572, 10. Zonar. Lex. 18. Suidas II, 1, 650, 14. Cram. An. Par. IV, 87, 8. Eust. 108, 4. λύτο S Apoll. Soph. 6, 6. Schol. C 376. — 3 ὕπνου τὲ C. γλυκεροῖο E. ἀχϊλεὺc C. — 4 οὐδέ κεν L. οὐδὲ μὲν Lips. — 5 πανδαμάτωρ A. ἔcτρεφ᾽ S. — 6 ἀνδροτῆτα ACDEGL Syr. Townl. Lips. Mor. Mosc. 2. Vrat. b. A. Eust. 353, 37. 641, 39. Rom. Bachm. Anecd. II, 124, 25. Draco de Metr. 137, 23. ἁδροτῆτα H, conf. ad Π 857. Χ 363. τε: γε Barocc. — 7 τολύπευε Harl. Mosc. 2. τολύπευcεν ἐν C. τολύπευcεν αὐτῷ D. cυναυτῶι A. ἄλγεα ACDEGHL Syr. ἄλγη Dindorfius. — 8 ἀνδρῶν τὲ A. πολέμουc CD Lips. ἀλγεινά S Harl. πείρων: περνῶν Lips. — 9 κατα ACDH. εἶβε L Lips. εἴβει Apoll. Soph. 63, 21 (?). — 10 ἐπι AH. πλεῦραc HS. — 11 δὲ omitt. D. ΔῊ Syr. δ᾽ αὖ Vrat. d. τότε DES. — 12 δινεύαcκ᾽ S. δυνεύεcκ᾽ Eust. 654, 55. πλωΐζοντ᾽ ἀλύοντ᾽ ἐπὶ θῖν᾽ ἁλὸc ἀτρυγέτοιο Plato Rep. III, 388 A.

A. c. 6—9 ἀθετοῦνται Aristonicus. προηθετοῦντο δὲ καὶ παρὰ Ἀριcτοφάνει Didymus. — 7 αἱ δημώδειc καὶ πάθεν ἔργα Schol. V. — 8 πείρων Aristarchus: πειρῶν Pamphilus. — 12 ψιλῶc τὸ ἀλύων Herodianus.

φαινομένη λήθεcκεν ὑπεὶρ ἅλα τ᾽ ἠιόναc τε,
ἀλλ᾽ ὅ γ᾽ ἐπεὶ ζεύξειεν ὑφ᾽ ἅρμαcιν ὠκέαc ἵππουc,
Ἕκτορα δ᾽ ἕλκεcθαι δηcάcκετο δίφρου ὄπιcθε.
τρὶc δ᾽ ἐρύcαc περὶ cῆμα Μενοιτιάδαο θανόντοc
αὖτιc ἐνὶ κλιcίῃ παυέcκετο, τὸν δέ τ᾽ ἔαcκεν
ἐν κόνι ἐκτανύcαc προπρηνέα. τοῖο δ᾽ Ἀπόλλων
πᾶcαν ἀεικείην ἄπεχε χροῒ φῶτ᾽ ἐλεαίρων,
καὶ τεθνηότα περ· περὶ δ᾽ αἰγίδι πάντα κάλυπτε
χρυcείῃ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυcτάζων.
ὣc ὁ μὲν Ἕκτορα δῖον ἀείκιζεν μενεαίνων·
τὸν δ᾽ ἐλεαίρεcκον μάκαρεc θεοὶ εἰcορόωντεc,
κλέψαι δ᾽ ὀτρύνεcκον ἐΰcκοπον ἀργεϊφόντην.
ἔνθ᾽ ἄλλοιc μὲν πᾶcιν ἑήνδανεν, οὐδέ ποθ᾽ Ἥρῃ
οὐδὲ Ποcειδάων᾽ οὐδὲ γλαυκώπιδι κούρῃ,
ἀλλ᾽ ἔχον, ὥc cφιν πρῶτον ἀπήχθετο Ἴλιοc ἱρὴ
καὶ Πρίαμοc καὶ λαὸc Ἀλεξάνδρου ἕνεκ᾽ ἄτηc,

V. ι. 13 ὑπειρ AD. τ᾽ omitt. Bekk. An. 928, 14 et 33. — 14 ἀλλά τ᾽ ἐπιζεύξειεν D. ὅτ᾽ ἐπιζεύξειεν Vrat. ЄΠΙΖЄΥΞЄΙЄΝ Syr. — 15 ὄπιcθε H: ceteri ὄπιcθεν. — 16 περι A. — 17 αὖθϊc C. αὖτιc δ᾽ D. ἐνι AH. ἐν G Flor. Rom. τὸν δὲ δ᾽ S. ΤΟΝΔЄΤ Syr. ceteri τόνδε δ᾽ cum Schol. Є 256. — 18 ἓν A. κόνι AEC post rasur. sed suprascr. ει man. rec. Rom. κόνι᾽ G Flor. κόνει HS. κονίῃ D. κονίῃ τανύcαc L Lips. πρηνέα L. — 19 ἀεικίην Schol. Π 545. Apoll. Soph. 10, 7. conf. ad υ 308. Eust. 1893, 24. χρωτὶ Apoll. Soph. 10, 7. — 20 τεθνειότα (η suprascr.) A. τεθνειότα EGHL Syr. τεθνειότά C. τεθνειῶτα D. τεθνηότα S Cant. Vrat. d. A. Mosc. 2. περι D. κάλυπτε ACDEGH. ΚΑΛΥΠΤЄΝ Syr. καλύπτει S Cant. καλύπτων L Lips. κάλυψε Schol. Θ 43. ἐν ἄλλῳ κάλυψε A. — 22 ὡc ὁ μεν A. ἀείκιζε CDE Vrat. A. Lips. — 23—30 obelos habent praefixos in C. — 24 ἰέναι ὀτρύνεcκον D. ὀτρύνεcκον libri mei cum Harl. Mosc. 2. Lips. Vrat. d. A. ὠτρύνεcκον ES Flor. Rom. cum aliis. — 25 ἑήνδανεν AGHL Flor. ἐφήνδανεν D. — 26 ποcειδάωνι DE Lips. ποcειδάων᾽ (ι suprascr.) A. — 28 εἵνεκ᾽ DG Lips. Flor. ἐν ἄλλῳ ἕνεκ᾽ ἀρχῆc A, ita est in Vrat. A.

A. c. 17 τόνδε δ᾽ Herodianus, qui confert Є 238. ο 546. τόνδε δ᾽ hoc loco ferri non posse nemo non videt; itaque scripsi cum Bekkero τὸν δέ τ᾽ ut δ 387 τὸν δέ τ᾽ ἐμόν φαcιν πατέρ᾽ ἔμμεναι. ο 546 τὸν δέ τ᾽ ἐγὼ κομιῶ. Ν 733 τοῦ δέ τε πολλοὶ ἐπαυρίcκοντ᾽ ἄνθρωποι, conf. H. T. 362 sqq. — 20, 21 ἀθετοῦνται Aristonicus, conf. Eust. 1337, 37. οὕτωc αἰγίδα χρυcείην αἱ ἀριcτάρχου Didymus. — 23 ἀπὸ τούτου ὀκτὼ (—30) ἀθετοῦcι, καὶ τοὺc μὲν ἓξ οὐκ ἀλόγωc, ὁ δὲ πρῶτοc ἐμοὶ δοκεῖ δεόντωc κεχρῆcθαι, ὥcτε τὴν cυναφὴν εἶναι „τὸν δ᾽ ἐλεαίρεcκον μάκαρεc θεοὶ εἰcοροῶντεc· ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐκ τοῖο“ Schol. BCMV. — 24—30 οἱ ἑπτὰ δεόντωc ἀθετοῦνται, ὡc Ἀρίcταρχοc Schol. BMV. — 25—30 ἀθετοῦνται cτίχοι ἓξ Aristonicus, conf. Eust. 1337, 19. Tzetzes Alleg. 36. — 28 ἕνεκ᾽ ἄτηc: οὕτωc Ἀρίcταρχοc Schol. V. conf. ad Γ 100. Eust. 423, 19.

ὃϲ νείκεϲϲε θεάϲ, ὅτε οἱ μέϲϲαυλον ἵκοντο,
τὴν δ' ᾔνηϲ', ἥ οἱ πόρε μαχλοϲύνην ἀλεγεινήν.
ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο δυωδεκάτη γένετ' ἠώϲ,
καὶ τότ' ἄρ' ἀθανάτοιϲι μετηύδα Φοῖβοϲ Ἀπόλλων·
    ϲχέτλιοί ἐϲτε θεοί, δηλήμονεϲ· οὔ νύ ποθ' ὔμιν
Ἕκτωρ μηρί' ἔκηε βοῶν αἰγῶν τε τελείων;
τὸν νῦν οὐκ ἔτλητε νέκυν περ ἐόντα ϲαῶϲαι
ᾗ τ' ἀλόχῳ ἰδέειν καὶ μητέρι καὶ τέκεϊ ᾧ
καὶ πατέρι Πριάμῳ λαοῖϲί τε, τοί κέ μιν ὦκα
ἐν πυρὶ κήαιεν καὶ ἐπὶ κτέρεα κτερίϲαιεν.
ἀλλ' ὀλοῷ Ἀχιλῆι θεοὶ βούλεϲθ' ἐπαρήγειν,
ᾧ οὔτ' ἄρ φρένεϲ εἰϲὶν ἐναίϲιμοι οὔτε νόημα
γναμπτὸν ἐνὶ ϲτήθεϲϲι, λέων δ' ὣϲ ἄγρια οἶδεν,
ὅϲ τ' ἐπεὶ ἄρ μεγάλῃ τε βίῃ καὶ ἀγήνορι θυμῷ
εἴξαϲ εἶϲ' ἐπὶ μῆλα βροτῶν, ἵνα δαῖτα λάβῃϲιν·
ὣϲ Ἀχιλεὺϲ ἔλεον μὲν ἀπώλεϲεν, οὐδέ οἱ αἰδὼϲ
γίγνεται, ἥ τ' ἄνδραϲ μέγα ϲίνεται ἠδ' ὀνίνηϲι.
μέλλει μέν πού τιϲ καὶ φίλτερον ἄλλον ὀλέϲϲαι,
ἠὲ καϲίγνητον ὁμογάϲτριον ἠὲ καὶ υἱόν·
ἀλλ' ἦ τοι κλαύϲαϲ καὶ ὀδυράμενοϲ μεθέηκε·

V. L. 29 ὅτέ οἱ C. μέϲαυλον DEH. — 30 ἤινεϲ' CD. ᾖνεϲϲ' Mosc. 2. γρ. ἥ οἱ κεχαριϲμένα δῶρ' ὀνόμηνεν A, conf. Eust. 1337, 35. — 31 δυωδεκάτη C. — 32 ἂρ ACDGL. — 33 ϲχέτλιϲι ἐϲτὲ DGHL. οὐδέποθ' A Vrat. d. ὗμιν A. ὕμμιν H Cant. Harl. Tzetz. Alleg. 40. ὑμμῖν S. γρ. οὔ νύ ποθ' ὔμιν A. — 35 τῷ νῦν GL (τῶ) Vrat. d. Mosc. 2. — 36 μητρὶ L. — 37 πατρὶ S Vrat. d. λαοῖϲι τὲ H. — 38 πυρῆ κῆεν D. κήϲαιεν Lips. ἐπι ADGHL. κτερίϲειαν DS Flor. κτερίϲαιεν ACGHL Lips. Townl. Mor. Vrat. d. A. Rom. — 39 ἀχιλλῆϊ DH. βούλεϲθ' ὡϲ παρήγειν [ε] H. — 40 οὔτε φρένεϲ L Lips. Vrat. A. — 41 γαμπτὸν CL. γναπτὸν Lips. ἐνι A. δ' omitt. S. εἶδεν Lips. — 44 ἀχιλλεὺϲ D. μὲν ἀπῶϲεν D. αἰδῶ L. αἰδὼ Lips. — 45 γίγνεται AL Lips. γίνεται CDEGH. ἄνδρα C. ὀνίνηϲι ADGH. — 46 μέν που τιϲ ACDH Cant. Lips. Mor. Harl. Vrat. A. Flor. Rom. γάρ που τιϲ G Vrat. d. γάρ που μέν τιϲ Vrat. b. Mosc. 2. ὀλέϲαι D Flor. — 47 ἢ καὶ καϲίγνητον E. — 48 ἤτοι libri. ὀδυρόμενοϲ E. γράφεται καὶ ὀδυρόμενοϲ A. μεθέηκε ACDEGH.

A. c. 29, 30 ἠθέτηνται, conf. Pseudoplut. 102, 37. — 30 ἀθετεῖ Ἀρίϲταρχοϲ Schol. A. Eust. 1337, 32. παρ' Ἀριϲτοφάνει καί τιϲι τῶν πολιτικῶν, ἥ οἱ κεχαριϲμένα δῶρ' ὀνόμηνε Didymus. — 33 ὔμιν Herodianus ἐγκλιτικῶϲ. — 38 οὕτω διά τοῦ ᾱ ἡ παραλήγουϲα κτερίϲαιεν Didymus. — 42 ὁ ἐπεὶ ϲύνδεϲμοϲ περιϲϲεύει. μή ποτε διά τοῦ η̄ ἐγέγραπτο εἴξῃ Nicanor. — 45 ἀθετεῖται, ὅτι ἐκ τῶν Ἡϲιόδου (Op. 316) μετενήνεκται Aristonicus. ἠδ' Herodianus: alii ἠ δ'.

τλητὸν γὰρ μοῖραι θυμὸν θέϲαν ἀνθρώποιϲιν.
αὐτὰρ ὅ γ' Ἕκτορα δῖον, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
ἵππων ἐξάπτων περὶ ϲῆμ' ἑτάροιο φίλοιο
ἕλκει· οὐ μήν οἱ τό γε κάλλιον οὐδέ τ' ἄμεινον.
μὴ ἀγαθῷ περ ἐόντι νεμεϲϲηθέωμέν οἱ ἡμεῖϲ·
κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων.
    τὸν δὲ χολωϲαμένη προϲέφη λευκώλενοϲ Ἥρη·
εἴη κεν καὶ τοῦτο τεὸν ἔποϲ ἀργυρότοξε,
εἰ δὴ ὁμὴν Ἀχιλῆι καὶ Ἕκτορι θήϲετε τιμήν.
Ἕκτωρ μὲν θνητόϲ τε γυναῖκά τε θήϲατο μαζόν·
αὐτὰρ Ἀχιλλεύϲ ἐϲτι θεᾶϲ γόνοϲ, ἣν ἐγὼ αὐτὴ
θρέψά τε καὶ ἀτίτηλα καὶ ἀνδρὶ πόρον παράκοιτιν,
Πηλεῖ, ὃϲ περὶ κῆρι φίλοϲ γένετ' ἀθανάτοιϲι.
πάντεϲ δ' ἀντιάαϲθε θεοὶ γάμου· ἐν δὲ ϲὺ τοῖϲι
δαίνυ' ἔχων φόρμιγγα, κακῶν ἕταρ', αἰὲν ἄπιϲτε.
    τὴν δ' ἀπαμειβόμενοϲ προϲέφη νεφεληγερέτα Ζεύϲ·
Ἥρη, μὴ δὴ πάμπαν ἀποϲκύδμαινε θεοῖϲιν·
οὐ μὲν γὰρ τιμή γε μί' ἔϲϲεται· ἀλλὰ καὶ Ἕκτωρ
φίλτατοϲ ἔϲκε θεοῖϲι βροτῶν, οἳ ἐν Ἰλίῳ εἰϲίν·
ὣϲ γὰρ ἐμοί γ', ἐπεὶ οὔ τι φίλων ἡμάρτανε δώρων.
οὐ γάρ μοί ποτε βωμὸϲ ἐδεύετο δαιτὸϲ ἐίϲηϲ,
λοιβῆϲ τε κνίϲηϲ τε· τὸ γὰρ λάχομεν γέραϲ ἡμεῖϲ.

V. L. 49 ἀνθρώποιϲι DH. — 50 ἐπὶ φίλον H. — 51 φίλοιο omitt. C. — 52 οὐ μὴν οὐ S. μὴν οἷ L. οὐδ' ἔτ' L. — 53 νεμεϲϲηθῶμέν libri. οἱ καὶ ἡμεῖϲ A. — 54 δὴ omitt. CD. βαῖαν [γ] H. μενιαίνων [ε] H. — 55 χολωϲάμένοϲ [η] H. — 57 ἀχιλλῆϊ τε καὶ D. — 58 μὲν γὰρ D. γὰρ Athenaeus IX, 396. μαϲτὸν Et. Mg. 24, 45. — 59 ἀχϊλεὺϲ, ἔϲτι C. ἐϲτὶ E. θεοῖϲ γόνοϲ Lips. — 60 θρέψά τε ACDL. θρέψα τὲ G. ἀτίταλα Harl. Mosc. 2. — 61 πηλεῖ ACDEHLS. περι D. ἀθανάτοιϲι ACDEGHL. — 62 ἀντιάϲεϲθε Vrat. b. γάμου θεοὶ Schol. Pind. Pyth. III, 165. τοῖϲι ACEGHL. — 63 δαίνυϲ' Mor. conf. δαίνυϲαι φ 290. ἵϲταϲο Λ 314. Ρ 179. ἔϲϲυο Π 585. ι 447. μάρναο Ο 475. Π 497. ἐμάρναο χ 228. — 64 τήνδε H. νεφεληγερέτα A. — 65 μὴ δὲ H. μὴ δὴ πάντα Cram. An. Par. III, 149, 21. — 67 εἰϲὶ D. — 68 ὡϲ H. ἔμοιγε L. — 69 μοι ποτὲ GHL. βωμόϲ ποτε δεύετο D. ἐΐϲϲηϲ CL Lips. — 70 κνίϲϲηϲ CDGHL. γέραϲ ἡμῖν Vrat. d.

A. c. 53 ἀθετεῖται Schol. BC. ἀρίϲταρχοϲ νεμεϲϲηθέωμεν διὰ τοῦ θε̄ Didymus. — 59 ἀντὶ τοῦ γόνοϲ τινὲϲ γράφουϲι πάϊϲ Schol. V. — 64 τινὲϲ τὴν δὲ μέγ' ὀχθήϲαϲ Schol. V, conf. 138.

ἀλλ᾽ ἤ τοι κλέψαι μὲν ἐάcομεν, οὐδέ πη ἔcτι
λάθρῃ ᾿Αχιλλῆοc, θραcὺν Ἕκτορα· ἦ γάρ οἱ αἰεὶ
μήτηρ παρμέμβλωκεν ὁμῶc νύκτάc τε καὶ ἦμαρ.
ἀλλ᾽ εἴ τιc καλέcειε θεῶν Θέτιν ἆccον ἐμεῖο,
ὄφρά τί οἱ εἴπω πυκινὸν ἔποc, ὥc κεν ᾿Αχιλλεὺc
δώρων ἐκ Πριάμοιο λάχῃ ἀπό θ᾽ Ἕκτορα λύcῃ.
ὣc ἔφατ᾽, ὦρτο δὲ Ἶριc ἀελλόποc ἀγγελέουcα,
μεccηγὺc δὲ Cάμου τε καὶ Ἴμβρου παιπαλοέccηc
ἔνθορε μείλανι πόντῳ· ἐπεcτονάχηcε δὲ λίμνη.
ἡ δὲ μολυβδαίνῃ ἰκέλη ἐc βυccὸν ὄρουcεν,
ἥ τε κατ᾽ ἀγραύλοιο βοὸc κέραc ἐμβεβαυῖα
ἔρχεται ὠμηcτῇcιν ἐπ᾽ ἰχθύcι κῆρα φέρουcα.
εὗρε δ᾽ ἐνὶ cπῆϊ γλαφυρῷ Θέτιν, ἀμφὶ δέ τ᾽ ἄλλαι
εἵαθ᾽ ὁμηγερέεc ἅλιαι θεαί· ἡ δ᾽ ἐνὶ μέccῃc
κλαῖε μόρον οὗ παιδὸc ἀμύμονοc, ὅc οἱ ἔμελλε
φθίcεcθ᾽ ἐν Τροίῃ ἐριβώλακι, τηλόθι πάτρηc.
ἀγχοῦ δ᾽ ἱcταμένη προcέφη πόδαc ὠκέα Ἶριc·
ὄρcο Θέτι· καλέει Ζεὺc ἄφθιτα μήδεα εἰδώc.

V. L. 71 ἤτοι μὲν κλέψαι Vrat. d. πηι A: ceteri πη. ἔcτι A. ἐcτὶ CDEGH. ἐcτὶν L. — 72 λάθρη E. ἀχϊλῆοc C. ἡ γάρ D. — 73 παρβέμβλωκεν L Lips. νύκτωρ Vrat. d. νύκτάc τε A. νύκταc τὲ C. ἦμαρ DH. — 74 ἤ τιc Cant. καλέcειεν H. ἄccον A. ἄccον D. ἐμοῖο Vrat. d. — 75 ὄφρά τι A. ὄφρα τῇ S. ἀχϊλεὺc C. — 76 δῶρον H. ἀπο D. — 77 ὥc A. — 78 μεcηγύcδε D. μεccηγῆc H. μεccηγὺ cάμου τε Schol. Ζ 133. cά- οιο μουτε A. cάμοιο καὶ Vrat. d. τε cάμοιο καὶ Strabo VIII, 339. X, 457. — 79 ἐπεcτενάχηcε AS Cant. Harl. Townl. Vrat. d. ἐπεcτενάχιcε H. ἐπεcτενάχιζε D. ἐπεcτονάχηcε G edd. vett. ἐπεcτενάχηcε ἢ ἐπεcτονάχηcε Eust. 1340, 22. ἐπεcτονάχιcε CL Lips. Barocc. conf. C 124. — 80 ἰκέλη DGHL Apoll. Soph. 113, 19. ἐc βυθὸν DHL Vrat. d. A. βηθὸν S. βυccὸν ἵκανεν Plato Ion. 538 D. — 81 ἐμμεμαυῖα D Plato l. l. ἐμβεβαυῖααc G. ἐν ἄλλῳ ἐμμεμαυῖα A. — 82 ἐπιχθῦcι D. ἰχθῦcι C. ὠμηcτῇcι μετ᾽ ἰχθύcι πῆμα Plato l. l. — 83 ἐνι A. εὗρεν δ᾽ ἐν C. ἐν Bekk. An. 1227. τέτιν G. ἀμφι ACD. δ᾽ ἄρ AC. δ᾽ ἄρ᾽ Vrat. d. γρ. ἀμφι δέ τ᾽ A. — 84 εἴαθ᾽ D Schol. O 10. ἥδ᾽ CDGHL. ἐνι A. ἐν E. μέccαιc GHL Lips. Barocc. Flor. μέccηc᾽ E. — 85 ἔμελλε ACE. — 86 φθήcεcθ᾽ G. φείcεcθ᾽ H 1. man. φθίcθαι S Cant. ἐνὶ LS Cant. Lips. — 88 ὄρcεο S Cant. θέτιc Mor.

A. c. 71 κλέψαι μὲν ἀμήχανον Antimachus. — 71—73 ἀθετοῦνται τρεῖc Aristonicus. — 72 θραcὺν Ἕκτορα: ἄμεινον γράφειν νέκυν Ἕκτοροc Schol. V, conf. Ariston. ad 108. ἤ Herodianus: ἡ alii. γράφεται δὲ κατ᾽ ἔνια εὖ γάρ οἱ αἰεὶ ἀντὶ τοῦ ἦ γάρ οἱ αἰεί Didymus. — 80 βυccόν Herodianus ὀξυτόνωc. — 82 κῆρα: ἔνιαι τῶν κατὰ πόλειc πῆμα φέρουcα. ἄτοπον γὰρ ἐπ᾽ ἰχθύων κῆρα λέγειν Didymus. ὠμηcτῇcιν Aristarchus: ὠμήcτηcιν Tyrannio, conf. Λ 454. X 67. — 84 εἵαθ᾽ Aristophanes: Aristarchus εἴαθ᾽ conf. Schol. O 10. — 85 ἐν τῇ κατὰ ῥιανὸν ὃc τάχ᾽ ἔμελλε Didymus. — 86 ἀθετεῖται Aristonicus.

τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεὰ Θέτιc ἀργυρόπεζα·
τίπτέ με κεῖνοc ἄνωγε μέγαc θεόc; αἰδέομαι δὲ
μίcγεcθ᾽ ἀθανάτοιcιν, ἔχω δ᾽ ἄχε᾽ ἄκριτα θυμῷ.
εἶμι μέν, οὐδ᾽ ἅλιον ἔποc ἔccεται, ὅττί κεν εἴπῃ.
ὣc ἄρα φωνήcαcα κάλυμμ᾽ ἕλε δῖα θεάων
κυάνεον, τοῦ δ᾽ οὔ τι μελάντερον ἔπλετο ἔcθοc.
βῆ δ᾽ ἰέναι, πρόcθεν δὲ ποδήνεμοc ὠκέα Ἶριc
ἡγεῖτ᾽· ἀμφὶ δ᾽ ἄρά cφι λιάζετο κῦμα θαλάccηc.
ἀκτὴν δ᾽ ἐξαναβᾶcαι ἐc οὐρανὸν ἀϊχθήτην,
εὗρον δ᾽ εὐρύοπα Κρονίδην, περὶ δ᾽ ἄλλοι ἅπαντεc
εἵαθ᾽ ὁμηγερέεc μάκαρεc θεοὶ αἰὲν ἐόντεc.
ἡ δ᾽ ἄρα πὰρ Διὶ πατρὶ καθέζετο, εἶξε δ᾽ ᾿Αθήνη.
Ἥρη δὲ χρύcεον καλὸν δέπαc ἐν χερὶ θῆκε,
καί ῥ᾽ εὔφρην᾽ ἐπέεccι· Θέτιc δ᾽ ὤρεξε πιοῦcα.
τοῖcι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
ἤλυθεc Οὔλυμπον δὲ θεὰ Θέτι κηδομένη περ,
πένθοc ἄλαcτον ἔχουcα μετὰ φρεcίν· οἶδα καὶ αὐτόc·
ἀλλὰ καὶ ὣc ἐρέω τοῦ c᾽ εἵνεκα δεῦρο κάλεccα.
ἐννῆμαρ δὴ νεῖκοc ἐν ἀθανάτοιcιν ὄρωρεν
Ἕκτοροc ἀμφὶ νέκυι καὶ ᾿Αχιλλῆϊ πτολιπόρθῳ·
κλέψαι δ᾽ ὀτρύνουcιν ἐΰcκοπον ἀργεϊφόντην·
αὐτὰρ ἐγὼ τόδε κῦδοc ᾿Αχιλλῆϊ προτιάπτω,
αἰδῶ καὶ φιλότητα τεὴν μετόπιcθε φυλάccων.

V. L. 90 τίπτέ με AC Cram. An. Par. III, 161, 2. μ᾽ ἐκεῖνοc Suidas I, 2, 131, 21. — 92 ἔπωc οὔccεται G. ὅττί κεν A. εἴποι G. — 93 ὥc A. κάλυμ᾽ D. — 94 ἔθοc pro ἔcθοc H. — 96 ἀμφι D. ἄρά cφι A. δέ cφι E. λάζετο D. — 97 εἰc ἀναβᾶcαι AL. εἰcαναβᾶcαι CEGHS conf. C 68. ἀνηχθήτην L Lips. ἠϊχθήτην Aristonicus ad 104. — 98 εὗρεν Vrat. A. περι D. — 100 ἥδ᾽ CHL. παρ D. — 101 χειρὶ D. χερcὶ Lips. τίθει L. θῆκε ACEGH. — 102 εὔφρην᾽ CG. ὤρεξ᾽ ἐπιοῦcα L Lips. — 104 οὔλυμπον δὲ AD. — 105 μετα AD. — 106 ὥc ADG: ceteri ὣc. τοῦ γ᾽ D. κάλεcα G. — 108 ἀμφι D. νέκυϊ ACDEGH. ἀχιλῆϊ CD. — 109 ὀτρύνεcκον C Lips. Townl. Vrat. b. d. Mosc. 2. ὠτρύνεcκον ELS Schol. A 132. conf. 24. — 110 ἀχιλῆϊ C Flor. προτιἄπτω A. προϊάπτω Mor. Vrat. A. Mosc. 2. Cram. Ep. 369, 12. γράφεται κατά τινα τῶν ἀντιγράφων προϊάπτω Eust. 1341, 42. — 111 μετ᾽ ὄπιcθε A.

A. c. 94 ἔcθοc Herodianus ψιλῶc. — 96 ἄρά cφι, canf. Ξ 134. θ 480. κ 415. τ 464. υ 348. H. T. 413. — 97 ἀρίcταρχοc ἐξαναβᾶcαι καὶ αἱ πλείουc Didymus. — 109 ἡ Μαccαλιωτικὴ ὀτρύνουcιν. οὕτωc καὶ ἡ Χία Didymus. — 110 προτιἄπτω Apollodorus, Aretades, Neoteles, Dionysius Thrax: προϊάπτω Zenodotus et Aristarchus. ἐν τῷ ᾿Αχιλλῆϊ προϊάπτω ἀμφίβολοc ἡ γραφή, εἰ προϊάπτω εἴτε προτιάπτω Gram. Ep. 369, 12.

αἶψα μάλ᾽ ἐς στρατὸν ἐλθὲ καὶ υἱέι σῷ ἐπίτειλον.
σκύζεσθαί οἱ εἰπὲ θεούς, ἐμὲ δ᾽ ἔξοχα πάντων
ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένῃσιν
Ἕκτορ᾽ ἔχει παρὰ νηυσὶ κορωνίσιν, οὐδ᾽ ἀπέλυσεν,
αἴ κέν πως ἐμέ τε δείσῃ ἀπό θ᾽ Ἕκτορα λύσῃ.
αὐτὰρ ἐγὼ Πριάμῳ μεγαλήτορι Ἶριν ἐφήσω
λύσασθαι φίλον υἱὸν ἰόντ᾽ ἐπὶ νῆας Ἀχαιῶν,
δῶρα δ᾽ Ἀχιλλῆι φερέμεν, τά κε θυμὸν ἰήνῃ.
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε θεὰ Θέτις ἀργυρόπεζα,
βῆ δὲ κατ᾽ Οὐλύμποιο καρήνων ἀίξασα.
ἷξεν δ᾽ ἐς κλισίην οὗ υἱέος· ἔνθ᾽ ἄρα τόν γε
εὗρ᾽ ἁδινὰ στενάχοντα· φίλοι δ᾽ ἀμφ᾽ αὐτὸν ἑταῖροι
ἐσσυμένως ἐπένοντο καὶ ἐντύνοντο ἄριστον·
τοῖσι δ᾽ ὄις λάσιος μέγας ἐν κλισίῃ ἱέρευτο.
ἣ δὲ μάλ᾽ ἄγχ᾽ αὐτοῖο καθέζετο πότνια μήτηρ,
χειρί τέ μιν κατέρεξεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
τέκνον ἐμόν, τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων
σὴν ἔδεαι κραδίην, μεμνημένος οὔτέ τι σίτου
οὔτ᾽ εὐνῆς; ἀγαθὸν δὲ γυναικί περ ἐν φιλότητι
μίσγεσθ᾽· οὐ γάρ μοι δηρὸν βέῃ, ἀλλά τοι ἤδη
ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιή.
ἀλλ᾽ ἐμέθεν ξύνες ὦκα, Διὸς δέ τοι ἄγγελός εἰμι.
σκύζεσθαι σοί φησι θεούς, ἓὲ δ᾽ ἔξοχα πάντων
ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένῃσιν

V. l. 113 εἶπε D. — 114 μαινομένῃσι DH Vrat. A. μαρναμένῃσιν Lips. — 115 ἀπέλυσε H. — 116 αἴ κεν πως G. ἀπο θ᾽ D. ἀπο δ᾽ L. — 117 ἐγὼ omitt. D. — 119 ἀχιλῆϊ CD. ἰείνῃ H. — 120 ὡς A. — 121 omitt. Vrat. b. — 122 ἐν δ᾽ CLS editores usque ad Wolfium. γρ. ἐν δ᾽ ἄρα τόνγε A. εὗρε δεινά H. αδινὰ A. ἀμφ᾽ αὐτῷ L Lips. — 124 ἐπαί(ε)νοντο H. ἐτύνοντο H. τε πένοντο Athenaeus I, 11. ἐντύναντο Schol. Θ 53. — 125 ἱέρατο L. ἱερᾶτο Lips. — 126 ἣ δὲ C. ἠδ᾽ ἐμ(+)άλλ᾽ H (sic). — 127 ὀνόμαζε ACGHL. — 129 ἔδαιε A. αἴδεαι C 1. man. οὔτέ τι CEH. οὔτε τι D Harl. Townl. Vrat. A. Mosc. 2. Rom. οὐδέ τι AGLS Lips. Flor. ϹΕΙΤΟΥ Pap. 1. man. — 130 οὐδ᾽ D. καλὸν δὲ Vrat. A. δὲ omitt. L Lips. — 131 βαίῃ CL. — 132 παρέστηκε CEG Lips. Vrat. A. Flor. — 133 ἄγγελος εἰμὶ L. — 134 σκύζεσθαί σοι φησὶ ACDEGHL. ἕε L. — 135 μαινομένῃσι D.

A. c. 125 τοῖσιν δ᾽ οἷς Ptolemaeus Ascalonita? conf. Herod. ad Γ 198. Cram. Ep. 321, 15. οὕτως ἀρίσταρχος ἑνικῶς ἐν κλισίῃ Didymus. — 130—132 ἀθετοῦνται στίχοι τρεῖς Aristonicus. — 134 ἕέ Callistratus et Aristarchus δασέως.

Ἕκτορ᾽ ἔχεις παρὰ νηυσὶ κορωνίσιν, οὐδ᾽ ἀπέλυσας.
ἀλλ᾽ ἄγε δὴ λῦσον, νεκροῖο δὲ δέξαι ἄποινα.
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
τῇδ᾽ εἴη· ὃς ἄποινα φέροι, καὶ νεκρὸν ἄγοιτο,
εἰ δὴ πρόφρονι θυμῷ Ὀλύμπιος αὐτὸς ἀνώγει.
ὣς οἵ γ᾽ ἐν νηῶν ἀγύρει μήτηρ τε καὶ υἱὸς
πολλὰ πρὸς ἀλλήλους ἔπεα πτερόεντ᾽ ἀγόρευον.
Ἶριν δ᾽ ὤτρυνε Κρονίδης εἰς Ἴλιον ἱρήν·
βάσκ᾽ ἴθι Ἶρι ταχεῖα· λιποῦσ᾽ ἕδος Οὐλύμποιο
ἄγγειλον Πριάμῳ μεγαλήτορι Ἴλιον εἴσω
λύσασθαι φίλον υἱὸν ἰόντ᾽ ἐπὶ νῆας Ἀχαιῶν,
δῶρα δ᾽ Ἀχιλλῆι φερέμεν, τά κε θυμὸν ἰήνῃ,
οἶον, μὴ δέ τις ἄλλος ἅμα Τρώων ἴτω ἀνήρ.
κῆρύξ τίς οἱ ἕποιτο γεραίτερος, ὅς κ᾽ ἰθύνοι
ἡμιόνους καὶ ἅμαξαν ἐύτροχον, ἠδὲ καὶ αὖτις
νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς.
μηδέ τί οἱ θάνατος μελέτω φρεσὶ μηδέ τι τάρβος·
τοῖον γάρ οἱ πομπὸν ὀπάσσομεν ἀργεϊφόντην,
ὃς ἄξει, εἵως κεν ἄγων Ἀχιλῆι πελάσσῃ.
αὐτὰρ ἐπὴν ἀγάγῃσιν ἔσω κλισίην Ἀχιλῆος,
οὔτ᾽ αὐτὸς κτενέει ἀπό τ᾽ ἄλλους πάντας ἐρύξει·
οὔτε γὰρ ἔστ᾽ ἄφρων οὔτ᾽ ἄσκοπος οὔτ᾽ ἀλιτήμων.

V. l. 136 παρα A. — 137 ἀλλά γε E 1341, 63; sed 1342, 40 ἀλλ᾽ ἄγε. δέ, δέξαι L. ΔΕΞΕ Pap. 1. man. — 138 τήνδὲ H. ἀχϊλεύς C. — 139 πῆ δ᾽ εἴη L Lips. τῇ εἴη Schol. δ 229. ἐν ἄλλῳ τῆι εἴη ὃς δῶρα φέρει A. εἴη ὃς omitt. H. φέροι omitt. L. φέρει H Schol. δ 229. ἄροιτο S Flor. — 140 ἀνώγοι (?) D. — 141 ὡς A. ΑΓΥΡΙ Pap. 1. man. μήτηρ τὲ A. — 142 ἀγόρευεν D. — 143 εἰς omitt. L. — 144 ἔδος CD. — 145 ἄγγελον H et in marg. man. rec. ἀγγελίην. εἴσῳ G. — 146 ἐπι A. — 147 ἀχϊλῆϊ CD. ΧΕ pro κε Pap. 1. man. — 148 οἷον GH. μὴ δέ AC EG. — 149 κήρυξ EL. τις οἱ G. ϹΟΙ Pap. 1. man. ἰθύνει DG Lips. Harl. Vrat. A. ἰθύνῃ E. ἰθύνῃ H. ἰθύνειν Rom. — 150 ἄμαξαν CEGH. ἡ δὲ A. ἤ κε D Townl. γρ. ἤ κε A. αὖθις CL Lips. — 151 προτιάστυ D. προτι A. ἀχϊλεύς C. — 152 τι ante οἱ omitt. Pap. μὴ δέ τι CG. τι οἱ DL. μὴ δέ τι τάρβος AG. — 153 ὀπόσσομεν G. — 154 ὅσσ᾽ ἄξει D. ὃ(ς)ν ἄξει H. ΑΧΙΛΛΗΙ Pap. πελάσῃ DH. — 156 ἀπο τ᾽ D. ἐρύξοι H. — 157 ΓΑ Pap. 1. man.

A. c. 148 οὕτως διὰ τοῦ ν̄ οἶον Didymus. οἶον δὲ γραπτέον, οὐχ οἶος Schol. V. — 154 ὅς Ϝ᾽ ἄξει primo scriptum fuisse colligo ex v. 183 ὅς σ᾽ ἄξει.

ἀλλὰ μάλ' ἐνδυκέωc ἱκέτεω πεφιδήcεται ἀνδρόc.
ὣc ἔφατ', ὦρτο δὲ Ἶριc ἀελλόποc ἀγγελέουcα.
ἷξεν δ' ἐc Πριάμοιο, κίχεν δ' ἐνοπήν τε γόον τε.
παῖδεc μὲν πατέρ' ἀμφὶ καθήμενοι ἔνδοθεν αὐλῆc
δάκρυcιν εἵματ' ἔφυρον, ὁ δ' ἐν μέccοιcι γεραιὸc
ἐντυπὰc ἐν χλαίνῃ κεκαλυμμένοc· ἀμφὶ δὲ πολλὴ
κόπροc ἔην κεφαλῇ τε καὶ αὐχένι τοῖο γέροντοc,
τήν ῥα κυλινδόμενοc καταμήcατο χερcὶν ἑῇcι.
θυγατέρεc δ' ἀνὰ δώματ' ἰδὲ νυοὶ ὠδύροντο
τῶν μιμνηcκόμεναι, οἳ δὴ πολέεc τε καὶ ἐcθλοὶ
χερcὶν ὑπ' Ἀργείων κέατο ψυχὰc ὀλέcαντεc.
cτῆ δὲ παρὰ Πρίαμον Διὸc ἄγγελοc, ἠδὲ προcηύδα
τυτθὸν φθεγξαμένη· τὸν δὲ τρόμοc ἔλλαβε γυῖα·
θάρcει Δαρδανίδη Πρίαμε φρεcί, μὴ δέ τι τάρβει·
οὐ μὲν γάρ τοι ἐγὼ κακὸν ὀccομένη τόδ' ἱκάνω,
ἀλλ' ἀγαθὰ φρονέουcα· Διὸc δέ τοι ἄγγελόc εἰμι,
ὅc cευ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ' ἐλεαίρει.
λύcαcθαί c' ἐκέλευcεν Ὀλύμπιοc Ἕκτορα δῖον,
δῶρα δ' Ἀχιλλῆι φερέμεν, τά κε θυμὸν ἰήνῃ,
οἶον, μὴ δέ τιc ἄλλοc ἅμα Τρώων ἴτω ἀνήρ.

V. l. 158 ἐνδικέωc H Lips. — 159 ὡc A. φάτο L. ἔφατο G. δ' ἶριc L Lips. — 160 ἷξεν A. ἵξεν H. δὲ πριάμοιο D. κίχέν τ' L. — 161 ἀμφι ACDEHL. ἄμφι G Vrat A. ἔνδοθεν ταύτηc H et in marg. αὐλῆc. — 162 ἔφερον L Lips. ὅδ' CGHL. μέcοιcι E. — 164 κεφαλήν τε καὶ αὐχένα Townl. — 165 TH Pap. 1. man. ῥὰ L. κατεμήcατο S Pap. Cant. Mor. Vrat. d. Lips. Flor. Apoll. Soph. 97, 5. κατεμόcατο G. καταμέcατο H. conf. ε 482. ἔῃcι ACE. ἑῆcι GH. γρ. φίληιcι A. — 166 ἀνα DH. οἱ δὲ νυοὶ D. ἠδὲ νυοὶ CG Vrat. A. ὀδύροντο C. — 167 τῶν: τῆν G. — 168 ὑπαργείων A. — 169 παρα A. παρ C Flor. — 170 ΦΘΕΝΞΑΜΕΝΗ Pap. τόνδε DG. ἐν δὲ L. ἔλαβε CD Lips. Flor. — 171 μὴ δέ A. τάρβοιc H, c add. 2. man. — 172 γάρ τε S. ἐγὼν L. — 173 δέ τι H. ἄγγελοc εἰμί HL. — 174 ὃc cεῦ AH. — 175 λύcα[ε]cθαί A. λύcεcθαι Vrat. A. cε κέλευcεν AHLS Cant. Lips. Vrat. A. γρ. c' ἐκέλευcεν A. c' ἐκέλευεν Townl. Vrat. d. — 176 ἀχϊλῆϊ C Flor. Rom. τά κεν D. — 177 οἶοc G Flor. οἶον H. μὴ δέ τιc CGL. τρῴων L.

A. c. 163 τινὲc γράφουcιν ᾗ χλαίνῃ, καὶ ἄμεινον Schol. V. — 175 asteriscus: οὐκ ὀρθῶc B 27, 64. — 192 ἀρίcταρχοc κεδάνδει (sic) Schol. A. οὕτωc ἀρίcταρχοc κεχάνδη διὰ τοῦ η̅ ἀντὶ τοῦ κεχάνδε (sic) ἡ δὲ μαccαλιωτικὴ πολλὰ κεκεύθει Didymus. ex scholio interiecto, quod non ab οὕτωc incipit, patet Aristarchi lectionem diversam fuisse ab ea quae est in textu cod. Veneti A. itaque non assentior Heynio, qui Aristarcho κεχάνδει tribuit, sed κεχάνδη eum scripsisse puto, ut ᾔδη.

κῆρύξ τίc τοι ἕποιτο γεραίτεροc, ὅc κ' ἰθύνοι
ἡμιόνουc καὶ ἅμαξαν ἐύτροχον, ἠδὲ καὶ αὖτιc
νεκρὸν ἄγοι προτὶ ἄcτυ, τὸν ἔκτανε δῖοc Ἀχιλλεύc.
μηδέ τί τοι θάνατοc μελέτω φρεcὶ μηδέ τι τάρβοc·
τοῖοc γάρ τοι πομπὸc ἅμ' ἕψεται ἀργεϊφόντηc,
ὅc c' ἄξει, εἵωc κεν ἄγων Ἀχιλῆι πελάccῃ.
αὐτὰρ ἐπὴν ἀγάγῃcιν ἔcω κλιcίην Ἀχιλῆοc,
οὔτ' αὐτὸc κτενέει ἀπό τ' ἄλλουc πάνταc ἐρύξει·
οὔτε γάρ ἐcτ' ἄφρων οὔτ' ἄcκοποc οὔτ' ἀλιτήμων,
ἀλλὰ μάλ' ἐνδυκέωc ἱκέτεω πεφιδήcεται ἀνδρόc.
ἣ μὲν ἄρ' ὣc εἰποῦc' ἀπέβη πόδαc ὠκέα Ἶριc,
αὐτὰρ ὅ γ' υἷαc ἅμαξαν ἐύτροχον ἡμιονείην
ὁπλίcαι ἠνώγει, πείρινθα δὲ δῆcαι ἐπ' αὐτῆc.
αὐτὸc δ' ἐc θάλαμον κατεβήcετο κηώεντα,
κέδρινον, ὑψόροφον, ὃc γλήνεα πολλὰ κεχάνδει·
ἐc δ' ἄλοχον Ἑκάβην ἐκαλέccατο φώνηcέν τε·
δαιμονίη, Διόθεν μοι Ὀλύμπιοc ἄγγελοc ἦλθε
λύcαcθαι φίλον υἱὸν ἰόντ' ἐπὶ νῆαc Ἀχαιῶν,
δῶρα δ' Ἀχιλλῆι φερέμεν, τά κε θυμὸν ἰήνῃ.
ἀλλ' ἄγε μοι τόδε εἰπέ, τί τοι φρεcὶν εἴδεται εἶναι;
αἰνῶc γάρ μ' αὐτόν γε μένοc καὶ θυμὸc ἄνωγε
κεῖc' ἰέναι ἐπὶ νῆαc ἔcω cτρατὸν εὐρὺν Ἀχαιῶν.
ὣc φάτο, κώκυcεν δὲ γυνὴ καὶ ἀμείβετο μύθῳ·

V. l. 178 κήρυξ DL. ὅc κεν G Vrat. d. ΕΙΘΥΝΟΙ Pap. — 179 ἅμαξαν CGH. ἤ[κ]δὲ A. ἦκε D Townl. ΗΕ Pap. αὖθιc C conf. 150. — 180 προτιάcτυ AD. ἀχϊλεύc C. — 181 μηδέ τι τοι ADGHL. τοι omitt. Pap. 1. man. μὴ δέ τι τάρβοc C. τάρβει Vrat. A. — 183 ὃc ἄξει DH. ὥc κεν D. εἵωc μὲν H. ἀχιλλῆι H. πελάccει Vrat. d. — 184 ἔcω: ἔξω C 1. man. — 185 ἀπο τ' D. — 186 γὰρ ἔcτ' ACDG. — 187 ἐνδικέωc Lips. ἱκέτεο πεφίcεται G. — 188 ἦ μὲν C. ἆρ ADGHL. — 189 ὅγ': ΟC Pap. 1. man. ἅμαξαν CEGH. ἡμιονίην G Vrat. A. Lips. — 190 ΩΠΛΙCΑΙ Pap. ὁπλίccαι D Flor. ἠνώχει H. ἀπ' αὐτῆc Barocc. — 191 κατεβήcατο D. κατεδύccετο L. κατεδύcατο Lips. Vrat. A. κατεβήcετο ζώεντα H. — 192 ὑψίροφον Apoll. Soph. 154, 29. ὑψόρροφον D. γλῆνα H. πολλὰ κεχάνδει ADEG HLS Pap. 1. man. Apoll. Soph. 54, 32. 154, 29. Schol. Ν 340. Ξ 183. α 44. κεχάνδη C Pap. 2. man. Harl. Mosc. 2. ἐκεχάνδει Apoll. Soph. 65, 21. — 193 ΕΚΑΒΗ Pap. — 194 ἦλθε ACDGH. — 195 ἐπι A. — 196 ἀχϊλῆϊ C. — 198 γάρ μ' D. ἀνώγει ACDEGHLS. — 200 ὡc A.

A. c. 198 ἀρίcταρχοc ἄνωγεν ἔξω τοῦ ι̅ Didymus. Aristarchum ἄνωγε, non ἄνωγεν scripsisse docui H. U. 162. — 200 ἀρίcταρχοc ἀνήρετο μύθῳ Didymus.

ὤ μοι, πῇ δή τοι φρένες οἴχονθ', ᾗς τὸ πάρος περ
ἔκλε' ἐπ' ἀνθρώπους ξείνους ἠδ' οἷσιν ἀνάσσεις;
πῶς ἐθέλεις ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος,
ἀνδρὸς ἐς ὀφθαλμούς, ὅς τοι πολέας τε καὶ ἐσθλοὺς
υἱέας ἐξενάριξε· σιδήρειόν νύ τοι ἦτορ.
εἰ γάρ σ' αἱρήσει καὶ ἐσόψεται ὀφθαλμοῖσιν
ὠμηστὴς καὶ ἄπιστος ἀνὴρ ὅ γε, οὔ σ' ἐλεήσει,
οὐδέ τί σ' αἰδέσεται. νῦν δὲ κλαίωμεν ἄνευθεν
ἥμενοι ἐν μεγάρῳ· τῷ δ' ὥς ποθι μοῖρα κραταιὴ
γεινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκον αὐτή,
ἀργίποδας κύνας ἆσαι ἑῶν ἀπάνευθε τοκήων,
ἀνδρὶ πάρα κρατερῷ, τοῦ ἐγὼ μέσον ἧπαρ ἔχοιμι
ἐσθέμεναι προσφῦσα· τότ' ἄντιτα ἔργα γένοιτο
παιδὸς ἐμοῦ, ἐπεὶ οὔ ἑ κακιζόμενόν γε κατέκτα,
ἀλλὰ πρὸ Τρώων καὶ Τρωιάδων βαθυκόλπων
ἑσταότ', οὔτε φόβου μεμνημένον οὔτ' ἀλεωρῆς.
τὴν δ' αὖτε προσέειπε γέρων Πρίαμος θεοειδής·
μή μ' ἐθέλοντ' ἰέναι κατερύκανε, μηδέ μοι αὐτὴ

V. L. 201 ᾤμοι ACDE. πῇ ADG: ceteri πῆ. ΟΙΧΟΝΤ Pap. ᾤχοντ' Mosc. 2. ὡς τὸ πάρος H. τοπάρος L. πάρος περ A. — 202 ἔκλε' A. ἔκλε' CDGH. ἔκλεο E bis. ἔκλετ' L Lips. ἔκλυ' Vrat. A. ξένους D. ἀνάσεις D. — 204 ὅς τις S Cant. τὲ C. — 205 ἐξενάριξεν σιδήρειος δέ οἱ D. — 206 ἐσόψεαι Vrat. A. ὀφθαλμοῖσι D. — 207 ὅγε DG Pap. Townl. Barocc. Vrat. d. A. Mosc. 2. Flor. ceteri ὅδε. ΟΥΚΕΛΕΗΣΕΙ Pap. 2. man. — 208 οὐδέ τι σ' ACEGH. οὐδέ τις DL Lips. αἰδέσσεται G Lips. κλαίομεν L Lips. Vrat. A. — 210 γεινομένῳ omnes. ὅτέ L. — 211 ἀργείποδας D. ΕΩΝ Pap., acc. 2. man. add. ἑῶν EH. ἐῶν G. — 212 παρα AH. παρὰ DEG Schol. A 25. — 213 πρὸς φῦσα D. ἄντιτα ACDELS. ἂν τιτὰ GH. — 214 ΕΟΥ Pap. 2. man. ΕΠΙΟΥΤΙ Pap. 1. man. — 215 πρὸ ACEGH. πρὸς DL Lips. Vrat. d. ΠΡΟΣ Pap. εἰ γράφεται πρὸς τρώων, φέρεται γὰρ καὶ τοιαύτη γραφή, δηλοῖ τὸ ἔμπροσθεν Eust. 1346, 9. τρῴων L. — 217 προσέειπεν D. — 218 κατερύκακε D ex corr. S Cant. Lips. Vrat. A. μὴ δέ μοι CDGL. μηδέ τι Vrat. A.

A. c. 202 ἔκλε' Herodianus: ἐκλέ' Ptolem. Ascalonita. in formis mediis verborum contractorum in $\overline{εω}$, in quibus alterum $\overline{ε}$ excidit, accentus est incertus, conf. ἀποαίρεο A 275. μύθεαι β 202. πώλεαι δ 811. — 205 ὅτι ὑποτάσσουσι στίχον „ἀθάνατοι ποίησαν Ὀλύμπια δώματ' ἔχοντες" Aristonicus. τινὲς ἐξήνεξε, τῆς ἀρχῆς ἐξέβαλε Schol. V. — 210 asteriscus: οὐ καλῶς Υ 128. — 213 Ptolem. Ascalonita cum plerisque ἄντιτα: ἂν τιτὰ Apollodorus et Callistratus, conf. ρ 51. 60. παλίντιτα ἔργα α 379. β 144. — 214 οὕτως ἐπεὶ οὔ ἑ, αἱ δὲ κοιναὶ ἐπεὶ οὔτι Didymus. αἱ κοιναὶ ἤγουν αἱ πλείους ἐκδόσεις γράφουσιν ἐπεὶ οὔτι Eust. 1346, 6. — 215 πρό: οὕτω χωρὶς τοῦ $\overline{σ}$ Didymus.

ὄρνις ἐνὶ μεγάροισι κακὸς πέλευ· οὐδέ με πείσεις.
εἰ μὲν γάρ τίς μ' ἄλλος ἐπιχθονίων ἐκέλευεν,
ἢ οἳ μάντιές εἰσι, θυοσκόοι ἢ ἱερῆες,
ψεῦδός κεν φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον·
νῦν δ', αὐτὸς γὰρ ἄκουσα θεοῦ καὶ ἐσέδρακον ἄντην,
εἶμι, καὶ οὐχ ἅλιον ἔπος ἔσσεται. εἰ δέ μοι αἶσα
τεθνάμεναι παρὰ νηυσὶν Ἀχαιῶν χαλκοχιτώνων,
βούλομαι· αὐτίκα γάρ με κατακτείνειεν Ἀχιλλεὺς
ἀγκὰς ἑλόντ' ἐμὸν υἱόν, ἐπὴν γόου ἐξ ἔρον εἵην.
ἦ, καὶ φωριαμῶν ἐπιθήματα κάλ' ἀνέῳγεν,
ἔνθεν δώδεκα μὲν περικαλλέας ἔξελε πέπλους,
δώδεκα δ' ἁπλοΐδας χλαίνας, τόσσους δὲ τάπητας,
τόσσα δὲ φάρεα καλά, τόσους δ' ἐπὶ τοῖσι χιτῶνας.
χρυσοῦ δὲ στήσας ἔφερεν δέκα πάντα τάλαντα,
ἐκ δὲ δύ' αἴθωνας τρίποδας, πίσυρας δὲ λέβητας,
ἐκ δὲ δέπας περικαλλές, ὅ οἱ Θρῆκες πόρον ἄνδρες
ἐξεσίην ἐλθόντι, μέγα κτέρας· οὐδέ νυ τοῦ περ
φείσατ' ἐνὶ μεγάροις ὁ γέρων, περὶ δ' ἤθελε θυμῷ
λύσασθαι φίλον υἱόν. ὁ δὲ Τρῶας μὲν ἅπαντας
αἰθούσης ἀπέεργεν ἔπεσσ' αἰσχροῖσιν ἐνίσσων·

V. L. 219 ἐνι A. ἐν E. ἐνὶμμεγάροισϊ C. ΕΝΙΜΜΕΓΑΡΟΙΣΙ Pap. κακὸς A. κακὴ Harl. Mosc. 2. — 220 γάρ τις μ' ADGL. ἐκέλευε D. ἐκέλευσεν H Vrat. d. — 221 ἢ εἰ et in marg. οἵοι L. οἷοι μᾶλλον δὲ ἢ οἳ Eust. θυοσκόοι A. — 222 κε et κεν E. — 224 οὐχ' ἅλιον ἔπος ἔσσεται ἢ οὐχ' ἁλίη ὁδὸς ἔσσεται Eust. 1346, 22. — 225 ΧΑΛΚΟΚΙΤΩΝΩΝ Pap. — 226 κατακτείνειν L. ἀχϊλεύς C. — 227 εἴην DGH Lips. Flor. ἔην L. — 228 ἦκεν H. ἐπιθύματα L Lips. ἀνέωιγε D Vrat. A. — 231 λευκὰ ACHL Pap. Townl. Vrat. b. καλὰ DEGS cum aliis. conf. ω 277. B 43. Ω 588. γ 467. ψ 155. φάρεϊ λευκῷ C 353. ἐπι A. τῆσι C. ΚΙΤΩΝΑΣ Pap. 1. man. — 232 δ' ἔστησας H 1. man. ἔφερε D. δέκα omitt. L Lips. — 233 αἴθωνας λέβητας πίσυρας δὲ τρίποδας D. — 234 ΤΟ·pro ὅ Pap. θρήϊκες CG Townl. — 235 ἐξέσίην AC. ἐξεσίηνδ' Lips. Mosc. 2 ἐξεσίηνδ' ἢ ἐξεσίην E. ἐξ ἀσίης ἐλθόντι D. — 236 ἐνι A. ἐνῖμμεγάροις C, ιν add. 2. man. μεγάροις' E. μεγάροις ὠμογέρων L. περι DL. — 237 τρῷας L. — 238 αἰθούσσης A Pap. ἐπέεργεν L. ἀπέργεν ἢ ἀνέργεν Eust. 1347, 53. ἐνίσπων S Cant. Vrat. d. ἐνίπτων Eust. 1347, 53 et 56. γράφεται καὶ ἐνίσσων Eust. 1347, 57. αἰσχροῖσι β[άλλ]ων D.

A. c. 222 asteriscus: οὐκ ὀρθῶς B 81. — 228 φωριαμῶν Aristarchus. Ἡρωδιανὸς περὶ Ἀττικῶν προσῳδιῶν, τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα (φωρίαμος), οὐχ ὡς ἀνάλογον ἀλλ' ὡς Ἀττικόν. ἡ μέντοι συνήθεια ὀξυνόμενον ἔχει Et. Mg. 804, 20. — 235 ἐξέσίην Aristarchus et Nicias: ἐξεσίην Neoptolemus Parianus.

ἔρρετε λωβητῆρες, ἐλεγχέες· οὔ νυ καὶ ὑμῖν
οἴκοι ἔνεϲτι γόοϲ, ὅτι μ' ἤλθετε κηδήϲοντεϲ;
ἦ ὀνόϲαϲθ' ὅτι μοι Κρονίδηϲ Ζεὺϲ ἄλγε' ἔδωκε,
παῖδ' ὀλέϲαι τὸν ἄριϲτον; ἀτὰρ γνώϲεϲθε καὶ ὔμμεϲ.
ῥηΐτεροι γὰρ μᾶλλον Ἀχαιοῖϲιν δὴ ἔϲεϲθε
κείνου τεθνηῶτοϲ ἐναιρέμεν. αὐτὰρ ἐγώ γε,
πρὶν ἀλαπαζομένην τε πόλιν κεραϊζομένην τε
ὀφθαλμοῖϲιν ἰδεῖν, βαίην δόμον Ἄϊδοϲ εἴϲω.
ἦ, καὶ ϲκηπανίῳ δίεπ' ἀνέραϲ· οἱ δ' ἴϲαν ἔξω
ϲπερχομένοιο γέροντοϲ. ὃ δ' υἱάϲιν οἷϲιν ὁμόκλα,
νεικείων Ἕλενόν τε Πάριν τ' Ἀγάθωνά τε δῖον
Πάμμονά τ' Ἀντίφονόν τε, βοὴν ἀγαθόν τε Πολίτην
Δηίφοβόν τε καὶ Ἱππόθοον καὶ Δῖον ἀγαυόν·
ἐννέα τοῖϲ ὁ γεραιὸϲ ὁμοκλήϲαϲ ἐκέλευε·
ϲπεύϲατέ μοι κακὰ τέκνα, κατηφόνεϲ. αἴθ' ἅμα πάντεϲ
Ἕκτοροϲ ὠφέλετ' ἀντὶ θοῆϲ ἐπὶ νηυϲὶ πεφάϲθαι·
ὤ μοι ἐγὼ πανάποτμοϲ, ἐπεὶ τέκον υἷαϲ ἀρίϲτουϲ
Τροίῃ ἐν εὐρείῃ, τῶν δ' οὔ τινά φημι λελεῖφθαι,
Μήϲτορά τ' ἀντίθεον καὶ Τρώιλον ἱππιοχάρμην,

V. c. 239 ΥΜΕΙΝ Pap. — 240 οἴκοι ἐϲτὶ HL Lips. Plutarchus de Cohibenda ira 14. — 241 οὔνεϲθ' ACDEGHL. ἤ τ' οὔνεϲθ' S. ἦ τ' οὔνεϲθε Cant. ὄνεϲθ' Schol. Ρ 399. ὀνόϲαϲθε Apoll. Soph. 124, 25. ΗΟΥΝΕϹΘΟΤΕ Pap. 1. man. Η'ΟΝΟϹΕϹΘ' ΟΤΙ (superscr. ὅ) 2. man. ἔδωκε CEGH. ἔδωκε (superscr. θη) A. ἔδωκεν DL Pap. ἔθηκε Townl. Vrat. A. — 242 ὕμμεϲ GH. ὔμεϲ Lips. ὔμμε Vrat. A. — 243 ἀχαιοῖϲι DEH Lips. ΔΗϹΕϹΘΑΙ Pap. 1. man. — 244 τεθνειῶτοϲ CDEG Pap. (sine acc.) τεθνειῶτοϲ (superscr. η) A. ἀτὰρ E. — 245 ἀλαπαξαμένην L Lips. — 247 οἵδ' CDGHL. ἔζω G. — 248 ὅδ' CDGHL. — 250 ἄντιφόν τε D. 'ΑΜΦΙΦΟΝΟΝ Pap. 1. man. — 251 δῖον ἀγαυόν HL, ita ut Ἀγαυόν sit nomen proprium, conf. Et. Gud. 3, 56. — 252 ἐκέλευε ACDGH. ἐκέλευϲε Ambr. (sine acc. et spir.) Townl. Vrat. d. Lips. ἐκέλευϲεν L Pap. (sine acc. et spir.). — 253 κατηφέεϲ D. — 254 ΩϹΩΦΕΛ Pap. 1. man. ΩΦΕΛΛΕΤ' 2. man. ὀφέλλετ' C. ἄντι C. πεφᾶϲθαι CG. — 255 ᾤμοι ACE. πανάποτμοϲ A. — 256 οὔτινα φημὶ ADEGHL. ΛΕΛΕΙΠΤΑΙ Pap. 1. man. — 257 ἱππιοχάρμην A. μεναιχάρμην D.

A. c. 239 ἐλεγχέεϲ Aristarchus, conf. Schol. Ε 787 et ad Δ 242. — 241 ἀρίϲταρχοϲ ἢ ὀνόϲαϲθ' Didymus. οὔνεϲθε schol. Aristonici. — 247 δίέπ' (δαϲέωϲ) Ἀρίϲταρχοϲ καὶ οἱ πλείουϲ Herodianus. — 251 ἄδηλον, πότερόν ἐϲτι τὸ κύριον ὁ Δῖοϲ ἢ ὁ Ἀγαυόϲ Aristonicus. Φερεκύδηϲ τὸν Δῖον νόθον υἱὸν Πριάμου φηϲὶν Schol. V. — 253 Aristarchus κατφηόνεϲ: κατηφέεϲ Crates.

Ἕκτορά θ', ὃϲ θεὸϲ ἔϲκε μετ' ἀνδράϲιν, οὐδὲ ἐῴκει
ἀνδρόϲ γε θνητοῦ πάιϲ ἔμμεναι, ἀλλὰ θεοῖο·
τοὺϲ μὲν ἀπώλεϲ' Ἄρηϲ, τὰ δ' ἐλέγχεα πάντα λέλειπται,
ψεῦϲταί τ' ὀρχηϲταί τε, χοροιτυπίῃϲιν ἄριϲτοι,
ἀρνῶν ἠδ' ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρεϲ.
οὐκ ἂν δή μοι ἄμαξαν ἐφοπλίϲϲαιτε τάχιϲτα,
ταῦτά τε πάντ' ἐπιθεῖτε, ἵνα πρήϲϲωμεν ὁδοῖο;
ὣϲ ἔφαθ', οἱ δ' ἄρα πατρὸϲ ὑποδείϲαντεϲ ὁμοκλὴν
ἐκ μὲν ἄμαξαν ἄειραν ἐύτροχον ἡμιονείην,
καλὴν πρωτοπαγέα, πείρινθα δὲ δῆϲαν ἐπ' αὐτῆϲ,
κὰδ δ' ἀπὸ παϲϲαλόφι ζυγὸν ᾕρεον ἡμιόνειον,
πύξινον ὀμφαλόεν, εὖ οἰήκεϲϲιν ἀρηρόϲ·
ἐκ δ' ἔφερον ζυγόδεϲμον ἅμα ζυγῷ ἐννεάπηχυ.
καὶ τὸ μὲν εὖ κατέθηκαν ἐυξέϲτῳ ἐπὶ ῥυμῷ,
πέζῃ ἔπι πρώτῃ, ἐπὶ δὲ κρίκον ἕϲτορι βάλλον,
τρὶϲ δ' ἑκάτερθεν ἔδηϲαν ἐπ' ὀμφαλόν, αὐτὰρ ἔπειτα
ἑξείηϲ κατέδηϲαν, ὑπὸ γλωχῖνα δ' ἔκαμψαν.

V. ι. 258 ΤΕΟϹ Pap. 1. man. Τ' ΟϹ 2. man. pro θ' ὅϲ. ΟΥΤΕ Pap. 1. man. — 259 θνητοῖο D. παῖϲ L Lips. ΕΜΜΕΝΕ Pap. 1. man. — 261 τ' omitt. L. χορητυπίῃϲιν D. — 262 ἀνδρῶν ἠδ' L. — 263 ἅμαξαν CDEGH. ἐφοπλίϲητε C Lips. ἐφοπλίϲϲητε HL. ἐφοπλίϲετε D. ἐφοπλίϲαιτε G edd. vett. ἐφοπλίϲητε ἢ ἐφοπλίϲαιτε E. ΕΦΩΠΛΙϹϹΕΙΤΕ Pap. 1. man. — 264 ΕΠΙΤΕΙΘΕ Pap. 1. man. ἐπιθῆτε H Vrat. d. οἱ δὲ γράφοντεϲ ἐπιθῆτε διὰ τοῦ η ποιοῦϲιν οὕτω πρὸϲ ἀκολουθίαν τοῦ ἐφοπλίϲϲητε Eust. 1349, 28. πρήϲωμεν CG Vrat. A. — 265 ὡϲ A. ΕΦΑΤ Pap. οἳ δ' D. οἵδ' CL. ὑποδείϲαντεϲ D. ὑποδείϲαντεϲ (superscr. δ) C. ceteri ὑποδδείϲαντεϲ. — 266 ἒκ A. ἅμαξαν CDEGH Vrat. A. εὔτροχον D. ἡμιονίην G. — 267 πρωτοπαγέα ADEHL Pap. 1. man. Lips. Rom. Apoll. Soph. 135, 7. πρωτοπαγῆ CGS Pap. 2. man. Barocc. Harl. Mor. Townl. Vrat. d. δεῖϲαν D. δ' ἔδηϲαν L. — 268 καδδ' ACDGH. καδδαπὸ L. παϲϲαλόφιν CDEGHL. conf. H. U. 45. ἤρεον C. — 269 ὀμφαλόεντ' DGS Lips. Vrat. A. Flor. et vulgo ante Wolfium. ὀμφαλόεν habent ACEHL Harl. οἰήκεϲιν D. ἀρηρότα L Lips. καθαρὸϲ ἐν τέλει δάκτυλοϲ L in marg. — 270 δὲ φερον H. ζυγόδεϲμον A. ἐννεάπηχυν CG Vrat. A. Flor. — 271 εὐξέϲτω D. — 272 ἐπὶ πρώτῃ CDEGHL: ἔπι A Cram. Ep. 339, 10. 368, 18. ἐπι δὲ A. ἕϲτορι: τινὲϲ δὲ γράφουϲιν ἕκτορι Et. Mg. 383, 25. βάλον DH Lips. — 273 ΕΚΑΤΕΡΘΕ Pap. 1. man. — 274 ἔδηϲαν D (om. κατ). ὑπο

V. ι. 264 ἐπιθεῖτε ὡϲ διακρινθεῖντε τάχιϲτα (Γ 102) Schol. V. — 269 οὐκ ἦν παρὰ Ζηνοδότῳ οὗτοϲ ὁ ϲτίχοϲ Didymus. — 272 ἕϲτορι Herodianus: τινὲϲ δὲ γράφουϲιν ἕκτορι, οἷον ἐχέτορι Schol. D. — 274 ἔκαμψαν Schol. V: ἔγναμψαν Schol. BM. ἔγναμψαν ferri non potest, nam ante γν nusquam, neque in medio neque in extremo vocabulo vocalis corripitur, conf. H. U. 5 et 17. Bekker. Hom. Bl. pg. 36. Thiersch. Gr. Graec. § 146, 7. not.

ἐκ θαλάμου δὲ φέροντες ἐυξέστης ἐπ' ἀπήνης
νήεον Ἑκτορέης κεφαλῆς ἀπερείcι' ἄποινα,
ζεῦξαν δ' ἡμιόνους κρατερώνυχας ἐντεcιεργούς,
τούς ῥά ποτε Πριάμῳ Μυcοὶ δόcαν ἀγλαὰ δῶρα.
ἵππους δὲ Πριάμῳ ὕπαγον ζυγόν, οὓς ὁ γεραιὸς
αὐτὸς ἔχων ἀτίταλλεν ἐυξέcτῃ ἐπὶ φάτνῃ.
τὼ μὲν ζευγνύcθην ἐν δώμαcιν ὑψηλοῖcι
κῆρυξ καὶ Πρίαμος, πυκινὰ φρεcὶ μήδε' ἔχοντες·
ἀγχίμολον δέ cφ' ἦλθ' Ἑκάβη τετιηότι θυμῷ
οἶνον ἔχους' ἐν χειρὶ μελίφρονα δεξιτερῆφι,
χρυcέῳ ἐν δέπαϊ, ὄφρα λείψαντε κιοίτην·
cτῆ δ' ἵππων προπάροιθεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
τῆ, cπεῖcον Διὶ πατρί, καὶ εὔχεο οἴκαδ' ἱκέcθαι
ἂψ ἐκ δυcμενέων ἀνδρῶν, ἐπεὶ ἄρ cέ γε θυμὸς
ὀτρύνει ἐπὶ νῆας, ἐμεῖο μὲν οὐκ ἐθελούcης.

V. L. DH. ΓΛΩΧΕΙΝΑ Pap. ἔκαμψαν D Pap. Harl. Townl. Mosc. 2. ἔ[γν]καμψαν A. ἔγναμψαν CGLS et olim vulgo. ἔγναμψαν ἤγουν ἔκαμψαν E. ἔγλα[ν]ψαν H. ἔγναψαν Vrat. d. A — 275 ἐϋξέcτηc ACEGHLS Townl. Mosc. 2. Vrat. d. εὐξέcτηc D Vrat. A. ante Heynium legebatur ἐϋξέcτου, conf. 280. — 276 νήνεον Mosc. 2. ἑκτορίηc S. — 277 ζεῦξάν θ' C. ἐντεcιεργοὺc A. ἐντεcιουργοὺc GS Cant. Mor. Harl. Mosc. 2. Flor. — 278 τοὺc ῥά C. δῶcαν G. — 279 ἵππουc δὲ τρωοὺc C. τρωΐουc Vrat. d. ut Ψ 291. ζυγῷ DL. — 280 ἐϋξέcτῃ ACEGL Barocc. Mor. Cant. Harl. Townl. Mosc. 2. Vrat. b. d. Flor. ἐϋξέcτῳ HS Eust. 722, 1. Lips. Rom. εὐξέcτω D. ἐπι A. — 281 ὑψηλοῖcι AGH. κήρυξ DEL. πυκνὰ Townl. Apoll. Soph. 166, 25. ἔχοντεc libri mei cum Pap. ἔχοντι Apoll. Soph. 166, 25. Bekk. 2. in adnot. ἔχοντε affert, deceptus ab Heynio; qui illud ex Ven. A laudat. — 283 ἦλθεν L Lips. τετυκότι θυμῷ H. — 284 χερcὶ H. δεξιτερῆφι ADGH. δεξιτερῆφι CEL. — 285 ὄφρ' ἀλείψαντε G. — 286 προπάροιθ' C. τ' post ἔποc omitt. Pap. 1. man. ЄΠΟCΤΈ MINANTÍONHYΔA Syr. ὀνόμαζε ACDGH. — 287 ΤΗ͂Ι Pap. 2. man. ΤΗ 1. man. τῇ G. — 288 ἊΨ' Syr. δυcμενέων ἐχθρῶν L. — 289 ΟΤΡΥΝЄΙC Pap. 1. man.

A. c. 285 δέπαϊ ὄφρα offendit Clarkium; sed hiatus caesura tollitur et syllaba anceps in hac sede producitur, sicut Ὀδυccῆι ἔθεcαν ζ 248. Ἡρακλῆι οὔτ' θ 224. ὕδατι ἐπὶ κ 520. λ 28. add. ἔτεϊ ἐc π 206. τ 484. φ 208. ψ 102. 170. ω 322. φρέατι ὅθεν Hymn. V, 99. παλαιγενέϊ ἐναλίγκιοc V, 101. πυρὶ ἔνι V, 248. cάκεϊ ἔλαc' Υ 259. de ὄφρᾱ λείψαντε conf. ἀπο̄λείψαc Hesiod. Theog. 793. ἐπῑλείβων Apoll. Rhod. I, 1133. H. U. 53. ο 149 ubi versus noster iteratur, libri meliores ἐν δέπαϊ χρυcέῳ exhibent.

ἀλλ' εὔχεο cύ γ' ἔπειτα κελαινεφέι Κρονίωνι
Ἰδαίῳ, ὅc τε Τροίην κατὰ πᾶcαν ὁρᾶται,
αἴτει δ' οἰωνόν, ταχὺν ἄγγελον, ὅc τέ οἱ αὐτῷ
φίλτατοc οἰωνῶν, καί εὑ κράτοc ἐcτὶ μέγιcτον,
δεξιόν, ὄφρά μιν αὐτὸc ἐν ὀφθαλμοῖcι νοήcαc
τῷ πίcυνοc ἐπὶ νῆαc ἴῃc Δαναῶν ταχυπώλων.
εἰ δέ τοι οὐ δώcει ἑὸν ἄγγελον εὐρύοπα Ζεύc,
οὐκ ἂν ἐγώ γέ c' ἔπειτα ἐποτρύνουcα κελοίμην
νῆαc ἐπ' Ἀργείων ἰέναι μάλα περ μεμαῶτα.
τὴν δ' ἀπαμειβόμενοc προcέφη Πρίαμοc θεοειδήc·
ὦ γύναι, οὐ μέν τοι τόδ' ἐφιεμένῃ ἀπιθήcω·
ἐcθλὸν γὰρ Διὶ χεῖραc ἀναcχέμεν, αἴ κ' ἐλεήcῃ.
ἦ ῥα, καὶ ἀμφίπολον ταμίην ὤτρυν' ὁ γεραιὸc
χερcὶν ὕδωρ ἐπιχεῦαι ἀκήρατον· ἣ δὲ παρέcτη
χέρνιβον ἀμφίπολοc πρόχοόν θ' ἅμα χερcὶν ἔχουcα.
νιψάμενοc δὲ κύπελλον ἐδέξατο ἧc ἀλόχοιο·
εὔχετ' ἔπειτα cτὰc μέcῳ ἕρκεϊ, λεῖβε δὲ οἶνον
οὐρανὸν εἰcανιδών, καὶ φωνήcαc ἔποc ηὔδα·
Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιcτε μέγιcτε,
δόc μ' ἐc Ἀχιλλῆοc φίλον ἐλθεῖν ἠδ' ἐλεεινόν,
πέμψον δ' οἰωνόν, ταχὺν ἄγγελον, ὅc τε cοὶ αὐτῷ

V. L. 290 omitt. Syr. in textu, add. 2. man. in marg. εὔχεο ACDHL Pap. Harl. Lips. Mosc. 2. Vrat. d. A. Schol. Є 422. εὔχευ ἢ εὔχεο E. εὔχευ GS Cant. Rom. εὔχου Flor. Et. Mg. 547, 29. ΚЄΛΑΙΝЄΦЄЄΙ Pap. κελενεφέϊ G. — 291 τροίῃ H. κατα A. — 292 ταχὺν A et suprascr. τεον. ἑὸν Pap. Apoll. de Pron. 60 B. de Synt. 155, 27. ἐν ἄλλῳ ἑὸν ἄγγελον A. ὅc τέ οἱ ACDGL. vulgo ὅcτε οἱ. — 293 καὶ εὖ DE 1350, 56. GL Apoll. Soph. 78, 22. καὶ ἐΰκρατοc H. καί οἱ εὖ S. καὶ εὖ Townl. καί οἱ Mor. Harl. Mosc. 2. γρ. καὶ καί εὑ Eust. 1351, 47. ἐcτὶ μάλιcτα AC Vrat. A. γρ. μέγιcτον A. — 294 ὄφρά μιν ADHL. — 295 πίcυνο[c]ν H. γρ. χαίρων ἐνι θυμῶι A. — 296 COI Pap. δέ τι L Barocc. Rom. τεὸν C. ἄγγελον ἑὸν D. — 297 ἔγωγέ libri. — 298 ἐπαργείων A. — 300 μέν τι Lips. τόδ[γ]' A. τόγ' H Townl. τάδ' C. ΑΦЄΙЄΜЄΝ ΟΥ̓Δ' Pap. 1. man. ЄΦΙЄΜЄΝΗΙ ΑΠΙΘΗCΩ Pap. 2. man. in marg. — 301 ἀνεcχέμεν L. — 302 ῥὰ CDL. ὄτρυν' Vrat. A. — 303 ΥΔΩΡ' Syr. ἐπιχεῦcαι Vrat. A. Athen. IX, 408. ἡ δὲ C. — 304 ἅμα φέρουcα D et ab ead. man. in marg. χερcὶν ἔχουcα. — 305 δέξατο Townl. Vrat. b. — 306 ἔρκει G. — 307 φωνήcαc. ἔποc A. φωνήcαc, ἔποc C. — 309 ἀχῒλῆοc C Syr. (sine acc. et spir.). — 310 ἐν ἄλλῳ ἑὸν ἄγγελον A.

A. c. 292 οἱ Herodianus, ἐγκλιτικῶc. — 293 εὑ Herodianus ad O 165: οὖ Zenodotus. — 304 ἀθετεῖται Aristonicus. πρόχοόν θ' ἅμα: ταμίη μετὰ Massiliensis.

φίλτατος οἰωνῶν, καί εὑ κράτος ἐςτὶ μέγιςτον,
δεξιόν, ὄφρά μιν αὐτὸς ἐν ὀφθαλμοῖςι νοήςας
τῷ πίςυνος ἐπὶ νῆας ἴω Δαναῶν ταχυπώλων.
ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε μητίετα Ζεύς.
αὐτίκα δ' αἰετὸν ἧκε, τελειότατον πετεηνῶν,
μόρφνον θηρητῆρ', ὃν καὶ περκνὸν καλέουςιν.
ὅςςη δ' ὑψορόφοιο θύρη θαλάμοιο τέτυκται
ἀνέρος ἀφνειοῖο, ἐυκλήϊς ἀραρυῖα,
τόςς' ἄρα τοῦ ἑκάτερθεν ἔςαν πτερά· εἴςατο δέ ςφι
δεξιὸς ἀΐξας ὑπὲρ ἄςτεος. οἳ δὲ ἰδόντες
γήθηςαν, καὶ πᾶςιν ἐνὶ φρεςὶ θυμὸς ἰάνθη.
ςπερχόμενος δ' ὁ γέρων ξεςτοῦ ἐπεβήςετο δίφρου,
ἐκ δ' ἔλαςε προθύροιο καὶ αἰθούςης ἐριδούπου.
πρόςθε μὲν ἡμίονοι ἕλκον τετράκυκλον ἀπήνην,
τὰς Ἰδαῖος ἔλαυνε δαΐφρων· αὐτὰρ ὄπιςθεν
ἵπποι, τοὺς ὁ γέρων ἐφέπων μάςτιγι κέλευε
καρπαλίμως κατὰ ἄςτυ· φίλοι δ' ἅμα πάντες ἕποντο
πόλλ' ὀλοφυρόμενοι ὡς εἰ θάνατον δὲ κιόντα.

V. L. 311 καὶ εὖ GL. καὶ εὔκρατος H. εὐ C et man. rec. γρ. οἱ. καί οἱ εὖ S. καί οἱ Barocc. Harl. Vrat. b. ΜΕΓΙCΤΟC Pap. 1. man. μάλιςτα A et γρ. μέγιςτον. — 312 ὄφρά μιν ACDHL. versum omitt. Mosc. 2. — 314 ὡς A. — 315 πετεεινῶν Harl. — 316 μορφνὸν S. θηρητὴν Vrat. A. — 318 ἀφνειοῦ καὶ εὖ κληῖς' Vrat. A. ἐϋκλήϊς AE. εὐκλῆϊς S. ἐϋκληῖς CGH Apoll. Soph. 100, 11. εὐκληῖς D. ΕΥΚΛΗῚC Syr. εὐκλείης L. ΕΥΚΛΕΙΗC Pap. ἐυκληεἰς Lips. ἐυκλήης Townl. — 319 τός' D. ÉCAN- ΤΕ ΠΥΡΟCEÍATO Syr. add. τε 2. man. ςφι CHL Syr. Vrat. A. Lips. — 320 ὑπὲρ ACDGHL. ΥΠΕΡ' Syr. ΔΙΑ Pap. δι' ἄςτεος S Cant. Mosc. 2. Vrat. b. A. Flor. Rom. γρ. διαςτεος A. οἳ δὲ C. — 321 ἐνι A. — 322 γέρων ξεςτοῦ CDGHLS Syr. Pap. edd. vett. γεραιὸς ἑοῦ A Mor. γρ. ὁ γέρων ξεςτοῦ ἐπεβίςετο A. ξεςτοῦ erat etiam in Eust. codice, conf. 1352, 50. γεραιὸς ἑοῦ primus recepit Wolfius. ἐπεβήςατο G Lips. Vrat. d. Flor. — 323 ÉΛΑCΕΝ Syr. δέλαςε πρὸ θύροιο H. αἰθούςςης A Pap. ἐριδούπου A. ἐριγδούπου L Lips. — 324 πρόςθεν H. — 325 τὰς δ' Vrat. A. [Ο]Π[Ι]CΘΕ Pap. — 326 τὰς ὁ Vrat. d. κέλευε ACDGH. — 327 ποτὶ ἄςτυ S Cant. — 328 οἴκτρ' ὀλοφυρόμενοι Vrat. d. ὡς εἰ A. vulgo ὡςεί. ὡς εἰς DS Cant. θάνατον δὲ A. ΘΑΝΑΤΟΝΤΕ (Δ) Syr. Δ add. 2. man. θάνατόν γε GS Cant. Vrat. b. Flor.

A. c. 316 περκνὸν ἡ παράδοςις: πέρκνον Aristarchus apud Eust. 1352, 20. — 318 ἐϋκλήϊς Aristarchus. Ptolem. Ascalonita, Herodianus: ἐὺ κληῗς' Trypho.

οἳ δ' ἐπεὶ οὖν πόλιος κατέβαν, πεδίον δ' ἀφίκοντο,
οἳ μὲν ἄρ' ἄψορροι προτὶ Ἴλιον ἀπονέοντο,
παῖδες καὶ γαμβροί, τὼ δ' οὐ λάθον εὐρύοπα Ζῆν'
ἐς πεδίον προφανέντε· ἰδὼν δ' ἐλέηςε γέροντα.
αἶψα δ' ἄρ' Ἑρμείαν, υἱὸν φίλον, ἀντίον ηὔδα·
Ἑρμεία· ςοὶ γάρ τε μάλιςτά γε φίλτατόν ἐςτιν
ἀνδρὶ ἑταιρίςςαι, καί τ' ἔκλυες, ᾧ κ' ἐθέληςθα·
βάςκ' ἴθι, καὶ Πρίαμον κοίλας ἐπὶ νῆας Ἀχαιῶν
ὣς ἄγαγ', ὡς μήτ' ἄρ τις ἴδῃ μήτ' ἄρ τε νοήςῃ
τῶν ἄλλων Δαναῶν, πρὶν Πηλείωνα δ' ἱκέςθαι.
ὣς ἔφατ', οὐδ' ἀπίθηςε διάκτορος ἀργεϊφόντης.
αὐτίκ' ἔπειθ' ὑπὸ ποςςὶν ἐδήςατο καλὰ πέδιλα
ἀμβρόςια χρύςεια, τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν
ἠδ' ἐπ' ἀπείρονα γαῖαν ἅμα πνοιῇς ἀνέμοιο·
εἵλετο δὲ ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει,
ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει·
τὴν μετὰ χερςὶν ἔχων πέτετο κρατὺς ἀργεϊφόντης.
αἶψα δ' ἄρα Τροίην τε καὶ Ἑλλήςποντον ἵκανε,

V. L. 329 οἵδ' CDGL. ἐπεὶ ἐκ Schol. Ε 26. conf. ω 205. πόλεος A. — 330 οἳ μὲν C. ἄρ AD. ἄψορρον L. ΑΨΟΡΡΟΝ Ambr. ποτὶ AG (μβ) edd. vett. — 331 γαυροὶ H. Ζῆν' DEGL. ΖΗΝ' Ambr. Ζην (α) H. ΖΗΝ Pap. 1. man. Ζῆ AC Barocc. Mor. Harl. Townl. Vrat. d. Rom. ΖΗ Syr. Pap. 2. man. — 332 ν' ἐς AC Barocc. Mor. Harl. Townl. Vrat. d. Rom. Syr. Pap. 2. man. — 333 ἄρ ACDGL. ἑρμείην S Cant. φίλον υἱὸν C. — 334 γάρ omitt Syr. μάλιςτά τε A. μάλιςτα δὲ Tzetz. Alleg. 176. φίλτατον ἐςτὶν L. ἐςτὶ D. — 335 ἑταιρίςαι DGHL 1. man. Lips. Flor. Eust. 941, 62. ΕΤΑΡΙCCΑΙ Pap. τ' omitt. Syr. ΕΘΕΛΗCΘΑ Ambr. κε θέληςθα C. — 336 κοίλας omitt. L Lips. — 337 ὡς bis A. τις ἤδῃ G. τι ἴδῃ Vrat. d. τι νοήςῃ Cant. γε νοήςῃ L. — 338 πηλείωνα δ' ACDH. — 339 ὡς A. — 340 ΑΥΤΙΚΑΔ' ΕΠΕΙΘ Syr. ΕΠΕΙΤ Pap. ὑπο A. ΠΕΔΕΙΛΑ Ambr. Pap. Syr. (cum acc.). πέδιλλα HL. — 341 ΜΕΝ Pap. 1. man. ΜΙΝ 2. man. — 342 ἤδ' ἐπ' L. ἐς S. πνοῆς G. — 343 ῥᾶβδον G. ῥᾴβδον E. alii ῥᾳβδον teste Eust. 1353, 39. cf. H. U. 220. ᾗ τ' Schol. κ 329. — 344 omitt. Pap. 1. man., add. man. rec. in marg. ὡν εθελει τους δ' αὖτε καὶ υπν|||οντας εγειρει. ἐθέλῃ A Syr. Cant. τοὺς αὖ Harl. Mosc. 2. — 345 πέτατο Vrat. A. — 346 ἄρ' ἐς τροίην CDH (ἄρ) S Cant. Harl. Vrat. d. Mosc. 2. ἐν ἄλλῳ αἶψα δ' ἄρ ἐς τροίην A. ἵκανε ACDGH Syr.

A. c. 331, 332 Ζην'-ἐς: Ζῆ-ν' ἐς Aristarchus, conf. Θ 206. Ξ 265. — 332 προφανέντε: ἐν τῆι χίαι καταβάντε Didymus. — 341, 342 asteriscus: οὐκ ὀρθῶς α 97, 98. — 341 οὕτως διὰ τοῦ ō φέρον Didymus. — 344 ἐθέλει: οὕτως ἀρίςταρχος διὰ τοῦ ē, αἱ δὲ κοιναὶ διὰ τοῦ η̄ ἐθέλῃ Didymus.

βῆ δ' ἰέναι κούρῳ αἰϲυμνητῆρι ἐοικώϲ,
πρῶτον ὑπηνήτῃ, τοῦ περ χαριεϲτάτη ἥβη.
οἳ δ' ἐπεὶ οὖν μέγα ϲῆμα παρὲξ Ἴλοιο ἔλαϲϲαν,
ϲτῆϲαν ἄρ' ἡμιόνουϲ τε καὶ ἵππουϲ, ὄφρα πίοιεν,
ἐν ποταμῷ· δὴ γὰρ καὶ ἐπὶ κνέφαϲ ἤλυθε γαῖαν.
τὸν δ' ἐξ ἀγχιμόλοιο ἰδὼν ἐφράϲϲατο κῆρυξ
Ἑρμείαν, ποτὶ δὲ Πρίαμον φάτο φώνηϲέν τε·
φράζεο Δαρδανίδη· φραδέοϲ νόου ἔργα τέτυκται.
ἄνδρ' ὁρόω, τάχα δ' ἄμμε διαρραίϲεϲθαι ὀίω.
ἀλλ' ἄγε δὴ φεύγωμεν ἐφ' ἵππων, ἤ μιν ἔπειτα
γούνων ἁψάμενοι λιτανεύϲομεν, αἴ κ' ἐλεήϲῃ.
ὣϲ φάτο, ϲὺν δὲ γέροντι νόοϲ χύτο, δείδιε δ' αἰνῶϲ,
ὀρθαὶ δὲ τρίχεϲ ἔϲταν ἐνὶ γναμπτοῖϲι μέλεϲϲι,
ϲτῆ δὲ ταφών· αὐτὸϲ δ' ἐριούνιοϲ ἐγγύθεν ἐλθών,
χεῖρα γέροντοϲ ἑλών, ἐξείρετο καὶ προϲέειπε·
πῇ πάτερ ὧδ' ἵππουϲ τε καὶ ἡμιόνουϲ ἰθύνειϲ
νύκτα δι' ἀμβροϲίην, ὅτε θ' εὕδουϲι βροτοὶ ἄλλοι;
οὐδὲ ϲύ γ' ἔδειϲαϲ μένεα πνείονταϲ Ἀχαιούϲ,
οἵ τοι δυϲμενέεϲ καὶ ἀνάρϲιοι ἐγγὺϲ ἔαϲι;
τῶν εἴ τίϲ ϲε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν

V. ι. 347 αἰϲυητῆρι AEGL Syr. Lips. Vrat. A. edd. vett. Hesychius I, 87. Apoll. Soph. 16, 8. αἰϲυμνητῆρι CDHS Barocc. Cant. Mor. Townl. Vrat. b. Ven. B. Tzetzes Alleg. 347. αἰϲιμνητῆρι Vrat. d. ΑΙϹΥΙΗΤΟΡΙ Pap. 1. man. ΑΙϹΥΜΗΤΗΡ' 2. man. — 348 πρώτῳ S. ὑπηνήτην οὗ περ Apoll. Soph. 16, 8. οὗπερ Eust. 840, 39. — 349 οἳ δ' D. οἵδ' CGL. ЄΠΙ Pap. 1. man. παρεξ D. πάρεξ G. ἴλλοιο H. ἴλῖο C. ἰλίοιο Lips. ἔλαϲαν DE Lips. ЄΛΑϹϹЄΝ Pap. 1. man. — 350 ἂρ DGL. — 351 ἐπι CL. ἤλθε E. — 352 ἐφράϲατο DEH Lips. κήρυξ L. — 353 ποτι D. — 354 ἀφραδέοϲ L Lips. ΝΥΟΥ Pap. 1. man. — 355 ἄνδρα ὁρῶ E. ΑΜΜΑ Pap. ἅμμε H. ἄν D 1. man. pro ἄμμε. διαρραίϲεϲθ' D. — 356 ἀλλάγε H. — 357 ἐλεήϲει Vrat. d. — 358 ὡϲ A. ϲυν D. δείδε δ' G. ΔЄΙΔΙΑ Pap. 1. man. — 359 ἐνι GL. ἐπὶ A. ἐπὶ Townl. Vrat. b. γναπτοῖϲι L Barocc. Vrat. d. A. μέλεϲϲι ACDEH. — 360 ЄΡΙΟΥΝΟϹ Pap. 1. man. — 361 ἑλὼν omitt. Pap. 1. man. ἐξήρετο C Harl. Vrat. d. Mosc. 2. προϲέειπε ACDHL. προϲέειπεν G Pap. Syr. μετέειπε E. — 362 πῆ ADE. ποῖ L. ceteri πῆ. ΠΑΤЄΡ' Syr. ЄΙΘΥΝЄΙϹ Pap. 1. man. ἰθύνοιϲ D. — 363 ΤЄΥΔΟΥϹΙΝ Pap. εὕδουϲιν D Syr. — 364 ἔδδειϲαϲ libri. — 365 ΟΥΤΟΙ Syr. ἔαϲι ACDH Vrat. A. ἔαϲιν EGL Syr. — 366 τιϲ ϲε DGHL. ϹЄΙΔΟΙΤΟ Syr.

A. c. 347 ἀρίϲταρχοϲ αἰϲυμνητῆρι (cod. ἐϲυμνητῆρι) τουτέϲτι βαϲιλικῷ Didymus, conf. Eust. 1353, 55. αἰϲυητῆρι Apio apud Hesych. I, 87. Apoll. Soph. 16, 19.

τοϲϲάδ' ὀνείατ' ἄγοντα, τίϲ ἂν δή τοι νόοϲ εἴη;
οὔτ' αὐτὸϲ νέοϲ ἐϲϲί, γέρων δέ τοι οὗτοϲ ὀπηδεῖ,
ἄνδρ' ἀπαμύναϲθαι, ὅτε τιϲ πρότεροϲ χαλεπήνῃ.
ἀλλ' ἐγὼ οὐδέν ϲε ῥέξω κακά, καὶ δέ κεν ἄλλον
ϲεῦ ἀπαλεξήϲαιμι· φίλῳ δέ ϲε πατρὶ ἐίϲκω.
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμοϲ θεοειδήϲ·
οὕτω πῃ τάδε γ' ἐϲτὶ φίλον τέκοϲ, ὡϲ ἀγορεύειϲ.
ἀλλ' ἔτι τιϲ καὶ ἐμεῖο θεῶν ὑπερέϲχεθε χεῖρα,
ὅϲ μοι τοιόνδ' ἧκεν ὁδοιπόρον ἀντιβολῆϲαι,
αἴϲιον, οἷοϲ δὴ ϲὺ δέμαϲ καὶ εἶδοϲ ἀγητόϲ,
πέπνυϲαί τε νόῳ, μακάρων δ' ἐξ ἐϲϲι τοκήων.
τὸν δ' αὖτε προϲέειπε διάκτοροϲ ἀργεϊφόντηϲ·
ναὶ δὴ ταῦτά γε πάντα γέρον κατὰ μοῖραν ἔειπεϲ.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέωϲ κατάλεξον,
ἠέ πῃ ἐκπέμπειϲ κειμήλια πολλὰ καὶ ἐϲθλὰ
ἄνδραϲ ἐϲ ἀλλοδαπούϲ, ἵνα περ τάδε τοι ϲόα μίμνῃ,

V. ι. 367 τόϲϲαδε ἢ τοϲϲάδ' E. ἔχοντα Vrat. d. Eust. 1403, 9. ἄγοντα ἢ ἔχοντα E 1354, 49. ЄΙΗΙ Syr. — 368 γέρων δὴ τοιοῦτοϲ H. τοιοῦτοϲ Vrat. d. — 369 ἐπαμύναϲθαι L Pap. 2. man. Harl. Cant. Lips. ἐπαμύναϲθαι A. ἐπαμύνεϲθαι S Vrat. d. A. ἀπαμύνεϲθαι Mosc. 2. Cicero ad Attic. II, 9, 3. conf. π 72. φ 133. ὅτέ τϊϲ C. ὅτε τι H. χαλεπήνῃ GL. ΧΑΛЄΠΑΙΝΗ Pap. 1. man. χαλεπαίνῃ H. — 370 οὐδ' ἄν ϲε C Vrat. A. κακὸν CDEHLS Pap. 2. man. Lips. Vrat. d. A. Mosc. 2. Flor. Rom. Apoll. de Pron. 63 C. Apoll. Soph. 94, 18. γρ. κακον A. ἠδέ κεν H Mor. Barocc. ΙΔЄΚЄΝ Syr. ἠδὲ ἢ καὶ δέ E 1354, 53. γρ. εἰδέ κεν A. κακὸν ἀλλὰ καὶ ἄλλον Eust. 1354, 65. κακά AG Pap. 1. man. — 373 ΟΎΤΩΔΗ Syr. οὕτω δή πῃ L Lips. πη AG. vulgo πῃ. — 374 ἀλλ' εἴ τιϲ ACL Lips. Vrat. A. Mosc. 2. γρ. ἀλλ' ἔτι τιϲ A. ἐμοῖο G. χεῖραϲ D. — 375 τοῖονδ' G. — 376 ΑΪϹΙΟϹ Pap. οἷον δὴ Vrat. d. ΜЄ́ΓΑϹ pro δέμαϲ Pap. δέμαϲ καὶ ἀτειρέα φωνήν CL Lips. — 377 πέπνυϲαι δὲ Pseudoplut. 140, 15. ἐξ ἐϲϲι E: ἔξεϲϲι ACDGHLS Syr. Flor. — 379 κατα D. ἔειπαϲ CG Pap. Flor. ἔειπεϲ ADHL S Syr. Cant. Townl. Lips. Mosc. 2. Vrat. d. Rom. — 381 ἢ ἔπηι A. ἠέ πῃ ceteri. καλὰ καὶ C. — 382 ἵνα τοι τάδε περ S Syr. Barocc. Cant. Mor. conf. ν 364. τάδέ τοι G. τάδε ϲῶα L Lips. Vrat. A. μίμνει H.

A. c. 367 ἄγοντα Aristarchus. — 370 ἡ διπλῆ ὅτι τὸ δεν παρέλκεται Aristonicus, unde patet Aristarchum οὐδέν pro οὐ accepisse sicut Α 244. 412. Π 274, et legisse κακά. librarii, qui non animadverterunt οὐδέν pro οὐ positum esse, loco adiectivi acceperunt et antiquam scripturam κακά in κακόν mutaverunt. quos erroris coarguit καὶ δέ κεν, quod omnes fere libri exhibent. κακὰ ῥέζειν legitur Γ 354. Δ 31. β 72. υ 314. κακόν ϲ 157. — 373 οὕτω διὰ τοῦ π οὕτω πηι, ἐν δέ τιϲι διὰ τοῦ δ οὕτω δὴ Didymus.

ἢ ἤδη πάντες καταλείπετε Ἴλιον ἱρὴν
δειδιότες· τοῖος γὰρ ἀνὴρ ὤριςτος ὄλωλε,
ϲὸς παῖς· οὐ μὲν γάρ τι μάχης ἐπεδεύετ' Ἀχαιῶν.
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
τίς δὲ σύ ἐςςι φέριςτε, τέων δ' ἔξ ἐςςι τοκήων;
ὥς μοι καλὰ τὸν οἶτον ἀπότμου παιδὸς ἔνιςπες.
τὸν δ' αὖτε προσέειπε διάκτορος ἀργεϊφόντης·
πειρᾷ ἐμεῖο γεραιέ, καὶ εἴρεαι Ἕκτορα δῖον.
τὸν μὲν ἐγὼ μάλα πολλὰ μάχῃ ἔνι κυδιανείρῃ
ὀφθαλμοῖςιν ὄπωπα, καὶ εὖτ' ἐπὶ νηυςὶν ἐλάςςας
Ἀργείους κτείνεςκε, δαΐζων ὀξέι χαλκῷ.
ἡμεῖς δ' ἑςταότες θαυμάζομεν· οὐ γὰρ Ἀχιλλεὺς
εἴα μάρναςθαι κεχολωμένος Ἀτρεΐωνι.
τοῦ γὰρ ἐγὼ θεράπων, μία δ' ἤγαγε νηῦς εὐεργής·
Μυρμιδόνων δ' ἔξειμι, πατὴρ δέ μοί ἐςτι Πολύκτωρ.
ἀφνειὸς μὲν ὅ γ' ἐςτί, γέρων δὲ δὴ ὡς σύ περ ὧδε,
ἓξ δέ οἱ υἷες ἔαςιν, ἐγὼ δέ οἱ ἕβδομός εἰμι·
τῶν μέτα παλλόμενος κλήρῳ λάχον ἐνθάδ' ἕπεςθαι.
νῦν δ' ἦλθον πεδίον δ' ἀπὸ νηῶν· ἠῶθεν γὰρ
θήςονται περὶ ἄςτυ μάχην ἑλίκωπες Ἀχαιοί.

V. l. 383 καταλείπετε [ψ] A. κατελείπετε C. καταλείπεται D. — 384 ΓΑΡ' ΑΝΗΡ' Syr. 'ὤριςτος A. ὥριςτος Mosc. 2. ὄλωλε ACEH. ΟΛΩΛΕΝ Pap. Syr. ὄλωλέν DGL. — 385 παῖς ACE. πάϊς CDHL Syr. Lips. γάρ πω D. ἐπεδεύετ' AEGS Syr. ἐπιδεύετ' CDHL Barocc. Vrat. d. Ven. B. — 387 ΤΙΔῈ Syr. ϲὺ ἐςςὶ HL. τίνων S. ἔξ ἐςςι E: ἔξεςςι ACDGHLS Syr. ἔξ εἰςι Cram. Ep. 148, 10. ἔξ ἐςςι Schol. Nicand. Alex. 2. — 388 ὥς μοι ACDEG Syr. 2. man. Townl. Vrat. A. Ven. B. Rom. Cram. Ep. 246, 5. 448, 31 (diserte). An. Ox. II, 472, 19. Et. Gud. 581, 46. ὅς μοι HLS Syr. 1. man. Lips. Flor. ΕΝΊϹΠΕϹ Syr. ἔνιςπε H. ἐνίςποις Cram. Ep. 448, 31. Et. Gud. 581, 47. — 390 ΠΕΙΡΕ Pap. 1. man. ΠΕΙΡΑΙ 2. man. ἤρεο ἕκτορα C. — 391 μάλα πολλὰ omitt. L. ΠΑΓΧΥ pro πολλὰ Pap. ἐνι AD. ἐνὶ CEGHL. — 392 omitt. L Lips. ΟΠΩΠΩ Pap. 1. man. ΝΗΥϹΙ ΠΕΛΑϹϹΑϹ Pap. — 393 δαΐξων Rom. — 394 ΓΑΡ' Syr. ἀχϊλεὺς C. — 396 ΤΟΥ͂ΜῈΝ Pap. ἐγὼν G. ΝΗ͂Υ͂Ϲ Syr. νηὺς D. — 397 ἔξειμι ACDGHLS Syr. ἔξ εἰμι E Cram. Ep. 148, 8. Schol. ν 130. δέ μοι ἐςτὶ CEGHL. — 398 ὅδ' [γ] A. ὅδ' DGS Syr. ὅγ' CEHL Harl. Townl. Mosc. 2. γέρων δέ μοι G. — 399 γρ. ἓξ δὲ τῶι A. ἔαςςιν G Flor. ἐγὼ δέ τοι DE Flor. δέ τι G Rom. ἕβδομος εἰμὶ HL. — 400 τῶν μέτα AC Townl. μεταπαλλόμενος DEGHLS. μετὰ Vrat. A. κλήρας [ουϲ] H. ΑΠΕϹΘΑΙ Pap. ἱκέςθαι L Lips. — 401 ΓΑΡ' Syr. — 402 περι A. ΜΑΧΗ Pap. 1. man.

A. c. 400 οὕτως τῶν μέτα Schol. A. ἀναςτρέφουςι τὴν πρόθεςιν ἐςτὶ γὰρ μετὰ τῶν Herodianus.

ἀςχαλόωςι γὰρ οἵδε καθήμενοι, οὐδὲ δύνανται
ἴςχειν ἐςςυμένους πολέμου βαςιλῆες Ἀχαιῶν.
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
εἰ μὲν δὴ θεράπων Πηληιάδεω Ἀχιλῆος
εἴς, ἄγε δή μοι πᾶςαν ἀληθείην κατάλεξον,
ἢ ἔτι πὰρ νήεςςιν ἐμὸς πάις, ἦέ μιν ἤδη
ἧςι κυςὶν μελεϊςτὶ ταμὼν προὔθηκεν Ἀχιλλεύς.
τὸν δ' αὖτε προσέειπε διάκτορος ἀργεϊφόντης·
ὦ γέρον, οὔ πω τόν γε κύνες φάγον οὐδ' οἰωνοί,
ἀλλ' ἔτι κεῖνος κεῖται Ἀχιλλῆος παρὰ νηὶ
αὔτως ἐν κλιςίηςι· δυωδεκάτη δέ οἱ ἠὼς
κειμένῳ, οὐδέ τί οἱ χρὼς ςήπεται, οὐδέ μιν εὐλαὶ
ἔςθους', αἵ ῥά τε φῶτας ἀρηιφάτους κατέδουςιν.
ἦ μέν μιν περὶ ςῆμα ἑοῦ ἑτάροιο φίλοιο
ἕλκει ἀκηδέςτως, ἠὼς ὅτε δῖα φανήῃ·
οὐδέ μιν αἰςχύνει. θηοῖό κεν αὐτὸς ἐπελθὼν,
οἷον ἐερςήεις κεῖται, περὶ δ' αἷμα νένιπται,
οὐδέ ποθι μιαρός· ϲὺν δ' ἕλκεα πάντα μέμυκεν,
ὅςς' ἐτύπη· πολέες γὰρ ἐν αὐτῷ χαλκὸν ἔλαςςαν.

V. l. 403 ἀςχαλώοςι G. οἶδε AD. οἵδε CHL Syr. Harl. Vrat. b. Mosc. 2. οἵγε EGS Pap. Ven. A in marg. supra οἶδε Flor. Rom. — 404 πολέμους H. βαςιλεῖς υἷας ἀχαιῶν L. βαςιλῆες υἷες ἀχαιῶν Lips. — 405 abhinc usque ad 504 cod. A manu recentiore est scriptus. — 406 ἀχιλλῆος [ή] G. — 407 εἶς C. εἴς H. ceteri εἶς. — 408 εἰ ἔτι A. εἰ ἔτι S. ἢ ἔτι C. παρὰ AH Lips. παρ D. πάϊς libri. — 409 κυςὶ DEH Syr. Lips. ἀχϊλεύς C. — 410 προσέειπεν D. — 411 οὔτοι τόνγε D. τόνδε G. τόνγε ACDEHLS Syr. Townl. Harl. Vrat. b. A. Mosc. 2. φάγον κύνες E Vrat. d. — 412 ἀχϊλῆος CD. — 413 αὔτως AGH. αὔτως CDL Townl. Vrat. b. οὕτως ἢ αὔτως E. οὕτως Vrat. d. ἐνι D. ΔΥΩΔΕΚΑΤΟΙ [Η] ΔΕΤΟΙ ΗΔΗ Pap. 1. man. δέ οἱ ἦδε D. ἠὼς ἢ ἤδε Eust. — 414 οὐδέ τι οἱ ADL. οἱ omitt. G. — 415 ἀριηφάτους H. ΚΑΤΗΔΟΥϹΙ Pap. — 416 ἦ μὲν D. ἢ δή μιν Vrat. A. — 417 ἠὼς D. φανήηι D Syr. ΦΑΝῊΗ Pap. φανήη [ει] Townl. Rom. φανῇ Schol. Ω 16. φανείη CEGHLS et olim vulgo. φανήη Vrat. d. τὸ δὲ φανείη ἐν πολλοῖς τῶν ἀντιγράφων διὰ τοῦ η̄ ςυνήθως ἔχει τὴν παραλήγουςαν μετὰ καὶ προςγραφῆς τοῦ ῑ (sc. φανήῃ) Eust. 1356, 44. — 418 αἰςχύνῃ H. θείοιό ACDH. θείοιο S Townl. θηοῖό EGL. Schol. Ω 20. ΑΠΕΛΘΩΝ Pap. 1. man. — 419 ἐρςήεις AHLS Vrat. A. ἑρςήεις E bis. ἑερςήεις C. ἐερςείης G. ἐερςήεις D Apoll. Soph. 63, 1. Schol. Ω 20. — 420 ςυνδ' D. μέμυκε D. — 421 πολλέες Cant. Harl. Lips. ἐν AGLS Harl. Vrat. b. A. Flor. ἐπ' CDEH Pap. Syr. Rom. ἐπ' αὐτὸν Vrat. d. ἔλαςαν E.

A. c. 419 ἑερςήεις Herodianus, vide H. T. 232.

ὥς τοι κήδονται μάκαρες θεοὶ υἷος ἑῆος,
καὶ νέκυός περ ἐόντος, ἐπεί σφι φίλος περὶ κῆρι.
ὣς φάτο, γήθησεν δ' ὁ γέρων, καὶ ἀμείβετο μύθῳ·
ὦ τέκος, ἦ ῥ' ἀγαθὸν καὶ ἐναίσιμα δῶρα διδοῦναι
ἀθανάτοις, ἐπεὶ οὔ ποτ' ἐμὸς πάις, εἴ ποτ' ἔην γε,
λήθετ' ἐνὶ μεγάροισι θεῶν, οἳ Ὄλυμπον ἔχουσι·
τῷ οἱ ἀπεμνήσαντο καὶ ἐν θανάτοιό περ αἴσῃ.
ἀλλ' ἄγε δὴ τόδε δέξαι ἐμεῦ πάρα καλὸν ἄλεισον,
αὐτόν τε ῥῦσαι, πέμψον δέ με σύν γε θεοῖσιν,
ὄφρά κεν ἐς κλισίην Πηληιάδεω ἀφίκωμαι.
τὸν δ' αὖτε προσέειπε διάκτορος ἀργεϊφόντης·
πειρᾷ ἐμεῖο γεραιὲ νεωτέρου, οὐδέ με πείσεις,
ὅς με κέλεαι σέο δῶρα παρὲξ Ἀχιλῆα δέχεσθαι.

V. l. 422 ἑῆος CGL. ἐῆος ADH. ЄΗΟϹ Pap. 1. man. Syr. ʽЄΟΙΟ Pap. in marg. 2. man. — 423 ἐπεισφιλος H. ἐπεί σφισι L. — 425 καὶ αἰνέσιμα A. κ' αἰνέσιμα L. διδόναι DE Vrat. A. Rom. δοῦναι Flor. τινὰ δὲ τῶν ἀντιγράφων ἐτόλμησαν γράψαι διδοῦναι Eust. 1357, 22. — 426 ἀθανάτοις γ' AS. πάϊς ACDEGHL. ΠΑΙϹ Syr. — 427 ЄΝΙΜΜЄΓΑΡΟΙϹΙ Pap. 2. man. ἐνὶμμεγάροισϊ C. ЄΝΜΜЄΓΑΡΟΙϹΙ Pap. 1. man. ἐνι D. ἔχουσι ACDGH Syr. — 428 τῶ οἱ DL. τῷ AEG. τῶν οἱ, CH Syr. Ven. B. ἀπεμνήσαντο CDE 1357, 26 HL Lips. alii. ΑΠΟΜΝΉϹΑΝΤΟ Pap. ἐπεμνήσαντο AE 1357, 14 GS Syr. Mosc. 2. Vrat. b. A. Flor. Rom. τὸ δὲ ἀπεμνήσαντο γράφεται καὶ ἐπεμνήσαντο. ἀκριβέστερον δὲ τὸ ἀπεμνήσαντο Eust. 1357, 26. ЄΝΘΑΔЄΤΟΙΟ Pap. 1. man. pro ἐν θανάτοιο. — 429 δὴ καὶ τόδε A. δέξο Lips. πάρα ACEH. παρὰ L. παρα D Syr. — 430 omitt. Townl. 1. man. ΑΥΤΟΝ ΔЄ Pap. 1. man. ΓЄΜЄϹΥΝΔЄ Pap. 1. man. δὴ με D. θεοῖσι DH. — 431 ὄφρά κεν CH. ἀφίκομαι L. — 433 ΠЄΙΡΑΙ Pap. 1. man. νεώτερον Vrat. d. — 434 κέλῃ AE GLS Syr. Eust. 1355, 48. κέλη DH. κέκλη C. σεῖο A. πάρεξ AL. παρεξ D. ΑΧΙΛΛΗΛ Pap. 1. man. ΑΧΙΛΛΗΙ 2. man. ἀχιλῆος AS Rom. ἀχιλλῆος ἔχεσθαι G. ἀχιλῆος ἔχεσθαι Flor. ἀχιλῆα δέχεσθαι CDHL Syr. Lips. Townl. Vrat. A. Ven. B. Eust. 1353, 62. idem legebat Eust. in codice suo, nam interpretatur 1357, 44 παρὲξ Ἀχιλλέα δέξασθαι.

A. c. 423 ἀθετεῖται ὡς περισσός Schol. V. — 425 διδοῦναι, quod Bothio insolenter dictum videtur pro διδόναι, confirmatur analogia formae τιθήμεναι Ψ 83. 247. et διδοῦν apud Theognidem 1329. alii διδῶναι teste Herodiano περὶ μον. λέξ. 25, 4. δυσχεραίνων δὲ ὁ Ἀριστοφάνης τὸ (τῷ?) διδώσομεν γράφει παρέξομεν. καὶ τὰ ἐν Ἰλιάδι διδοῦναι παρέκοπτε (libri διδόναι προέκοπτε) Schol. CHQ ad ν 328. quid Aristophanes pro διδοῦναι scripserit incertum est: alii alia coniecerunt. ceterum ō productum in διδόναι non magis vitiosum est quam in ὄφις Μ 208. βορέης Ι 5. τό ῥα Π 228. ὃς ἔτλης Χ 236. τό οἱ Χ 307; ᾱ in κατᾱνεύων ι 490. ἀπονέεσθαι, ἀπονέοντο Β 113. 288. Γ 313. Ἀπόλλωνος Α 14. 21. 36: ε̄ in ἐπίτονος μ 423. ἐπεὶ ψ 2; ῑ in πιφαύσκω Κ 478. 502. Ϲ 500. ἐπιτέλλω ψ 361. ἐριδήσασθαι Ψ 792. — 428 τῶ οἱ: τινὲς τῶν οἱ γράφουσι, τουτέστι τῶν θυσιῶν αὐτοῦ ἐμνήσθησαν Schol. M. — 434 παρὲξ Ἀχιλῆα Schol. BM.

τὸν μὲν ἐγὼ δείδοικα καὶ αἰδέομαι περὶ κῆρι
συλεύειν, μή μοί τι κακὸν μετόπισθε γένηται.
σοὶ δ' ἂν ἐγὼ πομπὸς καί κε κλυτὸν Ἄργος ἱκοίμην,
ἐνδυκέως ἐν νηὶ θοῇ ἢ πεζὸς ὁμαρτέων·
οὐκ ἄν τίς τοι πομπὸν ὀνοσσάμενος μαχέσαιτο.
ἦ, καὶ ἀναΐξας ἐριούνιος ἅρμα καὶ ἵππους
καρπαλίμως μάστιγα καὶ ἡνία λάζετο χερσίν,
ἐν δ' ἔπνευσ' ἵπποισι καὶ ἡμιόνοις μένος ἠύ.
ἀλλ' ὅτε δὴ πύργους τε νεῶν καὶ τάφρον ἵκοντο,
οἳ δὲ νέον περὶ δόρπα φυλακτῆρες πονέοντο,
τοῖσι δ' ἐφ' ὕπνον ἔχευε διάκτορος ἀργεϊφόντης
πᾶσιν, ἄφαρ δ' ὤιξε πύλας καὶ ἀπῶσεν ὀχῆας,
ἐς δ' ἄγαγε Πρίαμόν τε καὶ ἀγλαὰ δῶρ' ἐπ' ἀπήνης.
ἀλλ' ὅτε δὴ κλισίην Πηληιάδεω ἀφίκοντο
ὑψηλήν, τὴν Μυρμιδόνες ποίησαν ἄνακτι
δοῦρ' ἐλάτης κέρσαντες· ἀτὰρ καθύπερθεν ἔρεψαν
λαχνήεντ' ὄροφον λειμωνόθεν ἀμήσαντες·
ἀμφὶ δέ οἱ μεγάλην αὐλὴν ποίησαν ἄνακτι
σταυροῖσιν πυκινοῖσι· θύρην δ' ἔχε μοῦνος ἐπιβλὴς
εἰλάτινος, τὸν τρεῖς μὲν ἐπιῤῥήσσεσκον Ἀχαιοί,

V. l. 435 omitt. L Lips. πέρι A. περι H. ΠЄΡῚ Syr. cum ceteris. — 436 ΜΩΜЄΎЄΙΝ Pap. pro συλεύειν. μή μοι τι DH. μήτι μοι A. τι omitt. G. μετόπισθεν E Flor. γένοιτο DE Pap. — 438 ϹΟῚ ΜЀΝ Pap. ΚΑῚ ΚЄ Syr. κε omitt. L Lips. — 439 οὐκ ἄν τίς ACE. ἄν τις GH. οὔκουν τίς L. ΟΫ́ΚЄΝ Pap. 1. man. ΟΥΚЄ́Ν Syr. οὐ κέν τις D. ὀνησάμενος Lips. μαχέσσαιτο C. — 440 ἀναΐξας ACGHS Cant. Harl. Townl. Vrat. b. Mosc. 2. Ven. B. ἐπαΐξας DEL Syr. ЄΝΑΙΞΑϹ Syr. — 441 ΜΑϹΤЄΙΓΑ Pap. 1. man. ΜΑϹΤΙΓΓΑ 2. man. χειρί L. — 442 ἔπνευσ' H. ἵπποις τε καὶ D. ἡμιόνοισιν L. — 443 τὲ H. — 444 οἳ L. περι H. — 445 τοῖσιν δ' ὕπνον Vrat. A. ἔχευε: ὄρουσε A Cant. ὄρεσε S. — 446 ὀχῆα Townl. — 447 ἐς δ' ἄγε Lips Flor. δῶρ' ἐπήνησεν (pro ἐπένησεν) Vrat. A. — 448 κλισίῃ L. — 449 ὑψηλῇ L. — 450 ἔρρεψαν D. — 451 λειμωνόσε Schol. Ω 165. — 452 ἀμφι D. ποίησαν ἐρυμνην D. — 453 σταυροῖσι H Lips. εἶχε A. μοῦνος δ' ἔχε θύρας Apoll. Soph. 72, 17. — 454 ЄΠΙΡΡΗϹϹЄϹΚΟΝ Syr. ἐπιρρήσσεσκον D. ἐπιρρήσεσκον ACEGHS Vrat. A. Flor. Rom. et Heynii fere omnes. ἐπειρήσεσκον L. ἐπιρήσεσκον Vrat. d. ЄΠЄΡΗϹЄϹΚΟΝ Pap. 1. man. ЄΠЄΙΡΗϹЄϹΚΟΝ 2. man.

A. c. 440 ἀναΐξας Schol. BM. — 451 ὄροφον: τινὲς ὀξυτόνως Schol. V. — 453 τὸ ἐπιβλής ὡς τὸ προβλής ὀξύνεται Schol. BCM. τὸ ἐπιβλὴς βαρύνει Ἀρίσταρχος Eust. 1359, 8.

τρεῖc δ' ἀναοίγεcκον μεγάλην κληῖδα θυράων,
τῶν ἄλλων· Ἀχιλεὺc δ' ἄρ' ἐπιῤῥήccεcκε καὶ οἶοc·
δή ῥα τόθ' Ἑρμείαc ἐριούνιοc ᾦξε γέροντι,
ἐc δ' ἄγαγε κλυτὰ δῶρα ποδώκεϊ Πηλεΐωνι,
ἐξ ἵππων δ' ἀπέβαινεν ἐπὶ χθόνα φώνηcέν τε·
ὦ γέρον, ἦ τοι ἐγὼ θεὸc ἄμβροτοc εἰλήλουθα,
Ἑρμείαc· cοὶ γάρ με πατὴρ ἅμα πομπὸν ὄπαccεν.
ἀλλ' ἦ τοι μὲν ἐγὼ πάλιν εἴcομαι, οὐδ' Ἀχιλῆοc
ὀφθαλμοὺc εἴcειμι· νεμεccητὸν δέ κεν εἴη
ἀθάνατον θεὸν ὧδε βροτοὺc ἀγαπαζέμεν ἄντην·
τύνη δ' εἰcελθὼν λαβὲ γούνατα Πηλεΐωνοc,
καί μιν ὑπὲρ πατρὸc καὶ μητέροc ἠυκόμοιο
λίccεο καὶ τέκεοc, ἵνα οἱ cὺν θυμὸν ὀρίνηc.
ὣc ἄρα φωνήcαc ἀπέβη πρὸc μακρὸν Ὄλυμπον
Ἑρμείαc· Πρίαμοc δ' ἐξ ἵππων ἆλτο χαμᾶζε,
Ἰδαῖον δὲ κατ' αὖθι λίπεν· ὁ δὲ μίμνεν ἐρύκων
ἵππουc ἡμιόνουc τε· γέρων δ' ἰθὺc κίεν οἴκου,
τῇ ῥ' Ἀχιλεὺc ἵζεcκε διίφιλοc. ἐν δέ μιν αὐτὸν
εὗρ', ἕταροι δ' ἀπάνευθε καθείατο· τὼ δὲ δύ' οἴω,
ἥρωc Αὐτομέδων τε καὶ Ἄλκιμοc, ὄζοc Ἄρηοc,
ποίπνυον παρεόντε· νέον δ' ἀπέληγεν ἐδωδῆc,

V. L. 455 ΤΡΙC Pap. 2. man. ut 454. ΤΡΙC Syr. add. ε 2. man. κληΐδα G. κληῗδα A. — 456 ἀχιλλεὺc DG. ἄρ' omitt. A. ἂρ CDEHL. ἐπιρρήccεcκε D. ΕΠΙΡΡΗCCΕCΚΕ Syr. ΕΠΕΙΡΗCΕCΚΕ Pap. ἐπειρήcεcκε L. ἐπιρρήcεcκε CEGHS. — 457 ῥὰ D 2. man. L. ᾤιϊξε D. ᾤϊξε G Vrat. A. — 458 ποδώκει G. — 459 δ' omitt. Syr. 1. man. ἐπι D. χθονὶ editores fere omnes: χθόνα libri. — 460 ἄβροτοc Mor. — 461 ΠΑΤῊΡ' Syr. ΟΠΑCCΕ Pap. Syr. (cum acc.). — 462 ἀχιλλῆοc H. — 463 εἴcην H pro εἴcειμι. νεμεcητὸν E. ΕΙΗΙ Syr. conf. Ξ 336. Χ 20. 346. Ω 367. — 466 μητρὸc E. μητρόc τ' L. καί τε μητέροc Lips. — 467 ἵνά οἱ CL. cυν D. ΟΡΕΙ ΝΗC Pap. 1. man. — 469 ΕΞ Pap. 1. man. ΑΦ 2. man. ἆλτο C. ἄλτο A. χαμάζε ACHL. χαμᾶζε DG Apoll. Soph. 69, 31. ΧΑΜΑΖΕ Syr. — 470 καταῦθι ADS Syr. conf. Ρ 535. ὅδ' ἔμιμνεν CD (ὃ δ') L. ΟΔ' ΕΜΙΜΝΕΝ Syr. — 471 ἵππουc θ' C Syr. ΕΙΘΥC Pap. — 472 τῇ ῥ': ἔνθ' E. ἀχιλλεὺc EGH. διῒ φίλοc ACDEGHL. ΔΙΙΦΙΛΟC Syr. ἐν: ΑΝ Pap. — 473 ἕτεροι δὲ Vrat. d. ἀπάνευθεν AD. καθήατο CE. τὼ ACDHS Vrat. A. Flor. ΤΩ Syr. τῷ GL Harl. Vrat. d. Lips. Mosc. 2. Rom. δύω τε L, omisso οἴω. οἴῳ CG. — 474 τε omitt. L. ΥΙΌC Pap. 1. man. pro ὄζοc. — 475 παρεόντεc L. ΑΠΗΛΗΓΕΝ Pap. 1. man.

A. c. 469 ἆλτο: ἄμεινον βαῖνε γράφειν ἐπὶ τοῦ γέροντοc Schol. V.

ἔcθων καὶ πίνων· ἔτι καὶ παρέκειτο τράπεζα.
τοὺc δ' ἔλαθ' εἰcελθὼν Πρίαμοc μέγαc, ἄγχι δ' ἄρα cτὰc
χερcὶν Ἀχιλλῆοc λάβε γούνατα καὶ κύcε χεῖραc
δεινὰc ἀνδροφόνουc, αἵ οἱ πολέαc κτάνον υἷαc.
ὡc δ' ὅτ' ἂν ἄνδρ' ἄτη πυκινὴ λάβῃ, ὅc τ' ἐνὶ πάτρῃ
φῶτα κατακτείναc ἄλλων ἐξίκετο δῆμον,
ἀνδρὸc ἐc ἀφνειοῦ, θάμβοc δ' ἔχει εἰcορόωνταc,
ὣc Ἀχιλεὺc θάμβηcεν ἰδὼν Πρίαμον θεοειδέα·
θάμβηcαν δὲ καὶ ἄλλοι, ἐc ἀλλήλουc δὲ ἴδοντο.
τὸν καὶ λιccόμενοc Πρίαμοc πρὸc μῦθον ἔειπε·
μνῆcαι πατρὸc cοῖο θεοῖc ἐπιείκελ' Ἀχιλλεῦ,
τηλίκου, ὥc περ ἐγών, ὀλοῷ ἐπὶ γήραοc οὐδῷ.
καὶ μέν που κεῖνον περιναιέται ἀμφὶc ἐόντεc
τείρουc', οὐδέ τιc ἔcτιν ἀρὴν καὶ λοιγὸν ἀμῦναι.
ἀλλ' ἦ τοι κεῖνόc γε cέθεν ζώοντοc ἀκούων
χαίρει τ' ἐν θυμῷ, ἐπί τ' ἔλπεται ἤματα πάντα
ὄψεcθαι φίλον υἱὸν ἀπὸ Τροίηθεν ἰόντα·
αὐτὰρ ἐγὼ πανάποτμοc, ἐπεὶ τέκον υἷαc ἀρίcτουc
Τροίῃ ἐν εὐρείῃ, τῶν δ' οὔ τινά φημι λελεῖφθαι.
πεντήκοντά μοι ἦcαν, ὅτ' ἤλυθον υἷεc Ἀχαιῶν·

V. L. 476 ἔτι γὰρ Mor. — 477 ἄγχι παραcτὰc Vrat. A. — 478 ἀχϊλῆοc CD. κῦcε DH. — 479 ΠΑΙΔΟΦΌΝΟΥC Pap. πολῖαc H. — 480 ὅταν CEGHL. ΟΤΑΝ Syr. ὅτ' A. ὅτ' Vrat. A. ἐπιπάτρηι D. — 481 ἄλλων ACDHS Syr. Cant. Mor. Barocc. Townl. Vrat. d. A. ἄλλον EGL Lips. edd. vett. conf. ο 228. 238. π 382. υ 219. ΕΞ' ΪΚΕΤΟ Syr. ΕΞΕΙΚΕΤΟ Pap. 1. man. — 482 ἜΧΕΝ Pap. ΕΧΕΝΕΙCΟΡΟΌΩΝΤΑ Syr. δέχ' εἰcορόωνταc D. ἔχεν Flor. Rom. — 483 ἀχιλλεὺc E. θεοειδῆ C Vrat. d. — 484 ἐcαλλήλουc D. ἐπ' ἀλλήλουc L. — 485 ἔειπε AC. ΕΕΙΠΕΝ Pap. cum ceteris. — 486 μνήcαιο Apoll. Soph. 140, 34. cοῖο ADH. Apoll. Soph. 143, 30. Ammon. de Diff. s. ἐμεῖο et cοῖο. cεῖο CEGLS Hesych. IV, 16. Apollon. de Pron. 137 C. de Synt. 164, 6. Rhet. Gr. I, 399, 3. Schol. Ω 371. α 413. Polybius περὶ cολοικιcμοῦ in Boissonadii Anecd. III, 233. ἀχϊλεῦ CD. — 487 cτηλίκου G. οἷοc ἐγὼν Heracl. Alleg. c. 59. ἐγὼ L. ἐπι D. — 488 που: περ Vrat. A. περιναέται L Lips. — 489 οὐδέ τιc ἐcτὶν ACD (ἔcτιν) EGHL. ἀνὴρ pro ἀρὴν H. — 491 τ' ἐνὶ C. ΕΠΕΙ Pap. ἔλπει Vrat. A. ἤματα D. — 492 ἀπο AD. τροίηθεν ἰόντα CDE bis GHL. τροίηθεν μολόντα A. τροίηθεν μολοῦντα S. τροίηθε (?) μολόντα Barocc. Cant. Mor. conf. H. U. 44. — 494 οὔτινα φημὶ ADEGHL.

A. c. 476 ἀθετεῖται Schol. V. — 486 cοῖο: Ζηνόδοτοc cεῖο κακῶc Schol. V. conf. Ariston. ad α 413. Apollon. de Pron. 137 C. — 488 ἐόντεc: τινὲc ἐόντοc Schol. B.

ἐννεακαίδεκα μέν μοι ἰῆς ἐκ νηδύος ἦcαν,
τοὺc δ' ἄλλους μοι ἔτικτον ἐνὶ μεγάροιcι γυναῖκες.
τῶν μὲν πολλῶν θοῦρος Ἄρης ὑπὸ γούνατ' ἔλυcεν·
ὃc δέ μοι οἶος ἔην, εἴρυτο δὲ ἄcτυ καὶ αὐτούc,
τὸν cὺ πρῴην κτεῖνας ἀμυνόμενον περὶ πάτρης,
Ἕκτορα· τοῦ νῦν εἵνεχ' ἱκάνω νῆας Ἀχαιῶν
λυcόμενος παρὰ cεῖο, φέρω δ' ἀπερείcι' ἄποινα.
ἀλλ' αἰδεῖο θεοὺc Ἀχιλεῦ, αὐτόν τ' ἐλέηcον,
μνηcάμενος cοῦ πατρόc· ἐγὼ δ' ἐλεεινότερόc περ,
ἔτλην δ' οἷ' οὔ πώ τιc ἐπιχθόνιοc βροτὸc ἄλλοc,
ἀνδρὸc παιδοφόνοιο ποτὶ cτόμα χεῖρ' ὀρέγεcθαι.
ὣc φάτο, τῷ δ' ἄρα πατρὸc ὑφ' ἵμερον ὦρcε γόοιο·
ἁψάμενοc δ' ἄρα χειρὸc ἀπώcατο ἦκα γέροντα.
τὼ δὲ μνηcαμένω, ὃ μὲν Ἕκτοροc ἀνδροφόνοιο
κλαῖ' ἁδινά, προπάροιθε ποδῶν Ἀχιλῆοc ἐλυcθείc,
αὐτὰρ Ἀχιλλεὺc κλαῖεν ἑὸν πατέρ', ἄλλοτε δ' αὖτε
Πάτροκλον· τῶν δὲ cτοναχὴ κατὰ δώματ' ὀρώρει.
αὐτὰρ ἐπεί ῥα γόοιο τετάρπετο δῖοc Ἀχιλλεύc,
καί οἱ ἀπὸ πραπίδων ἦλθ' ἵμεροc ἠδ' ἀπὸ γυίων,
αὐτίκ' ἀπὸ θρόνου ὦρτο, γέροντα δὲ χειρὸc ἀνίcτη,
οἰκτείρων πολιόν τε κάρη πολιόν τε γένειον,
καί μιν φωνήcαc ἔπεα πτερόεντα προcηύδα·
ἆ δείλ', ἦ δὴ πολλὰ κάκ' ἄνcχεο cὸν κατὰ θυμόν.

V. l. 496 ἐννεακαίδεκα CL. ἐννέα καίδεκα G. ἐννέα καὶ δέκα H. μοι omitt. C. — 497 ἐνὶμμεγάροιcϊ C. ἐνιμεγάροιcιν D. — 498 ἐπῑγουνατ' C. ἀπόγούνατ' ἔλεccεν H. — 499 ὃc δέ μοc G. ὃc δὲ μὲν Vrat. d. δὲ καὶ ἄcτυ S. αὐτούc: αὐτόc L Lips. — 500 πρῴην E: ceteri πρώην conf. ad Ε 832. κτείναc D. ΚΤΕΙΝΕϹ Pap. — 501 εἵνεκ' D. — 502 cοῖο H. φέρων τ' D. — 503 αἰδοῖο H. αἴδοιο Vrat. A. αἰδεῖο φέριcτε θεοὺc Barocc. (omisso ἀχιλεῦ) ex ι 269. ἀχιλλεῦ EH. ἀχιλλεὺ G. — 504 ἐλεεινόc L. — 505 τῖc L. ΓΕΝΕΤΑΛΛΟϹ Pap. 1. man. — 506 ποτι D. ποτὶ cτόμα omitt. L Lips. χεῖραc ὀρέξαι ἢ χεῖρ' ὀρέγεcθαι E. — 507 ὡc A. ὑφίμερον D. ΕΙΜΕΡΟΝ Pap. 1. man. — 509 ὃ μὲν C. — 510 ἀδινὰ libri. ἐλυcθείc omitt. Pap. ἑλυcθείc C. λιαcθείc L. ἑλκυcθείc Lips. — 511 ἀχϊλεὺc C. κλαῖεν αἰὲν πατέρ' L. — 512 κατα AD — 513 ἐπεὶ ῥὰ L. ἀχϊλεὺc C. — 514 ἀπο bis A. γύων E bis. — 515 ἀνέcτη H. ΑΝΕϹΤΗ Pap. ἀνιcτᾷ Vrat. d. — 518 ὦ δεῖλ' CL Lips. ἆ δεῖλ' D. ἤδη D. ἦ μάλα πολλὰ H. ἀνέχεο Lips. ἀνάcχεο C Vrat. A. cὸν omitt. L Lips.

A. c. 496 ἐννεακαίδεκα Herodianus: ἐννέα καὶ δέκα Pamphilus. — 512 cτοναχή: cτεναχὴ Zenodotus. — 514 ἀθετεῖται Aristonicus. ἀθετεῖ ὁ Θρᾷξ Schol. V. — 518 οὕτωc ἀρίcταρχοc κάκ' ἄνcχεο Didymus.

πῶc ἔτληc ἐπὶ νῆαc Ἀχαιῶν ἐλθέμεν οἶοc,
ἀνδρὸc ἐc ὀφθαλμούc, ὅc τοι πολέαc τε καὶ ἐcθλοὺc
υἱέαc ἐξενάριξα; cιδήρειόν νύ τοι ἦτορ.
ἀλλ' ἄγε δὴ κατ' ἄρ' ἕζευ ἐπὶ θρόνου, ἄλγεα δ' ἔμπηc
ἐν θυμῷ κατακεῖcθαι ἐάcομεν ἀχνύμενοί περ.
οὐ γάρ τιc πρῆξιc πέλεται κρυεροῖο γόοιο.
ὣc γὰρ ἐπεκλώcαντο θεοὶ δειλοῖcι βροτοῖcι,
ζώειν ἀχνυμένοιc· αὐτοὶ δέ τ' ἀκηδέεc εἰcί.
δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸc οὔδει
δώρων οἷα δίδωcι, κακῶν, ἕτεροc δὲ ἑάων.
ᾧ μέν κ' ἀμμίξαc δώῃ Ζεὺc τερπικέραυνοc,
ἄλλοτε μέν τε κακῷ ὅ γε κύρεται, ἄλλοτε δ' ἐcθλῷ·
ᾧ δέ κε τῶν λυγρῶν δώῃ, λωβητὸν ἔθηκε·
καί ἑ κακὴ βούβρωcτιc ἐπὶ χθόνα δῖαν ἐλαύνει,
φοιτᾷ δ' οὔτε θεοῖcι τετιμένοc οὔτε βροτοῖcιν.
ὣc μὲν καὶ Πηλῆι θεοὶ δόcαν ἀγλαὰ δῶρα
ἐκ γενετῆc· πάνταc γὰρ ἐπ' ἀνθρώπουc ἐκέκαcτο
ὄλβῳ τε πλούτῳ τε, ἄναccε δὲ Μυρμιδόνεccι,

V. l. 521 υἷαc Vrat. A. υἱοὺc E. ἐξενάριξε LS Cant. Pap. 1. man. cιδήρειον δέ οἱ D. — 522 κατὰρ AC. κατά ῥ' E. κατ' ἂρ GH. καταρέζευ D. καταῤάζει L. ΑΛΛΑΓΕ pro ἄλγεα Pap. 1. man. δ' omitt. H. — 523 θυμοῦ L. — 524 οὐ γάρ τίc τ' ἄνυcιc ἐν ἄλλῳ A. — 525 ὡc AD 1. man. βροτοῖcι ACDEGHL Et. Mg. 198, 3. Plutarchus Consol. ad Apoll. 6. Stobaeus Flor. LXLVIII, 50 et 75. CXXIV, 14. βροτοῖcιν Plato Axioch. 367 D. — 526 ἀχνυμένοιc ACDGHL Townl. Lips. Plato Axioch. 367 D. Plutarchus Consol. ad Apoll. 6. Stobaeus Flor. LXLVIII 50 et 75: ἀχνυμένουc ES edd. vett. Et. Mg. 198, 3. Stob. Floril. CXXIV, 14. εἰcὶ ADGHL. — 527 ΚΑΤΑΚΕΙΑΘΕ Pap. — 528 δὲ: δ' L. ἑάων CDEGHL Schol. Γ 65. εάων A. ἐάων Plutarchus Cons. ad Apoll. 6. Schol. Pind. Pyth. III, 141. κηρῶν ἔμπλειοι, ὁ μὲν ἐcθλῶν, αὐτὰρ ὁ δειλῶν Plato Rep. II, 379 D. Eusebius Praep. Evang. XIII, 3, 12. totus versus aberat a Townl. — 529 κ' ἀμμίξαc AG. alludit Plato l. l. ᾧ μὲν ἂν μίξαc ὁ Ζεὺc δῷ. κ' ἀμύξαc L. ΑΜΜΕΙΞΑϹ Pap. καμμίξαc CDEHS Plutarchus l. l. Schol. Pind. Pyth. III, 141. ita editores usque ad Wolfium, qui κ' ἀμμίξαc restituit. δώηι AD. δώῃ Schol. Pind. Pyth. III, 141. δώη CGHL. δῴη E Plutarchus Cons. ad Apoll. 6. δῴη editum erat: δοίη Wolfius ex coni. scripsit, eumque secuti sunt Bekk. 1. Bothe. Spitzner. Crusius. Dindorf. conf. 581. — 530 κακῷ ἐπιμίcγεται Schol. Pind. Pyth. III, 141. — 531 δώηι A. δώη CHL. δῴη EG Plutarchus. δοίη D. ἔθηκε ACEGH. — 532 τὸν δὲ κακὴ Plato Rep. II, 379 D. βούβρωcιc G Flor. ἐπι AD. — 533 ΤΕΤΕΙΜΕΝΟϹ Pap. βροτοῖcι D. — 534 ὡc ACD 1. man. — 535 ΕΠ Pap. 2. man. ΕϹ 1. man. — 536 μυρμιδόνεccι ACDEGHL.

A. c. 522 κατ' ἄρ' ἕζευ, non ἵζευ, Aristarchus.

καί οἱ θνητῷ ἐόντι θεὰν ποίηcαν ἄκοιτιν.
ἀλλ᾽ ἐπὶ καὶ τῷ θῆκε θεὸc κακόν, ὅττί οἱ οὔ τι
παίδων ἐν μεγάροιcι γονὴ γένετο κρειόντων,
ἀλλ᾽ ἕνα παῖδα τέκεν παναώριον· οὐδέ νυ τόν γε
γηράcκοντα κομίζω, ἐπεὶ μάλα τηλόθι πάτρηc
ἧμαι ἐνὶ Τροίῃ cέ τε κήδων ἠδὲ cὰ τέκνα.
καὶ cὲ γέρον τὸ πρὶν μὲν ἀκούομεν ὄλβιον εἶναι·
ὅccον Λέcβοc ἄνω, Μάκαροc ἕδοc, ἐντὸc ἐέργει
καὶ Φρυγίη καθύπερθε καὶ Ἑλλήcποντοc ἀπείρων,
τῶν cε γέρον πλούτῳ τε καὶ υἱάcι φαcὶ κεκάcθαι.
αὐτὰρ ἐπεί τοι πῆμα τόδ᾽ ἤγαγον Οὐρανίωνεc,
αἰεί τοι περὶ ἄcτυ μάχαι τ᾽ ἀνδροκταcίαι τε.
ἄνcχεο, μὴ δ᾽ ἀλίαcτον ὀδύρεο cὸν κατὰ θυμόν·
οὐ γάρ τι πρήξειc ἀκαχήμενοc υἷοc ἑῆοc,
οὐδέ μιν ἀνcτήcειc, πρὶν καὶ κακὸν ἄλλο πάθηcθα.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα γέρων Πρίαμοc θεοειδήc·
μή πώ μ᾽ ἐc θρόνον ἵζε διοτρεφέc, ὄφρά κεν Ἕκτωρ
κῆται ἐνὶ κλιcίῃcιν ἀκηδήc, ἀλλὰ τάχιcτα
λῦcον, ἵν᾽ ὀφθαλμοῖcιν ἴδω· cὺ δὲ δέξαι ἄποινα

V. l. 538 ἔπι A. ἐπι D. ὅττί οἱ A. ὅτι οἱ E. οὗτοι Vrat. d. — 540 παῖδ᾽ ἔτεκε Lips. παῖδ᾽ ἔτεκεν Apoll. Soph. 127, 13. τέκε C. πανᾰώριον A. τόνδε Lips. — 542 εἶμαι Schol. Ο 10. ἐνι AD. ЄΝЄΙ Pap. 1. man. ЄΝΙ 2. man. — 543 τοπρῒν C. — 544 ὅcoc S. λέcβου L. ἄνω omitt. L. μακάρων Lips. Suidas I, 1, 456, 12. Dio Chrysost. Or. XXIII. Plutarchus de Exilio 10. ΜΑΚΑΡΟC[ΩΝ] Pap. (ων 2. man.) μάκαροc πόλιc Strabo XIII, 586. — 545 φρυγίηc Vrat. A. ЄΛΛΗCΠΟΝΤΟΝ[C] Pap. C 2. man. add. ἑλλίcποντοc L. — 546 τῶ AD. ΤΩ Pap. τῷ Mor. Lips. Townl. Eust. 866, 70. τῶν ἢ τῷ E. τῶν γε γερόντων L. cὲ E. τὲ καὶ A. υἱᾶcι φαcὶ κεκᾶcθαι D. — 547 ἐπί τοι G. — 549 ἴcχεο Vrat. A. Stobaeus Floril. CXXIV, 1. μήδ᾽ CDEGH. κατα AD. — 550 γὰρ τοι H. γάρ τοι πρῆξιc L. τι add. Pap. 2. man. ΠΡΗ͂ΞЄΙC Pap. ἑῆοc CDEGH Schol. Ω 528. υἱέοc αἰνῶc Stobaeus l. l. — 551 ΑΝCΤΗ͂CЄΙC Pap. — 553 μή πω μ᾽ A. Schol. Υ 464. Cram. Epim. 308, 20: vulgo μή μέ πω. μή με πω DH Pap. μὴ δέ πω L. ἵζεο διοτροφὲc H. ἷζε E. ὄφρά κεν AC. ΌΦΡΆΚЄΝ Pap. — 554 κῆται A Pap. κεῖται CDEGHLS et Heynii libri. ἐνι A. ἐνι-κλιcίηc᾽ D. — 555 cὺ δὲ — φέρομεν (556) omitt. Lips.

A. c. 540 παναώριον ἐδαcύνετο παρά τιcι Eust. 1364, 26. οἳ μὲν ἐδάcυναν, οἳ δὲ ἐψίλωcαν Herodianus. — 546 ἀρίcταρχοc cὺν τῷ ν̄ τῶν cε Didymus. — 550 ἑῆοc: ὅτι Ζηνόδοτοc γράφει ἑοῖο Aristonicus, conf. Schol. Α 393. Ω 528. — 553 μή πω μ᾽ laudat Herodianus ad Υ 464 idque recepi ex optimo codice.

πολλά, τά τοι φέρομεν· cὺ δὲ τῶνδ᾽ ἀπόναιο, καὶ ἔλθοιc
cὴν ἐc πατρίδα γαῖαν, ἐπεί με πρῶτον ἔαcαc
[αὐτόν τε ζώειν καὶ ὁρᾶν φάοc ἠελίοιο].
τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προcέφη πόδαc ὠκὺc Ἀχιλλεύc·
μηκέτι νῦν μ᾽ ἐρέθιζε γέρον· νοέω δὲ καὶ αὐτὸc
Ἕκτορά τοι λῦcαι· Διόθεν δέ μοι ἄγγελοc ἦλθε
μήτηρ, ἥ μ᾽ ἔτεκεν, θυγάτηρ ἁλίοιο γέροντοc.
καὶ δέ cε γιγνώcκω Πρίαμε φρεcίν, οὐδέ με λήθειc,
ὅττι θεῶν τίc c᾽ ἦγε θοὰc ἐπὶ νῆαc Ἀχαιῶν.
οὐ γάρ κε τλαίη βροτὸc ἐλθέμεν, οὐδὲ μάλ᾽ ἡβῶν,
ἐc cτρατόν· οὐδὲ γὰρ ἂν φυλακοὺc λάθοι, οὐδέ κ᾽ ὀχῆα
ῥεῖα μετοχλίccειε θυράων ἡμετεράων.
τῶ νῦν μή μοι μᾶλλον ἐν ἄλγεcι θυμὸν ὀρίνῃc,

V. l. 556 φέρομαι ἢ φέρομεν Eust. 1364, 57. φέρομαι Mor. cὺ δ᾽ ἀπόναιο L. ἔλθῃc Townl. Vrat. A. — 557 πρῶτοc Eust. 1365, 53. Mor. πρῶτοc ἢ πρῶτον E 1364, 58. ἔαcαc A, addito altero spiritu. ἕαcαc Et. Mg. 307, 6. 398, 6. ἤcαc Et. Gud. 188, 5. apud Zonar. 593 et 904 editum est ἔαcαc sed legendum ἕαcαc. — 558 omitt. DE Pap. 1. man. Townl. Lips. Vrat. d. in margine Pap. scriptum est κατω et in ima columna ΑΥΤΟΝΤЄΖΩЄΙΝ ΚΑΙ ΟΡΑ͂ΙΝ ΦΑΟC ΗЄΛΊΟΙΟ. in A versui signum est adpictum, quo insiticius esse declaratur, conf. Ρ 219. adscripsit librarius οὗτοc ὁ cτίχοc οὐχ εὑρέθη ἐν τῷ παλαιῷ (i. e. in archetypo). αὐτόν τε ζώειν omitt. Vrat. A. — 559 ἆρ CDEGH. δὰρ A. ἀχϊλεύc C. — 560 μὴ κέτι A. μηκέτι μή μ᾽ L. γέρων H. — 561 ἦλθε ACDEGH Plutarchus de Aud. poët. 11. — 562 ἔτεκε D. ἔτικτε C. — 563 δὲ cὲ A. γινώcκω ACDEGHL Vrat. A. ΓЄΙΝΩCΚΩ Pap. — 564 τῒc c᾽ C. θεῶν cε τιc L. θεόc cε τιc Cant. θεόc Vrat. A. c᾽ omitt. GS edd. vett. — 565 κε AH: κεν CDEGLS Pap. τλαίηι A. — 566 ἐcτρατὸν D. οὐδε γαρ A et in marg. ἐν ἄλλῳ οὔτε γὰρ ἂν. φυλακοὺc ADEGLS Pap. 2. man. Et. Mg. 802, 3. φύλακαc CH Pap. 1. man. λάθῃ Et. Mg. 802, 3 cum Vrat. A. οὐδέ τ᾽[κ] A. ὀχῆα A Townl. Vrat. b. d. ὀχεῖα L. ὀχῆαc CDEGHS conf. 466. — 567 μετ᾽ ὀχλίccειε A. μετοχλίcειε E bis G et plerique Heynii libri. μετοχλήcειε D. μετοχλίccει S. — 568 τῶ ACDHL. τῷ G. ἐν omitt. L. γρ. ἐνιφρεcὶ A. ΟΡЄΙΝΟΙC Pap. 1. man. ΝΗC in marg.

A. c. 556, 557 ἀθετοῦνται Aristonicus. — 557 ἔαcαc Trypho et Herodianus: ἕαcαc Didymus et Hermappias. πρῶτ᾽ ἐλέηcαc Dion. Sidonius. — 558 hunc veteribus grammaticis incognitum fuisse confirmant interpretationes verbi ἐάcαc. additus est ab interpolatore Herodiani aevo recentiore, cui sententia non satis perspicua videbatur, quod factum videmus etiam Β 206. Θ 183. Υ 312. conf. Θ 235. Κ 531. Ν 316. Ξ 269. Π 381. Ψ 565. Ω 693; et ab interpolatoribus veteris aevi Γ 352. Є 808. Θ 528. Ι 44. 416. Κ 497. Λ 705. Μ 450. Ξ 114. Ο 33. Π 261. Τ 77. 94. 327. — 565 ἔξω τοῦ ν̄ ὁ κε cύνδεcμοc Didymus. — 566 φυλακούc Aristarchus, conf. Schol. Aristonici, Herodiani. Eust. 1365, 44. Et. Mg. 802, 3. ὀχῆα, non ὀχῆαc, Aristarchus.

μή cε γέρον οὐδ' αὐτὸν ἐνὶ κλιcίῃcιν ἐάcω
καὶ ἱκέτην περ ἐόντα, Διὸc δ' ἀλίτωμαι ἐφετμάc.
ὣc ἔφατ', ἔδειcεν δ' ὁ γέρων καὶ ἐπείθετο μύθῳ.
Πηλείδηc δ' οἴκοιο λέων ὣc ἆλτο θύραζε,
οὐκ οἶοc, ἅμα τῷ γε δύω θεράποντεc ἕποντο,
ἥρωc Αὐτομέδων ἠδ' Ἄλκιμοc, οὕc ῥα μάλιcτα
τῖ' Ἀχιλεὺc ἑτάρων μετὰ Πάτροκλόν γε θανόντα,
οἳ τόθ' ὑπὸ ζυγόφιν λύον ἵππουc ἡμιόνουc τε,
ἐc δ' ἄγαγον κήρυκα καλήτορα τοῖο γέροντοc,
κὰδ δ' ἐπὶ δίφρου εἷcαν· ἐυccώτρου δ' ἀπ' ἀπήνηc
ἥρεον Ἑκτορέηc κεφαλῆc ἀπερείcι' ἄποινα.
κὰδ δ' ἔλιπον δύο φάρε' ἐυννητόν τε χιτῶνα,
ὄφρα νέκυν πυκάcαc δοίη οἶκον δὲ φέρεcθαι.
δμῳὰc δ' ἐκκαλέcαc λοῦcαι κέλετ' ἀμφί τ' ἀλεῖψαι,
νόcφιν ἀειράcαc, ὡc μὴ Πρίαμοc ἴδοι υἱόν,
μὴ ὃ μὲν ἀχνυμένῃ κραδίῃ χόλον οὐκ ἐρύcαιτο
παῖδα ἰδών, Ἀχιλῆι δ' ὀρινθείη φίλον ἦτορ,
καί ἑ κατακτείνειε, Διὸc δ' ἀλίτηται ἐφετμάc.

V. L. 569 γέρον libri: γέρων Plutarchus de Aud. poët. 11. ον in caesura semiternaria producitur Δ 27. Κ 7. Λ 474. Ν 558. C 238. 591. Χ 198. β 41. δ 531. ε 266. λ 602. ο 104. 123. ρ 35. υ 374. φ 224. χ 499. ἐνι [ην] AD. — 570 ἱκέτιc H. δ' omitt. AC. — 571 ὡc A. ἔδειcεν E. ἔδδειcε GL Flor. vulgo ἔδδειcεν. μαθεῖν H 1. man. pro μύθῳ. — 572 ὡc AD. ἆλτο C. χαμάζε L. — 573 θεράποντε S Cant. θεράποντεc δύ' ἕποντο D. — 574 αὐτομέδων τε καὶ L (om. καὶ) S et olim vulgo. αὐτομέδων ἠδ' ACDGH Barocc. Townl. Vrat. b. οὓc ῥὰ GL. τούc ῥα D. — 575 τί' ADG. μετα A. — 576 ὑπο A. ἀπὸ Vrat. A. λύων D 1. man. ἵππουc θ' Townl. — 578 καδδ' ACDL. ἐπι AD. ἐϋccώτρου D Pap. Townl. Vrat. b. ἐϋcώτρου Vrat. A. ἐcωτέρου Lips. εἶcαν δυcώτρου [c] δ' ἀπήνηc L. γρ. ἐϋccώτρου A. vulgo ἐϋξέcτου. ἀπ' omitt. GH. ЄΠ Pap. hunc et sequentem omitt. H 1. man. — 579 ἥρεον C. — 580 καδδ' ACDGHL. ἐϋνητόν EG. ἐΰνητον S Flor. Rom. εὔνητόν L. εὔνητον Lips. Vrat. A. ΓΙΤΩΝΑ Pap. 1. man. — 581 δώιη [οι] A. δοίη Pap. Vrat. d. δῴη DES. δώη CHL. οἶκον δὲ AG. οἴκον δὲ D. οἶκονδε CH. οἴκονδε L. — 582 δμωιὰc A. ceteri δμωὰc. δμῶαc S. ἀμφι D. — 583 ἴδη CL. ἴδῃ Lips. Cant. Barocc. Mor. Townl. — 584 ΑΧΝΥΜЄΝΟΙ Pap. 1. man. ἀχνυμένην δίηχόλον H. οὐ κατερύξῃ L. κατερύξει Lips. — 585 ἀχιλλῆϊ G.

A. c. 569 μή cε Herodianus, ἐγκλιτικῶc. — 579 ἥρεον Herodianus, δαcέωc. — 584 χόλον: Ἡρωδιανὸc γόον γράφει Schol. B. Ῥιανὸc χόλον (cod. κόλον). οἳ δὲ κότον (cod. κόπον)· ἄμεινον δὲ γόον Schol. V. ἔν τιcι κότον κατερύκοι· ἄμεινον δὲ χόλον Schol. A.

τὸν δ' ἐπεὶ οὖν δμῳαὶ λοῦcαν καὶ χρῖcαν ἐλαίῳ,
ἀμφὶ δέ μιν φᾶροc καλὸν βάλον ἠδὲ χιτῶνα,
αὐτὸc τόν γ' Ἀχιλεὺc λεχέων ἐπέθηκεν ἀείραc,
cὺν δ' ἕταροι ἤειραν ἐυξέcτην ἐπ' ἀπήνην.
ᾤμωξέν τ' ἄρ' ἔπειτα, φίλον δ' ὀνόμηνεν ἑταῖρον·
μή μοι Πάτροκλε cκυδμαινέμεν, αἴ κε πύθηαι
εἰν Ἄϊδόc περ ἐὼν ὅτι Ἕκτορα δῖον ἔλυcα
πατρὶ φίλῳ, ἐπεὶ οὔ μοι ἀεικέα δῶκεν ἄποινα.
cοὶ δ' αὖ ἐγὼ καὶ τῶνδ' ἀποδάccομαι, ὅcc' ἐπέοικεν.
ἦ ῥα, καὶ ἐc κλιcίην πάλιν ἤιε δῖοc Ἀχιλλεύc,
ἕζετο δ' ἐν κλιcμῷ πολυδαιδάλῳ, ἔνθεν ἀνέcτη,
τοίχου τοῦ ἑτέρου, ποτὶ δὲ Πρίαμον φάτο μῦθον·
υἱὸc μὲν δή τοι λέλυται γέρον, ὡc ἐκέλευεc,
κεῖται δ' ἐν λεχέεcc'· ἅμα δ' ἠοῖ φαινομένηφιν
ὄψεαι αὐτὸc ἄγων· νῦν δὲ μνηcώμεθα δόρπου.
καὶ γάρ τ' ἠύκομοc Νιόβη ἐμνήcατο cίτου,
τῇ περ δώδεκα παῖδεc ἐνὶ μεγάροιcιν ὄλοντο,
ἓξ μὲν θυγατέρεc, ἓξ δ' υἱέεc ἡβώοντεc.
τοὺc μὲν Ἀπόλλων πέφνεν ἀπ' ἀργυρέοιο βιοῖο
χωόμενοc Νιόβῃ, τὰc δ' Ἄρτεμιc ἰοχέαιρα,
οὕνεκ' ἄρα Λητοῖ ἰcάcκετο καλλιπαρῄῳ.
φῆ δοιὼ τεκέειν, ἣ δ' αὐτὴ γείνατο πολλούc·
τὼ δ' ἄρα καὶ δοιώ περ ἐόντ' ἀπὸ πάνταc ὄλεccαν.

V. L. 587 δμωιαὶ solus A. ΧΡЄΙCΑΝ Pap. 1. man. χρίcαν CEG. — 588 ἀμφι D. φάροc GH. — 589 ἀχιλλεὺc EG. ἀείραc ἐπέθηκεν D. — 590 cυν D. ἄειρον Vrat. A. ἐπ' [α] A. ἀπηνὴν [ι] A. — 591 ᾤμοξεν L. ἂρ CD EGL. ἂν H pro ἄρ'. φίλον τ' E Mor. — 595 coὶ δ' ἂν ἐγὼ S Cant. ἀποδάcομαι DG Vrat. A. edd. vett. ὅcc': ΩC Pap. 1. man. ἐπέοικε E. — 596 ῥά CGL. ἀχῖλεύc C. — 597 ἵζετο Lips. δ' ἑ H pro δ' ἐν. — 598 ποτι D. — 599 ὡc ἐκέλευεc AEGHS. ὡc cὺ κελεύειc CDL Lips. ὡc ἐκέλευcαc Townl. Barocc. γρ. ὡc ἐκέλευcαc A. — 600 λεχέεccιν ἠοῖ δ' ἅμα L. λεχέεccιν Lips. φαινομένηφι CDGHL Pap. φαινομένῃφι AE Vrat. A. — 602 CЄΙΤΟΥ Pap. 1. man. δόρπου C. — 603 τῇ καὶ Apoll. Soph. 152, 5. τῆc περ Vrat. d. ἐνι AD. ἐνὶμμεγάροιcϊν C. ЄΝΙΜΜЄΓΑΡΟΙCΙΝ Pap. μεγάροιcι H. μεγάροιcιν λίποντο Apoll. Soph. 152, 5. — 604 δ' omitt. D. ἡβώωντεc ES Stobaeus Floril. CXXIV, 4. — 605 ἀπαργυρέοιο D. ἐπ' L. — 607 οὕνεκά οἱ Tzetzes Alleg. 272. δή τοι pro λητοῖ D. ЄΪCΑCΚЄΤΟ Pap. εἰcάcκετο L. ἰcάcαιτο H. — 608 δ' οἴω D. ἣ δ' L. τέκετο πολλούc D. — 609 καὶ δῖω G. ἐόντε D. ἀπο AD. ὄλεcαν DE.

A. c. 594, 595 ἀθετοῦνται Aristonicus. — 604 υἱέεc: γράφεται καὶ υἱεῖc· διχῶc οὖν Didymus (?).

οἳ μὲν ἄρ' ἐννῆμαρ κέατ' ἐν φόνῳ, οὐδέ τις ἦεν
κατθάψαι, λαοὺς δὲ λίθους ποίηcε Κρονίων·
τοὺς δ' ἄρα τῇ δεκάτῃ θάψαν θεοὶ Οὐρανίωνες.
ἣ δ' ἄρα cίτου μνήcατ', ἐπεὶ κάμε δάκρυ χέουcα.
νῦν δέ που ἐν πέτρῃcιν, ἐν οὔρεcιν οἰοπόλοιcιν,
ἐν Ϲιπύλῳ, ὅθι φαcὶ θεάων ἔμμεναι εὐνὰς
νυμφάων, αἵ τ' ἀμφ' Ἀχελώιον ἐρρώcαντο,
ἔνθα λίθος περ ἐοῦcα θεῶν ἐκ κήδεα πέccει.
ἀλλ' ἄγε δὴ καὶ νῶι μεδώμεθα δῖε γεραιὲ
cίτου, ἔπειτά κεν αὖτε φίλον παῖδα κλαίοιcθα,
Ἴλιον εἰcαγαγών· πολυδάκρυτος δέ τοι ἔcται.
ἦ, καὶ ἀναΐξας ὄιν ἄργυφον ὠκὺς Ἀχιλλεὺς
cφάξ'· ἕταροι δ' ἔδερόν τε καὶ ἄμφεπον εὖ κατὰ κόcμον,
μίcτυλλόν τ' ἄρ' ἐπιcταμένως πεῖράν τ' ὀβελοῖcιν,
ὤπτηcάν τε περιφραδέως ἐρύcαντό τε πάντα.
Αὐτομέδων δ' ἄρα cῖτον ἑλὼν ἐπένειμε τραπέζῃ
καλοῖς ἐν κανέοιcιν· ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.
οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόcιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
ἤ τοι Δαρδανίδης Πρίαμος θαύμαζ' Ἀχιλῆα,
ὅccος ἔην οἷός τε· θεοῖcι γὰρ ἄντα ἐῴκει.
αὐτὰρ ὃ Δαρδανίδην Πρίαμον θαύμαζεν Ἀχιλλεύς,
εἰcορόων ὄψίν τ' ἀγαθὴν καὶ μῦθον ἀκούων.

V. l. 610 οἳ μὲν C. ἂρ ACDEGHL. ἐννῆμαρ L. κέατο H. — 611 ΚΑΘΘΑΨΑΙ Pap. 1. man. Vrat. A. ΚΡΟΝΕΙΩΝ Pap. 1. man. — 613 ἤδ' CGL. ϹΕΙΤΟΥ Pap. 1. man. δάκρυ χέουcα A. ceteri δακρυχέουcα. — 614 ἐνούρεcιν D. ἐούρεcιν L. οἰοπόλοιcιν A. — 615 φαcὶ τυφώεος Schol.
ή
Soph. El. 151, conf. Β 783. ΕΜΜΕΝΕ Pap. — 616 ἀχελώϊον A. τινὲς ἀχιλήιον γράφουcι Eust. 1367, 62. ἐῤῥύcαντο Vrat. d. — 618 ΔΕΙΕ Pap. 1. man. — 619 ϹΕΙΤΟΥ Pap. 1. man. κλαίηcθα Eust. 1367, 15; sed 1368, 28 κλαίοιcθα. — 620 δέ τι G. — 621 ὠκὺς ἄργυφον G. ἀχῖλεὺς C. — 622 cφάζ' L Lips. δὲ δέρον DL. — 623 ἂρ ACDEGHL. ὀβελοῖcι C Pap. (sine acc. et spir.). — 625 ϹΕΙΤΟΝ Pap. 1. man. — 626 καλλοῖς H. ἀχῖλεύς C. — 627 οἳ δ' D. οἵδ' CGL. ΠΡΟΚΕΙΜΕΘΑ Pap. — 628 ἐξέρον D. ἔντο DGH Flor. ἕντο L. — 629 ἀχιλλῆα H. — 631 ὃ ACD. ὃ omitt. GHL edd. vett. ὁ Heynius laudat ex Cant. Mor. θαύμαζ' L Lips. ἀχῖλεύς C. — 632 τ' ὄψιν ἀγαθὴν L. μύθων Flor.

A. c. 614—617 ἀθετοῦνται Aristonicus. προηθετοῦντο καὶ παρ' Ἀριcτοφάνει Didymus. — 616 Ἀχελώιον: ἢ διὰ τοῦ η̄ Ἀχελήιον Schol. ABD. τινὲς ἀμφ' Ἀχελήcιον Schol. V.

αὐτὰρ ἐπεὶ τάρπηcαν ἐς ἀλλήλους ὁρόωντες,
τὸν πρότερος προcέειπε γέρων Πρίαμος θεοειδής·
λέξον νῦν με τάχιcτα διοτρεφές, ὄφρα καὶ ἤδη
ὕπνῳ ὕπο γλυκερῷ ταρπώμεθα κοιμηθέντες·
οὐ γάρ πω μύcαν ὄccε ὑπὸ βλεφάροιcιν ἐμοῖcιν,
ἐξ οὗ cῇς ὑπὸ χερcὶν ἐμὸς πάις ὤλεcε θυμόν,
ἀλλ' αἰεὶ cτενάχω καὶ κήδεα μυρία πέccω
αὐλῆς ἐν χόρτοιcι κυλινδόμενος κατὰ κόπρον.
νῦν δὴ καὶ cίτου παcάμην, καὶ αἴθοπα οἶνον
λαυκανίης καθέηκα· πάρος γε μὲν οὔ τι πεπάcμην.
ἦ ῥ', Ἀχιλεὺς δ' ἑτάροιcιν ἰδὲ δμῳῇcι κέλευcε
δέμνι' ὑπ' αἰθούcῃ θέμεναι, καὶ ῥήγεα καλὰ
πορφύρε' ἐμβαλέειν, cτορέcαι τ' ἐφύπερθε τάπητας,
χλαίνας τ' ἐνθέμεναι οὔλας καθύπερθεν ἕcαcθαι.
αἳ δ' ἴcαν ἐκ μεγάροιο δάος μετὰ χερcὶν ἔχουcαι,
αἶψα δ' ἄρ' ἐcτόρεcαν δοιὼ λέχε' ἐγκονέουcαι.
τὸν δ' ἐπικερτομέων προcέφη πόδας ὠκὺς Ἀχιλλεύς·
ἐκτὸς μὲν δὴ λέξο γέρον φίλε, μή τις Ἀχαιῶν

V. l. 634 προcέειπεν D. — 635 λέξον δή μοι C. νῦν μοι H Lips. ὄφρά C. καὶ ADEGL Pap. Lips. Vrat. A. κεν CHS conf. δ 294. ψ 254.
ταρπ
— 636 ὕπο A. ὑπὸ CDEGHL. παυcώμεθα L Lips. Vrat. A. παυcώμεθα A. ταρπόμεθα H. κοιμηθέντε D Pap. — 637 γάρ που Lips. μῦcαν CH. ὄcc' A. ὕπο A. ἐπῖ C. — 638 ὕπο A. πάϊς ACDEGHL. — 639 πέccω:
ε
γρ. πάcχω Vrat. b. — 640 περὶ κόπρον D. — 642 λαυκανίης C Pap. λευκανίης DS Cant. Mor. Harl. Vrat. A. conf. Χ 325. μεθέηκα C. καθίηκα H. γε μὴν H. — 643 ἀχιλλεὺς GH. ἠδὲ D. δμώιηcι A. δμωῖcι L. κέλευcε ACGH. κέλευε E Lips. Rom. — 644 δαίμνι' D. αἰθούccηι A.
c
αἰθούcηι D. — 645 ΕΝΒΑΛΕΕΙΝ Pap. ἐcβαλέειν H. cτορέcαί τ' D. τ' ἐφύπερθεν ἕcαcθαι H omisso versu 646. τάπητα Vrat. A. — 646 οὔλας τ' ἐφύπερθεν L Lips. καθ' ὕπερθεν D. — 647 αἳ δ' D. αἵδ' CGL. δάδας L Lips. conf. ad δ 300. μετα A. — 648 ἂρ ἐcτόρεcαν CDHLS. ita editum erat usque ad Heynium, conf. δ 301. ἀλλ' ὅγ' ἄρ' ἔτρεcε Ο 586. οἳ μὲν ἄρ' ἐcκίδναντο Τ 277. Ψ 3. β 258. οἳ μὲν ἄρ' ἐθρήνεον Ω 722 (?). ἄρα cτόρεcαν AG Townl. ΕΝΚΟΝΕΟΥϹΑΙ Pap. — 649 ἀχῖλεύς C. — 650 μέν τοι L. δὴ omitt. Lips. λέξον DG Vrat. A Flor. λέξω H. λέξεο S.

A. c. 636 παυcώμεθα: οὕτως ἀρίcταρχος ἀντὶ τοῦ ἀναπαυcώμεθα. ἀπρεπὲς γὰρ τὸ λέγειν τὸν πρίαμον ταρπώμεθα Didymus, conf. 633. — 648 ἄρα cτόρεcαν δοιὼ λέχε': οὕτως ἀρίcταρχος cτόρεcαν δυϊκῶς Didymus. reponendum videtur cτόρεcαν ἰακῶς, vel quod veri similius est, cτόρεcαν δοιὼ λέχε' δυϊκῶς (non πυκινὸν λέχος ut η 340. ψ 291).

ἐνθάδ' ἐπέλθῃσιν βουληφόρος, οἵ τέ μοι αἰεὶ
βουλὰς βουλεύουσι παρήμενοι, ἣ θέμις ἐστί·
τῶν εἴ τίς σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν,
αὐτίκ' ἂν ἐξείποι 'Αγαμέμνονι, ποιμένι λαῶν,
καί κεν ἀνάβλησις λύσιος νεκροῖο γένηται.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ποσσῆμαρ μέμονας κτερεϊζέμεν Ἕκτορα δῖον,
ὄφρα τέως αὐτός τε μένω καὶ λαὸν ἐρύκω.
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
εἰ μὲν δή μ' ἐθέλεις τελέσαι τάφον Ἕκτορι δίῳ,
ὧδέ κέ μοι ῥέζων 'Αχιλεῦ κεχαρισμένα θείης.
οἶσθα γὰρ ὡς κατὰ ἄστυ ἐέλμεθα, τηλόθι δ' ὕλη
ἀξέμεν ἐξ ὄρεος· μάλα δὲ Τρῶες δεδίασιν.
ἐννῆμαρ μέν κ' αὐτὸν ἐνὶ μεγάροις γοάοιμεν,
τῇ δεκάτῃ δέ κε θάπτοιμεν δαινῦτό τε λαός,
ἑνδεκάτῃ δέ κε τύμβον ἐπ' αὐτῷ ποιήσαιμεν,
τῇ δὲ δυωδεκάτῃ πολεμίξομεν, εἴ περ ἀνάγκη.
τὸν δ' αὖτε προσέειπε ποδάρκης δῖος 'Αχιλλεύς·
ἔσται τοι καὶ ταῦτα γέρον Πρίαμ', ὡς σὺ κελεύεις·

V. L. 651 ἐπέλθῃσι EGH Cram. Epim. 332, 24. ἀπέλθῃσιν Bachm. Anecd. II, 87, 7. οἵ τέ μοι ACEGL Bachm. Anecd. II, 87, 7. Et. Gud. 654, 12. Cram. Ep. 332, 24. — 652 ή A. ἡ D. ῇ E. ἡ CGHLS. ἐστὶ ACD. — 653 εἴ τϊς σε CDH. εἴδοιτο E. δια A. — 654 ΑΥΤΙΚΑΔ Pap. 1. man. ΑΥΤΙΚ' ΑΝ in marg. — 655 νεκροῖο λύσιος ἐσεῖται C. γένοιτο DES. — 656 κατάλεξον: ἀγόρευσον H Barocc. Mor. Vrat. d. — 657 ποσσῆμαρ A. πόσσ' ἦμαρ D. — 658 αὐτὸς μενέω Apoll. Soph. 151, 34. μένω omitt. L Lips. — 659 γέρ^{ω}ον H. — 660 μ' omitt. L Lips. με θέλεις H. — 661 ὧδέ C. κε μοι CGH. ῥέξας Lips. ῥέξας ἢ ῥέζων E. ἀχιλλεῦ EH. θήσεις Vrat. A. — 662 ΥΛΗΝ Pap. 1. man. — 663 ἐξορέος A. μάλα γὰρ HLS Cant. Barocc. Mor. Lips. Vrat. d. A. τρῷες L. — 664 μέν γ' C κ' omitt. E. ἐνι A. μεγάροισι D. ἐνὶμμεγάροις C. ΕΝΙΜΜΕΓΑΡΟΙΣ ΓΟΟΩΜΕΝ Pap. — 665 δὲ καὶ θάπτοιμεν G. δαινῦτό AH. δαινυτο D. δαίνῡτό C. δαίνυτό EGLS Lips. Townl. Vrat. d. A. edd. vett. — 666 ἐνδεκάτῃ EL. — 667 δυωδεκάτηι C. ΠΤΟΛΕΜΊΞΟΜΕΝ Pap. πολεμίζομεν H Harl. πτολεμίζομεν Vrat. A. ἀνάγκηι A. — 668 προσέειπεν D. ἀχϊλεύς C. — 669 ἔσταί τοι C. πρίαμε C.

A. c. 657 ποσσῆμαρ Herodianus, ὑφ' ἕν. — 663 ἀρίσταρχος μάλα γάρ, οὐ μάλα δέ Didymus. Δίδυμος μάλα γάρ, οὐ δέ Schol. V. poterat scriptura γάρ orta esse ex interpretatione Aristarchea τὸ δὲ ἀντὶ τοῦ γάρ. — 665 δαινῦτο Herodianus cum Philoxeno, conf. λελῦτο σ 238 φθῖτο λ 330. φθίμην κ 51. ἐκδῦμεν Π 99. δύη ι 377. σ 348. υ 286.

σχήσω γὰρ πόλεμον τόσσον χρόνον, ὅσσον ἄνωγας.
ὣς ἄρα φωνήσας ἐπὶ καρπῷ χεῖρα γέροντος
ἔλλαβε δεξιτερήν, μή πως δείσει' ἐνὶ θυμῷ.
οἳ μὲν ἄρ' ἐν προδόμῳ δόμου αὐτόθι κοιμήσαντο,
κῆρυξ καὶ Πρίαμος, πυκινὰ φρεσὶ μήδε' ἔχοντες,
αὐτὰρ 'Αχιλλεὺς εὗδε μυχῷ κλισίης εὐπήκτου·
τῷ δὲ Βρισηὶς παρελέξατο καλλιπάρῃος.
ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ
εὗδον παννύχιοι, μαλακῷ δεδμημένοι ὕπνῳ.
ἀλλ' οὐχ Ἑρμείαν ἐριούνιον ὕπνος ἔμαρπτεν,
ὁρμαίνοντ' ἀνὰ θυμόν, ὅπως Πρίαμον βασιλῆα
νηῶν ἐκπέμψειε λαθὼν ἱεροὺς πυλαωρούς.
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔειπεν·
ὦ γέρον, οὔ νύ τι σοί γε μέλει κακόν, οἷον ἔθ' εὕδεις
ἀνδράσιν ἐν δηίοισιν, ἐπεί σ' εἴασεν 'Αχιλλεύς.
καὶ νῦν μὲν φίλον υἱὸν ἐλύσαο, πολλὰ δ' ἔδωκας·
σεῖο δέ κε ζωοῦ καὶ τρὶς τόσα δοῖεν ἄποινα
παῖδες τοὶ μετόπισθε λελειμμένοι, αἴ κ' 'Αγαμέμνων
γνώῃ σ' 'Ατρείδης, γνώωσι δὲ πάντες 'Αχαιοί.
ὣς ἔφατ', ἔδεισεν δ' ὁ γέρων, κήρυκα δ' ἀνίστη.
τοῖσιν δ' Ἑρμείας ζεῦξ' ἵππους ἡμιόνους τε,

V. L. 670 πόλεμον τόσσον χρόνον CDHLS Pap. Cant. Barocc. Mor. Townl. Lips. Vrat. b. τόσσον πόλεμον χρόνον A (sic). τόσσον πόλεμον χρόνον EG edd. vett. ὡς σὺ ἄνωγας ἢ ὅσσον ἄνωγας E. — 671 ὡς A. ἐπι AD. — 672 ἔλαβε GH Vrat. A. Flor. ΔΕΞΙΤΕΡΗΙ Pap. I add. 2. man. δείσῃ EG. δείσῃ CHLS. δείσει D. δήσει Vrat. b. ἐνι A. — 673 τὼ μὲν C. ἆρ ADGL. αὐτόθι: ΑΥΤΟΥ Pap. κοιμίσαντο Eust. 1369, 28; sed 1371, 5 κοιμήσαντο. — 674 κήρυξ EL. πυκνὰ S. — 675 ἀχϊλεὺς C. εὗδε omitt. C. ἐϋπήκτου CGL: ceteri εὐπήκτου. — 676 τὼ δὲ C. τῷδε S. τῷ δ' ἄρα A Barocc. Mor. δ' ἆρ Rom. τῶ δε βρ A in marg. — 677 μὲν ῥὰ L. — 679 ἑρμείην G Flor. ceteri ἑρμείαν. ἔμαρπτεν ὕπνος H. — 682 ἆρ AC DGHL. ὕπερ A. — 683 οὐ CE. οὔ νυ τί σύγε H. οὔ νύ τί σοι μέλλει Townl. — 684 ἀχϊλεὺς C. — 686 κεν ACDEGHL Pap. κε Lips. — 687 παῖδές τοι CD. τοι H. παῖδές τε Vrat. d. ἐγκλιτικῶς γράφουσι παῖδές τοι Eust. 1371, 31. μετ' όπισθε A. ΛΕΛΙΜΜΕΝΟΙ Pap. — 688 γνώῃ DH L Pap. Vrat. A. γνῴη Lips. Townl. γνο^{ω}ίη A γνοίη CGS. γνοίῃσι E. — 689 ὡς A. ἔδδεισε L Lips. — 690 τοῖσιν δ' ACDHLS Harl. Townl. Vrat. A. τοῖσι δ' G Lips. Flor. τοῖσι δ' ἆρ Rom.

A. c. 672 δείσῃ editum erat, donec Wolfius ex Veneto A δείσει' revocavit. de coniunctivo praecedente aoristo conf. ad T 354. H. U. 292. — 677 ἄλλοι: conf. ad B 1. K 1. — 687 παῖδες τοὶ λελειμμένοι. conf. Z 201 πεδίον τὸ ἀλήιον. N 794 ἠοῖ τῇ προτέρῃ. I 219. Ξ 213. Π 358. μ 252. ξ 61.

ῥίμφα δ' ἄρ' αὐτὸϲ ἔλαυνε κατὰ ϲτρατόν, οὐδέ τιϲ ἔγνω.
ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐυρρεῖοϲ ποταμοῖο,
[Ξάνθου δινήεντοϲ, ὃν ἀθάνατοϲ τέκετο Ζεύϲ,]
Ἑρμείαϲ μὲν ἔπειτ' ἀπέβη πρὸϲ μακρὸν Ὄλυμπον,
ἠὼϲ δὲ κροκόπεπλοϲ ἐκίδνατο πᾶϲαν ἐπ' αἶαν.
οἳ δ' εἰϲ ἄϲτυ ἔλων οἰμωγῇ τε ϲτοναχῇ τε
ἵππουϲ, ἡμίονοι δὲ νέκυν φέρον. οὐδέ τιϲ ἄλλοϲ
ἔγνω πρόϲθ' ἀνδρῶν καλλιζώνων τε γυναικῶν,
ἀλλ' ἄρα Καϲϲάνδρη, ἰκέλη χρυϲέῃ Ἀφροδίτῃ,
Πέργαμον εἰϲαναβᾶϲα φίλον πατέρ' εἰϲενόηϲεν
ἑϲταότ' ἐν δίφρῳ, κήρυκά τε ἀϲτυβοώτην·
τὸν δ' ἄρ' ἐφ' ἡμιόνων ἴδε κείμενον ἐν λεχέεϲϲι·
κώκυϲέν τ' ἄρ' ἔπειτα γέγωνέ τε πᾶν κατὰ ἄϲτυ·
ὄψεϲθε Τρῶεϲ καὶ Τρῳάδεϲ Ἕκτορ' ἰόντεϲ,
εἴ ποτε καὶ ζώοντι μάχηϲ ἐκ νοϲτήϲαντι
χαίρετ', ἐπεὶ μέγα χάρμα πόλει τ' ἦν παντί τε δήμῳ.
ὣϲ ἔφατ', οὐδέ τιϲ αὐτόθ' ἐνὶ πτόλεϊ λίπετ' ἀνὴρ
οὐδὲ γυνή· πάνταϲ γὰρ ἀάϲχετον ἵκετο πένθοϲ·
ἀγχοῦ δὲ ξύμβληντο πυλάων νεκρὸν ἄγοντι.
πρῶται τόν γ' ἄλοχόϲ τε φίλη καὶ πότνια μήτηρ
τιλλέϲθην, ἐπ' ἄμαξαν ἐύτροχον ἀίξαϲαι,
ἁπτόμεναι κεφαλῆϲ· κλαίων δ' ἀμφίϲταθ' ὅμιλοϲ.
καί νύ κε δὴ πρόπαν ἦμαρ ἐϲ ἠέλιον καταδύντα
Ἕκτορα δάκρυ χέοντεϲ ὀδύροντο πρὸ πυλάων,

V. L. 691 ἂρ ADGHL. κατα D. — 692 ἵξον GL. ἶξον A. — 693 omitt. AD Pap. Harl. habent CGHL. — 696 οἳ δ' D. οἵδ' CGHL. ἔλων A. ἔλον Vrat. A. 1. man. et ἔχον ex corr. man. rec. ЄΤЄΝΑΧΗ Pap. 1. man. ϹΤЄΝΑΧΗΙ 2. man. — 697 ἄγον AL Lips. γρ. φέρον A. — 699 ἱκέλη CDGHL. χρυϲῇ ACEGHLS. χρυϲὴ D. ΑΦΡΟΔЄΙΤΗ Pap. 1. man. — 700 εἰϲ ἀναβᾶϲα AH. εἰϲ ἐνόηϲεν A. ЄΙϹЄΝΟΗϹЄ Pap. — 701 ἑϲτεῶτ' D. ἀϲτυβοώτην A. — 702 ἂρ CDGHL. ἐφημιόνων D. λεχέεϲϲι ACDEGH. — 703 κώκυϲε Lips ἂρ ACDEGHL. γέγωνεν πᾶν L Lips. — 704 τρῷεϲ L. τρωϊάδεϲ ACDGL Cant. Harl. Townl. Lips. Flor. τρωϊάδεϲ ἢ τρῳάδεϲ E. conf. Ζ 442. Η 297. Χ 105. — 705 ΖΩΟΝΤЄ Pap. ἐκνοϲτήϲαντι ACDEGHL. — 706 πόλι L. — 707 ὡϲ A. αὐτῷ ἐνὶ S. ἐνι AD. αὐτόθι εἰνὶ πόλει G Flor ἐνὶ πόλει L Vrat. A. πτόλϊϊ H. πόλεϊ Townl. λείπετ' C. λείπετο EL Vrat. A. Rom. — 709 ΞΥΝΒΛΗΝΤΟ Pap. — 710 τῶν γ' Townl. τῷ δ' Harl. — 711 ἐφ' ἅμαξαν CH Lips ἀΐξαϲα D. — 712 ΑΝΦΙϹΤΑΘ Pap. ΟΜЄΙΛΟϹ Pap. 1. man. ὅμιλον Lips. — 713 καταδῦντα DL. καταδῦναι Lips. — 714 δακρυχέοντεϲ omnes. προ ADL.

A. c. 701 ἀρίϲταρχοϲ ἑϲτεῶτ' Didymus.

εἰ μὴ ἄρ' ἐκ δίφροιο γέρων λαοῖϲι μετηύδα·
εἴξατέ μοι οὐρεῦϲι διελθέμεν· αὐτὰρ ἔπειτα
ἄϲεϲθε κλαυθμοῖο, ἐπὴν ἀγάγωμι δόμον δέ.
ὣϲ ἔφαθ', οἳ δὲ διέϲτηϲαν καὶ εἶξαν ἀπήνῃ.
οἳ δ' ἐπεὶ εἰϲάγαγον κλυτὰ δώματα, τὸν μὲν ἔπειτα
τρητοῖϲ ἐν λεχέεϲϲι θέϲαν, παρὰ δ' εἷϲαν ἀοιδούϲ,
θρήνων ἐξάρχουϲ, οἵ τε ϲτονόεϲϲαν ἀοιδὴν
οἳ μὲν-δὴ θρήνεον, ἐπὶ δὲ ϲτενάχοντο γυναῖκεϲ.
τῇϲιν δ' Ἀνδρομάχη λευκώλενοϲ ἦρχε γόοιο,
Ἕκτοροϲ ἀνδροφόνοιο κάρη μετὰ χερϲὶν ἔχουϲα·
ἆνερ, ἀπ' αἰῶνοϲ νέοϲ ὤλεο, κὰδ δέ με χήρην
λείπειϲ ἐν μεγάροιϲι· πάιϲ δ' ἔτι νήπιοϲ αὔτωϲ,
ὃν τέκομεν ϲύ τ' ἐγώ τε δυϲάμμοροι, οὐδέ μιν οἴω
ἥβην ἵξεϲθαι· πρὶν γὰρ πόλιϲ ἥδε κατ' ἄκρηϲ
πέρϲεται· ἦ γὰρ ὄλωλαϲ ἐπίϲκοποϲ, ὅϲ τέ μιν αὐτὴν
ῥύϲκευ, ἔχεϲ δ' ἀλόχουϲ κεδνὰϲ καὶ νήπια τέκνα.

V. L. 715 ἂρ DGH. — 716 ΙΞΑΤЄ Pap. 1. man. διεθέμεν G. — 717 ἄϲεϲθε CDEGLS. ἄϲϲεϲθε Harl. Vrat. A. ΑϹЄϹΘΑΙ Pap. ἄϲαϲθε (ε supra α) A. ἄϲαϲθε H Vrat. d. ἀγάγωμι ADG Et. Mg. 54, 43. Cram. Epim. 76, 8. ἀγάγωμαι Lips. ἀγάγοιμι CEHLS conf. H. U. 250. δόμον δέ A. δόμον δἓ (sic) D. πόλιν Et. Mg. 54, 43. Cram. Ep. 76, 8. γρ. πόλιν δέ A. — 718 ὡϲ A. οἳ δὲ C. διέϲταϲαν L. — 719 οἳ δ' D. οἵδ' CGHL. ЄΠΙ Pap. 1. man. ἀλλ' ἐπεὶ Barocc. Mor. κλειτὰ H. — 720 ἓν A. — 721 θρήνων CEGHS Bekk. An. 752, 21. Pseudoplut. 144, 13. θρήνουϲ ADL Pap. Harl. Townl. Lips. Vrat. b. d. A. θρήνων· ἐξάρχουϲ' οἵ τε H. ἐξάρχουϲ' CGHLS. ἐξάρχουϲ' A. post ἀοιδήν est distinctio in A. — 722 οἳ μὲν C. ἂρ EH. μὲν δὴ θρήνεον DL Lips. ἐν ἄλλῳ οἱ μὲν δὴ θρήνεον A. vulgo οἱ μὲν ἄρ' ἐθρήνεον. ἐπὶ C. δ' ἐϲτενάχοντο E Vrat. A Rom. — 723 τῇϲιν: ἐν ἄλλῳ τοῖϲιν A. ita Lips. ἀνδρομάχηι A. — 724 ἱπποδάμοιο DL Pap. Vrat. b. A. μετα A. — 725 ἄνερ CHS. καδδ' ἐμε A (sic). καδδέμε CGHL. — 726 ἐνὶ μεγάροιϲιν D. μεγάροιϲ L. παῖϲ L. δέ τε ACHS Cant. Mor. Lips. Vrat. A. ἐν ἄλλῳ πάϊϲ δ' ἔτι A. αὔτωϲ AEGH. — 727 ϲοὶ L Lips. τε omitt. L Lips. ὀΐω HL. — 728 ἤδε A: ceteri ἥδε. κατάκρηϲ H. — 729 ὅϲ τέ μιν CEH: ceteri ὅϲτε μιν. — 730 ῥύϲκεν E. ῥύϲαϲκεϲ οὐδ' ἀλόχουϲ L. ἐρύϲαϲκ' οὐδ' ἀλόχουϲ Lips. ἔχειϲ D. ЄϹ pro ἔχεϲ Pap.

A. c. 721, 722 corruptissimum hunc locum non tetigi, nisi quod cum Bekkero 2. οἳ μὲν δὴ θρήνεον scripsi. valde dolendum est excidisse Aristarchi explicationem, nam versui 721. in cod. A diple pura est adpicta. ea scriptura, quae firmatur optimorum librorum auctoritate „ἀοιδοὺϲ θρηνούϲ (= θρηνῳδούϲ), ἐξάρχουϲ' οἵ τε ϲτονόεϲϲαν ἀοιδήν. οἳ μὲν ἄρ' ἐθρήνεον“ tantis difficultatibus laborat, ut praeter Düntzerum nemo eam ausus sit recipere. alii versum 721. pro spurio habuerunt. — 724 ἀνδροφόνοιο conf. Α 242. Ζ 498. Ι 351. Π 77. 840. Ρ 428. 616. 638. Ϲ 149. Ω 509. ἱπποδάμοιο Η 38. Π 717. Χ 161. 211. Ω 804. — 725 Ζηνόδοτοϲ νέον ὤλεο Didymus.

αἳ δή τοι τάχα νηυςὶν ὀχήςονται γλαφυρῇςι,
καὶ μὲν ἐγὼ μετὰ τῇςι· cὺ δ᾽ αὖ τέκος ἢ ἐμοὶ αὐτῇ
ἕψεαι, ἔνθά κεν ἔργα ἀεικέα ἐργάζοιο,
ἀθλεύων πρὸ ἄνακτος ἀμειλίχου· ἤ τις Ἀχαιῶν
ῥίψει χειρὸς ἑλὼν ἀπὸ πύργου, λυγρὸν ὄλεθρον,
χωόμενος, ᾧ δή που ἀδελφεὸν ἔκτανεν Ἕκτωρ
ἢ πατέρ᾽, ἠὲ καὶ υἱόν, ἐπεὶ μάλα πολλοὶ Ἀχαιῶν
Ἕκτορος ἐν παλάμῃςιν ὀδὰξ ἕλον ἄςπετον οὖδας.
οὐ γὰρ μείλιχος ἔςκε πατὴρ τεὸς ἐν δαῒ λυγρῇ·
τῶ καί μιν λαοὶ μὲν ὀδύρονται κατὰ ἄςτυ,
ἀρητὸν δὲ τοκεῦςι γόον καὶ πένθος ἔθηκας,
Ἕκτορ· ἐμοὶ δὲ μάλιςτα λελείψεται ἄλγεα λυγρά.
οὐ γάρ μοι θνήςκων λεχέων ἐκ χεῖρας ὄρεξας,
οὐδέ τί μοι εἶπες πυκινὸν ἔπος, οὗ τέ κεν αἰεὶ
μεμνήμην νύκτάς τε καὶ ἤματα δάκρυ χέουςα.
ὣς ἔφατο κλαίους᾽, ἐπὶ δὲ ςτενάχοντο γυναῖκες.
τῇςιν δ᾽ αὖθ᾽ Ἑκάβη ἁδινοῦ ἐξῆρχε γόοιο·
Ἕκτορ, ἐμῷ θυμῷ πάντων πολὺ φίλτατε παίδων,
ἦ μέν μοι ζωός περ ἐὼν φίλος ἦςθα θεοῖςιν·
οἳ δ᾽ ἄρα ςεῦ κήδοντο καὶ ἐν θανάτοιό περ αἴςῃ.

V. ι. 731 τοι omitt. G. οἰχήςονται CE Ven. B. γλαφυρῇςι CDEGH. γλαφυρῇςιν AL Pap. — 732 καὶ δὴ ἐγὼ G Flor. καὶ μὲν ἐγὼ ACDEH LS Cant. Mor. Harl. Lips. Barocc. Townl. Vrat. b. d. ἢ ἐμῇ C. — 733 ἔνθά κεν ACDH. ἐνθά κεν G. — 734 ἀθλεύων ADLS Cant. Lips. Barocc. Mor. Harl. Townl. Vrat. b. d. A. Hesychius I, 64. Suidas II, 2, 414, 6. ἀεθλεύων CEGH edd. vett. Schol. X 183. προ AD. ἀμειλίκτου Lips. Schol. X 183. — 735 ἑλὼν: ἔχων Schol. T 126. ἄπο A. — 736 ΧΩΜΕΝΟC Pap. 2. man. ᾧ δή: ᾧτινι δή DEGLS Mor. Barocc. Lips. edd. vett. χωόμενος ultimam ante vocalem producit ut A 244. Ι 107. Ψ 603. θ 238. λ 103. ν 343. εἰδόμενος Ε 462. ςειάμενος Χ 22. ἀχνύμενος Ψ 137. πλαζόμενος π 64. θερςόμενος τ 507. — 737 Η pro ἠὲ Pap. idem ΗΚΑΙ pro ἐπεὶ. — 738 ΠΑΛΑ Pap. 1. man. ΜΗΙCΙΝ add. 2. man. — 740 τῶ ACDHLS. τῷ EG. κεν pro καὶ C. μὲν omitt. EG Flor. κατὰ: ΠΕΡΙ Pap. — 741 ἄῤῥητον CHLS Cant. Barocc. Mor. Vrat. b. d. A. conf. ad P 37. τοκεῦςιν H. — 742 μάλα γε λελείψεται L. — 743 γάρ μι G. θνήιςκων A: ceteri θνήςκων. — 744 οὐδέ τι μοι ADGHL Plutarchus Consol. ad Apoll. 30. εἶπας Lips. Barocc. ceteri cum Plutarcho εἶπες. οὔτε κεν E. — 745 μεμνήμην A. μεμνοίμην L Lips. νύκτάς τε A. ἤματα DGH. δακρυχέουςα omnes. — 746 ὡς A. φάτο D. ἐπι CD. δε C. δ᾽ ἐςτενάχοντο Lips. Rom. conf. 722. — 747 τοῖςι D Lips. τοῖςιν L. δ᾽ αὖ L. αδινοῦ A. ceteri ἀδινοῦ. βόοιο G. — 748 ἕκτωρ Lips. ΟΜΟΙ pro ἐμῷ Pap. 1. man. περι φίλτατε D. — 749 θεοῖςι G Pap. — 750 οἴδ᾽ CHL. ΗΔ᾽ pro οἳ δ᾽ Pap. κήδονται D.

A. c. 743 θνήςκων conf. H. U. 216. — 749 περιςπαςτέον τὸν ἦ Schol. V.

ἄλλους μὲν γὰρ παῖδας ἐμοὺς πόδας ὠκὺς Ἀχιλλεὺς
πέρναςχ᾽, ὅν τιν᾽ ἕλεςκε, πέρην ἁλὸς ἀτρυγέτοιο,
ἐς Cάμον ἔς τ᾽ Ἴμβρον καὶ Λῆμνον ἀμιχθαλόεςςαν·
ςεῦ δ᾽ ἐπεὶ ἐξέλετο ψυχὴν ταναήκεϊ χαλκῷ,
πολλὰ ῥυςτάζεςκεν ἑοῦ περὶ ςῆμ᾽ ἑτάροιο,
Πατρόκλου, τὸν ἔπεφνες· ἀνέςτηςεν δέ μιν οὐδ᾽ ὥς.
νῦν δέ μοι ἑρςήεις καὶ πρόςφατος ἐν μεγάροιςι
κεῖςαι, τῷ ἴκελος, ὅν τ᾽ ἀργυρότοξος Ἀπόλλων
οἷς ἀγανοῖςι βέλεςςιν ἐποιχόμενος κατέπεφνεν.
ὣς ἔφατο κλαίουςα, γόον δ᾽ ἀλίαςτον ὄρινε.
τῇςι δ᾽ ἔπειθ᾽ Ἑλένη τριτάτη ἐξῆρχε γόοιο·
Ἕκτορ, ἐμῷ θυμῷ δαέρων πολὺ φίλτατε πάντων,
ἦ μέν μοι πόςις ἐςτὶν Ἀλέξανδρος θεοειδής,
ὅς μ᾽ ἄγαγε Τροίην δ᾽· ὡς πρὶν ὤφελλον ὀλέςθαι.
ἤδη γὰρ νῦν μοι τόδ᾽ ἐεικοςτὸν ἔτος ἐςτίν,
ἐξ οὗ κεῖθεν ἔβην καὶ ἐμῆς ἀπελήλυθα πάτρης·
ἀλλ᾽ οὔ πω ςεῦ ἄκουςα κακὸν ἔπος οὐδ᾽ ἀςύφηλον·
ἀλλ᾽ εἴ τίς με καὶ ἄλλος ἐνὶ μεγάροιςιν ἐνίπτοι

V. ι. 751 ἀχϊλεὺς C. — 752 ΕΛΕΚΕ Pap. 1. man. ἐν ἄλλῳ ὅντιν᾽ ἕλῃςι A. ὅν κε λάβοι Strabo X, 457. ἥν τινα ἢ ὅντινα E. — 753 ὀμιχθαλόεςςαν L. — 754 ΕΠΙ Pap. — 755 ῥυτάζεςκεν L Lips. — 756 ἀνέςτηςε CDEG Vrat. A. edd. vett. ὡς A. ceteri ὥς. — 757 ἑρςήεις ACGHL. ἐῤῥωεῖς Vrat. A. μεγάροιςι ACDEH. — 758 ἵκελος DGHL. ὅτ᾽ pro ὅν τ᾽ D. — 759 ἀγανοῖςι βέλεςςιν LS Pap. βέλεςςιν Vrat. A. ἀποιχόμενος κατεπέφνην G. ΚΑΤΑΠΕΦΝΗ Pap. καταπέφνει L. καταπέφνει^{εν} S. ἐν ἄλλῳ οἷς ἀγανοῖςι βέλεςςι ἐποιχόμενος καταπέφνη A. — 760 ὡς A. ὄρινε ACGH. ὄρινεν E 1372, 23 L ἔγειρε D Pap. Mor. Barocc. Vrat. A. conf. Υ 31. — 761 τοῖςι L. δ᾽ αὖθ᾽ HS Cant. Harl. — 762 πολυφίλτατε D. — 764 μ᾽ ἄγε E. τροίην omisso δ᾽ D. ἄγαγ᾽ ἐς τροίην C. ἐς τροίηνδ᾽ Harl. ὃς Lips. ὤφε^{λ}λον C. ὤφελον H. ὄφελον L. ὤφελλ᾽ ἀπολέςθαι A in marg. DGS Cant. Vrat. d. A. edd. vett. ὤφελλον ὀλέςθαι ἢ ὄφελλ᾽ ἀπολέςθαι Eust. 1374, 30. ὡς πρὶν ὤφελλον ὀλέςθαι ἀκριβέςτερον τοῦ ὤφελλ᾽ ἀπολέςθαι Eust. 1374, 44. — 765 τόδε εἰκοςτὸν CDGHLS alii. τόδ᾽ ἐεικοςτὸν AE Vrat. d. Flor. Rom. — 767 ΟΥΠΩC Pap. — 768 εἴ τις μοι L. ἐνι A. ἐνῒμμεγάροιςϊν C. ἐνίπποι D Lips. ἐνίςποι GLS Cant. Barocc. Mor. Townl. Vrat. A. Flor. γρ. ἐνιςςοι A.

A. c. 753 ἀμιχθαλόεςςαν: Ἀντίμαχος μιχθαλόεςςαν Schol. V. alii fortasse ὀμιχλήεςςαν, conf. Schol. AD ἔνιοι δὲ οὐχ οὕτως ἀλλὰ τὴν ὀμιχλώδη ἀπέδοςαν. — 764 ὤφελλ᾽ ἀπολέςθαι: ὄφελον (sic) ὀλέςθαι οὕτως, ἵν᾽ ᾖ ὅμοιον τῷ „ὡς μ᾽ ὄφελ᾽ ἤματι τῷ“ (Z 345) Schol. V. in A versui diple est adposita, sed intercidit scholium Aristonici, quod haud dubie ad hanc scripturam pertinebat.

δαέρων ἢ γαλόων ἢ εἰνατέρων ἐυπέπλων,
ἢ ἑκυρή, ἑκυρὸς δὲ πατὴρ ὣς ἤπιος αἰεί,
ἀλλὰ cὺ τόν γ' ἐπέεσσι παραιφάμενος κατέρυκες
cῇ τ' ἀγανοφροσύνῃ καὶ coῖc ἀγανοῖc ἐπέεσσι.
τῶ cέ θ' ἅμα κλαίω καὶ ἔμ' ἄμμορον ἀχνυμένη κῆρ·
οὐ γάρ τίc μοι ἔτ' ἄλλοc ἐνὶ Τροίῃ εὐρείῃ
ἤπιος οὐδὲ φίλος, πάντες δέ με πεφρίκασιν.
ὣς ἔφατο κλαίους', ἐπὶ δ' ἔστενε δῆμος ἀπείριων.
λαοῖσιν δ' ὁ γέρων Πρίαμος μετὰ μῦθον ἔειπεν·
ἄξετε νῦν Τρῶες ξύλα ἄστυ δέ, μηδέ τι θυμῷ
δείσητ' Ἀργείων πυκινὸν λόχον· ἦ γὰρ Ἀχιλλεὺς
πέμπων μ' ὧδ' ἐπέτελλε μελαινάων ἀπὸ νηῶν,
μὴ πρὶν πημανέειν, πρὶν δωδεκάτη μόλῃ ἠώς.
ὣς ἔφαθ', οἳ δ' ὑπ' ἀμάξῃσιν βόας ἡμιόνους τε
ζεύγνυσαν, αἶψα δ' ἔπειτα πρὸ ἄστεος ἠγερέθοντο.
ἐννῆμαρ μὲν τοί γε ἀγίνεον ἄσπετον ὕλην·
ἀλλ' ὅτε δὴ δεκάτη ἐφάνη φαεσίμβροτος ἠώς,
καὶ τότ' ἄρ' ἐξέφερον θρασὺν Ἕκτορα δάκρυ χέοντες,
ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν, ἐν δ' ἔβαλον πῦρ.
ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
τῆμος ἄρ' ἀμφὶ πυρὴν κλυτοῦ Ἕκτορος ἤγρετο λαός.

V. L. 769 ἢ δαέρων Townl. ἐϋπέπλων CGHL. εὐπέπλων ADE Vrat. A Lips. — 770 ἑκυρ||||||δὲ A. αἰεὶ: πατὴρ L. ΗΕΝ Pap. 2. man. in marg. γρ. εἶεν (ἦεν?) A. — 771 τοί γ' ἐπέεσσι παρεφάμενος H. — 772 ἐπέεσσι ACDEH. ἐπέεσσιν GL Pap. Flor. — 773 τῶ ACHL. τώ D. τῷ EG. σε θ' C. σε μάλα κλαίω L Lips. — 774 γάρ τϊc μοι CH. ΜΟΙΤΙϹ Pap. ἐνι A. — 775 φίλιος D. πεφρίκασι AD. ΠΕΦΡΕΙΚΑϹΙΝ Pap. — 776 ὡς A. ἐπι CL. δὲ στένε A. — 777 λαοῖσι D Lips. μετα ACD. ἔειπε D Lips. — 778 ἄξατε Harl. τρῷες L. ἄστυ δὲ AH. μὴ δέ τι CG. — 779 λόχον omitt. L. ἀχϊλεὺς C. — 780 ὧδε, πέτελλε L. ἀπο A. — 782 ὡς A. οἵδ' CDGL. ὑφ' ἀμάξῃσι CDG Mor. Barocc. Vrat. b. d. A. Flor. ὑφ' ἀμάξῃσιν H. ἀμάξῃσι E Lips. ἀπ' ἀμάξῃσιν S. — 783 ζεύγνυον Mor. Townl. Vrat. d. προάστεος A. προ D. ἠγερέθεντο H. — 784 μὲν τόγ' D. ΔΗϹΦΙΝ Pap. 1. man. ΤΟΙΓΕ 2. man. ἀγήνεον CDH. ἀγίνεον L. ἀγείνεον Townl. Apoll. Soph. 6, 8. — 785 φάνη DL Vrat. A. φρένη Lips. φαεσίμβροτος A. ῥοδοδάκτυλος Vrat. A. ἐν ἄλλῳ ῥοδοδάκτυλος ἠώς A, conf. Ζ 175. — 786 ἂρ CDEGHL. ἄρ' A. δάκρυ χέοντες A: ceteri δακρυχέοντες. — 787 ἓν A. ἐν δ' ἔβαλον πῦρ: ἐν ἄλλῳ ἀχνύμενοι κῆρ A, conf. Ψ 165. — 789 τῆμος δ' D. ἂρ DGHL. ΠΥΡΗ Pap. ΚΛΥΤΟΝ Pap. 2. man. ΚΡΙΤΟϹ 1. man. * ἤγρετο: libri ἔγρετο, conf. Η 434. versus abest a Townl.

A. c. 773 ἔμ' ἄμμορον: οἳ δὲ γράφουσιν ἐμὸν μόρον Schol. V. conf. Ζ 408.

[αὐτὰρ ἐπεί ῥ' ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο,]
πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι οἴνῳ
πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος· αὐτὰρ ἔπειτα
ὀστέα λευκὰ λέγοντο κασίγνητοί θ' ἕταροί τε
μυρόμενοι, θαλερὸν δὲ κατείβετο δάκρυ παρειῶν.
καὶ τά γε χρυσείην ἐς λάρνακα θῆκαν ἑλόντες,
πορφυρέοις πέπλοισι καλύψαντες μαλακοῖσιν·
αἶψα δ' ἄρ' ἐς κοίλην κάπετον θέσαν, αὐτὰρ ὕπερθε
πυκνοῖσιν λάεσσι κατεστόρεσαν μεγάλοισι·
ῥίμφα δὲ σῆμ' ἔχεαν, περὶ δὲ σκοποὶ εἵατο πάντῃ,
μὴ πρὶν ἐφορμηθεῖεν ἐυκνήμιδες Ἀχαιοί.
χεύαντες δὲ τὸ σῆμα πάλιν κίον· αὐτὰρ ἔπειτα
εὖ συναγειρόμενοι δαίνυντ' ἐρικυδέα δαῖτα
δώμασιν ἐν Πριάμοιο, διοτρεφέος βασιλῆος.
ὣς οἵ γ' ἀμφίεπον τάφον Ἕκτορος ἱπποδάμοιο.

V. L. 790 omitt. AELS Pap. Lips. Townl. Vrat. d. A. Flor. habent CDGH. ὁμυγερέες G. — 791 κατα ACD. πυρκαϊὰν Lips. — 792 ἐπεῖχε Vrat. d. Flor. conf. Ψ 238. — 793 θ' omitt. DEHS edd. vett. habent ACGL Townl. conf. Δ 441 κασιγνήτη ἑτάρη τε. — 795 χρυσέην L. — 797 ἂρ ADEGHL. ὕπερθε AEH: ceteri ὕπερθεν. — 798 πυκϊνοῖσϊ CH. πυκνοῖσι Vrat. A. πυκνοῖσι (πυκινοῖσιν L) μεγαλοῖσι κατεστόρεσαν λάεσσι L Lips. ΚΑΤΑϹΤΌΡΕϹΑΝ Pap. μεγάλοισι ACEH. — 799 ἔχευαν S Barocc. ἔχεον Townl. παντῃ AEG: ceteri πάντη. — 800 ἐφορμήσειαν L Lips. ΕΥΚΝΗΜΕΙΔΕϹ Pap. 1. man. — 802 συναγειρόμενοι A. συναγειράμενοι GL Lips. edd. vett. εὖ τ' ἀναγειράμενοι Harl. Cant. Mor. συναγυρόμενοι Vrat. d. διαγειρόμενοι S Barocc. ΔΑΙΝΥΝ ΠΕΡΙΚΥΔΕΑ Pap. 1. man. correxit man. 2. — 803 διοτροφέος H. — 804 ὡς A.

A. c. 793 ὀστέα Herodianus: alii ὄστεα. — 795 τά γέ χρυσείην conf. H. U. 41. — 796 καλύψαντες: τινὲς καθάψαντες Schol. V. — 804 τινὲς γράφουσιν „ὣς οἵ γ' ἀμφίεπον τάφον Ἕκτορος· ἦλθε δ' Ἀμαζών, Ἄρηος θυγάτηρ μεγαλήτορος ἀνδροφόνοιο“ Schol. V.

Zur Homer-Literatur.

Ellendt, Joh. Ernst, († Gymnasialdirector in Königsberg), drei Homerische Abhandlungen. Vorangeschickt sind Mittheilungen über das Leben des Verfassers. gr. 8. 1864. geh. *M.* 2.70.

Friedländer, Ludovicus, Analecta Homerica. Besonderer Abdruck aus dem dritten Supplementbande der Jahrbücher für classische Philologie. gr. 8. 1859. geh. *M.* — 60.

——— zwei Homerische Wörterverzeichnisse. Besonderer Abdruck aus dem dritten Supplementbande der Jahrbücher für classische Philologie. gr. 8. 1861. geh. n. *M.* 2. 40.

Giseke, Bernhard, Thrakisch-Pelasgische Stämme der Balkan-Halbinsel und ihre Wanderungen in mythischer Zeit. gr. 8. 1858. geh. n. *M.* 3. —

——— Homer. Forschungen. gr. 8. 1864. geh. n. *M.* 4. —

Gladstone's, W. E., Homerische Studien, frei bearbeitet von Dr. Albert Schuster. Mit zwei lithogr. Karten in gr. 4. gr. 8. 1863. geh. n. *M.* 9. —

Hennings, P. D. Ch., über die Telemachie, ihre ursprüngliche Form und ihre späteren Veränderungen. Ein Beitrag zur Kritik der Odyssee. gr. 8. 1858. geh. n. *M.* 9. —

Kammer, Dr. Ed., Oberlehrer am Königl. Friedrichs-Collegium zu Königsberg in Pr., die Einheit der Odyssee, nach Widerlegung der Ansichten von Lachmann-Steinthal, Koechly, Hennings und Kirchhoff dargestellt. Anhang: Homerische Blätter von Prof. Dr. K. Lehrs. gr. 8. 1873. geh. n. *M.* 16. —

La Roche, Jacob, Homerische Untersuchungen. gr. 8. 1869. geh. n. *M.* 6. —

——— die Homer. Textkritik im Alterthum. Nebst e. Anhang über d. Homerhandschriften. gr. 8. 1866. geh. n. *M.* 10. —

Lexicon Homericum composuerunt C. Capelle, A. Eberhard, E. Eberhard, B. Giseke, V. H. Koch, Fr. Schnorr de Carolsfeld, edidit H. Ebeling. Pars I. Fasc. I—VIII. und Fasc. IX. X. Lex.-8. 1874. geh. n. *M.* 20. —

Nutzhorn, F., die Entstehungsweise der Homerischen Gedichte. Untersuchungen über die Berechtigung der auflösenden Homerkritik. Mit einem Vorwort von Dr. J. N. Madvig, Professor in Kopenhagen. gr. 8. 1869. geh. n. *M.* 5. —

Volkmann, Richard, Geschichte und Kritik der Wolf'schen Prolegomena zu Homer. Ein Beitrag zur Geschichte der Homerischen Frage. gr. 8. 1874. geh. n. *M.* 8. —

Windisch, G. O. E., de hymnis Homericis maioribus. Dissertatio inauguralis. gr. 8. 1867. geh. n. *M.* 1. 20.